Gautier 1986a = Gautier, P. "Quelques lettres de Psellos inédites ou déjà éditées", Revue des Études Byzantines 44 (1986) 111–197.

Gautier 1986b = Gautier, P. "Deux manuscrits pselliens: Le Parisinus Graecus 1182 et le Laurentianus Graecus 57–40", Revue des Études Byzantines 44 (1986) 45–110.

Giannouli 2014 = Giannouli, A. "Byzantine Punctuation and Orthography. Between Normalisation and Respect of the Manuscripts. Introductory Remarks", COMSt Newsletter 8 (2014) 18–22.

Giannouli and Schiffer 2011 = Giannouli, A. and E. Schiffer (eds.) From Manuscripts to Books. Proceedings of the International Workshop on Textual Criticism and Editorial Practice for Byzantine Texts (Vienna, 10–11 December 2009) (Vienna 2011).

Gioffreda 2013 = Gioffreda, A. "L'Ambrosiano C 279 inf. e il copista Nicandro", Medioevo greco 13 (2013) 127–138.

Gkoutzioukostas 2011 = Gkoutzioukostas, A. E. Το αξίωμα του μυστικού. Θεσμικά και προσωπογραφικά προβλήματα (Thessalonike 2011).

Gkoutzioukostas2 = Gkoutzioukostas, A. Μιχαήλ Ψελλός: ένας λόγιος στην υπηρεσία του κράτους, in a Festschrift for Prof. K. Konstantinides (Ioannina, forthcoming).

Graux 1880 = Graux, C. Essai sur les origines du fonds grec de l'Escurial (Paris 1880).

Grumel 1989 = Grumel, V. Les Regestes des Actes du Patriarcat de Constantinople, t. 1, Les Actes des Patriarches, fasc. 2–3: Les regestes de 715 à 1206, 2e éd. corrigée par. J. Darrouzès (Paris 1989).

Grünbart 2000 = Grünbart, M. "Athanasios Chatzikes und Michael Psellos", Byzantion 70 (2000) 307–308.

Grünbart 2001 = Grünbart, M. Epistularum byzantinarum initia (Hildesheim and New York 2001).

Grünbart 2003 = Grünbart, M. "Anmerkungen zur byzantinischen Briefrhetorik." in W. Hörandner and M. Grünbart (eds.) L'épistolographie et la poésie épigrammatique: projects actuels et questions de méthodologie: actes de la 16e Table ronde organisée par dans le cadre du XXe Congrès international des Études byzantines, Collège de France – Sorbonne, Paris, 19–25 Août 2001 (Paris 2003) 31–41.

Grünbart 2007 = Grünbart, M. "Nachrichten aus dem Hinterland Konstantinopels: Die Briefsammlung des Mönchs Hierotheos (12. Jahrhundert)", Byzantinische Zeitschrift 100 (2007) 57–70.

Hobson 1999 = Hobson, A. Renaissance Book Collecting: Jean Grolier and Diego Hurtado de Mendoza, their Books and Bindings (Cambridge and New York 1999).

Hunger 1961 = Hunger, H. Katalog der griechischen Handschriften der Österreichischen Nationalbibliothek. 1: Codices historici, codices philosophici et philologici (Vienna 1961).

Hunger and Kresten 1976 = Hunger, H. and O. Kresten, Katalog der griechischen Handschriften der Österreichischen Nationalbibliothek. Teil 3/1. Codices theologici 1–100 (Vienna 1976).

Hunger, Kresten, and Hannick 1984 = Hunger, H., O. Kresten, and C. Hannick, Katalog der griechischen Handschriften der Österreichischen Nationalbibliothek. Teil 3/2. Codices theologici 101–200 (Vienna 1984).

Hutter 1977 = Hutter, I. Corpus der byzantinischen Miniaturenhandschriften (Stuttgart 1977).

James 1902 = James, M. R. The Western Manuscripts in the Library of Trinity College III (Cambridge 1902).

Janin 1964 = Janin, R. Constantinople byzantine: Développement urbain et répertoire topographique (Paris 1964).

Janin 1969 = Janin, R. La géographie ecclésiastique de l'empire byzantin, I: Le siège de Constantinople et le patriarcat oecuménique, 3: Les églises et les monastères (Paris 1969).

Janin 1975 = Janin, R. Les églises et les monastères des grands centres byzantins (Paris 1975).

Janssens 2002 = Janssens, B. (ed.) Maximi Confessoris Ambigua ad Thomam una cum Epistula secunda ad eundem (Turnhout and Leuven 2002).

Jeffreys 2017a = Jeffreys, M. "Constantine, Nephew of the Patriarch Keroularios, and His Good Friend Michael Psellos", in M. Jeffreys and M. D. Lauxtermann (eds.) The Letters of Psellos: Cultural Networks and Historical Realities (Oxford and New York 2017) 59–88.

Jeffreys 2017b = Jeffreys, M. "Part II: Summaries of the Letters of Michael Psellos", in M. Jeffreys and M. D. Lauxtermann (eds.) The Letters of Psellos: Cultural Networks and Historical Realities (Oxford and New York 2017) 141–445.

Jeffreys and Lauxtermann 2017 = Jeffreys, M. and M. D. Lauxtermann (eds.) The Letters of Psellos: Cultural Networks and Historical Realities (Oxford and New York 2017).

Kaldellis 2007 = Kaldellis, A. Hellenism in Byzantium: The Transformations of Greek Identity and the Reception of the Classical Tradition (Cambridge 2007).

Karagiorgou-Charalampakis-Malatras 2016
= Karagiorgou, O., P. Charalampakis, C. Malatras, "State Officials in the Themes of Opsikion, the Anatolikoi and the Kibyrraiotai: New and Recently Revisited Sigillographic Evidence", Byzantina Symmeikta 26 (2016) 247–308.

Karath. = Karathanasis, D. K. Sprichwörter und sprichwörtliche Redensarten des Altertums in den rhetorischen Schriften des Michael Psellos, des Eustathios und des Michael Choniates sowie in anderen rhetorischen Quellen des XII. Jahrhunderts (Speyer a. Rh. 1936).

Karpozilos 1990 = Karpozilos, A. The Letters of Ioannes Mauropous Metropolitan of Euchaita (Thessalonike 1990).

Karpozilou 1999 = Karpozilou, M. "The Epistolarion of Theophilos Corydaleus', Ἑλληνικά, 49 (1999) 289–303.
Kazhdan 1993 = Kazhdan, A. P. "Some Problems in the Biography of John Mauropous", Jahrbuch der österreichischen Byzantinistik 43 (1993) 87–111.
Kazhdan-Ljubarskij 1973 = Kazhdan, A. P. and J. Ljubarskij, "Basile Malésès encore une fois", Byzantinoslavica 34 (1973) 219–220.
K-D I = Kurtz, E. and F. Drexl (eds.) Michael Psellus. Scripta minora magnam partem adhuc inedita I, Orationes et dissertationes (Milan 1936).
Kiapidou 2013 = Kiapidou, E.-S. "Chapters, Epistolary Essays and Epistles. The Case of Michael Glykas' Collection of Ninety-Five Texts in the 12th Century", Parekbolai 3 (2013) 45–64.
Kolia-Dermitzaki 1997 = Kolia-Dermitzaki, A. "Michael VII Doukas, Robert Guiscard and the Byzantine-Norman Marriage Negotiations", Byzantinoslavica 58 (1997) 251–268.
Kolovou 1999 = Kolovou, F. Μιχαὴλ Χωνιάτης: Συμβολὴ στὴ μελέτη τοῦ βίου καὶ τοῦ ἔργου του: Τὸ corpus τῶν ἐπιστολῶν (Athens 1999).
Kolovou 2001 = Kolovou, F. (ed.) Michaelis Choniatae epistulae (Berlin 2001).
Kolovou 2006 = Kolovou, F. (ed.) Die Briefe des Eustathios von Thessalonike (Munich and Leipzig 2006).
Kolovou 2012 = Kolovou, F. "Τρυφᾶν ἐν λόγοις. Michael Psellos' und Machetarios' Enkomien auf den Wein im Baroccianus gr. 131", Βυζαντινά 32 (2012) 9–24.
Kouroupou and Géhin 2008 = Kouroupou, M. and P. Géhin, Catalogue des manuscrits conservés dans la Bibliothèque du Patriarcat Oecuménique. Les manuscrits du monastère de la Panaghia de Chalki (Turnhout 2008).
Lambros 1895 = Lambros, S. P. Catalogue of the Greek Manuscripts on Mount Athos, vol. 1. (Cambridge 1895).
Lampropoulos 1988 = Lampropoulos, K. Ιωάννης Απόκαυκος. Συμβολή στην έρευνα του βίου και του συγγραφικού έργου του (Athens 1988).
Lappa-Zizica and Rizou-Couroupou 1991 = Lappa-Zizica, E., M. Rizou-Couroupou, Κατάλογος ἑλληνικῶν χειρογράφων τοῦ Μουσείου Μπενάκη (10ος–16ος αἰ.), Athêna, 1991, 177–185
Laurent 1981 = Laurent, V. Le Corpus des sceaux de l'empire byzantin, t. 2. L'administration centrale (Paris 1981).
Lauxtermann 2012 = Lauxtermann, M. "The Perils of Travel: Mark the Monk and Bodl. E.D. Clarke 15", on f. Bernard and K. Demoen (eds), Poetry and its Contexts in Eleventh-century Byzantium (Farnham and Burlington 2012) 195–206.
Lauxtermann and Whittow 2017 = Lauxtermann, M. D. and M. Whittow (eds.) Byzantium in the Eleventh Century. Being in Between, Papers from the 45th Spring Symposium of Byzantine Studies, Exeter College, Oxford, 24–26 March 2012 (Abingdon and New York 2017) 45–59.

LBG = Trapp, E. et a. (ed.) Lexikon zur Byzantinischen Gräzität: besonders des 9.–12. Jahrhunderts (Vienna 1994–2017).
Legrand = Legrand, E. Bibliographie hellénique ou Description raisonnée des ouvrages publiés par des Grecs au dix-septième siècle, vol. 1 (Paris 1894).
Lemerle 1977 = Lemerle, P. Cinq études sur le XIe siècle byzantin (Paris 1977).
Limousin 1999 = Limousin, É. "L'administration byzantine du Péloponnèse (xe-xiie siècles)", in J. Renard (ed.) Le Péloponnèse, Archéologie et Histoire (Rennes 1999) 298–314.
Litavrin 1969 = Litavrin, G. G. "Три письма Михаила Пселла Катакалону Кекавмену", Revue des études sud-est européennes 7 (1969) 455–468.
Litzica 1909 = Litzica, C. Catalogul manuscriptelor greceşti din Bibliotheca Academiei Române (Bucharest 1909).
Ljubarkij 2004 = Ljubarkij, J. N. Η προσωπικότητα και το έργο του Μιχαήλ Ψελλού: Συνεισφορά στην ιστορία του βυζαντινού ουμανισμού (trans. A. Tzelesi; Athens 2004).
Loukaki 2013 = Loukaki, M. "Kataphlôros ou Kataphlôron: Notes sur un patronyme byzantin", Zbornik radova Vizantološkog instituta 50 (2013) 357–365.
Luard 1858 = Luard, H. R. A Catalogue of the Manuscripts preserved in the Library of the University of Cambridge, vol. 3 (Cambridge 1858).
Magdalino 1987 = Magdalino, P. "The Literary Perception of Everyday Life in Byzantium: Some General Considerations and the Case of John Apokaukos", Byzantinoslavica 47 (1987) 28–38.
Makris 2009 = Makris, G. "Τὸ ἐγκώμιο πρὸς τιμὴν τοῦ ἁγίου Παντελεήμονος BHG 1418c καὶ ὁ συντάκτης του", in S. Kotzabassi and G. Mavromatis (eds.) Realia Byzantina (Berlin 2009) 103–135.
Mango-Efthymiadis 1997 = Mango, C. and S. Efthymiadis (eds.) The Correspondence of Ignatios, the Deacon: Text, Translation, and Commentary (Washington, D.C. 1997).
Mango-Ševčenko 1973 = Mango, C. and I. Ševčenko, "Some Churches and Monasteries on the Southern Shore of the Sea of Marmara", Dumbarton Oaks Papers 27 (1973) 235–277.
Martini and Bassi 1906 = Martini, A. and D. Bassi, Catalogus codicum graecorum Bibliothecae Ambrosianae (Milan 1906).
Mazzucchi 1990 = Mazzucchi, C. M. "Longino in Giovanni di Sicilia", Aevum 6 (1990) 183–198.
Mazzucchi 2003 = Mazzucchi, C. M. "Ambrosianus C 222 inf. (Graecus 886): il codice e il suo autore. Parte prima: il codice", Aevum 77 (2003) 263–275.
Mazzucchi 2004 = Mazzucchi, C. M. "Ambrosianus C 222 inf. (Graecus 886): il codice e il suo autore. Parte seconda: l'autore", Aevum 78 (2004) 411–440.

Mercati 1948 = Mercati, S. G. "Ufficio di Giovanni Mauropode Euchaita cornposto dal nipote Teodoro", in Mémorial Louis Petit: mélanges d'histoire et d'archéologie byzantines (Bucharest 1948) 347–360.
Mercati and Cavalieri 1923 = Mercati, G. and P. Franchi de' Cavalieri, Codices Vaticani Graeci, I. Codices 1–329 (Rome 1923).
Mioni 1972 = Mioni, E. Bibliothecae Divi Marci Venetiarum codices graeci manuscripti, vol. III (Rome 1972).
Mioni 1985 = Mioni, E. Bibliothecae Divi Marci Venetiarum codices graeci manuscripti, vol. II Thesaurus Antiquus (Rome 1985).
Mioni 1992 = Mioni, E. Catalogus codicum graecorum Bibliothecae Nationalis Neapolitanae, t. 1.1 (Rome 1992).
Mogenet 1989 = Mogenet, I. Codices Barberiniani graeci, Tomus II: Codices 164–281. Enarrationes complevit I. Leroy, addenda et indices curavit P. Canart (Vatican 1989).
Molin Pradel 2013 = Molin Pradel, M. Katalog der griechischen Handschriften der Bayerischen Staatsbibliothek München. 2, Codices graeci Monacenses 56–109 (Wiesbaden 2013).
Mondrain 1992 = Mondrain, B. "Copistes et collectionneurs de manuscrits grecs au milieu du XVIe siècle: le cas de Johann Jakob Fugger d'Augsbourg", Byzantinische Zeitschrift 84–85 (1992) 354–390.
Moore 2005 = Moore, P. Iter Psellianum: A Detailed Listing of Manuscript Sources for All Works Attributed to Michael Psellos (Toronto 2005).
Moschonas 1945 = Moschonas, T. Πατριαρχεῖον Ἀλεξανδρείας. Κατάλογοι τῆς πατριαρχικῆς βιβλιοθήκης. Τόμος Α΄. Χειρόγραφα, (Alexandria 1945).
Nesseris 2014 = Nesseris, I. Η Παιδεία στην Κωνσταντινούπολη κατὰ τὸν 12ο αιώνα (PhD diss.; Ioannina 2014), vols. 1 and 2.
Noret 2014 = Noret, J. "L'accentuation byzantine: en quoi et pourquoi elle diffère de l'accentuation "savante» actuelle, parfois absurde", in M. Hinterberger (ed.) The Language of Byzantine Learned Literature (Turnhout 2014) 96–146.
ODB = Kazhdan, A. P. (ed.) The Oxford Dictionary of Byzantium (New York 1991).
Oikonomidès 1960 = Oikonomidès, N. "Un décret synodal inédit du patriarche Jean Xiphilin concernant l'élection et l'ordination des évêques", Revue des études byzantines 18 (1960) 55–78.
Oikonomides 1983 = Oikonomides, N. Review of Karpozilos, A. Συμβολὴ στὴ μελέτη τοῦ βίου καὶ τοῦ ἔργου τοῦ Ἰωάννη Μαυρόποδος (Ioannina 1982) in Südostforschungen 42 (1983) 486–488.
Oikonomidès 1984 = Oikonomidès, N. Actes de Docheiariou (Paris 1984) 211–213.
Oikonomidès 1996 = Oikonomidès, N. Fiscalité et exemption fiscale à Byzance (IX–XI s.) (Athens 1996).
Omont 1888 = Omont, H. Inventaire sommaire des manuscrits grecs de la Bibliothèque Nationale, III (Paris 1888).

Op de Coul 2007 = Op de Coul, M.D.J. Théodore Prodrome. Lettres et Discours. Édition, Traduction, Commentaire, vols. I–II (PhD thesis; Paris 2007).

Paize-Apostolopoulou 1999 = Paize-Apostolopoulou, M. "Ἡ βιβλιοθήκη τοῦ Νικολάου Καρατζᾶ καὶ ἡ περιπέτεια τοῦ χειρογράφου Paris. Suppl. gr. 1375", Ἑλληνικὰ 49 (1999) 61–72.

Palabiyik 2015 = Palabiyik, N. "An Early Case of the Printer's Self-Censorship in Constantinople", The Library 16 (2015) 381–404.

Papadopoulos-Kerameus 1899 = Papadopoulos-Kerameus, A. Ἱεροσολυμιτικὴ βιβλιοθήκη, ἤτοι κατάλογος τῶν ἐν ταῖς βιβλιοθήκαις τοῦ ἁγιωτάτου ἀποστολικοῦ τε καὶ καθολικοῦ ὀρθοδόξου πατριαρχικοῦ θρόνου τῶν Ἱεροσολύμων καί πάσης Παλαιστίνης ἀποκειμένων ἑλληνικῶν κωδίκων, vol. 4 (St. Petersburg 1899).

Papagiannis 1997 = Papagiannis, G. (ed.) Theodoros Prodromos: jambische und hexametrische tetrasticha auf die haupterzählungen des alten und des Neuen Testaments (Wiesbaden 1997).

Papaioannou 1998Papaioannou, S. "Das Briefcorpus des Michael Psellos: Vorarbeiten zu einer kritischen Neuedition. Mit einem Anhang: Edition eines unbekannten Briefes," Jahrbuch der österreichischen Byzantinistik 48 (1998) 67–117.

Papaioannou 2012 = Papaioannou, S. "Fragile Literature: Byzantine Letter-Collections and the Case of Michael Psellos", in P. Odorico (ed.) La face cachée de la littérature byzantine. Le texte en tant que message immédiat (Paris 2012) 289–328.

Papaioannou 2013 = Papaioannou, S. Michael Psellos: Rhetoric and Authorship in Byzantium (Cambridge and New York 2013).

Papaioannou 2014 = Papaioannou, S. "Byzantine Historia", in K. Raaflaub (ed.) Thinking, Recording, and Writing History in the Ancient World (Malden, MA and Oxford 2014) 297–313.

Papaioannou 2017 = Papaioannou, S. Christian Novels from the Menologion of Symeon Metaphrastes (Cambridge MA 2017).

Papaioannou 2020 = Papaioannou, S. Μιχαὴλ Ψελλός: Ἡ ρητορική καὶ ὁ λογοτέχνης στὸ Βυζάντιο (Herakleio).

Papazoglou 2016 = Papazoglou, G. K. Ὁ λόγιος Φαναριώτης Νικόλαος Καρατζᾶς καὶ ἡ βιβλιοθήκη τῶν χειρογράφων κωδίκων του (1705 ci.–1787), Τόμος Α΄. Βίος και ἔργο τοῦ Νικολάου Καρατζᾶ (Thessalonike 2016).

Parpulov 2014 = Parpulov, G. R. Toward A History of Byzantine Psalters: 850–1350 (Plovdiv 2014).

Patillon-Brisson 2001 = Patillon, M. and L. Brisson, Longin: Fragments; Art Rhétorique; Rufus: Art Rhétorique (Paris 2001).

Pérez Martín 2001 = Pérez Martín, I. "Antonio Agustín y Manuel Provataris en Venecia (a. 1543)", Miscellanea Bibliothecae Apostolicae Vaticanae 8 (2001) 299–311.

Pérez Martín 2010 = "L'écriture de l'hypatos Jean Pothos Pédiasimos d'après ses scholies aux Elementa d'Euclide", Scriptorium 64.1 (2010) 109–119.
Pérez Martín 2013 = Pérez Martín, I. "The Transmission of Some Writings by Psellos in Thirteenth-Century Constantinople', in A. Rigo (ed.) Theologica minora: The Minor Genres of Byzantine Theological Literature, Moscow, 21–22 November 2011, St Tikhon's Orthodox University, Faculty of Theology (Turnhout 2013) 159–174 and 180–185.
Pérez Martín 2014 = Pérez Martín, I. "The Transmission of Michael Psellos' Writings on Meteorologica", in J. Signes Codoñer and I. Pérez Martín (eds.) Textual Transmission in Byzantium: Between Textual Criticism and Quellenforschung (Turnhout 2014) 291–311.
Perez Martín 2018 = Pérez Martín, I. "Miguel Pselo, Sobre el mapa: Un estrabón oculto", in E. Castro-Páez (ed.) De nuevo sobre Estrabón. Geografía, cartografía, historiografía y tradición (Seville 2018) 111–136.
Pérez Martín forthcoming = Pérez Martín, I. "Once more on the Life and Handwriting of the Hypatos ton Philosophon John Pothos Pediasimos".
Pietrobelli 2009 = Pietrobelli, A. "L'itinéraire de deux manuscrits de Galien à la Renaissance", Revue d'histoire des textes 4 (2009) 79–114.
Pingree 1977 = Pingree, D. "The Library of George, Count of Corinth", in Studia Codicologica (Berlin 1977) 351–362.
PLP = Trapp E. et. al. Prosopographisches Lexikon der Palaiologenzeit (Vienna 1976–1996).
PLRE I = Martindale, J. R. The Prosopography of the Later Roman Empire, v. 1. A.D. 260–395 (Cambridge 1971)
PmbZ = Lilie, R.-J. et al., Prosopographie der mittelbyzantinischen Zeit. Abt. 1 (641–867) and Abt. 2 (867–1025) (Berlin 1998–2013).
Polemis 1968 = Polemis, D. I. The Doukai: A Contribution to Byzantine Prosopography (London 1968).
Politis 1991a = Politis, L. Κατάλογος χειρογράφων τῆς ἐθνικῆς βιβλιοθήκης τῆς Ἑλλάδος: ἀρ. 1857–2500 (Athens 1991).
Politis 1991b = Politis, L. Κατάλογος χειρογράφων τοῦ πανεπιστημίου Θεσσαλονίκης (Thessalonike 1991).
Puntoni 1896 = Puntoni, V. "Indice dei codici greci della Biblioteca Estense di Modena", Studi Italiani di Filologia Classica 4 (1896) 379–536
Regtuit 1992 = Regtuit, R. F. Severian of Gabala: Homily on the Incarnation of Christ (CPG 4204) (Amsterdam 1992).
Reinsch 2008 = Reinsch, D. R. "Stixis und Hören", in B. Atsalos and N. Tsironi (eds.) Actes du VIe Colloque International de Paléographie Grecque (Drama, 21–27 septembre 2003), vol. I (Athens 2008) 259–269.
Reinsch 2012 = Reinsch, D. R. "What Should an Editor Do with a Text like the Chronographia of Michael Psellos", in A. Bucossi and E. Kihlman (eds.) Ars Edendi. Lecture Series, Vol. II. (Stockholm 2012) 131–154.
Reinsch 2014 = Reinsch, D. R. (ed.) Michaelis Pselli Chronographia, 2 vols. (Berlin and Boston 2014).

Reinsch 2017 = Reinsch, D. R. "Venomous Praise: Some Remarks on Michael Psellos' Letters to Leon Paraspondylos", in M. Jeffreys and M. D. Lauxtermann (eds.) The Letters of Psellos: Cultural Networks and Historical Realities (Oxford and New York 2017) 128–140.

Reinsch and Kambylis 2001 = Reinsch, D. R. and A. Kambylis, Annae Comnenae Alexias (Berlin and New York 2001).

Renauld 1920 = Renauld, É. Étude de la langue et du style de Michel Psellos (Paris 1920).

RGK = Gamillscheg, E., D. Harlfinger, and H. Hunger, Repertorium der griechischen Kopisten 800–1600, 3 vols. (Vienna 1981–1997).

Riedinger 2010 = Riedinger, J.-C. "Quatre étapes de la vie de Michel Psellos", Revue des études byzantines 68 (2010) 5–60.

Riehle forthcoming = Riehle, A. Companion to Byzantine Epistolography (Leiden and Boston, forthcoming).

Rostagno and Festa 1961 = Rostagno, E. and N. Festa, "Indice dei codici greci laurenziani non compresi nel catalogo del Bandini", in A. M. Bandini, Catalogus codicum manuscriptorum Bibliothecae Mediceae Laurentianae. Accedunt supplementa tria ... Accuravit F. Kudlien (Leipzig 1961), 3*–62* = Studi Italiani di Filologia Classica 1 (1893) 192–232.

Seibt I = Seibt, W. Die byzantinischen Bleisiegel in Österreich. I. Kaiserhof (Vienna 1978).

Seibt II = Seibt, W. Die byzantinischen Bleisiegel in Österreich. II. Kaiserhof (Vienna 2004).

Seibt 19761 = Seibt, W. Die Skleroi: eine prosopographisch-sigillographische Studie (Vienna 1976).

Seibt 19762 = Seibt, W. "Ioannes Skylitzes. Zur Person des Chronisten", Jahrbuch der österreichischen Byzantinistik 25 (1976) 81–85.

Sideras 1994 = Sideras, A. Die byzantinischen Grabreden: Prosopographie, Datierung, Überlieferung 142 Epitaphien und Monodien aus dem byzantinischen Jahrtausend (Vienna 1994).

Silvano 2018 = Silvano, L. "Il monaco Elia tra cielo e inferno: nota a Psello, epist. 98 Kurtz-Drexl", Res Publica Litterarum 40 (2017) [2018].

Snipes 1981 = Snipes, K. "A Letter of Michael Psellos to Constantine the Nephew of Michael Cerularios", Greek, Roman and Byzantine Studies 22 (1981) 89–107.

Spadaro 1976 = Spadaro, M. D. "Sull'epistola di Psello 44 Sathas", Siculorum Gymnasium ns 29 (1976) 427–435.

Spingou forthcoming = Spingou, F. Poetry for the Comnenoi. The Anthologia Marciana: Sylloge B and C (Oxford forthcoming).

Spyridon of Lavra and Eustratiades 1925 = Spyridon of Lavra and S. Eustratiades, Catalogue of the Greek Manuscripts in the Library of the Lavra on Mount Athos (Cambridge 1925).

Stavrakos 2000 = Stavrakos, C. Die byzantinischen Bleisiegel mit Familiennamen aus der Sammlung des Numismatischen Museums Athen (Wiesbaden 2000).

STC = Pollard, A. W. A Short-title Catalogue of Books printed in England, Scotland, & Ireland and of English Books Printed Abroad, 1475–1640; 2nd ed. revised and enlarged by W. A. Jackson and F. S. Ferguson, completed by K. F. Pantzer (London 1976–1991).

Stefec 2011a = Stefec, R. "Anmerkungen zu weiteren Epigrammen in epigraphischer Auszeichnungsmajuskel", Byzantion 81 (2011) 326–361.

Stefec 2011b = Stefec, R. "Das Briefdossier des Georgios Kalybas im Codex Vind. theol. gr. 227", Römische historische Mitteilungen 53 (2011) 121–150.

Stefec 2012 = Stefec, R. "Zur Geschichte der Handschriften des Francesco Patrizi und des Antonios Eparchos", Νέα Ῥώμη 9 (2012) 245–260.

Stefec 2014 = Stefec, R. "Die Handschriften der Sophistenviten Philostrats", Römische historische Mitteilungen 56 (2014) 137–206.

Stevenson 1885 = Stevenson, H. Codices Manuscripti Palatini Graeci Bibliothecae Vaticanae (Rome 1885).

Studemund and Cohn 1890 = Studemund W. and L. Cohn, Verzeichniss der griechischen Handschriften der Königlichen Bibliothek zu Berlin, vol. I (Berlin 1890).

Todt 2001 = Todt, Kl.-P. "Region und griechisch-orthodoxes Patriarchat von Antiocheia in mittelbyzantinischer Zeit und im Zeitalter der Kreuzzüge (969–1204)", Byzantinische Zeitschrift 94 (2001) 239–267.

TIB 2 = Hild, F. and M. Restle, Kappadokien (Vienna 1981).

TIB 10 = Koder, J. et al. Aigaion Pelagos (Vienna 1998).

TIB 12 = Külzer, A. Ostthrakien (Vienna 2008).

Uthemann 1985 = Uthemann, K. Anastasii Sinaitae Sermones duo in constitutionem hominis secundum imaginem Dei, necnon Opuscula aduersus monotheletas (Turnhout 1985).

Varzos 1984 = Varzos, K. Ἡ γενεαλογία τῶν Κομνηνῶν, τόμος Α΄ (Thessalonike 1984).

Vladimir 1894 = Archimandrite Vladimir, Систематическое описание рукописей Московской Синодальной (Патриаршей) библиотеки, Ч. I: Рукописи греческие (Moscow 1894).

Vogel and Gardthausen 1909 = Vogel, M. and V. Gardthausen, Die griechischen Schreiber des Mittelalters und der Renaissance (Leipzig 1909).

Volk 1955 = Volk, O. Die byzantinischen Klosterbibliotheken von Konstantinopel, Thessalonike und Kleinasien (Munich 1955).

Volk 1990 = Volk, R. Der medizinische Inhalt der Schriften des Michael Psellos (München 1990).

Volk 2002 = Volk, R. "Eine seltsame Metaphrase von Psellos-Briefen", Jahrbuch der österreichischen Byzantinistik 52 (2002) 185–189.

Walz 1833 = Walz, C. Rhetores Graeci, vol. 5. (Stuttgart 1833).

Vasiljevskij 1896 = Vasiljevskij, V. "Epirotica saeculi XIII.", Vizantiĭskiĭ vremennik 3 (1896) 241–299.

Wassiliou 2002 = Wassiliou, A.-K. "Die Familie Hexamilites. Ein Beitrag zur byzantinischen Prosopographie", Ἑλληνικά 52 (2002) 243–261.

Wassiliou-Seibt I = Wassiliou-Seibt, A.-K. Corpus der byzantinischen Siegel mit metrischen Legenden. Teil 1. Einleitung, Siegellegenden von Alpha bis inklusive My (Vienna 2011).

Wassiliou-Seibt 2011 = Wassiliou-Seibt, A.-K. "Die Neffen des Patriarchen Michael I. Kerullarios (1043–1058) und ihre Siegel. Ikonographie als Ausdrucksmittel der Verwandtschaft", Bulgaria Mediaevalis 2 (2011) 107–119.

Wassiliou-Seibt 2012 = Wassiliou-Seibt, A.-K. "Die Familie Xiphilinos im 11. Jh. Der Beitrag der Siegel", in B. Caseau (ed.) Les réseaux familiaux. Antiquité tardive et Moyen Âge (Paris 2012) 307–323.

Wassiliou-Seibt 2018 = Wassiliou-Seibt, A.-K. "Nochmals zum cursus honorum des Konstantinos, des Neffen des Patriarchen Michael I. (Kerullarios)," Zbornik radova Vizantološkog instituta 55 (2018) 65–80.

Weichert 1910 = Weichert, V. (ed.) Demetrii et Libanii qui feruntur Τύποι ἐπιστολικοὶ et Ἐπιστολιμαῖοι χαρακτῆρες (Leipzig 1910).

Weiss 1972 = Weiss, G. "Forschungen zu den noch nicht edierten Schriften des Michael Psellos", Byzantina 4 (1972) 9–51.

Weiss 1973 = Weiss, G. Oströmische Beamte im Spiegel der Schriften des Michael Psellos (Munich 1973).

Westerink 1951 = Westerink, L. G. "Some Unpublished Letters of Blemmydes", Byzantinoslavica 12 (1951) 43–55.

Westerink 1973 = Westerink, L. G. (ed.) Nicétas Magistros, Lettres d'un exilé (Paris 1973).

Westerink 1987 = Westerink, L. G. "Le Parisinus Gr. 1182 et le Vaticanus Gr. 671 de Psellos", in J. Dummer (ed.) Texte und Textkritik. Eine Aufsatzsammlung (Berlin 1987) 605–609.

Wilson 1973 = Wilson, N. G. Mediaeval Greek Bookhands: Examples Selected from Greek Manuscripts in Oxford Libraries (Cambridge, Mass. 1973).

Wilson 1978 = Wilson N. G. "A Byzantine Miscellany: MS. Barocci 131 described", Jahrbuch der österreichischen Byzantinistik 27 (1978) 157–179.

Zagklas 2014 = Zagklas, N. Theodore Prodromos: The Neglected Poems and Epigrams (Edition, Translation, and Commentary) (PhD thesis; University of Vienna 2014).

BIBLIOTHECA
SCRIPTORVM GRAECORVM ET ROMANORVM
TEVBNERIANA

BT 2030

MICHAEL PSELLUS

EPISTULAE

VOLUMEN II

EDIDIT
STRATIS PAPAIOANNOU

DE GRUYTER

ISBN 978-3-11-062201-0
e-ISBN (PDF) 978-3-11-062501-1
ISSN 1864-399X

Library of Congress Control Number: 2019936568

Bibliographic information published by the Deutsche Nationalbibliothek
The Deutsche Nationalbibliothek lists this publication in the Deutsche Nationalbibliografie; detailed bibliographic data are available on the Internet at http://dnb.dnb.de.

Greek font: Orthos by Ralph Hancock
Printing: Hubert & Co. GmbH & Co. KG, Göttingen

www.degruyter.com

TABLE OF CONTENTS

XV. ⟨Θεόδωρος⟩ Δοχειανός (ca. a. 1034 – post a. 1080), ἀνεψιὸς τοῦ βασιλέως ⟨Ἰσαακίου⟩ τοῦ Κομνηνοῦ, ⟨κουροπαλάτης⟩

XVI. ⟨Ἀνδρόνικος Δούκας (ante a. 1045 – a. 1077)⟩

XVII. Ἰωάννης ὁ Δούκας (? – ca. a. 1088), καῖσαρ (ca. XI.1059 sqq.)

XXVII. Μιχαὴλ Κεγχρῆς / Συμεὼν μοναχός

XXVIII. ⟨Καταкαλὼν⟩ Κεκαυμένος, κουροπαλάτης (post a. 1057), ⟨Καλλίνικος, μοναχός⟩

XXIX. Μιχαὴλ Κηρουλλάριος (1000/1005 – 21.I.1059), πατριάρχης (25.III.1043 – 2.XI.1058)

XXX. Κωνσταντῖνος (ca. a. 1030/35? – ca. a. 1078? ante a. 1082), ἀνεψιὸς τοῦ πατριάρχου, μάγιστρος καὶ σακελλάριος (ca. a. 1065?), πρόεδρος (ca. a. 1065 – a. 1067?), πρωτοπρόεδρος (ca. a. 1071/1072?), μέγας δρουγγάριος τῆς βίγλας (ca. a. 1073/1074), σεβαστὸς καὶ ἐ?πὶ τῶν κρίσεων (ca. a. 1075/1078?)

XLIX. ⟨Βασίλειος (?)⟩ Ξηρός, πρόεδρος, κριτὴς et πραίτωρ τῶν Θρᾳκησίων

L. Ἰωάννης Ξιφιλῖνος (ca. a. 1005/1010 – 2.VIII.1075), μάγιστρος, ⟨νομοφύλαξ (1047)⟩, μοναχός (1054?), πατριάρχης (1.I.1064 – 2.VIII.1075)

LI. Λέων Παρασπόνδυλος († post a. 1057), μοναχός, πρωτοσύγκελλος (ca. a. 1055 – a. 1057)

LII. Πεντάκτενος

Vol. 2

LIII. Πόθος, υἱὸς τοῦ δρουγγαρίου / τῆς δρουγγαρέας, κριτὴς τοῦ Ὀψικίου, κριτὴς Θρᾴκης καὶ Μακεδονίας, κριτὴς τῶν Κιβυρραιωτῶν

LVII. Νικόλαος Σκληρός, πρόεδρος, κριτὴς τοῦ Αἰγαίου, ⟨κριτὴς τῶν Βουκελλαρίων (cf. infra II LXXVI)⟩

LVIII. Ῥωμανὸς Σκληρός

LIX. Συνετός, μητροπολίτης Βασιλαίου

LX. Φερέβιος, μοναχός

LXI. Ἐπιφάνιος Φιλάρετος, πρωτοασηκρῆτις (ca. a. 1060 – a. 1067?)

LXII. Χασάνης, βεστάρχης, κριτὴς Μακεδονίας

LXIII. Εὐστράτιος Χοιροσφάκτης († Aug. 1071, Manzikert), μάγιστρος, πρωτονοτάριος τοῦ δρόμου

CV. Ad incertas personas

Indices

I. Αἰκατερῖνα (ca. a. 1010 – post a. 1063)

δέσποινα (a. 1057 – a. 1060; uxor Isaacii Comneni)

1. Τῇ δεσποίνῃ Αἰκατερίνῃ

ante 22.XI.1059, fortasse Oct.–Nov. 1059; eodem tempore ut Π 142, Π 41, et Π 251 [vid. epistolarum ordinem in L], Π 41 et Π 389 [vid. epistolarum ordinem in P], et Π 391

S 112 [P]

Δέσποινά μου ἁγία καὶ θεόστεπτε βασιλίς, ποθῶ μὲν τὴν βασιλείαν ὑμῶν καὶ συνεχῶς ὁρᾷν βούλομαι, ἐπιδημοῦσαν τῇ πόλει· ναί, μὰ τὴν ἐν θεῷ σου καύχησιν! Καὶ μὴ ἀπίστει μοι γράφοντι, ὥσπερ οὐδὲ ἠπίστησας πώποτε, κἂν ὁ Χαρωνίτης οὐ 5 βούληται.

Ποθῶ μὲν οὖν ὑμᾶς καὶ παρόντας. Ἀποδημησάντων δὲ τῆς Πόλεως καὶ ἐξεληλυθότων βραχύ, φέρειν οὐ δύναμαι· ἀλλ' ὥσπερ πῦρ ἐμφωλεῦον μου τῇ ψυχῇ κατακαίει καὶ δαπανᾷ· καὶ οὐκ ἔχω ἐνεγκεῖν τὴν διάστασιν.

10 Μηκέτι οὖν δυνάμενος ἄλλως πως συνεῖναι τῷ κράτει ὑμῶν, ἐμαυτὸν παραμυθοῦμαι τοῖς πρὸς ὑμᾶς γράμμασι· δοκῶ γὰρ ὁμιλεῖν διὰ τῶν ἐπιστολῶν. Ἐπὶ τούτῳ οὖν καὶ τὸν συνήθη πρὸς τὴν σὴν βασιλείαν ἐξαπέστειλα μοναχόν. Καὶ τολμῶν ἐρωτῶ: Πῶς ἔχει ὁ μέγας φωστήρ, ὁ τοῦ κόσμου βασιλεύς, καὶ μᾶλλον

I cf. Psel. Χρονογραφία VII,79–83 et 89, Ἐπαναγνωστικὸν ὡς ἀπὸ τοῦ … Δούκα κῦρ Κωνσταντίνου = Or. min. 5,54–55, et Π 40,39, Π 138,120, Π 139,87, Π 140,106, Π 142,5, et Π 142,72. cf. Varzos 1984,41–47 ‖ **4** Χαρωνίτης: cf. Plut. Ant. 15,4 τούτους ἅπαντας ἐπισκώπτοντες οἱ Ῥωμαῖοι Χαρωνίτας ἐκάλουν· ἐλεγχόμενοι γὰρ εἰς τοὺς τοῦ νεκροῦ κατέφευγον ὑπομνηματισμούς? **7–8** ὥσπερ – ἐμφωλεῦον: Greg. Naz. Κατὰ Ἰουλιανοῦ στηλιτευτικὸς α′ = Or. 4,30 et 88 ‖ **14** ὁ τοῦ κόσμου βασιλεύς: Isaacius Comnenus (imperator: 1.IX.1057 – 22.XI.1059) (Π XXXII)

ep. 1 L 82v–83r, P 214v–215r; tit. P: πρὸς τὴν δέσποιναν L ‖ **1–2** τὴν βασιλείαν ὑμῶν … ἐπιδημοῦσαν L: τὸν βασιλέα ἡμῶν … ἐπιδημοῦντα P S **5** βούληται L P: βούλεται S ‖ **6** ὑμᾶς P S: ἡμᾶς L ‖ **6–7** τῆς Πόλεως P S: om. L

ἐμός; Πῶς ἔχει τὸ τῆς καρδίας μου φῶς, ἡ τῆς ἐμῆς ψυχῆς ἀγαλ- 15
λίασις, τὸ ἀκήρατον ἄνθος τῆς ἡδονῆς, ὁ νοητὸς ἥλιος;

Ἔπειτα δὴ καὶ περὶ τοῦ σοῦ κράτους πυνθάνομαι: Πῶς ἔχει ἥ τε ὡς ἀληθῶς βασιλίς, ἡ χρυσοῖς κροσσωτοῖς τῶν ἀρετῶν περιβεβλημένη, πεποικιλμένη, ἡ καὶ ἐκ γένους βασίλειον αἷμα λαχοῦσα, καὶ κρείττονι αὖθις βασιλείᾳ τὴν προλαβοῦσαν νικήσασα εὔκλειαν; 20
Πῶς ἔχεις ἡ φωσφόρος ζωή; Καὶ μὴ θαυμάσῃς, εἰ πολλάκις ἐπανερωτῶ· μυρίων γὰρ ἀγαθῶν παρὰ τοῦ σοῦ κράτους τυχών (προσηνοῦς θέας, εὐμενείας, δεσποτικῆς διαθέσεως), μικρὰν εἰσάγω ἀντίδοσιν, τὴν ἐρώτησιν ταύτην καὶ τὴν προσκύνησιν.

Γένοιτο οὖν μοι αἱ ἀποκρίσεις σου δεξιαί: ὅτι χαίρεις, ὅτι 25
εὐθυμεῖς, ὅτι ἐπαγάλλῃ τῷ αὐτοκράτορι ὑγιαίνοντι. Ναί, Χριστέ μου καὶ βασιλεῦ, οὕτως ἔχοι τὰ καθ᾽ ὑμᾶς· ὡς ἐγώ τε βούλομαι (καὶ οἶδε μόνος ὁ θεὸς τῆς καρδίας τὰ κρύφια), καὶ ὑμεῖς βούλεσθέ τε καὶ εὔχεσθε. Καὶ ὅτι μὲν πολλῶν καὶ παρὰ τοῦ φιλανθρωποτάτου βασιλέως χαρίτων ἀπήλαυσα, οὐκ ἄν ποτε ἀρνηθείην, ἀλλὰ 30
μεγάλῃ βοῶ καὶ λαμπρᾷ τῇ φωνῇ: τιμῆς, προεδρίας, δεξιώσεως, ὁμιλίας, ἑτέρων πλειόνων. Ἀλλ᾽ οὐ διὰ ταῦτα τοσοῦτον ἐκεῖνον ποθῶ, ἀλλὰ διὰ τὰς ἐμφύτους αὐτοῦ ἀρετὰς καὶ τὴν περὶ τὰ πράγματα ἐπιμέλειαν.

Ἀλλὰ πεῖσαί ποτε τοῦτον κἂν νῦν, καθαρᾶς τυχεῖν ἀπολαύ- 35
σεως· ὡς γὰρ ἀκούομεν, ὅτι οὐκ ἐξῆλθε τῆς Πόλεως θηρεῦσαι, ἀλλά φροντίσαι, οὐδὲ θῆρας ἑλεῖν, ἀλλὰ σεκρετικὰ διαλῦσαι ζητήματα. Ὅμως ἐχέσθω τοῦ ἤθους. Εἴη δὲ εἰς μακροὺς χρόνους ἡ

16 ἄνθος – ἡδονῆς: cf. Psel. Στίχοι … εἰς τὴν τελευτὴν τῆς Σκληραίνης = Poem. 17,31 (Maria Sclerena) |νοητὸς ἥλιος: locus communis ex Philonis Jud. scriptis; cf. e.g. Περὶ τῶν ἐν μέρει διαταγμάτων 4,192; cf. Psel. Omn. doctr. 126,10–11, Λόγος εἰς τὴν σταύρωσιν = Or. hag. 3a,759–760, Εἰς τὸ ʻκαινοτομοῦνται φύσειςʼ = Theol. I 69,117, et Εἰς τὸ ʻπροέκοπτεν ὥσπερ ἡλικίᾳ …ʼ = Theol. I 81,77–114 ‖ **18–19** χρυσοῖς – πεποικιλμένη: Ps. 44,14 πᾶσα ἡ δόξα αὐτῆς θυγατρὸς βασιλέως ἔσωθεν ἐν κροσσωτοῖς χρυσοῖς περιβεβλημένη πεποικιλμένη. cf. Ἐγκώμιον εἰς … Νικόλαον μοναχὸν … = Or. fun. I 10,21,30–31 ‖ **28** οἶδε – κρύφια: Ps. 43,22 αὐτὸς γὰρ γινώσκει τὰ κρύφια τῆς καρδίας ‖ **31** προεδρίας: cf. Π 177,4, Π 277,5, Π 368,2, et Π 488,43

16–18 τὸ ἀκήρατον … ὡς ἀληθῶς βασιλίς P S: om. L ‖ **18–19** περιβεβλημένη P S: om. L ‖ **26** Χριστέ L: κύριε P S ‖ **28** ὁ P S: om. L ‖ **36** θηρεῦσαι L: θηράσαι P S

βασιλεία ὑμῶν τὰ Ῥωμαίων αὐξάνουσα πράγματα, καὶ τὸ κράτος
40 καλῶς διοικοῦσα καὶ κατευθύνουσα.

II. Αἰμιλιανός († a. 1079/1080)

πατριάρχης Ἀντιοχείας (ca. a. 1060/1065 – a. 1079/1080)

2. Τῷ πατριάρχῃ Ἀντιοχείας

⟨τῷ Αἰμιλιανῷ⟩?

S 42 [P], H-M 41–42 [P]

Μὴ θαυμάσῃς, θεοτίμητε δέσποτά μου, εἰ μὴ συνεχῶς γράφομεν, ἀλλ' εἰ μὴ διηνεκῶς μνημονεύομεν. Ἔχων δὲ τὸ πλέον, μὴ ἀπαίτει τὸ ἔλαττον, ἵνα μηδὲ ἐν τούτοις τὸ ἔλαττον ἔχοντες, ὁσάκις ἂν ἐγχωρῇ, καὶ διὰ γραμμάτων τῇ θεοτιμήτῳ σου ψυχῇ
5 ἐντυγχάνωμεν.

Ἴσθι οὖν, ἁγιωτάτη καὶ μακαρία ψυχή, ὡς πᾶν ἡμῖν ἀγαθὸν ἐπιχορηγεῖται παρὰ τοῦ φιλτάτου καὶ καλλίστου βασιλέως ἡμῶν. Εὐτυχοῦμεν δὲ οὐκ ἐν τούτῳ μόνον, ἀλλ' ὅτι καὶ τὴν σοφιστικὴν ἐν τῇ φιλοσοφίᾳ συμμίξαντες, ἡγεμόνες καὶ τῆς ἐπιστήμης καὶ τῆς
10 τέχνης πᾶσιν οἰόμεθα.

Ἡ μὲν οὖν ὑπόληψις οὕτω λαμπρά· ἡ δὲ ἀλήθεια ἐλάττων πολὺ τοῦ ὑποληφθῆναι. Εἰ δ' ἀντανισάσομεν τῷ χρόνῳ τὸ πρᾶγμα ταῖς ὑπολήψεσι, τότε καὶ τὸ τῆς φιλοσοφίας ἑαυτοῖς καθαρῶς ἐπιγράψομεν ὄνομα.

II Αἰμιλιανός: cf. Π 491,9 |πατριάρχης Ἀντιοχείας: cf. Todt 2001,261 ‖ **7** τοῦ – ἡμῶν: Constantinus X Ducas (imperator: 23/24.XI.1059 – 22/23.V.1067) (Π XVIII)?

39 αὐξάνουσα P S: αὔξουσα L ‖ **ep. 2** P 199v, A 40v; tit. P S: πρὸς τὸν πατριάρχην Ἀντιοχείας A ‖ **3** ἵνα – ἔχοντες P S: ἵνα δὲ μὴδὲ τούτῳ τὸ ἔλαττον ἔχομεν A ‖ **5** ἐντυγχάνωμεν P S: ἐντυγχάνομεν A ‖ **6** ἁγιωτάτη A: ἡ ἁγιωτάτη P S ‖ **7** φιλτάτου καὶ καλλίστου P S: καλλίστου καὶ φιλτάτου A **8** τούτῳ P A: τούτοις S ‖ **11** ἡ μὲν – ἐλάττων P S: om. A ‖ **12** ἀντανισάσομεν P S: ἀντανισάσαιμεν A ‖ **13–14** ἑαυτοῖς – ἐπιγράψομεν P S: ἐν τοῖς καθαροῖς ἐπιγραψόμεθα A

3. Τῷ πατριάρχῃ Ἀντιοχείας ⟨τῷ Αἰμιλιανῷ⟩

K-D 88 [L]

Ἐμοὶ ἀντὶ παντὸς μύρου καὶ ἀρώματος ἀρκεῖ τὸ τῆς σῆς ψυχῆς πνευματικὸν καὶ θυμῆρες θυμίαμα. Καὶ ὁπόταν δή μοι τὰ ἐνταῦθα ἐπιλίπῃ μῦρα, ἀποχρῶσά μοι εὐωδία ἡ μνήμη τῆς σῆς τελειότητος γίνεται· «μῦρον» γάρ φησιν ὁ Σολομὼν «ἐκκενωθὲν ὄνομά σου». 5

Κατὰ τοῦτον οὖν τὸν τρόπον, ἐγκρατής εἰμι τῆς ἀρωματοφόρου καὶ εὐδαίμονος Ἀραβίας· ὁ γὰρ τὸν Νεῖλον ἔχων, ἔχει καὶ τὰς πήχεις τῶν ἀναβάσεων. Τὴν δὲ Ἀντιόχειαν, τὰ πρῶτα μὲν τῶν εὐδαιμόνων τίθεμαι πόλεων, ὅτι σὲ τὴν ἱερὰν ἐκληρώσατο κεφαλήν, καθ' ἧς στάζει τὸ πνευματικὸν μῦρον ἄχρι πώγωνος καὶ 10 ἐνδύματος· ἀποδύρομαι δὲ αὖθις, ὅτι πάλαι μὲν πηγὰς εἶχεν ἡδίστων ναμάτων, καὶ πυροφόρος ἦν εἰ καί τις ἄλλη τῶν πόλεων, εὐώδεσί τε δένδροις ἐκόμα, καὶ καρπὸς ἦν αὐτῆς τὰ ἀρώματα, νῦν δὲ οὐδὲ φίλου λιτότητι ἐξαρκεῖ. Εἰ δὲ μηδὲ τὴν σὴν εἶχεν ἱερὰν

1–2 ἀντὶ – θυμίαμα: cf. Psel. Theol. II 29,21–22 πρὸς τὴν ψυχὴν ἔχουσα, ἐξ ἧς ἡ τοῦ πνευματικοῦ μύρου εὐωδία ἀτμοειδῶς ἄνεισι et Π 385,10 ‖ **1–5** ἐμοὶ – σου: Cant. 1,3 καὶ ὀσμὴ μύρων σου ὑπὲρ πάντα τὰ ἀρώματα, μύρον ἐκκενωθὲν ὄνομά σου. cf. Psel. Ἑρμηνεία τοῦ Ἄισματος … πρὸς τὸν … Μονομάχον = Poem. 2,877–879 ‖ **6–7** ἀρωματοφόρου (Ἀραβίας): cf. Ioann. Chrys. In epistulam i ad Timotheum, Hom. 17,3 (PG 62 96,37–38) ἐν δὲ τῇ ἀρωματοφόρῳ Ἀραβίᾳ cum Psel. Theol. II 29,19–22 'ἐκ τοῦ χρυσίου τῆς Ἀραβίας'. ἀρωματοφόρος ἡ γῆ αὕτη καὶ ἀναλογίαν πρὸς τὴν ψυχὴν ἔχουσα, ἐξ ἧς ἡ τοῦ πνευματικοῦ μύρου εὐωδία ἀτμοειδῶς ἄνεισι et Π 111,249 ‖ **7** εὐδαίμονος Ἀραβίας: Eurip. Βάκχαι 16 Ἀραβίαν τ' εὐδαίμονα, iunctura saepissime laudata; cf. Π 318,10 ‖ **7–8** ὁ γὰρ – ἀναβάσεων: de Nilo cf. Psel. Omn. doctr. 176 (Περὶ τῆς τοῦ Νείλου ἀναβάσεως) et 177 (Διατί μόνος ποταμῶν ὁ Νεῖλος αὔρας οὐκ ἀναδίδωσι). cf. etiam Π 17,9–11 et Π 108,14 ‖ **10–11** καθ' ἧς – ἐνδύματος: Ps. 132,2 ὡς μύρον ἐπὶ κεφαλῆς τὸ καταβαῖνον ἐπὶ πώγωνα, τὸν πώγωνα τὸν Ἀαρών, τὸ καταβαῖνον ἐπὶ τὴν ᾤαν τοῦ ἐνδύματος αὐτοῦ, cf. Psel. Ἐπιτάφιος εἰς … Ἰωάννην τὸν Ξιφιλῖνον = Or. fun. I 3,19,33–34, Εἰς … Κωνσταντῖνον τὸν Μονομάχον = Or. pan. 1,170–171, et Ἑρμηνεία τοῦ Ἄισματος … πρὸς τὸν … Μονομάχον = Poem. 2,374–375

ep. 3 L 43r–v; tit. scripsi: τῷ πατριάρχῃ Ἀντιοχείας L K-D ‖ **12** πυροφόρος corr. K-D: πυρφόρος L

15 ψυχήν, τὸ τῆς ζωῆς ὄντως ξύλον, ἐν μέσῳ ταύτης πεφυτευμένην, οὐ παντάπασιν ἦν ἀκλεής, ἄκαρπος τοῖς ἄλλοις τυγχάνουσα;

Ἀρ' οὖν, ἱερὰ καὶ θεία μοι κεφαλή, ὥσπερ δὴ τῶν ἀρωμάτων ἐνδεῶς ἔχεις, οὕτω δὴ καὶ τῶν γραμμάτων; Ἀλλὰ μὴ τοσοῦτον αὐτὸς δυστυχήσαιμι. Πρὸ τοῦ μὲν οὖν, ἐφοίτων παρὰ σοῦ γράμ-
20 ματα καὶ ἀρώματα, καὶ δύο μοι αὐτόθεν ἐπωχετεύοντο ποταμοί. Νῦν δὲ τί; ἀμφοῖν στερηθήσομαι; Μὴ οὕτω μοι τὰ τῆς τύχης μεταβληθείη.

Ἐρρέτω μὲν οὖν μοι τὰ ἀρώματα, καὶ λόγος τούτων οὐδείς· ἐπικαχλαζέτω δέ μοι ὁ τῶν ἐπιστολῶν ποταμός. Περιττὰ δὲ καὶ
25 φιλότιμα γράμματα οὔτε αὐτὸς ἴσως ἐπίσταμαι γράφειν, οὔτε παρ' ἄλλων γραφόμενα ἡδέως ἐπέρχομαι. Ἀρκεῖ δέ μοι τὸ λεπτὸν τῆς συνθήκης ἄνθος, καὶ τὰ συνήθη τῶν ὀνομάτων καὶ σύντροφα, καὶ τὰ σύμβολα τῶν τοῦ ἐπιστέλλοντος ἠθῶν, τοῖς γράμμασιν ἐμφαινόμενα.

30 Ὥσπερ οὖν ἀφελῶς ὡμίλεις καὶ τὸ ὅλον πνευματικῶς, οὕτω δὴ καὶ καθαρῶς γράφοις, καὶ τὸ σύμπαν ἱερατικῶς. Τῶν δὲ μουσικῶν ὀνομάτων ἄλλοις παραχωρήσομεν· τὴν γὰρ ἀκμὴν τῆς ἡλικίας καταλελυκώς, καὶ τὴν ἐπὶ τούτοις φιλοτιμίαν συγκαταλέλυκα. Ἀκροτελεύτιον δέ σοι τοῦ γράμματος, τοῦτο: ἐπιστέλλοις
35 ἡμῖν, καὶ ὅπως ἂν βούλοιο ἐπιστέλλοις.

15 τὸ τῆς ζωῆς ... ξύλον: Gen. 2,9 τὸ ξύλον τῆς ζωῆς ἐν μέσῳ τῷ παραδείσῳ etc., locus in Psello saepe laudatus; cf. e.g. Psel. Τί ἐστι τὸ ξύλον τῆς ζωῆς ...; = Theol. II 20, Π 84,5, Π 127,22, Π 154,3, Π 162,28, et Π 504,11–12 ‖ **17** ἱερὰ – κεφαλή: cf. Greg. Naz. Εἰς τὸν μέγαν Βασίλειον ... = Or. 43,82 ὦ θεία καὶ ἱερὰ κεφαλή. cf. Psel.Ἐγκώμιον εἰς ... Νικόλαον μοναχὸν ... = Or. fun. I 10,33,1, Π 166,1–2 et Π 250,1 ‖ **24–25** περιττὰ – γράμματα: cf. Greg. Naz. Λόγος θεολογικὸς πέμπτος, περὶ τοῦ Ἁγίου Πνεύματος = Or. 31,21 τοῦ μὴ δοκεῖν εἶναι περιττοί τινες, μηδὲ φιλοτιμότεροι τοῦ δέοντος et Περὶ τῆς ἐν διαλέξεσιν εὐταξίας = Or. 32,33 τὰς μὲν περιττὰς καὶ ἀχρήστους φιλοτιμίας χαίρειν ἐάσατε. cf. Psel. Ἐξήγησις τελεωτέρα περὶ τοῦ λείμματος = Phil. min. II 6 (11,31–32) ἔχεις οὖν αὐτάρκως παρ' ἡμῶν, ὦ φιλότης, εἰ μή τις ἂν εἴποι καὶ φιλοτίμως καὶ περιττῶς, τὸν περὶ ὧν ἐζήτησας λόγον, et Π 230,25 περιττὸν καὶ φιλότιμον

34 ἀκροτελεύτιον L: ἀκροτελευτήριον K-D e quo falsum LBG lemma

4. Τῷ πατριάρχῃ Ἀντιοχείας ⟨τῷ Αἰμιλιανῷ⟩

K-D 134 [L]

Πάλαι ποτὲ ἔγραφες πρὸς ἡμᾶς. Καὶ νῦν μὲν ἐπυνθάνου περὶ τῶν αὐτόθι πραγμάτων, ὅτι δή σοι πρακτέον· νῦν δὲ καὶ παρ' ἡμῶν ἐζήτεις τὸ τῇ κοινῇ φιλίᾳ λυσιτελές. Ἀλλὰ νῦν, ὥσπερ καὶ τῶν αὐτόθι κυμάτων ἠρεμησάντων, καὶ ἡμῶν ἐπιλελησμένων τῆς σῆς ἀλήστου καὶ θαυμασίας ψυχῆς, ἧς μόνης καὶ ἐν ᾅδου μεμνήσομαι, 5 τῆς προτέρας ἐπελάθου περὶ ἡμᾶς διαθέσεώς τε καὶ ὑπολήψεως, οὔτε γράμμασι χρώμενος, οὔτε ταῖς δι' αὐτῶν ἐρωτήσεσιν.

Ἐγένετο δέ τις ἀνὴρ ἐν τοῖς καθ' Ἕλληνας χρόνοις (Σωκράτης τούτῳ τὸ ὄνομα), φιλόσοφος καὶ τὴν γλῶτταν καὶ τὴν ψυχήν, ὃς τοσοῦτον φιλανθρωπίας ἥττητο, ὅτι αὐτὸς ἐδίδου τοῖς προσπελά- 10 ζουσιν ἀφορμὰς ἐρωτήσεων καὶ μαθήσεων. Τοῦτον δή σοι κἀγὼ μεμίμημαι ἀκριβῶς. Καί σε ἀνερωτῶ: εἰ ἀκυμάντῳ χρῆσαι τῷ πλῷ· εἰ προσέσχες λιμέσιν εὐδίοις· εἰ μηδὲν ὑποπτεύεταί σοι πνεῦμα ἔαρος ἢ θέρους, ἀπὸ τῆς ὑψηλῆς ἄρκτου ἢ ἀπὸ τῶν μέσων τροπῶν· καὶ εἰ σταθηρά σοι τὰ τῆς εὐδίας ἀλλὰ μὴ κάτωθεν ἡ 15 θάλασσα βρέμει.

Εἴη μὲν οὕτω σοι ξύμπαντα καὶ μηδὲν προσβάλλοι τῶν ἀδοκήτων. Εἰ δ' ὥσπερ ὑετοῦ καταρρυῆναι μέλλοντος, νέφη συνίσταται, ἤ κλύδωνος ἐγερθῆναι, μέλαν χρῶμα ἡ θάλασσα ὑποδύεται, καὶ προσαφρίζει τοῖς κύμασιν, οὕτω σοι πρηστήρων 20 ὑποπτευομένων καὶ κεραυνῶν, γνωρίσματά τινα τοῦ κακοῦ προσημαίνεται, σκεπτέον σοι καὶ ἀκριβῶς βουλευτέον, πότερον

5 ἐν ᾅδου μεμνήσομαι: Hom. Il. 22,389–390 εἰ δὲ θανόντων περ καταλήθοντ' εἰν Ἀΐδαο / αὐτὰρ ἐγὼ καὶ κεῖθι φίλου μεμνήσομ' ἑταίρου cum Synes. Cyren. Epist. 123,2 et 124,2; cf. Π 25,36–37, Π 42,50, et Π 209,51–52 ‖ **8–11** ἐγένετο – μαθήσεων: cf. Procl. In Alc. 81,2–7 λέγομεν τοίνυν ὅτι τὸ ἀγαθοειδὲς τῆς τοῦ Σωκράτους ζωῆς καὶ τὸ κοινὸν καὶ τὸ φιλάνθρωπον καὶ τὸ ἐκκεχυμένον, ὡς αὐτός πού φησι, περὶ τὴν μετάδοσιν τῶν ἀγαθῶν οὐκ ἐδεῖτο τῆς ἐκ τοῦ δαίμονος προτροπῆς, ὥρμητο γὰρ ἀφ' ἑαυτοῦ καὶ πᾶσι παρεῖχεν ἑαυτὸν ἕτοιμον εἰς τὴν κοινωνίαν τῆς ἀρίστης ζωῆς ‖ **14** τῆς – ἄρκτου: cf. e.g. Arist. Μετεωρολογικά 354a31–32 ποιεῖν νύκτα διὰ τὸ ὑψηλὴν εἶναι πρὸς ἄρκτον τὴν γῆν

ep. 4 L 63v–64r; tit. scripsi: τῷ πατριάρχῃ Ἀντιοχείας L K-D ‖ **13** εἰ[1] corr. Polemis: ἢ L K-D

ἀντιβλεπτέον σοι πρὸς τὴν τῶν ἀντικειμένων φοράν, ἢ πέτρας ὑποδυτέον ὀπὰς καὶ ὅπῃ δὴ κεραύνιον οὐκ εἰσελεύσεται πῦρ.

25 Ἐγὼ μὲν οὖν βουλοίμην ἀλλὰ καὶ πολλάκις εὐξαίμην θεῷ, αἰθρίαν ἡμῖν τοῦ ἐφεστῶτος ἐφαπλοῦσθαι, ἵν' ὥσπερ δυσθανατοῦντες, βραχύ τι διαναπνεύσωμεν. Εἰ δ' ἄλλως ἔχει ὁ τῆς θειοτέρας διοικήσεως ὅρος, ἀλλ' οὐκ ἂν ἐθελήσαιμι ἐπὶ σοὶ συνεισπνεῦσαι τὰ πνεύματα. Πλήν, εἰ μὲν οὕτως ἡ ναῦς συμπέπηκται, ὡς μηδ' 30 ὁτιοῦν παθεῖν, πάντοθεν τοῦ κακοῦ ἐπεισφρήσαντος, ἔχου τῶν οἰάκων καὶ μὴ μεθίστασο τῆς πρύμνης· λήξει γάρ ποτε πάντως τὰ κύματα. Εἰ δέ σοι προτονίζει τοῦ κακοῦ ἡ ὁλκὰς (λέγω δὲ αἰνιττόμενος), καὶ οὐ πάνυ τι συμβληταὶ αἱ σανίδες τῇ τρόπιδι, καλῶς ἂν ἔχοι βουλεύσασθαι περὶ σαυτοῦ συμφερώτερον. Ἐγὼ μὲν γὰρ 35 οὐδὲν τῶν δυεῖν φανείην ἀποφανούμενος, ταῖς τῶν μελλόντων τύχαις ἀμφίβολος ὤν. Καὶ ἅμα οὐδ' ἐγγύς εἰμι τοῦ δεινοῦ, ἵν' ἀκριβῶς ἴδοιμι τὸ νέφος. Σὺ δ' οὐδὲν ἔχεις τοιοῦτον ἐρεῖν· καὶ δεῖ τὰ συνοίσοντα προγνῶναί τε καὶ βουλεύσασθαι.

Ταῦτά σοι μὴ ἐρωτήσαντι· εἰ δ' ἐπεκδιδάξεις τὰ πράγματα, 40 ἀποκρινοῦμαί σοι κάλλιον.

5. Τῷ αὐτῷ

Τῷ πατριάρχῃ Ἀντιοχείας ⟨τῷ Αἰμιλιανῷ⟩

K-D 135 [L]

Εἰ μὲν οὕτω ποιεῖς, ὑπέρτιμε δέσποτά μου, ὥσπερ οἱ τοῖς δρομεῦσι μονονουχὶ πετομένοις τῷ δρόμῳ ἐπεμβοῶντες καὶ τρόπον τινὰ διεγείροντες, οὕτω δὴ καὶ αὐτὸς ὅλῃ με γλώσσῃ, ὅλαις χερσίν, ὅλαις δυνάμεσι τῶν σοι προσηκόντων 5 ἀντιποιούμενον, καὶ μόνον πᾶσιν ἀντιτιθέμενον, καὶ τὰς ἁπάντων ψήφους μιᾷ τῇ ἐμῇ νικῶντα, παροτρύνων καὶ διερεθίζων τῷ γράμματι, δέχομαι ἡδέως τὸν λόγον· καὶ οἷον ἐπὶ μᾶλλον

26–27 ὥσπερ δυσθανατοῦντες: Synes. Cyren. Κατάστασις 2,1,20 ὥσπερ ζῷον δυσθανατοῦν. cf. Π 27,3 et Π 442,32 ‖ **32** εἰ δέ – ὁλκὰς: cf. Synes. Cyren. Epist. 5,201–202 ἡμεῖς ᾠόμεθα προτονίζειν τὴν ναῦν

24 κεραύνιον corr. K-D: κεραύνειον L ‖ **36** δεινοῦ corr. Polemis: δεῖνα L K-D
ep. 5 L 64r–65v; tit. L K-D

ψυχούμενος, τοὺς ἀντιπίπτοντάς σοι (τὸ τοῦ Δαυῒδ φάναι) «κερατιῶ». Εἰ δ' ὡς κατωλιγωρηκότα τῶν καθηκόντων παρακαλεῖς πρὸς τὴν τῶν σῶν καὶ προστασίαν καὶ ἐπιμέλειαν, 10 αὐτὸ δή μοι τὸ κεφάλαιον τῶν ὑπὲρ σοῦ ἀγώνων ἠγνόηκας.

Ἐγὼ δὲ οὐκ ἐν παραβύστῳ τῶν κατὰ σὲ πραγμάτων ἀντέχομαι· οὐδ' ἐν μυωξίαις καθήμενος παραφθέγγομαι· οὐδ' ὡς ἀφοσιούμενός σοι τὴν φιλίαν ἅπαξ ὑπὲρ τῶν σῶν εἰρηκώς, αὖθις ἀσπάζομαι τὴν σιγήν· οὐδὲ τῶνδε μὲν ἀντέχομαι καὶ γενναίως 15 προΐσταμαι, ἑτέρων δέ σοι μερῶν καταφρονῶ, ὥσπερ αὐτὸς παρηνίξω, τὸν περὶ τῶν μοναχῶν ζῆλον ὁμοίως καὶ περὶ τῶν ἄλλων ἀναδέξασθαί με ἀξιῶν.

Ἀλλ' ὥσπερ οἱ λοχαγοὶ οὐ τῶν δευτεροστατῶν μόνον, ἀλλὰ καὶ τῶν ἡμιλοχιτῶν καὶ τῶν οὐραγῶν προεστήκασιν, οὕτω δή σοι 20 τῶν ὅλων ὑποθέσεων προηγώνισμαι, οὐκ ἀφανῶς προλοχίζων, ἀλλ' αὐτὸ δὴ τοὐμόν, ἔναντι βασιλέων παρρησιαζόμενος, καὶ πλέον ἢ δεῖ, ὑπὲρ τῆς σῆς ἀρχιερατικῆς τελειότητος, ἐκθύμως ἀγωνιζόμενος. Καί γε θαυμάζω εἰ, τοσαῦτα βροντῶντος περὶ σοῦ καὶ ἀστράπτοντος, οὐ μέχρις Ἀντιοχείας διήρκεσαν οἵ τε ⟨τῶν⟩ 25 βροντῶν ἦχοι καὶ αἱ τῶν ἀστραπῶν ἐλλάμψεις. Ὅτι μὲν γὰρ καὶ τὰ παρὰ τῆς ἰσοθέου σου ψυχῆς πρὸς ἡμᾶς γιγνόμενα καὶ τελούμενα τοὺς τῆς φιλίας θεσμοὺς ἀκριβοῖ, οὐδ' αὐτὸς ἀγνοῶ. Ἀλλ' οὐδὲ τὰ παρ' ἡμῶν τούτων ἠλάττωται· ἀλλ' ὃν ἐκεῖνα κανόνα ἐν ἑαυτοῖς σώζει, τὸν αὐτὸν δή που καὶ τὰ ἡμέτερα. Ἐχρῆν δὲ 30 πάντως, τὰ μὲν σὰ μείζω τε εἶναι καὶ ἐκ μειζόνων, τὰ δ' ἡμέτερα ἐλάττονα καὶ ἀπ' ἐλαττόνων.

Γέγραφα δὲ ταῦτα, οὐ (νὴ τὴν ἱεράν σου ψυχήν!) κομπάσαι βουλόμενος ἐπὶ τούτοις· ἀλλ' ἵνα γνῴης, ὅτι σοι τὴν αὐτὴν αἰδῶ καὶ παρόντι καὶ ἀπόντι μετ' εὐλαβοῦς τοῦ σχήματος δίδωμι, καί 35 σοι τὰ ὡμολογημένα ἀποτιννύω, καὶ τὰς σπονδὰς οὐκ ἠθέτηκα,

8–9 τοὺς ἀντιπίπτοντάς – κερατιῶ: Ps. 43,7 ἐν σοὶ τοὺς ἐχθροὺς ἡμῶν κερατιοῦμεν ‖ **13** οὐδ' – παραφθέγγομαι: cf. Psel. Πρὸς τοὺς βασκήναντας αὐτῷ τῆς τοῦ ὑπερτίμου τιμῆς = Or. min. 9,28–29 κἀγὼ μὲν ἐπὶ μεῖζον αἴρομαι καὶ πτερύσσομαι, ὑμῖν δὲ αὖθις αἱ μυωξίαι ἡ συνήθης καταφυγή **19–20** οἱ – προεστήκασιν: cf. Psel. Περὶ πολεμικῆς τάξεως 121,1–5, Ὅτε παρῃτήσατο τὴν τοῦ πρωτοασηκρῆτις ἀξίαν = Or. min. 8,41–50, et Εἰς δύο … τῶν μαθητῶν … λογογραφήσαντας … = Or. min. 20,3–7

16 σοι : σου corr. Diam 304 ‖ **25** τῶν add. Polemis

ἀλλ' ὃν ἐκεράσαμεν ἄμφω τῆς ὁμονοίας κρατῆρα, πλήρη ποιῶ ταῖς ἐπιρροαῖς.

Ἐπεὶ δὲ τὸν ὑπὲρ σοῦ λόγον πεπλήρωκα, πρὸς σὲ ἤδη διαμα-
40 χέσομαι· ἀπ' εὐνοίας μέντοι γε καὶ (ἵν' εἴπω θαρρήσας) ἐμφύτου χρηστότητος, καί σου τοὺς συνδέσμους καὶ τὰς ἐπιπλοκὰς διαλύσομαι. Ἀπολογούμενος γοῦν αὐτὸς ὑπὲρ τοῦ μὴ ἐπιστέλλειν ἡμῖν πυκνότερον, αἰτίαν ἀποδέδωκας τὸ μὴ δύνασθαι κατ' ἶσον ἡμῖν δημιουργεῖν τὰς ἐπιστολάς. Τοῦτο δέ ἐστι, βελτίστη καὶ φιλτάτη
45 ψυχή, ὀλιγωρίας προκάλυμμα· ἔδει γάρ σε μηδὲ διὰ γλώσσης ἡμῖν ὁμιλεῖν, ἀλλὰ σιωπᾶν ἐξεπίτηδες ὅτι Πλατωνικοὶ μὲν ἴσως ἡμεῖς, σὺ δὲ τῆς εὐαγγελικῆς ἁπλότητος. Ἐγὼ δέ, εἰ καὶ σοφὸς ἴσως τυγχάνω γενόμενος, ἀλλ' οὐ πάντοτε, οὐδὲ πρὸς πάντας ἀττικίζειν προῄρημαι. Ὅταν δὲ καὶ μᾶλλον θείοις ἀνδράσι βεβού-
50 λημαι ὁμιλεῖν, ἀπὸ τῶν αὐτῶν κρατήρων ἐξάγω τοὺς λόγους, ἀφ' ὧν κἀκεῖνοι συνήθως προενεγκεῖν διαμεμελετήκασι.

Τί δέ, εἰ καὶ καλλίων ἐγὼ σοῦ τὴν γλῶσσάν εἰμι; Σοὶ γὰρ οὐκ ἀρκεῖ τὰ λοιπά, ἢ ἀνθ' ἑνὸς πάντα; Ἡ προσεγγίζουσα ψυχὴ τῷ θεῷ; Ἡ κατ' ἀρετὴν τελείωσις; Τἆλλα (ἵνα μὴ λέγω καθ'
55 ἕκαστον); Εἰ δὲ σὺ μὲν διαχειρίζεις τὸν Λόγον αὐτόν, ἐγὼ δὲ λογύδριά τινα διαμελετῶ, διὰ ταῦτα φθονήσεις ἡμῖν, καὶ τὴν γλῶτταν ἐφέξεις, καὶ τῇ σιωπῇ ἀμυνεῖς; Ἀλλ' ἐγώ σε μεταχειριοῦμαι τρόπον ἕτερον. Καὶ τοὺς τῆς ἐμῆς γλώττης ἀποσβέσας πυρσούς, σκυθιστὶ ἢ τὸ ὅλον (εἰπεῖν) ἐπιστελῶ σοι βαρβαριστί.
60 Καὶ μιμήσομαι τοὺς ἐπὶ τῶν οἰκίσκων στρουθούς. Ὁ γοῦν αἰγίθαλος (φθέγξομαι δὲ πάντως πρὸς εἰδότα τὰ παλαιὰ παιδικά), ἐπειδὰν ἴδοι ἑτερογενὲς ζῷον ὑπερπετόμενον, τὴν ἐκείνου φωνὴν φθέγγεται· καὶ πλανώμενον τοῦτο ἐφέλκεται. Ἀξιολογώτερος γοῦν ἐγώ σοι τοῦ αἰγιθάλου φανήσομαι· καί σου τὴν φωνὴν
65 παντοδαπῶς ἐπισπάσομαι.

Πότε δὲ καὶ σοφιστὴς ἡμῖν ἀναπέφηνας καὶ δεινὸς τὰς ἀπολογίας; Καὶ οὗ μὲν γράφειν χρεών, ἀτεχνίαν ὑποκρίνῃ ἐπιστολῶν· οὗ δὲ ζημιοῦν ἡμᾶς προαιρῇ, σοφὸς εἶ τὰς ἐννοίας. Ἐγὼ δὲ

63–64 ἀξιολογώτερος ... τοῦ αἰγιθάλου: proverbium, cf. CPG II 259 (nr. 76) αἰγιθάλου τολμηρότερος

39–40 διαμαχέσομαι corr. K-D: διαμαχεύσομαι L

ἐβουλόμην σε καὶ ἐπιστέλλειν μετ' εὐτελείας, καὶ ἀποστέλλειν μετὰ δαψιλείας· καὶ μὴ γελάσειας ἐπὶ τοῖς παρίσοις τούτοις ῥήμα- 70 σιν, ἵν' ἔχω τι πλέον προστιθέναι. Ἐπεὶ δέ με καὶ λογοπώλην πεποίηκας, καὶ οὐκ ἐμιμήσω τοὺς Ἀθηναίους περὶ τὸν Κίμωνα (ἐκεῖνοι γὰρ ἵνα τῆς φωνῆς αὐτοῦ μὴ ἀκούοιεν, ἀπήλασαν τῆς πατρίδος· σὺ δὲ ἵνα τῆς ἐμῆς γλώττης ἀκούοις, πάντα δὴ προτί- θης τὰ σά), ἰδού σοι ταυτηνὶ πέπρακα τὴν ἐπιστολήν, ὥσπερ τινὰ 75 θεραπαινίδα τῶν εὐγενῶν, ἢ τῶν ἐκ Σικελίας, ἢ Λυδίας, ἢ τῶν πολυχρύσων Φρυγῶν. Πόσου ταύτην ὠνῇ; ἐγὼ γὰρ ἐπικηρύττω δαρεικῶν μυρίων· εἰ δ' οὖν, στατήρων χιλίων· ἐπιμήκης τε γὰρ καὶ κεκόσμηται καὶ φυσικῷ κάλλει καὶ ἐπεισάκτῳ.

Ἀλλ' ἴσθι, ὅτι πολλῶν μοι τοιούτων πεπλήρωται ἡ σκηνή· καὶ 80 οὐκ ἀρκέσεις διδούς, οὐδ' εἰ τὰ Μίδου χρήματα ἔχοις. Οἶσθ' οὖν ὅ τι ποιήσεις; Οὔ σοι φθονήσω τοιούτων χαρίτων. Ἀλλ' ἀφεὶς τὴν ἐπὶ ταῖς κόραις ὀφρῦν, οὐ μίαν ταλάντων πολλῶν, ἀλλὰ πολλὰς ἑνὸς ἀπεμπολήσω κοδράντου. Εἰ δὲ βούλει (ὁρῶ γάρ σε καὶ περὶ τοῦτο φειδωλὸν τὼ χεῖρε), ἀποχαριοῦμαί σοι, ὁπόσας αὐτῶν 85 βούλει· καὶ χρῶ ταύταις ὡς λογικοῖς ἐντρυφήμασι. Σὺ δ', ἀντὶ πασῶν, μίαν μοι φωνὴν ἐπὶ τοῦ ἱεροῦ βήματος, μᾶλλον δὲ θύματος, ἀναπέμποις θεῷ· ἧς οὐ τιμῶμαι πᾶν ὁτιοῦν.

6. Πρὸς πατριάρχην Ἀντιοχείας

⟨τὸν Αἰμιλιανόν⟩?

G 22 [F]

Ἡ τῶν γραμματηφόρων οἰκειότης, ἰσάγγελλε τῷ ὄντι καὶ

69 ἐπιστέλλειν μετ' εὐτελείας: cf. Thuc. 2,40 φιλοκαλοῦμέν τε γὰρ μετ' εὐτελείας ? ‖ **71** λογοπώλην: cf. Philostr. Βίοι σοφιστῶν I,22 (526,19–20) Λολλιανὸς οὐκ ἔστιν ἀρτοπώλης, ἀλλὰ λογοπώλης ? ‖ **72–74** ἐμιμήσω – πατρίδος: Ael. Arist. Πρὸς Πλάτωνα ὑπὲρ τῶν τεττάρων 158,17–28 **76–77** τῶν πολυχρύσων Φρυγῶν: Eurip. Ἑκάβη 492 οὐχ ἥδ' ἄνασσα τῶν πολυχρύσων Φρυγῶν ‖ **81** Μίδου χρήματα: locutio proverbialis; cf. Π 541,21 **83–84** πολλὰς – κοδράντου: cf. Marc. 12,42 καὶ ἐλθοῦσα μία χήρα πτωχὴ ἔβαλεν λεπτὰ δύο, ὅ ἐστιν κοδράντης

70 μὴ corr. Polemis: μοι L K-D ‖ **74–75** προτίθης corr. Polemis: προστίθης L K-D ‖ **ep. 6** F 16r–17v; tit. scripsi: τοῦ Ψελλοῦ πρὸς πατριάρχην Ἀντιοχείας F πρὸς πατριάρχην Ἀντιοχείας G

ἱερώτατε δέσποτα, μυρίοις καίτοι ἐνασχολουμένους ἡμᾶς πράγμασι, σιγῆσαι οὐκ εἴασεν· ἀλλὰ καὶ γραφῆς ἅψασθαι, καὶ προσαγορεῦσαι τὴν σὴν τιμιότητα, καὶ τὰ καθ' ἡμᾶς σαφῶς
5 διατρανῶσαι τῇ τῆς σοφίας ὁμοῦ καὶ συνέσεως πεπληρωμένῃ ψυχῇ σου ἀνέπεισεν. Ἴσθι τοιγαροῦν, ἀσύγκριτε τὰ πάντα καὶ ἁγιώτατε δέσποτα, ὑγιαίνειν ἡμᾶς μέχρι τοῦ νῦν καὶ εὐθυμεῖν, μεμνημένους πλέον τῆς σῆς μακαριότητος ἢ τὸν ἀέρα τοῦτον ἀναπνέοντας, καὶ τὰς θεοπειθεῖς εὐχάς σου ἐπικαλεῖσθαι
10 πανταχοῦ, καὶ ἐπιποθεῖν κατ' ὄψιν τὸν ἡμέτερον δεσπότην ἰδεῖν, καὶ τῆς τῶν σοφῶν σου λόγων ἀκηράτου πηγῆς ἐμφορηθῆναι εἰς κόρον, ἧς διαπύρως ἐρῶμεν ὡς ἁγιασμοῦ μεταδοτικῆς καὶ καθάρσεως.

Ἀλλ' ἐπεὶ τοῦτο οὐ κατὰ γνώμην ἡμετέραν χωρεῖ, ἀπάγει δὲ
15 ἡμᾶς πρὸς τὸ παρὸν τοῦ τοσούτου ἀγαθοῦ τὸ μεταξὺ ἑκατέρων διάστημα, κἂν γοῦν τὸ εὐχερές τε καὶ ῥᾴδιον, ταῖς μελισταγέσι καὶ ἡμῖν ἐρασμιωτάταις γραφαῖς σου ἡδύνειν ἡμᾶς ὅτε δίδωσιν ὁ καιρός, μὴ ὑπερτίθεσο, σεβασμιώτατε· ἔσται γὰρ δὴ καὶ ἡμῶν παραψυχή, εἰ συνεχῶς ἐνωτιζοίμεθα ἄρτιον συντηρεῖσθαι τὸν ἐν
20 λόγοις γενναῖον, τὸν ἐν ἤθει τοῦ τρόπου χρηστόν, τὸν κάλλει παντοίων ἀρετῶν διαλάμποντα, τὸν ἐν πᾶσι πλεονεκτήμασι θείοις πάντας νικῶντα καὶ ὑπερβάλλοντα. Ἀλλὰ καὶ ἐν μέρει τῶν πρὸς θεὸν εὐπροσδέκτων σου ἐντεύξεων, καὶ ἡμῶν, παρακαλῶ, μνημόνευε, τιμιώτατε· εἰς τοῦτο γὰρ ἐτάχθης θεόθεν, θεοειδέστατε, καὶ
25 τοῦτο καὶ κεκλήρωσαι: τὸ ὑπὲρ πάντων ἐκλιπαρεῖν τὸ θεῖον, κατεξαίρετον δὲ ὑπὲρ ἡμῶν τῶν δουλικὴν εὔνοιαν καὶ εὐγνώμονα στοργὴν καὶ πίστιν ἀνυπόκριτον κεκτημένων πρὸς τὴν παντὸς ἐπαίνου καὶ τιμῆς ὑπερκειμένην σου μεγαλόνοιαν, καὶ ἐπὶ ταῖς ἁγίαις σου πεποιθότων εὐχαῖς.

2 ἐνασχολουμένους corr. G: ἐνασχολουμένοις F ‖ **9** ἀναπνέοντας corr. G: ἀναπνέοντες F ‖ **12** διαπύρως corr. G: διὰ πύρος F | μεταδοτικῆς corr. G: μεταδοτικὴν F ‖ **25** κεκλήρωσαι corr. G: κλήρωσαι F ‖ **26** κατεξαίρετον F: κατεξαιρέτως corr. G | ἡμῶν corr. G: τῶν ἡμῶν F ‖ **29** αἷ καὶ χάρις post εὐχαῖς add. in marg. F: om. G

7. Τῷ πατριάρχῃ Ἀντιοχείας ⟨τῷ Αἰμιλιανῷ⟩

K-D 138 [L]

Σὺ μὲν οἴει, θεοτίμητε δέσποτά μου, διὰ τῆς μιᾶς ἧς πέπομφας πρὸς ἡμᾶς ἐπιστολῆς, τοῦ παντὸς χρόνου ἀπολογήσασθαι, ὁπόσον ἀλλήλους διέστησεν. Ἐγὼ δὲ καὶ τοῦτον τῇ κοινῇ φιλίᾳ παραμετρῶν, καὶ τὰς πρὸς ἀλλήλους συνθήκας συλλογιζόμενος, μυρίων εἰσπράττομαι χρέος ἐπιστολῶν. Ἀλλ' ἐρεῖς μοι, τί δήποτε, 5 μὴ καὶ αὐτοί, τοιούτοις ὄντες ὑπεύθυνοι χρέεσι, διὰ τὴν τῆς ἀγάπης ἰσότητα ὑπερεθέμεθα τὸν καιρόν, μή ποτε τὸ ὅλον ἀποτιννύντες διὰ παμμήκους γράμματος, μήτε κατὰ μέρος ἀποδιδόντες τὸ ὄφλημα; Τοῦτο δὲ ῥᾴδιον διαλύσασθαι.

Σὺ μὲν γὰρ πλήρης εἶ· καί σοι τὸ τῆς φιλίας βαλλάντιον 10 μεμέστωται ἀκριβῶς (λέγω δὲ τῆς πνευματικωτέρας καὶ κρείττονος). Ἐγὼ δὲ τῶν σῶν πηγῶν ἐνδεής. Διὰ ταῦτα πράκτωρ εἰμὶ ἀπαραίτητος τοῦ θαυμασίου τούτου ὀφλήματος. Καὶ ὥσπερ, σοῦ τῇ Πόλει ἐπιδημοῦντος, ἀπλήστως εἶχον τῆς ὁμιλίας, οὕτω δὴ καὶ τὴν Θεούπολιν ἔχοντος Ἀντιόχειαν, ἀκορέστως ἔχομαι τῶν σῶν 15 φιλικῶν προσφωνήσεων· εἰ γὰρ καὶ ἄγαλμά σε τῇ ψυχῇ περιφέρω, καὶ τοῖς νοεροῖς τῆς ψυχῆς κόλποις συμπεριείληφα, καί σε διὰ τῆς μνήμης ἀεὶ προχειρίζομαι, ἀλλὰ βούλομαί σε καὶ τοῖς ὀφθαλμοῖς ὁρᾶν καὶ τοῖς ὠσὶν ἀκούειν τὴν σὴν γλυκεῖαν φωνὴν διὰ τῶν γραμμάτων ἐνιέντος ἡμῖν. 20

Καινὸν δὲ οὐδέν, εἰ οἱ τολμητίαι μοναχοὶ τῆς τοῦ Θαυματουργοῦ μονῆς, ἀθρόως μεταβαλόντες, ᾐδέσθησάν σου τὸ μεγαλεῖον

16 ἄγαλμά – περιφέρω: Synes. Cyren. Epist. 123,7–8 τῆς ἱερᾶς σου καὶ γλυκείας ψυχῆς ἐπὶ μέσης καρδίας ἄγαλμα περιφέρω. cf. Π 209,53–54 ἤδη σε καὶ ἀγαλματοφορῶ ἐν τοῖς τῆς καρδίας θαλάμοις καὶ περιφέρω διαπαντός **17** τοῖς ... τῆς ψυχῆς κόλποις: iunctura Procliana? cf. Procl. Περὶ τῆς κατὰ Πλάτωνα θεολογίας 1,7,2–3 et 1,88,8 et In Parm. 628,19–20 ‖ **21–22** τῆς τοῦ Θαυματουργοῦ μονῆς: monasterion Symeonis Stylitae iunioris in monte Mirabili prope Antiochiam; cf. Cheynet 2013,415 cum ODB 2204

ep. 7 L 67r–v, F 17v–18v; tit. scripsi: τῷ πατριάρχῃ Ἀντιοχείας L K-D ὅμοιον τοῦ αὐτοῦ πρὸς αὐτὸν (= τοῦ Ψελλοῦ πρὸς πατριάρχην Ἀντιοχείας) F **3** ἀλλήλους L K-D: ἀλλήλους om. F | τοῦτον L K-D: τοῦτο F ‖ **5** μυρίων F: μυρίον L K-D | μοι F: om. L K-D ‖ **6** μὴ L K-D: om. F ‖ **7** μή ποτε L K-D: μήτε F ‖ **14** τῇ πόλει ἐπιδημοῦντος L K-D: ἐπιδημοῦντος τῇ πόλει F ‖ **19** τὴν σὴν γλυκεῖαν φωνὴν L K-D: τῆς φωνῆς F

τῆς φύσεως, καὶ τρόπον ἕτερον τοῦ θηριώδους ἠλλάξαντο· ἐκεῖνο
γὰρ ἂν ἦν θαυμαστὸν εἰ μέχρι πολλοῦ πρὸς τὴν σὴν ἀπηναισχυν-
25 τήκασιν ἀρχιερατικὴν τελειότητα, καὶ οὔτε σου τὰς ἀστραπάς,
οὔτε τὰς βροντὰς ἐδεδίεσαν· οὐκ ἦν δὲ εἰκὸς ἀνθρώπους ὄντας μὴ
καταπλήττεσθαι ταῖς ὑπερβολαῖς τῶν σῶν ἀρετῶν. Κηδεμονικὸν
δὲ τῷ ὄντι καὶ πνευματικόν, μὴ τοὺς θῆρας μόνον μεταποιεῖν (ἵνα
μὴ ἀπελαύνειν ἐρῶ), ἀλλὰ καὶ τῶν θρεμμάτων φείδεσθαι, καὶ νῦν
30 μὲν τῆς νοσερᾶς ἀπάγειν πόας, νῦν δὲ προσάγειν πηγαῖς, νῦν δ'
ἄλλο τι ποιεῖν τῶν ὅσα δύναται ταῦτα πληροῦν πνευματικῆς
ἀναπαύσεως.

Ἥκασι γοῦν πρός με καὶ οἱ τὴν βασιλίδα κατειληφότες
μοναχοί· καί μου πλεῖστα κατεδεήθησαν τυχεῖν ἐν καιροῖς ἀντιλή-
35 πτορος. Ὃ δὴ καὶ ὑπέσχημαι τούτοις κατὰ τὴν σὴν πρόσταξιν·
μὴ γὰρ φεισαίμην γλώττης ἐμῆς περὶ σοῦ λέγων, καὶ περὶ ὧν
αὐτὸς προστάττεις συνηγορεῖν. Ὥσπερ γὰρ αὐτὸς ἐποφείλεις ἐμοὶ
τὴν πατρικὴν στοργὴν καὶ διάθεσιν, τὴν ἱερὰν ταύτην κληρονο-
μίαν, οὕτω δή σοι κἀγὼ τὴν πνευματικὴν ὀφειλὴν ἀντιδίδωμι.
40 Τίνα ταύτην; Αἰδῶ, τιμήν, καὶ ὃ παρὰ τοὺς πολλοὺς ἔσχηκα: τὴν
διὰ τῆς γλώττης συνεισφοράν.

Τοῦτο μὲν οὖν, οὕτως. Τριῶν δέ μοι χρεῶν (ἵνα τι χαριεντίσω-
μαι πρὸς σὲ πρὸς τῷ τέλει τοῦ γράμματος), τὰ μὲν δύο φαίνῃ
διαλυσάμενος, τό τε χρυσοῦν καὶ τὸ μέλαν, θάτερον δὲ αὖθις
45 ὑπερανεβάλου· ὃ δὴ καὶ καθαρῶς ἐμὸν ἦν, οὐκ οἶδα ἀνθ' ὅτου, καὶ
ταῦτα τῆς Ἀντιοχείας ἐπ' ἐκείνῳ μᾶλλον εὐθηνούσης ἢ τοῖς
λοιποῖς. Ἀλλ' οὗ μὲν ἀπόρως εἶχες, ἐνταῦθα παρών, εὐπόρεις· οὗ
δὲ εὐπόρως, παραδόξως ἠπόρηκας. Εἶτα (ἵνα καὶ τοῦτο θαρρήσας
ἐρῶ), εἰ μὴ καὶ αὐτὸς ἀμφιέννυμαι τὰ λαμπρὰ τῶν περιβλημά-
50 των, οὐ πολλοὶ τῶν περὶ ἐμὲ τούτοις κατακεκόσμηνται; Ταῦτα μὴ

30 τῆς νοσερᾶς ἀπάγειν πόας: Greg. Naz. Εἰς τὸ ἅγιον Πάσχα ... = Or. 1,7 ὧν εἴη πάντας ἡμᾶς, καὶ ποιμένας καὶ ποίμνιον, ὡς νοσερᾶς πόας καὶ θανασίμου πόρρω, cf. Psel. Βίος καὶ πολιτεία ... Αὐξεντίου ... = Or. hag. 1c,76 et Π 10,53 et Π 11,27

45 ὑπερανεβάλου corr. K-D: ὑπερανεβάλω L ‖ **21–50** καινὸν δὲ ... κατακεκόσμηνται L K-D: καὶ μετ' ὀλίγα F

ἀναιδείας οἰήσῃ (μὴ οὕτω μανείην!), ἀλλὰ τοῦ πρὸς σὲ θάρσους καὶ τῆς συνήθους ἐμοὶ χρηστότητος.

8. Τῷ αὐτῷ

Τῷ πατριάρχῃ Ἀντιοχείας ⟨τῷ Αἰμιλιανῷ⟩

K-D 139 [L]

Μόλις ποτὲ καὶ βραχὺ τῶν κακῶν ἀναπνεύσαντες, ἐπειδὴ καὶ παραψυχῆς ἡμῖν ἐδέησεν, ὁ ἀδελφὸς οὗτος τοὺς σοὺς ἡμῖν ὑπανοίξας λειμῶνας, οὐκ ἔστιν εἰπεῖν ὅσης ἐπλήρωσεν ἡδονῆς. Σὺ μὲν γὰρ ἐπιζυγοῖς τὴν θύραν ἡμῖν· καὶ τῆς σῆς πνευματικῆς ἀποστερεῖς ἀπολαύσεως, οὔτε γράφων, οὔτ' ἄλλως ἡμῖν 5 παραδεικνὺς ὁπόσας σοι τῶν χαρίτων ἄνωθεν εἰσέπνευσεν ὁ θεός. Ἀλλ' ὅ γε σοι τούτων καταπολαύσας ποτέ, διέγραψε ταύτας ἡμῖν· καὶ μικρόν τι τῆς ὕλης ἀφήρπασε.

Ὀναίμην οὖν σου τοσοῦτον, ὁπόσα δὴ καὶ σκιᾶς τοῦ σώματος. Αὐτὸς οὖν, λογιωτάτη ψυχή, τοὺς σοὺς ἡμῖν παραδείσους 10 ἐξάγγελλε· καὶ τίνας μὲν αἱ πρακτικαί σου τῆς ψυχῆς κινήσεις ἐφύτευσαν, τίνας δὲ αἱ καθάρσεις ὡραΐσαν, τίνας δὲ αἱ τῆς θεωρίας ἐπιστημονικώταται χεῖρες διαγράψασαι, ἅμα περιετείχισαν. Ἀνθρωπινώτερον δὲ ταῦτά φημι· καὶ οὕτω βούλομαι τοὺς λόγους μαθεῖν, ὅτι με τροπικώτερον οὕτω λεγόμενα καταθέλγει μᾶλλον 15 καὶ τῶν ἀνιαρῶν ἀπαλλάττει· καί εἰσιν ἐμοὶ ταῦτα ἀντ' ἄλλης τινὸς ἡδείας μουσικῆς, ὀδυνωμένην καταθελγούσης ψυχήν.

Εἰ δὲ τῶν τοιούτων λόγων ὑπεροπτικῶς ἔχεις, ἅτε τῶν θειοτέρων γενόμενος, ἐπίστελλε μόνον ὅπως ἂν βούλῃ καὶ μετὰ τῶν συντρόφων ῥημάτων. Ἡμεῖς δὲ ὥσπερ οἱ ἀλληγοροῦντες τὸ 20 γράμμα μεθαρμοζόμεθά σου τὴν λέξιν ἐπὶ τὰ κρείττω. Καὶ οὕτω

51 *μὴ – μανείην*: iunctura saepe in Luciano laudata, cf. e.g. Ἀναβιοῦντες ἢ Ἁλιεύς 37 et Ἑταιρικοὶ διάλογοι 2,4; cf. etiam e.g. Ael. Arist. Πρὸς Πλάτωνα ὑπὲρ τῶν τεττάρων 126,26 et Suda μ 145. cf. Psel. Κατηγορία τοῦ ἀρχιερέως = Or. for. 1,2768, Ἐγκώμιον εἰς ... Νικόλαον μοναχὸν ... = Or. fun. I 10,1,12, Ἐγκώμιον εἰς τὴν φθεῖρα = Or. min. 28,121, Εἰς τὸ 'νοῦς μὲν οὖν ἤδη καὶ αἴσθησις' = Theol. I 90,85, et Π 55,12, Π 100,13, Π 131,18–19, Π 139,62, Π 145,49, Π 209,3–4, Π 277,2, Π 291,31–32, et Π 454,105

52 συνήθες F ‖ **ep. 8** L 67v–68r; tit. L K-D ‖ **9** σου scripsi: σοι L K-D

δή, σύ τε τὸν σαυτοῦ τρόπον ἐπιστελεῖς, ἡμεῖς δὲ τὸν ἡμέτερον νοήσομεν τὰς ἐπιστολάς.

9. Τῷ πατριάρχῃ Ἀντιοχείας ⟨τῷ Αἰμιλιανῷ⟩

ante Π 10 et Π 11, et eodem tempore ut Π 491

S 61 [P], Cre 24 [H]

Πολλὰς καὶ πολλάκις διακρουσάμενος ἀξιώσεις, θεοειδέστατε δέσποτα, ἀνδρῶν ἀγαθῶν καὶ αἰδεσίμων ἐμοί, περὶ οὗ μέλλω νῦν ἀξιοῦν, καὶ ἐνστὰς ὡς οἷόν τε πρὸς πάντας ἀνδρικῶς καὶ γενναίως, καὶ ὑπὲρ σοῦ πρὸς τοὺς ἐκείνων λόγους ἀγωνισάμενος, τέλος 5 ἡττήθην, οὐ τῆς ἐκείνων φωνῆς (μὴ γὰρ ἂν οὕτως εἰδείην ῥητορικήν), ἀλλὰ τοῦ κοινοπαθοῦς καὶ τοῦ φιλανθρώπου, καὶ τῆς σῆς ἐπιεικοῦς καὶ φιλοκάλου ψυχῆς. Εἰ δὲ καὶ αὐτὸς ἡττηθῇς τῶν ἐμῶν λόγων, νενίκηκάς με ὥσπερ ἐκείνους ἐγώ· ὥσπερ γὰρ ἐν ταῖς πονηραῖς ἁμίλλαις ἀθλιώτερος ὁ νικήσας, οὕτως ἐν τοῖς 10 ἀγαθοῖς ἀγωνίσμασιν ὁ ἡττηθεὶς τοῦ καλοῦ καὶ τοῦ πρέποντος ἐκεῖνος τὸ πρωτεῖον τῆς νίκης ἐκτήσατο.

Τί ποτ' οὖν ταῦτα φημί; Καὶ τίς ὁ μακρὸς τοῦ προοιμίου λόγος; Ὁ μοναχὸς Νικόλαος, ὁ ποτὲ μὲν σός, νῦν δὲ ἀλλότριος, μᾶλλον δὲ νῦν σός (μὴ γὰρ ἂν ἀλλοτριωθείη τῆς σῆς ποιμαντικῆς

6 τοῦ κοινοπαθοῦς καὶ τοῦ φιλανθρώπου: Dion. Halicarn. Ῥωμαϊκὴ ἀρχαιολογία I 41,1 βίων ἔθη φιλάνθρωπα καὶ κοινοπαθῆ. cf. Psel. Χρονογραφία VII,156 (= VIIb,35), Ὡς ἀπὸ προσώπου τοῦ βασιλέως = Or. for. 5,14, Ἐγκωμιαστικὸς εἰς … Μιχαὴλ τὸν Κηρουλλάριον = Or. fun. I 1,15,33–34, et Π 31,17–18, Π 170,11–12, Π 207,12–13, et Π 456,3 ‖ **8–9** ἐν – νικήσας: Bas. Caes. Κατὰ ὀργιζομένων PG 31,357,25-26 ἐν γὰρ ἁμίλλαις πονηραῖς ἀθλιώτερος ὁ νικήσας cum Ioann. Damasc. Ἱερὰ παράλληλα PG 96,172,16-17 et 268,43-44 et Sym. Metaphr. Ἠθικοὶ λόγοι κδ′ ἐκλεχθέντες … ἐκ πασῶν τῶν πραγματειῶν … Βασιλείου ἀρχιεπισκόπου Καισαρείας … PG 32,1336,23-24; cf. etiam Aristaen. Epist. 2,6,19 ἐν πονηραῖς ἁμίλλαις ἀθλιώτερος ὁ νικήσας ‖ **13** ὁ μοναχὸς Νικόλαος: de quo cf. etiam Π 10,15, Π 11,14–15, et Π 491,8

ep. 9 P 203r, H 48v–49v, p[1] 140–142 (= P); tit. scripsi: τῷ πατριάρχῃ Ἀντιοχείας P S om. H Cre ὡραῖον manus posteriore in marg. P **1** διακρουσάμενοι Cre ‖ **2** δέσποτά μου S | μέλλω P S: μέλλων οὖν H Cre **3** εὐστὰς Cre ‖ **4** ἀγωνισάμενοι Cre ‖ **11** τὸ H Cre: om. P S ‖ **14** νῦν σός P S: σός νῦν H Cre | ἀλλοτριωθείης Cre

ἐπιστήμης ψυχὴ νομὴν ζητοῦσα πνευματικήν), οὗτος γοῦν ὁ 15
Νικόλαος τῇ σῇ βακτηρίᾳ πληγείς (οὐ γὰρ ἀεὶ τῇ σύριγγι, ἀλλ᾽
ἔστιν ὅτε καὶ ταύτῃ χρᾶσθε ὑμεῖς πρὸς τὰ λογικὰ θρέμματα),
ταύτῃ γοῦν πληγείς, ἱκέτης ἐμοὶ ἐλεεινὸς γέγονε. Μᾶλλον δὲ τί
μὴ τὰ πρὸ τούτου διαριθμῶμαι; Ἐπεὶ γάρ σου τοῦ ποιμένος
ἐξεπεπτώκει, οὐκ ἔστιν εἰπεῖν, ὁπόσην ὑπέστη τὴν πλάνην, ὅσην 20
τὴν διασποράν, οὐκ ἐπ᾽ ἀλλοτρίας νομὰς προϊών, ἀλλὰ τὰς σὰς
μὲν ἐπιζητῶν, ἑλεῖν δὲ μὴ ἔχων. Καὶ τό γε βαρύτερον, οὔθ᾽ ὕδατος
αὐτῷ μετεδίδοσαν τινές, οὔτε πυρός· οὗ γὰρ ἂν αὐτὸς καταψηφί-
σαιο, ὁ μέγας τῷ ὄντι ἀρχιερεύς, τοῦτον δεῖ καὶ ταῖς τῶν ἄλλων
ἡλωκέναι ψήφοις καὶ λογίζεσθαι ἀποτρόπαιον. 25

Πάσας οὖν ἀπογνοὺς ἐλπίδας, ἐπὶ τὴν ἐμὴν ἀπέβλεψεν (ὡς
οἴεται) ἄγκυραν· καί με προΐσχεται καὶ μεσίτην καὶ διαλλακτήν,
καὶ πᾶν ὅ τι ἂν αὐτὸς εἴπῃς τοιοῦτον πρὸς τὴν σὴν ἁγίαν ψυχήν·
ἠκηκόει γὰρ παρ᾽ ἐνίων ὅτι, τοῖς ἄλλοις ἀνάλωτος ὤν, τοῖς ἐμοῖς
λόγοις τεθήρασαι· καὶ κανὼν ἅπασιν ὤν, καὶ ἀκλινὴς στάθμη, καὶ 30
ἠθῶν καὶ λόγων καὶ πράξεων, (οὐκ οἶδ᾽ ὅ τι παθών) πρὸς τὴν
ἐμὴν τῶν λόγων εὐθύτητα τὴν σὴν γνώμην παραμετρεῖς.

Εἰ μὲν οὖν ψευδῶς ἀκήκοεν, αὖραι τὸν λόγον φέροιεν. Εἰ δὲ
ἀληθῶς, ἕπου σαυτῷ· καὶ πείσθητι τοῖς νόμοις, οὓς ἐπὶ τῇ σῇ
ψυχῇ τέθεικας· καὶ διάλυσον τῷ ἀδελφῷ τὸ σφοδρὸν καὶ μακρὸν 35

16 τῇ[1] – σύριγγι: Greg. Naz. Ἀπολογητικός = Or. 2,9 ποίμνης ἄρχειν … ὀλίγα μὲν τῇ βακτηρίᾳ, τὰ πολλὰ δὲ τῇ σύριγγι et Ἀπολογητικὸς εἰς τὸν ἑαυτοῦ πατέρα Γρηγόριον = Or. 9,6 τίνας ποιμαντέον τῇ βακτηρίᾳ, τίνας τῇ σύριγγι ‖ **19–25** ἐπεὶ – ἀποτρόπαιον: cf. Π 10,43–47 πεπλάνηται γοῦν ἀνὰ πᾶσαν ἤπειρόν τε καὶ θάλασσαν· καὶ οὔτε ξενίας τυγχάνει τινός, οὔτε τις τοῦτον φιλοφρονεῖται μετρίως· ὃν γὰρ ἂν θεοῦ ἀπώσηται λειτουργός, φρίττει πάντως ἕτερός τις ὑποδέξασθαι εὐμενῶς, μή τι λάθῃ ἐξαμαρτὼν εἰς θεόν **26–27** ἐπὶ – ἄγκυραν: cf. Π 52,33–34 ποίας δὲ ἀγκύρας ἑτέρας ἕξεται εἰ μὴ τῆς σῆς; ‖ **33** αὖραι – φέροιεν: Greg. Naz. Κατὰ Ἰουλιανοῦ στηλιτευτικὸς α´ = Or. 4,54 καὶ εἰ μὲν ψευδές, αὖραι φέροιεν, cf. Π 16,58–59 (ad Aimilianum)

18 γέγονε P S: γίνεται H Cre ‖ **19** διαριθμῶμαι P S: διαριθμοῦμαι H Cre **20** ὑπέστη τὴν πλάνην P S: τὴν πλάνην ὑπέστη H Cre ‖ **21** διαποράν Cre **25** ἡλωκέναι P S: ἑαλωκέναι H Cre ‖ **26–27** ἀπέβλεψεν ὡς οἴεται H Cre: ὡς οἴεται ἀπέβλεψεν P S ‖ **27** προΐσχεται H Cre: προΐσταται P S ‖ **28** πᾶν H Cre: om. P S ‖ **33** φέροιεν P S: φερέτωσαν H Cre | εἰ δ᾽ S ‖ **35** σφοδρὸν καὶ μακρὸν P S: μακρὸν καὶ σφοδρὸν H Cre

ἐπιτίμιον. Λέγω δὲ ταῦτα, πρὸς τὴν σὴν διάθεσιν ἀφορῶν, ἣν οὐκ ἐπεῖδεν ὀργιζομένην καταφερόμενος ὁ ἥλιος.

Καὶ οὐ τῇ δίκῃ μέμψιν ἐπάγω, ἀλλὰ τὸ σὸν τοῦτο ἐκπλήττομαι. Εἰ δὲ κατὰ τὸ μέτρον τῶν ἀδικημάτων ἡ τιμωρία, πεπλήρω-
40 ται τὸ ἐπιβάλλον, καὶ ὁ τῆς ἰατρείας λόγος ἔχει τὸ ἀποχρῶν· ἐπισυνῆπται γὰρ ἡ λύσις τῆς συνεχείας, καὶ τὸ τραῦμα ἀπέξυσται, καὶ ὁ μώλωψ ἀπείληπται. Οὐκέτι οὖν τὸ θρέμμα λυμαντικόν· οὐκέτι μεταδοτικὸν τῆς ἑαυτοῦ νόσου ἣν οὐκ ἔχει ἀποβαλών· καὶ γὰρ ὑγίωται ὅλως (ναὶ νὴ τὴν ἱεράν σου ψυχήν!). Προσῆλθε γὰρ
45 κἀμοὶ εἰ καὶ μὴ ὡς ἱερεῖ, ἀλλ' ὡς δοκιμάζειν ταῦτα εἰδότι· καὶ ἀπεγύμνωσέ μοι τὴν ἑαυτοῦ ψυχήν· καὶ τὴν κάθαρσιν ἔδειξε. Δεινὸς δὲ εἰ καί τις ἄλλος ἐγὼ ψυχὴν κατοπτεῦσαι δι' ἐναργῶν τινῶν συμβόλων καὶ χαρακτήρων (ἢ γὰρ μάτην ἂν εἴην ἀνεγνωκὼς φυσιογνωμικὴν τέχνην, εἰκῇ δέ μοι καὶ ὁ χρόνος τῆς περὶ
50 ταῦτα πείρας ἀνάλωται· ἀλλ' οὐκ ἔστι ταῦτα)· καὶ τεθεώρηταί μοι ὁ ἄνθρωπος οἷός ἐστιν.

36–37 ἣν – ὁ ἥλιος: cf. Eph. 4,26 ὁ ἥλιος μὴ ἐπιδυέτω ἐπὶ τῷ παροργισμῷ ὑμῶν ‖ **41** ἡ λύσις τῆς συνεχείας: iunctura medica; cf. Galen. Τέχνη ἰατρική 1,387,1–2 κάταγμα ... ἐστὶ ... τῆς ἐν ὀστῷ συνεχείας λύσις ‖ **47–50** δεινὸς – ταῦτα[2]: cf. Psel. Εἰς τὸν αὐτοῦ ἔκγονον ἔτι νήπιον ὄντα = Or. min. 38,17–20 ἐπεὶ καὶ γνωματεύειν ἐγὼ δεινός, εἴπερ τις ἄλλος, καὶ διὰ τῶν αἰσθήσεων ὥσπερ θυρίδων τινῶν προκύπτειν εἰς τὴν ψυχήν, μᾶλλον δὲ αὐτὴν ὀφρύσι καὶ ὀφθαλμοῖς ἐγκαθημένην κατανοεῖν, Π 10,55–56 δεινὸς γὰρ εἰ καί τις ἄλλος, ὥσπερ δι' ὑμένος λεπτοῦ τοῦ σώματος, καὶ καρδίαν καὶ ἧπαρ ἰδεῖν, Π 173,61–66 ἐγὼ δὲ φιλόσοφος (ὡς οἶσθα) τυγχάνων, καὶ τὴν κρίσιν ἀπαραλόγιστος, «ἐκ κεφαλῆς» (ὅ φασιν) «ἐς πόδας» κατανενόηκά σε. μεμάθηκα δέ σοι καὶ τὰ τῶν στέρνων ἐντός, καὶ τὸ χρῆμά σοι τῆς ψυχῆς οὐκ ἠγνόηκα. τοιοῦτόν ἐστι φιλόσοφος ὀφθαλμός, οὐ τοῖς σχήμασι καὶ ταῖς ἐπιφανείαις προσέχει, ἀλλ' ἐμβαθύνει τοῖς βάθεσι, Π 375,25–29 ἔγωγ' οὖν (ἵνα τί σοι καὶ τῶν ἐμῶν ἀπορρήτων εἴπω), καὶ ὃν οὔπω καθεώρακα ἅπαξ ἰδών, ἀπὸ τῶν ὀφθαλμῶν ἐγνωμάτευσα· σοῦ δὲ καὶ … εἰς τὴν ψυχὴν διὰ πάντων παρέκυψα, et Π 451,3–4 ἔστι γάρ μοι τέχνη περὶ τοὺς χαρακτῆρας τοῦ σώματος, δι' ὧν [ἀκριβ]ῶς ἐγκύπτω εἰς τὴν ψυχήν

42 ἀπείληπται P S: ἀπέλειπται H Cre ‖ **43** ἀποβαλών P S: ἀποβαλόν H ἀποβαλόν (sic) Cre ‖ **44** ναὶ P S: καὶ H Cre | προῆλθε S ‖ **44–45** γὰρ κἀμοὶ P S: γάρ μοι H Cre ‖ **45** δοκιμάζειν ταῦτα εἰδότι P S: εἰδότι ταδὶ δοκιμάζειν H Cre ‖ **49–50** τῆς ... πείρας P S: τῇ ... πείρᾳ H Cre ‖ **50** τεθεώρηταί P S: τεθήραται H Cre

Παράδεξαι οὖν τῇ σῇ μάνδρᾳ τὸ θρέμμα· μᾶλλον δὲ καὶ προαπάντησον· καὶ τὰς ἀγκάλας ὑφαπλώσας, ὑπόδεξαι· ἐπαναστρέφει γὰρ ἀπὸ τῆς μακρᾶς ἐκείνης ἀποδημίας. Ὑπόδησον οὖν αὐτῷ τοὺς πόδας ὥστε μὴ καὶ αὖθις ἐμπαγῆναι τὴν ἄκανθαν· καὶ δακτυλίῳ 55 τὴν χεῖρα κατάστραψον· μετάδος, εἰ δεῖ, καὶ φιλήματος (τῶν σῶν, φημι, ποτίμων λόγων καὶ τῆς ἐκεῖθεν βλυζούσης πηγῆς). Τί μὴ λέγω τὸ μεῖζον; Θῦσον αὐτῷ καὶ τὸν μόσχον τὸν σιτευτόν, ὃν διὰ χειρὸς ἔχεις καί, πολλάκις τέμνων, οὔπω διήρηκας. Δὸς συγγνώμην ἡμαρτηκότι· μᾶλλον δὲ ποίησον πανήγυριν τὴν ἐπάνοδον. 60 Κἂν ὁ μείζων ἀδελφὸς ἀκούσῃ τῆς συμφωνίας καὶ σκυθρωπάσῃ τῇ τελετῇ, ὑπόμνησον αὐτῷ τὴν διηνεκῆ τῶν σῶν ἀγαθῶν μετουσίαν. Ἂν ὁ δεῖνα, ἢ ὁ δεῖνα, ὁ μὲν τοῦτο, ὁ δὲ ἄλλό τι κατηγορήσῃ, καὶ αὖθις ἐκφοβήσῃ περὶ τοῦ μέλλοντος, τῷ τῆς φιλανθρωπίας λόγῳ ἀπάντησον· καὶ γενοῦ πρὸς αὐτοὺς ἀληθέστερος μᾶλλον ἢ πιθανώ- 65 τερος. Καὶ μή μοι ἀπώσῃ τὸν ἱκέτην· μηδέ με καταισχύνῃς ὃν ἐν πολλοῖς χρόνοις καὶ διὰ πολλῶν τετίμηκας ἐπιδείξεων· μή, πρὸς τῶν κοινῶν συνθηκῶν, καὶ πρὸς φιλίου θεοῦ, πρὸς ἱκεσίου, πρὸς τῆς ἱερᾶς τραπέζης αὐτῆς! Ἀλλ᾽ ὀναίμην σου, εἴπερ ἄλλοτέ ποτε, καὶ νῦν τῶν ἠθῶν ἐκείνων τῶν ἀγαθῶν, οἷς ἐξ ἀρχῆς ἐχαρακτηρί- 70 σθης, ὥσπερ πόρρω σοι τοῦ θεοῦ τὴν εἰς τοὺς ἁμαρτάνοντας συγγνώμην προκαταβαλλομένου καὶ ἑτοιμάζοντος.

52–62 παράδεξαι – μετουσίαν: cf. Luc. 15,20–32; cf. etiam Π 11,50–53, Π 110,26–27, et Π 112,55–59 ‖ **65–66** ἀληθέστερος – πιθανώτερος: cf. Greg. Naz. Λόγος θεολογικὸς δεύτερος, περὶ θεολογίας = Or. 28,27 τῶν μακρῶν λόγων πιθανώτερόν τε καὶ ἀληθέστερον et Psel. Χρονογραφία IV,20 λόγοις … πιθανωτέροις μᾶλλον ἢ ἀληθεστέροις ‖ **68** πρὸς φιλίου θεοῦ: i.e. Zeus; cf. Plat. Ἀλκιβιάδης α´ 109d μὰ τὸν Φίλιον τὸν ἐμόν τε καὶ σόν cum Synes. Cyren. Epist. 51,2–3, 59,9, 103,1, 129,11–12. cf. Π 28,15, Π 121,79, Π 128,6, et Π 213,19 | πρὸς ἱκεσίου: i.e. Zeus; cf. Lucian. Ἀναβιοῦντες ἢ Ἁλιεύς 3 πρὸς Ἱκεσίου φείσασθέ μου

55 καὶ[1] P S: om. H Cre ‖ **57** καὶ τῆς ἐκεῖθεν βλυζούσης πηγῆς P S: om. H Cre **63** τι P S: om. H Cre ‖ **65** αὐτοὺς P S: αὐτὸν H Cre ‖ **66** με om. S ‖ **68** καὶ P S: om. H Cre ‖ **69** σου P S: om. H Cre

10. Τῷ πατριάρχῃ Ἀντιοχείας ⟨τῷ Αἰμιλιανῷ⟩
post Π 9, ante Π 11, et eodem tempore ut Π 491

G 23 [U, F], Malt 10 [U]

Οὐκ οἶδα πότερον παρὰ τὴν ἐμὴν ἀτεχνίαν, ἢ παρὰ τὴν σὴν σταθερότητα, τὸ πρὸς ἀξίωσιν ἀνένδοτον γέγονε, σεβασμιώτατε δέσποτα, καὶ λειτουργὲ τοῦ μεγάλου ἀρχιερέως καὶ θύματος. Καινὸν δὲ οὐδέν, εἰ πρὸς τὴν ἐμὴν πρώτην φωνὴν δυσήκοος
5 γέγονας· οὕτω γὰρ καὶ ὁ θεὸς οὐκ εὐθὺς αἰτησαμένου Μωϋσέως τὴν ἄφεσιν τῇ ἀδελφῇ δέδωκεν, ἀλλὰ καὶ προσωνείδισε τὸ ταχὺ τῆς αἰτήσεως, παραδειγματίσας αὐτὴν ὥσπερ εἰκὸς ἦν.

Εἰ μὲν οὖν αὐτός, τὸν καιρὸν ἀγνοήσας, παρὰ τοῦτον προσήνεγκα τὴν ἀξίωσιν, τὸν ἀξιώσαντα μᾶλλον ἄν τις καταιτιάσαιτο, ἢ
10 τὸν μὴ παρεσχηκότα τὸ ἀξιούμενον. Εἰ δ’ ἐγὼ μὲν εὐκαίρως προήχθην εἰπεῖν, περὶ οὗ δὲ ὁ λόγος οὐ πρὸς εὐεργεσίαν ἐστὶν ἐπιτήδειος, οὐκ ἀποστήσομαι καὶ δευτέρας καὶ τρίτης αἰτήσεως, πρὸς σὲ καὶ ταῦτα τὸν λόγον ποιούμενος, τὸν ἐπὶ πᾶσαν γῆν τὰ τῆς σωτηρίας σπέρματα καταβάλλοντα.

15 Ἔστω γὰρ λιθώδης ἐκεῖνος καὶ οἷον ἀπόκροτος, ὥστε μὴ ἀρότρῳ σχίζεσθαι, μήτε ἄλλως ἐπικοιλαίνεσθαι. Ἆρ’ οὖν καὶ τὴν

5–7 καὶ ὁ θεὸς – ἦν: cf. Num. 12,13–15 καὶ ἐβόησεν Μωυσῆς πρὸς κύριον λέγων Ὁ θεός, δέομαί σου, ἴασαι αὐτήν. καὶ εἶπεν κύριος πρὸς Μωυσῆν Εἰ ὁ πατὴρ αὐτῆς πτύων ἐνέπτυσεν εἰς τὸ πρόσωπον αὐτῆς, οὐκ ἐντραπήσεται ἑπτὰ ἡμέρας; ἀφορισθήτω ἑπτὰ ἡμέρας ἔξω τῆς παρεμβολῆς καὶ μετὰ ταῦτα εἰσελεύσεται. καὶ ἀφωρίσθη Μαριαμ ἔξω τῆς παρεμβολῆς ἑπτὰ ἡμέρας **15** ἐκεῖνος: Nicolaus; cf. Π 9,13, Π 11,14–15, et Π 491,8 | ἔστω – ἀπόκροτος: Philo Περὶ τοῦ βίου Μωυσέως 2,202 κατ’ ἀνδρὸς λιθίνην καὶ ἀπόκροτον ψυχὴν ἔχοντος (cf. etiam Περὶ τῶν ἐν μέρει διαταγμάτων 2,169 ὅσα λιθώδη καὶ ἀπόκροτα et Περὶ βίου θεωρητικοῦ 62 λιθώδη καὶ ἀπόκροτα χωρία) cum Ioann. Sinait. Κλῖμαξ 8 (PG 88 829,10 sqq.) ὥσπερ λίθος ὀξύγωνος, καὶ ἀπόκροτος ... οὕτως καὶ ψυχὴ etc. cf. Π 128,52. iunctura Pselliana in Theod. Prodr. Epist. ad Michael. Ital. (ed. Browning) 26–27 = Epist. 24,27–28 (ed. Op de Coul) laudata καὶ εἴ τις ἑτέρα γῆ λιθώδης ἄντικρυς καὶ ἀπόκροτος?

ep. 10 U 152r–v (inc. mut.), A 40v–41v, F 53v–57r; tit. scripsi: πρὸς τὸν αὐτόν (scil. πατρ. Ἀντιοχείας). Αἴτησις συγγνώμης τοῦ ἁμαρτήσαντος ἐν γλώσσῃ A om. F G Malt ‖ **2** σταθερότητα A: σταθηρότητα F G ‖ **4** καινὸν δὲ A: καὶ κενὸν F καὶ καινὸν corr. G ‖ **5** Μωϋσέως A: Μωσέως F G ‖ **10** δ’ ἐγὼ F G: δ’ ἂν ἐγὼ A ‖ **13** γῆν A: τὴν γῆν F G ‖ **16** ἀρότρῳ σχίζεσθαι A: ἀροτροχίζεσθαι F G e quo falsum LBG lemma

σὴν νικήσει ἐπιρροήν; Ἀλλ᾽ ὁ μὲν ὡς ἀληθῶς λίθος σταγόσιν ὕδατος κοιλανθήσεται, ἡ δὲ πρὸς τοῦτον ἐοικυῖα ψυχὴ ἀνένδοτος πρὸς τὸν σὸν μενεῖ ποταμόν, ἀκατασχέτῳ ἐπικαχλάζοντα ῥεύματι; Πολλοῦ γε καὶ δεῖ. Ἀλλὰ βαρβάρους μὲν ἄνδρας καὶ 20 θηριώδεις μετεποίησας πρὸς τὸ ἥμερον· καὶ πρὸς τὸ πρᾳότερον μετερρύθμισας. Θρέμμα δὲ τῆς σῆς ἱερᾶς μάνδρας νοσῆσαν ἴσως, ἢ πλανηθὲν ἐκεῖθεν, ἢ ἄλλο τι τῶν δεινοτέρων πεπονθός, οὔτε ὑγιάσεις, οὔτε ἀποκαταστήσεις, οὔτε ἄλλως ἐνστήσῃ πρὸς τὸν τοῦ παθήματος τρόπον; Ἀλλ᾽ ἀθετήσεις καὶ κατολιγωρήσεις; Ἀλλά 25 τοῦτο μὲν οὐδ᾽ εἰκάζειν ἐστὶ περὶ σοῦ, καὶ ταῦτα τῆς ἱερᾶς κεφαλῆς. Ἄλλο δέ τι σκοπῶν ἐντεθύμημαι, ὃ δὴ καὶ μᾶλλον τῆς σῆς ἐστιν ἱερατικῆς τελειότητος. Τί ποτ᾽ οὖν τὸ ἐνθύμημα; Οἶμαί σε, θεραπευτὴν ὄντα ψυχῶν, πρὸς τὸ τοῦ νοσήματος εἶδος τὸ μέτρον ἐπάγειν τῆς θεραπείας, καὶ μὴ πάντα ἰᾶσθαι λουτροῖς καὶ 30 μαλάγμασι, μηδὲ φαρμάκοις ἠπιωτέροις, ἀλλ᾽ ἔστιν οὗ καὶ καύσεσι καὶ τομαῖς, ὥσπερ δὴ κἀνταῦθα ποιεῖς· τομὴ γὰρ καὶ ἡ διὰ τῆς ἀποστροφῆς παίδευσις καὶ καῦσις ἀτεχνῶς. Εἰδὼς δὲ ἴσως ὕπουλον καὶ κακόηθες τὸ τοῦ νοσηλευομένου πάθος, οὐκ ἐπιπολαίως ἅπτῃ, οὐδ᾽ οἷον ἐπινύσσεις τὸ ὑπογάστριον, ἀλλ᾽ ἄχρις 35 ἁρμονίας καὶ μυελῶν ψυχῆς ἐμβαθύνεις τὸν σίδηρον.

17–18 λίθος – κοιλανθήσεται: cf. CPG II 632–633 (nr. 19) cum Choeril. Sam. Fr. 11 (ed. Bernabé) πέτρην κοιλαίνει ῥανὶς ὕδατος ἐνδελεχείῃ et ῥανὶς ἐνδελεχοῦσα κοιλαίνει πέτραν. cf. etiam Psel. Κανὼν κατὰ τοῦ Ἰακώβου = Poem. 22,86, Ὑπὲρ τοῦ νομοφύλακος κατὰ τοῦ Ὀφρυδᾶ = Or. for. 3,223–225, et Π 296,14–15 et Π 507,23–24 ‖ **35–36** ἄχρις – σίδηρον: cf. Hebr. 4,12 ζῶν γὰρ ὁ λόγος τοῦ θεοῦ ... καὶ τομώτερος ὑπὲρ πᾶσαν μάχαιραν δίστομον καὶ διϊκνούμενος ἄχρι μερισμοῦ ψυχῆς καὶ πνεύματος, ἁρμῶν τε καὶ μυελῶν cum Eurip. Ἱππόλυτος 255 πρὸς ἄκρον μυελὸν ψυχῆς, cf. Psel. Κατηγορία τοῦ ἀρχιερέως = Or. for. 1,26–28 et 2777 et Εἰς τὸ ἀποστολικὸν ... 'ἑκάστου τὸ ἔργον ...' = Theol. II 7,56–58

19 ἀκατασχέτῳ ἐπικαχλάζοντα A corr. G: ἀκατασχέτως ἐπικαχλάζοντι F **22** ἢ F G: om. A ‖ **24** ὑγιάσεις A G: ὑγιώσεις F | οὔτε[1] A: οὔτε μὴν F G | οὔτε[2] A: οὔτε μὴν F G ‖ **25** ad -θήματος incipit U Malt ‖ **26** μὲν: γὰρ prop. Malt **27** δέ τι U A: δ᾽ ἔτι F G τι Malt ‖ **27–28** ὃ δὴ – τὸ ἐνθύμημα U G Malt: om. F A ‖ **29** σε U A G Malt: om. F ‖ **30** ἐπάγειν U F G Malt: ἀπαγαγεῖν A ‖ **32** ἡ om. F ‖ **33** καύσεις F | εἰδὼς U A G Malt: εἰ F ‖ **35** ἐπινύσσεις taciter Malt: ἐπιμύσσεις U A F G ‖ **36** μυελῶν F G: μελῶν U A Malt

Ἀρκούντως γοῦν σοι βεβάπτισται· καὶ δέος μή τι πάθῃ δεινότερον ὁ νοσοκομούμενος, ἢ ὥστε τῆς νόσου ἀπαλλαγήσεσθαι· συντέτηκε γὰρ ἀκριβῶς καὶ ὠχρίακεν, ὡς μηκέτι τὴν ἀσθενεστά-
40 την ὀδύνην ὑφίστασθαι. Ἢν γοῦν ἐμοὶ πείθῃ, ἢ ἐπινεύεις ἀξιοῦντι, τὸ μὲν σιδήριον μέθες, καὶ τοὺς ἄνθρακας σβέσον· ἐλαίῳ δέ, ἤ τινι ἄλλῳ φαρμάκῳ, ἐπίχρισον τὸ καυθὲν ἢ τμηθέν· μικροῦ γὰρ ἀπέγνωσται τῷ ἀνδρὶ ἡ ζωὴ καὶ ἡ τῆς ψυχῆς σωτηρία. Πεπλάνη-
ται γοῦν ἀνὰ πᾶσαν ἤπειρόν τε καὶ θάλασσαν· καὶ οὔτε ξενίας
45 τυγχάνει τινός, οὔτε τις τοῦτον φιλοφρονεῖται μετρίως· ὃν γὰρ ἂν θεοῦ ἀπώσηται λειτουργός, φρίττει πάντως ἕτερός τις ὑποδέξασθαι εὐμενῶς, μή τι λάθῃ ἐξαμαρτὼν εἰς θεόν.

Ἴασαι οὖν ὁ τρώσας· καὶ ὁ δεσμήσας λῦσον· καὶ ὁ θανατώσας ζώωσον. Ἀλλά σοι μεγάλα προσέπταικεν, ἢ προσκέκρουκε τῷ
50 θεῷ; Ἀλλὰ λοιμός, ἀλλὰ φαρμακὸς ὁ ἀνήρ; Ὅσῳ γοῦν μείζω ἡμάρτηκε, τοσούτῳ μείζονος δεῖται τῆς θεραπείας. Ἄνοιξον οὖν αὐτῷ τὴν μάνδραν τῆς θεομήτορος· ἐπίστησον αὐτῷ ποιμένα εἰς νομὰς ἄξοντα καὶ πηγάς, καὶ πόρρω τῆς νοσερᾶς πόας ποιήσοντα.

43–47 πεπλάνηται – θεόν: cf. Π 9,19–25 ἐπεὶ γάρ σου τοῦ ποιμένος ἐξεπεπτώκει, οὐκ ἔστιν εἰπεῖν, ὁπόσην ὑπέστη τὴν πλάνην, ὅσην τὴν διασποράν, οὐκ ἐπ’ ἀλλοτρίας νομὰς προϊών, ἀλλὰ τὰς σὰς μὲν ἐπιζητῶν, ἑλεῖν δὲ μὴ ἔχων. καὶ τό γε βαρύτερον, οὔθ’ ὕδατος αὐτῷ μετεδίδοσαν τινές, οὔτε πυρός· οὗ γὰρ ἂν αὐτὸς καταψηφίσαιο, ὁ μέγας τῷ ὄντι ἀρχιερεύς, τοῦτον δεῖ καὶ ταῖς τῶν ἄλλων ἡλωκέναι ψήφοις καὶ λογίζεσθαι ἀποτρόπαιον ‖ **48** ἴασαι – τρώσας: cf. CPG II 763 (nr. 28) ὁ τρώσας καὶ ἰάσεται. cf. Π 159,4 ‖ **52** τὴν μάνδραν τῆς θεομήτορος: monasterion, Θεοτόκου τῶν Ὁδηγῶν / τῆς Ὁδηγοῦ (cf. Janin 1969,199–207). cf. Π 11,43 πρὸς τὴν μονὴν et Π 491,7–8 τῇ τῆς Ὁδηγοῦ … μονῇ ‖ **53** πόρρω – ποιήσοντα: Greg. Naz. Εἰς τὸ ἅγιον Πάσχα … = Or. 1,7 ὧν εἴη πάντας ἡμᾶς, καὶ ποιμένας καὶ ποίμνιον, ὡς νοσερᾶς πόας καὶ θανασίμου πόρρω, cf. Psel. Βίος καὶ πολιτεία … Αὐξεντίου … = Or. hag. 1c,76 et Π 7,30 et Π 11,27

40 ἣν F | ἐπινεύεις U A: ἐπινεύσεις F G ἐπινεύῃς Malt ‖ **41** τὸ μὲν σιδήριον U A G Malt: τὸν μὲν σίδηρον F ‖ **42** ἢ τμηθέν U F G Malt: om. A ‖ **45** τοῦτον A F G Malt: τοῦτο U ‖ **45–46** ἂν θεοῦ U A Malt: θεοῦ ἂν G θεοῦ F ‖ **46** τις U A G Malt: τις αὐτὸν F ‖ **48** δεσμήσας U F G Malt: δεσμεύσας A ‖ **49** μεγάλα προσέπταικεν U G Malt: μεγάλαά σοι σέπταισεν F μεγάλως προσέπταισεν A ‖ **50** μείζω U A G Malt: om. F ‖ **52** μάνδραν F A G Malt: μάνδρα U **53** ποιήσοντα U G Malt: ποιήσαντα F A

Πολλάκις ἐγὼ τὸ θρέμμα τοῦτο τεθέαμαι· καὶ τὰ μέχρι βάθους αὐτῷ διηκρίβωκα· δεινὸς γὰρ εἰ καί τις ἄλλος, ὥσπερ δι' 55
ὑμένος λεπτοῦ τοῦ σώματος, καὶ καρδίαν καὶ ἧπαρ ἰδεῖν. Εἰ μὲν οὖν τὴν γλῶτταν ἐνόσησεν, ἀγνοῶ. Τὰ γέ τοι σπλάγχνα οὐδὲ νοσῆσαί ποτε εἰκάζονται, τεθεράπευται δὲ καὶ ἡ γλῶσσα· οὔτε γὰρ φλυκταίναις ἐξήνθηκεν, οὔτε ὀγκωθεῖσα τῶν χειλέων πρόεισιν, ἀλλ' ἰδὼν εἴποις, ὅτι τῷ λάρυγγι τούτου κεκόλληται. 60

Οἴκτειρον οὖν τὸν ἄνθρωπον ἐλεεινῶς ἔχοντα· ναὶ πρὸς τῆς ἡμετέρας φιλίας! ναὶ πρὸς τῆς τριάδος αὐτῆς!

11. ⟨Τῷ πατριάρχῃ Ἀντιοχείας τῷ Αἰμιλιανῷ⟩

post Π 9 et Π 10, et eodem tempore ut Π 491 [vid. epistolarum ordinem in O]

K-D 205 [O]

Οὐκ οἶδα πότερον αὐτὸς ἀδόλεσχος, σεβασμιωτάτη καὶ ὑπέρτιμε

55–56 δεινὸς – ἰδεῖν: cf. Psel. Εἰς τὸν αὐτοῦ ἔκγονον ἔτι νήπιον ὄντα = Or. min. 38,17–20 ἐπεὶ καὶ γνωματεύειν ἐγὼ δεινός, εἴπερ τις ἄλλος, καὶ διὰ τῶν αἰσθήσεων ὥσπερ θυρίδων τινῶν προκύπτειν εἰς τὴν ψυχήν, μᾶλλον δὲ αὐτὴν ὀφρύσι καὶ ὀφθαλμοῖς ἐγκαθημένην κατανοεῖν, Π 9,46–50 δεινὸς δὲ εἰ καί τις ἄλλος ἐγὼ ψυχὴν κατοπτεῦσαι δι' ἐναργῶν τινῶν συμβόλων καὶ χαρακτήρων (ἢ γὰρ μάτην ἂν εἴην ἀνεγνωκὼς φυσιογνωμικὴν τέχνην, εἰκῇ δέ μοι καὶ ὁ χρόνος τῆς περὶ ταῦτα πείρας ἀνάλωται· ἀλλ' οὐκ ἔστι ταῦτα), Π 173,61–66 ἐγὼ δὲ φιλόσοφος (ὡς οἶσθα) τυγχάνων, καὶ τὴν κρίσιν ἀπαραλόγιστος, «ἐκ κεφαλῆς» (ὅ φασιν) «ἐς πόδας» κατανενόηκά σε. μεμάθηκα δέ σοι καὶ τὰ τῶν στέρνων ἐντός, καὶ τὸ χρῆμά σοι τῆς ψυχῆς οὐκ ἠγνόηκα. τοιοῦτόν ἐστι φιλόσοφος ὀφθαλμός, οὐ τοῖς σχήμασι καὶ ταῖς ἐπιφανείαις προσέχει, ἀλλ' ἐμβαθύνει τοῖς βάθεσι, Π 375,25–29 ἔγωγ' οὖν (ἵνα τί σοι καὶ τῶν ἐμῶν ἀπορρήτων εἴπω), καὶ ὃν οὔπω καθεώρακα ἅπαξ ἰδών, ἀπὸ τῶν ὀφθαλμῶν ἐγνωμάτευσα· σοῦ δὲ καὶ … εἰς τὴν ψυχὴν διὰ πάντων παρέκυψα, et Π 451,3–4 ἔστι γάρ μοι τέχνη περὶ τοὺς χαρακτῆρας τοῦ σώματος, δι' ὧν [ἀκριβ]ῶς ἐγκύπτω εἰς τὴν ψυχήν ‖ **60** τῷ λάρυγγι … κεκόλληται: Ps. 21,16 et 136,6

54 τοῦτο U A G Malt: om. F ‖ **56** ἰδεῖν U A G Malt: ὁρᾶν F | εἰ U F G Malt: καὶ εἰ A ‖ **57** γλῶτταν ἐνόσησεν U A G Malt: γλῶσσαν νενόσηκεν F | τοι U A G Malt: om. F ‖ **57–58** οὐδὲ νοσῆσαί U F G Malt: οὔτε νοῆσαι A **59** φλυκταίνεσαι F ‖ **60** τούτου U A G Malt: τούτω F | κεκόλληται U F G Malt: κεκώλυται A ‖ **61** ἄνθρωπον : αἴγον F ‖ **62** φιλίας· ναὶ πρὸς U F G Malt: φιλοσοφίας, καὶ A ‖ **ep. 11** O 203v–204r; tit. scripsi: ⟨ἡγουμένῳ τινί⟩ K-D

κεφαλή, τὴν αὐτήν σοι πολλάκις προσάγων ἀξίωσιν, καὶ μηδὲ
ἀποκρίσεως τυγχάνων, ἢ σὺ φιλίας ὑπερόπτης, καὶ τῶν ἡμετέρων
ἐπιστολῶν κατολιγωρῶν. Ἀλλ' εἰ βούλει, σὺ μὲν ἐν πᾶσιν ἔχε τὸ
5 ἀνεπίληπτον, ἡμῖν δὲ τὸ τῆς ἀδολεσχίας προστετρίφθω ὄνομα.
Δὶς μὲν ἤδη τὴν αὐτήν σοι ἱκετηρίαν πεποιημέναι, ἰδοὺ δὲ καὶ
τρίτην πεῖραν προσάγουσιν· ὥσπερ γὰρ προσκαρτερεῖν δεῖ ταῖς
πρὸς τὸ κρεῖττον εὐχαῖς, οὕτω δεῖ καὶ τοῖς λειτουργοῦσιν ἐκείνῳ
ὑμῖν καὶ τὸ θεῖον περικειμένοις ἀξίωμα πολλάκις περὶ τοῦ αὐτοῦ
10 προθέσθαι, ἢ λιπαρεῖν πόρρωθεν, καὶ τὴν πρώτην ἀθετουμένους
μὴ ἐκκακεῖν.

Ἐρωτῶ δὲ πρότερον τὴν σὴν ὑπερφυεστάτην ψυχήν: τί δή
ποτε, πρώτην προσενεγκόντες ἀξίωσιν περὶ τοῦ ἀπελαθέντος ἀπὸ
τῆς σῆς ποίμνης λογικοῦ θρέμματος, φημὶ δὲ τοῦ μοναχοῦ Καλλι-
15 νίκου, τοσοῦτον ἠθετήθημεν καὶ ἀπερρίφημεν, ὡς μηδὲ ἀπολογίας
ἀξιωθῆναί τινος; εἴτε γὰρ ἄξιος οὗτος παραδοχῆς, εἴτε καὶ ἐναγής
σοι ἔδοξε καὶ παμπόνηρος, ἐχρῆν κατὰ μὲν τὸ πρῶτον τὴν δέησιν
παραδέξασθαι, κατὰ δὲ τὸ δεύτερον τὴν ἀπολογίαν ποιήσασθαι.
Καὶ εἰ βούλει, προσκείσθω τῷ μοναχῷ, ὁπόσα τις κατηγορεῖν
20 βούλοιτο: καὶ διεφθάρθω μὲν οὗτος τὴν ψυχήν, ἐμπεπλήσθω δὲ
πονηρίας ἁπάσης, καὶ μηδεμία τις αὐτῷ μερὶς ὑγιαίνουσα ἤτω,
ἀλλ' ὅλος ἔστω νενοσηκώς, καὶ διαλελωβημένος τὴν φύσιν.

Εἶτα τί; ἐπείγεται πρὸς τὴν θεραπείαν, ἐπιζητεῖ σου τὴν
πνευματικὴν ἰατρείαν. Κατεδήδοκε μὲν τὴν κληρονομίαν, ἀλλ'
25 ἐπάνεισιν εἰς τὴν πατρῴαν αὐλήν. Οὐ προσδέξῃ τοίνυν, ὁ τὸ τοῦ
θεοῦ κληρονομήσας ὄνομα καὶ ἀξίωμα, ὡς ἐκείνου κατὰ πνεῦμα
υἱός, ἀλλ' ἀπώσῃ μακρὰν καὶ ἀπελάσεις εἰς νοσερὰν πόαν ἔνθα μὴ

6 δίς: scil. epist. Π 9 et Π 10 ‖ **14–15** τοῦ μοναχοῦ Καλλινίκου: scil. Nicolaus; cf. Π 9,13, Π 10,15, et Π 491,8 ‖ **24–27** κατεδήδοκε – υἱός: cf. Luc. 15,20–32; cf. etiam Π 9,52–63 et infra l. 52–53 ‖ **27** ἀπώσῃ – πόαν: Greg. Naz. Εἰς τὸ ἅγιον Πάσχα … = Or. 1,7 ὧν εἴη πάντας ἡμᾶς, καὶ ποιμένας καὶ ποίμνιον, ὡς νοσερᾶς πόας καὶ θανασίμου πόρρω, cf. Psel. Βίος καὶ πολιτεία … Αὐξεντίου … = Or. hag. 1c,76 et Π 7,30 et Π 10,53

14–15 Καλλινίκου : an Νικολάου scribendum? cf. app. font. ‖ **21** ἤτω : ἔστω corr. Diam 304

ἔστι τὸ ἀλλόμενον εἰς ζωὴν ὕδωρ; Μᾶλλον μὲν οὖν κρημνοῖς ἀφήσεις καὶ ὄρεσιν; Ἀλλ' οὔτε τῆς κρείττονος ταῦτα παιδαγωγίας, οὔτε τῆς σῆς ἱερωτάτης καὶ τελεωτάτης ψυχῆς. Ἀλλὰ δέδοικας, μὴ 30 ψωριῶν τὴν ψυχὴν οὗτος καὶ ὕπουλα ἔχων καὶ ὑποδεδυκότα παθήματα, ἔπειτα καὶ ἄλλοις προσμίξας τῆς οἰκείας μεταδῷ λώβης; Ἀλλ' οὐ κατεγνωκέναι χρὴ πρὸ τῆς πείρας τόν γε πνευματικὸν ἄνθρωπον, οὐδὲ ἀσαφῶν ὑπονοιῶν ἕνεκεν σαφῶς καταγινώσκειν ἀνθρώπου τὴν σὴν ποιμαντικὴν ἐπιστήμην ἐπιζητοῦντος· μὴ γὰρ 35 οἴου, θεοειδέστατε καὶ καθαρωτάτη ψυχή, δι' ἀπορίαν προνοίας ἐπὶ τὴν σὴν καταφεύγειν μάνδραν τὸ μονάχιον· πλεῖστοι γὰρ τοῦτον διαμερίζονται, καὶ ἕκαστος εἰς ἑαυτὸν ἀντισπᾷ· ὁ δὲ πάντων, ὁπόσα ἀνθρώπινα ἀγαθά, τὴν πνευματικὴν ἀνταλλάττεται κακοπάθειαν, καὶ βούλεται τὰς πρὸς θεὸν συνθήκας πληροῦν, 40 ὅπου ταύτας καθωμολόγει.

Εἴτε οὖν δι' οἰκονομίαν μέχρι τοῦ νῦν ἀπέκλεισας αὐτῷ τὰς πρὸς τὴν μονὴν εἰσόδους, ἀποχρῶν ὁ καιρός· εἴτε διὰ δοκιμασίαν καὶ γνώμης πληροφορίαν, ἰδοὺ τὸ δοκίμιον ὁ μοναχὸς δέδωκε, πρὸς σὲ μόνον ἀφορῶν καὶ τῆς σῆς ἐπιστασίας ἐπιθυμῶν· εἰ δὲ καὶ 45 τιμωρὸν αὐτῷ χεῖρα ἐπέστησας ὧν ἴσως ἡμάρτηκεν, ἀλλὰ μετάβαλε, ἀλλὰ γενοῦ τῷ μοναχῷ ἐπιεικέστερος καὶ χρηστότερος. Μετὰ θεοῦ δικάζεις, σὺν τῷ θεῷ τὰς τῶν ἀδελφῶν ταλαντεύεις ψυχάς· μίμησαι τὴν ἐκείνου φιλανθρωπίαν.

Εἰ δὲ τὸ ἀγαθὸν ἐκεῖνο ἀνέφικτον, ἀλλὰ σὺ (ἤν γε βούλει) 50 μήτε τὸν μόσχον τέως αὐτῷ θύσῃς τὸν σιτευτόν, μήτε τὸ θεῖον δώσεις δακτύλιον, ὑπόδεξαι δὲ μόνον ἐπαναστρέφοντα, καὶ τῷ χορῷ τῶν ὑπὸ σοῦ ποιμαινομένων κατάλεξον. Οὕτως ὄναιο τῆς εἰς

28 τὸ– ὕδωρ: Ioann. 4,14 πηγὴ ὕδατος ἀλλομένου εἰς ζωὴν αἰώνιον, cf. Psel. Ἑρμηνεία περὶ τῶν εἰκοσιτεσσάρων στοιχείων ... πρὸς ... Ἰωάννην τὸν λιβελλίσιον = Phil. min. I 36,567 ‖ **33** πνευματικὸν: cf. I Cor. 2,15 ὁ δὲ πνευματικὸς (scil. ἄνθρωπος). cf. Π 275,37-39 ‖ **43** πρὸς τὴν μονὴν: monasterion, Θεοτόκου τῶν Ὁδηγῶν / τῆς Ὁδηγοῦ (cf. Janin 1969,199–207). cf. Π 10,52 τὴν μάνδραν τῆς θεομήτορος et Π 491,7–8 τῇ τῆς Ὁδηγοῦ ... μονῇ **51–53** μήτε τὸν μόσχον – κατάλεξον: cf. Luc. 15,20–32; cf. etiam Π 9,52–63 et supra ll. 24–27 et Π 110,26–27 et Π 112,55–59

31 ψωριῶν corr. K-D: ψωρεῶν O ‖ **32** καὶ ἄλλοις corr. K-D: γὰρ ἄλλοις O **45** τῆς σῆς corr. K-D: τῆς σοῦ O | ἐπιθυμῶν corr. K-D: ἐπιθυμᾶ O ‖ **46** ἴσως corr. K-D: σως O

θεὸν παρρησίας, οὕτω τῆς πρὸς ἐκεῖνον μιμήσεώς τε καὶ οἰκειώ-
55 σεως. Οὐκ ἄμισθός σοι ἡ τοιαύτη χάρις καὶ παρὰ θεῷ κείσεται· εἰ γὰρ καὶ πράκτορι τῷ πατρὶ χρηματίζεις υἱὸς καὶ κρείττων εἶ τῆς ἐπαναλήψεως, ὡς ἐκφυγὼν τὸν τρόπον τῆς ἀποστάσεως, ἀλλ' εἰσὶ καὶ παρ' ὑμῖν κλίμακές τινες πρὸς θεωρίας ἀνάγουσαι μείζονας, καὶ ὅπερ ἐστι τῷ ἐκπεπτωκότι ἡ πρὸς τὸ κρεῖττον ἐπάνοδος,
60 τοῦτο ὑμῖν τοῖς ἀποθεουμένοις ⟨ἡ⟩ πρὸς τὸ θεοειδέστερον ἄνοδος.

Ἕξεις οὖν ἐνταῦθα τοῦ καλοῦ τὴν ἀντίδοσιν, καὶ τῆς τοῦ μοναχοῦ παραδοχῆς γε καὶ οἰκειώσεως ἀντίληψιν τὴν πρὸς τὸν θεὸν τελεωτέραν ἀνάβασιν.

12. Τῷ πατριάρχῃ Ἀντιοχείας ⟨τῷ Αἰμιλιανῷ⟩

S 181 [P]

Ὡς ἥδομαι, θεοτίμητε δέσποτα, ὅτι σου τὸ ὑπερέχον τῆς ἀρετῆς διὰ πάσης τῆς οἰκουμένης κηρύττεται, καὶ οἱ κήρυκες οὐκ αὐτόπται μόνον καὶ αὐτήκοοι τῶν σῶν ἀγαθῶν, ἀλλὰ καὶ δεκτικοὶ κατὰ πολλὴν φιλοτιμίας περιουσίαν· διὰ ταῦτα καὶ σύντονος ὁ
5 λόγος αὐτῶν, καὶ ὁ ἔπαινος ζήλου καὶ θερμότητος πνεῖ.

Τούτων ἐστὶ καὶ ὁ δεῖνα ὁ Ἀντιοχεύς· ἀνὴρ (ὥς γε μοι δοκεῖ) οὐδενὸς δεύτερος ἐν εὐγνωμοσύνῃ τρόπων προσγεγενημένην εὐεργεσίαν ἀμείψασθαι. Τοῦτον τοίνυν ἐγὼ οὐκ ἐκ παρέργου ἀκήκοα, οὐδὲ κατὰ πάροδον περιηχήθη μοι τοῖς ὠσὶ τὰ σὰ παρὰ
10 τούτου ἐγκώμια, ἀλλ' ἄνωθεν ἀφορμῆς δικαίας μεσιτευσάσης μοι τοῦτον· πολλάκις γὰρ πρός με φοιτᾶν εἴωθεν, ἢ ἀμειψόμενος εἴπερ τι πέπονθε παρ' ἡμῶν ἀγαθόν, ἢ ληψόμενος ἕτερον.

Τὸν μὲν οὖν ἄλλον χρόνον περὶ ταῦτα ἐπραγματεύετο, πολλάκις δὲ καὶ τὴν Ἀντιόχου ἱστόρει μοι, τοῖς ἀρχαίοις τῆς πατρίδος
15 ἐπιγαννύμενος διηγήμασι. Νῦν δὲ πάντων ἐκείνων ἐπιλαθόμενος, τὴν σὴν μόνην ἀρχιερατικὴν τελειότητα ἀφορμὴν ποιεῖται τῆς διαλέξεως. Κἀπειδὰν ἄρξηται τῶν εὐφημιῶν, κατατείνει μέχρι

6 ὁ δεῖνα ὁ Ἀντιοχεύς: Ioseph (cf. Weiss 1972,34) de eodem ipso de quo dicitur in epistulas Π 14,59, Π 15,56, Π 16,68, et Π 143,6?

58 ὑμῖν scripsi: ἡμῖν O K-D | θεωρίας O: θεωρίαν K-D | μείζονας O: μείζονα corr. K-D ‖ **60** ἡ add. K-D ‖ **ep. 12** P 233r–v; tit. scripsi: τῷ πατριάρχῃ Ἀντιοχείας P S

πολλοῦ, ἐπ' ἄλλοις προστιθεὶς ἕτερα. Κἀγὼ ἐπειδὴ ἐρῶντά σου τῶν ἀρετῶν ᾔσθημαι, ἀντεπιδείκνυμι τούτῳ καὶ τοὺς ἐμοὺς περὶ σὲ ἔρωτας οὓς αἱ τῆς ψυχῆς ὠδῖνες ἀποτίκτειν εἰώθασι· καὶ ἀντιφι- 20 λοτιμοῦμαι τῷ λόγῳ· καὶ μὴ θαυμάσῃς εἰ νικῶ πολλῷ τὴν ἐκείνου πρόκλησιν.

Ἐγὼ μὲν οὖν τὴν ἀντιμισθίαν τῶν ἐπαίνων ἀπείληφα· τοιαύτη γὰρ ἡ περὶ σοῦ φήμη, ὅτι με διόλου εὐφήμῳ τιμᾷς στόματι, καὶ τοὺς ἐμοὺς λόγους ἐξαίρων καὶ λαμπροτέρῳ κάλλει σεμνύνων. Δεῖ 25 οὖν καὶ τοῦτον τῆς ἀναλογούσης τυχεῖν ἀντιδόσεως, καὶ πλέον τῶν ἄλλων τῆς σῆς ἀπολαύειν φιλοτιμοτάτης ψυχῆς. Εἰ δὲ δεῖ προσθεῖναι καὶ τὸ ἡμέτερον, μὴ δεύτερος ἡμῖν φανῇς ἐν ταῖς χάρισιν, οὗ διεδέξω τὸν θρόνον. Ἀλλ' ἐπειδὴ κἀκεῖνος ἅπαξ ἡμῶν ἀξιωσάντων τὸν ἄνδρα τετίμηκε, βεβαίωσον αὐτῷ τὴν τιμήν· καὶ 30 γενοῦ καλοῦ καλλίων, καὶ φιλοτίμου φιλοτιμότερος, πατρόθεν τε τὴν τοιαύτην γνώμην κληρονομήσας, καὶ παρὰ σεαυτοῦ προσθεὶς καὶ αὐξήσας εἰς δύναμιν.

13a. Πρὸς τὸν τῆς Ἀντιοχείας πατριάρχην ⟨τὸν Αἰμιλιανόν⟩

versio prima [U, M, E, e[1], e[2], m[2]]; cf. Π 13b = versio altera [i]

G 12 [M, E, e[1], e[2], m[2]], Malt 1b [U, M]

Δύο τὰς φιλοσοφίας ὁ τῆς ἀληθείας λόγος ἐπίσταται, οὐρανὸν

20 αἱ τῆς ψυχῆς ὠδῖνες: iunctura neoplatonica, saepe in Psello laudata; cf. e.g. Heliod. Αἰθιοπικά 2,23,2 ἀπέτεκον αἱ ψυχῆς ὠδῖνες et Procl. In Parm. 1191,9–10 διὰ τὴν αὐτοφυῆ τῆς ψυχῆς ὠδῖνα περὶ τὸ ἕν, et Psel. Λόγος εἰς ... Κωνσταντῖνον τὸν Μονομάχον = Or. pan. 1,15, Theol. I 4,129 et 56,57, et Π 207,20 ‖ **29** οὗ – θρόνον: Theodosius III Chrysoberges (patriarcha Antiochiae: Aug. 1057 – ca. a. 1060/1065?)

ep. 13a U 152v–153v (cum scholiis et supplementis Allatii), A 41v–42r, M 155r–v, E 83r–84r, e[1] 210v–212r, e[2] 136r–137r, m[2] 390v–391v, a[3] (des. mut.); i 295–296 = Π 13b (versio altera in collectione epistolarum Hierothei monachi); tit. scripsi: τῷ πατριάρχῃ Ἀντιοχείας suppl. All in U πρὸς τὸν Ἀντιοχείας πατριάρχην· ὅτι φιλοσοφίας καὶ θεολογίας παράθεσις A om. M E (continuat Π 65) e[1] (continuat Π 65) e[2] (continuat Π 65) m[2] (continuat Π 65) i πρὸς τὸν τῆς Ἀντιοχείας πατριάρχην a[3] ⟨ad Ioannem Ducam⟩ G τῷ καίσαρι Δούκᾳ Malt (continuat Malt 1a) ‖ **1** δύο τὰς: διττὰς A a[3] | τιμιώτατε πάτερ καὶ σεβασμιώτατε δέσποτα post φιλοσοφίας add. Π 13b,1–2

μερισαμένας καὶ γῆν. Ἡ μὲν γὰρ κάτωθεν ἀναβλύζει, θολερῷ τινι
καὶ ἁλμυρῷ ῥεύματι, ἡ δὲ ἄνωθεν ἐπιχεῖται ποτίμῳ τῷ ῥείθρῳ.
Καὶ ἡ μὲν τὴν ἀκοὴν μόνην θυροκοπεῖ φορτικοῖς ἐνθυμήμασι καὶ
5 νοήμασιν, ἡ δὲ ἠρέμα πρὸς τὴν καρδίαν χωρεῖ, ἁπλῆ τις οὖσα καὶ
καθαρὰ καὶ μηδὲν ἐπισυρομένη τῆς κάτω γενέσεως.

Τούτων δὴ τῶν ἐπιστημῶν, τῆς μὲν χαμόθεν ἐρχομένης αὐτὸς
προΐσταμαι, τὴν δ' ἐξ οὐρανοῦ καταρρέουσαν ἡ σὴ τελειότης
προβέβληται. Τί δήποτ' οὖν δράσω πρὸς τὸν σὸν οὐράνιον ὑετόν,
10 καὶ τὰς ἀπείρους τῶν λόγων νιφάδας, καὶ τὰ ῥαγδαῖα καὶ πότιμα
νάματα, καὶ τὸν κατακλυσμὸν τῶν ἐν τοῖς λόγοις ἰύγγων, καὶ

2–3 θολερῷ – ῥεύματι: cf. Herod. 7,35 ὡς ἐόντι καὶ θολερῷ καὶ ἁλμυρῷ ποταμῷ. cf. Π 507,18–19; cf. etiam Π 13b,3 ‖ **1–3** δύο – ῥείθρῳ: cf. Greg. Naz. Εἰς τοὺς λόγους, καὶ εἰς τὸν ἐξισωτὴν Ἰουλιανόν = Or. 19,1 μέχρις ἂν τοῖς ποτίμοις τῶν λόγων τοὺς ἁλμυροὺς ἀποκλύσωμαι cum Plat. Φαῖδρος 243d4–5 ἐπιθυμῶ ποτίμῳ λόγῳ οἷον ἁλμυρὰν ἀκοὴν ἀποκλύσασθαι et Psel. Κατηγορία τοῦ ἀρχιερέως = Or. for. 1,21–22, Βίος καὶ πολιτεία … Αὐξεντίου … = Or. hag. 1c,69–71, Ὀνειδίζει τοὺς μαθητὰς ἀμελοῦντας = Or. min. 24,108–110, Ἀλληγορία τοῦ 'οἱ δὲ θεοὶ πὰρ Ζηνὶ …' = Phil. min. I 42,12–13, Περὶ τῆς χρυσῆς ἁλύσεως = Phil. min. I 46,12–13, Λόγος ἀλληγορῶν τὴν τοῦ Διὸς γένεσιν … = Phil. min. I 47,10–12, Περὶ ψυχῆς = Phil. min. II 11 (22,2–4), Ἐκ τοῦ Εἰς τὰ φῶτα δευτέρου λόγου, εἰς τὸ 'οἶδα καὶ πῦρ …' = Theol. I 70,194–195, et Π 202,25–26 ἀλλὰ τὸ διαυγάζον ἴσως ἀγαπήσας τοῦ νάματος, τὴν ἅλμην ἀπεκλυσάμην et Π 507,15–20 συγκρίνων δὲ τὰ ἡμέτερα καὶ θεοπαράδοτα τῷ ὄντι λόγια παρὰ τὴν Ἑλληνικὴν ἀπειροκαλίαν, τὰ μὲν ἀπεικάζω πηγῇ καθαρᾷ καὶ διειδεστάτῃ, κάτωθεν ἀναβλυζούσῃ καὶ τὴν διψῶσαν ψυχὴν ἠρέμα ἐμφορούσῃ τοῦ νάματος, τὰ δὲ ὕδατι ἐξομοιῶ θολερῷ καὶ ἀπότῳ καὶ ἁλμυρῷ, σφοδρῶς ῥέοντι καὶ τὸν νοῦν κατασύροντι. cf. etiam Π 13b,1–4, Π 97,19, Π 200,78-79 et Duffy 2001 ‖ **10** τὰς – νιφάδας: Hom. Il. 3,222 ἔπεα νιφάδεσσιν ἐοικότα. cf. etiam Greg. Naz. Ἀπολογητικὸς εἰς τὸν ἑαυτοῦ πατέρα Γρηγόριον = Or. 9,4 πολλαῖς τῶν σῶν λόγων καὶ πυκναῖς ταῖς νιφάσιν etc. cum Psel. Ἐκ τοῦ αὐτοῦ λόγου, εἰς τὸ 'εἰ δὲ ἄυλον φήσομεν' = Theol. I 50,43 et Π 13b,13–14 et Π 542,11–12

2 μερισάμενος G ‖ **3** ποτίμῳ : ποταμίῳ E e[1] e[2] m[2] ‖ **4** τὴν om. Π 13b | μόνην : μόνον e[2] m[2] καὶ μόνην Π 13b,5 ‖ **4–5** καὶ νοήμασιν om. A a[3] ‖ **7** τῆς … ἐρχομένης: τὴν … ἐρχομένην U A a[3] ‖ **7–8** αὐτὸς προΐσταμαι: ἄκρῳ δακτύλῳ ἡψάμην αὐτὸς ὁ μηδὲ θύραν κρούσας μαθήσεως Π 13b,8–9 ‖ **8** καταρρέουσαν U A a[3] Π 13b,10: καταρρεύσασαν M E e[1] e[2] m[2] G Malt ‖ **8–9** ἡ σὴ τελειότης προβέβληται: ὦ τιμία καὶ ἱερὰ κεφαλή, τῇ σῇ καθαρωτάτῃ ψυχῇ, συνοικοῦσαν ἔχεις καὶ μόνιμον, κ[αὶ] τὴν χαμαὶ συρομένην ἀπέπτυσας, ὡς ἀνωφελῆ καὶ ἀβέβα[ιον] Π 13b,10–12 ‖ **9** τῶν τὸν ante corr. m[2] ‖ **11** ὑίγγων A

τοὺς ἀμυθήτους ὄμβρους καὶ ἀπορρήτους, ὁ ἀπὸ τῶν τῆς γῆς χηραμῶν βραχεῖαν προφαίνων νοτίδα, καὶ ταύτην ἁλμυράν τε καὶ ἄποτον, καὶ τῶν σῶν μόνων δεομένην χειρῶν, ὡς ἡ Μερρὰ τῶν μωσαϊκῶν, εἰς μεταβολὴν τῆς ποιότητος; 15

Σὺ δέ μοι ἐῴκεις δεδιότι ὁπότε πρὸς ἡμᾶς ἐπιστολῶν ἐμνημόνευες, καὶ ὥσπερ τινὰ παλαιστὴν ὑπώπτευες κρείττονα, καὶ διὰ ταῦτα μικροῦ δεῖν καὶ τὸν τῆς φιλίας ἠθέτεις θεσμόν, ὃς δὴ τὰς διεστώσας ψυχὰς συνάπτει τοῖς γράμμασιν. Ἀλλ' ἐγὼ καὶ τότε ἐμειδίων πρὸς τὴν ὑπόκρισιν, καὶ νῦν ἐξ ἀντιθέτου πρὸς τὰς τῶν 20 ἐπιστολῶν συγκρίσεις ἀπολοφύρομαι, ὅτι δέον τὴν πρώτην

12–13 ἀπὸ τῶν τῆς γῆς χηραμῶν: cf. Synes. Cyren. Αἰγύπτιοι ἢ περὶ προνοίας 1,1,9–12 δύο δὲ ἡ τοῦ κόσμου φύσις παρέχεται, τὴν μὲν φωτοειδῆ, τὴν δὲ ἀειδῆ· καὶ τὴν μὲν χαμόθεν ἀναβλύζουσαν, ἅτε ἐρριζωμένην κάτω ποι, καὶ τῶν [τῆς] γῆς χηραμῶν ἐξαλλομένην cum Psel. Περὶ τοῦ πῶς οἱ μὲν τῶν ἀνθρώπων γίνονται φρόνιμοι, οἱ δὲ μωροί = Phil. min. II 19 (89,2–5) οὐκ ὤκνησαν διττὰς εἰπεῖν τῶν φύσεων τὰς πηγάς, τὴν μὲν ἄνωθεν ἀπὸ τῶν τοῦ οὐρανοῦ νώτων ἐνταῦθα τὰ ῥεύματα πέμπουσαν, τὴν δὲ ἐρριζωμένην κάτω που καὶ ἀπὸ τῶν τῆς γῆς χηραμῶν ἀναβλύζουσαν. cf. etiam Π 13b,1–4 **13–15** ταύτην – ποιότητος: Exod. 15,23–25 ἦλθον δὲ εἰς Μερρα καὶ οὐκ ἠδύναντο πιεῖν ἐκ Μερρας, πικρὸν γὰρ ἦν· ... ἐβόησεν δὲ Μωυσῆς πρὸς κύριον· καὶ ἔδειξεν αὐτῷ κύριος ξύλον, καὶ ἐνέβαλεν αὐτὸ εἰς τὸ ὕδωρ, καὶ ἐγλυκάνθη τὸ ὕδωρ. cf. Psel. Ἐγκώμιον εἰς ... Νικόλαον μοναχὸν ... = Or. fun. I 10,13,3–5, Λόγος τοῦ ὑπερτίμου ὃς ἐπικέκληται σελέντιος = Or. min. 4,160, Πρὸς τοὺς ἐρωτήσαντας πόσα γένη τῶν φιλοσοφουμένων λόγων = Phil. min. I 3,164–166, Ἑρμηνεία περὶ τῶν εἰκοσιτεσσάρων στοιχείων ... πρὸς ... Ἰωάννην τὸν λιβελλίσιον = Phil. min. I 36,552–553, et Π 137,16–18 et Π 390,39–40. cf. etiam Psel. Ἀλληγορία τοῦ 'οἱ δὲ θεοὶ πὰρ Ζηνὶ ...' = Phil. min. I 42,3–15; cf. etiam Π 13b,18–19 ‖ **21–22** πρώτην φιλοσοφίαν: i.e. theologia, iunctura Aristotelica; cf. e.g. Psel. Συλλογαὶ διάφοροι καὶ ποικίλαι = Phil. min. II 13 (37,32–38,13), Ἑρμηνεία περὶ τῶν εἰκοσιτεσσάρων στοιχείων ... πρὸς ... Ἰωάννην τὸν λιβελλίσιον = Phil. min. I 36,197, Χρονογραφία VI,36, et Π 15,44–45 et Π 210,3

12 ἀπορρήτους U A a[3] G Π 13b,16: ἀφορήτους in marg. U (suppl. All) M E e[1] e[2] m[2] Malt ‖ **13** χηραμῶν: χειμάρρων A | βραχεῖαν codd.: βραχεῖάν τινα G Malt τινα in marg. U (suppl. All) | ταύτην: ταῦτα Π 13b,17 | τε : τινα e[1] e[2] m[2] **14** μόνων: om. Π 13b,17 | χειρῶν U A a[3] G Π 13b,18: χερῶν M E e[1] e[2] m[2] Malt **16** δεδεδιότι m[2] ‖ **18** φιλίας: φιλοσοφίας U (All) | ἐθέτεις a[3] | ὃς U A M a[3] G Malt: οὓς E e[1] e[2] m[2] ‖ **20** ἀντιθέτου: ἀντιθέσεως A ‖ **21** ἀπολοφύρομαι U M E e[1] e[2] m[2] G Malt: ἀποφαίνομαι A ἀποφύομαι a[3] | δέον U M E e[1] e[2] post corr. m[2] G Malt: δὲ τῷ A τῷ a[3] δίκαιον ante corr. m[2]

φιλοσοφίαν ἐργάζεσθαι, ἐκεῖθέν τε ξυντιθέναι τοὺς λόγους, καὶ τὸ κάλλος ἔχειν ἔμφυτόν τε καὶ ἄφατον, τὴν ἐναντίαν πονῶ καὶ ἀντίθετον, ἐν ᾗ ἁρμονία μὲν οὐδεμία, οὐδέ τις μουσικὴ χάρις καὶ
25 ἡδονή, συστροφαὶ δὲ νοημάτων καὶ τεχνολογίαι βαρεῖαι, καὶ φορτική τις δεινολογία, ἐκ προοιμίων εὐθὺς τὸ ἐπαχθὲς ἐπιφαίνουσα. Εἰ δέ που καὶ θεολογῆσαι δεήσει, ὅσος μὲν ὁ κόμπος τῆς ὑποσχέσεως, οἷα δὲ τὰ θεαγωγοῦντα, ἢ πρὸς τὸ κρεῖττον ἀνάγοντα· ἐκεῖσε μὲν αὐτοψίαι καὶ ἐποπτεῖαι καὶ ἐνθεασμοί,
30 ἐνταῦθα δὲ νοῶν ἁπλότητες, καὶ αἱ ὑπὲρ ταύτας ζωαί, καὶ τὸ ὑπὲρ

28–29 οἷα – ἐνθεασμοί: cf. Psel. Εἰς τὸ ‘εἶδον ἄνθρωπον ἐν Χριστῷ ...’ = Theol. I 27,188–193 τίς τε ἡ αὐτοψία ἐστὶ καὶ τίς ἡ θεαγωγία, καὶ πῶς ποτὲ μὲν ὁ νοῦς ὁρᾷ τὰ ἀθέατα, ποτὲ δὲ τὸ φανταστικὸν τῆς ψυχῆς, τίς τε ἡ τοῦ θεοῦ πρὸς τὸν ἄνθρωπον ἀναγωγή τε καὶ κάθοδος, καὶ πότε μὲν ὁ νοῦς παρακολουθεῖν δύναται, ὡς δύνασθαι νοεῖν ὅτι τοῖς ὑπὲρ φύσιν προσομιλεῖ, πότε δὲ ὅλον τὸ τῆς ψυχῆς ὄχημα, ὁ ἄνθρωπος, ἐκπυρούμενος πάντῃ ἑαυτοῦ ἐπιλέλησται, Ἑρμηνεία εἰς τὸ ῥητὸν τῆς Κλίμακος = Theol. I 30,153–155 πῶς μὲν αὐτοψίαι γίνονται, πῶς δὲ ἐποπτεῖαι, καὶ πῶς τὰ μὲν κατ’ αὐτοφάνειαν, τὰ δὲ διὰ μέσων ἡμῖν ὁρᾶται, etc. ‖ **30** νοῶν ἁπλότητες: cf. Ps.-Dion. Areop. Περὶ τῆς οὐρανίας ἱεραρχίας 15,1 (50,16–51,1) ἐπὶ τὴν ἁπλότητα τῶν οὐρανίων νοῶν ‖ **30–31** καὶ² – ἕν: cf. Psel. Ἐγκώμιον εἰς Ἰωάννην ... Εὐχαΐτων ... = Or. pan. 17,327–331 ἔνθα δὴ καὶ γενόμενος ἐγνώκει τὸ πρώτως ἕν, τὰς ἐκεῖθεν ἑνάδας, τὸ κυρίως ὄν, τὰς τοῦ ὄντος μερίδας, τὰ τοῦ καλοῦ παραδείγματα, τὴν θαυμασίαν σειράν, τοὺς μέσους δεσμοὺς δι’ ὧν τὰ ἄκρα συνάπτεται, Εἰς τὸ ‘πέρας τοῦ μυστηρίου ...’ = Theol. I 93,43–50 δεῖ οὖν γνῶναι ὁπόσα μεταξὺ ἡμῶν καὶ θεοῦ· πρῶτον μὲν ὁ ἄδυτος ‘γνόφος’, ὃν μόλις πού ποτε τῶν λογικῶν τινες ὑπερέβησαν· ἔπειτα αἱ μετὰ τὸν γνόφον δυνάμεις, ἀφ’ ἑνὸς προϊοῦσαι καὶ ἑνάδες καλούμεναι· μετὰ δὲ ταύτας ὁ ἑνιαῖος νοῦς, ἐφ’ ὃν ἐκεῖναι συμπερατοῦνται· εἶτα μερικοί τινες νόες· ὑφ’ οὓς αἱ ψυχαί· εἶτα φύσεις καὶ σώματα καὶ ὕλη τὸ τελευταῖον. δεῖ γοῦν τὸν θεωθησόμενον πρῶτον μὲν πρὸς ψυχὴν στραφῆναι, εἶτα δι’ ἐκείνης πρὸς νοῦν καὶ διὰ τοῦ νοῦ πρὸς τὰ ὑπερκείμενα καὶ τέλος δι’ ἐκείνων πρὸς θεόν, etc.

22 φιλοσοφίαν : φιλίαν e² m² | ἐργάζεσθαι ante corr. m² | ἐκεῖθέν : κοινῇ A a³ **23** ἄφατον : ἄφυκτον A a³ ‖ **24** οὐδεμία U A a³ G: οὐδαμοῦ M E e¹ e² m² Malt **26–27** ἐπιφαίνουσα: ἐμφαίνουσα G ‖ **27** μὲν U A a³ G Malt: om. M E e¹ e² m² «deest» in marg. U (All) | κόμπος U A ante corr. M in marg. corr. E in marg. corr. e¹ in marg. corr. e² a³ Malt: κόσμος in marg. corr. M ante corr. E ante corr. e¹ ante corr. e² m² G ‖ **29** ἐκεῖσε U A a³: ἐκεῖ M E e¹ e² m² G | ἐποπτεῖαι: des. a³ ἀποπτεῖαι e¹ e² m² | ἐνθεασμοί U A: ὁ ἐνθεασμός M E Malt ἐνθεασμός e¹ e² m² ὁ in marg. add. U (All) ἐνθειασμοί G ‖ **30** δὲ U A G Malt: om. M E e¹ e² m²

ἐκείνας ὄν, ἑνάδες τε καὶ τὸ ἁπλούστατον ἕν, ἃ δὴ διαβῆναι χρεὼν ἡμᾶς (οὐκ οἶδ' ὁπότε καὶ ὅπως, οὐδ' ὁπόσοις καὶ οἵοις πτεροῖς), ὡς οὐκ ἂν ἄλλως γενησομένης τῆς πρὸς τὸν θεὸν συναφῆς.

Ἆρ' οὖν οὐκ αὐτόθεν ἔδεισας, φιλοσόφων φιλοσοφώτατε, μήποτε οὐκ ἀναβήσῃ τὴν κλίμακα ταύτην, ὥστε διὰ ταῦτα δὴ κάτω εἶναι; Ἀλλ' οἷα τὰ σά, καθαρεῦσαι δεῖ μόνον καὶ σαρῶσαι τὸν νοῦν, καὶ εὐθὺς ἐνοικήσεις θεόν, καὶ ἐμπεριπατῆσαι ποιήσεις τῷ καθαρῷ, καὶ εἰς ταὐτὸ συνάξεις ἀγωγὴν καὶ θεαγωγίαν· ἵνα γὰρ ἐκεῖνο γένηται, δεῖ τὸν μὲν ἀναχθῆναι, τὸν δὲ καταβῆναι τῆς οἰκείας περιωπῆς, ἵνα ἡ κρᾶσις φιλόσοφος καὶ σύμμετρος γένηται. 35 40

Οὕτω σοι ἡ Ἑλληνικὴ καὶ μακρὰ θεολογία ἑτοίμως πάνυ καὶ ἀληθῶς ἐσχεδίασται. Καὶ διὰ ταῦτα τὴν Ἀντιόχου ζηλῶ, ὅτι σὲ πρὸς τῷ τέλει οἰκιστὴν ἀληθέστατον καὶ πολιοῦχον ἐδέξατο· ἐν ᾗ

31 τὸ – ἕν: cf. Psel. Εἰς ῥητὸν ἀποστολικόν = Theol. II 33,37–40 τὸ γὰρ ὂν ἑνώσεώς ἐστιν ὄνομα, ἡ δὲ ἕνωσις ἡνωμένων ἐστὶν ἕνωσις· ὁ δέ γε θεὸς τὸ πάντων ἁπλούστατον, ὥστε μᾶλλον ἂν τὸ ἓν ἢ τὸ ὂν προσμαρτυρήσαι τις τῷ θεῷ ‖ **37** ἐνοικήσεις – ποιήσεις: cf. II Cor. 6,16 (cum Lev. 26,12) καθὼς εἶπεν ὁ θεὸς ὅτι Ἐνοικήσω ἐν αὐτοῖς καὶ ἐμπεριπατήσω, καὶ ἔσομαι αὐτῶν θεός. cf. Psel. Κατηγορία τοῦ ἀρχιερέως = Or. for. 1,625–626, Ἐγκώμιον εἰς Ἰωάννην ... Εὐχαΐτων ... = Or. pan. 17,710–711, Ἀπόδειξις ... τῆς τοῦ κυρίου ἐνσωματώσεως ... πρὸς τὸν σουλτᾶνον ἀπὸ τοῦ βασιλέως = Theol. II 3,150–151 ‖ **39–40** τῆς οἰκείας περιωπῆς: cf. Psel. Βίος καὶ πολιτεία ... Αὐξεντίου ... = Or. hag. 1a,464–467 ὁ μὲν οὖν μακάριος καὶ τῷ ὄντι ἄνθρωπος τοῦ θεοῦ ἐν τῇ ἀκροτάτῃ τοῦ ὄρους περιωπῇ ὥσπερ ἐπὶ τῆς τῶν ἀρετῶν ἀκρότητος καὶ ὑψηλοτάτης βάσεως ἑστηκώς et Εἰς τὸ 'ἀπ' ἄρτι ὄψεσθε ...' = Theol. I 28,95–98 ἐπειδὰν γάρ τις ἀγγελικὴ τάξις ἢ ἀρχαγγελικὴ καταστραφθεῖσα τὴν φύσιν ταῖς ἄνωθεν θεωρίαις συνεπεκτανθῇ μέχρι πολλοῦ πρὸς τὸ ὕψος τῆς ἀκροτάτης περιωπῆς, αὐτῆς φημι τῆς τριαδικῆς ἑνώσεως καὶ μιᾶς ἀρχῆς. cf. etiam Π 15,10–11, Π 86,25, Π 141,13–14, Π 206,49, et Π 515,15

31 δὴ om. e[1] e[2] m[2] ‖ **33** τὸν U G Malt: om. M E e[1] e[2] m[2] «deest» in marg. U (All) ‖ **34** ἔδεισας: [.]δείσας U δήσας A ‖ **35** δὴ U Malt: δεῖ A M E e[1] e[2] m[2] G **36** δεῖ: δὴ A ‖ **38** καὶ εὐθὺς ἐνοικήσεις θεόν, καὶ ἐμπεριπατῆσαι ποιήσεις τῷ καθαρῷ in marg. suppl. e[1] | ταὐτὸ: ταὐτὸν U (All) G | θεαγωγίαν : θεαγωγά e[1] e[2] θεαγώνα m[2] ‖ **39** ἐκεῖνο U A G: ἐκεῖνα M E e[1] e[2] m[2] Malt | καταβῆναι: καταβῆναι τὶ A ‖ **40** ἵνα ἡ U A ante corr. M G: ἵν' ἡ post corr. M E e[1] e[2] m[2] Malt | ἡ κρᾶσις: ἐπίσης καὶ A ‖ **43** ᾗ: οἷς in marg. U (All)

«ποταμοὶ» μὲν (ὥς φασιν) «ἀένναα» ῥέουσι, καὶ αἱ τοῦ ἔτους ὧραι
45 ἠρέμα πως μετριάζουσαι, τοῖς σώμασιν εὐκρασίαν διδόασι, τό τε
χωρίον ἡ Δάφνη—ἀλλὰ τοῦτο δὴ πῶς ὑμνήσω νῦν, πολλαχοῦ ταῖς
ἱστορίαις ᾀδόμενον; Ἀλλὰ τί ταῦτα πρὸς τὸν ἐν σοὶ τῆς χάριτος
ποταμόν, καὶ τὴν τῶν ἀρετῶν σύγκρασιν, ὅπως τε τὴν περιέχου-
σαν φύσιν μετακιρνᾷς καὶ ταῖς ψυχαῖς θείαν χαρίζῃ ἀπόρροιαν;
50 Ἀλλὰ τίς ἄν με σταίη ἐγγύτατα σοῦ; Πῶς δ' ὑπανοίξας τὸ στόμα,
ὅλον σου τὸ ῥεῖθρον εἰσδέξομαι; Ὡς νῦν γέ μοι μάλιστα ἐρασμιώ-
τερον καὶ ποθεινότερον φαίνεται, ὁπότε δὴ μακρὰν ἀφ' ἡμῶν
ἀπέστης, καὶ τὸν πόθον ἐδοκίμασεν ἡ διάστασις.

Σὺ δ' οὖν ἀλλὰ μίμησαί μοι τοὺς μεγίστους τῶν ποταμῶν, οἳ
55 δὴ πολλάκις ἐκ τῆς μεσημβρινῆς ζώνης τὰς ἀρχὰς τῆς ῥύσεως
ἔχοντες, πολλὴν ἐπέρχονται γῆν, Λίβυάς τε καὶ Πάρθους κατάρ-
δουσι, Κελτούς τε καὶ Ἰνδοὺς ἐπινέμονται, καὶ ταῖς ἀντιθέτοις
ἠπείροις ἐπισυρόμενοι, ἐπὶ τὴν Προποντίδα τὸ νᾶμα προχέουσιν.
Ἐπιρρείτω γοῦν μοι καὶ τὸ σὸν ῥεῖθρον, ἀπὸ τῆς Ἀντιόχου
60 ἀρχόμενον, καὶ χείσθω μοι διὰ τῶν ἐπιστολῶν, καὶ κύκλωθεν

44 ποταμοὶ … ἀένναα: Hes. Ἔργα καὶ ἡμέραι 737 μηδέ ποτ' ἀενάων ποταμῶν, iunctura saepe laudata; cf. Psel. Βίος καὶ πολιτεία … Αὐξεντίου … = Or. hag. 1a,182, Λόγος εἰς τὰ θαύματα τοῦ ἀρχιστρατήγου Μιχαήλ = Or. hag. 5,609, Λόγος εἰς … Κωνσταντῖνον τὸν Μονομάχον = Or. pan. 1,187, Εἰς τὸ εὐαγγελικὸν … 'πνεῦμα ὁ θεός …' = Theol. I 76,167, Εἰς τὸ 'τὸ μέν, ἵνα μένῃ …' = Theol. I 91,99, et Π 241,3 ‖ **42–47** τὴν Ἀντιόχου – ᾀδόμενον: cf. e.g. Liban. Ἀντιοχικός = Or. 11 ‖ **44–45** αἱ – διδόασι: cf. Π 175,32–33 τῆς φιλίας τὰς χάριτας … αἳ δὴ τὸ σεμνὸν αὐτῆς μετριάζουσαι, συγκεκραμμένην δεικνύουσι

44 ἀένναα: ἀέννεα U ‖ **45** τε: δὲ dubitanter prop. G ‖ **46** νῦν U A: νυνί M E e[1] e[2] m[2] G Malt ‖ **49** φύσιν U A G Malt: om. M E e[1] e[2] m[2] | ταῖς ψυχαῖς: τῇ ψυχῇ A **50** σταίη: ἱσταίη corr. et στῆσαι vel στήσειε in app. crit. prop. Malt ‖ **52** ἡμῶν : ἡμῖν G ‖ **54** τοὺς μεγίστους τῶν ποταμῶν U A G: τῶν ποταμῶν τοὺς μεγίστους M E e[1] e[2] m[2] Malt ‖ **56** ἐπέρχονται : ὑπέρχονται e[1] e[2] m[2] | Λίβυάς U A G Malt: Λίβας M E e[1] e[2] m[2] ‖ **59** γοῦν: οὖν A

περιρρείτω μοι· ἀμειαγώγητον γάρ μοι, καὶ διὰ τοῦ πολλοῦ γενήσεται διαστήματος· ἢν δὲ μή, ἀλλ' ἐμοὶ καὶ τὸ βραχύτατον πόμα αὔταρκες γενήσεται πρὸς ἐμφόρησιν.

13b.*

versio altera; retractatio in collectione epistolarum Hierothei monachi [saec. XII, quarta pars], cod. i; cf. Π 13a (= versio prima [U, M, E, e[1], e[2], m[2]]) et Psel. Ἐπιτάφιος εἰς τὴν ἑαυτοῦ μητέρα 572–576 et 442–448

ined. [i]

Δύο τὰς φιλοσοφίας, τιμιώτατε πάτερ καὶ σεβασμιώτατε δέσποτα, ὁ τῆς ἀληθείας λόγος ἐπίσταται, οὐρανὸν μερισαμένας καὶ γῆν. Ἡ μὲν γὰρ κάτωθεν ἀναβλύζει, θολερῷ τινι καὶ ἁλμυρῷ ῥεύματι, ἡ δὲ ἄνωθεν ἐπιχεῖται ποτίμῳ τῷ ῥείθρῳ. Καὶ ἡ μὲν ἀκοὴν καὶ μόνην θυροκοπεῖ φορτικοῖς ἐνθυμήμασι καὶ νοήμασιν, ἡ δὲ ἠρέμα 5 πρὸς τὴν καρδίαν χωρεῖ, ἁπλῆ τις οὖσα καὶ καθαρὰ καὶ μηδὲν ἐπισυρομένη τῆς κάτω γενέσεως.

Τούτων δὴ τῶν ἐπιστημῶν, τῆς μὲν χαμόθεν ἐρχομένης ἄκρῳ δακτύλῳ ἡψάμην αὐτὸς ὁ μηδὲ θύραν κρούσας μαθήσεως, τὴν δ' ἐξ

61 ἀμειαγώγητον: vox e Synes. Cyren. (cf. Epist. 5,4)? cf. Psel. Ὡς ἀπὸ προσώπου τοῦ βασιλέως = Or. for. 5,65–66, Ἐγκώμιον εἰς … Κωνσταντῖνον … τὸν Λειχούδην = Or. fun. I 2,8,65, Λόγος εἰς τὰ θαύματα τοῦ ἀρχιστρατήγου Μιχαὴλ = Or. hag. 5,140, Τῷ … Κομνηνῷ = Or. pan. 9,5, et Π 474,37 ‖ **3** θολερῷ – ῥεύματι: cf. Herod. 7,35 ὡς ἐόντι καὶ θολερῷ καὶ ἁλμυρῷ ποταμῷ. cf. Π 507,18–19; cf. etiam Π 13a,2–3 ‖ **1–4** δύο – ῥείθρῳ: cf. supra Π 13a,1–3

61 περιρρείτω U A G Malt: ἐπιρρείτω M E e[1] e[2] m[2] | μοι[1] U A M G: om. E e[1] e[2] m[2] Malt | ἀμειαγώγητον U A M G: ἀμεισαγώγητον E e[1] e[2] m[2] ἀνεισαγώγητον Malt ‖ **16–63** σὺ δέ μοι – ἐμφόρησιν: ἀλλ' ὢ τί πάθω – δεξάμενος Π 13b,20–33 ‖ **ep. 13b** i 295–296 (versio altera in collectione epistolarum Hierothei monachi); U 152v–153v (cum scholiis et supplementis Allatii), A 41v–42r, M 155r–v, E 210v–212r, e[1] 83r–84r, e[2] 136r–137r, m[2] 390v–391v, a[3] Iv (des. mut.) = Π 13a (versio prima); tit. deest in i: Πρὸς τὸν τῆς Ἀντιοχείας πατριάρχην ⟨τὸν Αἰμιλιανόν⟩ Π 13a ‖ **2** ἀληθείας – μερισαμένας i: deest in Π 13a ‖ **4–5** ἀκοὴν καὶ μόνην i: τὴν ἀκοὴν μόνην Π 13a,4 ‖ **8** τῆς … ἐρχομένης i Π 13a,7 (M E e[1] e[2] m[2] G Malt): τὴν … ἐρχομένην U A a[3] ‖ **8–9** ἄκρῳ – μαθήσεως i: αὐτὸς προΐσταμαι Π 13a,7–8

10 οὐρανοῦ καταρρέουσαν, ὦ τιμία καὶ ἱερὰ κεφαλή, τῇ σῇ καθαρωτάτῃ ψυχῇ συνοικοῦσαν ἔχεις καὶ μόνιμον, κ[αὶ] τὴν χαμαὶ συρομένην ἀπέπτυσας, ὡς ἀνωφελῆ καὶ ἀβέβα[ιον]. Τί δήποτ' οὖν δράσω πρὸς τὸν σὸν οὐράνιον ὑετόν, καὶ τὰς ἀπείρους τῶν λόγων νιφάδας, καὶ τὰ ῥαγδαῖα καὶ πότιμα νάματα, καὶ τὸν κατακλυ-
15 σμὸν τῶν ἐν τοῖς λόγοις ἰύγγων, καὶ τοὺς ἀμυθήτους ὄμβρους καὶ ἀπορρήτους, ὁ ἀπὸ τῶν τῆς γῆς χηραμῶν βραχεῖαν προφαίνων νοτίδα, καὶ ταῦτα ἁλμυράν τε καὶ ἄποτον, καὶ τῶν σῶν δεομένην χειρῶν, ὡς ἡ Μερρὰ τῶν μωσαϊκῶν, εἰς μεταβολὴν τῆς ποιότητος;

20 Ἀλλ' ὢ τί πάθω, καὶ πρὸ τῶν ἀγώνων ἀποκαμών, ὥσπέρ τις παλαιστὴς ἄτεχνος καὶ δειλός, ἡττῶμαι τοῦ συμπαλαίοντος. Τί δ' ἂν εἰπὼν τῶν σῶν ἀρετῶν ἀκροθιγῶς ἅψομαι; Βούλομαί σου θαυμάσαι τὸ ἀκριβὲς τῆς φρονήσεως, ἢ τῷ ἐν σώματι εἶναι σε καὶ κόσμῳ καὶ τοῖς ἐν κόσμῳ συστρέφεσθαι ἀσωμάτως διάγειν καὶ

13–14 τὰς – νιφάδας: Hom. Il. 3,222 ἔπεα νιφάδεσσιν ἐοικότα. cf. etiam Greg. Naz. Ἀπολογητικὸς εἰς τὸν ἑαυτοῦ πατέρα Γρηγόριον = Or. 9,4 πολλαῖς τῶν σῶν λόγων καὶ πυκναῖς ταῖς νιφάσιν etc. cum Psel. Ἐκ τοῦ αὐτοῦ λόγου, εἰς τὸ 'εἰ δὲ ἄυλον φήσομεν' = Theol. I 50,43 et Π 13a,10 et Π 542,11–12 ‖ **16** ἀπὸ τῶν τῆς γῆς χηραμῶν: cf. Synes. Cyren. Αὐγύπτιοι ἢ περὶ προνοίας 1,1,9–12 et supra Π 13a,12–13 ‖ **18–19** καὶ ταύτην – ποιότητος: Exod. 15,23–25 et supra Π 13a,13–15 ‖ **20–22** ἀλλ' ὢ – ἅψομαι: Psel. Ἐπιτάφιος εἰς τὴν ἑαυτοῦ μητέρα 572–576 ἀλλ' ὢ τί ἂν εἰπὼν τῶν ἐκείνης καλῶν ἀκροθιγῶς ἅψωμαι; βούλομαι μὲν γὰρ μὴ πολὺ ἀπολελεῖφθαι τὸν λόγον αὐτῆς καὶ ἐπιχειρῶ καὶ συμπροθυμοῦμαι, καί γε οὕτως οἴομαι, πρὸ τῆς πλάσεως, ἁψάμενος δέ, ὥσπερ παλαιστὴς ἄτεχνος ἡττῶμαι τοῦ συμπαλαίοντος ‖ **22–29** βούλομαι – μετατιθέμενον: Psel. Ἐπιτάφιος εἰς τὴν ἑαυτοῦ μητέρα 442–448 βούλομαί σου τὴν σωφροσύνην θαυμᾶσαι καὶ ἀνθέλκει με ἡ πρὸς τὰ κρείττω ἀναγωγὴ τῆς ψυχῆς· ἀνῆγμαι ἐκεῖσε καὶ καθέλκει με τὸ βάθος τῆς σῆς ταπεινώσεως. ἐντεῦθεν πάλιν ἡ πρᾳότης πρὸς ἑαυτὴν μετατίθησι καὶ αὖθις ἄλλη καὶ πάλιν ἑτέρα μεταβιβάζει καὶ μεθιστᾷ, ὥστε μηδέν τι μέρος τῶν σῶν εὐφημεῖν ἱκανῶς δύνασθαι, ἀνθελκόμενον καὶ μετατιθέμενον

10 καταρρέουσαν i Π 13a,8 (U A a[3]): καταρρεύσασαν M E e[1] e[2] m[2] G Malt **10–12** ὦ τιμία – ἀβέβα[ιον] i: ἡ σὴ τελειότης προβέβληται Π 13a,8–9 **16** ἀπορρήτους i Π 13a,12 (U A a[3] G): ἀφορήτους in marg. U (All) M E e[1] e[2] m[2] Malt ‖ **17** ταῦτα i: ταύτην Π 13a,13 | σῶν i: σῶν μόνων Π 13a,14 ‖ **18** χειρῶν i Π 13a,14 (U A a[3] G): χερῶν M E e[1] e[2] m[2] Malt ‖ **18–19** ποιότητος scripsi (cf. Π 13a,15): πιότητος i ‖ **20–33** ἀλλ' ὢ τί πάθω – δεξάμενος i: σὺ δέ μοι – ἐμφόρησιν Π 13a,16–63

ἀγγελικῶς πολιτεύεσθαι· καὶ ἀνθέλκει με ἡ πρὸς τὰ κρείττω 25
ἀναψυχὴ τῆς ψυχῆς. Ἐντεῦθεν πάλιν ἡ πραότης εἰς ἑαυτὴν
μετατίθησι, καὶ αὖθις ἄλλη καὶ πάλιν ἑτέρα μεταβιβάζει καὶ
μεθιστᾷ, ὥστε μηδέν τι μέρος τῶν σῶν θεοειδῶν ἀρετῶν εὐφημεῖν
ἱκανῶς δύνασθαι ἀνθελκόμενον καὶ μετατιθέμενον. Ἐγὼ μὲν καὶ
πρώην [...κρᾶς?] τοῦ χρόνου (ὡς οἶσθα), ᾔδειν σου τὸ ὑποτρέχον 30
τῆς ἀρετῆς καὶ τὸ ἐπιεικὲς τῆς ψυχῆς, καὶ ἔτι μᾶλλον ἔγνων
ἀκριβεστέρως, καὶ ἃ πάλαι κατείληφα, νῦν τεθαύμακα τὴν
βραχεῖαν σου γραφὴν δεξάμενος.

14. Τῷ πατριάρχῃ Ἀντιοχείας τῷ Αἰμιλιανῷ

G 14 [U, M, E, e[1], e[2], m[2]], Malt 2 [U, M]

Ἐγὼ μὲν ᾤμην, θεοτίμητε δέσποτα, μήποτέ σοι διαλυθῆναι τῆς
σιωπῆς ἔγκλημα ἐπὶ τοσούτῳ ἤδη καιρῷ, μήτε πείσαντι, μήτε
καταναγκάσαντι, ἐκεῖνο μὲν ῥητορικῶς, τοῦτο δὲ γεωμετρικῶς.
Ὡς δὲ τῷ ἤχῳ σου ἀθρόον τῆς ἐπιστολῆς ἐνέτυχον, κατεβροντήθην
εὐθὺς τὴν ἀκοήν. Καὶ τὴν ψυχὴν ἐκπλαγείς, οὐ μόνον οὐκ εἶχον ὅ 5
τί σοι ἀντιθήσομαι, ἀλλὰ καὶ ἠρυθρίων (πῶς ἂν εἴποις;) σφοδρῶς,
ὅτι σοι ἐγκαλεῖν διενοήθην τῷ μόνῳ ἀνεγκλήτῳ καὶ κρείττονι
λόγου δυνάμεως.

Ἐγὼ μὲν οὖν καὶ ⟨ἐκ⟩ τοῦ πράγματος ᾔδειν σου τὸ ὑπερέχον
τῆς ἀρετῆς καὶ τὸ ἐπιεικὲς τῆς ψυχῆς, ἐκ μακροῦ τοῦ χρόνου (ὡς 10
οἶσθα) θαμά τέ σοι προσομιλῶν, καὶ πολλοῖς τεκμηρίοις
διοπτεύων σου τὸ ἀκριβὲς τῆς φρονήσεως. Ἀλλά με καὶ ἡ γραφὴ
ἔτι μᾶλλον ἐπῆρε πρὸς τοῦτο· καὶ ἃ πάλαι κατείληφα, νῦν μᾶλλον
τεθαύμακα.

Διήρηνται μὲν γὰρ οἱ βίοι τοῖς ἀνθρώποις ἡμῖν· καὶ μεταποι- 15
οῦνται τὰ ἤθη πρὸς τὰς τῆς τύχης ἰδέας. Καὶ ὁ μὲν ἠτυχηκώς, τὴν
κεφαλὴν κατὰ τοῦ στήθους ἀφίησιν· ὁ δὲ τῆς λεγομένης εὐδαιμο-
νίας τετυχηκώς, τά τε ἄλλα καὶ ἀλαζονικός ἐστι, καὶ ὑπὲρ τοὺς
ἄλλους δοκεῖ τῷ παραλλάττοντι τῆς τύχης, ὥσπερ ἐπὶ ζυγοῦ
κουφίζων τὸ φρόνημα. Σπάνιον δὲ τὸ γένος, ὅσοι τὴν ψυχὴν ταῖς 20

ep. 14 U 147r (inc. mut.), M 156r–157r, E 85r–86r, e[1] 213v–215v, e[2] 138v–140r, m[2] 392v–394r; tit. M E e[1] e[2] m[2] ‖ **4** τῷ om. e[1] e[2] m[2] ‖ **6** ἀντιθήσομαι : ἀντιθήωμαι e[1] e[2] m[2] Malt ‖ **9** ἐκ add. G

ῥοπαῖς τῶν πραγμάτων ἀντιτιθέασι καὶ τὸ ὑπερβάλλον τῆς δόξης τῷ μετρίῳ τοῦ ἤθους κατασμικρύνουσιν. Ἢ ἴσως, ἐν γνώμαις μὲν πάλαι τοῦτο ἐθρυλλεῖτο ποιητικαῖς, σὺ δὲ μόνος καὶ τὴν ποίησιν βεβαιοῖς καὶ καινοτομεῖν τὰς τῶν καιρῶν ἰδέας ἐπίστασαι, τοσοῦ-
25 τον ἡμῖν καταβαίνων καὶ τῷ δοκεῖν συγκρινόμενος, ὅσον τε ἄνω βέβηκας καὶ μετὰ τοῦ Θεοῦ ἐν τῷ ἀκινήτῳ μεμένηκας.

Καὶ τό γε θαυμασιώτερον· ὅτι μετὰ τῶν κρειττόνων γενόμενος ἢ τοῦ κρείττονος, οὐκ ἐπιλέλησαι τῶν ἡττόνων ἡμῶν· οὐδὲ εἰσποιηθεὶς τῷ θεῷ, ἠλλοτριώθης τοῦ γένους· οὐδ' ἀπάρας ἐντεῦθεν τῷ
30 νῷ, ἐν πᾶσιν ἀφῆκας ἡμᾶς. Ἀλλ' οἷόν σοι τὸ τῆς φύσεως ἀμφιδέξιον, ὅτι μεταίχμιον θείων τε καὶ ἀνθρωπίνων πραγμάτων γινόμενος, οὔτε πάνυ τῶν κάτω ἀφήρπασαι, καὶ τὴν πρὸς ἐκεῖνα ἀνάκρασιν ἐπλούτησας καθαρῶς· οὐ γὰρ ἀθρόον ἀνεπτέρωσαι οἷον ὥσπερ δὴ πολλοῖς τὸ θεῖον αὐτοματίζεται, ἀλλὰ κατὰ πόδα
35 προβάς, καὶ προμελετήσας τὴν ἱερωσύνην (ἐν ἥττονι μέν, σεπτῷ δὲ ὅμως καὶ βίῳ καὶ σχήματι), οὕτως ἐπὶ ταύτην ἀφῖξαι, καὶ γέγονας ὑψηλῶν ὑψηλότερος καὶ τελείων ἀληθῶς τελειότερος.

Προπαρεσκευασμένος οὖν ὥσπερ ὁ Θεσβίτης πρὸς τὴν ὑψηλοτάτην ταύτην ἀνάβασιν, οὔτε ἐξεπλάγης τὸ ὄχημα, καὶ τῶν πρὸς
40 τὸν Ἑλισσαῖον οὐκ ἐπιλέλησαι ὑποσχέσεων, τοσοῦτον μόνον τῇ φειδοῖ ἐξαλλάττων πρὸς τὸ μετάρσιον, ὅτι μηδὲ τοῖς ἡμίσεσι τῶν σῶν θαυμασίων ἐφιλοφρονήσω ἡμᾶς. Τοῦτο δὲ οὐ παρὰ τὴν σὴν γνώμην, ἀλλὰ παρὰ τὴν ἡμετέραν διάθεσιν· τὸ γάρ τοι φωτίζεσθαι μέλλον οὐκ ἐκ διαμέτρου ἀντικείσεται τῷ φωτί.

38–42 προπαρεσκευασμένος – ἡμᾶς: cf. IV Reg. 2,9–13 καὶ ἐγένετο ἐν τῷ διαβῆναι αὐτοὺς καὶ Ηλιου εἶπεν πρὸς Ελισαιε Αἴτησαι τί ποιήσω σοι πρὶν ἢ ἀναλημφθῆναί με ἀπὸ σοῦ· καὶ εἶπεν Ελισαιε Γενηθήτω δὴ διπλᾶ ἐν πνεύματί σου ἐπ' ἐμέ. καὶ εἶπεν Ηλιου Ἐσκλήρυνας τοῦ αἰτήσασθαι· ἐὰν ἴδῃς με ἀναλαμβανόμενον ἀπὸ σοῦ, καὶ ἔσται σοι οὕτως· καὶ ἐὰν μή, οὐ μὴ γένηται. καὶ ἐγένετο αὐτῶν πορευομένων ἐπορεύοντο καὶ ἐλάλουν, καὶ ἰδοὺ ἅρμα πυρὸς καὶ ἵπποι πυρὸς καὶ διέστειλαν ἀνὰ μέσον ἀμφοτέρων, καὶ ἀνελήμφθη Ηλιου ἐν συσσεισμῷ ὡς εἰς τὸν οὐρανόν. καὶ Ελισαιε ἑώρα καὶ ἐβόα Πάτερ πάτερ, ἅρμα Ισραηλ καὶ ἱππεὺς αὐτοῦ· καὶ οὐκ εἶδεν αὐτὸν ἔτι καὶ ἐπελάβετο τῶν ἱματίων αὐτοῦ καὶ διέρρηξεν αὐτὰ εἰς δύο ῥήγματα. καὶ ὕψωσεν τὴν μηλωτὴν Ηλιου, ἣ ἔπεσεν ἐπάνωθεν Ελισαιε. cf. etiam Π 104,2–4

27 γε : τε e^1 e^2 m^2 ‖ **32** ἀφήρπασαι : ἀφήρπασας e^1 e^2 m^2 ‖ **42** τοῦτο: ταῦτα G
43 τοι : τι e^1 e^2 m^2

Ἀλλὰ βούλομαι μὲν παραμιλληθῆναί σου τοῖς πρὸς ἡμᾶς 45
ἐγκωμίοις καὶ τοσοῦτον ἐρεῖν, ὅσον αὐτὸς ὑπὲρ ἡμῶν εἴρηκας.
Ἐκπίπτω δὲ τοῦ μέτρου παντάπασιν· οὐ γὰρ τῷ ταὐτὰ ἐρεῖν ἢ καὶ
πλείονα τὴν ἰσότητα ἐκπεπόρισμαι, ἀλλὰ τῷ πολλαπλάσια ἢ
ἀπειροπλάσια. Οὐ γὰρ ἐξ ἴσου μέτρου οἱ ἔπαινοι· ἀλλὰ σὺ μὲν τῷ
παντὶ ὑπερβάλλων τῶν μειζόνων ἡμῖν παρεχώρησας· ἡμεῖς δὲ 50
τοῖς ὅλοις ἐλλείποντες, οὐδὲν καινόν, εἰ ἐκστῶμέν σοι τῶν κρειττό-
νων. Ἢ καὶ τοῦτο κατὰ λόγον συμβέβηκεν· ὁ γὰρ μέγας ἐν
οὐρανῷ φωστήρ, μαρμαρυγῆς τὰς δεκτικὰς ὕλας πληρῶν, τῶν
ἐκεῖθεν ἐστέρηται ἀντιδόσεων.

Ἀλλὰ τῆς μείζονος προσθήκης ἐπελαθόμην, ὑπὸ τῶν σῶν 55
ἐπαίνων παρενεχθείς. Ἐπειδὴ γὰρ ἐχαρακτήριζόν σε ἀπὸ τοῦ
γράμματος, ἐφ' ἑκάστῃ λέξει καὶ περιόδῳ ἀρετῆς εὑρίσκων ἀρχήν,
ἐνθουσιᾷ πως ἀθρόον ὁ (πῶς ἂν εἴποιμι;) δριμύτατος πρὸς τοὺς
σοὺς ἐπαίνους ἢ ἀκριβέστατος Ἰωσήφ. Καὶ τὴν γλῶτταν ἐπάρας,
καὶ ἀπολαμπρύνας, (πῶς ἂν εἴποις;) οὕτω με τῷ κατακλυσμῷ 60
τῶν σῶν ἐγκωμίων κατέκλυσε, τὰ μὲν ἀθρόον προστιθείς, τὰ δὲ
κατὰ τάξιν προβαίνων, καὶ τὴν ψυχὴν ἐμφαίνων ὅτι ἐνδιαθέτως
ὑπαγορεύει τῇ γλώττῃ, ὥστε μικροῦ δεῖν ἄφωνος εἱστήκειν τῶν
ἐκείνου λόγων ἡττώμενος, μηδέποτε τοῦτο (ἵνα τι τῶν τῆς
ἀφροσύνης καυχήσωμαι) πρός τινα πεπονθώς. Ἐπεὶ δὲ καὶ ἃ 65
ᾔδειν περὶ τῆς σῆς ἀπαραμίλλου καὶ ἰσοθέου ἀρετῆς ἀντετίθουν
αὐτῷ, ἄλλον σε παρὰ τὸν πρώην γεγενῆσθαι ἐμβριθῶς ἀπεμά-
χετο, καὶ πλείονι ἢ τῷ τοῦ παντὸς μέτρῳ θειότερόν τε καὶ ὑψηλό-
τερον. Καὶ τοῖς κατὰ μέρος προβεβηκότι, ἐπειδὴ μηδαμοῦ πέρας

59 Ἰωσήφ: de quo cf. Π 15,56, Π 16,68, et Π 143,6; cf. etiam Π 12,6? **62–63** τὴν – γλώττῃ: cf. Π 15,63–64 ἐνδιαθέτως γὰρ πρὸς τοὺς περὶ σοῦ λόγους ἀφωρμημένος, οὐ μᾶλλον τέχναις κατασκευάζει τὰ πράγματα, ἀλλὰ ταῖς ἐκείνων φύσεσι δυναμοῦται πρὸς τὰ ἐγκώμια. cf. etiam Hermog. Περὶ ἰδεῶν 2,7 (ἐνδιάθετος καὶ ἀληθὴς καὶ οἷον ἔμψυχος λόγος) et Π 163,10–11

47 ταὐτὰ correxi: ταῦτα codd. G Malt ‖ **48** τὴν om. e[1] e[2] m[2] ‖ **53** ab τὰς δεκτικὰς ὕλας πληρῶν inc. U ‖ **58** ἐνθουσιᾷ U: ἐνεθουσία M E e[1] e[2] m[2] G Malt ὁ πῶς ἂν εἴποιμι U G Malt: ὅπως ἂν εἴποιμι ὁ M E e[1] e[2] m[2] ‖ **61** προστιθείς: προστεθεὶς U ‖ **63** ὥστε U G Malt: ὅτε M E e[1] e[2] ὅτι m[2] | ἄφωνος U M G Malt: ἄμφωνος E e[1] e[2] m[2] | εἱστήκει e[1] e[2] m[2] ‖ **64** ἐκείνου: ἐκείνων m[2] ‖ **66** περὶ: παρὰ U ‖ **67** τὸν : τῶν e[1] e[2] m[2] ‖ **68** πλείονι U G Malt: πλέονι M E e[1] e[2] m[2] | τῷ … μέτρῳ M E G Malt: τὸ … μέτρον U ‖ **69** προβεβηκότι: προβεβηκότος U

70 εἶχεν ὁ λόγος αὐτῷ, κλείσας τὴν ἀκοήν, ἐπέσχον αὐτῷ τὴν φωνήν. Οὕτω σου ὄναιτο τῆς ψυχῆς· οὕτως τῆς γλώττης αὐτοῦ ὄναιο.

Ἀλλ' ἐπεὶ ὁ Θεσβίτης ἄνω ποι τῆς ἐπιστολῆς ἐκ τοῦ ἀκολούθου παρεισενήνεκται, οὐ πάντη κρείττων ἐκεῖνος τῷ Ἑλισσαίῳ δωρούμενος. Τί γάρ μοι τὸ ἐπώμιον δέρας, ἢ τὸ τὴν ὀσφῦν 75 περισφίγγον ἴσως πρὸς τὰ παρὰ σοῦ δῶρα; εἰ γὰρ καὶ πατριαρχικῆς ἴσως ἐλάττονα χειρός, ἀλλὰ φιλοσόφου ψυχῆς τελεώτερα· τὸ γάρ τοι μέτρον οὐ πρὸς τὸν μετροῦντα μόνον, ἀλλὰ καὶ πρὸς ὃν μεμέτρηται λέγεται. Εἰ δὲ δεῖ τἀληθὲς εἰπεῖν, ὑπερβάλλει μᾶλλον ἢ ἐξίσωται, ἵνα τὸ σὸν ἐνδείξῃ, ἀλλὰ μὴ τὸ λιτὸν καὶ ἡμέτερον. 80 Καὶ τοῦτο μὲν οὕτω κείσθω.

Ὁ μέντοι γε Ἰωσήφ, μισθοὺς ἤδη γενναίους σοι ἀποδοὺς ὧν αὐτὸν εὖ πεποίηκας, μὴ οὕτως ἔχοι· ἀλλ' αὐτὸς ἀντιδοίης ὡς ἐκείνου μᾶλλον πρώτας εἰσενεγκόντος σοι χάριτας. Ἀλλ' ὢ τῆς ἀτοπίας! κινεῖν ἐγκελεύομαι τῷ ἡλίῳ αὐτοφυῆ τὸν κύκλον καὶ τὴν 85 περιφοράν ἔχοντι.

15. Τῷ αὐτῷ

Τῷ πατριάρχῃ Ἀντιοχείας τῷ Αἰμιλιανῷ

G 15 [U, M, E, e¹, e², m²], Malt 3 [U, M]

Ἀλλὰ διατί, θεοτίμητε δέσποτά μου, μὴ πάλαι ἐπέστελλες πρὸς ἡμᾶς, τοιαύτην πλουτήσας καὶ γλῶτταν ἐν λέξεσι καὶ φύσιν ἐν τοῖς νοήμασι; Διατί μὴ πάλαι τὸ τάλαντον ἐξειργάσω τοῖς ἐμπορικωτάτοις συναλλάκταις ἡμῖν; Ἢ τάχα (ἵν' αὐτὸς 5 ἀπολογήσωμαι ὑπὲρ σοῦ), ἀπάρας ἐντεῦθεν τῷ νῷ, καὶ πρὸς τοῖς θείοις γενόμενος, ἔλαττόν σοι μέλει τῶν πρὸς ἡμᾶς ἐντεύξεών τε

72–75 ἀλλ' ἐπεὶ ὁ Θεσβίτης – δῶρα: cf. IV Reg. 2,13 καὶ ὕψωσεν τὴν μηλωτὴν Ηλιου, ἣ ἔπεσεν ἐπάνωθεν Ελισαιε. cf. etiam Π 104,2–4 σὺ ὁ ἐμὸς Ἑλισσαῖος, καὶ μέγα καὶ ἄνωθεν τὸ δέρρας δεξάμενος

71 οὕτως U: οὕτω M E e¹ e² m² G Malt | γλώτης e¹ e² γλώτας m² ‖ **72** ἐπεὶ U: ἐπειδὴ M E e¹ e² m² G Malt post ἐπειδὴ verba μηδαμοῦ πέρας εἶχεν ὁ λόγος αὐτῷ del. M ‖ **79** μὴ om. U ‖ **ep. 15** U 148v (des. mut.; f. 148a r–v textus add. All, fortasse ex folio codicis B nunc perdito), M 157r–v, E 86r–87r, e¹ 216r–217v, e² 140r–141r, m² 394r–395v; tit. M E e¹ e² m²: τῷ πατριάρχῃ Ἀντιοχείας U ‖ **1** μου: om. U | ἐπέστελλες : ἀπέστελλες E e¹ e² m² ‖ **2** λέξεσι : λέξει e¹ e² m² ‖ **6** μέλει corr. G Malt: μέλλει codd.

καὶ διαθέσεων; Καὶ πάλαι μὲν γὰρ ὥσπερ κατὰ πόδα προβάς, μᾶλλον δὲ ἀσκητικοῖς πτεροῖς κουφισθείς, ἀνώτερος τῶν πολλῶν ἐγεγόνεις. Νῦν δὲ χρυσαῖς ὡς ἀληθῶς καὶ ἀρχιερατικαῖς ταῖς πτερύγεσιν ὅλον ὑπερβὰς τὸν αἰθέρα, πρὸς αὐτὴν κατεπέτασας 10 τὴν τῶν κρειττόνων περιωπήν· νόμος δέ ἐστι τοῖς ἀποθεωθεῖσιν ὑμῖν, μὴ πρὸς τὴν ἀνθρωπικὴν ἡμῶν ἐσχατιὰν ἐπιστρέφεσθαι. Διὰ ταῦτα ἧττόν τε ἐπιστέλλεις, καὶ ἧττον ἐντυγχάνεις ἡμῖν. Τοιοῦτος τῆς σιωπῆς ὁ ἀπόλογος.

Ἐγὼ δέ σοι θειότερον νόμον ἐπαναγνώσομαι: ὅτι ταῖς τελειο- 15 τέραις ψυχαῖς οὐ μόνον ἐνθεαστική, ἀλλὰ καὶ προνοητικὴ ἐμπέφυκε δύναμις, καὶ τῇ μὲν ὁμιλοῦσι θεῷ, τῇ δὲ τῶν πολλῶν ἐπιστρέφονται. Ὀφείλεις οὖν τὸ κρεῖττον τῷ κρείττονι καὶ τὸ ἧττον ἀποδοῦναι τοῖς χείροσιν, ἵν' ὡς ἀληθῶς καὶ θεῖος ἀνὴρ ὑπάρχῃς καὶ θεουργός. Ἐγὼ δέ σου καὶ ἀπὸ τοῦ γράμματος τὴν 20 ψυχὴν ἐν πολλοῖς ἠκρίβωσα μέρεσιν, ὅτι μὴ πάντῃ μετέωρος, μηδὲ ὥσπερ ἐπιλελησμένος τῶν ἐνταῦθα πέφυκας· τὸ γὰρ τῆς γλώττης θέλγητρον, καὶ ἡ λογικὴ εὐφωνία, καὶ ἡ συνθήκη τῶν λέξεων, καὶ τἆλλα δίδωσιν ἐννοεῖν, ὅτι καὶ πρὸς θεὸν ἀναβάς, οὐκ ἐπελάθου τῆς ἀνθρωπικῆς διαθέσεως. 25

Τοῦτό τε οὖν σοι κατανενόηκα, καὶ ὡς τὸ τῆς ἀρχιερωσύνης χάρισμα καὶ ἡ τελείωσις οὐ μᾶλλόν σε περὶ τὰς θεωρίας ἀνύψωσε

10–11 πρὸς – περιωπήν: cf. Psel. Βίος καὶ πολιτεία ... Αὐξεντίου ... = Or. hag. 1a,464–467 ὁ μὲν οὖν μακάριος καὶ τῷ ὄντι ἄνθρωπος τοῦ θεοῦ ἐν τῇ ἀκροτάτῃ τοῦ ὄρους περιωπῇ ὥσπερ ἐπὶ τῆς τῶν ἀρετῶν ἀκρότητος καὶ ὑψηλοτάτης βάσεως ἑστηκώς et Εἰς τὸ 'ἀπ' ἄρτι ὄψεσθε ...' = Theol. I 28,95–98 ἐπειδὰν γάρ τις ἀγγελικὴ τάξις ἢ ἀρχαγγελικὴ καταστραφθεῖσα τὴν φύσιν ταῖς ἄνωθεν θεωρίαις συνεπεκτανθῇ μέχρι πολλοῦ πρὸς τὸ ὕψος τῆς ἀκροτάτης περιωπῆς, αὐτῆς φημι τῆς τριαδικῆς ἑνώσεως καὶ μιᾶς ἀρχῆς. cf. etiam Π 13a,39–40, Π 86,25, Π 141,13–14, Π 206,49, et Π 515,15 **12** ἀνθρωπικὴν ... ἐσχατιάν: Ps.-Dion. Areop. Περὶ θείων ὀνομάτων 1,4 (113,8–9) ἀνατιθεῖσα τὴν ἀνθρωπίνην ἐσχατιάν, ἐξ ἧς ἀῤῥήτως ὁ ἁπλοῦς Ἰησοῦς συνετέθη. cf. etiam Π 515,14 ‖ **16–17** ἐνθεαστική ... προνοητικὴ δύναμις: iuncturae ex Proclo; cf. e.g. In Parm. 1094,36 (ἐνθεαστική) et 921,24–31 (προνοητική)

12 ἐπιστρέφεσθαι: ἀποστρέφεσθαι U ‖ **15–16** τελειοτέραις: λειοτέραις U **18** ὀφείλεις: ὀφείλουσι U ‖ **19** ὡς: ὥσπερ ante corr. m² ‖ **26** τὸ U M E G Malt: om. e¹ e² m² ‖ **27** θεωρίας post ἀνύψωσε iteravit U

καὶ περιλάμψεις τοῦ νοῦ, ἣ κατήγαγε πρὸς τὸ μετριώτερον, ἵνα
τῷ μὲν μεγέθει τῆς ψυχῆς θεῷ πλησιάζῃς, τῷ δὲ μετρίῳ τῆς
30 φύσεως συνομιλῇς καὶ ἡμῖν. Καὶ φιλοσοφίας μὲν οὕτως ἔχεις
(φημὶ δὴ τῆς τελειοτέρας καὶ κρείττονος), ἀλλ' οὐδὲ τῆς περὶ
λόγους δυνάμεως ἀπεστέρησαι· βουλόμενος γὰρ ἡμῖν τὸ κατὰ
πάντων ὑπερέχον χαρίσασθαι ἐπιχείρημα, πολλῶν κατασκευῶν
καὶ ἐνθυμημάτων δεόμενον καὶ τοῖς πολλοῖς δυσπαράδεκτον,
35 οὕτως εὐκόλως καὶ ἐν βραχεῖ κατεσκεύασας, ὥστε πρῶτον μὲν ἐμὲ
πειθήνιον εἴληφας (καὶ τοῦτο μὲν οὐ θαυμαστόν· ἕκαστος γὰρ
φιλοκόλαξ, ὅτι καὶ φίλαυτος), τὸ δέ γε θαυμασιώτερον, ὅτι καὶ
τοὺς ἄλλους, οἷς τῆς ἐπιστολῆς ἐκοινώνησα, τὸ γράμμα πρὸς τὴν
θέσιν, ὧν ἐπικεχείρηκας, ἐφειλκύσατο.

40 Ἔνθεν τοι πρῶτον μὲν τῶν περὶ τὸ Βυζάντιον ἐδόκουν κρατεῖν
καὶ τὰ πρῶτα ἔχειν τῆς χρυσῆς ταύτης καὶ περικαλλοῦς πόλεως.
Νῦν δὲ καὶ Ἀντιοχεῦσιν ἐπιστατῶ· καὶ Ἀλεξανδρεῦσι νομοθετῶ·
καὶ τῆς ἀττικιζούσης τῶν Ἀράβων ὑπεξήρημαι γλώττης· καὶ
πάντων ἀνθρώπων ἐν λόγοις ἄρχειν πεπίστευμαι, ὥσπερ ἡ πρώτη
45 φιλοσοφία τῶν ὑφ' ἑαυτὴν ἐπιστημῶν τε καὶ γνώσεων. Καὶ ὁ
μηδέποτε τοῦ ἤθους παρατραπεὶς μηδὲ τὸ μέτρον ὑπερβάς, ᾧ
πρὸς τοὺς λόγους μεμέτρημαι, νῦν ἀθρόον ἔδοξα ἐπιστημονικώτε-
ρός τε καὶ φιλοσοφώτερος, καὶ τὸ ὅλον καλλίων ἁπάντων καὶ
ὑψηλότερος. Πολλάκις καὶ τὴν δόξαν ταύτην ἐκόμπασα· καί,
50 δεῆσαν κατασκευῆς, ἐπὶ τὴν σὴν τοὺς ἐπαμφοτερίζοντας ἐπιστο-
λὴν ἐπιστρέψας, θαυμασιωτάτην ἀπόδειξιν τοῦ ἀμφιβαλλομένου
πεποίημαι.

44–45 πρώτη φιλοσοφία: i.e. theologia, iunctura Aristotelica; cf. e.g. Psel. Συλλογαὶ διάφοροι καὶ ποικίλαι = Phil. min. II 13 (37,32–38,13), Ἑρμηνεία περὶ τῶν εἰκοσιτεσσάρων στοιχείων ... πρὸς ... Ἰωάννην τὸν λιβελλίσιον = Phil. min. I 36,197, Χρονογραφία VI,36, et Π 13a,21–22 et Π 210,3

28 τοῦ νοῦ: τοῦ οὐρανοῦ in marg. All ‖ **29** μετρίῳ U G Malt: μέτρῳ M E e[1] e[2] m[2] ‖ **29–30** τῆς φύσεως συνομιλῇς: τῷ δὲ μετρίῳ τῆς φύσεως συ ... des. U συνομιλεῖς suppl. All ‖ **30** ἡμῖν καὶ· καὶ e[1] e[2] m[2] ‖ **31** δὴ M E G: δὲ All e[1] e[2] m[2] Malt ‖ **33** ὑπερέχον: ὑπάρχον All ‖ **35** κατεσκεύασας: κατασκεύσω m[2] ‖ **36** οὐ: οὐδὲν All ‖ **37** θαυμασιώτερον: θαυμασιώτατον All ‖ **39** ἐπικεχείρηκαι All ἐπεχείρηκας e[1] e[2] m[2] | ἐφειλκύσαντο m[2] ‖ **45** ἑαυτῶν m[2] ‖ **47** μεμέτρημαι: μὴ μετίεμαι All ‖ **48** τε: om. All | τὸ: om. All ‖ **48–49** καλλίων τὲ καὶ ἀπάντων ὑψηλότερος All ‖ **49–50** -ασα καί, δεῆσαν: deest in All qui spatium reliquit

Ἀλλὰ σὺ μὲν τῷ ὑπερέχοντι τῆς ἀξίας τὴν περὶ ἐμὲ δόξαν ἐκράτυνας. Ἐγὼ δὲ τῇ φύσει τοῦ πράγματος καὶ ταῖς ἁπλαῖς καὶ κοιναῖς περὶ τῆς σῆς ἀρετῆς ἐννοίαις ἀπαράμιλλόν σε τοῖς πᾶσιν 55 ἀπέδειξα. Συνήσπιζε δέ μοι τῷ λόγῳ καὶ ὁ λογιώτατος Ἰωσήφ, τὸν ὑπὲρ σοῦ διηγκυλημένος λόγον, ὥσπερ ξίφος ἀμφίστομον· καὶ ἅπαξ ἐμοὶ τῷ φυλετάρχῃ συμπαραστάς, οὕτως ἐπλήρου τὸν λόγον καὶ τὴν λογικὴν ἀγωνίαν ἐδείκνυεν, ὡς μηδένα πρὸς τοῦτον ἀντίθετον πέμψαι φωνὴν δύνασθαι. 60

Ἤιδειν μὲν οὖν αὐτὸν καὶ πρώην, εὔγλωττόν τε καὶ τὸν λόγον λαμπρὸν καὶ χαρίεντα. Ἀλλὰ νῦν, ὥσπερ ἄλλον τεθεαμένος, πλέον ἐθαύμασα· ἐνδιαθέτως γὰρ πρὸς τοὺς περὶ σοῦ λόγους ἀφωρμημένος, οὐ μᾶλλον τέχναις κατασκευάζει τὰ πράγματα, ἀλλὰ ταῖς ἐκείνων φύσεσι δυναμοῦται πρὸς τὰ ἐγκώμια. Ἔνθεν τοι κατὰ 65 τοὺς ἐνθουσιῶντας ἀκαθέκτως αὖθις ὁρμᾷ πρὸς σὲ τὸν εὐηργετηκότα τε καὶ λαμπρύναντα, ἵνα καὶ τῶν αὐτῶν αὖθις ναμάτων σπάσηται καὶ παρὰ τῆς αὐτῆς πηγῆς τὸ δίψος ἀκέσηται.

Σὺ δέ μοι μὴ ἅπαξ ἐγκωμιάσας, ὥσπερ τὸ χρέος ἀπωφληκώς, μακρὰν αὖθις ἕλοιο τὴν σιωπήν. Ἀλλ' εἰ βούλει τὴν περὶ ἡμᾶς 70 βεβαιώσασθαι δόξαν, ὥσπερ τι κεφάλαιον τὸ πρῶτον γράμμα προσθείς, τὰς δευτέρας καὶ τρίτας ἐπιστολὰς ὡς κατασκευὰς τοῦ ἐκτεθειμένου ἐπένεγκε.

56 Ἰωσήφ: de quo cf. Π 14,59, Π 16,68, et Π 143,6; cf. etiam Π 12,6? ‖ **57** διηγκυλημένος: cf. Suda δ 1001 | ξίφος ἀμφίστομον: cf. Psel. Ἐπιτάφιος εἰς Εἰρήνην καισάρισσαν = K-D I 21 (178,4) et 'Ὁ πατὴρ οὐσίας ἢ ἐνεργείας ὄνομα;' = Theol. I 2,3; iunctura Pseliana in Ann. Comn. Ἀλεξιάς IX 6,5, Niceph. Chrysob. Λόγος ῥητορικὸς δεύτερος ... 14,17 (ed. Browning), et Niceph. Blemm. Βασιλικὸς Ἀνδριάς 14,2 (ed. Hunger et Ševčenko) laudata? cf. etiam Π 190,27 ἀμφιστόμους ῥομφαίας ‖ **63–65** ἐνδιαθέτως – ἐγκώμια: cf. Π 14,62–63 καὶ τὴν ψυχὴν ἐμφαίνων ὅτι ἐνδιαθέτως ὑπαγορεύει τῇ γλώττῃ. cf. etiam Hermog. Περὶ ἰδεῶν 2,7 (ἐνδιάθετος καὶ ἀληθὴς καὶ οἷον ἔμψυχος λόγος) et Π 163,10–11

53 ὑπερέχοντι: ὑπάρχοντι All ‖ **55** περὶ: παρὰ All ‖ **56** μοι: ἐνὶ All **57** διηγκυλημένος: [......]λημένος All ‖ **58** φυλετάρχῃ scripsi: φιλαιτάρχῃ codd. All G e quo falsum LBG lemma φυλακάρχῃ prop. Malt e quo falsum LBG lemma ‖ **62** νῦν: μὴν All ‖ **63** περὶ: παρὰ All ‖ **64** τέχναις All Malt: τέχνῃ M E e1 e2 m2 G ‖ **65** φύσεσι δυναμοῦται φύσεσι ἐν[ca. 10 litt.] All **66** ἀκαθέκτως: om. All

16. Τῷ αὐτῷ
Τῷ πατριάρχῃ Ἀντιοχείας τῷ Αἰμιλιανῷ

G 16 [M, E, e[1], e[2], m[2]], Malt 4 [M]

Ἡ μὲν οὖν Ἀντιόχου ἡ μεγίστη αὕτη πόλις καὶ περιώνυμος καὶ τὸ μέγιστον ταύτης κεφάλαιον σύ, ἐπὶ τῷ ἐμῷ βραχεῖ τε καὶ ἀκαλλεῖ μικροῦ δεῖν ἐχορεύσατε γράμματι· καὶ ὑπόθεσιν τὸ γράμμα πεποιήκατε πανηγύρεως, ὡς τὸ γράμμα τῆς σῆς ἀρχιερατικῆς
5 ἐνέφηνε τελειότητος. Ἐμὲ δὲ τί δέον παθεῖν ἢ ποιῆσαι ἐπὶ ταῖς σαῖς θείαις φωναῖς, μᾶλλον δὲ τῇ οὐρανίᾳ καὶ πνευματικῇ σάλπιγγι, ἣν δὴ ὥσπερ ἐξ οὐρανοῦ μεταχειρισάμενος, ἔμμουσόν τινα καὶ ἔμπνουν ἠχὼ τοῖς ὠσὶν ἡμῶν ὑπερήχησας;

Μήποτε οὖν κἀμοὶ πόλις ἐστί, καὶ πλῆθος ἐπὶ τῇ πόλει
10 συνειλεγμένον, καὶ δῆμος, καὶ φυλαί, καὶ φύλαρχος ἔννομος, καὶ νοερὰ χορεία συνηρμοσμένη τε καὶ συνᾴδουσα, ἐφ' ᾗ τὸ γράμμα, ὥσπερ χρησμός, ἀναγνωσθὲν ἄντικρυς, πᾶσαν μὲν ἐνέσταξεν ἡδονήν, θειασμοῦ δέ τινος καὶ ἀρρήτου ὀμφῆς πεπλήρωκε τοὺς ἀκούσαντας; Καὶ οὔτε τὸ κινῆσαν, οὔτε τὰ συγκινηθέντα ἡσυχά-
15 ζειν ἐθέλουσιν. Ἀλλὰ καὶ τὸ λόγιον ἔτι χρηστηριάζει· καὶ ἡ θειότης ἐμπνεῖ· καὶ ἡ ἀκρόασις ἔμμουσος.

Ἀλλὰ τίς ἡ πόλις (καὶ μή μοι πρὸς τοὺς πολλοὺς δημοσιεύσῃς τὸν λόγον, ἀλλὰ τοῖς ὀλίγοις καὶ φιλοσόφοις τὸ ἄδυτον παραδεί- κνυε); Τίς ἡ πόλις; ἡ ἐμὴ ψυχή, σεβασμιώτατε δέσποτα· ἣ μία τέ
20 ἐστι, καὶ πολλοῖς διῄρηται μέρεσι· καὶ τὰ μὲν δημοκρατεῖται ἰσονομίαν ἐπιτηδεύουσα· τὰ δὲ τυραννεῖται, ἢ τυραννεῖ, τῶν κρειτ- τόνων κατεξανισταμένη, ἢ τοῖς χείροσιν εἴκουσα· τὰ δὲ βασιλεύει, καταλύσασα τὴν ὀχλοκράτειαν.

3 μικροῦ δεῖν ἐχορεύσατε: cf. Π 63,3–4 ὥστε μικροῦ δεῖν ὑπὸ τοῦ σοῦ μέλους καὶ ὑπορχοῦμαι, Π 106,2 χορεύειν βούλομαι, Π 131,2 μικροῦ δεῖν καὶ ὠρχούμην, Π 138,10 ἀτεχνῶς χορεύοντι ἔοικα, Π 140,104 μικροῦ δεῖν καὶ ἐχόρευσα, et Π 140,17–18 βούλομαι πολλάκις χορεύειν ‖ **5–7** ταῖς σαῖς θείαις φωναῖς – σάλπιγγι: cf. Exod. 19,16–17 καὶ ἐγίνοντο φωναὶ καὶ ἀστραπαὶ καὶ νεφέλη γνοφώδης ἐπ' ὄρους Σινα, φωνὴ τῆς σάλπιγγος ἤχει μέγα. cf. etiam Π 507,37–40

ep. 16 M 157v–158v, E 87r–88v, e[1] 217v–219v, e[2] 141r–142v, m[2] 395v–397r; tit. codd. G Malt ‖ **5** δέον M G: δέοι E e[1] e[2] m[2] Malt ‖ **7** δὲ Malt ‖ **9** ἐστίν e[1] e[2] m[2] ‖ **12** ἐνέσταζεν G ‖ **13** καὶ: om. m[2] ‖ **16** θεότης e[1] e[2] m[2] ‖ **23** ὀχλοκρατίαν G

Τούτοις ἐγὼ τὴν σὴν ὑπανέγνων ἐπιστολήν. Καὶ αὐτίκα ὁ μὲν πολιάρχης νοῦς καὶ ὄντως τυραννοκτόνος ἑαυτοῦ τε κρείττων 25 ἐγένετο· καὶ ἐπευφήμησε (πῶς ἂν εἴποις;) τὸν νοῦν ὑπερθαυμάσας τῶν γεγραμμένων. Ἡ δὲ μετ' ἐκεῖνον διάνοια ἔτι μᾶλλον ἐκρότησε, τὸ συνηρμοσμένον τῶν ἐννοιῶν ἐπαινέσασα, καὶ τὸ εἰκὸς συλλογισαμένη περὶ αὐτῶν. Ἡ δὲ δόξα τοῖς κατὰ μέρος προσβαλοῦσα (τοιαύτη γὰρ ταύτης ἡ δύναμις) τῶν γεγραμμένων, ἡλίκον 30 οἷον ἐνθουσιᾷ. Τὸ δέ γε μετ' αὐτὴν μέρος (φαντασίαν τοῦτο καλοῦσιν οἱ σοφοί) τὸ σύμπαν τοῦ γράμματος ἀναμαξαμένη, ἕστηκε τεθηπυῖα καὶ τεθαμβημένη (τοῦτο δὴ τὸ τῆς θείας γραφῆς). Ἡ δὲ αἴσθησις (ἀλλὰ πῶς ἂν τὸ ταύτης πάθος διακριβώσαιμί σοι;), ὡς τῇ ὥρᾳ τῶν γεγραμμένων προσέβαλλε, καὶ ὡς 35 τὸ διηνθισμένον εἶδε τῶν λέξεων, καὶ τὴν συνθήκην τῶν τοῦ λόγου μορίων διέγνωκε, καὶ ὡς πάντα κατὰ λόγους ἁρμονικῆς ἐπιστήμης συντέθειται κατενόησεν, ἠλάλαξέ τε ὅσον ἠδύνατο· καὶ ὥσπερ οἱ δεινοὶ τῶν ἐραστῶν, ὅλη προσεχύθη τῷ γράμματι, ἐπαφωμένη τὴν λέξιν αὐτήν, τὴν συνθήκην, καὶ ἐφ' ἑκάστῳ λόγῳ καὶ ῥήματι 40 περιπτυσσομένη τὸ γράμμα, καὶ περιτιθεῖσα ἐγκάρδιον. Μή τι ἔλαττον τὸ ἐμὸν τῆς πανδήμου σου καὶ ἀστικῆς ἀκροάσεως; πολλοῦ γε καὶ δεῖ. Ἐξαίρω δέ σε τοῦ λόγου ἵνα παρὰ πολὺ τὸν σὸν νικήσωμεν σύλλογον· ἂν γὰρ αὐτὸς ἐμβαίης τοῖς σταθμωμένοις, ἀντιπεριαγάγοις τὰς πλάστιγγας. 45

Ἀλλ' ὁ μὲν σὸς πολυπληθὴς καὶ δημώδης κατάλογος, κοινῇ τε ἅπαντες καὶ ἰδίᾳ ἕκαστος, πρὸς τὴν ἐπιστολὴν διελέχθησαν. Ἐγὼ δὲ μετά γε τῶν ὑπ' ἐμὲ πολιτῶν βραχύ τι παρακινηθείς, εἶτα ἀκριβῶς ἐσκυθρώπακα· καὶ ἐπὶ συννοίας τοὺς ὀφθαλμοὺς ἔστησα· κἂν εἴ τίς μοι τότε ἐκ τοῦ σύνεγγυς συνειστήκοι, ἐτεκμήρατο ἂν 50

33–34 ἕστηκε – γραφῆς: fortasse ad Marc. 16,5 καὶ εἰσελθοῦσαι εἰς τὸ μνημεῖον εἶδον νεανίσκον ... καὶ ἐξεθαμβήθησαν refert

26 ἐπευφήμησε M G Malt: ἐπεφήμησε E e[1] e[2] m[2] ‖ **27** ἐκεῖνο e[1] e[2] m[2] **35** προσέβαλε G ‖ **36** τῶν[1] : τὸ e[1] e[2] m[2] ‖ **37** μορίων : μορίου E e[1] e[2] m[2] **40** ⟨καὶ⟩ αὐτὴν G ‖ **45** ἀντιπεριαγάγοις : ἂν περιαγάγοις e[1] e[2] m[2]

τοῦ προσώπου, καὶ προσείκασεν, ὅτι ἀπόρρητόν τι ἀνελίττοι ἡ ἐμὴ ψυχὴ νόημα.

Ἐπειδὴ γὰρ κατὰ τὸ μέρος ἐκεῖνο τῆς ἐπιστολῆς γέγονα, ἐφ' ἧς πλείους εἶπας τοὺς ἐμοὺς ἐπαίνους τῶν σῶν ὑποθέσεων, αὐτίκα
55 συνέστειλά τε τὸ πρόσωπον, καὶ ὥσπερ ἐπειλημμένος ὠχρίακα· ᾠήθην γάρ σε κατὰ τοὺς δεινοὺς τῶν ῥητόρων τὸ ἐλλελειμμένον μοι πρὸς τὴν σὴν εὐφημίαν προσονειδίσαι, καὶ ὅτι δέον ἀποδοῦναι τὸ ἐν τοῖς ἐπαίνοις ὄφλημα, κατωλιγωρήκαμεν. Εἰ μὲν οὐκ ἀληθεύει τὸ νόημα, αὖραι τὸ ἐνθύμημα φέροιεν. Εἰ δ' οὐ πεπλάνη-
60 μαι, τοσοῦτον ἀπολογοῦμαι, ὡς οὐκ εὐφημίας συνεισφορὰ ὁ λόγος ἦν, ἀλλ' ἀντίδοσις γράμματος· ἔργον δὲ οὕτω μέγιστον παρενθήκην ὑποθέσεως ἑτέρας ποιεῖν οὐκ ἐδοκιμάσαμεν.

Ἀλλ' (ἵνα σοι καὶ τοῦτο διαλυσώμεθα ἐν εἴδει ἀπολογίας) πῶς ἄν σε οὕτω ῥᾳδίως ἐπαινεῖν ἑλοίμην εἰκασμένον θεῷ; Εἰ μὲν οὖν
65 φιλόσοφος εἶ, ὥσπερ δὴ καὶ τυγχάνεις ὤν, ἔχεις ἐν βραχεῖ τὸ ζητούμενον· εἰ δὲ καὶ τὴν τέχνην τοῦ ἐγκωμίου ζητεῖς, ἀλλὰ πάλιν ἡμῖν δεήσει ῥητορικῆς πάλαι καταπεφρονηκόσιν αὐτῆς. Εἰ δὲ μή, ἀρκέσει σοι ἀντ' αὐτῆς ὁ ἐμὸς Ἰωσήφ, μᾶλλον δὲ σός· εἰ γὰρ καὶ τῷ χρονικῷ ⟨ἐγὼ διαστήματι †⟩ πρὸς τὴν τοῦ ἀνδρὸς οἰκειότητα,
70 ἀλλὰ σὺ τὸ πρεσβεῖον ἐπ' αὐτῷ ἀνήρησαι, αὐτὸ τοῦτο φανεὶς αὐτῷ, ὅπερ παρ' ἡμῶν κατωνόμασαι: τί; θεός. Οὗτος εὐγλωττίας εὐτυχήσας ἐκ φύσεως, παρ' ἡμῶν δὲ καὶ τὰς ὁδοὺς τῆς εὐφημίας ἐκπαιδευθείς, ἐπιτομάς τε κεφαλαιώδεις, ὧν περὶ σοῦ πολλάκις

51–52 ἀνελίττοι – νόημα: cf. Synes. Cyren. Epist. 5,137 τούτους ἑλίττων τοὺς λογισμούς. cf. Psel. Χρονογραφία I,26, Πρὸς τὸν λογοθέτην τοῦ δρόμου τὸν Ἀλωπὸν ἐρωτήσαντα· οἱ δύο Βασίλειοι ἢ οἱ δύο Γρηγόριοι ὁμώνυμοι ἢ συνώνυμοι; = Phil. min. I 6,14-15, Π 138,50 τούτους καὶ ἑτέρους ἑλίττων λογισμούς, et Π 202,34 πολλοὺς λογισμοὺς ἀνελίξας. iunctura (Pselliana?) in Ann. Comn. Ἀλεξιάς II 6,5,9, V 2,2,6, XIII 4,9,6, Mich. Chon. Epist. 112,70, et Nic. Chon. Χρονικὴ διήγησις 228,7 laudata? ‖ **58–59** εἰ μὲν – φέροιεν: Greg. Naz. Κατὰ Ἰουλιανοῦ στηλιτευτικὸς α´ = Or. 4,54 καὶ εἰ μὲν ψευδὲς, αὖραι φέροιεν, cf. etiam Π 9,33 (ad Aimilianum) ‖ **68** Ἰωσήφ: de quo cf. Π 14,59, Π 15,56, et Π 143,6; cf. etiam Π 12,6?

51 τι : ἐστι e[1] e[2] m[2] ‖ **54** εἶπας M G: εἶναι E e[1] e[2] m[2] Malt | τοὺς: om. m[2] **55** ἀχρίωκα e[2] m[2] ‖ **62** ἐδοκημάκαμεν e[1] e[2] ἐδοκημάσαμεν m[2] ‖ **69** ἐγὼ διαστήματι addidi et lacunam indicavi; fortasse ἐγὼ διαστήματι ὑπερέχω σου vel sim. supplendum ‖ **70–71** ἀνήρησαι, αὐτὸ τοῦτο φανεὶς αὐτῷ, ὅπερ παρ' ἡμῶν κατω- in marg. suppl. m[2]

εἰρήκαμεν, προσειληφώς, κατὰ μέρος τε διαιρήσει πάντα, ὑποκρι-
νόμενος εἴ γε βούλοιτο ἐμέ. Εἰ δέ γε παρὰ πολὺ ἔλθῃ τοῦ παραδεί- 75
γματος, μὴ θαυμάσῃς. Αὐτὸς μὲν γὰρ ῥητορικήν, ἐγὼ δὲ φιλοσο-
φίαν ἀσκῶ· κἀγὼ μὲν ἄμφω προσαρμόζω τῷ λόγῳ, οὗτος δὲ
θατέρῳ τρέχων ποδί, κατόπιν τοῦ ἀμφοῖν διαθέοντος γίνεται.

III. (Θεόδωρος) Ἀλωπός

πρόεδρος, λογοθέτης τοῦ δρόμου

17. Τῷ προέδρῳ καὶ λογοθέτῃ τοῦ δρόμου, τῷ Ἀλωπῷ

Aug.–Sept. 1059, militiis ab Isaacio Comneno inceptis; eodem tempore ut Π 139 [vid. epistolarum ordinem in U] et etiam Π 138, Π 140, Π 141, et Π 390

S 87 [P]

Ἅπαξ, σοφώτατε (ἵνα μηδὲν πλέον ἐρῶ), καὶ γεύσας ἀθρόως τοῦ
μέλιτος, εἶτα ἀθροώτερον ἐπισχὼν καὶ ἀλγεινότερον τὸ κέντρον
ἀφείς, ὥσπερ ἥλιος ἀνατείλας καὶ εὐθὺς τὸ νέφος ἐπισπασάμενος;
Βασκάνου τοῦτο ψυχῆς, ἀλλ' οὐχὶ σοφῆς. Ἀλλ' οὐδὲ τοὺς
ποταμοὺς ἐπαινοῦμεν ὁπόσοι χειμῶνος μὲν ῥέουσι, θέρους δὲ 5
λήγουσι· τῶν τε δένδρων ἐκεῖνα θαυμάζομεν, οἷς οὐδέποτε τῶν
κλάδων ἀπορρεῖ τὸ φῦλλον. Ἀπελαυνόμενον δὲ καὶ τὸν φωστῆρα
τὴν χειμερινὴν ὥραν ἐπὶ τὸν νότον, οὐ πάνυ τι ἐπαινοῦμεν,
βουλόμενοι ἐφ' ἑαυτῶν ἔχειν ἀεί. Καὶ τῷ μὲν Νείλῳ ἑτέρωθεν αἱ
πηγαὶ (ἀπὸ γὰρ τῆς Αἰθιοπίας τὰ ῥεύματα, καὶ τῆς ἑτέρας 10
ἠπείρου, κἀκεῖθεν οἰδεῖ)· ὅθεν οὐδ' ἄν τις αὐτὸν τοῦ μὴ

III cf. Psel. Πρὸς τὸν λογοθέτην τοῦ δρόμου τὸν Ἀλωπὸν ἐρωτήσαντα· οἱ δύο Βασίλειοι ἢ οἱ δύο Γρηγόριοι ὁμώνυμοι ἢ συνώνυμοι; = Phil. min. I 6, Π 235, et Psel. Χρονογραφία VII,18 τὸν κάλλιστόν τε καὶ συνετώτατον. cf. etiam Π 92,5, Π 330,8 et Π 405,13–14? cf. etiam Stavrakos 2000,62–63 (nr. 11) **9–11** τῷ μὲν Νείλῳ – οἰδεῖ: de Nilo cf. Psel. Omn. doctr. 176 Περὶ τῆς τοῦ Νείλου ἀναβάσεως et Π 3,7–8 et Π 108,14

77 ἀσκῶ: ἀσκῶν ante corr. e[1] m[2] ‖ **ep. 17** U 175r–v, P 209v; tit. U: τῷ λογοθέτῃ τοῦ δρόμου P ‖ **1** σοφώτατε U: ἀθρόον P S ‖ **6** λήγουσι U: παύουσι P S

ὑπερκεχῦσθαι ἀεὶ αἰτιάσαιτο. Τῇ δὲ σῇ γλώσσῃ, προχεούσῃ τὸ ῥεῖθρον, παρὰ τῆς σῆς ἡ πηγὴ καρδίας· καὶ οὐχ ὡς ἡ σελήνη ἑτέρωθεν συνερανίζῃ τὸ φῶς, ἀλλ' ὅλῳ τῷ κύκλῳ τὸν πάντα
15 χρόνον πεφώτισαι.

Διατί γοῦν μὴ ἀεὶ ἐπάρδῃς, μὴ ἀεὶ καταλάμπῃς, καὶ ταῦτά σοι τοσούτων ἀφορμῶν προκειμένων, καὶ ταῖς λάμψεσι καὶ τοῖς ῥεύμασιν; ἄφθονα γὰρ ὑμῖν ὁ Ἴστρος καὶ τὰ περὶ τὸν Ἴστρον τὰ ῥεῖθρα τῶν λόγων προχέει. Τί γοῦν μὴ μεγάλῳ ταῦτα πρὸς ἡμᾶς
20 καχλάζῃς τῷ κύματι, ὁπόσα τῷ πολέμῳ πρόσεστι καταλέγων, διώρυγας καὶ μετοχετεύσεις, ἀκροβολισμούς τε καὶ ἀνδροκτασίας, ἐξελιγμούς τε καὶ ὑπερφαλαγγώσεις, καὶ ὁπόσα οἱ παλαιότατοι τῶν συγγραφέων τῷ Μακεδόνι πεφιλοτίμηνται; Σὺ δὲ ἀλλὰ μηδὲ τὴν κυνῆν παραιτήσῃ, ἀλλ' ὕπελθε ταύτην γενναίως· μηδὲ τὴν
25 αἰχμὴν τῶν χειρῶν ἀπώσῃ· μὴ γάρ μοι μέχρι τῶν λόγων, φίλτατε, σταίης, ἀλλὰ τοῦ καιροῦ παρασχόντος, καὶ θώρακα ἔνδυσαι, καὶ ῥομφαίαν περίζωσαι.

Εἰ δὲ μὴ τῷ Ἄρει σπένδεις, ἀλλ' ὅλος ἐξήρτησαι τοῦ Ἑρμοῦ, σὺ δέ μοι καὶ παρ' ἐκείνου τέχνας ἐπὶ τοῖς πράγμασι λάμβανε· ἢ
30 γὰρ οὐκ ἀκήκοας ὡς κλεπτοσύνῃ τούτῳ δὴ τῷ θεῷ ἤσκηται; Ἐκεῖθεν οὖν μοι καὶ λόχησον καὶ προλόχησον, καὶ τἆλλα κατὰ καιρὸν ποίησον, φαινομένην φυγήν, προσποίητον ἐπιδίωξιν.

Ἃ μὲν οὖν αὐτόθι κατωρθώκατε ἢ ἠριστεύκατε, οὐ πάνυ τι σαφῶς οἶδα· κατακεκρότηκε γοῦν ἡμῶν ἐνταῦθα τὰ ὦτα τὰ παρ'

22–23 ἐξελιγμούς ... τῷ Μακεδόνι: cf. e.g. Suda ε 1616 ἐξελιγμῶν ... καλεῖται γὰρ ὁ μὲν Μακεδών, ὁ δὲ Λάκων (cf. Suda, Omonasticon Tacticon 44). cf. Π 24,5–6 et Π 118,14–15 ‖ **26–27** θώρακα ἔνδυσαι: Sap. Sol. 5,18 ἐνδύσεται θώρακα δικαιοσύνην, cf. Eph. 6,14 et I Thess. 5,8 ‖ **27** καὶ ῥομφαίαν περίζωσαι: Ps. 44,4 περίζωσαι τὴν ῥομφαίαν σου ἐπὶ τὸν μηρόν σου, δυνατέ. cf. Psel. Ἀπόδειξις ... τῆς τοῦ κυρίου ἐνσωματώσεως ... πρὸς τὸν σουλτᾶνον ἀπὸ τοῦ βασιλέως = Theol. II 3,528–529 et Π 111,197–198 ‖ **28** εἰ δὲ – Ἑρμοῦ: cf. Π 24,2–3 τὸν μὲν Ἑρμῆν ἠρνήσασθε σύμπαντες, τῷ δὲ Ἄρει σπένδετε καὶ συσπένδετε ‖ **30** ὡς κλεπτοσύνῃ – ἤσκηται: Hom. Od. 19,396 κλεπτοσύνῃ ... θεὸς δέ οἱ αὐτὸς ἔδωκεν / Ἑρμείας

12 γλώσσῃ U: γλώττῃ P S ‖ **14** συνερανίζῃ U: ἐρανίζει P S | τῷ om. S **15** πεφώτισαι U: πεφώτισται P S ‖ **16** γοῦν U: οὖν P S ‖ **17** σοι P S: om. U λάμψεσι U: ἐλλάμψεσι P S ‖ **18** ὑμῖν U: om. P S ‖ **19** γοῦν U: οὖν P S | μεγάλῳ U: μεγάλα P S ‖ **20** τῷ κύματι U: τὰ κύματα P S ‖ **24** κυνῆν scripsi: κοινὴν U κυναίην P S ‖ **28** ὅλος P S: ὅλως U ‖ **33** αὐτόθεν S

ὑμῶν ὑπηχούμενα. Καὶ τῶν εἰσιόντων, ὁ μὲν εἰσβολήν, ὁ δὲ καθέδραν, ὁ δὲ μάχην, ὁ δὲ πεῖραν, καὶ ἄλλος ἄλλο τι ἥκει μοι κομίζων νεώτερον ἄκουσμα· ἐγὼ δὲ τῇ μὲν ἀκοῇ χαίρω, οὐ πάνυ δέ τι ἥδομαι τῇ ἀφελείᾳ τῶν διηγήσεων. Νῦν οὖν εἴπερ ποτὲ τὴν σήν μοι φωνὴν ἀπολάμπρυνον, οὐκ ἀναβεβλημένῳ ῥυθμῷ ἀλλὰ συντόνῳ καὶ πολεμικῷ ἀτεχνῶς τὰς ἐπιστολὰς συντιθείς. 35–40

IV. Ἀριστηνός

18. Τῷ Ἀριστηνῷ

K-D 224 [Y], P-K[2] 11 [Y]

Μὴ οἴου, περιπόθητε ἀδελφέ, διὰ τὰς σὰς ἐπιστολὰς τοῦ σοῦ μ' ἐπιμελεῖσθαι παιδός· κἂν γὰρ μὴ σὺ τούτῳ ἦσθα πατήρ, ὁ φίλτατος ἐμοὶ πάντων ἀνδρῶν, ἀλλ' ἐγὼ διὰ τὴν φύσιν ἠγαπήκειν ἂν τὸν παῖδα, ὅτι ταύτην ἐπιμελείᾳ κοσμεῖ. Σὺ δὲ μὴ διὰ τοῦτο τοῦ γράφειν ἀπέχου· μηδ' ὅτι κέντρων πρὸς τὴν διάθεσιν οὐ δεόμεθα, καταρρᾳθυμοῦ ἐπιστέλλειν ἡμῖν. Ἀλλ' ἡμῶν ὅπως ποτὲ ἐχόντων, σὺ τὰ πατρὸς ἐπιδείκνυε, καὶ προΐστασο τοῦ παιδός· ἴσως γάρ ποτε καὶ πρὸς ἄλλο τι κινηθέντας ἡμᾶς ἀντιπεριάξεις πρὸς τὸν υἱὸν καὶ πρὸς τὴν πρὸς αὐτὸν φιλίαν διερεθίσεις. 5

Κοινὸν δέ τι πάθος πρὸς τοὺς πολλοὺς καὶ οὗτος πέπονθεν· οἱ γὰρ πλεῖστοι τῶν μαθητιώντων, τὸν ἐμὸν οἰόμενοι μὴ χωρεῖν λόγον, πρὸς τοὺς γαλακτοτροφοῦντας ἀπίασιν· οἷς δὴ καὶ ἐπὶ πλεῖστον συνόντες, τὸν πάντα χρόνον συννηπιάζουσι. Τούτοις καὶ 10

39–40 ῥυθμῷ – πολεμικῷ: cf. Dion. Halicarn. Ῥωμαϊκὴ Ἀρχαιολογία VII 72,6 τὰς πολεμικὰς καὶ συντόνους κινήσεις ἐν τοῖς προκελευσματικοῖς ὡς τὰ πολλὰ ῥυθμοῖς ‖ **IV** de familiae Aristeni cf. Seibt II,84–85 ‖ **1–2** τοῦ σοῦ … παιδός: Ἀριστηνός, πατρίκιος, βεστάρχης, et πρωτασηκρῆτις (Π V)? **12** πρὸς τοὺς γαλακτοτροφοῦντας: cf. I Cor. 3,2 γάλα ὑμᾶς ἐπότισα, οὐ βρῶμα, οὔπω γὰρ ἐδύνασθε. ἀλλ' οὐδὲ ἔτι νῦν δύνασθε et Π 202,109–110. cf. etiam Psel. Ἑρμηνεία τοῦ Ἄισματος … πρὸς τὸν … Μονομάχον = Poem. 2,884

35 ὑμῶν P S: ἡμῶν U ‖ **38–39** εἴπερ – φωνὴν U: μοι τὴν σὴν εἴπερ ποτὲ φωνὴν P S ‖ **39** ἀπολάμπρυνον U: ἀναλάμπρυνε P S ‖ **ep. 18** Y 120v–121r; tit. Y P-K[2] K-D ‖ **11** μαθητιώτων P-K[2]

οὗτος (οὐκ οἶδ' ὅ τι παθὼν) σύνεστι. Καὶ δοκεῖ μὲν ἁρμόζεσθαι τῷ
15 κανόνι, οἵου δὲ τοῦτον τὰ πολλὰ διεστράφθαι καὶ μηδὲ εἰδέναι
ὅστις ὁ κανὼν πέφυκεν· ἐμοῦ γὰρ τὴν ἀρχαίαν ῥητορικὴν ἐκδιδά-
σκοντος, ἣν καὶ Πλάτωνα οἶδα μὴ ἀποπέμπεσθαι, τὴν πολιτικὴν
καὶ γενναίαν καὶ τοῦ ἐπιποιήτου κάλλους ἧττον φροντίζουσαν,
οὗτοι τὴν νεωτέραν ἠγάπησαν. Ἀπάγοντα δὲ ταύτης, λοιδοροῦσιν
20 ἐμέ, καὶ οὐκ ἀποδέχονται εἴ τι παρὰ ⟨τὴν⟩ τοῦ Ἑρμογένους
τέχνην φθέγξομαι· βούλονται γάρ με ἕλκεσθαι τῆς ῥινός, ἀφ' ὧν
οὗτος ἐποίησεν, καὶ αὐτοὺς ἐφέπεσθαι.

Ἀλλ' ἐγὼ τό γ' ἐμὸν ποιῶν οὐκ ἀφέξομαι. Πλάτωνι μὲν γὰρ
καὶ Ἀριστοτέλει, ταῖς δυσὶ ταύταις [πη]γαῖς, οὐκ ἀντιφιλοτιμήσο-
25 μαι, ἀλλ' ἀσμένως τοῖς χείλεσιν ἀπαρύσομαι, ὅ τι δ' ἂν ἐκεῖθεν
καὶ πρὸς ἡμᾶς ἐπιρρεῖ· τοῖς δ' ἄλλοις, καὶ τοὐμὸν ἀντεπιδείξομαι,
καὶ ταῖς τέχναις αὐτῶν ἀντεπιτεχνώσομαι· κἄν τινες σκώπτοιεν,
οὐ διενεχθήσομαι.

16 τὴν ἀρχαίαν ῥητορικὴν: cf. Dion. Halicarn. Περὶ τῶν ἀρχαίων ῥητόρων 1,7–8 ἡ ἀρχαία καὶ φιλόσοφος ῥητορική, Philostr. Βίοι σοφιστῶν I,praef. (480,1–2) τὴν ἀρχαίαν σοφιστικὴν ῥητορικὴν ἡγεῖσθαι χρὴ φιλοσοφοῦσαν, et Synes. Cyren. Δίων 3,7 τὴν ἀρχαίαν ῥητορικήν. cf. etiam Psel. Π 134,40 **17** τὴν πολιτικὴν: cf. e.g. Troilus Προλεγόμενα τῆς ῥητορικῆς Ἑρμογένους 47,10–29 ... διαφέρει τοίνυν ἡ πολιτικὴ φιλοσοφία τῆς ῥητορικῆς ... etc.; cf. Π 134,40–41 ῥητορεία φιλόσοφος, θάτερον δὲ μέρος πολιτικόν (φασιν οἱ πολλοί) **17–18** ἣν – γενναίαν: cf. Synes. Cyren. Epist. 103,30–33 καὶ σὺ μὲν ἐργάζῃ ῥητορικήν, καὶ συγχωρῶ σοι μὴ ταύτην ἐπιτηδεύειν ἀλλὰ τὴν ὀρθὴν καὶ γενναίαν, ἣν οὐδὲ Πλάτων οἶμαι διαγράφειν πειρᾶται· ἐγὼ δὲ φιλοσοφίαν τιμῶ ‖ **20–22** οὐκ – ἐφέπεσθαι: cf. Π 134,37 ταῖς Ἑρμογενείαις τέχναις ὑπάγεσθαι ‖ **21** ἕλκεσθαι τῆς ῥινός: proverbium; Lucian. Πρὸς τὸν ἀπαίδευτον καὶ πολλὰ βιβλία ὠνούμενον 20,10, Φιλοψευδὴς ἢ ἀπιστῶν 23,3, Ἑρμότιμος ἢ περὶ αἱρέσεων 68,30, Θεῶν διάλογοι 9,3,12; cf. Psel. Ἑρμηνεία περὶ τῶν εἰκοσιτεσσάρων στοιχείων ... πρὸς ... Ἰωάννην τὸν λιβελλίσιον = Phil. min. I 36,488, Theol. I 79,34 et 99,80, et Ὅτε παρῃτήσατο τὴν τοῦ πρωτοασηκρῆτις ἀξίαν = Or. min. 8,192–197 πολλοῖς δὲ τῶν ἀρχαίων καὶ στασίμων ῥητόρων περιτυχὼν οὐ τὸ τῶν πολλῶν πέπονθα, ἵν' ὑπ' αὐτῶν ἀγοίμην ἑλκόμενος ἀπὸ τῆς ῥινός, ἀλλὰ καὶ τῶν περὶ Λογγίνου ἐνίοις προσέθηκα καὶ τὴν Ἀδριανοῦ τέχνην ἐν πολλοῖς διωρθωσάμην· καὶ τὰ Σωπάτρου ἠτιασάμην σχεδὸν ἅπαντα, τὰ δὲ Ἑρμογένους καὶ αὐτοὶ ἴστε ὅπως ἐπὶ τῇ τῶν αἰτιῶν ἐλλείψει διαγράφομαι

20 τὴν add. K-D ‖ **23** τό γ' ἐμὸν corr. K-D: τό τ' ἐμὸν Y P-K² ‖ **24** πηγαῖς suppl. P-K² K-D: [..]γαῖς Y ‖ **27** ἀντεπιτεχνώσομαι Y P-K²: ἀντεπιτεχνήσομαι corr. K-D ‖ **28** διενεχθήσομαι : διενεχθῆναι P-K²

V. Ἀριστηνός

πατρίκιος, βεστάρχης, πρωτασηκρῆτις

19. Τῷ πατρικίῳ τῷ Ἀριστηνῷ

K-D 67 [L]

Καὶ πρὸ τῶν πεμπομένων σου πρὸς ἡμᾶς γραμμάτων καὶ μετὰ τὴν ἀποστολὴν τούτων, ὁμοίως διακείμεθα περὶ σέ, ἠγαπημένε ἀνηψιέ· οὐ γάρ ἐπιλανθανόμενοι εἶτα διὰ τῶν γραμμάτων ἀναμιμνησκόμεθα, ἀλλ' ἔχοντές σου τὴν μνήμην ἄληστον καὶ ἐνεργοῦσαν πρὸς τὸν καιρὸν δεῖξαι προτεθυμήμεθα. Οὐ γὰρ 5 πάντα χρόνον τῷ θειοτάτῳ ἡμῶν συγγινόμεθα βασιλεῖ, οὐδ' ἀνεῖται ἡμῖν ἡ πρὸς αὐτὸν εἴσοδος, εἰ μή τις τῶν παρ' ἐκείνου προελθεῖν ἐπιτάξειεν. Ἀλλὰ καὶ συγγινόμενοι, οὐ πρὸς ὃ ἡμεῖς βεβουλήμεθα τὰς ὁμιλίας ποιούμεθα, ἀλλὰ πρὸς τὴν τοῦ κρατοῦντος ὁρμὴν τοῦ λόγου τῆς συντυχίας καταξιούμεθα. Διὰ 10 ταῦτα οὐ πάλαι σὺ πρὸς τὴν βασιλίδα ἐπανῆλθες τῶν πόλεων· εἰ γὰρ τοῦτο ἐπὶ τῆς ἐμῆς ἔκειτο γνώμης, οὐκ ἂν ἔφθανον μυρίους Ἀριστηνοὺς καὶ ἀνεψιοὺς τῇ πόλει ἀποκαθιστῶν.

Ἀλλ' ἐρεῖς ὅτι δή ποτε μὴ τοῖς περὶ τὸν κρατοῦντα τὸν περὶ σοῦ λόγον εἰσάγομαι; Καὶ (νὴ τὴν ἀγάπην σου!) εὐχερέστερόν 15 ἐστι τῷ μεγάλῳ ἡμῶν αὐτοκράτορι περὶ ὅτου βουλόμεθα ἀνενεγκεῖν, ἤ τινι τῶν ἀγχιθύρων ἐκείνου. Πλὴν οὐκ ἀνήσομεν πᾶσαν ἀκοὴν ἀνεῳγμένην καὶ βεβυσμένην θυροκοποῦντες περὶ σοῦ, μέχρις ἂν τύχης τῆς πρὸς τὴν Πόλιν καθόδου, μᾶλλον δὲ τῆς πρὸς τὸ πᾶν ἀποκαταστάσεως, ἢ καὶ προσθήκης, ὡς ἐλπίζομεν καὶ 20 εὐχόμεθα.

V Ἀριστηνός: cf. Π 402,4–5 ‖ **6** τῷ θειοτάτῳ ἡμῶν ... βασιλεῖ: Constantinus X Ducas (imperator: 23/24.XI.1059 – 22/23.V.1067) (Π XVIII)?

ep. 19 L 36r–v, A 45v; tit. scripsi: τῷ Ἀριστηνῷ L τῷ πατρικίῳ τῷ Ἀριστινῷ A ‖ **2–3** ἠγαπημένε ἀνηψιέ A: om. L K-D ‖ **4** καὶ A: om. L K-D ‖ **7** ἐκείνου A: ἐκεῖνον L K-D ἐκείνῳ vel ἐκείνου prop. Diam 304 ‖ **8** προελθεῖν A: παρελθεῖν L K-D ‖ **16** περὶ ὅτου L K-D: περὶ ὅ τι A ‖ **19** μᾶλλον δὲ A: καὶ L K-D ‖ **20–21** ἢ καὶ προσθήκης – εὐχόμεθα A: om. L K-D

20. Τῷ Ἀριστηνῷ τῷ πρωτασηκρῆτις

K-D 111 [L]

Ἄμφω τὼ ἐμὼ γραμματικώ, ἀνεψιὲ φίλτατε, τόν τε ἐν φαιοῖς τρίβωσι καὶ τὸν ἐν λευκοῖς εἵμασι, μίξας ἀπέστειλα, ἐρῶντε βασιλείας, τὸν μὲν τῆς ἄνω, τὸν δὲ τῆς κάτω. Ὁ μὲν γὰρ νοερώτερος ἴσως ἐστί· καὶ μαντεύεται τὰ ἐπέκεινα φύσεως. Ὁ δὲ 5 χαίρει μάλιστα ταῖς αἰσθήσεσι· καὶ τοὺς μὲν ἐν οὐρανῷ θρόνους, ὡς ἀθεάτους καὶ ὑψηλοὺς καὶ μακροῦ δεομένους βραχίονος, οὐ πάνυ τι ζηλοῦν ἔοικε· τοὺς δὲ ἐπὶ γῆς φαινομένους, οἷς ἂν καὶ ἐνιδρυθείη ὡς ἥδιστα, στέργει (πῶς ἂν εἴποις;) σφοδρῶς. Εὐτρέπισται γοῦν ἤδη ὡς αὐτίκα καθίσων, μονονοὺ κλίνας τὸ 10 γόνυ· καὶ πρὸς τὴν καθέδραν ἑαυτὸν σχηματίσας, τήν τε κεφαλὴν τῷ στέφει ἡτοίμακε· καὶ περιαθρεῖ ἑαυτὸν κύκλῳ, ὥσπερ ὁ μηδικὸς ταὼς πρὸς τὴν θήλειαν καλλυνόμενος.

Ἥκει γοῦν παρὰ σέ, ὡς ἄμφω ληψόμενος, καὶ τοὺς θρόνους καὶ τὰς στεφάνας. Καί μοι ἄμφω χάρισαι τῷ ἀνδρί· τὸν μὲν ἐφ' 15 ὑψηλοῦ θέμενος, τὴν δὲ αὐτίκα πλέξας, πάντως δὲ οὐκ ἀπορήσας, οὔτε λύγων οὔτε βοτανῶν· ἀρκέσει δέ σοι πρὸς τοῦτο καὶ ἡ χαμαίμηλος πόα. Εἰ δὲ καὶ ἐπιμυρίσειας τούτῳ καταπλυνοῖς τε καὶ θυμιάσειας, τὸ πᾶν ἔσῃ πεποιηκώς· εἰ δὲ καὶ καπνοῦ καὶ κνίσης πληρώσειας, οὐ χείρονα πάντως ἀποδείξειας τοῦ Διός. Εἰ δέ γε 20 βούλει, καὶ στρεπτοῖς τοῦτον κόσμησον, καὶ ἐπιτραχηλίοις ἀρτήμασιν, ἢ τῶν μαλακοστράκων ἄττα ἢ τῶν ὀστρακοδέρμων αὐτῷ συμπλεξάμενος.

Ἀφίκετο γοῦν πρὸς σὲ τὴν τήμερον, ὡς πάντων ἐπιτευξόμενος· τὸ γὰρ εἱμαρτὸν τοῦτον τῆς προλαβούσης νυκτὸς πρὸς τὴν τοῦ 25 πράγματος ἐπιτυχίαν ἐκίνησεν: ἀνὴρ γὰρ αὐτῷ τὴν χροιὰν μέλας, τὸ χεῖλος πολύς, τὸ ὄμμα βαθύς, τὸν κρόταφον προπετής, περιχυ-

11–12 ὥσπερ ὁ μηδικὸς ταώς – καλλυνόμενος: Greg. Naz. Λόγος θεολογικὸς δεύτερος, περὶ θεολογίας = Or. 28,24 ταώς, ὁ ἀλαζὼν ὄρνις καὶ Μηδικός, οὕτω φιλόκαλος καὶ φιλότιμος, ὥστε … ὅταν ἴδῃ τινὰ πλησιάζοντα, ἢ ταῖς θηλείαις, ὥς φασι, καλλωπίζηται, … καὶ … θεατρίζει τὸ κάλλος τοῖς ἐρασταῖς, cf. Psel. Λόγος τοῦ ὑπερτίμου ὃς ἐπικέκληται σελέντιος = Or. min. 4,91–93 et Π 62,6–7

ep. 20 L 57v–58r; tit. L K-D ‖ **15** τὴν δὲ corr. K-D: τὸν δὲ L ‖ **17** καταπλυνοῖς corr. K-D: καταπλυνεῖς L ‖ **21** μαλακοστράκων L: μαλακοσάρκων K-D

θεὶς ὡς μέλλων φιλεῖν, ἀπέτραγε τῆς ῥινός, τόν τε πώγωνα λαφύσσων, κατενεμήσατο. Αὐτίκα γοῦν ἐγνώκει, ὡς ἐπὶ θύραις τὸ πρᾶγμα· καὶ τὰς βλαύτας ὑποδησάμενος, πρὸς τὴν συμμαχίαν ἀφίκετο, πλήρης (ὡς ὁρᾷς) θυμοῦ τε καὶ πνεύματος. 30

Ἀλλ' οἱ τὰ Μίθρου μυούμενοι οὐκ αὐτίκα κατῄεσαν εἰς τὸ ἄδυτον, νόμος δὲ τούτους ἐφ' ἑκάστης βαθμίδος τῆς μακρᾶς ἐκείνης κολάζεσθαι κλίμακος· ἐστίζοντο γοῦν κατὰ μίαν, καὶ ἄλλο τι τῶν δεινοτέρων πόρρω κατιόντες ὑφίσταντο. Ὑποκείσθω γοῦν τῷ Μιθρικῷ νόμῳ καὶ ὁ θαυμάσιος οὗτος γραμματικός· καὶ πρὶν 35 ἢ τὸν Μίθραν ἰδεῖν καὶ ἱεροφάντης γενέσθαι τοῦ δαίμονος, τὰ πρὸ τῶν ἀδύτων ὑπομεινάτω. Οὐκ ἀφυὴς δὲ πάντως σὺ νυμφαγωγὸς (οὕτως εἰπεῖν) τοῦ ἀνδρός, ἀλλ' ἐπιστήμων τῆς τελετῆς. Εἰ δὲ καὶ ἐν Λεβαδίᾳ ἀποδεδημήκει ἐς Τροφωνίου μαντευσόμενος, πρὶν ἢ τοῖς ἀρρήτοις ἐκείνοις ἐντυχεῖν, οὐκ ἂν περὶ τὰ πρόθυρα τοῦ 40 μαντείου βραχύ τι ἐτεταλαιπωρήκει; Ἀλλ' οἱ πάλαι μὲν ταῦτα τελούμενοι καὶ μισθοὺς τῆς συντονίας ταύτης ἐδίδοσαν· οὗτος δὲ λήψοιτο μᾶλλον, ἵνα καὶ πολλάκις μυοῖτο καὶ τῇ τοῦ κέρδους ἐλπίδι μὴ ἀπαγορεύοι τὴν κακοπάθειαν.

29 τὰς βλαύτας ὑποδησάμενος: Plat. Συμπόσιον 174a3–4 Σωκράτη ἐντυχεῖν λελουμένον τε καὶ τὰς βλαύτας ὑποδεδεμένον, cf. Π 198,12 et etiam Ἐκ τοῦ περὶ τοῦ πνεύματος λόγου εἰς τὸ 'Σαδδουκαῖοι μὲν οὐδ' εἶναι' = Theol. I 106,131–133 ὅτε δὲ ἀπῄει εἰς τὸ συμπόσιον τοῦ Ἀγάθωνος, λουσάμενος, ὡς ὁ Πλάτων φησί, «καὶ τὰς βλαύτας ὑποδησάμενος», ἔστη κατὰ μέσην τὴν ὁδὸν ἀθρόον αὐτῷ τοῦ δαιμονίου ὡμιληκότος ‖ **31–34** οἱ τὰ – ὑφίσταντο: cf. Ps.-Nonnus Συναγωγὴ ... ἱστοριῶν ... in Greg. Naz. Or. 4, hist. 47 ἡ ἐν Μίθρου κόλασις et in Or. 39, hist. 18 περὶ τῶν κολάσεων τοῦ Μίθρου. cf. etiam Suda μ 1045 et Π 122,22–25 ‖ **39** ἐν Λεβαδίᾳ – μαντευσόμενος: proverbium, CPG I 72 (nr. 61), II 25 (nr. 50), et 694 (nr. 30), cf. Suda τ 1065 Τροφωνίου ... ἐν Λεβαδείᾳ χρηστήριον ἦν, et Π 24,13–14 et Π 118,18–19

35 Μιθρικῷ an Μιθριακῷ scribendum? ‖ **36** τὸν Μίθραν corr. K-D: τὴν μίθρον L

21. Τῷ Ἀριστηνῷ

a. 1068, militiis ab Romano IV Diogene inceptis; eodem tempore ut Π 25, Π 281, et Π 152 [vid. epistolarum ordinem in L] et etiam Π 24, Π 151, Π 282a = Π 282b, Π 22, et Π 283; cf. etiam Π 292 et Π 504?

K-D 148 [L]

Ποῦ σοι, Ἀριστηνέ, οἱ μεγάλοι χαρακτῆρες ἐκεῖνοι τῆς πρὸς ἡμᾶς φιλίας καὶ διαθέσεως; τὸ περιέπειν; τὸ πλαγίως προσιέναι; τὸ πόρρω τὰς χεῖρας δεσμεῖν; τὸ καταφιλεῖν, νῦν μὲν κεφαλήν, νῦν δὲ στῆθος, νῦν δὲ τὰς χεῖρας; νῦν γὰρ—ἀλλ' οὐδὲ κἂν συλλαβὴν μίαν
5 οὐδὲ προσφώνησιν; Ἐγὼ δὲ πολλοὺς τῶν αὐτόθεν ἐνταῦθα εἰσιόντων ἠρώτηκα: «μή τι περὶ ἡμῶν ὁ Ἀριστηνός;»· προσετίθουν καὶ τἆλλα: «ὁ πρωτασηκρῆτις, ὁ βεστάρχης, ὁ λογιώτατος». Οἱ δ' ἐφεξῆς πάντες ἀπέφησαν. «Οὕτως; ἐπὶ τοιούτων αἱ ἐπαγγελίαι;» ἐγὼ δὲ ᾤμην. Ἀλλ' εἰκός με πάντων τῶν κρειττόνων ἀποτυχεῖν,
10 καὶ τῶν ἐλπίδων τῶν παρὰ σοί.

Κἂν γοῦν μοι ταύτην τὴν χάριν κατάθου· καὶ τὸν Γορδιασοῦ ὡς φίλον ἐμόν, καὶ προσηνέστερον ἴδε καὶ ὁμίλησον· καὶ εἴ τινες αὐτὸν περιστάσεις ἐκύκλωσαν, ἀπάλλαξον τὸν ἄνδρα τῶν δυσχερῶν.

15 Ἐμὲ δὲ πάντως εἶδες κορυφωθέντα τῷ γράμματι. Μίαν γοῦν ἐπιστολὴν εἰ δέξομαι παρὰ σοῦ, εὐθύς μοι συνδεθεῖσαν διαλύσομαι τὴν ὀφρῦν.

22. Τῷ πρωτοασηκρῆτις τῷ Ἀριστηνῷ

a. 1068, militiis ab Romano IV Diogene inceptis; eodem tempore ut Π 282a = Π 282b et Π 283 [vid. epistolarum ordinem in D] et etiam Π 25, Π 281, Π 21, Π 152, Π 24, et Π 151; cf. etiam Π 292 et Π 504?

G 24 [D]

Εἰ μὲν κρείττους ἡγῇ τὰς σὰς ἐπιστολὰς τῶν ἐμῶν, σοφώτατε ἄνθρωπε, ὠνοῦ μίαν ἐμὴν πλειόνων τῶν σῶν· εἰ δὲ χείρους ἴσως,

11 τὸν Γορδιασοῦ: episcopus (vel abbas?) in Gordiason (TIB 2 183–4), de quo cf. etiam Π 25,28, Π 152,4, Π 281,9, et Π 292,4

ep. 21 L 72r; tit. L K-D ‖ **10** σοῦ prop. Diam 304 ‖ **17** ὀφρύν K-D ‖ **ep. 22** D 268r–269r; tit. D G

τῆς ἀπορρήτου φιλοσοφίας πυνθάνου, ὅτι τὰ μὲν χείρονα ἐπιστρέφει πρὸς τὰ κρείττονα, τὰ δὲ κρείττονα ἀνεπίστροφα τῶν χειρόνων εἰσί. 5

Πῶς οὖν αὐτὸς καὶ κρείττων ἐμοῦ, ὡς ὁ λόγος διεῖλε, καὶ πρὸς τὸν χείρονα ἐπιστρέφειν αἱρῇ; Ἀλλ' ἵνα σοι περὶ φιλοσοφίας βοηθὸς ἔσομαι, εἴποις ἂν δικαίως ὡς, ἐπίσης ἀφεστηκὼς τοῦ τε χείρονος καὶ τοῦ κρείττονος, ἀπὸ τῆς ἰσότητος ἡμῖν ὁμιλεῖς. Διὰ ταῦτα μίαν ἐπιστολὴν ἀντιλαμβάνεις μιᾶς· μᾶλλον δὲ ὥσπερ ἐν 10 γραμματείῳ ἀντωνήσω τὴν ἐμὴν γραφὴν τῆς σῆς, νῦν δὲ ἀντωνοῦμαι αὐτὸς τὴν σὴν τῆς ἐμῆς.

Τὰ δέ γε δικαιότατα τῶν συμβολαίων, ἀδελφὲ φίλτατε, καὶ τῶν λόγων αἱ ἀντωνήσεις ὥσπερ καὶ τῶν πραγμάτων τῶν ἐλλείψεων ἀφεῖται καὶ τῶν ὑπερβολῶν. Ἐνταῦθα δὲ καὶ ἡ ἀντικα- 15 ταλλαγὴ οὐχ ἑτερότης ἐστὶν ὑλῶν, ἀλλὰ ταυτότης· λόγος γὰρ λόγου ἀντιλαμβάνεται, ὥσπερ ὑφάσματος ὕφασμα. Ἐγὼ γοῦν τὴν ἐπιστολὴν ὡς ὁρᾷς ὑφαίνω ἱστουργικῇ, εἴτε τῇ χείρονι εἴτε τῇ

3–5 τὰ μὲν – εἰσί: notio neoplatonica saepe in Psello laudata; cf. e.g. Procl. Στοιχείωσις θεολογική 186 πᾶν δὲ τὸ ἑαυτὸ γινῶσκον πρὸς ἑαυτὸ ἐπιστρέφεται, τὸ δὲ πρὸς ἑαυτὸ ἐπιστρέφον οὔτε σῶμά ἐστι (πᾶν γὰρ σῶμα πρὸς ἑαυτὸ ἀνεπίστροφον) οὔτε σώματος ἀχώριστον (καὶ γὰρ τὸ σώματος ἀχώριστον οὐ πέφυκε πρὸς ἑαυτὸ ἐπιστρέφειν· χωρίζοιτο γὰρ ἂν ταύτῃ σώματος) cum Plat. Ἐπινομὶς 982b7–c3 τὸ δὲ ἀμετάστροφον, ὅταν ψυχὴ τὸ ἄριστον κατὰ τὸν ἄριστον βουλεύσηται νοῦν, τὸ τέλεον ἐκβαίνει τῷ ὄντι κατὰ νοῦν, καὶ οὐδὲ ἀδάμας ἂν αὐτοῦ κρεῖττον οὐδὲ ἀμεταστροφώτερον ἄν ποτε γένοιτο. cf. e.g. Psel. Περὶ τῆς χρυσῆς ἁλύσεως ... = Phil. min. I 46,71–81 τρία γὰρ ταῦτα πρὸς τὰς ἐκείνου τρεῖς τάξεις συντίθημι, νοῦν καὶ ψυχὴν καὶ φύσιν. ὁ μὲν οὖν νοῦς γεννῶν τὴν ψυχὴν ἀνεπίστροφός ἐστι πρὸς αὐτήν· ἔννους γὰρ ἡ ψυχὴ γίνεται οὐχ ὅτε ὁ νοῦς στραφῇ πρὸς ψυχήν, ἀλλ' ὅτε ἡ ψυχὴ στραφῇ πρὸς τὸν νοῦν. ἡ δὲ φύσις τῶν σωμάτων ἐπιστρεφομένη καὶ διοικοῦσα ταῦτα οὐκ ἐπιστρέφει πρὸς ἑαυτήν, ἐπειδή ἐστιν οὐσία σώματος χωριστή, ἀλλὰ συναπολήγει τοῖς σώμασιν. ἡ δὲ ψυχή, ἕως μὲν ἂν ᾖ τὸ οἰκεῖον τηροῦσα ἀξίωμα, ἀνεπιστρόφως ἔχειν πέφυκε πρὸς τὰ σώματα, εἰ δὲ τῇ δεινότητι κατασχεθῇ τοῦ εἱρμοῦ, τότε καὶ τῶν σωμάτων ἐπιμελεῖται, ὡς εἶναι τὸν μὲν νοῦν ἑαυτοῦ μόνως, τὴν δὲ φύσιν ἄλλου ἀεί, τὴν δὲ ψυχὴν ἑαυτοῦ καὶ ἄλλου, Ἐγκωμιαστικὸς εἰς ... Μιχαὴλ τὸν Κηρουλλάριον = Or. fun. I 1,24 τῶν μὲν περὶ τὴν ἄνω θεωρίαν ἐσχολακότων καὶ πρὸς τὰ τῇδε γενομένων ἀνεπιστρόφων, et Π 95,63 ἀμετάστροφος πρὸς τὰ τῇδε εἴην, Π 379,8–9 πάντῃ ἀνεπίστροφος εἶ πρὸς ἡμᾶς, et Π 459,2–3 τὸ δὲ σὸν ἀνεπιστρόφως προσανέχειν θεῷ, Π 459,7–8 ἀνεπιστρόφως ἔτι ἔχεις περὶ τὰ τῇδε, et Π 459,27 οὐδ' ἀμετάστροφον

καλλίονι. Ἀνθύφανον οὖν μοι καὶ σὺ τὸ γράμμα τὸ σόν, κρόκῃ τῇ
20 αὐτῇ, μίτῳ τῷ αὐτῷ, τέχνῃ τῇ αὐτῇ· μήτε λεπτότερον ποιήσεις,
μήτε παχύτερον, μήτε πυκνότερον, μήτ' ἀραιότερον, μήτε ὀξυτέρᾳ
τῇ κερκίδι, μήτ' ἀμβλυτέρᾳ. Εἰ δὲ μὴ λεῖον τὸ τοῦ ἐμοῦ γράμμα-
τος ὕφασμα, ἀλλά σοι δοκεῖ πεποικίλθαι, ποίκιλλον καὶ αὐτὸς τὸ
ἀντίγραμμα, μὴ ζῷα ἐντυπωσάμενος, ἀλλὰ λέξιν ἐναρμόσας
25 καλὴν καὶ διάνοιαν εὐπρεπῆ· εἰ δὲ δύναιο, καὶ σχημάτισον
ἕκαστον τῶν δυοῖν (μεμάθηκα γὰρ καὶ σχήματα διανοίας ὥσπερ
καὶ λέξεων). Ἔστι καὶ ἕτερον σχῆμα ἑταιρικὸν καὶ θεατρικὸν
ὥσπερ καὶ κάλλος· τὸ μὲν ἐν ποιᾷ συνθήκῃ, τὸ δὲ προβεβλημένον
τε καὶ ἁβρόν· καὶ τὸ μὲν διὰ πασῶν τῶν ἰδεῶν ἥκει, τὸ δὲ διὰ
30 μιᾶς, τῆς οὕτω ὠνομασμένης «καλῆς».

Εἴ τι οὖν τούτων ὧν ἐμπεπόρευσαι πάλαι παρὰ τῆς ἐμῆς
γλώττης ἔχεις ἐν τῇ ψυχῇ καὶ φυλάττεις, ἐπίβαλε τῷ ὑφάσματι,
ἵνα σοι καὶ ποικίλον γένηται καὶ καλόν. Κἂν με νικήσῃς τῷ
γράμματι, οὔτε φθονήσαιμι (νὴ τὸν λόγιον!), οὔτε σοι αὖθις
35 ἐπαποδύσομαι, οὐδὲ διὰ δευτέρας ἀμυνοῦμαι γραφῆς· εἴην γὰρ
ἐγὼ παρὰ τῶν ἐμῶν παίδων νικώμενος, ἐπεὶ οὐδ' ὁ Νέστωρ τῷ
παιδὶ Ἀντιλόχῳ ἐβάσκηνε, κρείττονι γεγονότι αὐτῷ τὰ πολέμια.
Ἐμοὶ γὰρ ἤδη καὶ γηράσκοντι ἡ ἄνθη τῶν λόγων ἀπορρεῖ· σοὶ δὲ
ἡβάσκοντι μᾶλλον ἐπανθεῖ. Εἰ δ' ἴσως οὔπω σοι τὸ δένδρον πάντῃ
40 ἐξήνθισται, ἀλλὰ τὸ ἐμὸν ἔτι ἀμφιλαφές τε καὶ σύσκιον, ποίησον
ὅπερ οἱ γεωργοὶ ποιεῖν εἰώθασιν· ἀποσπάδα λαβὼν ἐμήν, τῷ σῷ
πρέμνῳ ἐνάρμοσον, ἵν' οὕτω πιότερος ἅμα καὶ εὐανθέστερος
γένοιο. Εἰ δέ σοι οὐκ ἀξιόχρεως ὁ ἐμὸς κλάδος ἐστίν, ἀλλὰ τῶν

29–30 τὸ[1] – καλῆς: cf. Hermog. Περὶ ἰδεῶν 1,12,2–8 et 33 (cf. διήκουσι γὰρ δι' ἀλλήλων σχεδὸν ἅπασαι [scil. ἰδέαι]) ‖ **34** τὸν λόγιον: Hermes; cf. Psel. ⟨De servitute a secretis⟩ = Or. min. 11,60 et Π 248,12–13, Π 408,16–18 et Π 454,85 ‖ **36–37** οὐδ' – πολέμια: cf. fortasse Hom. Il. 23,304–305 πατὴρ δέ οἱ ἄγχι παραστὰς / μυθεῖτ' εἰς ἀγαθὰ φρονέων νοέοντι καὶ αὐτῷ ‖ **39–40** τὸ – σύσκιον: cf. Plat. Φαῖδρος 230b2–5 ἥ τε γὰρ πλάτανος αὕτη μάλ' ἀμφιλαφής τε καὶ ὑψηλή, τοῦ τε ἄγνου τὸ ὕψος καὶ τὸ σύσκιον πάγκαλον, καὶ ὡς ἀκμὴν ἔχει τῆς ἄνθης, locus saepe laudatus. cf. Psel. Ἐπιτάφιος εἰς … Ἰωάννην τὸν Ξιφιλῖνον = Or. fun. I 3,16,43–44, Τὰ πρὸς Ὄλυμπον = Or. min. 36,34, Ἑρμηνεία περὶ τῶν εἰκοσιτεσσάρων στοιχείων … πρὸς … Ἰωάννην τὸν λιβελλίσιον = Phil. min. I 36,305, et Εἰς τὸ θεολογικὸν τὸ 'ταῦτα τοῖς αἰνιγματισταῖς …' = Theol. I 16,32–33, et Π 64,27, Π 201,31–32, et Π 482,7–8

19 κρόκῃ corr. G: κρόκκῃ D

Δημοσθένους λόγων, ἀλλὰ τῶν Ἀριστείδους, ἀλλὰ τῶν Πλάτωνος ἀναλεγόμενος καὶ ἀποσπῶν ἠρέμα, καὶ τῆς ἐκείνων φυτείας 45 ἀπογευόμενος, γένοιό μοι δένδρον ἐκ τοῦ καρποῦ τῆς γνώσεως γνωριζόμενον.

Ἀλλ' ἐπελαθόμην τοῦ ἔργου, καί με ἡ βλάστη ἀνέμνησεν. Οὐ στεφανηφορήσεις αὐτὸς οὖν ἐπὶ τοσούτοις τροπαίοις καὶ πόλεων τοσούτων πολιορκίαις, οὐδὲ θήσεις Ῥωμαϊκὸν θρίαμβον, οὐδὲ 50 θύσεις τὰ μονομάχια; Ἀλλ' εὖ οἶδα ὅτι φιλόσοφος ὤν, μετριάσεις καὶ αὖθις τῷ σχήματι. Ἀλλ' ἐγὼ πολλοὺς ὑμῖν στεφάνους πλεξάμενος, ἕνα τούτων ἐπιθήσω καὶ τῇ σῇ κεφαλῇ.

23. ⟨Τῷ Ἀριστηνῷ τῷ πρωτασηκρῆτις, (Ἰωάννῃ?) τῷ λιβελλισίῳ, καὶ Λέοντι τῷ ἐπὶ τῶν δεήσεων⟩

ex Cappadociae, aestate 1069, militiis ab Romano IV Diogene inceptis; post Π 119 et Π 135; cf. Π 160,23-24?

S 176 [P]

Μίαν τοῖς τρισὶ ποιοῦμαι ἐπιστολήν, φίλτατοι καὶ λογιώτατοι ἀδελφοί, τῷ πρωτοασηκρῆτις, τῷ λιβελλισίῳ, καὶ τῷ ἐπὶ τῶν

50–51 οὐδὲ[1] – μονομάχια: cf. Psel. Ἕτερος λόγος πρὸς … Κωνσταντῖνον τὸν Μονομάχον = Or. pan. 4,576–577 κάταγε θρίαμβον καὶ στεφανωσάμενος θῦε τὰ μονομάχεια et Π 37,29–30 θαρρούντως στεφανωσάμενος θύε τὰ ἀριστεῖα καὶ μονομάχια ‖ 2 τῷ λιβελλισίῳ: Ioannes, discipulus Pselli? de quo cf. etiam Ἑρμηνεία περὶ τῶν εἰκοσιτεσσάρων στοιχείων … πρὸς … Ἰωάννην τὸν λιβελλίσιον = Phil. min. I 36 οὐ μετρίαν σοι χάριν ἀποτιννύς, φίλτατέ μοι πάντων ἀνδρῶν λιβελλίσιε etc. et Εἰς τὸ 'ἣ βούλεται μοῖραν …' = Theol. I 62,101–122 ὁ δὲ τὰ πάντα χρυσοῦς ἐμοὶ λιβελλίσιος … οὗτος γὰρ τῷ τῆς φιλοσοφίας γένει τὴν ἑαυτοῦ ἐμβιβάσας ψυχὴν καὶ ἀπὸ τοῦ πολλὰ εἶναι εἰς τὸ ἓν ἀναλύσας, κάλλιστον γέγονε τῷ βίῳ τούτῳ θαῦμά τε καὶ διήγημα. τὴν γοῦν ἑνάδα ταύτην ἐν ἑαυτῷ τε κοινῶς καὶ ἐμοὶ τετήρηκε, δεσμὸν ἀμφοῖν εὑράμενος τὴν φιλίαν, ἥντινα δὴ θεὸς ἕνωσιν τῶν διῃρημένων ὥσπερ μηχανησάμενος εἰς ἓν ἄγει τὰ διεστηκότα καὶ συναιρεῖ τὰ πολλὰ καὶ τὸ πλῆθος ποιεῖ ἕν. ταύτῃ δὴ καὶ οὗτος χρησάμενος, πρῶτον μὲν τὰ ἑαυτοῦ μέρη ὁμολογοῦντα ἀλλήλοις πεποίηκεν, εἶτα δὴ ἰσοδύναμον ἐν ἑαυτῷ κἀμοὶ τὸν λόγον εὑράμενος, οὕτω συνέδησε πρὸς ἑαυτὸν καὶ συνέσφιγξεν, ὡς μὴ διῃρῆσθαι δοκεῖν, ἀλλ' ἔχεσθαι ἀλλήλων καρτερῶς τῇ δυνάμει τοῦ φιλοσόφου

ep. 23 P 231v–232r; tit. scripsi: ⟨τῷ πρωτοασηκρῆτις, τῷ λιβελλισίῳ, καὶ τῷ ἐπὶ τῶν δεήσεων⟩ S

δεήσεων, ἢ οὐκ οἶδα ὅπως ἂν χρησαίμην τῇ τάξει τῶν ἀξιωμάτων
ὑμῶν. Ὁ μὲν γὰρ ἐνδιάθετος λόγος ἀσυντάκτως ὑμᾶς οἶδε χωρεῖν
5 (ἀμερὴς γὰρ ὢν οὐ διΐσταται, οὔτε τοῖς ὀνόμασιν, οὔτε τοῖς
ἀξιώμασι)· τῷ δέ γε προφορικῷ οὐκ ἂν ὁμοῦ ἀγγελθείητε. Διὰ
ταῦτα κατὰ τὸ ἐπιτυχόν, ὁ μὲν πρῶτος, ὁ δὲ δεύτερος, ὁ δὲ τρίτος
διῄρησθε. Συνάπτω δὲ πάντας ἐν ἑνὶ γράμματι, οὐχ ὡς μὴ
δυνάμενος καὶ καθ' ἕνα ἐπιστολὴν δημιουργῆσαι καλήν, ἀλλ'
10 ὁμοῦ μὲν ὑμῖν συντιθέμενος δι' ἑνὸς γράμματος τοῖς διὰ μιᾶς
γνώμης ἐνίσασιν ἑαυτούς, ὁμοῦ δὲ γυμνασίαν τῆς ἐμῆς περὶ τοὺς
λόγους ἕξεως ποιούμενος, εἰ δυναίμην ἐν τῷ αὐτῷ γράμματι
πολλοῖς προσφωνῶν, ἑκάστῳ τὸ οἰκεῖον ἀποδιδόναι ἦθός τε καὶ
ἰδίωμα· οὐ γὰρ τοῦ παντὸς οὐδὲ ῥᾴδιον ἀνομοίοις ἤθεσι μίαν
15 ἐξομοιῶσαι ἐπιστολήν· εἰ γὰρ καὶ μὴ διῄρησθε κατὰ τὴν τῆς
φιλίας ἑνότητα, ἀλλ' ἑκάστῳ τὸ σχῆμα τοῦ ἤθους ἴδιον καὶ πρὸς
τοὺς ἄλλους ἀσύναπτον· ἐπεὶ καὶ ὁ παρὰ Πλάτωνι δημιουργὸς τῆς
ψυχῆς πράγματα ἔχει τὸν τοῦ θεάτρου ἵππον συνάπτων τῷ τοῦ

δεσμοῦ. διὰ ταῦτα πρὸς τοῦτον ἐγὼ καὶ πλεῖστα τῶν ἐμῶν συγγραμμάτων ὑπηγόρευσα, καὶ τὴν γλῶτταν, πρὸς ἄλλους ἐπέχων, πρὸς τοῦτον διελυσάμην καὶ πᾶσαν ἐμαυτοῦ δύναμιν ἀνεκάλυψα. κἀγὼ μὲν κατ' ἴσον ἐμαυτῷ τὴν τοῦ λόγου παραμετρῶ δύναμιν· ὁ δέ μοι καὶ μαθητιᾷ καὶ τοῦ ἐμοῦ γυμνασίου γίνεται καὶ τὸν ἐν ταύτῃ τῇ στοᾷ χορὸν τῷ καθ' ἑαυτὸν μέρει ἀναπληροῖ, Ἀριστοτέλης φοιτῶν παρὰ Πλάτωνα, ὃν ἐγὼ οὐκ ἂν ὡς ἐκεῖνος 'πῶλον' κατονομάσαιμι πρὸς τὸν οἰκεῖον διδάσκαλον καταναιδευόμενον, 'νοῦν' δὲ 'τοῦ ἀκροατηρίου' καὶ τοῦ Πυθαγορικοῦ τούτου ὁμακοείου αὐτὸ τὸ κεφάλαιον. cf. etiam Cheynet I,326? ‖ **2–3** τῷ³ – δεήσεων: Leon (Π XXXVI)
5 ἀμερὴς – διΐσταται: cf. Psel. ⟨De anima et mente⟩ = Phil. min. II 2 (2,17–20) οὐκ ἄλλο τι γὰρ ὑπάρχων ὁ ἐνδιάθετος λόγος νοῦς τίς ἐστιν, ὁ δὲ προφορικὸς ὅμως ὄχημα νοῦ· δι' αὐτοῦ γὰρ ἀδιαστάτως τοῖς θύραθεν προσομιλῶν τῶν ἐντὸς οὐκ ἐξίσταται ‖ **17–20** ὁ – ἑτερότητι: cf. Plat. Φαῖδρος 246a6–b4 … ὁ ἄρχων συνωρίδος ἡνιοχεῖ, εἶτα τῶν ἵππων ὁ μὲν αὐτῷ καλός τε καὶ ἀγαθὸς καὶ ἐκ τοιούτων, ὁ δ' ἐξ ἐναντίων τε καὶ ἐναντίος et 253d1–254e9 … ὁ μὲν τοίνυν αὐτοῖν … κελεύσματι μόνον καὶ λόγῳ ἡνιοχεῖται … ὁ δ' αὖ μάστιγι μετὰ κέντρων μόγις ὑπείκων, cum Psel. Ἐξήγησις τῆς Πλατωνικῆς ἐν τῷ Φαίδρῳ διφρείας τῶν ψυχῶν καὶ στρατείας τῶν θεῶν = Phil. min. II 7, Πρὸς τοὺς λέγοντας μὴ εἶναι φύσει χρηστὸν τὸν ἄνθρωπον· ἐλέχθη δὲ ὁ τοιοῦτος λόγος αὐτοσχεδίως = Phil. min. II 17 (83,29–84,7), et Π 95,40–42, Π 116,28–29, Π 134,11–18, Π 214,22–23, Π 474,19–22, et Π 492,65–66 ‖ **17–22** ὁ – κίρνησιν: cf. Plat. Τίμαιος 41d4–5 ἐπὶ τὸν πρότερον κρατῆρα, ἐν ᾧ τὴν τοῦ παντὸς ψυχὴν κεραννὺς ἔμισγεν? cf. Psel. Μονῳδία εἰς τὸν βεστάρχην Γεώργιον τὸν τοῦ ἀκτουαρίου = Or. fun. I 7,2,34

αὐτοῦ διὰ τὸ δυσανάγωγον ἐκείνου καὶ τὸ χαίρειν μάλιστα ἑτερότητι. 20

Καὶ ὑμεῖς γοῦν ἐν μὲν τῷ αὐτῷ κρατῆρι συγκεκέρασθε, οὗ δὴ καὶ σοφὸς τὰς ψυχὰς κίρνησιν, ἔχοιτε δὲ ἑτερότητα ἐν ταὐτότητι. Καὶ μία μὲν ὑμῖν ἡ πρὸς τὸ καλὸν σύμπνοια καὶ ὁμόνοια, καὶ τὸ ἀκριβῶς ἔχειν περὶ πᾶσαν σοφίαν καὶ σύνεσιν. Ἀλλὰ τῷ μὲν ἐμβριθεστέρα πως ἡ φύσις καὶ παγιωτέρα περὶ τὴν ἕξιν τοῦ κρείτ- 25 τονος, καὶ ἡ σύννοια μετὰ φιλοσόφου ἕξεως· τῷ δὲ ἑτοιμοτέρα ἡ γνώμη καὶ πρὸς πᾶσαν ἰδέαν καλοῦ εὐπερίστροφος, εὐγλωττία τε οὐ κωμικὴ ἀλλὰ χαρίεσσα, καὶ τὸ ἦθος οἷον εὐθὺς τὸν θεατὴν ὀφθαλμὸν λογικῶν ἀκτίνων καταπληρῶσαι· ὁ δέ τις ὑμῶν αὐτόθεν μὲν τὴν γνώμην βαθὺς δὲ καὶ ἐπεστραμμένος πρὸς ἑαυτόν, εἰ δέ 30 τις ἀναχωννύειν τὸ ἦθος βούλοιτο, οἷον ἀπὸ κρατῆρος στρυφνοῦ πόμα ἀρύσαιτο διειδέστατον.

Ἆρ᾽ οὖν ἐγνώκειτε ἕκαστος ὑμῶν τὸ ἴδιον, καὶ ἐς ἀνάμνησιν ἐληλύθατε ὧν ἔχετε ἐν τῇ ψυχῇ ἕξεων ἀπὸ τῆς ἐν λόγοις μαθή- σεως; Ἢ δεῖ ἑκάστῳ τὴν οἰκείαν διερμηνεύειν ψυχήν, ὃ δὴ περιτ- 35 τόν ἐστι πάντως τῷ γράμματι; Ἐγὼ δὲ οὐδέν τι σεμνολογήσομαι πρὸς ὑμᾶς· οὐδὲ παραπολαύσω τι τῆς ἐπιστολῆς (μᾶλλον δὲ τῆς ὑμετέρας φιλίας διὰ τὴν ἐπιστολήν), ὅτι ἑκάστῳ ὑμῶν οὕτω διῃρημένων ξυνηρμοσμένος εἰμί, ὡς μήτε χάριτος ἀμοιρεῖν, μήτε τοῦ ἐπεστράφθαι πρὸς ἑαυτόν, μήτε τοῦ φιλοσόφως ἔχειν τοῦ 40 ἤθους. Ὥσπερ γὰρ ἔνια τῶν πολιτικῶν ζητημάτων ἔχει μέν τι τῆς ἀντιθέσεως ἴδιον, ἐκ πασῶν δὲ συγκέκραται τῶν ἀντιρρήσεων, μᾶλλον δὲ πρὸς πάντα ἐφήρμοσται, οὕτω δὴ κἀκεῖ ἡτοίμασται ἡ ψυχὴ ὡς κατὰ μίαν μὲν συντετᾶσθαι ἰδέαν, πολλαῖς δὲ συνηρῆσθαι (εἴη δὲ οὕτως εἰπεῖν: ταῖς κρείττοσιν)· οὐ γάρ εἰμι τὸ κυρίως ἕν, 45 ἵνα μοι ἀδιαίρετος ἡ φύσις ὑπάρχῃ, ἀλλὰ τὸ ἐκ πλειόνων συγκε- κροτημένον. Οὕτω τοιγαροῦν καὶ πᾶσα ψυχή, καὶ πᾶσα φύσις, καὶ οἱ νοητοὶ λόγοι διάφοροι μέν, πρὸς μίαν δὲ ἰδέαν συνηρημένοι

41 τῶν – ζητημάτων: de statibus agit; cf. Hermog. Περὶ στάσεων ‖ **45–47** οὐ – συγκεκροτημένον: cf. Π 514,5–6 οὐ γὰρ ἁπλῆς εἰμι φύσεως, ἀλλ᾽ ἐξ ἐναντίων συνέστηκα οὐσιῶν ‖ **45** τὸ – ἕν: iunctura neoaristotelica et neoplatonica; cf. e.g. Psel. Omn. doctr. 16,4, 94,4, et 152,3 et 6

19 αὑτοῦ scripsi: αὐτοῦ P S

τυγχάνουσι· καὶ τὰ μυστικὰ τῶν κρειττόνων συνθήματα ἐκ διαφό-
50 ρων πρὸς τὸ αὐτὸ ξυντετάχαται· ἢ πόθεν ἐπὶ τῆς ὕλης οἱ τῶν
τεράτων λόγοι καὶ αἱ διημαρτημέναι τῶν ἰδεῶν (ἵνα δή τι ἐξ
ἄλλου θεωρήματος ἕτερόν τι γεωμετρικῶς ὑμῖν συμπορίσωμαι);

Καὶ τοῦτο δέ μου εἰκότως ἂν θαυμάσαισθε, ὅτι ἐπίσης ὑμῖν
ξυγκέκραμαι· καὶ οὔτε τὴν τοῦ λιβελλισίου χάριν τεθαυμακώς, τῆς
55 βαθυγνώμονος τοῦ ἐπὶ τῶν δεήσεων ἐπιστολῆς διήρημαι· οὔτε
ὑμῖν συνημμένος οὕτως ὤν, ἀπεσκληκότως πρὸς τὴν τοῦ πρωτοα-
σηκρῆτις ἔχω ἐμβρίθειαν· ἀλλ' οὕτω δὴ πρὸς ὑμᾶς ἀπεικόνισμαι,
ὥσπερ ἂν εἰ πρὸς ἕνα τις ἕτερος, καὶ οὐ βούλομαι θατέρου εἶναι,
ἀλλὰ πάντων ὁμοῦ. Καὶ οὔθ' ὑμεῖς ἀτελεῖς τῷ ἕκαστος εἶναι παρὰ
60 τὸν ἕτερον, κἀγὼ τελεώτατος τῷ ὁμοίως ἔχειν πρὸς ἅπαντας,
ὥσπερ εἴ τι μίγμα εἴη τοῦ παντός. Ἀλλ' οὐδὲ τὰ μέρη ἐπιδεῶς
ἔχει τῆς ἑκάστου φύσεως, ὥστε τὸ μὲν ὑμέτερον ἀνεπιδεές, τὸ δέ
γε ἐμὸν ἐκ πάντων πεπλήρωται· ἀλλ' ὥσπερ ἐστὶν ἐν τοῖς μέρεσι
τοῦ παντὸς ξύμπαντα, εἴ τις αὐτὰ καθ' ἓν προχειρίσαιτο, ἔστι δὲ
65 καὶ ἕκαστον (ὅπερ λέγεται) παρὰ θάτερον, οὕτω δὴ καὶ παρ' ὑμῖν
καθ' ἕκαστον (φημὶ) τὰ ἀλλήλων, καὶ ἕκαστος παρὰ τοὺς λοιπούς·
παρὰ τὸ πλεονάζον ἡ διαφορά, οὐ παρὰ τὴν ἐναντίωσιν.

49 τὰ – συνθήματα: iunctura Procliana; cf. Procl. Περὶ τῆς κατὰ Πλάτωνα θεολογίας 2,56,23 et 4,40,12–13 cum Psel. Λόγος ὅτε προσηνέχθη ἡ ὑπεραγία θεοτόκος εἰς τὰ ἅγια τῶν ἁγίων = Or. hag. 6,140 et Περὶ τῶν ψαλμῶν πρὸς τὸν ... Μιχαὴλ τὸν Δούκαν ... = Theol. II 1,66–67 ‖ **50–51** πόθεν – ἰδεῶν: cf. Psel. Ἕτεραι ἐπιλύσεις φυσικῶν ἀπορημάτων = Phil. min. I 16,188–213 ζʹ. Διὰ τίνα αἰτίαν τῶν γεννωμένων τινὰ τερατοειδῆ γίνονται, etc. ‖ **56–57** ἀπεσκληκότως ... ἔχω: Synes. Cyren. Epist. 139,22 ἀπεσκληκότως ἔχει. cf. Psel. Ἐπιτάφιος εἰς ... Ἰωάννην τὸν Ξιφιλῖνον = Or. fun. I 3,20,36–37, Εἰς τὸ 'ὅστις ἐρεῖ λόγον κατὰ τοῦ υἱοῦ ...' = Theol. I 84,18 et II 120,59, II 128,49–50, et II 211,39 ‖ **65** ἕκαστον – θάτερον: cf. Psel. Ἐξήγησις εἰς τὸ 'λίγξε βιός ...' = Phil. min. I 48,94–95 ἀλλὰ παρὰ θάτερον ἕκαστον

50 ὕλης : ὅλης S ‖ **62** ἀνεπιδεές : ἐνεπιδεές S ‖ **63** γ' ἐμὸν S

Ἐγὼ δὲ ὃ βουλοίμην, οὐ δῆτα δὴ καὶ δυναίμην· βούλομαι γὰρ συναφθῆναι τοῖς τρισὶν ὑμῖν καθ' ἕν, διῄρημαι δὲ καθ' ἕκαστον. Ἀλλὰ πειράσομαι εἴ πως ἐν ταὐτῷ Δωρίους καὶ Φρυγίους καὶ 70 Ἰαστίους ῥυθμοὺς ἁρμόσομαι, ἢ κατὰ ταὐτὸν καὶ χρῶμα ἁρμονίαν καὶ σύντονον μέλος συνάψω, ὥστε ὁμοῦ καὶ μεγαλομερέστερά τε εἰσποιεῖν τὰ τμήματα (οἷα δὴ τὰ συντονικά) καὶ ἐλάχιστα (ὁποῖα τὰ ἁρμονικά) καὶ ξύμμετρα (ὁποῖα τὰ χρωματικά), ὥστε ἡρμόσθαι μοι τὴν λέξιν καὶ τόνοις καὶ ἡμιτονίοις καὶ διαιρέσεσιν· ἐγὼ 75 γάρ τοι καὶ τῆς ἁπαλῆς μούσης λιγαίνειν τι μέλος ἐπίσταμαι, εὖ δέ μοι ἡ φύσις ἔχει καὶ πρὸς τὸ σύντονον, καὶ τῆς ἀπ' ἀμφοῖν κράσεως οὐκ ἐστέρημαι. Ἆρ' οὖν ἔλαθον εἰρηκὼς ὅπερ βεβούλημαι, ἢ ἀκριβῶς ὑμῖν πεφώραμαι; ἡ γὰρ δή μοι λέξις τοῖς τρισὶν ἐνήρμοσται εἴδεσιν ἀπὸ τῆς ἁρμονίας ἀρξαμένη καὶ εἰς τὸ χρῶμα 80 συγκαταλήξασα.

Ὑμεῖς μὲν οὖν ἐντεῦθεν εἰκάζοιτε ἄν με ἐρρωμένως ἔχειν καὶ τῆς ψυχῆς ὁμοῦ καὶ τοῦ σώματος, ὅτι δὴ καὶ βαθυτέρων ἡψάμην θεωρημάτων, καὶ τῷ τῆς γλώττης ἐφῆκα ῥεύματι. Δέδοικα δὲ μὴ

68 ὃ – δυναίμην: cf. Synes. Cyren. Epist. 95,62–63 οὐδ' ἂν εἰ δυναίμην βουλοίμην, πάντως δὲ οὐδ' ἂν εἰ βουλοίμην δυναίμην. cf. etiam Psel. Χρονογραφία VI,171 οὐδ' εἰ πάνυ βουλοίμην, τοῦτο δυναίμην ἄν, Σελέντιον δημηγορηθὲν παρὰ βασιλέως κῦρ Μιχαὴλ τοῦ Δούκα = Or. min. 3,85 βουλοίμην μέν, εἴ γε δυναίμην, Ἑρμηνεία εἰς τὸ ῥητὸν τῆς Κλίμακος = Theol. I 30,7 οὔτε βουλοίμην εἰπεῖν, οὔτ' εἰ βουλοίμην, δυναίμην ἄν, Π 30,1 βουλοίμην ἂν καὶ πάνυ βουλοίμην (εἴ γε δυναίμην), Π 79,15–16 βουλοίμην γὰρ (εἴ γε καὶ δυναίμην), Π 99,26 εἴ γε δυναίμην, βουλοίμην δέ, Π 111,19–20 οὔτε δυναίμην ἂν εἴ γε βουλοίμην, οὔτε βουλοίμην εἴ γε δυναίμην, Π 200,34–37 σὺ μὲν γὰρ καὶ βούλοιο ἅμα καὶ δύναιο· ἐγὼ δὲ βουλοίμην μὲν (καὶ μάρτυς ἐπὶ τῷ λόγῳ θεός), δυναίμην δ' οὐ πάνυ, ἀλλ' ἔλαττον ἢ βουλοίμην· εἰ δὲ γενναίως βουλοίμην, πάντως δ' ἂν καὶ δυναίμην, Π 292,5–6 βουλοίμην ἂν (εἴ γε καὶ δυναίμην), et Π 514,1–2 βουλοίμην ἂν … (εἴ γε δυναίμην) ‖ **75–76** ἐγὼ – ἐπίσταμαι: Ach. Tat. Τὰ κατὰ Λευκίππην καὶ Κλειτοφῶντα 2,1,1 ἡ δὲ πρῶτον μὲν ᾖσεν Ὁμήρου τὴν πρὸς τὸν λέοντα τοῦ συὸς μάχην. ἔπειτά τι καὶ τῆς ἁπαλῆς μούσης ἐλίγαινε· ῥόδον γὰρ ἐπῄνει τὸ ᾆσμα ‖ **83–84** βαθυτέρων – θεωρημάτων: cf. Psel. Ὑπὲρ τοῦ νομοφύλακος κατὰ τοῦ Ὀφρυδᾶ = Or. for. 3,152 θεώρημα τῶν βαθυτέρων et Εἰς τὸ 'σοὶ μόνῳ ἥμαρτον …' = Theol. I 14,8–9 ἔτι δὲ βαθυτέρων θεωρημάτων ἁπτόμενος

85 τὸ κύκνειον ᾄδω μέλος, ἐξόδιον ὑμῖν ᾠδὴν ἁρμοζόμενος. Τῶν μὲν οὖν κύκνων ὁ Πλάτων (ὡς ἐγῷμαι) καταψεύδεται, ὅτι τοῦ Ἀπόλλωνος ὄντες θεράποντες, ἴσασιν ἐν τῷ τελευτᾶν οἷ ἀφίξονται, καὶ διὰ ταῦτα ὑφ' ἡδονῆς μέλος ᾄδουσιν ἐναρμόνιον. Ἐγὼ δὲ οὐ διὰ ταῦτα, ἐπεὶ τἀναντία ἐμαυτῷ συνεπίσταμαι· ἀλλ' ὅπερ πεπόνθα-
90 σιν οἱ στρουθοί, ⟨οἳ⟩ τοῖς ὁμογενέσιν ᾄδειν προαναβάλλονται συνᾴδοντες, τοῦτο δὴ κἀγὼ ὑμῖν συμπέπονθα· καὶ ἐπειδὴ μουσικοῖς ἀνδράσιν ὁμιλεῖν προῆγμαι, συμμουσουργῶ τι καὶ αὐτὸς ἀπὸ τῆς ὁμοίας ἐπιστήμης ἢ ἕξεως.

Ὑμῖν μὲν οὖν τὰ σώματα καὶ ἤρκεσε καὶ πρὸς τοὺς στρατιωτι-
95 κοὺς καὶ μέχρι παντὸς ἐμοῦ γε ἕνεκα διαρκέσειαν. Ἐμοὶ δὲ ὅσῳ ἐμβριθὴς ἡ φύσις τοῦ σώματος, τοσούτῳ καὶ ἀσθενής· τὸ γὰρ εἰς ὄγκον προεληλυθὸς ἐλαττοῦσθαι κατὰ τὴν δύναμιν φιλοσοφία φησί (διὰ ταῦτα νοῦς μὲν εὐσθενὴς ὅτι ἄογκος, σῶμα δὲ ἀσθενὲς ὅτι εὐμέγεθες). Ἐμοὶ δὲ τοιοῦτόν ἐστι τὸ σῶμα πρὸς ἕτερα σώματα,
100 οἷα ἐκεῖνα πρὸς φύσιν νοεράν. Διὰ ταῦτα ἐμοὶ μὲν καμπτῆρος ἡ

85–88 τὸ – ἐναρμόνιον: Plat. Φαίδων 84e4–85b3 τῶν κύκνων δοκῶ φαυλότερος ὑμῖν εἶναι τὴν μαντικήν, οἳ ἐπειδὰν αἴσθωνται ὅτι δεῖ αὐτοὺς ἀποθανεῖν, ... τότε δὴ πλεῖστα καὶ κάλλιστα ᾄδουσι, γεγηθότες ὅτι μέλλουσι παρὰ τὸν θεὸν ἀπιέναι οὗπέρ εἰσι θεράποντες ... ἅτε οἶμαι τοῦ Ἀπόλλωνος ὄντες, μαντικοί τέ εἰσι καὶ προειδότες τὰ ἐν Ἅιδου ἀγαθὰ ᾄδουσι καὶ τέρπονται ἐκείνην τὴν ἡμέραν διαφερόντως ἢ ἐν τῷ ἔμπροσθεν χρόνῳ, cf. Psel. Λόγος σχεδιασθεὶς πρὸς Πόθον βεστάρχην ... περὶ τοῦ θεολογικοῦ χαρακτῆρος 5; cf. etiam proverbium, CPG I 258 (nr. 37) et II 118 (nr. 84) et 490 (nr. 18) cum Psel. Ὑπόμνημα ἕτερον = Or. for. 6,215–216 et Π 171,20 **96–99** τὸ – εὐμέγεθες: Porph. Ἀφορμαὶ πρὸς τὰ νοητά 35 τὸ ὄγκῳ μεῖζον δυνάμει ἔλαττον etc. cum Psel. Ἐγκώμιον εἰς τὴν ψύλλαν = Or. min. 27,9–10 et 58–72 et Περὶ θεολογίας καὶ διακρίσεως δογμάτων Ἑλληνικῶν = Phil. min. II 35 (120,13) ‖ **100–102** καμπτῆρος – ἀνέλυσα: cf. Π 119,52 νῦν γὰρ ἀπάγομαι, νῦν ἀπελαύνομαι ἔτι καὶ πόρρω Καισαρείας· ἀφ' ἧς ἀνακάμψω καὶ πρὸς ὑμᾶς (i.e. Constantinopolim) βαδιοῦμαι ‖ **84–107** δέδοικα δὲ – τὸ νικητικώτατον: cf. Π 119,5–10 πρῶτον μὲν ὅτι μοι καὶ ἡ χείρ, ὥσπερ δὴ οἱ τοὺς πίνακας γράφοντες, ἀργοτέρα πως ἐγεγόνει τῷ χρόνῳ πρὸς τὰς τῶν λόγων μορφάς, ἔπειτα δὴ καὶ τὸ γόνιμον ἐκεῖνο καὶ εὔτονον τῆς ψυχῆς ἀμβλύτερον μὲν ἴσως οὐκ ἐγεγόνει (τί γὰρ δεῖ μὴ τἀληθῆ λέγειν;), ἀλλ' ἐπέσχον τὴν γνώμην ὠδίνουσαν τὰ ἐνταῦθα δεινά et ἀπὸ δὴ τοιαύτης ψυχῆς τί ἂν ἀκούσαις ἡδύ, φιλτάτη ψυχή; ἀπερρύη γάρ μοι ἄντικρυς εἴ τί μοι δὴ καὶ

90 οἳ addidi

τοῦ δρόμου γέγονε ξύντασις (οὕτω γὰρ ἐγὼ καλῶ τὴν Καισάρειαν, ἔνθεν αὐτὸς τὸν δρόμον ἀνέλυσα). Εἰ δὲ ὑμεῖς μετὰ τοῦ περαιτέρω ἀπιέναι καὶ δρόμον ἀγωνιστικὸν δράμοιτε, ἀλλὰ μὴ τηνάλως ἐμματαιάζοιτε οὐκ εὐθεῖαν τέμνοντες, ἀλλὰ κύκλῳ πρὸς τὸ αὐτὸ τέρμα συνθέοντες· διττὸς γὰρ καὶ παρὰ τοῖς φιλοσόφοις ὁ 105 τρόπος τοῦ καταλύματος: τοῦτο ἐμοὶ μὲν τὸ ἥδιστον, ὑμῖν δὲ τὸ νικητικώτατον.

Εἰ δὲ μὴ τὸν Χοιροσφάκτην ὑμῖν συγκατέλεξα, οὐ παρὰ τοῦτο κρείττους ἐκείνου ὑμεῖς, ἀλλ' οὕτως ἐκεῖνος ὑμῶν· ἐξαίρω γάρ τοι τοῦ λόγου τὸν ῥήτορα, ὅτι με κἀκεῖνος ἐξαίρετον τῶν ἄλλων ἔχει 110 σοφῶν.

VI. Βασίλειος

βεστάρχης, ἐπὶ τοῦ κανικλείου

24. Τῷ βεστάρχῃ καὶ ἐπὶ τοῦ κανικλείου ⟨Βασιλείῳ⟩

a. 1068, militiis ab Romano IV Diogene inceptis; eodem tempore ut Π 151 et Συντακτήριος πρὸς τὸν βασιλέα = Or. pan. 21 [vid. epistolarum ordinem in P] et etiam Π 25, Π 281, Π 21, Π 152, Π 282a = Π 282b, Π 22, et Π 283; cf. etiam Π 292 et Π 504?

S 88 [P]

Ἀλλ' οὐδὲ γρῦ, καὶ ταῦτα ποταμοὺς ὅλους ἐπαγγειλάμενος, φιλτάτη ψυχή; Ἀλλ' ὡς ἔοικε, τὸν μὲν Ἑρμῆν ἠρνήσασθε σύμπαντες, τῷ δὲ Ἄρει σπένδετε καὶ συσπένδετε. Καὶ τῶν μὲν

πρώην συνείλεκται· καί σοι ἡ καλὴ ἐκείνη γλῶττα ... κατέψυκται ἄντικρυς, καὶ αὐχμὸν ἀγροικίας περίκειται

108 Χοιροσφάκτην: Eustratius Choerosphactes (Π LXIII) ‖ **VI** Βασίλειος: Maleses (Π XXXVIII) (ut Duyé 1972,175–176)? ‖ **1** οὐδὲ γρῦ: proverbium, cf. Suda γ 461 ... Ἀριστοφάνης Πλούτῳ· καὶ ταῦτ' ἀποκρινομένου τοπαράπαν οὐδὲ γρῦ, ο 779 οὐδὲ γρὺ λόγων ἀψάμενος ... Ἰουλιανός, τ 730 τὸ Δίωνος γρῦ. cf. Π 144,45, Π 281,1, et Π 437,5 ‖ **2–3** τὸν – συσπένδετε: cf. Π 17,28 εἰ δὲ μὴ τῷ Ἄρει σπένδεις, ἀλλ' ὅλος ἐξήρτησαι τοῦ Ἑρμοῦ

106 τρόπος dubitanter correxi: δρόμος P S ‖ **ep. 24** U 175v (ep. mut.), P 209v–210r; tit. scripsi: τῷ βεστάρχῃ καὶ ἐπὶ τοῦ κανικλείου P S τῷ ἐπὶ τῶν κανικλείων U ‖ **2** post ψυχή folia ceciderunt, itaque epistulae finis deest in U

φιλοσόφων φωνῶν ἐπελάθεσθε· ὥσπερ δὲ ἀκούειν ὑμῶν δοκῶ,
5 «ἐξέλιξιν», «ἐπὶ μέτωπον», «ἐπὶ τὸ κέρας», «ὁ Λάκων ἀλλ' οὐχ ὁ Μακεδών». Λείπεται οὖν ἡμῖν τοῖς ἀστρατεύτοις μηδὲ προσφθέγγεσθαι, ἐπεὶ μηδὲ πάνυ τι συνίεμεν τῶν τοιούτων φωνῶν. Ἆρ' οὖν Ἕλληνες παρὰ βαρβάροις ἐσόμεθα, ἢ παρ' Ἕλλησι βάρβαροι; Καὶ πότερον μέχρι παντὸς ἀλλήλων τὴν
10 φωνὴν ἀγνοήσομεν, ἢ ἡμεῖς μὲν μενοῦμεν ἐπὶ τῶν ⟨οἰκείων⟩ ἠθῶν, ὑμεῖς δέ ποτε πρὸς τὴν σύντροφον γλῶτταν ἐπανελεύσεσθε;

Ἀλλὰ μή μοι ὁ ἐμὸς Βασίλειος· μηδὲ τὴν ἀλλοίωσιν ταύτην μηδὲ τῆς διαλέκτου πάθοις τὴν ἄμειψιν· μὴδ' ὥσπερ ἐν Λεβαδίᾳ γενόμενος ἐκσταίης ποτὲ σαυτοῦ καὶ τὴν πρὸς ἡμᾶς ὁμιλίαν
15 ἀποστραφείης. Εἰ δὲ οὐδὲ τῆς κοινῆς διαλέκτου καταπεφρόνηκας, καὶ τὴν ἕξιν ταύτην προσείληφας ἅτε ποταμὸν διαβὰς καὶ ὄρος ὑπερβάς, καὶ περιξέσας ὑπώρειαν, καὶ μηχανὰς ἴσως πεποιηκώς, ὑπερόρια πεφρόνηκας, καὶ ὡς πολλῶν κατεπήρθης ἡμῶν, ἑτέροις δὲ κρείττοσι συνομιλεῖς γένεσι, συγγνώμην σοι καὶ δίδωμι καὶ
20 παρέξω, τοσούτοις ⟨πή⟩χεσι τῆς ἡμετέρας ὑπεραναβεβηκότι ἕξεώς τε καὶ φύσεως.

Κἀγὼ μὲν τούτου σοι τοῦ μέρους ἡττηθεὶς ἀπελήλυθα. Ἕτερος δὲ σοί τις ἀντικρούσειεν, ὅτι «Ὦ 'γαθέ, οὐχ ὡς ἀετὸς τὰς λοφιὰς ὑπερπέτῃ, ἀλλ' ὥσπερ οἱ νεοττιδεῖς τοῦ γένους τοῖς τῶν
25 πατέρων ἀναπτερύσσῃ πτεροῖς. Καὶ ἄνεισι μὲν ὁ βασιλεὺς εἴτε λόφον, εἴτε ἀκρώρειαν, εἴτε ἀέρας τινάς, ὑμεῖς δὲ ἀναβλέπετε

5–6 ἐξέλιξιν – Μακεδών: cf. Synes. Cyren. Epist. 104,55–57 βοῶν «ἐπὶ μέτωπον», «ἐπὶ φάλαγγα» καὶ «κατὰ τὸ κέρας πολὺ τὸ πλαίσιον», ποιῶν ὀνόματα τάξεων ὧν ἠγνόει τὴν χρείαν cum e.g. Suda ε 1616 ἐξελιγμῶν ... καλεῖται γὰρ ὁ μὲν Μακεδών, ὁ δὲ Λάκων (cf. Suda, Omonasticon Tacticon 44). cf. Π 118,14–15 et etiam Π 17,28. cf. etiam. Mich. Ital. Epist. 22 (170,16–17) ποδαπὸς ὁ Μακεδὼν ἢ ὁ Λάκων ἐξελιγμός, locus e Psello inspiratus? ‖ **13–14** ἐν – γενόμενος: proverbium, CPG I 72 (nr. 61), II 25 (nr. 50), et 694 (nr. 30), cf. Suda τ 1065 Τροφωνίου ... ἐν Λεβαδείᾳ χρηστήριον ἦν, et Π 20,39 et Π 118,18–19 ‖ **23** ὦ 'γαθέ: iunctura saepe in Heliod. Αἰθιοπικά, Liban. Epist., et in Synes. Cyren. Epist. laudata. cf. etiam Π 248,36 et Π 455,34 ‖ **24–25** ὥσπερ – πτεροῖς: cf. Π 145,39–40 οἱ ἀετιδεῖς τὴν πτῆσιν (ἵν' οὕτως εἴπω) παρὰ τῶν πατέρων μυούμενοι, αὐτομαθῶς χρῶνται τῷ πνεύματι πρὸς ᾠδήν ‖ **25** ὁ βασιλεὺς: Romanus IV Diogenes (imperator: 1.I.1068 – a. 1071) (Π XIV)

10 οἰκείων addidi ‖ **16** ἕξιν scripsi: ἕκτην P S ‖ **20** ⟨πή⟩χεσι S: ..χεσι P

μόνας τὰς λοφιὰς καὶ τὸ βάθος τοῦ ἀέρος, μονονουχὶ ⟨δὲ⟩ περιγίνεται τὸ ἐπὶ τῶν ὀφρύων νέφος, τὸ οἴεσθαι».

Ἀλλ' οὐκ ἐγὼ ταῦτα ἐρῶ. Τί ποτ' οὖν ἕτερον; Οὐ πάνυ μοι τὴν φιλοξενίαν ἐξακριβοῖς· ἀλλὰ τοῖς ὄμμασι περιγραπτὸν ἐργάζῃ 30 τὸν φίλον, καὶ παρόντα μὲν περιβάλλεις, ἀπόντα δὲ ἀγνοεῖς. Εἰ δὲ καὶ τὰ ἶσα παρ' ἡμῶν ἀπαιτεῖς, τοσοῦτον ἀπολογούμεθά σοι, ὅτι παρ' ἡμῖν μὲν τὸ τοὺς ἀφικνουμένους εἰς ἡμᾶς ὁρᾶν, παρ' ὑμῖν δὲ τὸ περὶ ἡμῶν ἐκείνους πυνθάνεσθαι.

Ἐγὼ δὲ ὁ τούτων γραφεὺς ὁ βέστης τὴν συνήθη σοι πόρρω 35 ποιοῦμαι προσκύνησιν.

25. Τῷ ἐπὶ τοῦ κανικλείου ⟨Βασιλείῳ⟩

a. 1068, militiis ab Romano IV Diogene inceptis; eodem tempore ut Π 281, Π 21, et Π 152 [vid. epistolarum ordinem in L] et etiam Π 24, Π 151, Π 282a = Π 282b, Π 22, et Π 283; cf. etiam Π 292 et Π 504?

K-D 146 [L]

Ὦ καλλίστη καὶ γλυκεῖα ψυχή, ἆρά μοι μένεις ἐκεῖνος ὁ τὴν γλῶτταν ἡδύς, ὁ τὴν γνώμην ὀξύς, ὁ ἀληθὴς τὴν φιλίαν, ἢ μεταβέβλησαι καὶ ἠλλοίωσαι; εἰκὸς γάρ σε καὶ τοιοῦτον παθεῖν, συνοικῶν τῷ μεγάλῳ φωτὶ καὶ φαεινῷ τῆς βασιλείας φωστῆρι. Ἡμεῖς μὲν γὰρ κάτω πη κείμεθα, ἢ μακρὰν ἀπεληλάμεθα τοῦ 5 ἡλίου· καὶ διὰ τοῦτο, σκοτεινοὶ καὶ ἀχλυώδεις ἐσμέν, καὶ πᾶσιν ἐπίβατοι, καὶ πᾶσιν ἐκκείμενοι. Σὺ δὲ μετέωρος εἶ καὶ ἐπὶ τοῦ αἰθέρος ἵστασαι· καὶ ὅλος τυγχάνων πλήρης φωτός, ὑπερορᾷς τῶν χαμαὶ κειμένων ἡμῶν. Διὰ ταῦτα, οὔτε γραφὰς ἐπιστέλλεις ἡμῖν, οὔτε ἄλλως προσαγορεύεις. Ἀλλ' ἡμεῖς καὶ ὁμιλοῦμέν σοι νοερῶς, 10 καὶ σύνεσμεν διηνεκῶς, καὶ διακείμεθα οἰκείως καὶ προσηνῶς, καὶ ἀνατυπούμεθά σε διὰ τῆς μνήμης, καὶ οὐκ ἐπιλελήσμεθα τῶν ἐπιδειπνίων ἐκείνων λόγων καὶ ἧς ἐκοινωνοῦμεν πρὸς ἀλλήλους,

35–36 ὁ[1] – προσκύνησιν: scribam anonymum, non Psellum ipsum significat; cf. Π 151,34–35 ὁ δὲ ταῦτά σοι γράφων βέστης τὴν συνήθη σοι πόρρω ποιοῦμαι προσκύνησιν ‖ **4** τῷ – φωστῆρι: scil. Romanus IV Diogenes (imperator: 1.I1068 – a. 1071) (Π XIV)? ‖ **12–14** οὐκ – παιδιᾶς: cf. Π 135,61-62 τοὺς … λόγους, ἐπιδείπνια καρυκεύματα

27 δὲ addidi ‖ **ep. 25** L 71r–v; tit. scripsi: τῷ ἐπὶ τοῦ κανικλείου L K-D **4** συνοικῶν exsp. συνοικοῦντα Kurtz (in app. K-D)

γλυκείας ὁμιλίας καὶ παιδιᾶς.

15 Τί γὰρ τῆς μετὰ σοῦ συνουσίας ἱλαρώτερον ἢ γλυκύτερον; Ἔτι μοι μένουσιν ἐν τῇ ψυχῇ τὰ εἴδη τῶν σῶν προσφιλεστάτων ἠθῶν, ἡ χάρις τοῦ προσηνοῦς μειδιάματος, ἃ καὶ διὰ τῆς φαντασίας προχειριζόμενος, παραμυθίαν ἑαυτῷ πεποίημαι· ἀπαρηγόρητον γὰρ ἔχω τὴν συμφοράν, ὅτι μὴ μόνον ἐστέρημαι τῆς γλυκείας 20 τοῦ ἐμοῦ βασιλέως καὶ ὄψεως καὶ φωνῆς, ἀλλ' ὅτι μηδὲ γραμμάτων ἠξίωμαι, καὶ ταῦτα φίλτατος αὐτῷ καὶ ὑπὲρ πάντας τοὺς ἄλλους καὶ ὡς ἀληθῶς ὢν καὶ παρὰ πάντων (ὡς εἰπεῖν) γνωριζόμενος. Ἀλλ' οὐκέτι ὁ φθόνος ἰσχύσει μέχρι παντός· ἀλλὰ πέπεισμαι καὶ πεπληροφόρημαι (θεὸς δέ μέ ἐστιν ὁ πληροφορῶν δι' 25 ἐναργῶν τεκμηρίων), ὅτι ὑπὸ τοῖς ἴχνεσιν αὐτοῦ πατούμενος, ζήσομαι καὶ βιώσομαι. Καὶ ταῦτα μὲν οὕτως ἔσται καὶ (εὖ οἶδα) γενήσεται.

Σὺ δέ μοι, ὥσπερ καὶ πρὸ τοῦ ἠξίωσα, ὑπόδεξαι τὸν Γορδιασοῦ εὐμενῶς, καὶ τίμησον ὡς φίλον ἐμόν, καὶ ὁμίλησον προσηνῶς, καὶ 30 φιλοφρόνησαι δεξιῶς, καὶ κατάλλαξον αὐτὸν πρὸς τὸν Ματιάνης ἐπίσκοπον, καὶ (ἵνα τὸ σύμπαν ἐρῶ) δεῖξον αὐτῷ, ὅτι τυγχάνεις ὢν φίλος ἐμός· ἐγὼ γάρ σε ἐκ πολλοῦ κατανενοηκὼς ἄνθρωπον ἀγαθόν, καὶ εὐγενῆ τὴν προαίρεσιν, καὶ φίλον ἀληθινόν, ἐν μέσοις τοῖς στήθεσιν ἵδρυσα· καὶ οὐδὲν ἄν με χωρίσῃ τῆς σῆς ἀγαπητικῆς 35 διαθέσεως, ἀλλὰ καὶ ζῶν συνέσομαί σοι, καὶ ἐνδημῶν καὶ ἀποδημῶν νοερῶς· καὶ οὐδὲ θανὼν ἐπιλήσομαί σου, οὐδὲ θανόντος ἀμνημονήσω, ἀλλὰ καὶ μεμνήσομαι καὶ φαντασθήσομαι, καὶ περιέξομαι ὡς ἀνθρώπου ἀγαθοῦ τε καὶ θαυμαστοῦ καὶ τὸ τῆς φιλίας καλὸν ἀκριβώσαντος.

20 τοῦ – βασιλέως: Romanus IV Diogenes (imperator: 1.I1068 – a. 1071) (Π XIV) ‖ **28** τὸν Γορδιασοῦ: episcopus (vel abbas?) in Gordiason (TIB 2 183–4), de quo cf. etiam Π 21,11, Π 152,4, Π 281,9, et Π 292,4 ‖ **30–31** τὸν – ἐπίσκοπον: ad quem Π 292? de Matiane cf. TIB 2, 231 ‖ **36–37** οὐδὲ[1] – μεμνήσομαι: cf. Hom. Il. 22,389–390 εἰ δὲ θανόντων περ καταλήθοντ' εἰν Ἀΐδαο / αὐτὰρ ἐγὼ καὶ κεῖθι φίλου μεμνήσομ' ἑταίρου, cum Synes. Cyren. Epist. 123,2 et 124,2 et Π 4,5, Π 42,50, et Π 209,51–52

16 εἴδη prop. Kurtz (in app. K-D): ἤθη L

26. Τῷ ἐπὶ τοῦ κανικλείου Βασιλείῳ

ca. a. 1072 [cf. Duyé 1972,177]?

K-D 103 [L]

Οὐ δεσμὸν φιλίας, οὐδὲ ἀνανέωσιν τῆς ἀρχαιοτέρας τὸ γράμμα σου ἐποιήσατο· μένει γὰρ ὁ παλαιὸς ἐκεῖνος σύνδεσμος, καὶ ἡ πρώτη καταβολὴ τῆς ἀγάπης οὐ καταλέλυται. Συντήρησίν γε μὴν ἀκριβεστέραν εἰργάσατο καὶ τελεωτέραν διαμονήν. Πλέον δέ τι προστέθεικεν καὶ τὸ γνωρίσαι τοὺς τῆς ψυχῆς χαρακτῆρας 5 καλλίους ἢ πρότερον καὶ τὰς ἕξεις τελεωτέρας. Ἐγνωρίσαμεν δέ σου καὶ τὸ τῆς φρονήσεως ὕψος διὰ τοῦ ἀντιθέτου μέτρου τῆς ταπεινώσεως· ὅσον γὰρ καταβέβηκας, τοσοῦτον ἡμῖν ὤφθης μετεωρότερος, ἐπεὶ καὶ τὸ ἐνταῦθα βάθος ἀναγωγή τίς ἐστι ἀκριβὴς τῆς ψυχῆς. Εἰ δὲ καὶ τὴν ἡμετέραν φιλίαν περὶ πολλοῦ 10 πεποίησαι, ἣν ἤδη προλαβὼν κέκτησαι, ἔχεις ὅλους ἡμᾶς εἰς μέσην καρδίαν συνηρμοσμένους σοι. Τὸ δὲ μεταξὺ τοῦ τόπου διάστημα οὐκ ἂν διαιροίη ψυχὰς συνημμένας ἐκ διαθέσεως. Εἰ δὲ βούλει τὸν συνάπτοντα ταύτας δεσμὸν ἐπισφίγγειν ἀεί, χρῷο πρὸς ἡμᾶς γράμμασιν· οὕτως γὰρ θαυμασίως ὁ τρόπος τῶν φιλικῶν 15 γραμμάτων δύναται, ὁπόσα γραφικὴ χεὶρ τὰς ἀπορρυείσας ἐκείνας ἐπιμορφάζουσα καὶ ἀνακαινίζουσα τῇ συνεχεῖ διὰ τῶν γραμμάτων διατυπώσει, ὡς ἡμεῖς, αὔταρκές σου τὸ μέτρον τῆς φιλίας δεξάμενοι, διὰ τῆς πρὸς τὸν ἐπισκέπτοντα συμπαθείας καὶ ἀντιλήψεως σύμβολον τοῦτο τῆς εἰλικρινεστάτης σου φιλίας 20 ἐλογισάμεθα.

Ἧκε γοῦν πρὸς ἡμᾶς καὶ αὐτὸς ὁ τοῦ ἐπισκέπτοντος κύριος, τήν τε γραφήν σου κομίζων ἡμῖν καὶ ἀληθεστάτην ἀποδεικνύων τοῖς πράγμασιν. Εἰ δέ τίς σοι καὶ χρεία τῆς ἡμετέρας βραχείας δυνάμεως, θαρρούντως περὶ ὅτου βούλει, γράφε (εἴποιμι δ' ἂν τὸ 25 σόν) καὶ πρόσταττε.

26,12–13 τὸ δὲ – διαθέσεως: cf. Π 126,24–25 καὶ τὸ τοῦ τόπου διάστημα οὐκ ἐμποδίζει ταῖς διῃρημέναις πολλάκις ὕλαις πρὸς τὴν ἐνέργειαν

ep. 26 L 49v; tit. L K-D ‖ **26,22** ὁ ante κύριος al. manu add. L

VII. Βασίλειος

κριτὴς τῶν Ἀρμενιακῶν

27. Τῷ κριτῇ τῶν Ἀρμενιακῶν ⟨Βασιλείῳ⟩

K-D 96 [L]

Φίλτατέ μοι Βασίλειε, μὴ θαυμάσῃς εἰ παντάπασιν ἀπηγορευμένῳ ἐντετύχηκας θέματι· ὡς γάρ σε ἰατρὸν ἄριστον, εἰς τοῦτο προήγαγεν ὁ θεὸς ἵν', ὥσπερ ζῷον δυσθανατοῦν, ἀνακαλέσῃ καὶ ἀναρρώσῃς, καὶ τὴν ἀρχαίαν ἐμποιήσῃς αὐτῷ ὑγείαν, καὶ 5 εὐεξίαν.

Ἡρόφιλος μὲν οὖν τοὺς πυρεταίνοντας ἔκτεινε δρόμοισι, πάλῃσι. Σὺ δὲ μήτε δραμεῖν ἐγκελεύσῃ, μήτε παλαίειν καταναγκάσῃς, ἀλλὰ μάλαξον καὶ ὑπάλειψον, καὶ πάντα τρόπον καταφαρμάκευσον. Ἴσως δὲ οὐδὲ ἀπείρηκας τὸ θέμα παντάπασιν, ἀλλὰ σὺ 10 ἀτέχνοις τοῦτο προσέβλεψας ὄμμασι, καὶ ἀπὸ τῶν ἀκρωτηρίων τὰ σπλάγχνα διετεκμήρω, οὐκ ἐντετύχηκας δέ πως ζῴῳ, τὰς μὲν χεῖρας ἐξηρθρωμένῳ καὶ διηγκυλισμένῳ τοὺς πόδας, καρδίας δὲ καὶ ἥπατος εὖ ἔχοντι· μὴ γάρ μοι τὰ Ἴβορα, μηδὲ τὴν Ἐπιμόλισσαν, μηδὲ ἄλλο τι τῶν ἐν τοῖς ἄκροις προένεγκε, ἀλλά μοι 15 διαρίθμει τὸν Δαζιμῶνα, τὸ Χιλιόκωμον, τὰ Εὐχάϊτα, τὴν Εὐχάνειαν. Οὕτω καὶ τὴν ψυχὴν σταθμώμεθα οὐκ ἀπὸ τῶν δοξῶν καὶ τῶν φαντασιῶν, ἀλλ' ἀπὸ τῶν ὑψηλοτέρων δυνάμεων καὶ τοῦ

VII Maleses (Π XXXVIII) ut Duyé 1972 et De Vries-Van der Velden 1996,124–129? cf. etiam Kazhdan–Ljubarskij 1973 ‖ **3** ὥσπερ – δυσθανατοῦν: Synes. Cyren. Κατάστασις 2,1,20 ὥσπερ ζῷον δυσθανατοῦν. cf. Π 4,26–27 et Π 442,32 ‖ **6** Ἡρόφιλος: saepe in Galen. laudatus ‖ **6–7** Ἡρόφιλος – πάλῃσι: Hippocr. Ἐπιδημίαι 6,3,18 Ἡρόδικος τοὺς πυρεταίνοντας ἔκτεινε δρόμοισι, πάλῃσι. cf. Galen. In Epid. 17b (98,13–101,11) ‖ **15–16** τὰ Ἴβορα ... τὴν Ἐπιμόλισσαν ... τὸν Δαζιμῶνα, τὸ Χιλιόκωμον, τὰ Εὐχάϊτα, τὴν Εὐχάνειαν: cf. De Vries-Van der Velden 1997,173; de Chiliokomon cf. etiam Ioann. Maurop. Βίος καὶ πολιτεία τοῦ ὁσίου πατρὸς ἡμῶν Δωροθέου τοῦ νέου ἤτοι τοῦ ἐν Χιλιοκώμῳ (BHG 565)

ep. 27 L 46r–v; tit. scripsi: τῷ κριτῇ τῶν Ἀρμενιακῶν L K-D ‖ **6** Ἡρόφιλος : an Ἡρόδικος scribendum (cf. app. font.)? ‖ **16** οὕτω L: οὕτως K-D

σώματος χωριστῶν· οὕτω καὶ τὰς τύχας τοῖς μείζοσι σχηματισμοῖς τῶν ἀστέρων χαρακτηρίζομεν· καὶ τὴν φιλοσοφίαν ἀπὸ τῆς θεολογίας θαυμάζομεν· καὶ τὴν ἰατρικὴν ἀπὸ τῆς διαγνώσεως καὶ 20 τῆς προγνώσεως.

Εἶδον ἐγὼ πολλάκις ἵππους, ἔσωθεν τῶν ἀφέσεων οὐ πάνυ τι φρυαττομένους, οὐδὲ πωλικὸν ᾄττοντας, ἐπεὶ δὲ τῆς ἀφετηρίας ἐκτὸς ἐγεγόνεισαν, λῆρον τὸν Πήγασον ἀποφήναντας. Καὶ ἡ θάλασσα πρὸς μὲν τοῖς ὅρμοις ἄβατός ἐστι, καὶ αὐτὸ δὴ τοῦτο 25 «ἀτρύγετος», ὅτι μηδεὶς αὐτόθεν ἰχθὺν (εἰ δεῖ οὕτως εἰπεῖν) τρυγᾶν δεδύνηται, ἐπὶ δὲ τοῦ πελάγους παντοδαπὴ καὶ ποικίλη δείκνυται· ἐκεῖσε γὰρ Εὗροί τε καὶ Νότοι εἰσβάλλουσι, καὶ Βορέης αἰθρηγενέτης μέγα κῦμα κυλίνδει.

Στοιχειώδης πᾶσα ἀρχή· αἱ δὲ ἀποδείξεις μετὰ ταῦτα, καὶ αἱ 30 ἀκμαὶ τῶν δυνάμεων. Μὴ οὖν ἀπολιγώρει ἀρχόμενος· ἀλλὰ πρὸς τὰς μεσότητας ἀφορῶν, ἐκεῖθεν τὸ ἀλγοῦν παραμυθοῦ τῆς ψυχῆς.

24–26 ἡ – ἀτρύγετος: Hom. Il. 14,204 καὶ ἀτρυγέτοιο θαλάσσης et 1,316 παρὰ θῖν᾽ ἁλὸς ἀτρυγέτοιο (et etiam 1,327 et 24,752 cum Od. 1,72, 5,52, 6,226, 8,49, et 10,179) ‖ **28–29** Εὗροί – κυλίνδει: Hom. Od. 5,295–296 σὺν δ᾽ εὗρός τε νότος τ᾽ ἔπεσον ζέφυρός τε δυσαὴς / καὶ βορέης αἰθρηγενέτης, μέγα κῦμα κυλίνδων. cf. Psel. Σύνοψις τῆς ῥητορικῆς ... πρὸς τὸν αὐτὸν βασιλέα [scil. Mich. Duc.] = Poem. 7,322–323 (cum Ps.-Hermog. Περὶ εὑρέσεως 4,9,3) et Π 397,5–6 ‖ **30** στοιχειώδης πᾶσα ἀρχή: Nicom. Geras. Ἀριθμητικὴ εἰσαγωγὴ 1,11,3,11 ἀρχὴ δὲ πᾶσα στοιχειώδης

18 οὕτω L: οὕτως K-D

VIII. Βασίλειος

μυστολέκτης καὶ κριτὴς Καππαδοκίας

28. Πρὸς τὸν μυστολέκτην καὶ κριτὴν Καππαδοκίας ⟨Βασίλειον⟩

S 110 [P]

Ἔχεις μὲν ὅπερ ἐζήτησας, ἐνδοξότατε κύριέ μου καὶ ἀδελφὲ περιπόθητε, ἵνα σοι πρὸς τὸ ἀκροτελεύτιον τοῦ γράμματος ἀντιφθέγξωμαι, τὴν ἡμετέραν ταύτην ἐπιστολήν, οὐκ οἶδ' εἰς ὅ τι ὀνήσουσαν. Ἐγὼ δὲ πρὸς τὸ τῆς σῆς γραφῆς προοίμιον τοσοῦτον
5 ἀπηρυθρίακα, ὥστε δοκεῖν δεινόν τι πεποιηκέναι καὶ σχέτλιον, εἶτα δὴ ἡλωκέναι καὶ εἰς δικαστήριον ἄγεσθαι· τί γὰρ ἡμεῖς τοσοῦτον πρὸς τηλικαύτην εὐγνωμοσύνην σοι πεποιήκαμεν; ἢ ποῖον τὸ μέτρον τῆς ἐμῆς χάριτος, πρὸς τὰς σὰς εὐχαριστηρίους πηγάς;
10 Εἶτα οὐ δεῖ σχετλιάζειν, ὅτι τῶν μὲν ἄλλων τῷ εὖ ποιεῖν κεκρατήκαμεν, τῷ μὴ ἴσαις ταῖς εὐγνωμοσύναις ἡμᾶς ἀνταμείβεσθαι (οὐ τῷ μὴ βεβουλῆσθαι ἀλλὰ τῷ μὴ δεδυνῆσθαι), σοῦ δὲ ἥττους ὀφθέντες ἀπεληλύθαμεν, τῷ πιθανῷ τῶν λόγων (ὀκνῶ γὰρ εἰπεῖν ψευδεῖ) τὴν ἐν τοῖς πράγμασιν ἀλήθειαν ἐκνικήσαντος;
15 Κἀγὼ μὲν (νὴ τὸν φίλιον!) ἐπελαθόμην εἴ ποτέ σοι τὴν γλῶτταν ἐχαρισάμην ἐγκωμιάζουσαν· σὺ δὲ ὡς νῦν λαμβάνων τὰς τῶν ἐγκωμίων ὑπερβολάς, ταῖς ὑπεροχαῖς τῶν ἐν λόγοις ἀντιδόσεων τὰ ὦτα ἡμῶν κατεβρόντησας.

VIII Maleses (Π XXXVIII) ut De Vries-Van der Velden 1996,124–129? ‖ **15** νὴ – φίλιον: i.e. Zeus; cf. Plat. Ἀλκιβιάδης α´ 109d μὰ τὸν Φίλιον τὸν ἐμόν τε καὶ σόν cum Synes. Cyren. Epist. 51,2–3, 59,9, 103,1, 129,11–12. cf. Π 9,68, Π 121,79, Π 128,6, et Π 213,19

ep. 28 L 90r–91v, U 154r–v (mut.), P 213v, A 43v–44r; tit. scripsi: πρὸς τὸν μυστολέκτην καὶ κριτὴν Καππαδοκίας U om. L P πρὸς τὸν μυστολέκτην καὶ κριτὴν Καππαδόκων A ⟨τῷ κριτῇ Καππαδοκίας⟩ S ‖ **1–2** ἐνδοξότατε – περιπόθητε U P A S: om. L ‖ **3** ἀνφθέγξωμαι U ‖ **4** πρὸς L U P S: εἰς A | σῆς U P A S: om. L ‖ **7** πρὸς U P A S: καὶ πρὸς L | τηλικαύτην L U P S: τηλικαύτην ἂν A ‖ **11–12** τῷ – ἀνταμείβεσθαι U A: τῷ ἴσαις ... ἡμᾶς ἀνταμείβεσθαι L τῷ μὴ ἴσαις ... ὑμᾶς ἀνταμείβεσθαι P S ‖ **13** ὀφθέντες L P S: ὀφθέντος U ὀφθέντας A ‖ **14** πράγμασιν U P S: γράμμασιν L ‖ **15** φίλιον L U A: φίλον P S

Ἀλλ᾽ οὐ κατισχύσει φιλοσοφίας ῥητορική, οὐδὲ τὸ ἐν τέχναις κομψὸν τῆς ἐν τοῖς οὖσιν ἀποδείξεως· ἁμιλλησόμεθα γάρ σοι πρὸς 20 τοὺς λόγους διὰ τῶν πράξεων, καὶ δώσομεν οὐ τῷ Σύρῳ ἀφορμήν, ἀλλὰ τῷ ἰσοπολίτῃ ἡμῶν τῶν ἐν ταῖς εὐγνωμοσύναις ὑπερβολῶν. Ἀλλὰ μὴ ἄλλως οἰηθείης ὅτι σοὶ μὲν τὴν τέχνην τοῦ πείθειν ἀποδιδόαμεν, ἡμεῖς δὲ τῆς φιλοσοφίας μόνης ἀπρὶξ ἀντεχόμεθα. Εἰμὶ μὲν γὰρ ἀμφοτέρων δεινὸς ἐραστής, καὶ τοῦτο μόνον τὸ 25 κόμμα ἐμόν. Πολλοὶ δέ μοι καὶ τὸ κρατεῖν ἐν ἄμφω διδόασιν· ἀλλὰ τῆς ἐπιστήμης μεταποιοῦμαι, τῆς δὲ τέχνης τοῖς ἄλλοις παραχωρῶ.

Ὑποθώμεθα οὖν, σὲ μὲν εἶναι δεινότατον ῥήτορα, τοῖς λόγοις τὰ πράγματα ὑπερβάλλοντα, ἐμὲ δὲ φιλόσοφον ἀκριβῆ, οὐχ 30 ὑπερβολὰς οὐδὲ ἐλλείψεις, ἀλλ᾽ ἁρμονίαν τοῖς παραβαλλομένοις ἐμποιοῦντα. Εἶτα οἴει τὸν τῆς δημώδους ταύτης ῥητορικῆς ἐπιστήμονα, τῆς πολυτελοῦς τε καὶ θεατρικῆς, τῆς ἀφελοῦς καὶ λιτῆς καὶ τῆς σεμνοτάτης κατισχύσειν φιλοσοφίας; Πολλοῦ γε καὶ δεῖ· ἐγὼ γὰρ μὴ πάνυ τοῦτο εἰδώς, ὅτι μὴ πρὸς ἀντερίζοντα ὁ 35 λόγος ἐμοί, οὐ πάνυ μεγαλοπρεπῶς πρὸς τοὺς ὑπὲρ σοῦ ἐπαίνους ἐλήλυθα. Ἐπεὶ δὲ γυμνικὸς ἀγὼν ἢ διφρηλασία τις τὸ καθ᾽ ἡμᾶς

21 οὐ – ἀφορμήν: cf. Liban. Ἐπιτάφιος ἐπὶ Ἰουλιανῷ = Or. 18,242 ὡς εἴη τῷ Σύρῳ (i.e. Libanio) δεδωκὼς ἀφορμὴν εἰς λόγον. cf. Π 310,8 ‖ **32–34** εἶτα οἴει – φιλοσοφίας: cf. Dion. Halicarn. Περὶ τῶν ἀρχαίων ῥητόρων 1 ... ἡ μὲν ἀρχαία καὶ φιλόσοφος ῥητορικὴ ... ἑτέρα δέ τις ἐπὶ τὴν ἐκείνης παρελθοῦσα τάξιν, ἀφόρητος ἀναιδείᾳ θεατρικῇ καὶ ἀνάγωγος καὶ οὔτε φιλοσοφίας οὔτε ἄλλου παιδεύματος οὐδενὸς μετειληφυῖα ἐλευθερίου ... παραπλησίαν ἐποίησε γενέσθαι τὴν Ἑλλάδα ταῖς τῶν ἀσώτων καὶ κακοδαιμόνων οἰκίαις. ὥσπερ γὰρ ἐν ἐκείναις ἡ μὲν ἐλευθέρα καὶ σώφρων γαμετὴ κάθηται μηδενὸς οὖσα τῶν αὑτῆς κυρία, ἑταίρα δέ τις ἄφρων ἐπ᾽ ὀλέθρῳ τοῦ βίου παροῦσα πάσης ἀξιοῖ τῆς οὐσίας ἄρχειν, σκυβαλίζουσα καὶ δεδιττομένη τὴν ἑτέραν· τὸν αὐτὸν τρόπον ... ἀπελάσασα τῶν κοινῶν ... ἡ ἀμαθὴς τὴν φιλόσοφον καὶ ἡ μαινομένη τὴν σώφρονα. cf. Π 134,47–50 ἐργάζομαι δὲ οὐ τὴν πάνδημον ῥητορικήν, οὐδὲ τὴν θεατρικὴν καὶ ἀκόλαστον (μηδὲ γὰρ ἐξορχησαίμην ταύτῃ ποτὲ τὰ τῆς φιλοσοφίας ἀπόρρητα), ἀλλὰ τὴν οἰκουρόν τε καὶ σώφρονα

24 μόνης U P A S: om. L | ἀπρὶξ U A: ἁπρὶξ L P S ‖ **27** μεταποιοῦμαι L U A: ἀντιποιοῦμαι P S | τῆς δὲ τῆς δὲ A ‖ **31** οὐδὲ ἐλλείψεις U P S: οὐδ᾽ ἐλλείψεις L A ‖ **32** οἴῃ A ‖ **33** πολιτικῆς A ‖ **34** τῆς U A: om. L P S ‖ **37** ἐπεὶ δὲ L P A S: ἐπειδὴ U

πρᾶγμα γέγονε, συναποδύσομαί σοι λαμπρῶς, καὶ τὴν τοῦ βασιλέως ἀκοὴν τῶν ἀρετῶν σου καταπληρώσω, καὶ τὴν γλῶτταν
40 θήξω τοσοῦτον, ὡς μὴ μόνον καρδίαν διαιρεῖν δύνασθαι, καὶ κοίλην ποιεῖν πρὸς ἐγκωμίων ὑποδοχάς, ἀλλὰ καὶ σίδηρον τέμνειν, καὶ εἴ τι ἄλλο στιβαρώτερον καὶ ἀποτομώτερον.

Δυσχεραίνεις ὅτι σοι ὁ Καππαδόκης λεὼς οὐ πάνυ πειθήνιοι; Τοῦτο δὲ οὐ νῦν ἐπὶ σοῦ οἱ ἄνδρες μετεμορφώσαντο, ἀλλ' ἀρχαιό-
45 τροπον αὐτοῖς τὸ ἦθος, ἢ ἀπὸ τοῦ πρώτου γενάρχου εἰς τοὺς ἐξ ἐκείνου παρεισπαρέν, ἢ ἀπὸ τῆς διαφορᾶς τοῦ κλίματος (ὡς ἂν ἀστρονόμοι φαῖεν) ταῖς ψυχαῖς αὐτῶν ἐντακέν. Εἰ δέ τι καὶ τοῦ καιροῦ παραπολελαύκασι, καὶ τῷ ἀποτόμῳ τῆς γνώμης προσέθεντο, θαυμάζειν οὐ χρή, ὁπότε καὶ τὰ ἡμερώτατα τῶν ἠθῶν εἰς
50 θηριώδη κατάστασιν μετεβλήθησαν. Ἀλλ' οὐ χρονίσει τὸ πάθος· ὁ γάρ τοι θειότατος ἡμῶν βασιλεύς, οὐκ ἰατρικῷ σμιλίῳ, ἀλλὰ πολεμικῷ δόρατι, τὴν ἐμφωλεύουσαν ταῖς τῶν πολλῶν γνώμαις κακίαν ἀκριβῶς ἐκριζώσειε.

Σοὶ δὲ καὶ τὸ ἄλλοις ἀντίξουν ἀφορμὴ γενέσθω φρονήσεως καὶ
55 λαμπρότητος· ἐπαινοῦμεν γὰρ καὶ ἡνίοχον, οὐ τὸν τοὺς πολλάκις ὑποζευχθέντας ἵππους τῷ ἅρματι ἐλάσαντα ἐπὶ τὸν καμπτῆρα ἰθυτενῶς, ἀλλ' ὅστις τοὺς ἑτερογνάθους καὶ νῦν πρῶτα ἡνιοχηθέντας ὑφ' ἅρματι ἀσφαλῶς τε καὶ τεχνικῶς εἰς ταὐτὸ συνελάσειε.

Γλωσσῶν δὲ πονηρῶν μὴ πάνυ φροντίζειν· οὐ γὰρ εὔκολα τὰ
60 βασιλέως ὦτα πρὸς τοὺς διαβάλλειν ἐθέλοντας· τὴν δὲ ἡμετέραν ἀγαθὰ μελετήσασαν, πόσοις οἴει ἀντιβήσεσθαι ἀτόποις τε καὶ

38–39 τοῦ βασιλέως: Constantinus X Ducas (imperator: 23/24.XI.1059 – 22/23.V.1067) (Π XVIII)? ‖ **45** πρώτου γενάρχου: i.e. Mosoch (cf. Gen. 10,2)? cf. Ioseph. Ἰουδαϊκὴ ἀρχαιολογία 1,125 καὶ Μεσχῆνοι δὲ ὑπὸ Μέσχου κτισθέντες Καππάδοκες μὲν ἄρτι κέκληνται ‖ **46** τῆς – κλίματος: cf. e.g. Cleom. Μετέωρα 1,1,199 ‖ **57** ἑτερογνάθους: cf. CPG II 424 (nr. 3); cf. Psel. Χρονογραφία VII,58 et Ἐμβραδυνάντων τῶν μαθητῶν τῇ τῆς σχολῆς ξυνελεύσει = Or. min. 22,42–44 et Π 59,22, Π 134,14, Π 287,10, et Π 516,46

40 καρδίαν L U: καρδίας P A S ‖ **41** κοίλην U A: ποικίλην L κοίλας P S **42** στιβαρώτερον U P A S: βαρύτερον L ‖ **43** πειθήνιοι A: πιθήνιοι L U πειθήνιος P S ‖ **46** ἢ U P A S: καὶ L ‖ **48** παραπεπολαύκασι A **48–49** προσέθετο A ‖ **49** καὶ U P A S: δὲ καὶ L ‖ **50** χρονίσει – πάθος : χρονίσω A ‖ **51** ἀλλὰ ἀλλὰ A ‖ **52** post γνώμαις folium cecidit in U (cum epistulis Π 150, Π 207, et initio epistulae Π 114; cf. manuscriptum A, f. 44r–v) ‖ **54** καὶ[1] L A: om. P S | ἄλλοις L P S: ἄλλως A ‖ **55** καὶ L P S: om. A

φλυάροις; Θάρρει ἐπὶ τῷ σῷ Μιχαήλ. Μόνον τὸν ἐμὸν Βασίλειον ἐπὶ τὸ δικαιότερον μεταποίησον, ἢ μᾶλλον ἐπαύξησον· καὶ δίδου μοι ὑποθέσεις τῶν ἐγκωμίων, κἀγώ σοι λαμπρᾷ τῇ φωνῇ τὰ πεπραγμένα βοήσομαι. 65

IX. Βασίλειος

⟨μητροπολίτης⟩ Νικομηδείας (ante a. 1082)

29. Τῷ Νικομηδείας Βασιλείῳ
inter a. 1064 et a. 1075

K-D 104 [L]

Οὐκ οἶδα τίς ἡ ὑπόθεσις αὕτη, καὶ πόσην φέρουσα τῷ ὑπὸ τὴν μεγάλην ἐκκλησίαν οἰκονομείῳ τὴν ζημίαν ἢ τὴν ὠφέλειαν, οὕτως ἢ ἐκείνως ἔχουσα. Ὁ οὖν ἁγιώτατος πατριάρχης οὕτω πρὸς τὴν σὴν ἔνστασιν τεθορύβηται, καὶ οὕτως ἔχεται τῆς περὶ ταύτην ζητήσεως, ὥστε καὶ πολλάκις δυσχερᾶναί μου τὰς περὶ σοῦ 5 ἀξιώσεις, καὶ μὴ εὐκόλως προσίεσθαι ὥσπερ εἴωθεν· ὡς γὰρ περὶ οἰχομένων αὐτῷ πραγμάτων καὶ παντάπασιν ἀπολουμένων οὕτω διάκειται, καὶ βούλεται ἢ ἄλλον τινὰ δικαστὴν γενέσθαι τοῦ ζητουμένου ἢ ἑαυτόν. Διὰ ταῦτά σοι κατὰ προθεσμίαν τὴν ἐλευθερίαν τῆς ἱερᾶς λειτουργίας ἐψηφίσατο, μεγάλην ὡς ἔφησε 10 χάριν ἐνταῦθά μοι καταβαλλόμενος καὶ ἣν οὐδέποτε δέδωκεν.

Ἐπεὶ οὖν (ὡς ἀκούεις) ἄλλο τι οἴεται τὸ γεγενημένον καὶ οὐχ ὡς φύσεως ἢ πράξεως ἔχει, μηδὲν ἀναβαλλόμενος ἢ τὴν βασιλίδα κατάλαβε, ἢ φθάσας τὴν προθεσμίαν, ἢ εὐθὺς μετ' ἐκείνην, καὶ διερμήνευσον καὶ τὴν ἀρχὴν τοῦ ζητήματος καὶ τὴν περίστασιν 15 τῆς ὑποθέσεως, ἵνα ἴσως καὶ τὴν νικῶσαν λάβοις, καὶ τὴν ὀφειλομένην ἀποδοίης τῷ πατριάρχῃ τιμήν, καὶ ἡμᾶς θεάσαιο, οὓς ἐκ

62 τὸν – Βασίλειον: cf. Greg Naz. Epist. 47,2 et Εἰς τὸν μέγαν Βασίλειον … = Or. 43,16? ‖ **IX** ⟨μητροπολίτης⟩ Νικομηδείας: cf. Oikonomidès 1960,64 ‖ **3** ὁ οὖν ἁγιώτατος πατριάρχης: Ioannes Xiphilinus (patriarcha: 1.I.1064 – 2.VIII.1075) (Π L); cf. Oikonomidès 1960,64 ‖ **9–10** διὰ ταῦτά – ἐψηφίσατο: Grumel 1989,388 (nr. 905a)

63 δικαιοτήριον A | ἢ om. S ‖ **ep. 29** L 49v–50r; tit. L K-D

πολλοῦ ἰδεῖν ἐπιτεθύμηκας· οὐ γὰρ εἰκός, τῶν ἄλλων σχεδὸν μητροπολιτῶν ἐνταυθοῖ παραγενομένων καὶ τὸν ἀρχιερέα τετιμη-
20 κότων, σὲ μόνον ἀπολελεῖφθαι τῆς πανηγύρεως· ἴσως γὰρ κἀκεῖνος, βουλόμενος εἰσιέναι σε, τὴν τοιαύτην πρόφασιν πλάττεται, ἵνα μὴ ἀξιώσῃ, ἀλλ' ἀναγκάσῃ συνεισδραμεῖν.

30. Τῷ Νικομηδείας ⟨Βασιλείῳ (?)⟩

K-D 49 [L]

Βουλοίμην ἂν καὶ πάνυ βουλοίμην (εἴ γε δυναίμην), πάντα σοι τὰ καταθύμια ἐκπληροῦν, ὁσιώτατε δέσποτά μου. Ἀλλ' οὐχ ὅσα βούλομαι ταῦτα καὶ δύναμαι, ὅσα δὲ δύναμαι, ταῦτα καὶ βουλόμενος, πρόθυμός εἰμι παρέχειν τοῖς φίλοις. Εἰ μὲν γὰρ τὰ
5 ἀξιούμενά σοι ἐπὶ ταῖς ἐμαῖς χερσὶν ἔκειτο, πάντα συμφορήσας ἐπέδωκα. Ἀλλ' ὁρᾷς ὅτι ταῦτα μὲν «ἐν θεῶν γούνασι κεῖται» (τοῦτο δὴ τὸ ποιητικόν), ἐγὼ δὲ πειρῶμαι τῇ γλώττῃ τοὺς ἔχοντας ταῦτα πείθειν τοῖς βουλομένοις διδόναι. Ἡ δέ μοι τῆς πειθοῦς τέχνη πάλαι μὲν ἦν δραστικωτάτη καὶ ἀνυσιμωτάτη· νῦν
10 δὲ κυμβάλῳ εἴκασμαι ἀλαλάζοντι. Καὶ φθέγγομαι μέν, ὁπόσα καὶ

1 βουλοίμην – δυναίμην: cf. Synes. Cyren. Epist. 95,62–63 οὐδ' ἂν εἰ δυναίμην βουλοίμην, πάντως δὲ οὐδ' ἂν εἰ βουλοίμην δυναίμην. cf. etiam Psel. Χρονογραφία VI,171 οὐδ' εἰ πάνυ βουλοίμην, τοῦτο δυναίμην ἄν, Σελέντιον δημηγορηθὲν παρὰ βασιλέως κῦρ Μιχαὴλ τοῦ Δούκα = Or. min. 3,85 βουλοίμην μέν, εἴ γε δυναίμην, Ἑρμηνεία εἰς τὸ ῥητὸν τῆς Κλίμακος = Theol. I 30,7 οὔτε βουλοίμην εἰπεῖν, οὔτ' εἰ βουλοίμην, δυναίμην ἄν, Π 23,69 ὃ βουλοίμην, οὐ δῆτα δὴ καὶ δυναίμην, Π 79,15–16 βουλοίμην γὰρ (εἴ γε καὶ δυναίμην), Π 99,26 εἴ γε δυναίμην, βουλοίμην δέ, Π 111,19–20 οὔτε δυναίμην ἂν εἴ γε βουλοίμην, οὔτε βουλοίμην εἴ γε δυναίμην, Π 200,34–37 σὺ μὲν γὰρ καὶ βούλοιο ἅμα καὶ δύναιο· ἐγὼ δὲ βουλοίμην μὲν (καὶ μάρτυς ἐπὶ τῷ λόγῳ θεός), δυναίμην δ' οὐ πάνυ, ἀλλ' ἔλαττον ἢ βουλοίμην· εἰ δὲ γενναίως βουλοίμην, πάντως δ' ἂν καὶ δυναίμην, Π 292,5–6 βουλοίμην ἂν (εἴ γε καὶ δυναίμην), et Π 514,1–2 βουλοίμην ἂν … (εἴ γε δυναίμην) ‖ **6** ἐν – κεῖται: Hom. Od. 1,267 et 400, etc. ‖ **10** κυμβάλῳ … ἀλαλάζοντι: I Cor. 13,1 γέγονα χαλκὸς ἠχῶν ἢ κύμβαλον ἀλαλάζον. cf. Psel. Ἐγκώμιον εἰς Ἰωάννην … Εὐχαΐτων … = Or. pan. 17,227–228 et Π 64,11

ep. 30 L 28v; tit. scripsi: τῷ Νικομηδείας L K-D

Ὀρφεύς, καὶ αἱ τῶν Σειρήνων γλῶτται, καὶ εἴ τινες τῶν ῥητόρων τεχνικώτατοι πρὸς τὸ πείθειν παρεσκευάσθησαν· θέλγω δὲ οὔτε πίτυν, οὔτε κυπάριττον (πολλοῦ γε καὶ δεῖ), ἀλλ᾽ οὐδὲ τῶν ἄλλων οὐδένα ὅσοις καὶ ἀνθρώπεια ὦτά εἰσιν. Ἀλλὰ μόλις, παραβύσας αὐτοῖς τὸ στόμα καὶ τὴν φωνὴν ἐνιείς, εἰς τὴν καρδίαν τὸ μέλος 15 καταβιβάζω· καί μου τῆς μελῳδίας ἐπαισθανόμενοι, διεγρηγόρασί τε αὐτίκα, καὶ βραχύ τί μοι ἐπινενεύκασιν.

Ἔχεις μὲν οὖν ὁπόσα μοι τὸ μέλος ἰσχύει, καὶ ἡ παρὰ τῆς γλώττης ᾠδή· οὐκ ἔχεις δὲ ὁπόσα ἡ ἀκοὴ βύουσα, πρὸς ἐπᾴσματα ἐκκεκώφωται. 20

X. ⟨Ἰωάννης vel Μιχαὴλ⟩ Βούρτζης
βεστάρχης

31. Τῷ Βούρτζῃ βεστάρχῃ, τελευτήσαντος τοῦ ἀδελφοῦ αὐτοῦ

S 105 [P]

Οὐκ οἶδα τίνα σοι παραμυθίαν προσάξω τῷ εὐγενεστάτῳ καὶ

11 Ὀρφεύς – γλῶτται: cf. Hom. Od. 12,39–54 cum Psel. Ἐγκώμιον εἰς τὸν ... Ἰωάννην τὸν Κρουστουλᾶν ἀναγνόντα ἐν τῇ Ἁγίᾳ Σορῷ = Or. min. 37,166–168, Π 76,49–50 et Π 128,36–37 ‖ **12–13** θέλγω – κυπάριττον: cf. Π 208,29–31 εἰ δὲ πίτυς, εἰ δὲ κυπάριττος, ἀντήχησαν ἄν μοι ἠχοῦντι αἱ ἐκ γειτόνων πίτυς καὶ κυπάρισσοι ‖ **X** Ἰωάννης: cf. Cheynet II,360; Wassiliou-Seibt I,442 [nr. 986] | Μιχαὴλ: cf. Ioannes Scylitzes, Σύνοψις Ἱστοριῶν 488 ‖ **1–9** οὐκ οἶδα – ἀκίνητος: cf. Π 40,1–9 οὐκ οἶδα τί γράψω ἢ τί σοι προσομιλήσω, αὐθέντα μου καὶ ἀδελφέ, ἐπὶ τῇ καταλαβούσῃ σε συμφορᾷ, τίνα δὲ παραμυθίαν ἐπαγάγω τῇ ἡμέρῳ σου καὶ φιλανθρώπῳ ψυχῇ· εἰ γὰρ αὐτός, ἀλλότριος ὢν τοῦ γένους, οὐ μετρίως τὸ πάθος ἤνεγκα, τοιούτου βλαστοῦ εὐγενοῦς ἀπορριζωθέντος ἀθρόον, τί ἂν γένοιο, ὁ καὶ συγγένειαν πρὸς ἐκεῖνον καὶ τὴν ἐντεῦθεν διάθεσιν εἰληφώς τε καὶ δεδωκώς; τίς γὰρ

ep. 31 L 2r–3v, P 212r–v, V 184r–185v, v[4] 255v–257v (= V), p[1] 148–149 (= P), r fasc. 6 (= V); tit. scripsi: Ἀνδρονίκῳ πρωτοβεστιαρίῳ, τῷ υἱῷ τοῦ καίσαρος Ἰωάννου ἐπὶ τῇ τελευτῇ τοῦ ἀδελφοῦ αὐτοῦ L τῷ Βούρτζῃ P S τοῦ αὐτοῦ, τῷ Βούρτζῃ βεστάρχῃ, τελευτήσαντος τοῦ ἀδελφοῦ αὐτοῦ V ‖ **1–2** καὶ λαμπροτάτῳ V: om. L P S

λαμπροτάτῳ κυρίῳ μου, ἐπὶ τῷ κοινῷ πένθει καὶ ἀπαρηγορήτῳ
τοῦ φιλτάτου σου ἀδελφοῦ· εἰ γὰρ οἱ ἀπὸ ψιλῆς θέας ἐγνωκότες
ἐκεῖνον οὐ δύνανται φέρειν τὴν συμφοράν, ἀλλὰ στενάζουσι καὶ
5 δακρύουσι, πῶς ἂν αὐτὸς ὑπενέγκῃς τὴν ἀπροσδόκητον ἀκοήν, ὁ
ἐκ τῶν αὐτῶν ἐκείνῳ γονέων γεννηθείς, καὶ τοὺς ἐκείνου τρόπους
ἐζηλωκώς, καὶ οἷον ἐπ' ἐκείνῳ μόνῳ καὶ ἀναπνέων καὶ ζῶν; Ἐγὼ
τοιγαροῦν ὁ μὴ προσήκων κατὰ γένος ἐκείνῳ, ὁπότε τὴν
ἀγγελίαν τοῦ θανάτου ἀκήκοα, ἄπνους ἐγεγόνειν καὶ ἀκίνητος,
10 ἐννοῶν οἷον ἄνθος ἀθρόον ὁ φθονερὸς δαίμων ἐμάρανεν, οἷον
στῦλον τῆς Ῥωμαίων κατέσεισε γῆς, οἷον πύργον κατήνεγκεν οἷον
κατέσπασε φρούριον.

Ἀλλὰ ποῖόν τις ἐκείνου θρηνήσειεν; ἅπαντα γὰρ ἶσα καὶ
ἀπαράμιλλα: ἡ τῆς ἡλικίας ἀκμή, ἡ τοῦ φρονήματος σταθηρότης,
15 ἡ τῆς ψυχῆς ἑτοιμότης, τὸ γενναῖον τοῦ λογισμοῦ παράστημα. Ὢ
γλῶττα ἐκείνου λόγων ἀποστάζουσα χάριτας! Ὢ βλέμμα προση-
νές, καὶ σῶφρον μειδίαμα, καὶ διάθεσις ἄδολος, καὶ ἦθος κοινοπα-
θὲς καὶ φιλάνθρωπον! Ἐμὲ δὲ τίς ἐπ' ἐκείνῳ παραμυθήσεται, ἢ τίς
μοι στήσει τῆς καρδίας τὸ δάκρυον; Ἐκλέλοιπέ μοι καὶ ἡ ψυχή,
20 βραχὺ ἀναπνέοντι καὶ ζητοῦντι τὴν φιλτάτην ἐκείνην γλῶτταν καὶ
τὸ σύνηθες τῆς ὁμιλίας καὶ τὴν τῆς ἀγάπης κοινωνίαν· εἰ γὰρ
κατὰ γένος ἠλλοτριώμεθα, ἀλλ' ἀδελφοὶ τὴν ψυχὴν ἐτυγχάνομεν
ὄντως, καὶ παραμυθία ἀλλήλοις κατὰ τὸν βίον ὑπήρχομεν. Κακεῖ-
νος μὲν ἔστενεν, εἴ τι μοι πολλάκις συνεπεπτώκει ἀνιαρόν· ἐγὼ δὲ
25 πολλάκις ἐπ' ἐκείνῳ ἐδάκρυσα ὅτε ἡ συκοφάντις γλῶσσα τοῦ
φρονήματος ἐκείνου κατίσχυσε. Καὶ οἶδεν ἡ γενναιοτάτη ψυχὴ

ἐκείνου καλλίων, τίς ἡδύτερος, τίς εὐγενέστερος, τίς μετριώτερος; ἐγὼ δὲ θρηνῶ μὲν καὶ ἐπὶ τούτοις τὸν ἀπελθόντα· ἔτι δὲ μᾶλλον ἀποδύρομαι
17–18 ἦθος – φιλάνθρωπον: Dion. Halicarn. Ῥωμαϊκὴ ἀρχαιολογία I 41,1 βίων ἔθη φιλάνθρωπα καὶ κοινοπαθῆ. cf. Psel. Χρονογραφία VII,156 (= VIIb,35), Ὡς ἀπὸ προσώπου τοῦ βασιλέως = Or. for. 5,14, Ἐγκωμιαστικὸς εἰς … Μιχαὴλ τὸν Κηρουλλάριον = Or. fun. I 1,15,33–34, et Π 9,6, Π 170,11–12, Π 207,12–13, et Π 456,3

9 ἀκίνητος L P S: ἄναυδος V ‖ **10** φθονερὸς L V: πονηρὸς P S ‖ **11** κατήνεγκεν L: κατέρριψεν P S κατέλυσεν V ‖ **12** κατέσπασε L P S: κατέσκαψε V ‖ **13** γὰρ P V S: δ' L ‖ **16–17** βλέμμα – μειδίαμα P V S: βούλευμα προσηνὲς καὶ μειδίαμα L ‖ **23** ὄντως P S: οὕτως L ὄντες V ‖ **24** συνεπεπτώκει L V: προσεπεπτώκει P S ‖ **25** ὅτε L V: ὅτι P S | γλῶσσα L: γλῶττα P V S

ὅσα τηνικαῦτα καὶ συνήλγησα καὶ συνήσπισα, εἰ καὶ τὸ ἄθελκτον τῶν κρατούντων πρὸς τὴν ἐμὴν μοῦσαν ἐκώφευσε.

Τί οὖν ἶσα τοῖς ἀνελπίστοις τοὺς ἀποιχομένους δακρύσομεν, καὶ οὐδαμοῦ τινα παραμυθίαν ἑαυτοῖς ἐξευρήσομεν; Ἢ χρὴ δακρύ- 30 ειν μὲν ὅσον χρεών, αὖθις δὲ χρηστοτέραις ἐλπίσιν ἑαυτοὺς ἀναλαμβάνειν καὶ πρὸς βελτίονα γνώμην μετατίθεσθαι;

Τίς οὖν ἡ παραμυθία; Ἐπίκηρός ἐστιν ἡμῶν ἡ ζωή, ἡ φύσις σύνθετος, τὸ σῶμα ἐκ γῆς φυόμενον καὶ εἰς γῆν ἀποκαθιστάμενον. Ὅρα τὴν πρώτην ἡμῶν ἀρχὴν τῆς γεννήσεως: ἐκ χοὸς συνεπάγη- 35 μεν, εὐδιαλύτου καὶ σαθροῦ πράγματος· διὰ ταῦτα εἰς χοῦν αὖθις ἀναλυόμεθα. Καὶ τὸ μὲν σῶμα οὕτως. Ἡ δὲ ψυχὴ ἀθάνατος μένει καὶ μετὰ θάνατον· οὐ γὰρ σβέννυται οὐδὲ διαλύεται, ἀλλὰ πρὸς τὸν ἑαυτῆς δεσπότην ἄπεισι καὶ τὰ ἄθλα τῆς ἐνταῦθα ἀγωνίας κομίζεται. 40

Μὴ οὖν ὀλιγώρει ὅτι τέθνηκέ σοι ὁ ἀδελφός· ἀπῆλθε γὰρ ὅθεν ἦλθε, καὶ τὸ μὲν σῶμα διαλύεται ἴσως, τὸ δὲ πνεῦμα ἄφθαρτόν ἐστι καὶ ἀνώλεθρον. Εἰ δὲ καὶ ἐν ἀκμῇ τῆς ἡλικίας διάλυσιν πέπονθε, μὴ ἀποδύρου· ὁ γὰρ τῆς ζωῆς ἡμῶν φυτουργὸς οἶδε κατὰ καιροὺς ἰδίους, ποτὲ μὲν ἄωρον ἀποτέμνειν τὸν τοῦ βίου 45 καρπόν, ποτὲ δὲ ἀκμάζοντα, ποτὲ δὲ πέπειρον. Τέθνηκεν οὖν ὁ

33 ἐπίκηρός – ζωή: locus communis; cf. Psel. Χρονογραφία VI,220 (= VIa,17), Theol. I 8a,44–5, Εἰς τὸ 'ὅτι πνεῦμα διῆλθεν ...' = Theol. I 34,5–6, Εἰς τὸ 'καὶ ἡμῖν μὲν βρωθήσεται ...' = Theol. I 99,21 et Π 63,39–40, Π 173,3–4, Π 174,17–18, et Π 200,72–73 ‖ **33–34** ἡ[3] – σύνθετος: cf. Psel. Λόγος εἰς τὴν σταύρωσιν = Or. hag. 3a 267–269 οἱ δέ γε προπάτορες, σύνθετος ὄντες φύσις καὶ τὸ μὲν πλασθέντες ἀπὸ χοός, τὸ δὲ εἰκόνι τετιμημένοι θεοῦ ‖ **42–43** τὸ[2] – ἀνώλεθρον: Procl. Στοιχείωσις θεολογική 187 πᾶσα ψυχὴ ἀνώλεθρός ἐστι καὶ ἄφθαρτος. cf. Psel. Περὶ ψυχῆς = Phil. min. II 11 (22,12–13) et Omn. doctr. 30,6–7 ‖ **44** ὁ – φυτουργὸς: cf. Ἀκάθιστος ὕμνος oikos 5,9 χαῖρε, φυτουργὸν τῆς ζωῆς ἡμῶν φύουσα cum Psel. Εἰς τὸ εὐαγγελικόν· 'Μαρία· στραφεῖσα ...' = Theol. I 15,59–60 ὁ ... τῷ ὄντι τῆς ζωῆς ἡμῶν φυτουργός

28 μοῦσαν ἐκώφευσε L V: ἐκώφευσε μοῦσαν P S ‖ **29** ἀποιχομένους L P S: κατηχομένους V ‖ **31** ὅσον P V S: om. L ‖ **33** φύσις L P V: φύσει S **35** γεννήσεως L P S: γενέσεως V ‖ **36** διὰ L V: καὶ διὰ P S ‖ **36–37** αὖθις ἀναλυόμεθα V: αὖθις διαλυόμεθα L ἀναλυόμεθα P S ‖ **39** τῆς – ἀγωνίας P V S: ταῖς ... ἀγωνίαις L ‖ **41** σοι L V: σου P S ‖ **42** διαλύεται L V: λύεται P S **42–43** ἄφθαρτόν ... ἀνώλεθρον L P S: ἄφθαρτός ... ἀνώλεθρος V ‖ **43** διάλυσιν L V: τὴν διάλυσιν P S ‖ **46** ποτὲ[1] – ἀκμάζοντα L P S: om. V

σὸς ἀδελφός, οὐκ ἀπομαρανθεὶς τὴν ζωήν, ἀλλ' ἡβῶν ἔτι, καθ' ὥραν ὡς ἔδοξε τῷ κηδεμόνι τῆς ἡμετέρας ζωῆς. Ἀπῆλθεν ἐπὶ πολλοῖς τροπαίοις, ἐπὶ πολλοῖς ἀγωνίσμασι, τιμήσας τὸ γένος
50 αὐτοῦ, οὐδενὶ γενόμενος ἁλωτὸς τῶν ὅσα χραίνειν οἶδε τῶν κρειττόνων τὰς ὑπολήψεις.

Ἦν ποτε φρικώδης ὁ θάνατος, ὁπηνίκα αἱ τῶν τελευτώντων ψυχαὶ τοῖς ἐν τῷ ἅδῃ δεσμοῖς κατείχοντο. Νῦν δὲ μετὰ τὸν τοῦ Χριστοῦ θάνατον ἐλευθερία πᾶσα τῷ γένει δεδώρηται, καὶ πρὸς
55 οὐρανὸν ἀνιπτάμεθα ὅσοι σύμφυτοι τῷ ὁμοιώματι τοῦ θανάτου ἐκείνου γεγόναμεν. Εὔκολον ἡμῖν τὴν τελευτὴν πεποίηκεν ὁ θεός· εἰ γὰρ ἐκεῖνος τὴν ἑαυτοῦ ψυχὴν προήκατο καὶ ὁ ἀναμάρτητος θανάτου ἐγεύσατο, πῶς ἂν ἡμεῖς ἀποδυσπετήσωμεν ἀποθνήσκοντες; Πῶς δὲ τοὺς τελευτήσαντας ἀπολοφυρώμεθα; Τέθνηκεν
60 Ἀβραάμ, ὁ ἐκείνου υἱός, ὁ μέγας ἐν πατριάρχαις Ἰακώβ, ὁ τοῦ θεοῦ προπάτωρ Δαυΐδ. Ἀλλὰ τὴν ἀνδρείαν ἐκείνου καὶ εὐψυχίαν θρηνεῖς; Τέθνηκε καὶ Σαμψών, τεθνήκασι καὶ πρὸ ἐκείνου οἱ γῆς ἀπόγονοι Γίγαντες. Τί δὲ μὴ πάλιν λέγω τὸ μεῖζον; τέθνηκε καὶ Χριστός· ἀρκεῖ τοῦτο εἰς παραμυθίαν.

65 Μὴ ἀπογνῷς, εὐγενέστατε ἀδελφέ, ὡς οὐκ ὄψει τὸν ἀδελφόν. Μεῖνον τί μοι μικρὸν τὴν τοῦ ἀρχαγγέλου φωνήν· μεῖνόν μοι τὴν τῆς ἀναστάσεως σάλπιγγα. Ὄψει μοι τότε τὸν ἀδελφόν, λαμπρὸν λαμπρῶς, ἀθάνατον, ἀτελεύτητον, καὶ κληρονόμον ἴσως θεοῦ. Ἀποδημίαν βραχυτάτην ἐστείλατο, οὐ πρὸς βαρβάρους, οὐ πρὸς
70 πολέμους, ἀλλὰ πρὸς ἀγγέλους, πρὸς ἀρχαγγέλους. Ὄψει πάλιν ἐπανεληλυθότα μετὰ καλλίστου καὶ ἀθανάτου σώματος. Ταύτας

48 τῷ κηδεμόνι τῆς ἡμετέρας ζωῆς: cf. Psel. Εἰς τὸ εὐαγγελικὸν ... 'γρηγορεῖτε, ὅτι ... = Theol. I 101,126–127 ὁ τῆς ἡμετέρας ζωῆς κηδεμών **62–63** οἱ – Γίγαντες: cf. Hes. Θεογονία 185 γείνατ' (sci. Γαῖα) Ἐρινῦς τε κρατερὰς μεγάλους τε Γίγαντας cum Gen. 6,4 οἱ δὲ γίγαντες ἦσαν ἐπὶ τῆς γῆς ἐν ταῖς ἡμέραις ἐκείναις. cf. Psel. Λόγος εἰς ... Κωνσταντῖνον τὸν Μονομάχον = Or. pan. 1,228, et Π 327,19–20 et Π 390,26

47 ἀπομαρανθεὶς – ζωήν L V: ἀπομαρανθείσης τῆς ζωῆς P S ‖ **47–48** καθ' ὥραν L P S: καὶ καθ' ὥραν V ‖ **54** τῷ γένει L V: τῷ γένει τῶν ἀνθρώπων P S **55** οὐρανὸν L P S: αὐτὸν V ‖ **56** ἡμῖν L V: ἡμῶν P S ‖ **57** ὁ L V: ἐὰν ὁ P S **62** Σαμψών L V: Σαμψώμ P S | οἱ γῆς P V S: γῆς L ‖ **63** μὴ πάλιν P V S: πάλιν μὴ L ‖ **64** παραμυθίαν L P S: παραμυθίαν ὑμῖν V ‖ **66** τί P V S: om. L **67** μοι L V: δὲ P S | ἀδελφόν V: φίλτατον L P S

τὰς ἐννοίας ἀναλεγόμενος παρὰ σεαυτῷ, καταπράϋνε τῆς ψυχῆς
τὸ φλεγμαῖνον· καὶ δάκρυε μὲν ὅσον εἰκός, αὖθις δὲ σαυτὸν ἔπεχε
καὶ παραμυθοῦ τοῖς κρείττοσι λογισμοῖς, καὶ πρὸς τὴν τοῦ
πένθους ἀκμὴν ἵστασο. 75

Ταῦτά σοι ὀλίγα ἐκ πολλῶν ἔγραψα, ἵνα μὴ ὁ παρὼν ἡμῶν
ἄνθρωπος κενὸς ὀφθῇ σοι, μηδὲν ἐπιφερόμενος ἀγάπης ἐφόδιον·
οὗτος γὰρ ἐξ αὐτῶν (ὡς εἰπεῖν) σπαργάνων σχεδὸν μεθ' ἡμῶν ἐν
βίῳ τραφείς, βραχύτατόν τινα μισθὸν τὸ μανδατωρίκιον κομισά-
μενος, ἐκδουλεύει ἡμῖν. Ἔγωγ' οὖν αὐτῷ κατὰ τὴν ἐξέλευσιν 80
ταῦτα ἐπέτρεψα, ὅπως σοι τὴν ἔγγραφον ταύτην ἀποκομίσῃ
παραμυθίαν.

XI. Γεώργιος

ἀκτουάριος

32. Τῷ ἀκτουαρίῳ κῦρ Γεωργίῳ

K-D 95 [L]

Ὄχλος μέν μοι ἄλλως τὰ πράγματα (καὶ τί γὰρ ἄλλο ἢ
πράγματα;), ἥδιστον δὲ χρῆμα τὰ πράγματα. Ὥσπερ δὲ τὴν
πρώτην ὕλην μισῶ μὲν διὰ τὴν φυσικὴν ἀμορφίαν, φιλῶ δὲ αὖθις
δι' ἣν ἔχει πρὸς τὴν καταδοχὴν τοῦ εἴδους ἐπιτηδειότητα, οὕτω δὴ

72–73 καταπράϋνε – φλεγμαῖνον: cf. Π 209,56 καὶ ἀναψύχω τῆς ψυχῆς τὸ φλεγμαῖνον. cf. etiam Ἐγκώμιον εἰς τὸν ... Ἰωάννην τὸν Κρουστουλᾶν ἀναγνόντα ἐν τῇ Ἁγίᾳ Σορῷ = Or. min. 37,168 φλεγμαινουσῶν ψυχῶν ‖ **XI** cf. Psel. Μονῳδία εἰς τὸν βεστάρχην Γεώργιον τὸν τοῦ ἀκτουαρίου = Or. fun. I 7? ‖ **4** πρὸς – ἐπιτηδειότητα: cf. Ioann. Philop. Περὶ ἀϊδιότητος κόσμου 366,22–24 τὸ γινόμενον οὖν ἐστιν, φασίν, τὸ ὑποκείμενον καὶ ἡ ὕλη, γίνεται δὲ εὐεργόν τε καὶ ἐπιτήδειον εἰς καταδοχὴν τοῦ εἴδους cum Psel. Εἰς τὸ Σολομώντειον ... 'ἀνατέλλων αὐτὸς ...', καὶ εἰς τὸ θεολογικὸν ... 'ὁ μὲν ἡμέτερος λόγος ...' = Theol. I 107,67–70 ἡ καθ' ἡμᾶς ὕλη ... οἷς ἐπιτηδείαν ἐργάζεται πρὸς εἴδους καταδοχήν

73 ἔπεχε L V: ὕπεχε P S ‖ **75** πένθους P V S: πάθους L ‖ **76–77** ἡμῶν ἄνθρωπος L V: ἄνθρωπος ἡμῶν P S ‖ **78** ὡς – σπαργάνων L V: σπαργάνων ὡς εἰπεῖν P S ‖ **79** τραφείς L P S: om. V ‖ **80** ἐκδουλεύει ἡμῖν L P S: om. V **81** ἐπέτρεψα V: ἐπέγραψα L ἐπένευσα P S ‖ **ep. 32** L 45v–46r; tit. L K-D

5 καὶ τὰ περὶ ἐμέ: αὐτόθεν μὲν ἀποστρέφομαι· ὅ τι δὲ πρὸς σὲ δίδωσι φθέγγεσθαι, ὥσπερ ἀσπάζομαι.

Ἐπεὶ δὲ ὕλης ἐμνήσθην, ἐρῶ τι πρὸς ταύτην παράδοξον. Ἡ μὲν γὰρ ἀδιατύπωτος τὴν φύσιν οὖσα, μετὰ τοῦ εἴδους ἐκ πρώτης γενέσεως ἐξελήλυθε· τὰ δέ γε ἐμὰ χρήματά τε καὶ κτήματα, 10 μορφῆς ὄντα τὸ πρὶν μέτοχα, κινδυνεύει νῦν ταύτην μὲν ἀποβαλεῖν, εἰς δὲ ὕλην ἀναλυθῆναι γυμνήν. Οὕτω μοι πάντα ἀπέκρουσαν: τὰ περὶ τῆς ὥρας, τὰ περὶ τῆς ἀωρίας, τὰ περὶ τῶν—ὅθεν ἂν καὶ αὐτὸς ἐννοήσειας. Καὶ γέγονέ μοι τὰ λαμπρὰ καὶ περιβόητα τῶν πραγμάτων ὀνόματα, ὥσπερ ἃ πλάττουσιν οἱ σοφοὶ ἐξ 15 ἀνομοίων ζῴων σύνθετα πράγματα, καὶ μάλιστα τῆς ἐφεστηκυίας ὥρας· ἣν ἴσως ἠγνοηκὼς Ὅμηρος, εἰς κενὸν μὲν τὴν ἐλαίαν ἐξύμνησε, μάτην δὲ τῇ μηλέᾳ ἐγκώμιον ἐσχεδίασε. Καὶ τό γε θαυμασιώτερον, ὅτι μοι τὰ δένδρα τοῖς οἰκείοις μὴ βεβριθότα καρποῖς, μηδὲ ἡ αὖλαξ διδοῦσα τὸν ἄσταχυν, ἢ τὴν βότρυν ἡ 20 ἄμπελος, ἀλλά γε ἵππους παραβλαστάνουσα, καὶ προσεπιφύουσα φάλαρα, ἴσως δὲ καὶ ἐλέφαντας ἀναδώσει, προσεπιδώσει δὲ καὶ τὴν βαφὴν καὶ τὴν βάπτουσαν, εἴτε Μηονὶς αὕτη, εἴτε τις Κάειρα.

Ἀλλά μοι τούτοις πᾶσι τὸ πρὸς σὲ γράμμα ἀντίρροπον. Καὶ ὥσπερ ἔχων ὅ τι διαλεχθείην πρός σε, βουλοίμην ὥσπερ καὶ 25 πλείω ταῦτα γενέσθαι μοι, ἵνα ἔχοιμι τὸ μὲν παρακλαύσασθαι, τῷ δὲ καὶ εἰς γέλωτα χρήσασθαι. Τρόπον γοῦν τινα Δημόκριτός εἰμι καὶ Ἡράκλειτος, παρὰ μέρος γελῶν καὶ πενθῶν. Σὺ δέ μοι, εἰ μὲν

8 ἀδιατύπωτος – οὖσα: cf. Psel. Εἰς τὸ ῥητὸν τῆς πρώτης ὁμιλίας τῆς Ἑξαημέρου ... = Theol. I 6,57–58, Εἰς τὸ ʻὄψει τὰ ὀπίσθιαʼ = Theol. I 26,52, et Εἰς τὸ ʻτὸ μέν, ἵνα μένῃ ...ʼ = Theol. I 91,56 ‖ **11** ὕλην ... γυμνήν: cf. Ioann. Philop. Περὶ ἀϊδιότητος κόσμου 405,4 (cf. 153,20–21) οὐδέποτε γυμνὴ τῶν εἰδῶν ἐστιν ἡ ὕλη ‖ **16–17** Ὅμηρος – ἐσχεδίασε: Hom. Od. 7,115–121 (cf. 11,589–590) ... μηλέαι ἀγλαόκαρποι ... ἐλαῖαι τηλεθόωσαι etc. ‖ **21–22** ἴσως – Κάειρα: Hom. Il. 4,141–142 ὡς δ᾽ ὅτε τίς τ᾽ ἐλέφαντα γυνὴ φοίνικι μιήνῃ / Μῃονὶς ἠὲ Κάειρα παρήϊον ἔμμεναι ἵππων ‖ **26–27** τρόπον γοῦν – πενθῶν: cf. Lucian. Περὶ θυσιῶν 15, Περὶ τῆς Περεγρίνου τελευτῆς 7, et Βίων πρᾶσις 13–14 cum Ps.-Nonnus Συναγωγὴ ... ἱστοριῶν ... in Greg. Naz. Or. 4, hist. 37 Ἡράκλειτος καὶ Δημόκριτος ... ὁμοίως τὴν τοῦ κόσμου ἀλλεπαλληλίαν διέπαιξαν, ὁ μὲν γελῶν, ὁ δὲ κλαίων. ὁ μὲν Δημόκριτος ἐγέλα συνεχῶς τὰ πράγματα, ὁ δὲ Ἡράκλειτος ἔκλαιεν. cf. Π 254,43–35

12 post τῶν lacunam prop. K-D ‖ **16** κενὸν corr. K-D: καινὸν L ‖ **17** μηλέᾳ scripsi: μήλʹ L μήλῳ K-D ‖ **22** Μῃονὶς corr. K-D: μιονὴς L

δύναιο, ἰῶ τὰ ἐμά· εἰ δ' οὖν, ἀλλά γε βούλοιο. Καὶ τὸν μοναχὸν ὃν ἀντὶ πάντων καὶ ὑπὲρ πάντας πεποίημαι τοὺς ἐμούς, καὶ στέργε καὶ ἡδέως ὅρα· καὶ πειρωμένῳ αὔξειν τι τῶν ἐμῶν, χορήγει τὴν 30 παρὰ σοῦ δύναμιν.

XII. Γεώργιος
συμμαθητής

33. Γεωργίῳ συμμαθητῇ
Pselli?

K-D 25 [K]

Εἰ μὲν πρὸς ἕτερον ἡμῖν ὁ λόγος, συμμαθητῶν ἄριστε, ἴσως ἂν ἔδει καὶ δεινότητος καὶ σοφίας καὶ πλοκῆς λόγων, δι' ὧν αὐτὸν κατεπλήξαμέν τε καὶ κατεβάλομεν, καὶ ἡμᾶς αὐτοὺς ἱκανούς τε καὶ γενναίους καὶ δεινοὺς ἐπὶ λόγοις νομίζεσθαί τε καὶ ὀνομάζεσθαι εὖ μάλα πεποιήκαμεν. Ἐπεὶ δὲ πρὸς σὲ τυγχάνει, 5 φίλον τε ἅμα καὶ λογιότητι κόσμιον καὶ πρὸς ἀμφότερα δεξιόν, τό τε ὀρθῶς φιλεῖν τοὺς φιλοῦντας καὶ τὸ λόγοις αὐτοὺς δεόντως μετέρχεσθαι, καὶ ἱκανὸν «ἤδ' ἐπὶ δεξιὰ ἤδ' ἐπ' ἀριστερὰ νωμῆσαι βῶν ἀζαλέην» κατὰ τὸν ποιητήν, οὐδὲν δὲ ὑμῖν ἐστιν ἐμποδὼν καὶ ἀντίξουν (καὶ τὸ πολλοῖς ὀχλεῖσθαι πράγμασι, καὶ πάντοθεν 10 φροντίσι βιωτικαῖς βάλλεσθαι, καὶ μηδ' ὀλίγον ἀνακύπτειν, μηδ' ὄχλου πόρρω καὶ ταραχῆς καθίστασθαι), ἐκείνων μὲν φροντίζειν καλὸν τοῖς σοφοῖς καὶ σπουδαίοις καὶ περὶ λόγους μοχθοῦσιν (οἷος σύ) καὶ τὰ τοιαῦτα σπουδάζουσι ἐπιδείκνυσθαι (οἷς ἴσως καὶ τὸ λέγειν ἐπίδειξις), ἐμοὶ δ' ἱκανόν, ὑπὸ τοσούτων κατεχομένῳ 15 πραγμάτων, εἰ καὶ τὴν ἀνὰ χεῖρας τοῖς φίλοις ὁμιλίαν ἐντυγχάνω, καὶ μικροπρεπῶς αὐτοῖς ἀντιδωροῦμαι τὰ φιλικά, καὶ δεξιοῦμαι τοῖς γράμμασιν.

33,8–9 ἤδ'[1] – ἀζαλέην: Hom. Il. 7,238–239 οἶδ' ἐπὶ δεξιά, οἶδ' ἐπ' ἀριστερὰ νωμῆσαι βῶν / ἀζαλέην, cf. Psel. Ἱστορία σύντομος 50,63–64 et Π 62,31–32 et Π 214,2

ep. 33 K 84r–84v; tit. K K-D ‖ **33,9** ὑμῖν scripsi: ἡμῖν K K-D

Οὕτως ἐγὼ τῶν ἄλλων φροντίζων, λόγοις οὐ προσανέχω· διὸ
20 οὐ στροφῆς νοημάτων φροντίσας, οὐ λέξεων μεγαλορρημοσύνης, οὐ κόμπου καὶ στωμυλίας (ταῦτα δὴ τὰ τῶν σοφῶν καὶ σπουδαίων), πρὸς σὲ ἀφελῶς πως καὶ ἀμαθῶς οἷς ἔχω ἀντεπιστέλλω. Σύ, θαυμάσιε, οἷς ἔγραψας ἐπέσταλκας, ὡς πρώην δειλὸς καὶ ἄκικυς ὢν πρὸς ἡμᾶς γράφειν, νῦν ἐτόλμησας ταῦτ' ἄκων διὰ
25 τὸ πυξίον (οὐ σὸν ὄν, ἀλλὰ τοῦ θείου τοῦ σοῦ), καὶ τούτοις κατέμιξας ἐπαίνους ἐμούς, οὐκ οἶδ' ὅπως τοῦτο ποιήσας, εἴτ' οὖν ἀληθεύων, εἴτε διαπαίζων.

Ἐμοὶ μὲν οὖν φίλον σε ἀληθῆ εἰδότι, καὶ καθαρὰν ἀποσῴζοντα φιλίαν, οὐκ ἄν ποτε διαπαίζειν ταυτὶ ἔδοξε, τουτὶ δὲ μᾶλλον, πρὸς
30 σὸν ἔπαινον διεγείρειν καὶ ξύοντα ἀντιξύειν, ᾧ δὴ καὶ πάντων σε σοφώτατον καὶ ῥητορικώτατον εἶναι νομίζω, εὐφυῶς πως οὕτω μετελθόντα καὶ τοῖς ἐπαίνοις με ὑφαρπάσαντα. Καὶ ἄγαμαι, ὅπως μήπω τὴν πῦρ πνείουσαν ῥητορικὴν μετιών, πείθειν οὕτως ἐδιδάχθης.

35 Εἰ μὲν οὖν καὶ σοὶ δοκεῖ, καλῶς ἀπετόξευσα, καὶ οὐ κατὰ τοὺς ἔξω τοῦ σκοποῦ βάλλοντας· εἰ δ' ἄλλως, κἀγώ σοι ταὐτὰ νενόηκα. Τὸ δὲ πυξίον στεῖλαι μὲν οὐκ ἐβουλόμην (οὐδὲ γὰρ ἔλαβον ὃ δέδωκα)· ὅμως δὲ ἐλπίζων λαβεῖν, ἔστειλα.

34. Τῷ αὐτῷ

Γεωργίῳ συμμαθητῇ. Pselli?

K-D 26 [K]

Ὅτε σου τὴν ἐπιστολὴν ἐδεξάμην, ὦ ἄοκνε σὺ γράφειν, καὶ λέγειν πρόθυμε, καὶ ἐπιστέλλειν ἡδύτατε, καὶ ταῦτα ἐκ τοῦ ἑτοίμου (οὐ γάρ πως ἀναδύῃ, οὐδ' ἀναβάλλῃ ἐς νέωτα, ἀλλ' ὥσπερ τὸ ἀναπνεῖν αὐτός, οὕτως σὺ τὸ γράφειν ἔχεις), ἦν μὲν ἐπί τῳ τῶν
5 ἀναγκαίων ἀπασχολούμενος, τὸν δὲ νοῦν ἔχων τῆς περὶ ἐκεῖνο φροντίδος μετέωρον. Τηνικαῦτα εὐχερὲς οὐκ ἦν μοι ποιεῖσθαι τοὺς

23–24 ὡς – γράφειν: cf. Π 34,12 ὁ ἄτολμος ἐν οἷς πρώην ἔγραψας καὶ δειλός **25** ἀλλὰ – θείου: Opp. Ἁλιευτικά 4,468 ἔστι δέ τις νεπόδων δειλὸς καὶ ἄκικυς ὅμιλος ‖ **30** ξύοντα ἀντιξύειν: proverbium, CPG I 315 (nr. 18) et II 689 (nr. 20) τὸν ξύοντα δ' ἀντιξύειν. cf. e.g. Greg. Naz. Epist. 190,5

ep. 34 K 84v–85r; tit. K K-D

λόγους πρὸς σέ· οὔτε γὰρ ὁ καιρὸς ἐδίδου σχολὴν ἀπάγων πρὸς ἕτερα, καὶ ἄλλως οὐκ ἀναγκαῖον εἶναι δοκοῦν παρευθύ σε τοῖς ἴσοις ἀμείβεσθαι. Τότε μὲν ἀνεβαλλόμην· τὸ δὲ νῦν ἔχον δεξιοῦμαί σου τὴν ἀγάπην. Καὶ ἄγαν σε ὑπερεκπληττόμενος, ἔρομαι: πῶς ἄρα ὁ ἄτολμος ἐν οἷς πρώην ἔγραψας καὶ δειλός, καὶ ὑπὸ ἀμαθίας ἀναστελλόμενος, ἐν ῥιπῇ γενναῖος γέγονας, καὶ λαγωοῦ προσχήματι βατράχων ἀνεφάνης φωνητικώτερος, καὶ ὃ πρώην ἔδει σε πεπραχέναι τοῦτο ὕστερον ἔδρασας; 10

Τί οὖν; Ἐξέπληξας, ἔτρεψας, κατέβαλες τῇ ἀμάχῳ τῶν λόγων ἰσχύϊ σου; Ἀλλ' ὢ τοῦ σοφοῦ σκέμματος! Ὡς πανούργως μετῆλθες ἡμᾶς καὶ ὑπέκλεψας! Ἡμεῖς μὲν γὰρ ἁπλοϊκῶς σε καὶ φιλικῶς μετιέναι ᾠόμεθα· σὺ δέ, ὥσπερ ἐν παρατάξει πολέμου οὐκ εὐθὺς σφαγαὶ καὶ φόνοι κατάρχουσιν, οὐδὲ συσταδὸν πρὸς ἀλλήλους ὁ πόλεμος, οὐδὲ μετὰ κοντῶν ἡ μάχη καὶ ξιφῶν καὶ δοράτων, ἀλλ' ἡγεῖται μὲν ἀκροβολισμός, καὶ σφενδόναι, καὶ τόξα, καὶ λιθάσματα, ἥκει δὲ μετ' ὀλίγον καὶ ὁ πόλεμος, καὶ κρατερὰ συνίσταται μάχη πρὸς ἑκατέρων βαλλόντων καὶ βαλλομένων, παιόντων καὶ παιομένων, καὶ οὕτως πρὸς φυγὴν νωτίζουσι, τὸν αὐτὸν τρόπον ἡμῶν ἀπεπείρασας, οὐκ εὐθὺς πολὺς ἀντιπνεύσας, ὥστ' ἐκπρεμνίσαι καὶ κρημνίσαι καὶ καταβαλεῖν «ἐκ πρώτης» (ὅ φασι) «προσβολῆς», δευτέρᾳ δὲ τοῦτο φυλάξας, ἵν' ἅμα τε προσβάλῃς, καὶ παραχρῆμα καταβάλῃς. 15 20 25

Οὕτως σὺ περιδέξιος καὶ ἄμαχος καὶ ἀκαταγώνιστος· οὗ δόρυ καὶ ἀσπὶς καὶ θώραξ καὶ κόρυς ὁ λόγος· ᾧ χάρις σοφίας καὶ γνώσεως δύναμις· ἧς πάντες ἡττῶνται καὶ πρὸς τούτοις αὐτός· δι' ἧς πάντας ζωγρεῖς τε καὶ κατέχεις ὥσπερ ὑπὸ σαγήνης, καὶ τῷ ἀπροσμάχῳ ταύτης σθένει τὰ μάλιστα καταβάλλονται. 30

11 ὁ – δειλός: cf. Π 33,23–24 ὡς πρώην δειλὸς καὶ ἄκικυς ὢν πρὸς ἡμᾶς γράφειν ‖ **12–13** λαγωοῦ – φωνητικώτερος: Aesop. Λαγωοὶ καὶ βάτραχοι = Fab. 143 ‖ **26–27** ἐκ – προσβολῆς: cf. Euthym. Hagior. Ἱστορία ψυχωφελὴς ἐκ τῆς ἐνδοτέρας τῶν Αἰθιόπων χώρας = Barlaam et Ioasaph 37,76 ἐκ πρώτης, ὃ λέγεται, προσβολῆς cum Ach. Tat. Τὰ κατὰ Λευκίππην καὶ Κλειτοφῶντα 2,10,3 (et 4,14,5) ἐκ τῆς πρώτης προσβολῆς. cf. etiam proverbium CPG I 210 (nr. 83a) et II 145 (nr. 18) ἀπὸ γραμμῆς (= ἀπὸ πρώτης ἀφετηρίας), et Π 144,37–38, Π 146,2–3, Π 195,6, Π 242,5, et Π 287,4

13 προσχήματι corr. K-D: προσσχήματι K ‖ **15** κατέβαλες corr. K-D: κατέβαλας K ‖ **17** ὑπέκλεψας corr. K-D: ὑποκλέψας K

XIII. ⟨Θεόδωρος (?)⟩ Δαλασσηνός

35. Τῷ Δαλασσηνῷ

dum Dalassenus βεστάρχης καὶ στρατηγὸς τοῦ Ὀψικίου vel πρόεδρος καὶ δοὺξ Θεσσαλονίκης καὶ Σερρῶν [ca. a. 1062 – a. 1063] erat?

K-D 264 [L, Cre], Cre 8 [H]

Καὶ ἡ πρὸς ἡμᾶς σου ἀγάπη πολλή, περίβλεπτε κύριέ μου καὶ ἀδελφὲ ἠγαπημένε, καὶ οἱ πεμφθέντες τυροὶ πολλοί, τὸ δὲ γράμμα βραχύ. Ὃ μᾶλλον ἔδει μακρότερον εἶναι καὶ τῷ μέτρῳ τῆς ἀγάπης ἀναλογοῦν· ἡμεῖς γὰρ ὥσπερ ἐν ταῖς ἀπὸ γλώσσης
5 διαλέξεσιν ἀπλήστως ἔχομεν τοῦ ὁμιλεῖν σοι, οὕτως καὶ ἐν ταῖς διὰ γραμμάτων ὁμιλίαις βουλόμεθα ἐπὶ πλεῖον κατατρυφᾶν σου τῆς διαλέξεως. Εἰ δὲ ἀμαθίαν προβαλλόμενος καὶ ἰδιωτείαν, εἰς ὀλίγους στίχους συστέλλειν ἐθέλεις τὰ γράμματα, τὸ μὲν μέτρον τῶν συλλαβῶν φύλαττε, γράφε δὲ συνεχέστερον· σὺ γὰρ οἶδας, ὅτι
10 ἀδόλως σε καὶ καθαρῶς ἠγαπήσαμεν ἀπὸ πρώτης ἐντεύξεως, καὶ φιλίας κρατῆρα ἀθόλωτον ἀλλήλοις ἐκερασάμεθα. Δεῖ οὖν ἀμφοτέρους ἡμᾶς τὰς πρὸς ἀλλήλους συνηθείας τηρεῖν, παρόντας μὲν ταῖς φιλικαῖς ὁμιλίαις, ἀπόντας δὲ ταῖς ἐπιστολαῖς.

Θαρρούντως οὖν ὁμίλει καὶ γράφε ἰδιωτικῶς καὶ ἀφελῶς καὶ
15 (τὸ ὅλον εἰπεῖν) στρατιωτικῶς· μάλιστα γὰρ τοῖς ἁπλοῖς τῶν φίλων γράμμασιν ἐφηδόμεθα, ἢ τοῖς δεινοῖς καὶ σοφιστικοῖς.

XIII Θεόδωρος: cf. Drexl 1941,310, Gautier 1978,87, Cheynet II,427–432, Seibt II,308–309 [nr. 330] ‖ **10** ἀπὸ – ἐντεύξεως: cf. Heliod. Αἰθιοπικά 3,5,4 ὥσπερ τῆς ψυχῆς ἐκ πρώτης ἐντεύξεως τὸ ὅμοιον ἐπιγνούσης (cf. etiam 4,11,2, 5,18,7, et 9,24,8) cum Psel. Περὶ φιλίας πρὸς τοὺς ἀνεψιοὺς τοῦ πατριάρχου κῦρ Μιχαήλ = Or. min. 31,190 et Π 117,13

ep. 35 L 39r–v, H 44r–v; tit. L K-D: om. H Cre ‖ **1–2** περίβλεπτε – ἠγαπημένε H Cre K-D: om. L ‖ **10** σε L K-D: om. H Cre | ἐντεύξεως H Cre: τῆς ἐντεύξεως L K-D ‖ **12** συνηθείας H Cre K-D: συνθήκας L ‖ **14** οὖν H Cre K-D: οὖν καὶ L | ἰδιωτικῶς – ἀφελῶς L K-D: om. H Cre ‖ **15–16** τῶν – ἐφηδόμεθα H Cre K-D: γράμμασιν τῶν φίλων ἐνηδόμεθα L

36. Τῷ Δαλασσηνῷ

dum Dalassenus βεστάρχης καὶ στρατηγὸς τοῦ Ὀψικίου vel πρόεδρος καὶ δοὺξ Θεσσαλονίκης καὶ Σερρῶν [ca. a. 1062 – a. 1063] erat?

S 78 [P]

Τίσι καὶ πόσοις δώροις ἐδεξιώσω τὸν Λίζικα; Πηλίκην δὲ καὶ διάθεσιν πρὸς αὐτὸν ἐνεδείξω; Νὴ τὴν ἄρρητον καλλονήν! οὐ τὰς ἐμὰς μόνον ἀκοὰς τῶν σῶν ἐγκωμίων ἐνέπλησεν, ἀλλὰ δι' ἐμοῦ τὰς τῶν ἁπάντων καὶ τὰς τοῦ βασιλέως αὐτοῦ.

Ἐγὼ μὲν γὰρ ᾔδειν σε καὶ πρὸ τούτου καλόν, τηλικοῦτον δὲ 5 νῦν ἀκριβῶς ἔγνωκα. Ἀξιῶ δέ σε δικαίαν ἀξίωσιν. Εἰ μὲν σὺ τοιοῦτος καλός, ὁ δὲ κριτὴς ἐλάττων ἢ τοῦ δικαστικοῦ ἀνάξιος πράγματος καὶ ὀνόματος, μηδὲν περὶ αὐτοῦ πρὸς τὰς βασιλικὰς ἀκοὰς μήτε γράψῃς νῦν μήτε εἴπῃς εἰσελθών· εἰ δὲ καλὸς καὶ σοφὸς καὶ δίκαιος, ποίησον ἀμφότερα. Ἐμὲ δὲ οὕτως ἐδούλωσας καὶ οὕτως 10 ὑποχείριον ἔσχες, ὡς ἥδιστ' ἂν καὶ παρασταίην σοι καὶ λούσαιμι, καὶ ἄλλό τι τῶν ἐν ὑπηρεσίαις ποιήσαιμι.

Δοίη σοι Κύριος τὸν τῆς φιλίας μισθόν, καὶ ἀγαπήσαι ὡς αὐτὸς ἠγάπησας τὸν κριτήν.

1 τὸν Λίζικα: Anastasius Lizix († ca. a. 1060 [Sideras 1994,135–136]; ca. a. 1070 prop. Gautier 1978,86–91]), nepos Nicolai Scleri (Π LVII), πατρίκιος et βεστάρχης, de quo Psel. Ἐπιτάφιος εἰς ⟨Ἀναστάσιον⟩ = Or. fun. I 8, et Π 85,5–6, Π 150,1, Π 207,24, Π 261,16, Π 263,3, et Π 272,90 ‖ **4** τοῦ βασιλέως: Constantinus X Ducas (imperator: 23/24.XI.1059 – 22/23.V.1067) (Π XVIII)?

ep. 36 L 57r, P 206r; tit. L: om. P S ‖ **5** μὲν L: om. P S ‖ **13** δοίη L: δῴη P S

XIV. ⟨Ῥωμανὸς⟩ Διογένης (ca. a. 1030 – 4.IV.1072)
βασιλεύς (1.I.1068 – a. 1071)

37. Εἰς τὸν Διογένην

a. 1069; eodem tempore ut Τῷ αὐτῷ [scil. Rom. Diog.] ὡς ἐν ἐγκωμίῳ προσχήματι = Or. pan. 19; cf. etiam Π 96 [vid. epistolarum ordinem in K]
K-D 5 [K]

Θεόστεπτε δέσποτά μου καὶ βασιλεῦ, μὴ ἀπιστήσῃς μοι γράφοντι, ὅτι τυφλῷ ἔοικα μικροῦ δεῖν καὶ νεκρῷ ἐστερημένος ὥσπερ φωτὸς καὶ ψυχῆς τῆς σῆς ζωηρρύτου καὶ θείας ὄψεως καὶ ψυχῆς, ἣν ἀναπνέω μᾶλλον ἢ τὸ ἀέρα. Καὶ εἰ μὲν νῦν ταῦτα καὶ
5 λέγω καὶ γράφω μετὰ τὴν ἁλουργίδα καὶ τὸ διάδημα, μετὰ κολάκων συναρίθμει, καὶ χρῶ τῷ ἀκολακεύτῳ σου ἤθει καὶ τῶν τρόπων τῇ σταθηρότητι· εἰ δὲ καὶ πρὸ τῆς βασιλείας ἐκ διαθέσεώς σοι τοὺς ἐπαίνους προσῆγον, καὶ πάλιν τῶν ἄλλων ἀσυγκρίτως προέκρινον καὶ μετὰ συστολῆς ὡμίλουν καὶ τοῦ προσφόρου
10 σεβάσματος (καὶ μάρτυς αὐτὸς ἐφ' οἷς λέγω ἀπαραλόγιστος καὶ κριτὴς τῆς ἐμῆς πρὸς σὲ γνώμης ἀπροσωπόληπτος καὶ ἀδέκαστος), δέχου καὶ νῦν τοὺς ἐμοὺς περὶ σοῦ λόγους, ἀνυπόπτους καὶ ἀληθεύοντας.

Καὶ ποσάκις ἐτόλμησα διὰ γραμμάτων ὁμιλῆσαι τῷ κράτει
15 σου, ἀλλ' ἐπέσχον βίᾳ καὶ τὴν χεῖρα καὶ τὴν γλῶτταν ὁμοῦ, ἵνα μὴ περιττὸς δόξω, ἵνα μὴ ὀχλήσω σχολάζοντί σοι ἐν πράγμασιν. Ἐδάκρυσα πολλάκις καὶ ἐπεστέναξα, ὅτι μηδὲ ἐγγραμμάτου

XIV cf. Psel. Χρονογραφία VII,131–164 (= VIIb,10–43), Εἰς τὸν βασιλέα τὸν Διογένην ὅτε ἐβασίλευσεν = Or. pan. 18, Τῷ αὐτῷ (scil. Rom. Diog.) ὡς ἐν ἐγκωμίῳ προσχήματι = Or. pan. 19, Προσφώνησις πρὸς τὸν βασιλέα κῦρ Ῥωμανὸν τὸν Διογένην παρὰ τῶν πολιτῶν ἐν κλητορίῳ = Or. pan. 20, Συντακτήριος πρὸς τὸν βασιλέα = Or. pan. 21, Λόγος τοῦ ὑπερτίμου ὃς ἐπικέκληται σελέντιος = Or. min. 4, et Π 24,25, Π 25,4, Π 25,20, Π 76,63–64, Π 87,56–57, Π 89,117–118, Π 90,48–49, Π 118,55, Π 119,24, Π 157,73–74, Π 282b,13, Π 283,40, Π 504,5, et Π 508,28

ep. 37 K 68r–v; tit. scripsi: εἰς τὸν αὐτὸν (εἰς τὸν Διογένην = Τῷ αὐτῷ [scil. Rom. Diog.] ὡς ἐν ἐγκωμίῳ προσχήματι = Or. pan. 19) K ⟨Τῷ βασιλεῖ Διογένει⟩ K-D

φωνῆς μηδὲ ἀγράφου ἠξιώθην προσρήσεως, καὶ ταῦτα ἐπὶ τοσαύταις ἀγαθαῖς φήμαις καὶ (‹ἵνα› θαρρήσας εἴπω) ἐπὶ τοσούτοις εὐτυχήμασί τε καὶ κατορθώμασι. Τίς γὰρ ἂν τῶν πάντων μετὰ 20
τὴν μεγάλην ἡμῶν βασιλίδα, τὸ μέγα Ῥωμαίων ὄφελος, ἐπὶ τοῖς σοῖς ἐνταῦθα καλλωπίσαιτο ἀριστεύμασιν; Ἢ τίς ἐμοῦ πλέον ἢ κάλλιον ἐγκωμίοις ταῦτα κατακοσμήσειε; Μὴ γάρ, ὅτι τὸ πᾶν εὐθὺς ἠνώρθωκας καὶ τεθνηκυῖαν τὴν βασιλείαν τῶν Ῥωμαίων ἀνέστησας, ἔλαττόν τι οἴου κατορθῶσαι τῶν πρὸ τοῦ σοῦ κράτους 25
ἀοιδίμων καὶ περιωνύμων αὐτοκρατόρων· ἀλλ' ὅτι σαλευομένην ἀνέστησας τὴν ὑπήκοον σύμπασαν γῆν καὶ κινδυνεύουσαν ὥσπερ ἐν ζάλῃ τοῦ μεγάλου ὑπεξήγαγες κύματος, ὃ δὴ πόρρωθεν κορυφούμενον ἐπῄει πᾶσαν καλύψαι τὴν ἤπειρον, θαρρούντως στεφανωσάμενος θύε τὰ ἀριστεῖα καὶ μονομάχια. Κἂν ἀποσβε- 30
σθέντος τοῦ ἐμπρησμοῦ φλόγες τινὲς ἔτι περιάπτουσι, μὴ ἀθύμει μηδὲ δυσχέραινε, εἰωθότα ταῦτά εἰσι· καὶ ἀνέμου γὰρ ἐν θαλάσσῃ σφοδροῦ ἀποπνεύσαντος, ἠρέμησε μὲν ἡ ὑγρά, τὰ δὲ κύματα, τὸ ἐνδόσιμον ἔτι ἔχοντα τῆς κινήσεως, ἄλλο ἐπ' ἄλλῳ πραείᾳ τῇ φορᾷ ἐπεγείρεται. 35

Ἐγώ σε, κἂν μηδὲν ἄλλο προσθήσεις τοῖς εἰργασμένοις, μετὰ τῶν μεγάλων τάττω ἀγωνιστῶν καὶ τοῖς ἐκ λόγων ἀριστείοις στεφάνοις τὴν ἱεράν σου ἀναδήσομαι κεφαλήν. Οὐκ ἐψεύσθη τῶν ἐπὶ σοὶ ἐλπίδων ἡ θεοστεφὴς ἡμῶν δέσποινα, ἀλλά σε καλῶς τὸν ὑπὲρ ἅπαντας πρὸ τῶν ἄλλων προέκρινε. Καὶ θαυμάζεται καὶ τῆς 40
ἐκλογῆς καὶ τῆς κρίσεως. Καὶ πρὸ τοῦ μέν σε τὸν πολύτιμον μαργαρίτην (ἵν' οὕτως εἴπω) ἐνεπορεύσατο· νῦν δ' εὐχαῖς καθαίρει καὶ δάκρυσιν, ἵνα μηδὲν εἴπω τῶν διὰ σὲ ἀπορρήτων ἐκείνης καὶ ὁλονύκτων στάσεων καὶ δεήσεων. Αὕτη κἀμοὶ παραμυθία ἀρκοῦσα

21 τὴν – βασιλίδα: Eudocia Macrembolitissa (Π XXXVII) | τὸ – ὄφελος: cf. Π 38,21–22, Π 140,42, Π 160,21–22 ‖ **29–30** θαρρούντως – μονομάχια: cf. Psel. Ἕτερος λόγος πρὸς ... Κωνσταντῖνον τὸν Μονομάχον = Or. pan. 4,576–577 κάταγε θρίαμβον καὶ στεφανωσάμενος θῦε τὰ μονομάχεια et Π 22,50–51 οὐδὲ θήσεις Ῥωμαϊκὸν θρίαμβον, οὐδὲ θύσεις τὰ μονομάχια ‖ **41–42** τὸν – ἐνεπορεύσατο: Mt. 13,46 εὑρὼν δὲ ἕνα πολύτιμον μαργαρίτην ἀπελθὼν πέπρακεν πάντα ὅσα εἶχεν καὶ ἠγόρασεν αὐτόν. cf. Psel. Εἰς τὸ εὐαγγελικὸν ῥητόν· 'πνεῦμα ὁ θεός ...' = Theol. I 76,78; cf. etiam Π 60,8

19 ἵνα add. K-D ‖ **30** μονομάχια scripsi: μονομαχεῖα K K-D ‖ **42** μαργαρίτην corr. K-D: μαρμαρίτην K

45 καθέστηκεν· ἀλλ' (ἵνα τἀληθὲς ἐρῶ) σεληναῖόν μοι τὸ φῶς, οὐχ ἡλιακόν. Εἰ δ' ἄμφω θεάσομαι, ἡλιοσέληνός μοι αἴγλη γενήσεται.

38. Πρὸς τὸν Διογένην ἐν ἐκστρατείᾳ διάγοντα

a. 1069

S 3 [P], H-M 17–21 [P]

Εἰ καὶ μὴ τοῖς αἰσθητοῖς ὀφθαλμοῖς, ἀλλά γε τοῖς νοητοῖς εἶδόν σε τῆς Ῥωμαϊκῆς ἐξηγούμενον φάλαγγος καὶ πρὸς τοὺς ἐναντίους μαχόμενον· καὶ σὲ μὲν θαρραλέως ἐπ' αὐτοὺς χωροῦντα καὶ τῷ στρατηγικῷ καταπλήττοντα ἐμβριμήματι, τοὺς δὲ αὐτίκα 5 πίπτοντας καὶ ἀντιστῆναι πρὸς τὴν σὴν μὴ δυναμένους ὁρμήν. Καὶ θαυμαστὸν οὐδέν· ἐγὼ γάρ σε ἐν πολλαῖς ἡμέραις σημειωσάμενος καὶ ἀκριβῶς διαγνοὺς ὅσον τέ σοι τὸ σθένος τῶν βραχιόνων ἐστίν, ὁποῖόν τέ σοι τὸ τῆς ψυχῆς θάρρος καὶ τὸ πρὸς τὰ δεινὰ γενναῖόν τε καὶ ἀήττητον, οὐ Τούρκοις καὶ Ἄρραψιν 10 ἀξιόμαχόν σε τίθεμαί τε καὶ ἀποφαίνομαι, ἀλλὰ καὶ τοῖς περὶ Ἀχιλλέα τε τὸν πάνυ καὶ τὸν Μακεδόνα Ἀλέξανδρον. Πλὴν τοσοῦτον ἐκεῖνοι ηὐτύχησαν ὅσον ὁ μὲν Ὅμηρον, ὁ δὲ τὸν Ἀριστοτέλην ἐπαινέτας ἐσχήκασιν, ἄνδρας δεινοὺς τὴν γλῶτταν καὶ μεγάλα τὰ μικρὰ δυναμένους ποιεῖν· σοὶ δὲ τῷ μεγάλῳ καὶ

46 ἡλιοσέληνός: cf. Procl. Περὶ τῆς καθ' Ἕλληνας ἱερατικῆς τέχνης 149,27 τὸν δὲ ἡλιοσέληνον τῆς συνόδου τῶν φωστήρων τούτων ‖ **3–4** τῷ – ἐμβριμήματι: cf. Psel. Εἰς ... τὸν Διογένην ὅτε ἐβασίλευσεν = Or. pan. 18,54 στρατηγικῷ ἐμβριμήματι καταπλήξεις τὸ βάρβαρον et Προσφώνησις πρὸς ... Ῥωμανὸν τὸν Διογένην παρὰ τῶν πολιτῶν ἐν κλητορίῳ = Or. pan. 20,10–11 φοβερὸν δὲ τοῖς ἀντιμαχομένοις τὸ στρατηγικόν σου ἐμβρίμημα ‖ **14** μεγάλα – ποιεῖν: locus communis, cf. e.g. Bas. Caes. Epist. 339,1 τί οὐκ ἂν εἴποι σοφιστὴς ἀνήρ, καὶ σοφιστὴς τοιοῦτος, ᾧ γε ἴδιον εἶναι τῆς τέχνης ὁμολογεῖται καὶ τὰ μεγάλα μικρὰ ποιεῖν, ὁπότε βούλεται

ep. 38 P 191v–192r, B 141v–142r, p[1] 134–136 (= P); tit. scripsi: πρὸς τὸν αὐτὸν βασιλέα (= Διογένην) ἐν ἐκστρατείᾳ διάγοντα P S H-M τῷ αὐτῷ (= Διογένῃ) ἐν ἐκστρατείᾳ διάγοντι B ‖ **4** ἐμβριμήματι B: ἐμβομβήματι P S H-M, e quo LBG lemma ‖ **10** περὶ : πρὸς S ‖ **12** ὅσον P S H-M: ὅτι B

βασιλεῖ καὶ στρατιώτῃ καὶ στρατηγῷ, ἡ ἐμὴ ψελλίζουσα ἀντ' 15
ἐκείνων ἐξαρκέσει φωνή.

Ἴσθι μέντοι γε, δέσποτά μου καὶ βασιλεῦ, ὡς ἐσείσθη πᾶσα ἡ πόλις τῷ μεγάλῳ σου κατορθώματι, ἐθαύμασαν δὲ σύμπαντες ὅτι μὴ τὴν νίκην ἐκόμπασας, μηδὲ ἦρας τῷ λόγῳ τὸ τρόπαιον, εἰ καὶ μόνος ἐγὼ σάλπιγγος μεγαλοφωνότερον πάσαις ἀκοαῖς τοῦτο 20 διήχησα; Ἡ μέντοι δέσποινά μου καὶ βασιλίς, τὸ μέγα Ῥωμαίων ὄφελος, τὸ τῆς σῆς ψυχῆς ἄγαλμα καὶ καλλώπισμα, ἐπειδὴ τοῦ μεγάλου σου κατορθώματος ἤκουσεν, ἔνθους ὑφ' ἡδονῆς γενομένη καὶ τὰ τῆς χαρᾶς εὐθὺς ἀποστάξασα δάκρυα, χεῖρας ἱκέτιδας πρὸς θεὸν ἤρατο, καὶ τὰς εἰωθυίας ὑπὲρ σοῦ φωνὰς ἀνεφθέγξατο αὔτη 25 [ca. 12 litt.] τροπαίου εἰσεληλυθότα [ca. 9 litt.]. Καὶ πάντα τὰ σὰ ἐφεξῆς ἀνερωτήσασά τε καὶ διδαχθεῖσα, καὶ ἐθαύμασε καὶ ἐδάκρυσεν. Ἐθαύμασε μὲν γὰρ τὴν περὶ πάντα σου σταθηρότητά τε καὶ δεξιότητα καὶ τὸ πρὸς αὐτὴν ἄρρητον φίλτρον, ἐδάκρυσε δὲ ὅτι τοιαύτης στερεῖται ψυχῆς, οἵας δὴ τυχεῖν παρὰ θεοῦ καὶ ηὔξατο 30 καὶ ἐπέτυχε.

Διηγησάμην γὰρ αὐτῇ πρῶτα μὲν ὅν ἔχεις ὑπὲρ τῆς Ῥωμανίας ζῆλον, καὶ ὡς ἀνταλλάττῃ μυρίων θανάτων τὴν τῶν Ῥωμαϊκῶν πραγμάτων διόρθωσιν. Ἐπὶ τούτοις διηριθμησάμην καὶ τὰ λοιπὰ τοῦ σοῦ κράτους πλεονεκτήματα: τὸ στερρὸν τοῦ φρονήμα- 35 τος, τὸ γενναῖον τῆς γνώμης, τὸ πρὸς τοὺς πόνους ἐνδελεχὲς καὶ ἀήττητον, τὴν σύνεσιν, τὴν ὀξύτητα, τὴν εὐγλωττίαν, τὸ εὔχαρι. Προσέθηκα καὶ ἣν ὀφθαλμοῖς αὐτοῖς ἔγνωκα σωφροσύνην, τὸ τῆς

15–16 ἡ – φωνή: cf. infra ll. 52–53 ὑπεψιθύρισα … παραψελλίζων, Π 53,36 ἐγὼ … ψελλίζων, Π 96,8–10 εἰ γὰρ καὶ σύμψελλοι καὶ ὁμόγλωσσοι, ἀλλὰ κρείττων ἡ ἐμὴ γλῶττα τῆς σῆς, et Π 167,52 ἡ καθ' ἡμᾶς ἀηδὼν ἐμμελῶς … ὑποψελλίζει τὸ μέλος. cf. Psel. Omn. doctr. 8 ἐγὼ μὲν εἰμὶ …ὑπόψελλος **21** δέσποινά – βασιλίς: Eudocia Macrembolitissa (Π XXXVII) ‖ **21–22** τὸ – ὄφελος: cf. Π 37,21, Π 140,42, Π 160,21–22 ‖ **23** ἔνθους – γενομένη: Greg. Naz. Κατὰ Ἰουλιανοῦ στηλιτευτικὸς α´ = Or. 4,17 et Εἰς τὸν ἅγιον ἱερομάρτυρα Κυπριανόν = Or. 24,5 ὥσπερ ἔνθους ὑφ' ἡδονῆς γίνομαι. cf. Psel. Βίος καὶ πολιτεία … Αὐξεντίου … = Or. hag. 1c,682–683 et Π 123,29–30 et Π 140,17; cf. etiam Χρονογραφία VII,39 ἔμπνους τε γίνομαι τὴν ψυχὴν et infra Π 551,29

16 ἐξαρκέσει P S H-M: ἀρκέσει B ‖ **19** εἰ P S H-M: εἴπερ B ‖ **25–26** αὔτη – πάντα scripsi: αὔ[ca. 14 litt.] τροπαίου εἰσεληλυθότα [ca. 25 litt.] πάντα lacunas indicavit P S H-M αὔτη. καὶ πάντα B ‖ **27** διδαχθεῖσα P S H-M: ἀναδιδαχθεῖσα B ‖ **34** διηριθμησάμην P S H-M: διηγησάμην B

ζωῆς διηκριβωμένον καὶ ἐγκρατές, οὐ κοσμῶν λόγοις τὰ σά, ἀλλ'
40 ὑπὸ τούτων τοὺς ἐμοὺς λόγους κοσμῶν· ἐγὼ γὰρ εἴτε τοῦ ἀληθοῦς
εἰκαστὴς ἢ θεατὴς ἐγενόμην, εἴτε καὶ πέπονθά τι πρὸς τὰ τῆς σῆς
ψυχῆς ἰδιώματα, πάντων τῶν ἐπαινουμένων ἀφέμενος ἀσυγκρί-
τως σε ὧν ὀφθαλμοῖς αὐτοῖς εἶδον, ὧν ἐξ ἀκοῆς οἶδα προτίθημι. Ἡ
δέ γε δέσποινά μου καὶ βασιλίς ὅτι μὲν πᾶν μέτρον ἀγάπης
45 πεπλήρωκεν ἐπὶ σοὶ ἐπίσταμαι ἀκριβῶς· τοσοῦτον δὲ αὐτῇ κἀγὼ
συνετέλεσα, ὅτι ῥητορικώτερον καὶ λαμπρότερον τὰ σὰ διηγησά-
μην αὐτῇ προτερήματα.

Ταῦτα καὶ τῷ ἁγιωτάτῳ πατριάρχῃ ἠχούσῃ τῇ γλώττῃ καὶ
οὐρανίῳ διήγγειλα, καὶ τῇ συνόδῳ πάσῃ καὶ τῇ συγκλήτῳ καὶ
50 κοινῇ καὶ καθ' ἕνα διηκρίβωκά τε καὶ διετράνωσα, μηδὲ τὴν
κοινὴν καὶ δημωδεστέραν ἀκοὴν ἀμέτοχον τούτων καταλιπὼν καὶ
ἀνήκοον. Ὑπεψιθύρισα ταῦτα τῷ νέῳ βασιλεῖ καὶ δεσπότῃ μου τῷ
καλῷ Διογένει, παραψελλίζων αὐτῷ πρὸς τὸ οὖς τὰ τοῦ πατρὸς
ἀγαθά· ἐφ' οἷς καὶ ἀνεπαισθήτως φυσικῷ τινι καὶ ἀρρήτῳ λόγῳ,
55 ἀνεσκίρτησέ τε καὶ προσεγέλασεν.

Ἐγὼ γάρ, θεόστεπτε δέσποτά μου καὶ βασιλεῦ, δύο ταῦτα ἐν
τῇ ἐμῇ ψυχῇ τοῦ σοῦ κράτους δεξάμενος, ἀλήθειάν τε τῶν σῶν
προπορευομένην χειλέων, καὶ προσπάθειαν ἄρρητον ἐπ' ἐμὲ
χεομένην παρὰ τῆς σῆς ἁγίας ψυχῆς, οὐ παύσομαι μέχρι παντὸς
60 πρὸς ταῦτα διαμαχόμενος. Καὶ τῶν μὲν ἔργων τοῦ ἐνθέου κράτους
σου ἡττηθήσομαι, νικήσω δέ σε τοῖς ῥήμασι καὶ τοῖς ἀπὸ γλώττης
καὶ τοῖς ἀπὸ τῆς χειρός· ὥσπερ γὰρ σύ μ' ἐποίησας ζηλωτὸν διὰ
πάσης ἡμέρας ἐγκωμιάζων καὶ τῶν ἄλλων ἀσυγκρίτως προκρί-
νων, οὕτω δή σε κἀγὼ τῶν ἄλλων βασιλέων ὑψηλότερον θήσω,

48 τῷ – πατριάρχῃ: Ioannes Xiphilinos (patriarcha: 1.I.1064 – 2.VIII.1075) (Π L) ‖ **52–53** ὑπεψιθύρισα … παραψελλίζων: cf. supra ll. 15–16 ἡ ἐμὴ ψελλίζουσα … ἐξαρκέσει φωνή, Π 53,36 ἐγὼ … ψελλίζων, Π 96,8–10 εἰ γὰρ καὶ σύμψελλοι καὶ ὁμόγλωσσοι, ἀλλὰ κρείττων ἡ ἐμὴ γλῶττα τῆς σῆς, et Π 167,52 ἡ καθ' ἡμᾶς ἀηδὼν ἐμμελῶς … ὑποψελλίζει τὸ μέλος. cf. Psel. Omn. doctr. 8 ἐγὼ μὲν εἰμὶ …ὑπόψελλος ‖ **52–53** τῷ[1] – Διογένει: Λέων Διογένης? (cf. Ann. Comn. Ἀλεξιάς IX 6,1)

41 εἰκαστὴς ἢ : εἰκα[ca. 5 litt.] B ‖ **42** ἐπαινουμένων ἀφέμενος : ἐπαινουμ[ca. 10 litt.] B ‖ **44** *δέσποινά – καὶ* : [ca. 10 litt.] B | *μέτρον* P S H-M: *μέρος* B
45 τοσοῦτον – κἀγὼ : τοσ[ca. 12 litt.]γὼ B ‖ **48** ταῦτα καὶ: [ca. 8 litt.] B
59 ἁγίας ψυχῆς P S H-M: ψυχῆς τῆς ἁγίας B ‖ **62** τοῖς B corr. S H-M: τῆς P
ζηλωτὴν S

βιβλίον ἐξενεγκὼν ἐπὶ σοί, οἷόν τινα λειμῶνα γέμον ἀνθέων καὶ χάριτος. Προσεκύνησα δὲ πολλάκις ἐφ' οἷς οὐκ αὐτὸς μόνος ἀγαπᾷς τε καὶ ἐλεεῖς, ἀλλὰ καὶ τὴν δέσποιναν ὑπὲρ ἐμοῦ ἀξιοῖς (ὢ τῆς ὑπερβαλλούσης σου ἀγαθότητος!), ὁ φωστήρ, ὁ ἄδυτος ἥλιος πρὸς τὴν ὑπερφαῆ σελήνην, ὑπὲρ τίνος; ὑπὲρ ἐμοῦ τοῦ τεθνηκότος κυνός. 65 70

Ἐπὶ πᾶσιν, ἐπάνελθέ μοι ταχέως, τὸ τῶν τροπαίων συμπέρασμα τῷ ἐπιόντι ταμιεύσας καιρῷ.

39. Ῥωμανῷ βασιλεῖ τῷ Διογένῃ (L) / Ἐπιστολὴ παραμυθητικὴ πρὸς τὸν Διογένην ὅτε ἐτύφλωσαν αὐτόν· ἔοικε δὲ ἡ γραφὴ τῆς παραμυθίας ἐκ προστάγματος γεγονέναι τοῦ βασιλέως κυροῦ Μιχαὴλ τοῦ Δούκα (K)

post 29.VI.1072

S 82 [P], C-M 6, H-M 49–51 [P], Spy 279–281 [a7]

Ἀπορῶ παντάπασι, γενναιότατε καὶ θαυμασιώτατε ἄνθρωπε,

65–66 βιβλίον – χάριτος: cf. Π 504,7–9 ζῶ ἐπὶ τοῖς βιβλίοις ... ὥσπερ ἐν πολυανθεῖ λειμῶνι γενόμενος ‖ **67** ἀλλὰ – ἀξιοῖς: cf. Π 157,73–78 ὁ δὲ νῦν τὸ κράτος παρὰ θεοῦ εἰληφώς, ὁ πᾶσι βασιλεῦσιν ἀνθάμιλλος ἢ ἀπαράμιλλος, ποίας ὑπὲρ ἐμοῦ φωνὰς οὐκ ἀφίησι; τίνος τιμῆς οὐκ ἀξιοῖ; ποίαις οὐ χρῆται πρὸς τὸ σὸν κράτος ὑπὲρ ἐμοῦ μεσιτείαις; ποίας οὐ ποιεῖται τὰς ἀξιώσεις; οἶδε γὰρ ὑπὲρ τίνος καὶ πρὸς τίνα παρακαλεῖ cum De Vries-Van der Velden 1997,292 ‖ **68** ὁ2 – ἥλιος: cf. Π 39,21 καταυγάσει σε ἄδυτος ἥλιος **69–70** ὑπὲρ2 – κυνός: II Reg. 9,8 τίς εἰμι ὁ δοῦλός σου, ὅτι ἐπέβλεψας ἐπὶ τὸν κύνα τὸν τεθνηκότα τὸν ὅμοιον ἐμοί; cf. Π 137,15–16

65 οἷόν: ἴων prop. Mil 266 ‖ **66–67** μόνος – ἐλεεῖς P S H-M: ἀγαπᾷς τε καὶ ἐλεεῖς μόνον B ‖ **ep. 39** L 1r–2r, K 61r–62r, P 207r, Y 46v (des. mut.), C 202r–203v, p1 146–147 (= P), p2 121v–123v (= C-M), a7 97r–98r (= C-M), a9 (= C-M), b2 245r–249r (= C-M), t 128r–130r (= C-M); tit. L et K: πρὸς τὸν Διογένην ὅτε ἐτυφλώθη P S τοῦ σοφωτάτου κυροῦ Μιχαὴλ τοῦ Ψελλοῦ εἰς τὸν βασιλέα τὸν Διογένην ὅτε ἐτυφλώθη Y τοῦ αὐτοῦ πρὸς τὸν βασιλέα τὸν Διογένην μετὰ τοὺς ὀφθαλμοὺς αὐτοῦ ἐκκοπῆναι C πρὸς τὸν βασιλέα τὸν Διογένην μετὰ τοὺς ὀφθαλμοὺς αὐτοῦ ἐκκοπεῖναι, ἐπιστολὴ παραμυθητικὴ C-M om. H-M ‖ **1** παντάπασι L K P Y S H-M: παντάπασιν ἐπὶ σοὶ C C-M γενναιότατε – θαυμασιώτατε L K P S H-M: σοφώτατε καὶ θαυμασιώτατε Y θαυμασιώτατε καὶ γενναιότατε C C-M

πότερον ὡς δυστυχέστατόν σε ἄνθρωπον ἀποκλαύσομαι, ἢ ὡς εὐκλεέστατον θαυμάσομαι μάρτυρα. Ὅταν μὲν γὰρ ἀποβλέψω εἰς τὰ ἐπενεχθέντα σοι λυπηρά, ἀριθμὸν καὶ δύναμιν ὑπερβαίνοντα,
5 μετὰ τῶν ἀτυχεστάτων συναριθμῶ· ὅταν δὲ τὴν γνώμην σου ἐνθυμηθῶ τὴν ἀναίτιον, καὶ τὴν ὑπὲρ τοῦ καλοῦ προθυμίαν, μετὰ τῶν μαρτύρων συγκαταλέγω. Εἰ δὲ καὶ μετὰ τὰς μυρίας κακώσεις ἔτι μείνης μεγαλοψυχῶν καὶ εὐχαριστῶν τῷ θεῷ, ὑπὲρ τὴν τάξιν σὲ τίθημι τὴν μαρτυρικήν· οὐ γὰρ οἶδα εἴ τις ἕτερος ἄνθρωπος
10 τοσούτων ἐπειράθη κακῶν, καὶ ταῦτα ἐπὶ πᾶσιν ἀναίτιος.

Τοσοῦτον δὲ γνῶθι παρ' ἐμοῦ, θειότατε ἄνθρωπε, ὅτι πάντα τὰ ἐν τῷ βίῳ γινόμενα τῆς θείας προνοίας καὶ οἰκονομίας ἐξήρτηνται, καὶ οὐδὲν ἀλόγιστον, οὐδὲν ἀπρονόητον, ἀλλὰ πάντα ἐποπτεύει ὁ ἀκοίμητος ὀφθαλμός, καὶ ἀντὶ τῶν ἐνταῦθα ἐπιπόνων
15 καὶ δυσχερῶν μεγάλας ἀντιδόσεις τοῖς ὑπομείνασι ταμιεύεται. Οἶδα μὲν γὰρ ὅτι δριμὺ τὸ στερηθῆναι φωτός, καὶ ταῦτα ἐπιπόνως οὕτως, καὶ ἐπὶ πολλαῖς προηγησαμέναις κακώσεσιν. Ἀλλ' αὖθις ἐπίσταμαι ὅτι μέγα τὸ ἀπολαῦσαι τοῦ θείου φωτός, ὅπερ

13–14 πάντα – ὀφθαλμός: locus communis; cf. Psel. Χρονογραφία Ep. 3,4–5

2 σε ἄνθρωπον L K P S H-M: ἀνθρώπων σε Y om. C C-M | ἀποκλαύσομαι L K P Y S H-M: om. C C-M ‖ **3** θαυμάσομαι μάρτυρα K P Y S H-M: [ca. 17 litt.] L ἀποκαλέσομαι C C-M | μὲν L P Y C C-M S H-M: om. K ‖ **5** συναριθμῶ L K P Y S H-M: ἀριθμῶ C C-M | ὅταν L K P Y S H-M: ὁπόταν C C-M ‖ **6** καλλοῦ C **7** κακώσεις K P Y S H-M: om. L κακώσεις καὶ τιμωρίας C C-M ‖ **8** ἔτι K P C C-M S H-M: om. L καὶ ἔτι Y | θεῷ K P Y post corr. C C-M S H-M: om. L κυρίῳ ante corr. C ‖ **9** τίθημι P Y C C-M S H-M: om. L τίθεμαι K ‖ **7–9** εἰ δὲ – μαρτυρικήν K P Y C C-M S H-M: om. L ‖ **9** ἕτερος L K P Y S H-M: om. C C-M ‖ **10** τοσούτων – κακῶν : ἐπειράθη τοσούτων κακῶν C-M ‖ **11** τοσοῦτον δὲ γνῶθι παρ' ἐμοῦ L K: τοῦτο δὲ γνῶθι παρ' ἐμοῦ P C C-M S H-M πληροφορήθητι δὲ ἐξ ἐμοῦ Y | θειότατε L K P S H-M: θειότατε καὶ θαυμασιώτατε Y θειώτατε C C-M ‖ **12** προνοίας – οἰκονομίας K P Y C C-M S H-M: οἰκονομίας καὶ προνοίας L ‖ **13** ἐξήρτηνται L K P S H-M: ἐξήρτηται Y C C-M | ἀλόγιστον … ἀπρονόητον L K P Y S H-M: ἀπρονόητον … ἀσυλλόγιστον C C-M | οὐδὲν[2] L: καὶ οὐδὲν K οὐδὲ P Y C C-M S H-M ‖ **14** ἐποπτεύει L K P Y S H-M: κατοπτεύει C C-M ‖ **15** ἀντιδόσεις L P Y S H-M: τὰς ἀντιδόσεις K C C-M | ὑπομείνασι L K P Y post corr. C C-M S H-M: ὑπομένουσι ante corr. C **16** μὲν L K P Y S H-M: om. C C-M ‖ **16–17** ταῦτα – οὕτως L K P Y S H-M: οὕτως ἐπιπόνως C οὕτως ἐπίπονον C-M ‖ **17** κακώσεσιν L K P Y S H-M: κολάσεσιν C C-M ‖ **18** ἐπίσταμαι : [.....]μαι L | ὅτι K P C C-M S H-M: ὡς L Y τὸ ἀπολαῦσαι : [ca. 8 litt.]αι L | φωτός : [.]ωτός K

ἤδη προητοιμάσθη σοι, καὶ ὅσον οὔπω χορηγηθήσεται τῇ καρδίᾳ σου· ἀνάψει γὰρ ὁ θεὸς ἐν τῇ ψυχῇ σου ἀκήρατον φῶς, καὶ 20
καταλάμψει σε ἡμέρα σωτήριος, καὶ καταυγάσει σε ἄδυτος ἥλιος· καὶ μισήσεις μὲν τοῦτο τὸ ἡλιακὸν πῦρ, ἀγαπήσεις δὲ τὸ νοητὸν ἐκεῖνο καὶ ἀπόρρητον φῶς.

Δὸς αἶνον τῷ θεῷ ὅτι, ἄνθρωπον ὄντα σε, ἄγγελον ἀπειργάσατο· καὶ ὀμμάτων σε στερηθέντα τοῦ κρείττονος φωτὸς κατηξίωσε, 25
καὶ ἔταξε μετὰ τῶν γενναίων αὐτοῦ ἀθλητῶν· καὶ τὸ ἐπίκηρον ἀφελόμενός σε διάδημα, οὐρανοπλόκῳ στεφάνῳ σὲ κατεκόσμησεν. Ἐνθυμήθητι τὸ μέλλον κριτήριον τοῦ θεοῦ, ὅτι οἱ μὲν τὰ πολλὰ εὐτυχήσαντες ἐνταῦθα, ἢ παντελῶς τῆς ἐκεῖσε δόξης ἀπελαθήσονται, ἢ τιμῆς βραχείας ἀξιωθήσονται· σὺ δὲ ἐν δεξιᾷ 30
σταθήσῃ τοῦ δικαστοῦ λαμπρὸς λαμπρῶς ἐστεφανωμένος μαρτυρικῷ διαδήματι, ἀνεῳγμένοις τοῖς ὀφθαλμοῖς τὰ θεῖα κατοπτεύων

21 ἡμέρα σωτήριος: cf. Psel. Εἰς ... τὸν Διογένην ὅτε ἐβασίλευσεν = Or. pan. 18,3 νῦν ἡμέρα σωτήριος | ἄδυτος ἥλιος: cf. Π 38,68 ὁ ἄδυτος ἥλιος (scil. Romanus IV Diogenes) ‖ **27** οὐρανοπλόκῳ στεφάνῳ: cf. e.g. AHG Sept. 30,35,2,24

19 ὅσον : ὃς C | οὔπω : [....] L ‖ **20** ἀνάψει L K P C C-M S H-M: ἐπανάψει Y ὁ – φῶς L P C C-M S H-M: ἐν τῇ ψυχῇ σου ἀκήρατον φῶς ὁ θεὸς K Y **21** καταλάμψει ... καταυγάσει: K P Y C C-M S H-M: καταυγάσει ... καταλάμψει L | ἄδυτος ἥλιος : [ca. 8 litt.]ς L | καὶ – ἥλιος L K P Y S H-M: om. C C-M ‖ **22** πῦρ L K P C C-M S H-M: om. Y | ἀγαπήσεις δὲ L P C C-M S: ἀγ[.]πήσεις δὲ K καὶ ἀγαπήσεις Y ‖ **23** φῶς L K P Y S H-M: πῦρ C C-M **24** ὅτι – σε : ὅ[...] L ‖ **24–25** ἀπειργάσατο L Y C C-M: ἀπειργάσ[.]το K εἰργάσατο P S H-M ‖ **25** σε στερηθέντα L K: στερηθέντος σε P S H-M στερηθέντος σου Y ‖ **25–26** καὶ – ἀθλητῶν L K P Y S H-M: om. C C-M ‖ **27** σε L K P Y C-M S H-M: σου C ‖ **28** τοῦ θεοῦ K P Y S: om. L C C-M **29** εὐτυχήσαντες ἐνταῦθα L K P S H-M: ἐνταῦθα εὐτυχήσαντες Y C C-M παντελῶς K P Y S H-M: om. L C C-M | ἐκεῖσε L K: ἐκεῖθεν P Y C C-M S H-M δόξης L K P Y S H-M: δόξης παντελῶς C C-M ‖ **30** τιμῆς βραχείας L K P Y S H-M: βραχείας τιμῆς C C-M | σὺ – δεξιᾷ K P C C-M S H-M: σ[......] δεξιᾷ L σὺ δὲ ἐκ δεξιῶν Y ‖ **31** σταθήσῃ L K P Y S H-M: καθίσεις C C-M | λαμπρὸς L K P S H-M: λαμπρῷ Y om. C C-M ‖ **31–32** μαρτυρικῷ διαδήματι K P Y C C-M S: om. L ‖ **32** ἀνεῳγμένοις – ὀφθαλμοῖς K P S H-M: ἀνε[..]μένοις τ[...] ὀφθαλμοῖς L ἀνεῳγμένων σου τῶν ὀφθαλμῶν Y ἀνεῳγμένους ἔχων τοὺς ὀφθαλμοὺς C C-M

θεάματα. Καταφιλήσουσί σου τὰ πονέσαντα ὄμματα μάρτυρες, κατασπάσονται ἄγγελοι, (θαρρούντως ἐρῶ) καὶ θεὸς αὐτός.

35 Τήν τοσαύτην οὖν χαρὰν ἐνθυμούμενος, ἐπάναγε σεαυτὸν ἐπὶ τὸ εὐθυμότερον· καὶ εὐφραίνου «ἐν τοῖς παθήμασί» σου κατὰ τὸν θεῖον ἀπόστολον. Ἄνθρωπος μὲν γὰρ εἰς πρόσωπον, θεὸς δὲ εἰς καρδίαν ὁρῶν, μερίδα τινὰ θείαν ἐν τῇ ψυχῇ σου διέγνωκε· καὶ ἵνα μὴ συμπνιγῇ ταῖς σωματικαῖς ἀκάνθαις, τὸ μὲν σῶμα βραχὺ 40 διέφθειρε, τὸ δὲ ἀγαθὸν σπέρμα διεφύλαξεν ἀοράτως ἀοράτοις δυνάμεσιν.

Ἐπὶ πᾶσι καὶ πρὸ πάντων, ὄμνυμί σοι θεὸν ὃν ὁ ἀληθὴς πρεσβεύει λόγος, ὅτι ἀθῶος ἡ τοῦ βασιλέως ψυχὴ τοῦ σοῦ πειρα-

36 εὐφραίνου – σου: Col. 1,24 χαίρω ἐν τοῖς παθήμασιν ὑπὲρ ὑμῶν **37–38** ἄνθρωπος – ὁρῶν: Greg. Naz. Εἰς ἑαυτὸν = Or. 36,7 ἄνθρωπος μὲν γὰρ εἰς πρόσωπον, ὁ δὲ θεὸς εἰς καρδίαν. cf. I Reg. 16,7 ἄνθρωπος ὄψεται εἰς πρόσωπον, ὁ δὲ θεὸς ὄψεται εἰς καρδίαν ‖ **38** μερίδα – θείαν: cf. Synes. Cyren. Αἰγύπτιοι ἢ περὶ προνοίας 1,9,2 sqq. ἡ γὰρ θεία μερὶς ... cum Julian. Εἰς τοὺς ἀπαιδεύτους κύνας 4,26 διὰ τῆς ἐνούσης ἡμῖν θείας μερίδος. cf. Π 214,27 **39** συμπνιγῇ ... ἀκάνθαις: iunctura saepe laudata. cf. Psel. Εἰς τὸ 'πῦρ ἦλθον ...' = Theol. I 77,24–25 τὸ ἐν ἡμῖν θεῖον σπέρμα, συμπνιγὲν ταῖς ἀκάνθαις **40** τὸ – σπέρμα: cf. Psel. Λόγος ὅτε προσηνέχθη ἡ ὑπεραγία θεοτόκος εἰς τὰ ἅγια τῶν ἁγίων = Or. hag. 6,52–53 ἡ πρὸς θεὸν ἀπὸ τῶν ἀγαθῶν σπερμάτων ὁμοίωσις ‖ **43** τοῦ βασιλέως: Michael VII Ducas (imperator: IX.1071 – 31.III.1078) (Π XIX)

33 θεάματα L K Y C C-M: μυστήρια καὶ θεάματα fortasse recte P S H-M (cf. Greg. Naz. Ἀπολογητικός = Or. 2,74 τὸν τῶν μεγάλων ἐπόπτην ... μυστηρίων καὶ θεαμάτων) | σου L K P Y S H-M: om. C C-M | πονέσαντα L K Y C C-M: πονήσαντα P S H-M ‖ **34** θαρρ[...]τως L | καὶ K P Y C C-M S H-M: om. L **35** οὖν L K Y C C-M: om. P S H-M | χαρὰν L K P Y S H-M: προμυθίαν C προμυθείαν C-M | ἐπάναγε σεαυτὸν K P S H-M: ἐπανάγαγε σαυτὸν L Y C C-M ‖ **37** ἄνθρωπος L K P C C-M S H-M: ἄνθρωποι Y ‖ **38** μερίδα – θείαν P C C-M S: μερίδα τινὰ L K σπιλάδα τινὰ Y | διέγνωκε K P Y S H-M: διέθηκε L προέγνωκε C προέγνωκεν C-M ‖ **39** συμπνιγῇ L K P C S H-M: συμπνιγεῖς Y συμπνιγῇς C-M | σωματικαῖς L K P Y S H-M: βιωτικαῖς C C-M | σῶμα L K P Y S H-M: γὰρ τοῦτο τὸ C C-M | βραχὺ K P Y C C-M S H-M: om. L ‖ **40** post διέφθειρε folia ceciderunt, itaque epistulae finis deest in Y | τὸ – σπέρμα K P C C-M S H-M: τὴν δὲ ψυχὴν L | ἀοράτως L K P Υ C S H-M: ἀοράτων C-M **42** πᾶσι K P C C-M S H-M: πᾶσι οὖν L ‖ **43** ὅτι K P C C-M S H-M: ὡς L **43–44** τοῦ² – γεγονότος K P S H-M: καὶ πάντῃ τοῦ σοῦ πειρασμοῦ γέγονεν L καὶ πάντως τοῦ γεγονότος C καὶ πάντων τῶν γεγονότων C-M

σμοῦ, καὶ πάντη τοῦ γεγονότος ἀναίτιος. Ὅτε δὲ ἔδοξε κατορθῶ-
σαι τὸ μηδεμίαν προγενέσθαι σοι κάκωσιν, τότε σοι τὸ πειρατή- 45
ριον προσεγένετο.

Ἤλγησεν ἀκούσας τὴν ψυχήν· ἐστέναξε μέγα· ἐθρήνησεν· ἐκόψατο περιπαθῶς· κατήνεγκε δακρύων κρουνούς· ηὔξατο πολλάκις ἀποθανεῖν· ηὔξατο χανεῖν αὐτῷ καὶ τὴν γῆν (μὴ ἀπιστήσης μοι γράφοντι· οὐ ψευδὴς ὁ λόγος, οὐδὲ πρὸς χάριν, 50
ἀλλ' ἀληθὴς καὶ φωτὸς τηλαυγέστερος)· οὔπω παραμεμύθηται, ἀλλ' αὐτὴν ἀπολέγεται τὴν ψυχήν. Ἔχεις καὶ τοῦτο ἱκανὸν παραμύθιον: ἔχεις ὃν ἐφίλεις δεσπότην, ἢ καὶ υἱὸν (εἴποιμι) γνησιώτατον ἅμα καὶ φίλτατον· ἔχεις τὸν παραμυθησόμενον, τὸν ὑπὲρ σοῦ κλαύσαντα, τὸν ἀναπαύσοντα, τὸν ἀγκαλισόμενον καὶ τιμήσοντα. 55

Ἐγὼ δὲ ἐβουλόμην αἵμασιν οἰκείοις ἢ δάκρυσι τὴν παροῦσαν χαράξαι ἐπιστολήν. Ἐπεὶ δὲ οὐκ ἦν δυνατόν, ἔγραψα ὁπωσδήποτε· ἔγραψα, στενάζων μέγα καὶ ὠρυόμενος, ὅτι σε πάντοθεν

56–57 ἐγὼ δὲ – ἐπιστολήν: cf. Psel. Ἐγκωμιαστικὸς εἰς ... Μιχαὴλ τὸν Κηρουλλάριον = Or. fun. I 1,61,86–88 ὁ δὲ ἀποροῦντι ἐῴκει ὅπως ἂν ποιήσαιτο τὴν γραφήν· καὶ ὁ ἐπιτρέψας «μαρτυρικῷ, φησί, ταύτην ἐξύφανον αἵματι» ‖ **58** στενάζων – ὠρυόμενος: Ps. 37,9 ὠρυόμην ἀπὸ στεναγμοῦ τῆς καρδίας μου

44 [..]αίτιος L ‖ **44–45** κατορθῶσαι K P S H-M: om. L C C-M ‖ **45** μηδεμίαν ... κάκωσιν L K P S H-M: μηδεμία ... κάκωσις C C-M | τότε – τὸ[2] [ca. 8 litt.] L ‖ **47** ἤλγησεν: [ca. 7 litt.] L ἤλγησ[..] K | μέγα L K P S H-M: om. C C-M **47–48** ἐθρήνησεν ἐκόψατο K P S H-M: [ca. 10 litt.] L ἐκόψατο C C-M **48** κατήνεγκε : [ca. 9 litt.] L ‖ **48–49** ηὔξατο – ἀποθανεῖν K P C C-M S H-M: om. L ‖ **49** αὐτῷ : [...]ῷ L | μὴ K P C C-M S H-M: καὶ μὴ L ‖ **50** ψευδεὶς C **51** ἀληθὴς καὶ L P C C-M S H-M: om. K ‖ **51–52** οὔπω – ψυχήν K C C-M: om. L οὔπω παραμεμύθηται, ἀλλ' αὐτὴν ἀπολέγεται τὴν ζωήν P S H-M **52** ἱκανὸν : ἱ[..]νὸν L ‖ **52–53** παραμύθιον L K P S H-M: παραμύθημα C C-M **53–54** δεσπότην – παραμυθησόμενον K P S H-M: υἱὸν δεσπότην εἴποιμι καὶ L δεσπότην, ἔχεις τὸν παραμυθησόμενον C C-M ‖ **55** κλαύσαντα L P S: κλαύσοντα K C C-M H-M | τὸν[1] – ἀγκαλισόμενον K P C C-M S H-M: τὸν ἀγκαλισόμενον, τὸν ἀναπαύσοντα L | καὶ τιμήσοντα L K C C-M: τὸν τιμήσοντα P S H-M ‖ **56** δὲ L K: μὲν P C C-M S H-M | παροῦσαν L K P S H-M: οἰκεῖαν C C-M ‖ **57** χαράξαι : [..]ράξαι L | δὲ L K C: δ' P C-M S H-M **58** στενάζων μέγα L K P S H-M: μέγα στενάζων C C-M | καὶ L K P S H-M: ἢ C C-M | ὠρυόμενος L K: ὀδυρόμενος P S H-M ὀρύόμενος C ὁρυόμενος C-M | σε πάντοθεν L K P S H-M: πανταχόθεν σὲ C C-M

περιφυλάξαι σπεύδων καὶ προθυμούμενος, οὐκ ἠδυνήθην ὑπεξελεῖν
60 τῆς ἐπενεχθείσης σοι συμφορᾶς.

XV. ⟨Θεόδωρος⟩ Δοκειανός (ca. a. 1034 – post a. 1080)
ἀνεψιὸς τοῦ βασιλέως ⟨Ἰσαακίου⟩ τοῦ Κομνηνοῦ, ⟨κουροπαλάτης⟩

40. Τῷ Δοκειανῷ, τῷ ἀνεψιῷ τοῦ βασιλέως, λυπουμένῳ ἐπὶ τῇ τελευτῇ τοῦ πενθεροῦ αὐτοῦ

fortasse post 24.IX.1059

S 120 [P]

Οὐκ οἶδα τί γράψω ἢ τί σοι προσομιλήσω, αὐθέντα μου καὶ
ἀδελφέ, ἐπὶ τῇ καταλαβούσῃ σε συμφορᾷ, τίνα δὲ παραμυθίαν
ἐπαγάγω τῇ ἡμέρῳ σου καὶ φιλανθρώπῳ ψυχῇ· εἰ γὰρ αὐτός,
ἀλλότριος ὢν τοῦ γένους, οὐ μετρίως τὸ πάθος ἤνεγκα, τοιούτου
5 βλαστοῦ εὐγενοῦς ἀπορριζωθέντος ἀθρόον, τί ἂν γένοιο, ὁ καὶ
συγγένειαν πρὸς ἐκεῖνον καὶ τὴν ἐντεῦθεν διάθεσιν εἰληφώς τε καὶ

XV cf. Π 143 et Psel. Ἐπαναγνωστικὸν ὡς ἀπὸ τοῦ αὐτοκράτορος τοῦ Δούκα κῦρ Κωνσταντίνου = Or. min. 5,22–24 ὁ δὲ κουροπαλάτης κῦρ Θεόδωρος ὁ τούτου ἀνεψιὸς καὶ ὁ τὰ πάντα θαυμάσιος καὶ εὐγενέστατος Δοκειανός. cf. etiam Varzos 1984,59–61 ‖ **ep. 40** fortasse – 1059: cf. Varzos 1984,60 ‖ **1–9** οὐκ οἶδα – ἀποδύρομαι: cf. Π 31,1–9 οὐκ οἶδα τίνα σοι παραμυθίαν προσάξω τῷ εὐγενεστάτῳ καὶ λαμπροτάτῳ κυρίῳ μου, ἐπὶ τῷ κοινῷ πένθει καὶ ἀπαρηγορήτῳ τοῦ φιλτάτου σου ἀδελφοῦ· εἰ γὰρ οἱ ἀπὸ ψιλῆς θέας ἐγνωκότες ἐκεῖνον οὐ δύνανται φέρειν τὴν συμφοράν, ἀλλὰ στενάζουσι καὶ δακρύουσι, πῶς ἂν αὐτὸς ὑπενέγκῃς τὴν ἀπροσδόκητον ἀκοήν, ὁ ἐκ τῶν αὐτῶν ἐκείνῳ γονέων γεννηθείς, καὶ τοὺς ἐκείνου τρόπους ἐζηλωκώς, καὶ οἷον ἐπ' ἐκείνῳ μόνῳ καὶ ἀναπνέων καὶ ζῶν; ἐγὼ τοιγαροῦν ὁ μὴ προσήκων κατὰ γένος ἐκείνῳ, ὁπότε τὴν ἀγγελίαν τοῦ θανάτου ἀκήκοα, ἄπνους ἐγεγόνειν καὶ ἀκίνητος

59 περιφυλάξαι L K P S H-M: πεφυλάξαι C C-M ‖ **59–60** ὑπεξελεῖν – συμφορᾶς L K P S H-M: ἐπεξελθεῖν τὴν ἐπελθοῦσαν σοι συμφοράν C C-M
ep. 40 L 79v–80v, U 176v–177v, P 217v, p[1] 151–152 (= P); tit. scripsi: τῷ Δοκειανῷ L τῷ ἀνεψιῷ τοῦ βασιλέως, λυπουμένῳ ἐπὶ τῇ τελευτῇ τοῦ πενθεροῦ αὐτοῦ U τῷ ἀνεψιῷ τοῦ βασιλέως ἐπὶ τῇ τελευτῇ τοῦ πενθεροῦ αὐτοῦ P S ‖ **1–2** αὐθέντα – ἀδελφέ U P S: om. L ‖ **6** συγγένειαν U: τὴν συγγένειαν L συγγένειαν τὴν P S

δεδωκώς; Τίς γὰρ ἐκείνου καλλίων, τίς ἡδύτερος, τίς εὐγενέστερος, τίς μετριώτερος; Ἐγὼ δὲ θρηνῶ μὲν καὶ ἐπὶ τούτοις τὸν ἀπελθόντα· ἔτι δὲ μᾶλλον ἀποδύρομαι, ὅτι καὶ πρός με οἰκειότατα διέκειτο, καὶ φιλίαν ἀκριβῆ ἐπεδείκνυε. 10

Τὸ μὲν οὖν γεγονὸς δεινόν· καὶ τίς ἂν ἄλλως εἴποι; πέπτωκε γὰρ δένδρον εὐθαλές, οὐ πρὸ πολλοῦ τὴν γῆν ὑπερβεβηκὸς καὶ ἀναδραμόν, ἀλλ' ἔτι ἀνατρέχον καὶ αὐξανόμενον· πέπτωκε γένους ἔρεισμα, ψυχὴ καὶ ζωὴ γυναικός, καύχημα θυγατρὸς καὶ ἀναψυχή, καὶ τῆς σῆς καλλίστης ψυχῆς ἡδονὴ καὶ παραμυθία. Τίς 15 οὐκ ἐπὶ τούτοις σταλάξει δάκρυον; Τίς οὐ πενθήσει τὴν συμφοράν;

Ἀλλ' ὅμως, φιλοσοφωτάτη ψυχή, οὐκ ἔξω τῆς ἡμετέρας φύσεως τὸ συμβεβηκώς, οὐδὲ ἄγνωστον τὸ πάθος τῷ ἀνθρωπίνῳ γένει καθέστηκεν· ἑκάστῳ γὰρ ἡμῶν τικτομένων, ὁ θάνατος συγκεκλήρωται· καὶ πρὸς τὸ κοινὸν τέλος πάντες ἀγόμεθα· καὶ 20 οὔτε ὁ γένει περίβλεπτος, οὔτε ὁ κάλλει ὡραῖος, οὔτε ὁ δυνατὸς ἐν ἰσχύϊ, οὔτε ὁ σοφός, οὔτε τις ἁπάντων ἐκφυγεῖν τὸν θάνατον δύναται· ἀλλ' οἱ μέν ἐν σπαργάνοις αὐτοῖς, οἱ δέ τῆς ὥρας ἀνθούσης, οἱ δέ καὶ παρηβηκότες ἢ καὶ γηράσαντες. Πάντες δ' οὖν τὸ πικρὸν τοῦτο τοῦ θανάτου ποτήριον πίνομεν. Καὶ ἀλγεινὸν μὲν τὸ 25 πρᾶγμα, φορητὸν δ' ὅμως, ὅτι ὁμοτίμως πᾶσι παρὰ τοῦ θεοῦ δέδοται· ἐπὶ τούτῳ γὰρ κἀκεῖνος ἀπέθανεν, ἵνα καὶ ἀναστήσῃ κειμένους καὶ παραμυθίαν δῷ ἀποθνήσκουσιν.

Ἔπεχε οὖν μοι τὸ δάκρυον· καὶ φιλοσόφησον τὴν συμφοράν, ὡς γενναῖος ὄντως ἀνὴρ καὶ οἷον αὐτὸς ἐπίσταμαι· καὶ μὴ ἀπαγα- 30 γέτω σε τὸ συμβὰν τῆς πρὸς τὸν θεῖον καὶ βασιλέα νεύσεως καὶ

22–23 οὔτε[2] – δύναται: locus communis ‖ **24–25** τὸ – ποτήριον: locus communis ‖ **31** τὸν – βασιλέα: Isaacius Comnenus (imperator: 1.IX.1057 – 22.XI.1059) (Π XXXII)

7–8 τίς[2] – μετριώτερος L U: τίς μετριώτερος, τίς εὐγενέστερος P S **9** ἀποδύρομαι L U: ἐποδύρομαι P S ‖ **10** ἀκριβῆ L U: ἀκραιφνῆ P S ἐπεδείκνυε U: ὑπεδείκνυε L ἐπεδείκνυτο P S ‖ **12** οὐ L U: καὶ P S ‖ **14** ζωὴ L U: πνοὴ P S ‖ **17** φιλοσοφωτάτη L U: σοφωτάτη P S ‖ **18** συμβεβηκώς L U: συμβάν P S | ἀνθρωπίνῳ L U: ἀνθρωπείῳ P S ‖ **20** πάντες ἀγόμεθα L U: ἀγόμεθα ἅπαντες P S ‖ **24** καὶ[1] – γηράσαντες L U: παρηβηκότες, οἱ δὲ καὶ γηράσαντες P S ‖ **25** τοῦτο L U: om. P S ‖ **26** πρᾶγμα U P S: πάθος L **27** δέδοται L U: δίδοται P S | τούτῳ L U: τούτοις P S ‖ **29** φιλοσόφησον – συμφορὰν L U: τὴν συμφορὰν φιλοσόφησον P S

σπουδῆς, ὡς ἐγὼ τοῦτο δέδοικα λίαν, μή τις δαίμων παρεμπεσών, βραχύ τί σε τῆς τοιαύτης ἀπελάσειεν ἐπιμελείας. Μάλιστα δὲ γενοῦ καὶ τῇ ἐκείνου συμβίῳ, καὶ τῇ σῇ μὲν γυναικί, ἐκείνου δὲ
35 θυγατρί, παραψυχὴ καὶ παραμυθία, νῦν μὲν γράφων καὶ ἐν λόγοις παραμυθούμενος, αὖθις δὲ καὶ χερσὶν ὑποστηρίζων καὶ τὴν διὰ τῶν ἔργων παραμυθίαν δεικνύς.

Κἀγὼ μὲν οὖν ὡς ἐκέλευσας πρὸς τὴν ἁγίαν ἀπεληλυθὼς δέσποιναν, τὰ εἰκότα περὶ τῶν γυναικῶν ἐφθεγξάμην. Ἡ δὲ οὐδὲ
40 παρακλήσεως ἐδεῖτο τῆς ἐμῆς· ὅλη γὰρ ἦν τοῦ πάθους, καὶ ἅμα τῷ ἐμὲ προκατάρξασθαι, δάκρυα τῶν ὀφθαλμῶν ἀφῆκε πολλά, οὐχ αὐτὴ μόνη, ἀλλὰ καὶ ἡ πανυπέρλαμπρος σεβαστή· ἐκεῖσε γὰρ τὴν σὴν προσκαλεσάμεναι πενθεράν, καὶ φιλοφρονησάμεναι ὅσα εἰκός, σοφῶς πάνυ καὶ ἐπιτηδείως τὸν τοῦ ἀνδρὸς αὐτῇ ἐξήγγει-
45 λαν θάνατον, ὥσπερ δὴ καὶ τῇ θυγατρὶ αὐτῆς καὶ συμβίῳ σου. Καὶ πρῶτα μέν, συνέκλαυσαν καὶ συνεθρήνησαν· εἶτα δὴ παρεμυθήσαντο, καὶ τὰ τοῦ καιροῦ ἐφθέγξαντο πρὸς αὐτήν. Ἐγὼ δὲ εἶδον μὲν οὐκέτι τὴν σὴν πενθεράν, πᾶσαν ἀποστρεφομένην ἔτι διὰ τὸ πάθος καὶ θέαν καὶ φωνήν· θεάσομαι δὲ κατὰ καιρὸν ὡς ἐκέλευσας,
50 καὶ τὰ εἰκότα παρηγορήσω.

Καὶ ταῦτα μὲν οὕτως. Τὴν δὲ γραφήν σου ἀναγνούς, καὶ πληροφορηθεὶς τὴν εἰς ἐμὲ τοῦ βασιλέως διάθεσιν, εὐθὺς ἐξανέστην, καὶ τὴν γραφὴν πρὸς αὐτὸν ἐξαπέστειλα. Καὶ νὴ τὴν ἱεράν σου ψυχήν! καὶ πολλάκις ἐβουλήθην καὶ ἄνθρωπον ἐμὸν αὐτόθι
55 ἐξαποστεῖλαι μετὰ τῶν ἀπὸ τῆς Πόλεως ἀγαθῶν· καὶ ἵνα σοι τἀληθὲς εἴπω, καὶ πέπομφα καὶ αὖθις ἐπέσχον, εὐλαβούμενος ἵνα

39 δέσποιναν: Aecaterina (Π I), uxor Isaacii

32 δέδοικα λίαν L U: καὶ λίαν δέδοικα P S ‖ **33** ἀπελάσειεν L P S: ἀπελάσῃ U **34** γενοῦ L U: om. P S ‖ **35** παραμυθία L U: παραμυθία γενοῦ P S ‖ **37** δεικνύς L U: ὑποδεικνύς P S ‖ **38** μὲν οὖν U: δ' οὖν L μὲν P S ‖ **38–39** πρὸς – δέσποιναν U P S: πρὸς τὴν δέσποιναν ἀπεληλυθὼς L ‖ **39** περὶ L U: παρὰ P S ‖ **40** ἦν L U: om. P S ‖ **42** αὐτὴ μόνη L U: αὕτη μόνον P S | πανυπέρλαμπρος U P S: ὑπέρλαμπρος L ‖ **43** προσκαλεσάμεναι L U: προσκαλεσαμένη P S φιλοφρονησάμεναι L U: φιλοφρονήσασα P S ‖ **44–45** ἐξήγγειλαν L P S: ἐξήγγειλε U ‖ **45** θυγατρὶ L U: κόρῃ P S ‖ **47–50** ἐγὼ – παρηγορήσω L U (cf. Malt[5],27 et Malt[2],190–191): om. P S ‖ **51** ἀναγνούς U P S: διαγνούς L **52–53** ἐξανέστην L P S: ἐξανέστη U ‖ **54** καὶ[1] U P S: om. L | ἐβουλήθην L U: ἠβουλήθην P S ‖ **54–55** αὐτόθι ἐξαποστεῖλαι L U: ἀποστεῖλαι αὐτόθι P S **55** καὶ ἵνα U P S: ἵνα δέ L

μή με ἡγήσηται ὁ βασιλεὺς κόλακά τε καὶ περιττόν· τοιαύτην μοι δειλὴν ἀπεκλήρωσε ψυχὴν ὁ θεός. Εὔχομαι δὲ παυθῆναί ποτε τὰ γράμματα, καὶ ἐπανελθεῖν ὑμᾶς εἰς τὴν μεγαλόπολιν ταύτην, εὐθυμοῦντας καὶ ὑγιαίνοντας, καὶ τῶν πολιτικῶν πραγμάτων 60 ἅπτεσθαι, καὶ πόρρωθεν τὰς τῶν βαρβάρων ἀναστέλλειν ὁρμάς.

41. Τῷ Δοκειανῷ, τῷ ἀνεψιῷ τοῦ βασιλέως τοῦ Κομνηνοῦ

ante 22.XI.1059, fortasse Oct.–Nov. 1059; eodem tempore ut Π 142, Π 1, et Π 251 [vid. epistolarum ordinem in L], Π 1 et Π 389 [vid. epistolarum ordinem in P], et etiam Π 391

S 113 [P]

Ἐγώ σε καὶ φεύγοντα διώκω, καὶ μὴ πάνυ φιλοῦντα φιλῶ, καὶ ἀμνημονοῦντος οὐκ ἐπιλέλησμαι, λαμπρότατε καὶ περίβλεπτε καὶ πᾶν εἴ τι κάλλιστον ὄνομα. Ἀλλὰ πῶς ἔχει ὁ ἐμὸς αὐθέντης, ἡ ταχεῖα φρήν, ἡ πτερωτὴ νόησις, ἡ ἁπλουστάτη ψυχή, τὸ ἀκολάκευτον φρόνημα; Πῶς ἔχει ὁ ἐμὸς φίλτατος ἀδελφός; 5 Ἀπολαύεις πάντως τῶν φίλων κυνηγεσίων, τῶν ἐξ ἀέρος, τῶν ἀπὸ γῆς, (εἰπεῖν δὲ) καὶ τῶν ἀπὸ θαλάττης; Καὶ ἀπολαύοις καὶ τούτων καὶ τῶν ἑτέρων ὧνπερ ἐρᾷς, καὶ πρὸ πάντων, τοῦ χρηστοτάτου καὶ φιλανθρώπου βασιλέως ἡμῶν.

Ἐγὼ δὲ τεθαρρηκώς, βραχύ τι γραμμάτιον πρὸς τὸ κράτος 10 αὐτοῦ ἐξαπέσταλκα, κατὰ τὰς σὰς ὑποθήκας ποιῶν· ὃ εἰ μὲν ἡδέως ἀναγνοίη, καὶ αὖθις καὶ πολλάκις τοῦτο ποιήσω, εἰ δ' ἀηδῶς, ἴσως ἐφέξω τὴν γλῶτταν.

9 βασιλέως: Isaacius Comnenus (imperator: 1.IX.1057 – 22.XI.1059) (Π XXXII)

61 ἅπτεσθαι L U: ἐφάπτεσθαι P S ‖ **ep. 41** L 83r, P 215r; tit. scripsi: τῷ Δοκειανῷ L τῷ ἀνεψιῷ τοῦ βασιλέως τοῦ Κομνηνοῦ P ‖ **1** μὴ P: om. L ‖ **6** τῶν[2] P: καὶ τῶν L ‖ **10** δὲ L: om. P ‖ **11** ἐξαπέσταλκα L: ἐξαπέστειλα P

XVI. ⟨Ἀνδρόνικος Δούκας (ante a. 1045 – a. 1077)⟩

42. ⟨Ἀνδρονίκῳ τῷ Δούκᾳ (?)⟩

post Aug. 1071 [cf. Psel. Χρονογραφία VII,159–161 (= VIIb,38–40)]?

S 145 [P], H-M 46–48 [P]

Οὐ θαυμάζω τοσοῦτον ὅτι νενίκηκας καὶ τῶν πολεμίων ἐκ περιουσίας κεκράτηκας, γενναιότατε καὶ στρατηγικώτατε καὶ ἐμοὶ φιλτάτη καὶ χρυσῆ κεφαλή, ἀλλ' ὅτι καὶ οὕτως καὶ μετὰ τοσούτου τοῦ ἀξιώματος καὶ τῆς στρατηγικῆς ἀγχινοίας καὶ τῆς
5 πρὸς τοὺς πολέμους δεινότητος. Ἐπαινῶ σου τὰς ἐφόδους, καὶ τὰς προόδους, καὶ τὰ κλέμματα, καὶ τὰ πλάσματα, καὶ τὸ ἐγκάρδιον ἐνθύμημα, καὶ τὴν ἐσχηματισμένην ῥοπήν· καὶ θαυμάζω σου τοὺς ἀγῶνας, καὶ τὸν συνασπισμόν, καὶ τὴν φάλαγγα, καὶ τὰ πρὸ τῶν τροπαίων σχήματα, τὴν πύκνωσιν, τὴν διαίρεσιν ἑκατέρω τὼ κέρα
10 [ca. 10 litt.] καὶ τῶν ἐναντίων, ἢ ἐναλλάξ, ἢ ἑκατέρωθεν, ὧν τὸ μὲν «[ὑπερ]κέρασιν», τὸ δὲ «κύκλωσιν» ὀνομάζουσιν οἱ περὶ ταῦτα δεινοί· οὐ γὰρ συμβὰν οὕτω ἢ περιπτωτικῶς ἢ ἀπὸ τοῦ πρώτου παραστάντος καλλίνικος καὶ τροπαιοφόρος ἀνεδείχθης ἡμῖν, ἀλλ' ἀπὸ στρατηγικῶν βουλευμάτων, ἀπὸ τακτικῶν κινημάτων, ἀπὸ
15 τάξεων καὶ διαιρέσεων καὶ γενναίων ἀγώνων, καὶ οἷοις στρατηγικὴ καταστέφεται κεφαλή.

Τέως δὲ ἐν μετεώρῳ πάντες ἑστήκαμεν ἐπ' ἀμφότερον τὰς γνώμας διῃρημένοι καὶ πρὸς τὴν αὐτόθεν περιχαίροντες ἀγγελίαν. Οἱ δὲ πλείους ἡμῶν καὶ φωνῶν θειοτέρων ἀκούειν ἔδοξαν

XVI cf. Psel. Χρονογραφία VII,157 (= VIIb,36), Ἑτέρα μονῳδία εἰς τὸν Ἀνδρόνικον τὸν Δούκαν = Or. fun. I 6, Τίνα τρόπον ὁ Πλάτων οἴεται εἰσοικίζεσθαι τὰς ψυχὰς τοῖς τῶν ἀλόγων ζώων σώμασι, πρὸς τὸν εὐσεβέστατον βασιλέα κῦρ Ἀνδρόνικον = Phil. min. II 29, et Π 31,tit., Π 44,13, et Π 67,42. cf. etiam Polemis 1968,55–59 ‖ **10–11** τὸ – κύκλωσιν: cf. e.g. Ps.-Mauric. Τακτικὰ στρατηγικά 2,4,1,2 ὑπερκεράσεις καὶ κυκλώσεις

ep. 42 P 221v–222r, p[1] 156–157 (= P); tit. scripsi: om. P τῷ Κομνηνῷ τῷ βασιλεῖ p[1] ⟨Πρὸς Ἀνδρόνικον τὸν Δούκαν ἐπὶ τὸν βασιλέα Ῥωμανὸν τὸν Διογένην στρατευόμενον⟩ S ‖ **10** lacunam indicavit P S ‖ **11** ὑπερκέρασιν scripsi: [spatium ca. 3 litterarum indicavit P]κέρασιν P κέρασιν S e quo falsum LBG lemma

(ναὶ νὴ τὴν τριπόθητόν σου καὶ μεγαλοπρεπεστάτην ψυχήν!), τὸ 20
σὸν ἐπαγγελομένων ὀνομαστὶ τρόπαιον καὶ κατόρθωμα· οὕτως ἐν
τοῖς ἄνω βιβλίοις ἐγγέγραψαι, ἢ μᾶλλον ἄνωθεν τῶν ἀριστείων
εἴληφας τὰ ἐνδόσιμα. Καὶ σὺ μὲν οὔπω, ὅτι καὶ ἡ τοῦ ὄφεως
συντέτριπται κεφαλή, καὶ τὸ εὐάγγελον τοῦτο κατήγγειλας
κήρυγμα. Τὸ δὲ ἤδη ἐκ τῶν ἄνωθεν ἡμῖν ἐξεχύθη πηγῶν· οὐ γὰρ 25
ἦν, τοῦ δρακοντείου διασπαρέντος ὁλκοῦ, μὴ καὶ τὴν ἀρχέκακον
κεφαλὴν ἐντετρίφθαι, ἵν' ὅλος ᾖ ὁ θὴρ κατηνθρακωμένος τῷ σῷ
κεραυνῷ, καὶ ταῦτα οὐδὲ βαθὺν οὐδ' ἀόρατον ἀλλ' ὑψηλὸν καὶ
προὖπτον ὑπεισελθὼν φωλεόν, ὅλην μὲν τὴν λεβηρίδα περιδεδυμέ-
νος, βραχὺν δὲ τοῖς ὀδοῦσι κατεσπαρμένον ἔχων ἰόν. 30

Σὺ μὲν οὖν, ὁ χρυσοῦς τὴν χεῖρα, μᾶλλον δὲ ὁ σιδηροῦς τοὺς
βραχίονας καὶ τὸ στῆθος χαλκοῦς, ὁπότε σοι βουλητὸν τὴν τελευ-
ταίαν ἀγγελίαν ἡμῖν ἐκφωνήσειας. Ἐγὼ δὲ ἤδη σοι καὶ τὴν ἀπὸ
τῶν λόγων εὐφημίαν πλέκω ὡς ἐπὶ τελείῳ τῷ κατορθώματι, καί
σοι ἀκήρατον στέφανον ἐξ Ἀττικῶν συνηρμοσμένον λειμώνων 35
ἐπιθήσω τῇ κεφαλῇ.

Ἀλλά μοι τὸν βασιλίσκον (τίνα τοῦτον φημί; τὸν ποικιλώτα-
τον Χατατούριον)! Ἀλλά μοι τοῦτον, ἵνα μὴ λάθοι διαδρὰς καὶ τῶν
ὑμετέρων ἀπολισθήσῃ χειρῶν! Ὅλαις οὖν ἀπρὶξ ταῖν χεροῖν
ἁλώσιμος ἔστω ὁ θήρ· οὐ γὰρ ὁλκοῦ μέρος τοῦ ὄφεως, ἀλλ' 40
ἰσοστάσιος τῇ τοῦ δράκοντος κεφαλῇ.

Ἐπὶ πᾶσι τούτοις, πότε σου περιχυθῶ τῷ αὐχένι, καὶ σου
ἡμαγμένην δικαίῳ αἵματι καταφιλήσω τὴν δεξιάν, καὶ ὀφθαλμοῖς

20 νὴ – ψυχήν: Synes. Cyren. Epist. 79,8 νὴ τὴν ἱεράν σου καὶ τριπόθητον κεφαλήν et 86,1–2 πρὸς τὴν ἱεράν σου καὶ τριπόθητον κεφαλήν. cf. Π 64,1, Π 65,21–22, Π 68,36, Π 122,1, Π 180,2, Π 183,14–15, Π 193,15–16, Π 198,5–6, Π 211,56–57, Π 494,2–3. cf. etiam Psel. Ἐγκωμιαστικὸς εἰς ... Μιχαὴλ τὸν Κηρουλλάριον = Or. fun. I 1,61,30, Περὶ τῶν ἰδεῶν ἃς ὁ Πλάτων λέγει = Phil. min. II 33 (111,24–25), Π 284,9–10 et Π 394,19–20 ‖ **21–22** ἐν – ἐγγέγραψαι: cf. Apoc. 20,12 καὶ βιβλία ἠνοίχθησαν· καὶ ἄλλο βιβλίον ἠνοίχθη, ὅ ἐστιν τῆς ζωῆς· καὶ ἐκρίθησαν οἱ νεκροὶ ἐκ τῶν γεγραμμένων ἐν τοῖς βιβλίοις κατὰ τὰ ἔργα αὐτῶν ‖ **23–24** ἡ – κεφαλή: Gen. 3,14–15 εἶπεν κύριος ὁ θεὸς τῷ ὄφει ... καὶ σὺ τηρήσεις αὐτοῦ πτέρναν. cf. Π 149,34, Π 186,16–18, et Π 488,57 **31–32** ὁ² – βραχίονας: iunctura in Nic. Chon. Or. 5 (44,2) ὁ σιδηροῦς βραχίων et Const. Manas. Πρὸς ... Μανουὴλ τὸν Κομνηνόν 12 βραχίων σιδήρεος laudata? ‖ **37** βασιλίσκον: cf. Ps. 90,13 ἐπ' ἀσπίδα καὶ βασιλίσκον ἐπιβήσῃ? cf. etiam Π 149,36 ‖ **38** Χατατούριον: Chataturius Armenius, de quo cf. Psel. Χρονογραφία VII,156 (=VIIb,34) et 159 (=VIIb,39)

ἴδω τὸ κάλλιστον θέαμα, καὶ ἐν μέσῃ τῇ Πόλει κηρύξω σε εἰς
45 ὑψηλοτάτην περιωπὴν ἀναβὰς ὥστε μοι τὴν φωνὴν ἐπὶ πάντα τῆς
γῆς (εἴπερ ἐνῆν) διηχηθῆναι τὰ πέρατα; Τί δέ μοι τὸ μεμνῆσθαί
σου, ὦ πάντων ἀνδρῶν συνετώτατε; οὐδὲ γάρ εἰ τὸ ἐναντίον
προσέταξας φύσιν ἔχει γενέσθαι, ὅτι μηδὲ ἐξεπίτηδες ἡ μνήμη,
μηδὲ ὥσπερ ἀπὸ κελεύσματος, ἀλλὰ βλύζουσα κάτωθεν, καὶ
50 γενναίῳ φυσήματι ὑπερβλύζουσα· μεμνήσομαί σου καὶ εἰν ἀΐδαο,
εἴπερ τι κἀκεῖ ταῖς ψυχαῖς μνημοσύνης μέρος ἐγκαταλέλειπται.

Σὺ μὲν περὶ σαυτοῦ μηδένα ποίκιλλε λόγον· ἀρκεῖ γάρ σοι τὸ
γεγονὸς ἀντὶ πάσης φωνῆς. Τὸ δέ γε παρ᾽ ἐμοῦ τοσοῦτον (εἰ καὶ
βραχέως εἰρήσεται): ὅτι τὴν βασιλείαν Ῥωμαίων θανοῦσαν
55 ἐψύχωσας.

XVII. Ἰωάννης ὁ Δούκας (? – ca. a. 1088)

καῖσαρ (ca. XI.1059 sqq.)

cf. Π 288 et Π 492

43. Τῷ καίσαρι ⟨Ἰωάννῃ τῷ Δούκᾳ⟩

G 8 [P], Boi 9 [P], PG[1] 12 [Boi]

Εὐτυχέστατε καῖσαρ! τοῦτο γὰρ δή σοι τῆς ἐπιστολῆς ἔστω
προοίμιον. Εὐτυχέστατον δέ σέ φημι, οὐ διότι μόνον τῆς τοῦ
καίσαρος ἀξίας τετύχηκας (τοῦτο γὰρ καὶ πολλοῖς ἄλλοις
συμβέβηκε, καὶ οἵ γε πλείους τῆς εὐτυχίας διημαρτήκασιν), ἀλλ᾽

50 μεμνήσομαί – ἀΐδαο: Hom. Il. 22,389–390 εἰ δὲ θανόντων περ καταλήθοντ᾽ εἰν ἀΐδαο / αὐτὰρ ἐγὼ καὶ κεῖθι φίλου μεμνήσομ᾽ ἑταίρου cum Synes. Cyren. Epist. 123,2 et 124,2; cf. Π 4,5, Π 25,36–37, et Π 209,51–52 ‖ **54–55** τὴν – ἐψύχωσας: cf. Π 140,12–13 εἰς γῆν κειμένην τὴν τῶν Ῥωμαίων βασιλείαν ἀνέστησας ‖ **XVII** cf. Psel. Χρονογραφία VII,180–181 (=VIIc,16–17), Ἐπιτάφιος εἰς Εἰρήνην καισάρισσαν = K-D I 21, et Π 117,81, Π 268,52, Π 269,44–45, et Π 296,9. cf. etiam Polemis 1968,34–41

ep. 43 P 215v–216v, O 196v–197r, p[1] 149–151(= P); tit. P (manu poster.) Boi G: om. O ‖ **1** καῖσαρ P Boi G: καίσαρ O ‖ **4** διημαρτήκασιν P Boi G: διομαρτήκασιν O

ὅτι παρὰ τοῦ καλλίστου βασιλέως καὶ ἀδελφοῦ εἰς τὴν μεγίστην 5
ταύτην ἀνηνέχθης περιωπήν. Ὃς δὴ προνοίᾳ τε τῇ ἄνω
κινούμενος, καὶ μετὰ λογισμοῦ κρίσεως πάντα ποιῶν, κοινωνόν σε
τοῦ κράτους μικροῦ δεῖν ἐξ ἀδελφικῆς εὐνοίας πεποίηκε·
προσκείσθω γὰρ τῇ προνοίᾳ καὶ τῇ τοῦ λογισμοῦ κρίσει, καὶ τὸ
ἀπὸ τῆς σχέσεως φίλτρον. 10

Πάλιν οὖν τὴν πρώτην σοι φωνὴν ἐπιφθέγξομαι: εὐτυχέστατε
καῖσαρ! προσθήσω δέ: καὶ λογιώτατε καὶ σοφώτατε! ἄμφω γὰρ
ὁρῶ παρὰ σοὶ μετὰ τῆς εὐτυχίας τὴν σοφίαν καὶ τὴν λογιότητα.
Καὶ μή με ὑπολάβῃς κόλακα τηλικοῦτον εἶναι, μᾶλλον δὲ ἀμαθῆ
ἐπαινέτην, ὅτι ἀφεὶς ἐπὶ τοῖς στρατηγήμασιν ἐγκωμιάζειν σε, καὶ 15
οἷς πάλαι κατώρθωκας καὶ νῦν κατορθοῖς, τὴν ἀπὸ τοῦ λόγου σοι
εὐφημίαν προσάγω, μήτε φιλοσοφήσαντί ποτε, μήτε ῥητορεύ-
σαντι. Οὐχ οὕτως ἐμαυτὸν ἀπατῶ, ἀλλ' οὔτε σε ἀπατᾶν βούλομαι·
ὁ γάρ σοι περὶ τοὺς λόγους ἔρως καὶ ἡ ἐπιθυμία τῆς γνώσεως, καὶ
τὸ ἐθέλειν λόγοις σοφοῖς ὁμιλεῖν, τό τε θέλγεσθαι κάλλει 20
συγγραμμάτων καὶ ἐπιστολῶν χάρισι, ταύτην σοι τὴν σοφίαν
προσμαρτυρεῖ.

Τοῖς μὲν οὖν παλαιοῖς ἐκείνοις καίσαρσι τὸ τῆς εὐτυχίας ὄνομα
μέχρις αὐτῶν ἦν, καὶ οὐδεὶς τῶν σοφῶν δι' ἐκείνους εὐτύχησε. Τῇ
δὲ σῇ μεγαλοπρεπείᾳ ὥσπερ ἡλίου φῶς ἡ κλῆσις ἐγένετο· καὶ ὃς 25
δ' ἄν σοι πλησιάσῃ, εὐθὺς εὐτυχεῖ. Καὶ τούτου μαρτύριον αὐτὸς
πρῶτος ἐγώ. Πάλαι μὲν γὰρ ἐπὶ τοῖς λόγοις ἐθαυμαζόμην. Νῦν
δὲ ἐπὶ τῇ σῇ φιλίᾳ εὐδόκιμος ἐν πᾶσι γεγένημαι· καινὸν γάρ σε
τῶν ἐμῶν λόγων ἐπαινέτην εὐτύχηκα· καὶ μάλιστα ὅτι τοὺς
ἄλλους σοφοὺς ἀφεὶς (πολλοὶ δὲ ἴσως εἰσὶν ἐμοῦ καλλίους καὶ 30
ὑψηλότεροι), σὺ δὲ βούλει τῶν ἐμῶν μόνων χαρίτων κατατρυφᾶν,

5 καλλίστου – ἀδελφοῦ: Constantinus X Ducas (imperator: 23/24.XI.1059 – 22/23.V.1067) (Π XVIII)

6 ἀνηνέχθης P Boi G: ἀνήχθης O ‖ **7** πάντα P Boi G: ταῦτα O ‖ **9** γὰρ P Boi G: δὲ O | τῇ² – κρίσει P Boi G: τῇ κρίσει τοῦ λογισμοῦ O ‖ **12** καῖσαρ P Boi G: καίσαρ O ‖ **13** τὴν¹ – καὶ P Boi G: om. O ‖ **14–15** ἀμαθῆ ἐπαινέτην P Boi G: ἐπαινέτην ἀμαθῆ O ‖ **16** κατώρθωκας P Boi G: κατώρθωσας O | ἀπὸ – λόγου P Boi G: ἐπὶ τῷ λόγῳ O ‖ **21** ἐπιστολῶν χάρισι P Boi G: χάρισιν ἐπιστολῶν O ‖ **26–27** αὐτὸς – ἐγώ P Boi G: ἐγὼ πρῶτος αὐτὸς O ‖ **30** ἴσως εἰσὶν P Boi G: εἰσὶν ἴσως O ‖ **31** χαρίτων P Boi G: λόγων O

καὶ τὰς ὠκεανίτιδας τῶν πάλαι σοφῶν καταλιπὼν πηγάς, τὸ ἐμὸν λεπτόρρυτον ὕδωρ ἀρύῃ, καὶ χανδὸν ἐμφορῇ μου τοῦ νάματος.

Ἀλλ' ἐγὼ μὲν ἐπὶ σοὶ εὐτυχῶ καὶ μέγα φρονῶ. Σοὶ δ' ἄρα τίς
35 δαίμων ἐβάσκηνε καὶ νοήματά τινα δυσελπιστίας μεστὰ τῇ ψυχῇ σου παρέφθειρε, καὶ ὑπείληφας ὅτι σοι ὁ ἀδελφὸς (ἵν' οὕτως εἴποιμι) καὶ πατήρ, ἠλάττωσέ σοι τὴν πρώτην εὐμένειαν, καὶ μέχρι τῶν παρασήμων τῆς εὐτυχίας προαγαγών, τῆς πρὸς σὲ εὐνοίας ἐπαύσατο;

40 Τίνι γοῦν ἐπὶ ταῖς τοῦ ἀδελφοῦ καλλοναῖς μάρτυρι χρήσομαι; Τίνα δὲ ἄλλον προβαλοῦμαι τῆς ἱερᾶς ἐκείνου ψυχῆς συνίστορα ἀκριβέστατον; Ἀρκέσεις μόνος αὐτὸς ὃς καὶ πρὸ τοῦ κράτους τὸν ἄνδρα μοι πολλάκις ὑπεζωγράφησας, καὶ μετὰ τὸ κράτος, τοιαῦτα πρὸς ἡμᾶς ἐφθέγγου: «Ἆρ' οὐχὶ τοιοῦτος ὁ ἀδελφός, οἷόν σοι
45 τοῦτον ἱστόρουν καὶ ἀκριβῶς ἔγραφον;» Ἀναμνήσθητί μοι καὶ τοῦ ἐξ Ἐδέσσης γράμματος καὶ τῶν μετὰ ταῦτα λόγων.

Τί δὲ ὁ τοσαύτῃ ἐπὶ πλείοσιν ἔτεσι συντραφεὶς ἀρετῇ καὶ πᾶσιν ἐπιεικὴς καὶ χρηστότατος γεγονώς, ἐπὶ σοὶ μόνῳ μετήλλαξε τὴν εὐγένειαν τῆς ψυχῆς; Μὴ τοῦτο οἴου, κάλλιστε πάντων
50 ἀνδρῶν· εἰ γάρ με οἴει εἰς ψυχὴν παρακύψαι δυνάμενον, καὶ

32 τὰς – πηγάς: cf. Psel. Κατηγορία τοῦ ἀρχιερέως = Or. for. 1,575–578 πῶς αὖθις συνῆλθε τούτοις καὶ συνωμίλησεν καὶ τοῖς μεγάλοις συνηριθμεῖτο πατράσι καὶ τὸν ἑαυτοῦ ἀμφορέα ἐκ τῆς ὠκεανίτιδος ἐκείνων ἐπλήρου πηγῆς; ‖ **33** χανδὸν – νάματος: cf. Lucian. Περὶ τῶν διψάδων 9 ἐμφοροῦμαι χανδὸν et Suda ι 437 χανδὸν ἐμφορουμένων τῶν ἀνθρώπων τῆς δικαιοσύνης τοῦ κρίνοντος. cf. etiam Π 369,35–36 οἱ ταῖς τῶν λόγων πηγαῖς προσκαθήμενοι, τοῦ μὲν τοιούτου νάματος χανδὸν σπῶσι. iunctura Pselliana in Mich. Ital. Epist. 14 (143,7–8) et etiam Man. Strabor. Or. ad ... Alexium I Comnenum 1 (181,14–16), Euth. Mal. Μονῳδία ... ἐπὶ τῷ τάφῳ τοῦ ἁγιωτάτου Θεσσαλονίκης κυρίου Εὐσταθίου 3,8–9, et Euth. Torn. Μονῳδία εἰς τὸν ὑπέρτιμον Νέων Πατρῶν 4,15–17 laudata?

32 καταλιπὼν πηγάς P Boi G: πηγάς καταλιπὼν O ‖ **33** ἀρύῃ O corr. Boi G: ἀρρύῃ P ‖ **34** τίς : τις corr. G ‖ **38–39** τῶν – ἐπαύσατο : [ca. 55–60 litt.] O **40** γοῦν P Boi G: νῦν O ‖ **40–41** καλλοναῖς – συνίστορα P Boi G: [ca. 50 litt.συνίστο]ρα τῆς τούτου ψυχῆς O ‖ **42–43** ἀκριβέστατον – πολλάκις P Boi G: ἀκριβέ[ca. 40/55 litt.]κις O ‖ **43** ὑπεζωγράφησας P Boi G: ὑπεζωγράφεις O ‖ **43–44** καὶ – ἀδελφός : [ca. 40/55 litt.]ός O ‖ **45–46** καὶ[1] – Ἐδέσσης : [ca. 40/55 litt.] O ‖ **46–47** ταῦτα – συντραφεὶς : [ca. 40/55 litt.] O ‖ **48–49** καὶ – μετήλλαξε : [ca. 40/55 litt.] O ‖ **49** τῆς ψυχῆς P Boi G: om. O **49–50** κάλλιστε – δυνάμενον : [ca. 40/55 litt.]μενον εἰς ψυχὴν οἴει O

κρύφια μαθεῖν καὶ ἀπόρρητα γνώμης ὀξύτητι, ἐνεστήρικταί σοι ἡ ἐκείνου γνώμη καὶ προστέθειταί σοι τὸ εὔνουν, καὶ ηὔξηται ἡ εὐμένεια. Σὺ δὲ οἶδας ἐμοῦ κάλλιον τὸν σὸν ἀδελφὸν ὅτι ἀκολάκευτον ἔχει τὸ ἦθος, καὶ τὴν φιλίαν καὶ τὴν εὐμένειαν οὐκ ἐν τῇ γλώσσῃ σαλπίζει ἀλλ' ἐν τῇ ψυχῇ κατακρύπτει· τὴν γὰρ ἐν χείλεσιν εὐφημίαν περιέργοις ἀφῆκεν ἀνδράσι καὶ εὐτραπέλοις, αὐτὸς δὲ τὸ ἀρχαῖον τῶν μεγίστων ἀνδρῶν μεμίμηται ἦθος, καὶ ὑψηλόφρων ἄγαν ἐστί· βροντᾶν δὲ ἥκιστα πρὸς τοὺς φίλους βουλόμενος, λεῖός ἐστι καὶ ἀκύμων, ὥσπερ Ζεφύρου πνεῦμα ταῖς τῶν φιλουμένων ἐπιπνέων ψυχαῖς. 55 60

Ἐμὲ γοῦν πολλάκις ἠπάτησε μὴ συνδραμὼν προσδραμόντι μηδὲ ἡδέως κατασπασάμενος. Καὶ τότε μὲν παρόρασιν ἐλογισάμην τὸ πρᾶγμα· εἶτα δὴ καταβραχὺ συνιείς, ἐκείνου μᾶλλον ἐπιζητῶ τῆς γνώμης τὸ σύνηθες, ἢ τὴν τοῦ ἤθους μεταλλαγήν. Τοιοῦτός ἐστι τὴν ψυχήν· καὶ εἰδότι σοι τοῦτο, διατί προσπίπτει ἀνία, δέον μᾶλλον ἀσπάζεσθαι τὸ καθαρὸν καὶ ἄπλαστον τοῦ βασιλέως ἰδίωμα; 65

Ἔγωγ' οὖν αὐτῷ τὴν σὴν ὑπαναγινώσκων ἐπιστολήν, ἑώρων ὅπως τὰ μὲν ἡδέως προσεμειδία, τὰ δὲ ἱλαρύνετο. Ὅτε δὲ ἐπανέγνων αὐτῷ τὸν μοναχὸν καὶ τὴν ἀθρόαν ἀλλοίωσιν, μικροῦ δεῖν καὶ ἐξεδάκρυσεν, (εἰ δὲ μή μοι ἄχθοιο) καὶ βραχύ τί σου κατεμέμψατο. Ἀπελογίσατο δὲ καὶ περὶ τῆς Ἀντιοχείας ὅρκους ἀρρήτους προσθείς, ὅτι μὴ κατὰ τὰς σὰς ὑπολήψεις ἡ πρόσταξις γέγονεν, ἀλλ' ἵνα τι γνοίη παρὰ σοῦ τῶν ἐκεῖσε ἀπορρητοτέρων. Τὰ δὲ 70

59 ὥσπερ – πνεῦμα: iunctura saepe laudata. cf. Hom. Il. 19,415 πνοιῇ Ζεφύροιο (cf. Od. 4,402 et 10,25), Eurip. Φοίνισσαι 211 Ζεφύρου πνοαῖς, et Suda ζ 41 Ζεφυρία πνοή: … καὶ Ζεφύριον πνεῦμα. Ζέφυρος γὰρ λεῖος ἄνεμος. cf. Π 122,74 ὥσπερ Ζεφύρου πνοαῖς, Π 200,23–24 πνεῦμα ἐπεγείρειν οἷος ὁ Ζέφυρος, ἡδὺς ὁμοῦ καὶ λεῖος, et Π 305,21–22 καὶ ὡς Ζέφυροι περιπνεῖν ὁμαλῶς

51 ἐνεστήρικταί P Boi G: ἐστήρικταί O ‖ **53** οἶδας – σὸν P Boi G: κάλλιον ἐμοῦ τὸν σὸν οἶδας O ‖ **57** μεμίμηται ἦθος P Boi G: ἦθος μεμίμηται O ‖ **59** ἐστι – ἀκύμων P Boi G: καὶ ἀκύμων ἐστὶν O ‖ **61** ἠπάτησε P Boi G: ἠπάτηκε O **66–67** ἀσπάζεσθαι – ἰδίωμα P Boi G: τὸ βασιλικὸν καὶ ἄπλαστον τοῦ βασιλέως ἰδίωμα ἀσπάζεσθαι O ‖ **68** ὑπαναγινώσκων P Boi G: ἐπαναγινώσκων O ‖ **69–70** ἐπανέγνων P Boi G: ὑπανέγνων O ‖ **70** ἀλλοίωσιν P Boi G: μεταβολὴν O

75 φαινόμενά σοι παράσημα, σημεῖα ἔφησεν εἶναι τῶν ἐν τῇ ψυχῇ παρασήμων: φημὶ δὴ τῆς πρὸς σὲ καθαρᾶς διαθέσεως, τῆς ἀδελφικῆς εὐμενείας, τῆς εἰς τὸ αὐτὸ θέλημα συμπνοίας τε καὶ συννεύσεως, ἀφ᾽ ὧν κινούμενος, ἐν προθύροις σε τοῦ κράτους ἔστησε, καὶ τὰ μεγάλα διὰ τῶν μικροτέρων ἐχαρακτήρισεν.

80 Εἰ οὖν ἀνυπόκριτόν με φίλον ὑπολαμβάνεις καὶ ἀληθέστατον, καὶ ἀκριβῶς οἶδας ὡς οὐ ψεύδομαι πίστιν οὐδὲ φιλίαν, τοιοῦτόν σοι τὸν ἀδελφὸν ἐπίστασο, ὁποῖος οὐκ ἄλλος ἐγένετο εἰς φιλίαν ἀδελφὸς καὶ ἀκριβεστάτην διάθεσιν.

Πᾶσαν οὖν λύπης ὑπόθεσιν ἀποβαλὼν τῆς ψυχῆς, γλυκείαις 85 ἐλπίσι σύνεσο· καὶ θάρρει ἐπὶ τῷ ἀδελφῷ καὶ δεσπότῃ. Κἂν εἴ τί σοι πολλάκις τῶν ἀβουλήτων συμπίπτῃ, οἰκονομίαν τοῦτο δέχου βασιλικήν, καὶ μάλιστα θεοῦ πρόνοιαν. Νὴ τὴν ἱεράν σου γὰρ κεφαλήν! αἱ μέγισται τῶν εὐτυχιῶν ἀκυβέρνητοι μείνασαι, τοὺς κεκτημένους πολλάκις καταποντίζουσι· δεῖ γὰρ ἡμῖν τοῖς ἐν τῷ 90 βίῳ εὐροοῦσι καὶ φερομένοις ἀπταίστως καὶ χαλινοῦ τινος κατέχοντος τὰς ἀλόγους ὁρμὰς καὶ τὴν λεωφόρον ἰέναι παιδεύοντος.

Ἐν τούτοις οὖν μοι φιλοσοφῶν φαίνου· καὶ ἅπαξ σαυτὸν στηρίξας ἐπ᾽ ἀσφαλοῦς κρηπῖδος τῆς τοῦ βασιλέως καὶ ἀδελφοῦ πρὸς σὲ 95 διαθέσεως, ἀκύμαντος ἔσο τοῖς ἐμπίπτουσι λογισμοῖς.

44. ⟨Τῷ καίσαρι Ἰωάννῃ τῷ Δούκᾳ⟩

K-D 260 [Cre], Cre 4 [H]

Δέσποτά μου καῖσαρ, καὶ τῷ ὄντι πρὸς πάντας ἀνθρώπους ἀσύγκριτε, τροφὴ ἀληθής, ἐγὼ μὲν σοί, σὺ δὲ ἐμοί· ἀντεσθίομεν γὰρ ἀλλήλους τρόπον τινά, τοῖς ἔργοις, τοῖς λόγοις, τοῖς ἐνθυμήμασι, μὴ τέμνοντες, μὴ τεμνόμενοι, μὴ δαπανῶντες, μὴ 5 δαπανώμενοι, ἑνούμενοι μᾶλλον καὶ αὐξανόμενοι, τὸ θαυμασιώτατον. Ἐπεὶ δὲ καὶ νόμος ἐστὶν ἡμῖν ἄνωθεν κρατήσας

75–76 ἔφησεν – παρασήμων P Boi G: τῶν ἐν τῇ ψυχῇ παρασήμων ἔφησεν εἶναι O ‖ **82** ὁποῖον Boi G | οὐκ – ἐγένετο P Boi G: ἄλλος οὐ γέγονεν O **86** συμπίπτῃ P Boi G: ἐμπίπτῃ O ‖ **88** μέγισται P Boi G: μέγιστοι O **91** κατέχοντος P Boi G: κατέχοντας O ‖ **93** φιλοσοφῶν φαίνου P Boi G: φαίνου φιλοσοφῶν O ‖ **ep. 44** H 43v; tit. scripsi: ⟨τῷ καίσαρι τῷ Δούκᾳ⟩ K-D

ἐξ ἀγράφων τῶν συνθηκῶν, ἵν' ὅταν τις θύοι καὶ πανηγυρίζοι θεῷ ἀπάρχηται καὶ ὑμῖν τῶν ὡραίων ὡς κρείττοσιν, ἰδοὺ δὴ καὶ αὐτὸς τῷ νόμῳ ἑπόμενος, ἀπάρχομαί σοι, τῶν κοινῶν δὴ τούτων τροφῶν, ἄρτου καὶ οἴνου, καὶ ὀπωρῶν. 10

Εἰ μὲν οὖν καὶ μέχρι τούτων σπουδάζειν ἐθέλοις ἡμῖν, ὦ μηδενὸς ὑπερορῶν τῶν ἐμῶν, σαυτῷ βρῶμα ποίησαι τὰ πεμφθέντα· εἰ δ' οὖν, παιδιὰ ταῦτα προκείσθω τοῖν δυοῖν νηπίοιν, ἵνα τὰ μὲν παίζοι τοῖς μήλοις, καὶ τοῖς ἀπίοις, σὺ δὲ ὁρῶν, γελῴης. 15

Ὡς δοῦλος ἐπαξιώτατος, ἔγραψα· ἀνάξιος γὰρ ὁ τῷ δεσπότῃ ἀνάρμοστος, ἐγὼ δὲ (σὺν θεῷ φάναι) τῇ ψυχῇ σου ἁρμοδιώτατος.

45. Τῷ καίσαρι ⟨Ἰωάννῃ τῷ Δούκᾳ⟩

K-D 40 [L]

Ἀλλὰ πρότερον μὲν ὁ ἥλιος ἡμῖν ἐπανέτελλες, ὦ πάσης ἐπέκεινα καῖσαρ φύσεως (καὶ ἀρρήτους ὅρκους ἐπομοῦμαι τῷ δόγματι), ἐφ' ἡμέρας ἑκάστης ἀποστίλβων τῶν ἀκτίνων ἡμῖν, καὶ οἷόν τι ἀπαραίτητον ὄφλημα, τὸ ἡμερήσιον χρέος ἀποδιδούς. Νῦν δὲ ὥσπερ οἱ παρανατέλλοντες τῷ ζωηφόρῳ κύκλῳ, διὰ περιόδων 5 ἀναφαίνῃ πολλῶν· ἐγὼ γὰρ καὶ τὸ παρ' ἡμέραν τῆς σῆς ἀντολῆς κύκλοις ἀπεικάζω μακροῖς. Ἄμφω δέ μοι καὶ καλὰ καὶ θαυμάσια: καὶ τὸ συνεχὲς τῆς ἐλλάμψεως, καὶ τὸ ἀνατέλλειν διὰ πολλοῦ. Τοῦτο μὲν γὰρ ἀδιάκοπον ἔχει τὴν ἡδονήν, τὸ δὲ σπάνιον τέ ἐστι καὶ ἐράσμιον. Φασὶ δὲ καὶ τοὺς ἀνατέλλοντας τῶν ἀστέρων διὰ 10 περιόδων πολλῶν, εἰ καὶ τὰ μάλιστα ἐπίκεντροι γένοιντο,

13 τοῖν – νηπίοιν: Andronicus (ante a. 1045 – a. 1077; Π XVI) et Constantinus (ante a. 1050 – a. 1075/1076)? ‖ **5** οἱ παρανατέλλοντες: cf. e.g. Psel. Περὶ παραδόξων ἀκουσμάτων = Phil. min. I 32,92–93 ἀπό τε τῶν ἐν οὐρανῷ ζῳδίων καὶ ἀπὸ τῶν παρανατελλόντων ἑκάστῳ τούτων ‖ **10–12** φασὶ – τοῖς πράγμασιν: cf. e.g. Hephaest. Apotel. 155,11–12 ἐὰν οἱ δορυφοροῦντες ἀστέρες καὶ αἴτιοι ἐπίκεντροι ὦσιν, μεγάλοι καὶ δυναμικοὶ καὶ κοσμοκράτορες γίγνονται?

ep. 45 L 22r–v; tit. scripsi: τῷ καίσαρι L K-D ‖ **2** ὅρκους corr. K-D: ὅρους L

μεταβολὰς χρηστοτέρας πρυτανεύειν τοῖς πράγμασιν. Οὕτω σύ: καὶ καθ' ἡμέραν καλός, καὶ διὰ χρόνου τριπόθητος.

Καὶ σὺ μὲν ὅπως ἂν ἐθέλοις, τὸ σὸν ἐπιμέτρει μοι φῶς. Ἐγὼ
15 δὲ σὲ τὸν ἐμὸν ἥλιον, ἅπαξ περιλαβὼν ἐν τοῖς στήθεσι, καὶ ὅλον τῇ καρδίᾳ εἰσοικισάμενος, ἢ εἰς μέσην ἐνθεὶς τὴν ψυχήν, ἀειλαμπὴς ὥσπερ εἰμί, ἡμέρας ὅλας διαυγάζων καὶ νύκτας. Καὶ ὁπόταν μοι βουλητὸν ᾖ, ἐκ τῶν ἐμῶν ἀδύτων σε προχειρίζομαι· καὶ νῦν μὲν ὡς ἑῷον, νῦν δὲ ὡς ἐπὶ μεσημβρίας ἱστάμενον, νῦν δὲ ὡς
20 ἑσπέριον καθορῶ. Καὶ μὴ οἴου με ταῦτα λέγειν ἀπὸ γλώττης ψιλῆς, ἀλλά μοι αὐτὴ γυμνὴ ἡ ψυχὴ διὰ τῆς γλώττης δημηγορεῖ· καὶ οὐδὲ τοσοῦτον φθέγγεσθαι δύναμαι, ὅσον βεβούλημαι. Ὦ πάσης ἐπέκεινα καλλονῆς, πάσης φρονήσεως, σταθηρότητος, ὁ μόνος συγκεράσας ἄμικτα πράγματα, ἀγχίνοιαν καὶ πραότητα,
25 ἀσύγκριτον φρόνημα καὶ καλοήθειαν ἀπαράμιλλον!

Τὸ δέ σου καλὸν δῶρον, τὰ οἶδνα, οὐχ ὡς «οὔθατα γαίης» κατὰ τὸν εἰρηκότα, ἀλλ' ὡς ἐντρυφήματα καίσαρος, καὶ ὡς κοινωνήματα τραπέζης τῆς σῆς, εἶδόν τε ἡδέως, καὶ ἡδύτερον καταπολαύσω τοῦ βρώματος. Ἀλλὰ τί μοι τὰ δῶρα; Ἀρκεῖ μοι ἀντὶ
30 παντὸς τὸ γραμμάτιον καὶ ἡ συνήθης σου προσαγόρευσις.

12 μεταβολὰς – πράγμασιν: Greg. Naz. Κατὰ Ἰουλιανοῦ στηλιτευτικὸς α´ = Or. 4,48 μεταβολὴν πρυτανευόντων τοῖς πράγμασιν. cf. Psel. Χρονογραφία VI,218 (=VIa 15) μηδὲ τὴν ἀρίστην μεταβολὴν πρυτανεῦσαι τοῖς πράγμασι et Π 210,55–56 πρυτανεύειν τοῖς πράγμασι τὴν μετάθεσιν. cf. etiam Π 92,25 βουλόμενος διὰ τούτων κατάστασιν πρυτανεῦσαι τοῖς πράγμασι cum Ἐγκωμιαστικὸς εἰς … Μιχαὴλ τὸν Κηρουλλάριον = Or. fun. I 1,16,50–51 κατάστασιν παρ' ἑαυτῆς χρόνον ὅσον βραχὺν τοῖς πράγμασι πρυτανεύσασα, Ἕτερος λόγος πρὸς τὸν αὐτὸν βασιλέα (scil. Κωνσταντῖνον τὸν Μονομάχον) = Or. pan. 4,109–110 τὴν γεωμετρικὴν τοῖς πράγμασιν ἰσότητα πρυτανεύουσαι, et Εἰς τὸν βασιλέα τὸν Μονομάχον = Or. pan. 7,78–79 τὴν ἰσότητα πρυτανεύεις τοῖς πράγμασι ‖ **24** συγκεράσας ἄμικτα: locutio proverbialis; cf. τὰ ἄμικτα μιγνύειν Psel. Κατηγορία τοῦ ἀρχιερέως = Or. for. 1,417 et Π 497,12 ‖ **26** οὔθατα γαίης: Hom. Il. 9, 141 et 283 οὖθαρ ἀρούρης

26 οἶδνα L (cf. Π 48,1 et Sudam οι 36): ὕδνα K-D | οὔθατα : γεννήματα suprascr. L

46. Τῷ καίσαρι Ἰωάννῃ ⟨τῷ Δούκᾳ⟩

K-D 101 [L]

Σαφής ἐστιν οὗτος ὁ τοῦ Ἱπποκράτους λόγος, ὃν ἡμῖν προεβάλου δι' ἐρωτήσεως· «ἐκ προσαγωγῆς» γάρ φησιν ὁ Ἀσκληπιάδης, «τὰ ἐναντία προσάγειν καὶ διαναπαύειν». Ὑποπτεύων γὰρ τὰς ἀθρόας μεταβολὰς ὡς ταραττούσας τὴν φύσιν, δύο τινὰ ὑποτίθησιν ἐν ταῖς μεταστάσεσι: τὴν προσαγωγὴν καὶ τὴν ἀνάπαυσιν· οὐ γὰρ δεῖ ἀθρόον καταψύχειν ὑπέρθερμον σῶμα, οὔτε δὲ καταθερμαίνειν ὑπέρψυχρον, οὔτε καταξηραίνειν ὑγρὸν ὄν, οὔτε μὴν εἰς ἄλλην μεταβάλλειν ἐναντίαν ποιότητα, ἀθρόον καὶ ἀδιαστάτως, ἀλλ' ἐκ προσαγωγῆς· ἥτις ἐστὶ κατὰ βραχὺ ἀπὸ τοῦ ἐναντίου πρὸς τὸ ἐναντίον μετάθεσις. Εἰ δέ πού τι καὶ οὕτω ποιοῦντι τῷ ἰατρῷ, ἡ φύσις ταράττοιτο, ἀναπαυστέον τὸ μεταβαλλόμενον σῶμα, ἵνα καταστάσης τῆς φύσεως, μηδὲν ἐπιθορυβῇ τὴν εἰς τὸ ἐναντίον μεταβολήν.

Τὸ δὲ διάφραγμα περὶ οὗ ἐζήτησας, ὃ δὴ καὶ «φρένας» κατονομάζουσι, καὶ τὴν ὀνομασίαν ἡ ποίησις οὐκ ἠγνόησε, στρογγύλος ἐστὶ μῦς, διατειχίζων τὰ τῆς ἀναπνοῆς, καὶ τὰ τῆς τροφῆς ὄργανα. Τοῖς μὲν γὰρ ὑπέστρωται, τοῖς δὲ ἐπίκειται. Ἀπὸ δὲ τῶν περάτων τοῦ στήθους ἀρχόμενος, ἄχρι τῶν μεσοπλευρίων μυῶν διατείνει λοξός. Χρεία δὲ αὐτοῦ, μία μὲν περὶ τὴν ἀναπνοήν, ἑτέρα δὲ ἵνα τὸ περιττὸν τῶν τροφῶν διωθῆται κάτω εἰς τὸ ἀπευθυσμένον ἀποκρῖνον ἔντερον· οὐ γὰρ ἀρκοῦσι πρὸς τοῦτο οἱ ἐπιγάστριοι μύες.

2–3 ἐκ – διαναπαύειν: Hipp. Ἐπιδημίαι 6,2,12 ‖ **3–13** ὑποπτεύων – μεταβολήν: cf. Galen. In Epid. 17a (953,12–956,7) ‖ **14–15** ὃ – ἠγνόησε: cf. e.g. Hom. Il. 1,103 φρένες ἀμφιμέλαιναι etc. ‖ **15–22** στρογγύλος – μύες: ex Galen. Περὶ χρείας μορίων 3,398,16–403,14; cf. Anon. (Pselli?) Misc. Phil. (= Codex Baroc. gr. 131) 4 Ἰατρικῶν ἐρωτημάτων ἀποκρίσεις (9,19–22) τὸ μέντοι γε διάφραγμα μῦς ἐστι μέγας στρογγύλος, ἀποφράττων τῶν τῆς τροφῆς ἀγγείων τὰ τοῦ πνεύματος ὄργανα· τῶν μὲν γὰρ ὑπέρκεινται· τοῖς δὲ ὑποβέβληται. ἔστι δὲ καὶ ἀναπνοῆς ὄργανον· τοῦτο δὴ καὶ φρένες ὠνόμασται

ep. 46 L 48r–v; tit. scripsi: τῷ καίσαρι Ἰωάννῃ L K-D ‖ **21** ἀποκρῖνον corr. K-D: ἀποκρίνων L | ἐπιγάστριοι L: κατα(-γάστριοι) suprascr. L καταγάστριοι K-D

«Πατρογενῆ» δὲ τὴν ὕλην ὀνομάζει τὰ λόγια, ὡς ἐκ τοῦ δημιουργοῦ πατρὸς ὑποστᾶσαν, ἄνευ τινὸς μέσης ἀπογεννήσεως·
25 ἐπειδὴ γὰρ μὴ ὂν ταύτην φασίν, ἄνουν τε καὶ ἄζων, ἀποστεροῦσι τῆς ἀπὸ τοῦ ὄντος τῆς τε ζωῆς καὶ τοῦ νοῦ παραγωγῆς. Τὸν δέ γε πρῶτον νοῦν, τῆς ὑπερπλήρους τοῦ πατρὸς πληροῦντες ἑνώσεως, ἄλλον ἐκεῖθεν ὑφιστάμεθα νοῦν κατὰ περιττωματικὸν ἔκχυσιν.

47. Τῷ αὐτῷ

Τῷ καίσαρι Ἰωάννῃ ⟨τῷ Δούκᾳ⟩. ante Π 65 [cf. ll. 15-20]?

K-D 102 [L], All[1] [B]

Ἠνωχλήκασί ποτε τῷ αὐτοκράτορι Τραϊανῷ θηρία τινα ἐκ τῆς

23 πατρογενῆ – τὰ λόγια: Or. Chald. 173 τὴν πρωτογενῆ ὕλην. cf. Psel. Ὑποτύπωσις ... τῶν παρὰ Χαλδαίοις ἀρχαίων δογμάτων = Phil. min. II 40 (150,33–151,13) ... καὶ ἡ μὲν ὕλη πατρογενής ἐστι καὶ ὑπέστρωται τῷ σώματι ... etc. ‖ **26–27** τὸν δέ γε πρῶτον νοῦν etc.: cf. Psel. Omn. doctr. 21, 22, et 25 (περὶ νοῦ) ‖ **1–4** τῷ – Χαλδαῖος: Trajanumne pro Marcum Aurelium perperam scripsit? cf. Psel. Περὶ τῆς χρυσῆς ἁλύσεως = Phil. min. I 46,43–44 πρὸ δὲ πάντων οἱ ἐπὶ τοῦ Μάρκου Ἰουλιανοί cum Πρὸς τοὺς ἐρωτήσαντας πόσα γένη τῶν φιλοσοφουμένων λόγων = Phil. min. I 3,142 οὗτος δὲ ἦν Ἰουλιανὸς ὁ συστρατεύσας Μάρκῳ τῷ βασιλεῖ et Ἐκ τοῦ πρώτου λόγου τοῦ Περὶ υἱοῦ ... 'τρεῖς αἱ ἀνωτάτω ...' = Theol. I 23,46 ὁ ἐπὶ Μάρκου Ἰουλιανὸς. sed cf. etiam Κατηγορία τοῦ ἀρχιερέως = Or. for. 1,287–295 Ἰουλιανὸς δέ τις ἀνὴρ ἐπὶ Τραϊανοῦ βασιλέως etc. (cf. infra) et Πρὸς τοὺς μαθητὰς περὶ τῆς ἐγγαστριμύθου = Theol. II 37,23–25 ἔστι δὲ ἃ καὶ Ἰουλιανὸς ὁ συστρατεύσας ποτὲ Τραϊανῷ ἐπὶ Δάκας ἐλαύνοντι ἠκρίβωσε καὶ ἀνέγραψε, τὴν ἀναγραφὴν τέχνην ἱερατικὴν ἐπιγράψας. cf. etiam Suda ι 434 (cf. α 3987) Ἰουλιανός, ὁ τοῦ προλεχθέντος υἱός, γεγονὼς ἐπὶ Μάρκου Ἀντωνίνου τοῦ βασιλέως **1–9** ἠνωχλήκασί – παντάπασιν: cf. Psel. Πρὸς τοὺς ἐρωτήσαντας πόσα γένη τῶν φιλοσοφουμένων λόγων = Phil. min. I 3,137–147 καὶ τὴν ἱερατικὴν τέχνην συνέστησαν καὶ ζῳοθυσίαν εἰσηνέγκαντο καὶ καταχθονίους θεοὺς ἐσεβάσθησαν καὶ τοιῶσδε ἢ τοιῶσδε θύειν ἐθέσπισαν. κατάγουσί τε τοὺς παρ' ἑαυτοῖς θεοὺς θελκτηρίοις ᾠδαῖς καὶ δεσμοῦσι καὶ λύουσιν, ὥσπερ τὸν Ἑπτάκτιν ὁ Ἀπουλήιος ὅρκοις καταναγκάσας μὴ προσομιλῆσαι τῷ θεουργῷ· οὗτος δὲ ἦν Ἰουλιανὸς ὁ συστρατεύσας Μάρκῳ τῷ βασιλεῖ ἐπὶ Δάκας στρατεύοντι, ὃς δὴ ἕτερά τε πολλὰ τῷ βασιλεῖ συγκατώρθωσε καὶ τοὺς Δάκας

ep. 47 L 48v–49r, B 121r; tit. L K-D: τοῦ ὑπερτίμου ἐν φιλοσόφοις κῦρ Μιχαὴλ [ca. 18 lit... . καίσ]αρ[ι] περὶ ἀναιρέ[ca. 18 lit... .]αβ[...] B om. All[1]
1 αὐτοκράτορι – τῆς : αὐτοκ[ca. 18 lit.] τινα [.....] B

ὕλης, ἀθρόον ἐφαλλόμενα τῷ στρατεύματι. Δύο δὲ ἤστην αὐτῷ ἄνδρες σοφὼ τὰς ἀπορρήτους δυνάμεις ἐξησκημμένοι, Ἰουλιανὸς ὁ Χαλδαῖος, καὶ ὁ Λίβυς Ἀπουλήϊος· ἦν δ' ἄρα οὗτος μὲν ὑλικώτερος, ἅτερος δὲ νοερώτερος καὶ θειότερος, ὡς ἂν οἱ ἐκεῖνον 5 σεμνύνοντες εἴποιεν. Ὁ μὲν οὖν περίαπτα ποιήσας, ἐπᾴσας δὲ καὶ ταῖς ὕλαις, τοῖς μὲν τὰς τῶν θηρίων ἐπέδησεν ὁρμάς, τὰ δὲ ἐξορκίσματα ἐπισχεῖν οὐκ εἶχεν. Ἰουλιανὸς δὲ καὶ ἐπῳδῶν ἄτερ καὶ περιαμμάτων ἀνεῖλε παντάπασιν.

Ἐγὼ δὲ οὔτε περιάμματά σοι ποιεῖν ἐπὶ ταῖς ἐνοχλούσαις 10 κάμπαις βεβούλημαι, οὔτε μοι τὸ βούλεσθαί τι πρᾶξίς ἐστιν αὐτενέργητος. Καί μοι δοκεῖ καὶ τὰ περὶ τῶν εἰρημένων ἀνδρῶν μύθοις ἐοικέναι καὶ πλάσμασιν, ὧν οὐκ οἶδ' ὅπως ὁ φιλόσοφος Πρόκλος οὐ καταπεφρόνηκεν, ἀλλ' ἐκθειάζει τὴν πλάσιν (ἢ τό γε δεύτερον τὴν τερατείαν εἰπεῖν). Τὰς δέ γε ἀντιπαθεῖς δυνάμεις 15 εἰδὼς κατὰ τῶν λυμαινομένων ἰσχὺν ἐχούσας, ὥσπερ ἀναιρετικὸν

τῶν Ῥωμαϊκῶν ὁρίων ἀπώσατο. πρόσωπον γὰρ ἀνθρώπου πλασάμενος ἐκ πηλοῦ ἔθηκε βλέπειν εἰς τοὺς βαρβάρους· οἱ δὲ ἐπειδὰν αὐτῷ πλησιάσαιεν, κεραυνοῖς ἀφορήτοις ἐκεῖθεν ἐκπεμπομένοις ἠλαύνοντο

11–12 οὔτε – αὐτενέργητος: cf. Περὶ τῆς χρυσῆς ἁλύσεως = Phil. min. I 46,50–51 ἔκ τινος τέχνης ἱερατικῆς ἐπυνθάνετο (scil. Ἰουλιανὸς) περὶ ὧν ἐβούλετο ‖ **5–14** ὡς – ἐκθειάζει: cf. Psel. Κατηγορία τοῦ ἀρχιερέως = Or. for. 1,287–295 Ἰουλιανὸς δέ τις ἀνὴρ ἐπὶ Τραϊανοῦ βασιλέως ἐν ἔπεσι τὰ τούτων ἐξέθετο δόγματα, ἃ δὴ καὶ λόγιά φασιν οἱ τὰ ἐκείνων σεμνύνοντες. τούτοις οὖν ὁ φιλόσοφος ἐντυχὼν Πρόκλος, ἀνὴρ κρείττονος μὲν τετυχηκὼς φύσεως, πᾶσαν δὲ φιλοσοφίαν ἠκριβωκώς, Ἕλλην δ' ἄντικρυς, χαλδαΐσας ἀθρόον τὰ ἐκείνων ἐπρέσβευσε καὶ τὰς Ἑλληνικὰς ἀποδείξεις «λόγων καταιγίδας» ὠνομακώς, ὡς ὁ Γαζαῖος Προκόπιος ἱστορεῖ, ἐπὶ τὴν ἱερατικὴν ἐκείνην τέχνην ὅλοις ἱστίοις ἀπένευσεν. cf. Psel. Ἐκ τοῦ πρώτου λόγου τοῦ Περὶ υἱοῦ, εἰς τὸ 'τρεῖς αἱ ἀνωτάτω δόξαι περὶ θεοῦ' = Theol. I 23,46–55 et Πρὸς τοὺς μαθητὰς περὶ τῆς ἐγγαστριμύθου = Theol. II 37,23–35. cf. etiam Procl. In Tim. III 27,9–10 οἱ τῶν θεουργῶν ἀκρότατοι ... ὡς Ἰουλιανὸς ἐν ἑβδόμῳ Τῶν Ζωνῶν

2 ἐφαλλόμενα L K-D: ἀφελλόμενα B ‖ **1–2** ἠνωχλήκασί – στρατεύματι: om. All[1] ‖ **2** τῷ – αὐτῷ : [ca. 18 lit.]ύο δὲ ἤσ[.....] B ‖ **3** δυνάμεις – Ἰουλιανὸς All[1]: δυν[ca. 9 lit.]μένοι, Ἰουλ[.....] B δυνάμεις, Ἰουλιανὸς L K-D ‖ **4** ἦν – ἄρα [.....]α B ‖ **6** περίαπτα All[1] corr. K-D: περίαπτος L περίοπτα B ‖ **7** τὰς – ὁρμάς B All[1]: τῶν θηρίων ἀπέδησε τὰς ὁρμάς L K-D ‖ **8** ἐξορκίσματα L K-D: om. B All[1] ἄτερ B All[1] corr. K-D: ἄτερ° L ‖ **9** περιαμμάτων L All[1] K-D: περιαμάτων B **10** περιάμματά L All[1] K-D: περιάματά B ‖ **13** οὐκ οἶδ' : οἰκοῖδ' L | ὁ om. All[1] **14** καταπεφρόνηκεν B All[1] corr. K-D: καταπεφρόντικεν L ‖ **16** ἐχούσας L All[1] K-D: ἔχουσιν B

φάρμακον καὶ καμπῶν καὶ ἀκρίδων καὶ ἐρυσίβης, καὶ τῶν ἄλλων τῶν τὰς ἀμπέλους διαφθειρόντων ἢ διαβοσκομένων τὸ λήϊον, συντόμῳ σοι λόγῳ ἐπισκευάζομαι. Ὕδρον τινὰ ἴσως ἀκούεις
20 οὐράνιον εἴδωλον. Οὗτός σε ἐπιτέλλων, μὴ λανθανέτω, ἀλλ' ὁπηνίκα τοῦ ἄστρου τὴν φαῦσιν γνοίης, ἔχιδναν αὐτίκα θηράσας (τὸ δέ γε ζῷον, εἰς θήραν τε πρόχειρον, καὶ τοῖς χαρακτηρίσασι γνώριμον), ὑπτίαν ἀπὸ τοῦ γένυος μέχρι τοῦ οὐραίου τεμών, εἶτα μίτῳ ἐξαρτήσας λεπτῷ, ὥσπερ τινὰ κύκλον ἐν τῷ γηδίῳ ποιῶν, τὸ
25 χωρίον ἀφανῶς περιτείχισον (ἵν' οὕτως εἴποιμι), κἀντεῦθεν ἐξασθενήσει μὲν ἐπὶ τοῖς φυτοῖς ἡ ἐρυσίβη, ἥ τε δὲ ἀκρὶς ἐπ' αὐτὰ οὐ πτερύξεται, καὶ ἡ κάμπη ἐπὶ τοῖς ἄνθεσιν οὐ ζῳογονηθήσεται.

48. Τῷ αὐτῷ

Τῷ καίσαρι Ἰωάννῃ ⟨τῷ Δούκᾳ⟩

K-D 233a [L, Taf¹], Taf¹ 50 [P], PG² 50 [Taf¹]; cf. G² 14 [v²]

Εἶτα δὴ ἀγνοεῖς, ὑπερφυέστατε καῖσαρ, ὅτι τὸ ὕδνον ἀτελές ἐστι τῆς γῆς γέννημα, καὶ (ὡς εἰπεῖν) ἀμβλωθρίδιον; οὐ γὰρ ἀποτίκτει τοῦτο ἡ μήτηρ, οὐδὲ ταῖς ὠδῖσιν ἐξάγει πρὸς φῶς· ἀλλ' οἱ τὴν ἐμβρυουλκίαν εἰδότες τοῦ θαυμασίου τούτου δὴ τόκου,
5 ἐπειδὰν τὴν γαστέρα τῆς γῆς ἐξογκωθεῖσαν θεάσωνται, τὰ σπλάγχνα ταύτης (εἰ χρὴ οὕτως εἰπεῖν) διασπαράξαντες, τὸ

17–18 ἄλλων τῶν L K-D: ἄλλως ἢ B ἄλλων, ἢ All¹ ‖ **21** τοῦ – φαῦσιν : τὴν φαῦσιν τοῦ ἄστρου All¹ ‖ **22** χαρακτηρίσμασι All¹ ‖ **23** γένυος L K-D: ὑπογένειου B All¹ ‖ **24** ἐξαρτήσας L K-D: [...]ρτήσας B διαρτήσας All¹ | κύκλον : κύκ[...] B ‖ **25** περιτείχισον ἵν' : [ca. 13 litt.]ν B ‖ **26** φυτοῖς : [ca. 6 litt.] B | δὲ B All¹: om. L K-D ‖ **27** καὶ – ἄνθεσιν : [ca. 24 litt.] B | post ζῳογονηθήσεται: σὺ δὲ λέγω δὲ ἀ[ca. 40–50 litt.]δρου καὶ τὴν σύνεσιν καὶ τὴν φρόν[ca. 40–50 litt.]τέλην εἶχε διδάσκαλον. σὺ [...] (cf. Π 222,19–22) continuat B, in prox. lin.: + πρὸς τοῦτον ἔγραψε καὶ τὴν διήγησιν B, et post διήγησιν folia ceciderunt in B λέγω δὲ ἀκολακεύτως ὅτι κρείττων Ἀλεξάνδρου καὶ τὴν σύνεσιν καὶ τὴν φρόνησιν πέλεις· ὅτι ὁ μὲν τὸν Ἀριστοτέλην εἶχε διδάσκαλον, σὺ δὲ τὸν Ψελλόν All¹ ‖ **ep. 48** L 49r–v, P 254v, v² 60r–v; tit. L K-D: om. P v² Taf¹ G² **1** δὴ P v² Taf¹ K-D: om. L | ὕδνον ante corr. L P v² Taf¹ K-D: οἶδνον post corr. L ‖ **2** καὶ L P Taf¹ K-D: om. v² G² ‖ **3** ἡ L v² K-D: καὶ ἡ P Taf¹ | πρὸς φῶς P v² Taf¹ K-D: προσφυῶς L ‖ **4** θαυμασίου L P Taf¹ K-D: θαυμαστοῦ v² G² | δὴ L v² G²: om. P Taf¹ K-D ‖ **5** θεάσωνται L P Taf¹ K-D: θεάσαιντο v² G² | τὰ ante corr. L P v² Taf¹ K-D: καὶ τὰ post corr. L

κυόμενον ὑπεξάγουσι. Καὶ διὰ τοῦτο, ἄμορφόν ἐστιν τὴν θέαν καὶ ἀκαλλές· ἡ δέ γε μήτηρ παραμυθουμένη τούτῳ τὴν ἀμορφίαν, ἡδονὴν ἐντέθεικεν ἄρρητον, ὥσπερ δὴ τῷ δημαγωγῷ τῶν Ἀθηναίων, τῷ σοφῷ τὴν γνώμην καὶ μεγαλοφυεῖ Περικλεῖ, 10 προμήκει τὴν κεφαλὴν γεγονότι, νοῦν ἐμμελῆ κατέσπειρεν ὁ θεός· αὐτίκα καὶ ὁ Ἀριστοτέλης ὑπόψελλος ἦν τὴν γλῶτταν, καὶ ὁ Πλάτων ἐπίκυρτος, καὶ ὁ Μακεδὼν ἐκεῖνος Ἀλέξανδρος παρεγκεκλιμένος τὸν τράχηλον. Οἷς μὲν γὰρ τὰ ἔξω περικαλλῆ, τὰ ἔνδον νοσεῖ, οἷς δὲ φαύλη ἡ περιβολή, τὸ ἐγκεκρυμμένον 15 θαυμάσιον. Ἄκανθα γοῦν καὶ τοῦ ῥόδου προβέβληται, καὶ ἡ κυπάριττος ἄκαρπος. Τοιοῦτον δὴ καὶ τὸ οἶδνον ἐστί· τὸ μὲν φαινόμενον ἄμορφον, τὸ δὲ κρυπτόμενον τρόφιμον.

Ἡ σὴ ψυχὴ μόνη ὑπεξηρήσθω τοῦ λόγου, μᾶλλον δὲ τὸ σὸν κρᾶμα τὸ συγκείμενον ἐκ ψυχῆς τε καὶ σώματος· ἥ τε γάρ σοι τοῦ 20 σώματος περιβολὴ θαυμασία καὶ ὄντως ἡρωϊκή, ἥ τε τῆς ψυχῆς φύσις νοῦ καὶ χαρίτων μεστή.

Ἀλλ' ἐπιλέλησμαι τῶν ἐμῶν κακῶν ὑπὸ τῶν σῶν ἀγαθῶν· κεῖται γάρ μοι ψυχορραγοῦν τὸ θυγάτριον, ἣ νῦν πρώτως μετὰ τὰ σὰ δῶρα μετηνέχθη πρὸς τὴν ζωήν. Ἀλλ' ἡ μὲν ἡμίπνους· ἐγὼ δὲ 25

11 προμήκει – κεφαλὴν: Plut. Per. 3,3 Περικλέα, τὰ μὲν ἄλλα τὴν ἰδέαν τοῦ σώματος ἄμεμπτον, προμήκη δὲ τῇ κεφαλῇ καὶ ἀσύμμετρον ‖ **12** ὑπόψελλος: cf. Psel. Omn. doctr. 8 ἐγὼ μὲν εἰμὶ μακρός, μελάγχρους, ὑπόψελλος **12–14** ὁ² – τράχηλον: Plut. Πῶς δεῖ τὸν νέον ποιημάτων ἀκούειν 26b4–5 ὥσπερ οἱ τὴν Πλάτωνος ἀπομιμούμενοι κυρτότητα καὶ τὴν Ἀριστοτέλους τραυλότητα et Πῶς ἄν τις διακρίνειε τὸν κόλακα τοῦ φίλου 53c9–d2 ὥς που καὶ Πλάτωνος ἀπομιμεῖσθαί φασι τοὺς συνήθεις τὸ ἐπίκυρτον, Ἀριστοτέλους δὲ τὸν τραυλισμόν, Ἀλεξάνδρου δὲ τοῦ βασιλέως τὴν ἔγκλισιν τοῦ τραχήλου. cf. Π 192,25–34 ‖ **17–18** τοιοῦτον – τρόφιμον: cf. Π 68,15–19 τοιοῦτόν ἐστι καὶ τὸ ὕδνον, οὔτε εὐανθὲς οὔτε τῷ σχήματι ἁπαλόν, ἀλλὰ κατατέτμηται καὶ ἐκτετράχυνται καθαπερεὶ ὄχθοις καὶ φάραγξιν· εἰ δὲ κατατέμοις, εἰ δὲ προσαγάγοις τῷ στόματι καὶ λεανοῖς τοῖς ὀδοῦσιν, ἀπορρήτου τινὸς αἰσθήσῃ παντάπασιν ἡδονῆς ‖ **24** τὸ θυγάτριον: Euphemia

7 κυόμενον ante corr. L P v² Taf¹ K-D: κυοφορούμενον post corr. L | διὰ τοῦτο L v² G²: διαταῦτα P Taf¹ διὰ ταῦτα K-D ‖ **8** περιμυθουμένη Taf¹ | τούτῳ L v² K-D: τούτου P Taf¹ ‖ **12** ὁ Ἀριστοτέλης L P Taf¹ K-D: Ἀριστοτέλης v² G² **15** περιβολὴ L P Taf¹ K-D: προβολὴ v² G² ‖ **16** τοῦ ῥόδου L P Taf¹ K-D: τῷ ῥόδῳ v² G² ‖ **17** οἶδνον L (cf. Π 45,26 et Sudam οι 36): ὕδνον P v² Taf¹ K-D **19** ὑπεξηρήσθω L P Taf¹ K-D: ὑπεξαιρήσθω v² G² ‖ **21** καὶ ὄντως L v² G²: ὄντως καὶ P Taf¹ K-D

(νὴ τὴν ἱεράν σου κεφαλήν!) ἄπνους, τῷ σῷ μόνῳ νεύματί τε καὶ πνεύματι ἀναφέρων τε καὶ ζωογονούμενος.

49. Τῷ καίσαρι ⟨Ἰωάννῃ τῷ Δούκᾳ⟩

ca. a. 1060 – a. 1067; eodem tempore ut Π 294 [vid. epistolarum ordinem in codd. L et P]

S 63 [P]

Φίλος μοι ἐστὶν ὁ ἐπίσκοπος, καὶ φίλος γνησιώτατος· οὐκ οἶδα δὲ εἰ μὴ καὶ δοῦλος σός· μᾶλλον δὲ οἶδα τοῦτο καὶ πέπεισμαι, ἀφ' οὗ δὲ πολλάκις ὑπὲρ αὐτοῦ πρὸς τὸν κράτιστον ἐπαρρησιάσω ἡμῶν αὐτοκράτορα.

5 Εἰ τοίνυν φίλος μὲν ἐμός, δοῦλος δὲ σὸς ὁ ἀνήρ, μήτε εἰς κενὸν τῆς ἐμῆς φιλίας ἀπολαυσάτω, μήτε μάτην δοῦλος κεκλήσθω τῆς σῆς ὑπερφυοῦς δεσποτείας. Τίνος οὖν τυχεῖν δι' ἀμφοτέρων ἄξιος; τῆς πρὸς τὸ σὸν κράτος καὶ ὕψος παρρησίας καὶ οἰκειώσεως. Πάντως εἰ μὴ ἔγνωστο παρὰ τῆς σῆς ὑπερφυοῦς φύσεως, ἤρκει τὸ 10 παρ' ἐμοῦ ἐγνωρίσθαι πρὸς τὸ τυχεῖν ὧν ἐσπούδακε. Καὶ αὖθις, εἰ μὴ ἐγὼ φθάσας εἰς φίλον τοῦτον ᾠκειωσάμην, σὺ δὲ μόνος ἅπαξ ὡμίλησας, ἀποχρῶν αὐτῷ καὶ μόνον εἰς ἐπιτυχίαν τοῦ ζητουμένου. Εἰ δὲ καὶ θάτερον τούτῳ ἀξιόχρεων πρὸς τὸ μὴ διαμαρτεῖν τῆς ἐφέσεως, πῶς οὐκ ἀμφότερα, κατὰ ταὐτὸ συνδεδραμηκότα, 15 τοῦ σοῦ θρόνου τοῦτον πλησιαίτατα στήσει;

Ἔστι δὲ ὁ ἀνήρ (ὥς γε κατείληφα), οὐ τῶν πολλὰ μὲν λεγόντων, πλεῖστα δὲ ἐνθυμουμένων. Ὁμολογεῖ δὲ καὶ δεσπόταις χάριν· καὶ μικρῶν ἀξιούμενος, μεγάλας ἀμοιβὰς ἀποδίδωσιν, οὐ τῇ χειρὶ διδούς, ἀλλὰ τῇ γλώττῃ βοῶν· τί σοι γὰρ καὶ προσάξει

1 ὁ ἐπίσκοπος: episcopus Parnasi (Π LXXI; cf. Π 294) ‖ **3–4** πρὸς – αὐτοκράτορα: Constantinus X Ducas (imperator: 23/24.XI.1059 – 22/23.V.1067) (Π XVIII)

26 νὴ – κεφαλήν P v² Taf¹ K-D: om. L ‖ **27** ζωογονούμενος des. L P v² Taf¹: Π 68 post ζωογονούμενος continuat K-D (= K-D 233b) ‖ **ep. 49** L 53r–v, P 203v; tit. scripsi: τῷ καίσαρι L om. P ⟨πρὸς τὸν καίσαρα τὸν Δούκαν⟩ S **3** ἐπαρρησιάσω ἡμῶν L: ἡμῶν ἐπαρρησιάσω P S ‖ **8** σὸν L: om. P S ‖ **9** παρὰ : τὸ παρὰ S ‖ **10** ἐσπούδακε L: ἐσπούδασε P S ‖ **13** καὶ om. S ‖ **15** στήσει L: στήσειαν P S ‖ **16** κατείληφα L: ὑπείληφα P S | πολλὰ L: πλεῖστα P S

χεὶρ ἰδιῶτις τῷ πλήρει καὶ ὑπερπλήρει, οὐ διὰ πλῆθος χρημάτων, 20
ἀλλὰ διὰ τὸ τῆς προαιρέσεως δαψιλές τε καὶ πλούσιον;

50. Τῷ καίσαρι ⟨Ἰωάννῃ τῷ Δούκᾳ⟩

S 71 [P]

Αἴθε γενοίμην ἔλαφος, καῖσαρ, ἀλλόμενος ἐν λόχμαις, ἐν ὄρεσιν· αἴθε λέων ἢ πάρδαλις, ἐν Χοιροβάκχοις ᾄττων ἢ καὶ βρυχώμενος, ἔνθα αἱ σαὶ θῆραι καὶ ταῦτα δὴ τὰ λαμπρὰ κυνηγέσια. Ἡδέως ἂν ἐδεξάμην σου τὴν πληγήν· ἡδέως ὑπέδυν τὸν σίδηρον. Ἀλλ᾽ οὐδ᾽ ἂν ἔτρωσας ἴσως· προσεληλύθειν γὰρ ἄν σοι καὶ προσυπήντησα, 5
καὶ τὴν δέρριν προέτεινα· καὶ ἐθήρασα ἂν ἢ ἐθηράθην σοι.

Ἀλλὰ μὴ πάντα βούλου θηρᾶν. Γίνου δὲ καὶ αὐτὸς τοῦ λόγου θήραμα· εἴτε γὰρ λέων εἶ, ἀνυπόστατος τὴν ὁρμήν, χάλασον τῷ λόγῳ τὸ βλοσυρόν τε καὶ ἐπισκύνιον· εἴτε πάρδαλις ὀξύρροπος τὴν

2 Χοιροβάκχοις: fundus familiae Ducae; cf. e.g. Mich. Attal. Ἱστορία 85 ἔξεισι (scil. Const. X Ducas) τῆς βασιλευούσης καὶ καταντικρὺ τοῦ Ἀθύρος περὶ τόπον οὕτω καλούμενον Χοιροβάκχους, ἐν ᾧ καὶ βασιλικαὶ παραπεπήγασι κτήσεις cum Cheynet I,252–254 ‖ **8–9** χάλασον – ἐπισκύνιον: cf. Theocr. Ἡρακλίσκος = Id. 24,118 τοῖον ἐπισκύνιον βλοσυρῷ ἐπέκειτο προσώπῳ et Philostr. Jun. Εἰκόνες 871,22–23 τίς ἡ βλοσυρὸν μὲν ἐπισκύνιον ὑπὲρ ὀφθαλμῶν αἴρουσα. cf. Psel. Χρονογραφία IV,13 κεχάλαστο δ᾽ ὅμως τὸ βλοσυρὸν τῷ θηρὶ καὶ τὸ ἐπισκύνιον οὐδαμοῦ et VI,77 τὸ δὲ ὅρμημα τούτῳ ὁποῖον λέοντος, καὶ τὸ ἐπισκύνιον βλοσυρόν et Χαρακτῆρες Γρηγορίου τοῦ θεολόγου, τοῦ μεγάλου Βασιλείου, τοῦ Χρυσοστόμου, καὶ Γρηγορίου τοῦ Νύσσης 128,9–10 λέων τις ἐγεγόνει σώζων μὲν ἑαυτῷ καὶ τὸ βλοσυρὸν ἐπισκήνιον. cf. Π 254,42 βλοσυρὸν χαλάσας τὸ ἐπισκύνιον. cf. etiam Π 120,60 ὑποχαλῶ τι τοῦ βλοσυροῦ ‖ **9–10** πάρδαλις – φοράν: Bas. Caes. Εἰς τὴν ἑξαήμερον 9,3,19–20 ῥαγδαῖον ἡ πάρδαλις, καὶ ὀξύρροπον ταῖς ὁρμαῖς

ep. 50 L 55r, P 205v, Y 118r; tit. scripsi: τῷ καίσαρι L P S τοῦ αὐτοῦ Y ‖ **1** αἴθε L P S: εἴθε Y ‖ **2** αἴθε L P S: εἴθε Y | βρυχώμενος L P S: βρυχόμενος Y ‖ **3** ταῦτα δὴ P Y S: om. L ‖ **4** τὸν σίδηρον L Y S: τὴν σίδηρον P ‖ **5** καὶ προσυπήντησα L P S: προὐπήντησα Y ‖ **6** δέρριν L: δέρην P Y S | προέτεινα P Y S: ὑπέτεινα L ἐθηράθην L P S: ἐθηρασάμην Y | σοι L P Y: σου S ‖ **7** βούλου P Y S: βούλει L γίνου L P S: γενοῦ Y

10 φοράν, στῆθι τοῦ δρόμου, καὶ ἡδέως τῷ τοῦ λόγου λειμῶνι προσαναπαύθητι. Βάλλομεν καὶ ἡμεῖς τοὺς θηροφόνους ὑμᾶς, οὐ διὰ τῶν πλευρῶν ἀλλὰ διὰ τῶν ἀκοῶν, γοητεύοντες ὑμῶν τὰ ὦτα καὶ οἷον καταφαρμάττοντες ἀρρήτοις ἐπᾴσμασι. Σὺ δὲ καὶ ἤδη τέτρωσαι παρ' ἐμοῦ καὶ ἀνέῳκται ἡ πληγή, ὥστε ῥᾷστα διὰ ταύτης τὸν
15 ἐμὸν λόγον εἰς τὴν σὴν διολισθαίνειν ψυχήν.

51. Τῷ αὐτῷ

Τῷ καίσαρι ⟨Ἰωάννῃ τῷ Δούκᾳ⟩. ca. a. 1060 – a. 1067

S 72 [P]

Σύγχαιρέ μοι, μέγιστε καῖσαρ, μᾶλλον δὲ χαῖρε προηγουμένως· Ψελλὸς γάρ σοι γεγένηται ἕτερος, ἐμοὶ τῷ πρωτοτύπῳ ἀνθάμιλλος· οὕτω γάρ με πείθουσι λέγειν αἱ περὶ τὴν λεχῶ, ψευδόμεναι μὲν ἴσως, ἀλλὰ κατὰ τὸ ἐμὸν φθεγγόμεναι βούλημα.
5 Ἆρ' οὖν ἐκαρτέρησα καὶ αὐτίκα ἰδεῖν τὸ βρεφύλλιον; Οὔ· μὰ τὴν ἱεράν σου κεφαλήν! Ἀλλὰ καὶ συνηγκαλισάμην καὶ κατεφίλησα, καὶ τὰ χείλη μικροῦ δεῖν καθῃμάτωσα, ὥσπερ ἐκ πολέμου

10 τῷ – λειμῶνι: cf. Π 167,51 ὥσπερ ἐν λειμῶνι ταῖς ἐμαῖς διαναπαύῃ ἐπιστολαῖς, Π 202,199–200 ἐπὶ τοὺς λειμῶνας βαδιοῦμαι τῶν λόγων, et Π 459,31–32 τὰ ἐμὰ γράμματα, ὥσπερ κῆποί τινες ἢ λειμῶνες. cf. etiam Liban. Πρὸς τοὺς Ἀντιοχέας ὑπὲρ τῶν ῥητόρων = Or. 31,18,10 τὸν λειμῶνα τῶν λόγων ‖ **14–15** ῥᾷστα – ψυχήν: cf. Lucian. Ἀληθῆ διηγήματα 2,2 λείως ... διολισθάνοντες et Περὶ τοῦ οἴκου 12,9 λείως ... διολισθάνουσαν. cf. etiam Π 187,54 οὐ διολισθαίνουσα λείως εἰς τὴν ψυχὴν et Π 268,49–50 οὐ τοίνυν διολισθήσει τὸ μέλος ὁμαλῶς πρὸς τὴν μήνιγγα ‖ **2** Ψελλὸς – ἕτερος: de quo cf. etiam Theophyl. Achr. Epist. 27 ... ὁ γάρ τοι τὸ παρὸν ἡμῖν ἐγχειρίζων τῇ σῇ λαμπρότητι γραμματίδιον θυγατριδοῦς μὲν ἐκείνου (scil. τοῦ Ψελλοῦ) ... ἐλεῶ γὰρ τὸν νεανίαν ὡς πάλαι τότ' ἐν ὀλβίοις ἰδὼν καὶ τὴν τοῦ πάππου τούτου ψυχὴν δέδοικα ... etc. ‖ **5** τὸ βρεφύλλιον: cf. etiam Psel. Εἰς τὸν αὐτοῦ ἔκγονον ἔτι νήπιον ὄντα = Or. min. 38,2 (et 17) οὐκ ὄψομαί σε ἴσως, φίλτατόν μοι βρεφύλλιον καὶ ψυχῆς ἐμῆς ἔκγονον ‖ **7–8** ὥσπερ – αἵματι: cf. e.g. Hom. Il. 11,169 Ἀτρεΐδης, λύθρῳ δὲ παλάσσετο χεῖρας ἀάπτους et 20,503 Πηλεΐδης, λύθρῳ δὲ παλάσσετο χεῖρας ἀάπτους. cf. etiam Π 128,2–3 ὥσπερ ἐκ πολέμου καὶ μάχης αἱμάτων πλῆρες καὶ λύθρῳ μεμολυσμένον

10 ἡδέως L: om. P Y S ‖ **13** καταφαρμάττοντες P Y S: καταφράττοντες L | καὶ P Y S: om. L ‖ **14** ἀνέῳκται L P S: ἀνέωται Y | διὰ ταύτης L Y: δι' αὐτῆς P S **15** εἰς L P S: πρὸς Y ‖ **ep. 51** P 205v; tit. P S ‖ **7** ἐκ corr. S: ἐκ ἐκ P

ἀριστέα περιπτυξάμενος πεφοινιγμένον τῷ αἵματι· ἔδει με γὰρ φιλοσοφίαν ἐπαγγελόμενον μηδ' αὐτὸ τοῦτο εἰδέναι, τί νηδύς, τί τόκος, τί παιδίον νεογιλόν, ἀλλὰ μόνης τῆς χρυσῆς σειρᾶς ἐξηρτῆ- 10 σθαι τοῦ οὐρανοῦ. Ἀλλ' ἐγὼ πρὸς μὲν τὰς μαθήσεις ἀρρενωπότερον ἴσως διάκειμαι, πρὸς δὲ τὴν φύσιν θῆλύς εἰμι.

Ὡς γοῦν ἤρξατό μοι ὠδίνειν τὸ θυγατρίδιον καί μέ τις ἐξέπληξεν εἰπὼν ὡς δριμεῖαι ὠδῖνες πρὸς τὸν τόκον ἐπείγουσι, μικροῦ δεῖν αὐτίκα ἐξέθανον. Περιείλιττον γοῦν τὸν κοιτωνίσκον ἐν ᾧ 15 ὠδίνουσα ἔτυχε καὶ τῶν ἐκείνης ἐξεκρεμαννύμην φωνῶν. Ὁμοῦ δὲ τὸ βρέφος τῆς μητρικῆς νηδύος ἐξέθορε, κἀγὼ ἐπιλελήσμην τῶν ὀδυνῶν· οὐ γὰρ Σκύθης εἰμὶ τὴν ψυχήν, οὐδ' ἀπὸ δρυός ἢ πέτρας γεγένημαι, ἀλλὰ φύσεώς εἰμι τῆς ἁπαλῆς βλάστημα, καὶ τοῖς φυσικοῖς πάθεσι μαλθακίζομαι. 20

Σὺ δὲ ὁ τοιοῦτος, ὁ ἐμβριθὴς τὴν ψυχήν, ὁ τὸν νοῦν σταθηρός, ὡς δ' ἐγώ τινος τῶν περὶ σὲ ἤκουσα, ὅτι καὶ εἰς ὀλοφύρσεις

10–11 τῆς – οὐρανοῦ: cf. Hom. Il. 8,19 σειρὴν χρυσείην ἐξ οὐρανόθεν κρεμάσαντες cum Psel. Περὶ τῆς χρυσῆς ἁλύσεως = Phil. min. I 46. cf. etiam Psel. Χρυσόβουλλος = Or. for. 7,14, Χρυσόβουλλον ... σταλὲν πρὸς τόν Ῥόμπερτον παρὰ τοῦ βασιλέως κυροῦ Μιχαὴλ τοῦ Δούκα = Or. for. 8,23–25, Ἐγκώμιον εἰς ... Κωνσταντῖνον ... τὸν Λειχούδην = Or. fun. I 2,6,60–61, Ἐπιτάφιος εἰς Νικήταν μαΐστωρα τῆς σχολῆς τοῦ ἁγίου Πέτρου = Or. fun. I 4,6,8–10, Πρὸς τὸν λοίδορον ῥίψαντα χάρτην = Or. min. 7,49, Εἰς τὸν ... Κωνσταντῖνον τὸν Μονομάχον = Or. pan. 6,69, Ἐγκώμιον εἰς τὴν δέσποιναν = Or. pan. 11,60 et Π 167,44 et Π 206,47 ‖ **12** πρὸς – εἰμι: cf. Π 306,19–20 ἐπειδὴ καὶ τοιοῦτος ἐγὼ τὴν ψυχήν, θῆλυς ἀτεχνῶς καὶ εὐσυμπάθητος. cf. etiam Π 128,42–43 εἰ μὲν θηλείας τοῦτο ψυχῆς, οὐ πάνυ τι οἶδα, ἐμοὶ γοῦν τὸ ἦθος τέως οὕτω διατετύπωται, καὶ ἡ φύσις. cf. etiam Papaioannou 2013,195–215 ‖ **16–18** ὁμοῦ δὲ – ὀδυνῶν: cf. Ioann. 16,21 ἡ γυνὴ ὅταν τίκτῃ λύπην ἔχει, ὅτι ἦλθεν ἡ ὥρα αὐτῆς· ὅταν δὲ γεννήσῃ τὸ παιδίον, οὐκέτι μνημονεύει τῆς θλίψεως διὰ τὴν χαρὰν ὅτι ἐγεννήθη ἄνθρωπος εἰς τὸν κόσμον ‖ **18** οὐδ' – πέτρας: Hom. Il. 22,126 οὐ μέν πως νῦν ἔστιν ἀπὸ δρυὸς οὐδ' ἀπὸ πέτρης (cf. Od. 19,163); cf. etiam Plat. Ἀπολογία Σωκράτους 34d γὰρ τοῦτο αὐτὸ τὸ τοῦ Ὁμήρου, οὐδ' ἐγὼ 'ἀπὸ δρυὸς οὐδ' ἀπὸ πέτρης' πέφυκα ἀλλ' ἐξ ἀνθρώπων. cf. Psel. Βίος καὶ πολιτεία ... Αὐξεντίου ... = Or. hag. 1b,76 et Π 400,15 ‖ **18–20** οὐδ' – μαλθακίζομαι: cf. Π 128,15–16 ἐλέγχει δέ με τὸ ἦθος ἀφιλοσόφως ἐπὶ τοῖς φυσικοῖς διακείμενον πάθεσιν et Π 400,15–17 οὐδ' ἀπὸ δρυὸς ἢ πέτρης τὴν γένεσιν ἔσχηκα, ἀλλὰ τῆς ἁπαλῆς φύσεως πέφυκα βλάστημα καὶ τοῖς φυσικοῖς πάθεσι μαλθακίζομαι. cf. etiam Papaioannou 2013,195–215. iunctura Pselliana in Eumath. Macremb. Τὸ καθ' Ὑσμίνην καὶ Ὑσμινίαν δρᾶμα 3,7,6 ἐμαλθακιζόμην τὴν ψυχὴν laudata?

ἐκπέπτωκας δυστοκούσης τῆς νύμφης σου. Ἀλλ' ἐγὼ ἤλγησα μὲν περιπαθῶς, οὐκ ἐδάκρυσα δέ· φιλοσοφώτερος οὖν εἰμι σοῦ τοσοῦ-
25 τον ὅσον μὴ ἀποθλίψαι δάκρυον στενωθείσης μοι τῆς ψυχῆς.
Ἀλλὰ τούτων μὲν ἅλις. Σὺ δὲ σκέψαιο, πῶς ἂν τὸ ἀποτοῦδε δυσὶν ἀρκέσεις Ψελλοῖς. Γράμμα δὲ περὶ τούτου καὶ πρὸς τὸν αὐτοκράτορα πέπομφα. Εἰ μὲν οὖν περισσόν, μὴ δοθείη· εἰ δ' οὖν, γενέσθω κατὰ τὴν σὴν διάταξιν.

52. ⟨Τῷ καίσαρι Ἰωάννῃ τῷ Δούκᾳ⟩
ca. a. 1060 – a. 1067

S 151 [P]

Μὴ θαυμάσῃς, μέγιστε καῖσαρ, εἰ τοσοῦτον μετόν μοι τῆς πρὸς σὲ παρρησίας, ὅτι καὶ γράμμασι μόνοις ἐπιχειρῶ ἑλεῖν σε πρὸς ὅπερ βούλομαι τὸν πάντα ἀνάλωτον, ἐπεὶ καὶ Ἑλισσαῖος ὁ θαυμάσιος ἐκεῖνος προφήτης τὸ παιδίον Γιεζῆ ἀποχρῶν ἡγεῖτο πρὸς τὰς
5 ὑπερφυεῖς θεραπείας καὶ τῇ ῥάβδῳ μόνῃ ἐπίστευε τὰ θαυμάσια. Οὐδ' ὁ ἐμὸς τοίνυν λόγος ἐλάττων ἢ τοῦ θεράποντος ἢ τῆς προφητικῆς βακτηρίας, καὶ ταῦτα παρὰ σοὶ κριτῇ τὰ κατὰ πάντων δεδωκότι μοι νικητήρια. Νικῶ δὲ παρὰ σοὶ λέγων, οὐ τῇ τοῦ λόγου δυνάμει, ἀλλὰ τῷ δεκτικῷ τῆς σῆς φύσεως, καὶ τῷ
10 βούλεσθαι ὃν πολλάκις ἐπὶ τοῖς λόγοις ἐπῄνεσας, τοῦτον διὰ τοὺς λόγους ἐπὶ πᾶσι τιμᾶν.
Εἰ μὲν οὖν αὐτὸς θαμίζων πρὸς σὲ πολλάκις σου κατεδεόμην περὶ τοῦ παρόντος κριτοῦ, εἶτα καὶ ἐπηνάγκαζον, κἀντεῦθεν αὐτὸς ἐπιτελῆ μου ἐποίεις τὴν δέησιν, οὐ τοσοῦτον ἂν ἦν τὸ πρᾶγμα
15 καινόν. Εἰ δὲ διὰ μόνης ἐπιστολῆς ἐκπληρώσειάς μου τὴν περὶ τοῦ ἀνθρώπου ἀξίωσιν, καὶ γένοιτο τούτῳ τὰ πρὸς βασιλέα ὁπόσα δὴ

27–28 τὸν αὐτοκράτορα: Constantinus X Ducas (imperator: 23/24.XI.1059 – 22/23.V.1067) (Π XVIII) ‖ **3–5** Ἑλισσαῖος – θαυμάσια: cf. IV Reg. 4,8–37 **5** ὑπερφυεῖς θεραπείας: cf. Psel. Χρονογραφία IV,34 φιλοσόφοις ἀνδράσι … ὑπερφυῶς θεραπεύοντα ‖ **16** βασιλέα: Constantinus X Ducas (imperator: 23/24.XI.1059 – 22/23.V.1067) (Π XVIII)

ep. 52 P 223r; tit. scripsi: ⟨πρὸς Δούκαν τὸν Καίσαρα⟩ S

αὐτός τε βεβούληται, κἀγὼ ἀξιῶ, τοῦτο δή σοι ἐστὶ τὸ λαμπρὸν καὶ φιλότιμον καὶ τὴν πρὸς ἐμέ σου δηλοῦν μεγίστην καὶ θαυμασιωτάτην διάθεσιν.

Ὅτι μὲν οὖν δικαστικὴν ἔχων ψυχὴν ὁ ἀνήρ, ἔτι καὶ τοῖς περὶ 20 τὴν κουρατωρείαν πράγμασι μετὰ τῆς ἀκριβοῦς δικαιοσύνης ἐχρήσατο, αὐτὸς προλαμβάνεις καὶ μαρτυρεῖς. Ὅτι δὲ καὶ οὕτως ἔχων καὶ γνώμῃ ἀρίστῃ χρησάμενος, δυσκόλοις πολλοῖς ἐντετύχηκε καὶ τῶν οἰκείων παντάπασιν ἠλλοτρίωται, ἀτυχεῖ τε πολλὰ καὶ ὅσα ἀνθρώπους ἀτυχῆσαι δύναται, αὐτὸς ἂν πρὸ πάντων 25 εἰδείης.

Εἰ δὲ βούλοιο καὶ παρ' ἐμοῦ τινὰ μαρτυρίαν λαβεῖν, οὐ τῆς σήμερον μόνον τροφῆς ἀμοιρεῖ, ἀλλὰ καὶ τῆς χθὲς καὶ προτρίτης ἐστέρηται. Καὶ ἦν ἂν ἀνεκτὸν αὐτῷ τὸ λιμώττειν, εἰ μόνῳ αὐτῷ τοῦτο δὴ ἐκινδύνευε· νῦν δὲ μετὰ γυναικὸς καὶ παίδων ὑφίσταται 30 τὸ δεινόν, ἄνθρωπος (νὴ τὴν ὑγείαν σου!) καὶ τὰ πρῶτα λογίων καὶ εἰδήμων πολλῶν, καὶ τοῖς νῦν πρώτοις ἐπὶ τοῖς πρώτοις ἐφάμιλλος. Ποῖ τοιγαροῦν καταφεύξεται; Ποίας δὲ ἀγκύρας ἑτέρας ἕξεται εἰ μὴ τῆς σῆς;

Ἔχεται τοιγαροῦν ταύτης ἰσχυρῶς, καὶ συνεπιδεσμῶ τοῦτον 35 καὶ αὐτὸς ἐγὼ τῇ ταύτης ἰσχυρᾷ κραταιότητι, καὶ ἤν γε βούλῃ τάχα καὶ δύνῃ περὶ τὸν ἄνδρα σοφῶς· οἶδα γάρ σου τὸ παντοδαπὸν τῆς γνώμης καὶ εὔπορον, καὶ τὸ πρὸς τὸν ἀδελφὸν καὶ βασιλέα εὔκαιρόν τε καὶ ἐπιτήδειον.

Γενοῦ οὖν Ἐλέου βωμὸς καὶ νῦν μᾶλλον ὅτε τούτου καιρός, καὶ 40 μνήστευσον αὐτῷ ἐπαρχίαν θεματικήν. Κἂν ἐγγύας ἀπαιτηθῇς, θαρρούντως ἐγγύησαι· οὐ γὰρ μόνον δικαίως τῷ λαχόντι τοῦτον θέματι διαπρέψειεν, ἀλλὰ καὶ εἴ τις πρόφασις δι' ἣν ἂν αὐξηθείη

17–18 λαμπρὸν – φιλότιμον: cf. Dem. Κατὰ Μειδίου = Or. 21,159,7–8 ὃς ἂν ἐν τούτοις λαμπρὸς καὶ φιλότιμος ᾖ. cf. etiam e.g. Plut. Πολιτικὰ παραγγέλματα 809c2 φιλοτίμῳ δὲ καὶ λαμπρῷ τὴν ψυχήν et Greg. Naz. Epist. 166,2 λαμπρὸν καὶ φιλότιμον, etc. ‖ **24–25** ἀτυχεῖ – δύναται: Synes. Cyren. Epist. 10,5–6 ἀτυχῶ δὲ πολλὰ καὶ ὅσα ἄνθρωπος ἀτυχῆσαι δύναται **31** νὴ – σου: cf. Gen. 42,15 et 16 νὴ τὴν ὑγίειαν Φαραω ‖ **33–34** ποίας – σῆς: cf. Π 9,26–27 ἐπὶ τὴν ἐμὴν ἀπέβλεψεν (ὡς οἴεται) ἄγκυραν ‖ **40** Ἐλέου βωμὸς: cf. e.g. Philostr. Βίοι σοφιστῶν II,12 (593,22) τίς ὁ παρ' Ἀθηναίοις Ἐλέου βωμός. cf. etiam Suda ε 795

36 βούλῃ scripsi: βούλοιο P S

θησαυρὸς βασιλέως, ταύτην τε ἐπαυξήσειε καὶ προσποριεῖται τῷ
45 ταμιείῳ.

Δύο γοῦν τὰ κάλλιστα περανεῖς, τοῦτόν τε τῶν ἀτυχημάτων ἀπαλλάττων, κἀμὲ τούτου ἐλευθερῶν· ἀκλητὶ γάρ μοι ἐπιπεφόρτισται, καὶ οὐκ ἔχω ὅπως αὐτὸν ἀποσείσομαι· ἀλλὰ πρόφασιν μέν μοι ποιεῖται Πάτροκλον, μαθημάτων ἕνεκεν πρός με παραγινόμε-
50 νος, εἶτα δή μου ἀπρὶξ ἔχεται ταῖν χεροῖν ὥσπερ βάτραχος, εἰ μή πού τι καὶ τῷ ζώῳ παρόμοιος.

53. ⟨Τῷ καίσαρι Ἰωάννῃ τῷ Δούκᾳ⟩

ca. a. 1060 – a. 1067

S 152 [P]

Τί με περικυκλοῖς, ἀτίμητε καῖσαρ, καὶ κρείττων παντὸς ὀνόματος κρείττονος; Τί με πολιορκεῖν ἐπιχειρεῖς, καί μου πειρᾷ τῆς ψυχῆς εἴ που εὕροις ἀνεῳγυῖαν πυλίδα, ὡς ἂν λάθῃς εἰσεληλυθώς, καὶ τυραννήσῃς μου τῶν ἠθῶν ἐπ' ἀκροπόλει

48–49 πρόφασιν – Πάτροκλον: Hom. Il. 19,302 Πάτροκλον πρόφασιν cum CPG I 294 (nr. 47) et II 606 (nr. 8) ‖ **1–2** τί με – ἐπιχειρεῖς: cf. Π 60,13–14 τί με περικυκλοῖς πάντοθεν, καὶ περιορύττεις κύκλωσε ‖ **3–4** εἴ – εἰσεληλυθώς: cf. Psel. Εἰς τὸ 'ἔστι τοίνυν ἐξετάσαι πρᾶγμα καὶ δόγμα' = Theol. I 100,70–71 πυλίδα τινὰ τῷ τείχει λεληθότως ἀνέῳξε καὶ πάροδον ἐκεῖθεν ἐφ' ἑαυτὸν δέδωκε τῷ ἐχθρῷ, Π 146,133 παραδύῃ λεληθότως ἐς τὴν τῆς φιλοσοφίας πυλίδα, et Π 355a,8 τὴν πυλίδα παρήνοιξας ‖ **4–5** τυραννήσῃς – νοῦ: cf. Plat. Πολιτεία 560b7–8 κατέλαβον τὴν τοῦ νέου τῆς ψυχῆς ἀκρόπολιν et Philo Περὶ τῶν ἐν μέρει διαταγμάτων 4,49 μετανισταμένου μὲν τοῦ λογισμοῦ καὶ παρακεχωρηκότος τὴν τῆς ψυχῆς ἀκρόπολιν cum Greg. Nys. Εἰς τοὺς μακαρισμούς 3 (PG 44 1228,21–26) ἕκαστον γὰρ τῶν ἐν ἡμῖν παθῶν ... καθάπερ τις τύραννος καταλαβὼν τῆς ψυχῆς τὴν ἀκρόπολιν, δι' αὐτῶν τῶν ὑποχειρίων κακοῖ τὸ ὑπήκοον, ὑπηρέταις τοῖς ἡμετέροις λογισμοῖς πρὸς τὸ δοκοῦν ἑαυτῷ καταχρώμενος. cf. Psel. Ἐκ τοῦ τῆς Πεντηκοστῆς λόγου, εἰς τὸ 'ἔστι διαφορὰ χαρισμάτων' = Theol. I 60,26, Εἰς τὸ 'ἐπλήσθησαν οἱ ἀπόστολοι ...' = Theol. I 74,70, et Π 109,53–54; cf. etiam Π 146,20 ‖ **4–6** τυραννήσῃς – τύραννον: cf. Psel. Πρὸς τὸν πατριάρχην κῦρ Μιχαὴλ περὶ τοῦ ὅπως ποιητέον χρυσόν 26,4 ἡ τῆς ἐμῆς ψυχῆς τυραννίς

ep. 53 P 223r–v, B 176v; tit. scripsi: ⟨πρὸς τὸν αὐτόν = Δούκαν τὸν Καίσαρα⟩ S ‖ **1** κρείττων P S: κρεῖττον B ‖ **3** εἴ που P S: ὅπου B ‖ **4** ἀκροπόλει P S: ἀκροπόλεως B

καθίσας τοῦ νοῦ; Ἤδη σοι ἑαλώκειν, καὶ ἐκπεπολιόρκημαί σοι ὡς ἥδιστα, αὐτὸς ἑαυτῷ τὸν ἐμόν σε ὑπαγόμενος τύραννον, καὶ προδιδούς σοι τὴν ἐμὴν ψυχὴν ὥστε διασπαράττειν καὶ διασπᾶν. Τέως δὲ ᾤμην ἀήττητος εἶναι. 5

Μᾶλλον δὲ τί μὴ πρότερον διηγοῦμαί σοι τὰς ἀφορμὰς τοῦ θυμοῦ, καὶ ὀνειδίζω σοι τὴν ὑπεροψίαν ἡμῶν, ὦ τάχιστα διαιρούμενε τῶν ἐμῶν ὀφθαλμῶν, καὶ τῆς ἐμῆς ψυχῆς ἀποδημῶν ἀνηδύντως (ἔδει γάρ με καὶ ταύτην ὑποστῆναι τὴν συμφοράν, καὶ μήτε ποσὶ προπέμψαι σε τῶν ἐνταῦθα ἀπαίροντα, μήτε μὴν ὀφθαλμοῖς); Ἀλλ' ἐπειδή σοι ὁ τῆς ἀποδημίας ἔρως ἀπέσβη, καί σοι ἐπανῆλθον οἱ καθήκοντες λογισμοί, αὐτὸ δή σοι τὸ ἐμὸν ἔθραξεν, ὅτι παρεώρακας, ὅτι κατωλιγώρηκας, (εἴπω τἀληθές;) ὅτι καταπεφρόνηκας. Καί με θηρᾶσαι βουλόμενος τὸν ἀπὸ σοῦ πτερυξάμενον, καινόν τινα ἐπεχείρησας τρόπον, κατεπᾴσας τοῖς γράμμασιν, ὥς που τοὺς δράκοντας οἱ Ἰνδοὶ τοῖς ἐπᾴσμασιν. 10 15

Οἱ μὲν οὖν τῶν Ἀσσυρίων τελεσταὶ κακοποιὸν ἐκφοβῆσαι βουλόμενοι δύναμιν, ψοφοδεὲς δὲ τοῦτο τὸ γένος καὶ ταῖς ἀπειλαῖς κραδαινόμενον, ἀνακυκῆσαι τούτοις ἐπαπειλοῦσι τὴν θάλασσαν, καὶ τὰ τοῦ Ἴσιδος δεῖξαι ἀπόρρητα, καὶ μελιζόμενον τὸν Διόνυσον· κἀντεῦθεν δεδίασιν ἐκεῖνοι καὶ τοῖς κλήτορσιν αὐτίκα ὑπείκουσι. 20

5–7 ἤδη σοι – διασπᾶν: cf. Π 60,27–29 ἐμὲ δὲ οὐκ ἂν λάβοις ποτέ, οὐδὲ διασπαράξῃς, οὔτε κυσὶν, οὔτε δόρασιν. ἵνα δέ σοι τἀληθὲς ἐρῶ, ὅλος ἐγώ σοι τεθήραμαι ‖ **10** ὀνειδίζω σοι: cf. Plat. Γοργίας 526e4 ‖ **15** ἔθραξεν: vox Platonica; cf. Plat. Φαῖδρος 242c7 et Παρμενίδης 130d5 cum e.g. Synes. Cyren. Epist. 121,13. cf. Π 110,16 et Π 243,32 ‖ **19** τοὺς – ἐπᾴσμασιν: cf. e.g. Timoth. Gramm. Excerpta ex libris de animalibus 25,15 τούτους (scil. τοὺς δράκοντας) δὲ γοητεύοντες οἱ Ἰνδοὶ κοιμίζουσι. cf. Π 268,32–36 ‖ **20** Ἀσσυρίων: i.e. Χαλδαίων (cf. Psel. Ἔκθεσις ... τῶν παρ' Ἀσσυρίοις δογμάτων = Phil. min. II 41)? ‖ **23** τοῦ Ἴσιδος: scil. Osiris vel Dionysus, filius Isidi
20–24 οἱ μὲν – ὑπείκουσι: cf. Iambl. Περὶ τῶν αἰγυπτίων μυστηρίων 6,5,4–9 μερίζεται δὲ περὶ τὸ πλῆθος τῶν ἀπειλῶν πολυμερῶς ... ἢ τὰ κρυπτὰ τῆς Ἴσιδος ἐκφανεῖν ... ἢ τὰ μέλη τοῦ Ὀσίριδος διασκεδάσειν τῷ Τυφῶνι ἢ ἄλλο τι τοιοῦτον ἀπειλεῖ ποιήσειν. cf. etiam Euseb. Εὐαγγελικὴ προπαρασκευή 5,10,4

6 τὸν – σε P S: σε τὸν ἐμόν B ‖ **9** μὴ : μοι S ‖ **11–12** ἀνηδύντως P S: ἀνωδύνως B ‖ **15** ἔθραξεν P S: ἔφραξαν B ‖ **20** τελεσταὶ P S: τελεταὶ B ‖ **23** τοῦ P S: τῆς B
24 κλήτορσιν P S: ἀλάστορσιν B

25 Σὺ δέ με ἑλεῖν πειρώμενος, τοὐναντίον ποιεῖς, καλλίστοις πρός με χρώμενος τοῖς ὀνόμασι: «τῷ ἀδελφῷ, τῷ φίλῳ, τῷ ἰσοψύχῳ».

Ἀπηώρησάς με, καῖσαρ, λαβὼν τοῦ ὠτός, καί σου τὸ γλυκύτατον καταπέπωκα δέλεαρ, καὶ τὸ ἄγκιστρον ἔχω περιπαρὲν τῇ ψυχῇ. Καὶ ὁ πρὸ τοῦ πῦρ ἀτεχνῶς πνέων, καὶ τῇ γλώττῃ βροντῶν
30 ἐπὶ σέ, καὶ μέγα κεκραγώς, ὅτι μοι τῆς φιλίας παραρρήγνυνται οἱ δεσμοί, νῦν ἀθρόον ἥμερόν σοι βλέπω, καὶ γαλήνην ἐκ κυμάτων ὁρῶ, καὶ ἁλώσιμος γίνομαι τῇ τυραννούσῃ ψυχῇ.

Οἱ δὲ γέρανοι ἔτι; καὶ ἀκμὴν ἀρκοῦσιν οἱ ἔλαφοι; ἀθρόον γάρ με ὁ δαπανῶν ὑφείλετο λογισμός. Τί δέ σοι καὶ τῇ μεταβολῇ;
35 Οὐχ ὁ ἀδελφὸς ἀρκεῖ ἀντὶ πάσης ἡδύτητος; Οὐχ αἱ τῆς νύμφης ὧραι εἰς ἡδονὴν ἀποχρῶσί σοι; Ἐγὼ δέ σοι ψελλίζων καὶ στωμυλλόμενος, πόσων γερανῶν ἀντάξιος; Εἰ δέ με βούλει θηρᾶν, ὑπὲρ κεφαλήν σοι πτερύξομαι, καὶ νέφει σοι καλυφθήσομαι. Καὶ θηράσεις μὲν ἥν γε βούλωμαι, οὐ θηράσεις δὲ ἥν γε μὴ βούλωμαι·
40 ἐλεύθερον γὰρ κἀγὼ ζῶον καὶ ἄνετον, φωνῆς φορολόγου μὴ

26 τῷ ἰσοψύχῳ: Ps. 54,14 ἄνθρωπε ἰσόψυχε. cf. Psel. Λόγος εἰς τὴν σταύρωσιν = Or. hag. 3a,794, Π 92,1, Π 100,1, Π 163,1, Π 209,1–2, Π 304,2, Π 462,2, Π 494,1, Π 508,1, Π 551,1, et Π 553,1 ‖ **31–32** γαλήνην – ὁρῶ: proverbium; CPG II 389 (nr. 88d). cf. Psel. Ἐγκώμιον εἰς … Κωνσταντῖνον … τὸν Λειχούδην = Or. fun. I 2,16,12 et Π 107,4 et Π 168,32–33 ‖ **35** ὁ ἀδελφὸς: Constantinus X Ducas (imperator: 23/24.XI.1059 – 22/23.V.1067) (Π XVIII) ‖ **36** ἐγὼ … ψελλίζων: cf. Π 38,15–16 ἡ ἐμὴ ψελλίζουσα … ἐξαρκέσει φωνή, Π 38,52–53 ὑπεψιθύρισα … παραψελλίζων, Π 96,8–10 εἰ γὰρ καὶ σύμψελλοι καὶ ὁμόγλωσσοι, ἀλλὰ κρείττων ἡ ἐμὴ γλῶττα τῆς σῆς, et Π 167,52 ἡ καθ' ἡμᾶς ἀηδὼν ἐμμελῶς … ὑποψελλίζει τὸ μέλος. cf. Psel. Omn. doctr. 8 ἐγὼ μὲν εἰμὶ …ὑπόψελλος ‖ **40–41** ἐλεύθερον – κατακούων: Greg. Naz. Εἰς ἑαυτὸν, ἐξ ἀγροῦ ἐπανήκοντα μετὰ τὰ κατὰ Μάξιμον = Or. 26,13 πάντα ἐνδώσει πρότερον, ἢ φιλόσοφος. ὄνος ἐστὶν ἄγριος ἐν ἐρήμῳ, φησὶν ὁ Ἰὼβ, ἄνετος καὶ ἐλεύθερος, καταγελῶν πολυοχλίας πόλεως, μέμψιν φορολόγου μὴ ἀκούων. μονόκερώς ἐστι, ζῶον αὐτόνομον. cf. Job 39,5–7 τίς δέ ἐστιν ὁ ἀφεὶς ὄνον ἄγριον ἐλεύθερον, δεσμοὺς δὲ αὐτοῦ τίς ἔλυσεν; … καταγελῶν πολυοχλίας πόλεως, μέμψιν δὲ φορολόγου οὐκ ἀκούων. cf. Psel. Ἐγκωμιαστικὸς εἰς … Μιχαὴλ τὸν Κηρουλλάριον = Or. fun. I 1,56,8–9 ὃν ἐν οὐρανῷ εἶχε Θεὸς πᾶσι μέρεσιν ἄνετον καὶ ἐλεύθερον et Λόγος ἐπὶ τῷ ἐν Βλαχέρναις γεγονότι

28 περιπαρὲν P S: παρὰ B ‖ **30** παραρρήγνυνται P S: περιρρήγνυνται B **32** ψυχῇ P S: χιρὶ B ‖ **34** καὶ P S: om. B ‖ **38** κεφαλήν P S: κεφαλῆς B ‖ **39** οὐ – βούλωμαι² B: om. P S ‖ **40** ζῶον – ἄνετον : ζῶ[ca. 10 litt.] B

κατακούων. Ἔστι σοι κἀνταῦθα θήρα παντοδαπὴ καὶ λαμπρότερα τρυφητήρια, καὶ τοῖς παισὶν ἡβητήρια· καὶ τοῦτο παρ' ἡμῖν περιττόν, ὡς ὁπότε ἀτυχήσεις θηρίων, ἀνθρώπους ἔσῃ ζωγρῶν.

54. Πρὸς τὸν καίσαρα ⟨Ἰωάννην τὸν Δούκαν⟩

K-D 186 [V]

Χαιρέτωσαν τὰ αἰνίγματα, ἐρρέτω καὶ ἡ σκιὰ τοῦ χρησμοῦ· ἀσυμβόλως γὰρ καὶ ἀμαντεύτως ἐπανέτειλεν ἡμῖν ἡ ἀλήθεια. Ἐγὼ δὲ διεκωμῴδουν τὴν θήραν καὶ ἐλοιδόρουν τὰ κυνηγέσια· καί σε ἀπετρεπόμην αὐτῶν, καὶ βιβλίοις σχολάζειν διεκελευόμην. Ἀλλὰ νῦν οὐ ταῦτά μοι δέδοκται· οὐχ οὕτω τετύφωμαι. 5

Τίνα δέ σοι ἐπιτάττω; Καὶ ἱππάζου καὶ θήρευε καὶ διαπήδα τάφρους, καὶ διάβαινε ποταμὸν καὶ φέρε κατὰ πρανοῦς καὶ τὸν ὄρθιον οἶμον ἀνάτρεχε. Καὶ φέρε τὸν ἱέρακα ἐπὶ δεξιᾶς καὶ ἐλευθέρως ἐπὶ τοῦ βραχίονος, καὶ στέλλε κατὰ χηνῶν, κατὰ περδίκων, κατὰ φασσῶν. Κἂν μὲν ἀπὸ πτεροῦ ἄρῃ τὸ θήραμα, μηκέτι μοι 10

θαύματι = Or. hag. 4,266–267 ὁ δὲ σκυθρωπὸς ἄνετος εὐθὺς καὶ ἐλεύθερος. cf. Π 187,18–19
42 τρυφητήρια … ἡβητήρια: Greg. Nys. Εἰς τοὺς μακαρισμούς 7 (PG 44 1281,12–13) τρυφητήριά τε καὶ ἡβητήρια· καὶ πάντα, ὅσα ἐστὶ τῆς ἡδονῆς ἐφευρήματα ‖ **43** ἀνθρώπους – ζωγρῶν: Luc. 5,10 εἶπεν πρὸς τὸν Σίμωνα ὁ Ἰησοῦς, Μὴ φοβοῦ· ἀπὸ τοῦ νῦν ἀνθρώπους ἔσῃ ζωγρῶν ‖ **5** οὐχ – τετύφωμαι: Dem. Περὶ στεφάνου = Or. 18,11. cf. Psel. Χαρακτῆρες Γρηγορίου τοῦ θεολόγου, τοῦ μεγάλου Βασιλείου, τοῦ Χρυσοστόμου, καὶ Γρηγορίου τοῦ Νύσσης 125,21 et Πρὸς τοὺς λέγοντας μὴ εἶναι φύσει χρηστὸν τὸν ἄνθρωπον· ἐλέχθη δὲ ὁ τοιοῦτος λόγος αὐτοσχεδίως = Phil. min. II 17 (82,22) ‖ **6–8** ἱππάζου – ἀνάτρεχε: Xen. Περὶ ἱππικῆς 3,7 τάφρους διαπηδᾶν, τειχία ὑπερβαίνειν, ἐπ' ὄχθους ἀνορούειν, ἀπ' ὄχθων καθάλλεσθαι· καὶ πρὸς ἄναντες δὲ καὶ κατὰ πρανοῦς καὶ πλάγια ἐλαύνοντα πεῖραν λαμβάνειν

41 κατακούων P S: κατακοῦον B ‖ **42** τρυφητήρια : τρυφ[ca. 6 litt.] B ἡβητήρια P S: ἡβητήριον B ‖ **43** ἀτυχήσεις – ζωγρῶν : [.]τυχ[.]σεις θη[..]ων, ἀνθρώπους ἔ[ca. 8 litt.] B ‖ **ep. 54** V 78v–79r, v^4 128v–129r (= V), r fasc. 20 (= v^4); tit. scripsi: τοῦ αὐτοῦ, ἐπιστολὴ πρὸς τὸν καίσαρα V [τοῦ αὐτοῦ ἐπιστολὴ] πρὸς τὸν καίσαρα K-D

τὰς Λακαίνας ἐπιζήτει κύνας ῥινηλατούσας τὸ ἐκπεφευγός. Εἰ δὲ καταφεύξεταί που τὸ διωκόμενον, σὺ δέ μοι τὴν λόχμην περιίστασο, καὶ ἐπιθώυζε ταῖς κυσί, καὶ μὴ ἀφίστασο, μέχρις ἂν ἕλοις τὸ πεφευγός. Εἶπον ἂν καὶ περὶ ἑτέρων κυνῶν, αἳ περὶ τοὺς
15 λαγωοὺς τεθορύβηνται, καὶ μεμήνασιν· ἀλλ' ἀποτρέπεταί με ὁ Ἀσκραῖος Ἡσίοδος οὕτω δὴ σαφῶς εἰρηκώς: «δώτῃ μέν τις ἔδωκεν, ἀδώτῃ δ' οὔτις ἔδωκεν»· οὐδὲν γάρ μοι προσενήνεκται παρ' αὐτῶν, οὐδ' ὅσον ἡμίτομον λαγωοῦ. Διὰ ταῦτα δὴ τὸν πρὸς ταύτας ἔπαινον ἀναβάλλομαι.

20 Σὺ δέ μοι μηδὲ τῶν ἀγρίων ἀπέχου συῶν, μηδὲ δέδιθι τούτων τοὺς χαυλιόδοντας, μηδὲ τὸ λαχνῆεν τοῦ δέρματος, μὴδ' εἰ τοὺς ὤμους κεκλίκασιν, ἀλλὰ κυσὶ διαθορυβήσας τὸ πρότερον, καὶ τῆς εὐνῆς διαναστήσας ἀθρόον, ἔπειτα περικύκλου καὶ βάλλε τῷ δόρατι, κἂν ἐπὶ τοῦ κροτάφου τύχῃς τῷ σιδήρῳ διαπερονήσας,
25 αὐτίκα ἕξεις ὀκλάσαντα· ὅτου χάριν; ὅτι πρὸς τῷ κροτάφῳ ἡ τοῦ ἐγκεφάλου μῆνίγξ ἐστι· καὶ βληθεὶς ἐκεῖσε, σκοτοδινιᾷ καὶ τετάρακται.

Μή μοι τὰς ἄρκτους, μηδὲ τὰς παρδάλεις· τί γὰρ ἐκεῖθεν ἡμῖν πρὸς ἑστίασιν; Ἀλλὰ τὴν βαλιὰν ἔλαφον, καὶ ὁπόσα πληροῦν οἶδε
30 τὴν τράπεζαν. Ἴσθι δέ μοι τὰς Λαμίας κορέσαι αἳ τὴν θήραν γνοῦσαι (ὠσφράνθησαν γὰρ τῆς ἀποφορᾶς), ἄλλη κατ' ἄλλην ὀπὴν τοῦ ἐμοῦ οἰκίσκου ἐξέδραμον.

11 τὰς – κύνας: cf. Suda λ 47 Λάκαινα κύων: Σοφοκλῆς· «κυνὸς Λακαίνης ὥς τις εὔρινος βάσις» (Soph. Αἴας 8) et Psel. Εἰς τὸν Λογγίβαρδον Ἰωάννην καταναγκάζοντα αὐτὸν εἰς τὸ ἑρμηνεῦσαι τάχιον τὰ μαθήματα = Or. min. 18,6 et Π 142,60–61 et Π 391,30 ‖ **13** ἐπιθώυζε – κυσί: cf. Psel. Χρονογραφία VII,181 (= VIIc17) ἐπιθωΰζει τὲ κυσὶ (scil. Ἰωάννης ὁ Δούκας) et Π 76,23–24 **16–17** δώτῃ – ἔδωκεν[2]: Hes. Ἔργα καὶ ἡμέραι 355 ‖ **20–21** τῶν – δέρματος: Hom. Il. 9,548 ἀμφὶ συὸς κεφαλῇ καὶ δέρματι λαχνήεντι ‖ **29** τὴν – ἔλαφον: Eurip. Ἱππόλυτος 218–219 βαλιαῖς ἐλάφοις ἐγχριμπτόμεναι. / πρὸς θεῶν· ἔραμαι κυσὶ θωΰξαι et Ἑκάβη 90 εἶδον γὰρ βαλιὰν ἔλαφον. cf. Psel. Χρονογραφία VII,181 (=VIIc17), Π 76,24–25, et Π 251,15

14 ἕλοις corr. K-D: ἕλοι V ‖ **15** με corr. K-D: μοι V ‖ **17** οὐδὲν scripsi: οὐδὲ V K-D ‖ **25** ὅτου corr. K-D: ὅτι V

55. Πρὸς τὸν καίσαρα ⟨Ἰωάννην⟩ τὸν Δούκαν

G 1 [P, B], Boi 1 [P], PG[1] 4 [Boi]

Πίστευσόν μοι, ὑπέρτιμε δέσποτα καὶ ὑπὲρ πᾶν ὄνομα καὶ ἀξίωμα, μάγοι (ἵνα οὕτως εἴπω) καὶ οἱ τρόποι τυγχάνουσι καὶ οἱ λόγοι σου, καὶ ἀρρήτοις δυνάμεσι τὴν ἐμὴν ψυχὴν καταθέλγουσι. Καὶ τοῦτο ζῶ, ὃ βλέπω σε· καὶ τοῦτο ἀναπνέω, ὃ τῆς σῆς ἀκούω φωνῆς· καὶ τοῦτο χαίρω, ὃ τοῖς σοῖς ἐντυγχάνω γράμμασι. 5

Περὶ οὗ δὲ ἠρώτησας, συντόμως ἀποκρίνομαί σοι: Οὐδεὶς ἡμᾶς ἐμισθώσατο. Δέδοικα δὲ ἵνα μὴ καὶ τοῦτο ἀκούσω: «Ἑταῖρε, πῶς εἰσῆλθες ὧδε, μὴ ἔχων ἔνδυμα γάμου;»· οὐ γὰρ οἶδα εἰ ἀποδέχεται τὴν παρουσίαν μου ὁ θειότατος ἡμῶν βασιλεύς· τὸ γὰρ πρόσωπον αὐτοῦ εἰς ἡμᾶς οὐχ ὡς χθὲς καὶ τρίτην ἡμέραν. 10 Πλὴν οὐδέποτε παντελῶς ἀποστήσομαι, κἂν ἐξελάσῃ βιαίως κἂν μετὰ πληγῶν κἂν μεθ' ὕβρεων. Μὴ οὕτω μανείην ποτέ! εἰ γὰρ καὶ πρὸς ἐμὲ ἀπόστροφος, ἀλλὰ χρηστὸς καὶ φιλάνθρωπος.

1 ὑπὲρ – ὄνομα: cf. Phil. 2,9 διὸ καὶ ὁ θεὸς αὐτὸν ὑπερύψωσεν καὶ ἐχαρίσατο αὐτῷ τὸ ὄνομα τὸ ὑπὲρ πᾶν ὄνομα. cf. Psel. Εἰς τὸ εὐαγγελικὸν ῥητόν· 'πνεῦμα ὁ θεός ...' = Theol. I 76,66–67 ‖ **6–7** οὐδεὶς ἡμᾶς ἐμισθώσατο: Mt. 20,7 ‖ **7–8** ἑταῖρε – γάμου: Mt. 22,12. cf. Psel. Εἴς τινα κάπηλον γενόμενον νομικόν = Or. min. 14,172–173 ‖ **9** ὁ – βασιλεύς: Constantinus X Ducas (imperator: 23/24.XI.1059 – 22/23.V.1067) (Π XVIII) ‖ **10** οὐχ – ἡμέραν: Gen. 31,2 καὶ εἶδεν Ιακωβ τὸ πρόσωπον τοῦ Λαβαν, καὶ ἰδοὺ οὐκ ἦν πρὸς αὐτὸν ὡς ἐχθὲς καὶ τρίτην ἡμέραν. cf. Π 167,25 ‖ **12** μὴ – μανείην: iunctura saepe in Luciano laudata, cf. e.g. Ἀναβιοῦντες ἢ Ἁλιεύς 37 et Ἑταιρικοὶ διάλογοι 2,4; cf. etiam e.g. Ael. Arist. Πρὸς Πλάτωνα ὑπὲρ τῶν τεττάρων 126,26 et Suda μ 145. cf. Psel. Κατηγορία τοῦ ἀρχιερέως = Or. for. 1,2768, Ἐγκώμιον εἰς ... Νικόλαον μοναχὸν ... = Or. fun. I 10,1,12, Ἐγκώμιον εἰς τὴν φθεῖρα = Or. min. 28,121, Εἰς τὸ 'νοῦς μὲν οὖν ἤδη καὶ αἴσθησις' = Theol. I 90,85, et Π 7,51, Π 100,13, Π 131,18–19, Π 139,62, Π 145,49, Π 209,3–4, Π 277,2, Π 291,31–32, et Π 454,105

ep. 55 P 189v, B 143v–144r, p[1] 132 (= B); tit. scripsi: πρὸς τὸν καίσαρα τὸν Δούκαν P Boi G τοῦ αὐτοῦ τῷ καίσαρι B ‖ **1** πίστευέ Boi ‖ **2** ἵνα P Boi G: ἵν' B **5** ὃ P Boi G: ὅτι B | ἐντυγχάνω γράμμασι P Boi G: γράμμασι ἐντυγχάνω B **6** δὲ : δὴ Boi | ἠρώτησας P Boi G: ἐρώτησας B | ἀποκρίνομαί P Boi G: ἀποκρινοῦμαι B ‖ **8** ὧδε B Boi G: ὦδε P | οὐ γὰρ : [...]ὰρ B ‖ **9** ἡμῶν P Boi G: om. B ‖ **10** πρόσωπον αὐτοῦ : πρόσω[ca. 24 litt.] B ‖ **11–12** κἂν[1] – μετὰ : [ca. 8 litt.] B ‖ **12** οὕτω μανείην : [ca. 12 litt.] B ‖ **13** καὶ πρὸς : [... .]ρὸς B | χρηστὸς καὶ : [ca. 10 litt.] B

Αὔριον οὖν καὶ ἐλεύσομαι καὶ ἀκορέστως καταπολαύσω σου,
15 τῆς ἐμῆς ψυχῆς καὶ πνοῆς, καὶ ζωῆς.

56. Τῷ αὐτῷ

Τῷ καίσαρι Ἰωάννῃ τῷ Δούκᾳ

G 2 [P, B], Boi 2 [P], PG[1] 5 [Boi]

Οὐκ ἔστι τις ὅμοιός σοι, δέσποτά μου χρηστότατε, (ἵνα καὶ τοῦτο θαρρούντως εἴποιμι) οὔτε τὴν καλλονήν, οὔτε τὴν φρόνησιν. Λέγω δὲ δὴ τοῦτο ἀποβλέπων εἰς τὸν σκοπὸν τῶν πρὸς ἐμέ σου γραφῶν· ὁμοῦ τε γὰρ καὶ ἡμῖν εἰς παραμυθίαν ἵστασαι καὶ τῷ μεγάλῳ
5 βασιλεῖ καὶ ἀδελφῷ σου τὴν προσήκουσαν σῴζεις ὑπόληψιν. Καὶ συνάγεις τὴν ἐμὴν γνώμην εἰς τὴν ἄκραν ἐκείνου πίστιν τε καὶ διάθεσιν· ὅπερ καὶ τῇ ἐμῇ ψυχῇ μαρτυρήσεις αὐτός, καὶ θάρρει περὶ τούτου· ἕτοιμος γὰρ καὶ τὴν ἐμὴν θύειν ὑπὲρ τούτου ψυχήν.

Ἀλλ᾽ ὅπερ εἶπον, δέσποτά μου, αἰδοῦμαι (ὄμνυμι τὴν ἱεράν
10 σου ψυχήν!), μήποτε φορτικόν με λογίζεται, ἢ οὐκ ἀρέσκεται τοῖς λόγοις μου καὶ τῇ παρουσίᾳ, καὶ διὰ ταῦτα οὔτε ἡδέως προσομιλεῖ, οὔτε μου ἀνέχεται λέγοντος. Ἐνάγει δέ με εἰς τὸν τοιοῦτον σκοπὸν ἡ προτέρα τούτου πρός με διάθεσις ἁπλουστάτη καὶ φιλανθρωποτάτη τυγχάνουσα, καὶ μηκέτι νῦν τὸ σύνηθες ἰδίωμα
15 σῴζουσα. Οὐ τοίνυν μισῶν οὐ προσέρχομαι, ἀλλ᾽ αἰδούμενος ἢ φοβούμενος.

Ἄλλως τε καὶ αὐτοτελής ἐστι καὶ οὐ δεῖταί τινος οὔτε σοφοῦ οὔτε ἐμπειρικοῦ. Ἐγὼ δὲ οὐδέτερον μέν εἰμι, πιστὸς δὲ τὰ πρὸς τοὺς δεσπότας καὶ ἀληθὴς καὶ οὐ δυνάμενος μὴ μεγαλῦναι πράξεις
20 αὐθέντου· καὶ ὁ μακρὸς χρόνος ταῦτά μοι ἐμαρτύρησε. Πλέον δέ τι τῷ βασιλεῖ τούτῳ προστέθεικα, καὶ προσθήσω ἄχρι παντός.

1 οὐκ ἔστι τις ὅμοιός σοι: Ps. 85,8 (cf. 34,20, 70,19, 88,9) οὐκ ἔστιν ὅμοιός σοι ἐν θεοῖς, κύριε ‖ **4–5** τῷ – σου: Constantinus X Ducas (imperator: 23/24.XI.1059 – 22/23.V.1067) (Π XVIII)

14 ἐλεύσομαι : [ca. 9 litt.] B ‖ **ep. 56** P 189v, B 144r, p[1] 132 (= B); tit. P Boi G: τῷ [....] B ‖ **1** μου om. Boi ‖ **2** εἴποιμι – καλλονήν : εἴποι[ca. 12 litt.]λονήν B **3** δὲ P Boi: B G δὴ | γραφῶν P G B: γραμμάτων Boi ‖ **8** θύειν – τούτου[2] P Boi G: ὑπὲρ τούτου θύειν B ‖ **12** μου – λέγοντος P Boi G: λαλοῦντος ἀνέχεται B **19** οὐ P Boi G: om. B | μὴ P Boi G: om. B ‖ **21** τούτῳ P Boi G: τοῦτο B

Εἰ δ’ οὗτος οὐ τὴν ἴσην ἀντιδίδωσί μοι διάθεσιν, ταῖς ἁμαρτίαις μου τοῦτο λογίζομαι. Σὺ δέ μοι οὕτω σῴζοις τὴν πρὸς τὸν ἀδελφόν σου εὔνοιαν, καὶ οὕτω καὶ τὴν πρὸς ἐμὲ εὐμένειαν καὶ διάθεσιν, ἀπαράμιλλον καὶ τρόποις καὶ λόγοις καὶ πράγμασιν. 25

57. Τῷ αὐτῷ

Τῷ καίσαρι Ἰωάννῃ τῷ Δούκᾳ

G 3 [P, B, v3], Boi 3 [P], PG[1] 6 [Boi]

Ὁλόφωτόν σου τὴν σελήνην ἀπέλαβον, ὑψηλότατε καῖσαρ καὶ δέσποτα (ὁλολαμπὴς γὰρ αὐτὴν ἐφώτισεν ἥλιος)· ὅθεν καὶ περιαστραφθεὶς ἐμακάρισά σου τὸ φῶς. Εἰ δὲ ἔτι περίγειος ὢν οὕτω μοι τὰς ἀκτῖνας προχέεις, ὑπέργειος γεγονώς, ποίαν οὐκ ἀποστίλψεις μοι αἴγλην, ποίαν οὐκ ἀπαυγάσεις μαρμαρυγήν; 5

Εἶτα δὴ ἐρωτᾷς πῶς ἔχοιμι: αὐτὸ τοῦτο μόνον καλῶς, ὅτι με ἐρωτᾷς, τὰ δ’ ἄλλα πάνυ κακῶς· οὐδεὶς γὰρ ἡμῶν οὔτε πυνθάνεται, οὔτε κήδεται. Καὶ νὴ τὴν ἱεράν σου καὶ ὑπερσέβαστον κεφαλήν! οὐδὲ ἑτέρου τινὸς δέομαι, ἢ τοῦ ἐρωτᾶσθαι. Ἀλλὰ καὶ τοῦτό με ὁ βάσκανος δαίμων ἀφείλετο· καί, εἰ μὴ ἡ σὴ χρυσῆ 10 πλάστιγξ τὸν τοῦ βίου μου ζυγὸν ἴσαζε, παραβραχὺ παρῴκησε τῷ ᾅδῃ ἡ ψυχή μου. Οὕτως ἀθυμῶ· οὕτως ἀδημονῶ. Ἀλλ’ ἡ σὴ γλῶσσα, ἡ σὴ μοῦσα, ἡ σὴ σειρήν, τὰ σὰ θέλγητρα, αἱ σαὶ ἴυγγες,

10 ὁ – δαίμων: iunctura saepe laudata, cf. e.g. Greg. Naz. Κατὰ Ἰουλιανοῦ στηλιτευτικὸς αʹ = Or. 4,101 cum Psel. Λόγος εἰς τὴν σταύρωσιν = Or. hag. 3a,372–373, Λόγος εἰς … τὸν Μονομάχον = Or. pan. 2,326 et 379, Ἐξήγησις τῶν Χαλδαϊκῶν ῥητῶν = Phil. min. II 38 (139,20–21), Κατηγορία τοῦ ἀρχιερέως = Or. for. 1,704–705, ⟨De meteorologicis⟩ = Phil. min. I 19,210, et Ἐγκωμιαστικὸς εἰς … Μιχαὴλ τὸν Κηρουλλάριον = Or. fun. I 1,10,14, et Π 488,12–13 ‖ **11–12** παραβραχὺ – μου: Ps. 93,17; cf. Π 332,27–28 ‖ **13** τὰ – ἴυγγες: cf. Psel. Εἰς … Κωνσταντῖνον τὸν Μονομάχον = Or. pan. 1,157 βαβαὶ τῶν ἰΰγγων, τῶν θελκτηρίων

24 σου B G: om. P Boi | εὐμένειαν P Boi G: εὔνοιαν B ‖ **25** καὶ[1] – λόγοις P Boi G: καὶ λόγοις καὶ τρόποις B ‖ **ep. 57** P 189v, B 144r–v, v[3] 41r–v, p[1] 132 (= B); tit. P B Boi G: τοῦ Ναυπάκτου (scil. Ioannes Apocaucus) v[3] ‖ **2** αὐτὴν P v[3] Boi G: αὐτὸν B ‖ **3** περιαστραφθεὶς P Boi G: περισταφεὶς B περιστραφεὶς v[3] | ἔτι P Boi: καὶ ἔτι B v[3] G ‖ **7** κακῶς B v[3] Boi G (post corr.): καλῶς P Boi (ante corr.) **9** καὶ με P B Boi G: om. v[3] ‖ **10** με P Boi G: μου B v[3]

ἡ σὴ πιθανότης καὶ εὐγλωττία πείθει με πολλάκις καὶ εὐθυμεῖν
15 καὶ γάννυσθαι· καὶ χαίρω ἐπὶ τοῖς σοῖς λόγοις, ἐπὶ ταῖς σαῖς
παρακλήσεσιν, ἐπὶ ταῖς σαῖς πρὸς ἐμὲ διαθέσεσιν.

Ἀλλ' ἐμὲ μὲν λυπεῖσθαι οὐδὲν ἀπεικός. Σὺ δὲ μὴ λυπηθείης
ποτέ, μηδέ σου βέλος ἅψαιτο βασκανίας, μηδὲ κατισχύσαι σου ὁ
ἐχθρός. Εἰ δέ τίς σου διακυμαίνει ἄνεμος τὴν ψυχήν, μὴ θαυμά-
20 σῃς· ταῖς γὰρ ἐναντίαις μεταβολαῖς ὁ βίος ταράττεται, καὶ δεῖ
πρότερον τιναχθῆναι τὴν θάλασσαν, εἶθ' οὕτω στῆναι εἰς αὔραν
τὴν καταιγίδα.

Ὁ Ψελλὸς ταῦτα.

58. Τῷ αὐτῷ

Τῷ καίσαρι Ἰωάννῃ τῷ Δούκᾳ

G 4 [P], Boi 4 [P], PG[1] 7 [Boi]

Ἀλλὰ μετὰ τὰς πλάστιγγας, φιλοτιμότατε βασιλεῦ καὶ μέγιστε
καῖσαρ καὶ δεσποτικὴ τῆς ἐμῆς ψυχῆς κεφαλή, ἔστι καὶ ἡ τρυτάνη
καὶ ὁ ταύτης κανών.

Τί οὖν, ἵνα πληρώσῃς ἡμῖν τὸν ζυγόν, ἐκκενώσαις τῶν
5 θρεμμάτων τοὺς μασθούς; Μὴ σύ γε· μηδὲ ἐφ' ἡμῖν ἀποψύξῃς τὸ
ποίμνιον· μηδὲ ἵνα ἰσάσῃς τὰς πλάστιγγας, ἀνίσους αὐτῷ
ποιήσῃς τὰς χάριτας, τὰ πλείω νέμων ἡμῖν καὶ ὑπὲρ τοὺς ἄλλους
τιθείς, ὁ πάντων ἐπέκεινα καὶ λόγων καὶ ἐγκωμίων καὶ τέχνης
ῥητορικῆς καὶ δυνάμεως. Ἐγὼ δὲ νῦν ἔγνων εἶναι σοφός, ὅτι σου
10 τοῖς ἐμοῖς λόγοις θηρῶ τὴν ψυχήν. Ὅθεν ἀθρόον σοβαρὸς γέγονα,

2 δεσποτικὴ – κεφαλή: cf. Π 76,1 δεσποτικὴ κεφαλὴ

16 ἐπὶ – διαθέσεσιν P B Boi G: om. v[3] ‖ **17** σὺ δὲ μή: [......] B | λυπηθείης : λυπηθῇς Boi ‖ **18** ποτέ μηδέ : [...ca. 8 litt. ...] B | βέλος P B Boi G: βέλη v[3] **19** τὴν ψυχήν : [...ca. 8 litt. ...] B ‖ **20** βίος P Boi G: ἄνεμος B v[3] | δεῖ P B Boi G: δὴ v[3] ‖ **21** πρότερον : [...]τερον B | τιναχθῆναι – θάλασσαν : τινα[...ca. 11 litt. ...]λασσαν B ‖ **23** ὁ Ψελλὸς ταῦτα P Boi G: om. B v[3] ‖ **ep. 58** P 189v–190r; tit. P Boi G

καὶ ἔσπακα τὴν ὀφρῦν καὶ ἐπ' ἄκρων βαδίζω δακτύλων. Κἄν μέ τις ἔρηται «Τί ποτε ταῦτα; Καὶ τίς ὁ μετασχηματισμὸς καὶ ἡ καινὴ ἔπαρσις;», εὐθὺς ἐπιφέρω, ὅτι με ὁ μέγας καῖσαρ ἐπῄνεσεν, ὅτι μου τοῖς λόγοις οὗτος ἑάλωκεν, ὅτι τῶν ἄλλων ὑπέρτερος ὤν, τῆς ἐμῆς ἡττᾶται δυνάμεως. 15

Ἀλλὰ μή ποτε κομψεία ταῦτα καὶ ψευδὴς οἴησις, ἐγὼ δέ εἰμι ὅπερ εἰμί, ἀμαθὴς ἄνθρωπος καὶ μόλις ἑαυτὸν ἐπιγνούς. Εἰ δὲ θαυμάζεις με σύ, ἐρῶ σοι λόγον θηρατικὸν ὃν οὐκ οἶδα εἰ καὶ αὐτὸς κατ⟨εν⟩όησας. Τὴν γλαῦκα τὸ ὄρνεον, τὸ ἀμορφότατον ζῷον καὶ ἀκαλλέστατον, θαυμάζει ὁ ἀετός· καὶ περιΐπταται ταύτην, καὶ 20 περιέπει καὶ τέθηπεν ὥσπερ τινὰ φύσιν ἀξίαν θαύματος. Ἀλλ' ὁ μὲν ἀετὸς οὕτως· ἡ δὲ οὐδὲν ἧττον γλαύξ ἐστι δυσειδής. Μή ποτε οὖν σὺ μὲν ἀετὸς τὴν ἰσχὺν καὶ τὴν δύναμιν, ἐγὼ δὲ ζῷον ἀκαλλές τε καὶ ἄτεχνον; Εἶτα δὴ ἀφεὶς τοὺς παλαιοὺς θαυμάζειν σοφούς, ἐμὲ καὶ τὰ ἐμὰ περιέπεις συγγράμματα; Τί δὲ καλὸν ἐν τούτοις; 25 Τί δὲ ὡραῖον; Τί δὲ ἀνθηρόν;

Ἀλλ' ἐρῶ σοι καὶ λόγον ἕτερον πρὸς ἡμᾶς οἰκειότατον. Ἡ μέλισσα τὰς ἀρχὰς ἀνθολογοῦσα τοῦ μέλιτος, παρίπταται μὲν τὸ ῥόδον, παρίησι δὲ τὸ ἴον καὶ τὸ κρίνον καὶ τὸν ὑάκινθον καὶ τὸν νάρκισσον, καὶ τῷ θύμῳ προσίσταται· φυτὸν ὁ θύμος δριμύτατόν 30

11 ἐπ' – δακτύλων: cf. Soph. Αἴας 1230 ὑψήλ' ἐφρόνεις κἀπ' ἄκρων ὡδοιπόρεις. cf. Π 173,33–34, Π 174,7, Π 189,47–48, et Π 190,30 ‖ **10–11** ὅθεν – δακτύλων: cf. Π 173,33–35 καὶ ἐπ' ἄκρων μὲν βαδίσω δακτύλων, σοβαρὰν δὲ τὴν ὀφρὺν ἐπιτοξεύσω τοῖς ὀφθαλμοῖς, καὶ τὸν μὲν αὐχένα μετεωρίσω ἐπὶ τὸ ἄναντες, Π 174,7 διὸ δὴ σοβαρόν τε βαδίζω καὶ ἐπ' ἄκρων δακτύλων, Π 189,47–49 ἐπ' ἄκρων δακτύλων εἱστήκειν· καὶ ὃ μηδέποτε ἐπεποιήκειν, ὤρθωσά τε σοβαρώτερον τὸν αὐχένα, et Π 190,29–32 ἀνέσπασα τὴν ὀφρῦν ἀκούσας εὐθύς, ἢ ἐπ' ἄκρων δακτύλων ἐβάδισα, καὶ τῆς ἐμῆς ἀνέμνησα μαρτυρίας τὸν αὐτοκράτορα καὶ ἐκόμπασα (πῶς ἂν εἴποις;) μέγα καὶ σοβαρόν ‖ **27–34** ἡ μέλισσα – νᾶμα: cf. Π 247,19–22 ταμιεῖον γὰρ σὺ σχεδῶν, καὶ (τό γε ἀληθὲς εἰπεῖν) σίμβλον, πᾶν εἴ τι κάλλιστον καὶ ὀνησιφόρον ἀπανθισάμενος ἑαυτῷ καὶ συλλέξας οἷά τις φιλεργὸς μέλισσα, καὶ σχεδῶν καλλίστων ὁμοῦ καὶ πεπονημένων, et Π 376,68–71 ἀλλὰ πότε ἴδω τὴν μέλισσαν; πότε δὲ τῶν αὐτόθι σίμβλων ἀπαναστήσῃ καὶ διαέριος γεγονὼς πρὸς τοὺς ἐνταῦθα κήπους φοιτήσεις, καὶ περιελεύσῃ τὰ ἄνθη ἀφ' ὧν τὴν δρόσον ἀναλεξάμενος τὸ μέλι τοῖς σίμβλοις ἐνέσταξας. cf. etiam Psel. Περὶ χαρακτήρων συγγραμμάτων τινῶν 49,29–50,2, Π 61,4–6, Π 118,37–43, Π 125,90–91, et Π 459,20–22

19 κατ⟨εν⟩όησας Boi G ‖ **29** κρίνον corr. Boi G: κρῖνον P

τε καὶ ἀνοσμότατον, ἀλλ' ἡ μέλισσα ἐντεῦθεν τὰς πηγὰς ἔχει τοῦ μέλιτος. Ἴσως γοῦν καὶ σὺ τῶν μὲν παρὰ τοῖς ἄλλοις ῥόδων καταφρονεῖς, ἀπὸ δὲ τῶν ἐμῶν ἀνόσμων λόγων καὶ ἀηδῶν, τὴν σὴν καταμελιτοῖς γλῶσσαν, καὶ τὸ μελισταγὲς ἀποστάζεις νᾶμα.

35 Ἀλλ' ὅρα τὰ παραδείγματα· οὔτε ὁ ἀετὸς τὴν γλαῦκα περιφρονεῖται, οὔτε τὸν θύμον ἡ μέλισσα γεωργεῖ, ἀλλὰ κατ' ἐξουσίαν ὁ μὲν ὁρᾷ, ἡ δὲ δρέπεται. Ἕπου καὶ σὺ τούτοις. Καὶ τῶν ἐμῶν ἀπόλαυε λόγων ὁπότε σοι βουλητόν.

Ἆρ' οὖν καὶ ταύτην ἐγκωμιάσεις μου τὴν ἐπιστολήν, ᾗ οὔτε ἡ 40 λέξις λαμπρά, οὔτε ὁ νοῦς ὑψηλός, οὔτε ἡ συνθήκη εὐάρμοστος; Βούλει οὖν βραχύ τί σοι προσπαῖξαι; Ἀλλ' εἴη πόρρω τὸ σχῆμα καὶ ὁ μοναδικὸς βίος. Κἀγώ τι τοιοῦτον ἐν νεότητι πέπονθα καὶ διαστρόφων ἑάλωκα ὀφθαλμῶν, καὶ χροιᾶς οὐ πάνυ λευκῆς, καὶ ὑπὲρ τὰς εὐώπιδας καὶ ῥοδοπήχεις τὴν οὕτως ἔχουσαν ἔστερξα. 45 Ἆρα ἐγνώρισάς μοι τὸ πάθος; Εἶδες ἐν κατόπτρῳ τὸ σὸν πρόσωπον; ἐκ γῆς γὰρ καὶ αὐτὸς πεπλαστούργησαι ὥσπερ ἐγώ.

Τῆς δουλικῆς ταῦτα καὶ γλώσσης σοι καὶ χειρός.

59. Τῷ αὐτῷ
Τῷ καίσαρι Ἰωάννῃ τῷ Δούκᾳ

G 5 [P], Boi 5 [P], PG[1] 8 [Boi]

Καὶ μὴ καλός εἰμι καὶ σοφός, ἀσύγκριτε καῖσαρ καὶ τὴν φύσιν καὶ τὴν ψυχήν;

Εἶτα δὴ ἐμαυτὸν ἀγνοῶ, οὔτε κατόπτρῳ χρώμενος, οὔτε δὴ ἐνθυμούμενος ὁπόσας βίβλους ἔτυχον ἀνελίξας. Ἀλλ' ὅτε μὲν τοῖς

45–46 εἶδες – πρόσωπον: cf. Plat. 255d4–6 οἷον ἀπ' ἄλλου ὀφθαλμίας ἀπολελαυκὼς πρόφασιν εἰπεῖν οὐκ ἔχει, ὥσπερ δὲ ἐν κατόπτρῳ ἐν τῷ ἐρῶντι ἑαυτὸν ὁρῶν λέληθεν. cf. Π 134,56–57 ἵνα σε μᾶλλον μυωπίσω πρὸς τὸ ποθούμενον et Π 170,28–29 ὀφθαλμιῶν πρὸς ἡμᾶς ταῖς τῆς φιλίας ὑπερχύσεσιν ἢ προσχύσεσιν. cf. etiam Π 118,74–76 ὥσπερ οἱ τὰς ἀκτῖνας τῶν ὄψεων ἀσθενεῖς δο[κοῦ]σί τι πρόσωπον ἔξωθεν ὁρᾶν ἀτενές, ὁρῶσι δὲ οὐκ ἄλλό τι ἢ τὸ οἰκεῖον ἀντανακλώμενον ‖ **3** ἐμαυτὸν ἀγνοῶ: cf. infra κἀγὼ τὰ πολλὰ τῶν ἐμῶν ἀγνοῶ et κἀγὼ μὲν τοὺς ἐμοὺς χρησμοὺς ἀγνοῶ cum Π 174,6–7 τὰ πολλὰ αὐτὸς ἑαυτὸν ἀγνοεῖν ἔοικα

ep. 59 P 190r–v, B 144v; tit. P B Boi G ‖ **1** καὶ μὴ καλός εἰμι: [ca. 12 litt.]μι B καὶ[1] P Boi G: καὶ μὴ B ‖ **3** δὴ[2] P Boi G: om. B

τῶν σοφῶν συγγράμμασιν ὁμιλῶ, τὴν ἐμὴν σοφίαν πρὸς τὴν ἐκείνων συγκρίνων, αἰσχύνομαι (ὄμνυμι τὴν ἱεράν σου ψυχήν!) καί, ὡς παντάπασιν ἀμαθής, ἐγκαλύπτομαι· ὅταν δὲ ταῖς σαῖς περὶ ἐμοῦ μαρτυρίαις ἐντύχω, μικροῦ καὶ ἰσόθεος εἶναι φαντάζομαι. 5

Καὶ σὺ μὲν τὰς ἐμὰς ἐπιστολὰς βιβλία ποιεῖς. Ἐγὼ δὲ τὰ σὰ γράμματα τοῖς ἐμοῖς ἐγχαράττω στέρνοις, καὶ ἀναγινώσκω πυκνότερον· καὶ ἐμαυτὸν ἄγαμαι, καὶ πέπεισμαι εἶναι σοφός· καὶ ἐπαινῶ σε τῆς μαρτυρίας. Πρότερον δὲ οὐχ οὕτως εἶχον. Ἀλλ' αἱ μὲν πίθηκοι ἐπειδὰν τέκωσι καὶ τὰ νεογνὰ ἴδωσιν, ἀγάλματα αὐτὰ ἥγηνται, καὶ τοῦ κάλλους θαυμάζουσιν, ἀπατώμεναι τῷ φιλοτέκνῳ τῆς φύσεως. Ἐγὼ δὲ τὰ ἐμὰ γεννήματα (τοὺς λόγους φημὶ) οὐδέποτε ἠγάσθην οὐδὲ ἐφίλησα. Νῦν δὲ διὰ τὴν σὴν μαρτυρίαν, καὶ τέθηπα καὶ φιλῶ καὶ συναγκαλίζομαι. 10 15

Ἵνα δέ σοι καὶ ἀπὸ τῶν θεάτρων φθέγξωμαι, φασὶ καὶ τοὺς ἡνιόχους ἀγνοεῖν τὰ πολλὰ ὧν κατορθοῦσιν ἢ ἁμαρτάνουσιν, οἱ δὲ ἀκριβεῖς τῆς ἡνιοχήσεως θεωροὶ ἴσασιν ἀκριβῶς εἰ δημοχαρὴς ὁ ἵππος, εἰ ἑτερόγναθος, εἰ μὴ τὸν δεξιὸν ὁ ἡνίοχος τῷ καμπτῆρι 20

10 σὺ – ποιεῖς: cf. Π 79,2–4 τὰς ἐπιστολὰς περὶ πλείονος ἐτίθει (scil. Ioannes Ducas) σπουδῆς καὶ συγγράμματα ἐν βιβλίοις ἀπεθησαύριζε ‖ **13–16** αἱ – φύσεως: Synes. Cyren. Epist. 1,16–18 τὰς πιθήκους γάρ φασιν, ἐπειδὰν τέκωσιν, ὥσπερ ἀγάλμασιν ἐνατενίζειν τοῖς βρέφεσιν, ἀγαμένας τοῦ κάλλους (οὕτως ἐστὶν ἡ φύσις φιλότεχνον); cf. etiam Babrius Μυθίαμβοι αἰσώπειοι 35 (cf. 56) ‖ **13–17** αἱ – ἐφίλησα: cf. Psel. Εἰς τὸ 'θεὸς θεοῖς ἑνούμενός τε καὶ γνωριζόμενος' = Theol. I 64,175–177 ἀλλ' ἔγωγε οὐ κατὰ πιθήκους ὥσπερ ἀγάλμασι ἐνατενίζω τοῖς ἐμοῖς γεννήμασιν, οὐδὲ δεκάζω τὰς κρίσεις οὐδὲ προείλημμαι οὐδ' εὔνους εἰμὶ οἷς ἀπέτεκον λογικῶς et Ἑρμηνεία περὶ τῶν εἰκοσιτεσσάρων στοιχείων ... πρὸς ... Ἰωάννην τὸν λιβελλίσιον = Phil. min. I 36,640–642 ἀλλ' ἡμεῖς γε οὐ χείρους τῶν πιθήκων ἐσμὲν οὐδὲ οὕτω μισότεκνοι, ἀλλὰ τὸ οἰκεῖον γέννημα, ὅσον γε μᾶλλον μὴ στέργηται παρ' ἄλλων, περιεξόμεθα ‖ **22** ἑτερόγναθος: cf. CPG II 424 (nr. 3); cf. Χρονογραφία VII,58 et Ἐμβραδυνάντων τῶν μαθητῶν τῇ τῆς σχολῆς ξυνελεύσει = Or. min. 22,42–44 et Π 28,57, Π 134,14, Π 287,10, et Π 516,46 ‖ **22–23** εἰ[2] – προσήγαγεν: cf. Suda σ 277 Σειραῖος ἵππος: ὁ ἔξω τοῦ ζυγοῦ, ὁ δεξιός. «δεξιὸν ἀνεὶς σειραῖον ἵππον εἶργε τὸν προσκείμενον» (Soph. Ἠλέκτρα 721), τουτέστι τῷ καμπτῆρι, τὸν ἀριστερόν

7 ὅταν P Boi G: ὅτε B ‖ **17** ἠγάσθην P Boi G: ἠγάπησα B ‖ **18** τέθηπα – φιλῶ P Boi G: φιλῶ καὶ τέθηπα B ‖ **19** καὶ[2] P Boi G: om. B

προσήγαγεν, ἢ τῷ ζυγῷ τοὺς ἵππους συνήρμοσεν. Ἴσως οὖν κἀγὼ τὰ πολλὰ τῶν ἐμῶν ἀγνοῶ, σὺ δὲ ἄνω καθήμενος, ἀνακρί-
25 νεις καὶ διευθύνεις ἅπαντα: τὴν ἔννοιαν, τὴν λέξιν, τὸ σχῆμα, τὴν μέθοδον, τὴν ἁρμονίαν, τὸν ῥυθμόν, τὴν ἀνάπαυσιν.

Φασὶ δὲ καὶ τὴν Πυθίαν χρησμῳδεῖν μὲν τοὺς ἄνω χρησμούς, μὴ ἐπίστασθαι δὲ τῶν χρησμῶν τὴν διάνοιαν· ἀλλ' οἱ Ἕλληνες ἐκδεχόμενοι τὰ μαντεύματα, ἐξηγοῦντο καὶ συνεβίβαζον. Τοιοῦτος
30 δὴ καὶ σὺ τυγχάνεις ὁ ἐμὸς ἑρμηνεὺς καὶ θεῖος τῷ ὄντι Θεμιστοκλῆς· Κἀγὼ μὲν τοὺς ἐμοὺς χρησμοὺς ἀγνοῶ, σὺ δὲ ἐξακριβοῖς τούτους καὶ ὑψηλολογεῖς καὶ θαυμάζεις καὶ τοῦ κάλλους καὶ τῆς δεινότητος, ὥστε δέδοικα μὴ πάθω τὸ τοῦ Ναρκίσσου. Ὁ Νάρκισσος μειράκιον ἦν κάλλει διαλάμπον ἁβρῷ, ἁπλοϊκώτατον δὲ καὶ
35 δεινότητος πάσης ἐκτός. Καί ποτε πρὸς πηγὴν ὑδάτων ἐλθόν, τὸ ἑαυτοῦ ἐνοπτρίζεται πρόσωπον. Ἠγνοηκὸς δὲ ὅτι τοῦ ἰδίου σώματός ἐστιν ἡ σκιά, ἔρωτα λαμβάνει τοῦ ὁρωμένου. Καὶ ᾠήθη ὅτι μειράκιόν ἐστιν ἀληθὲς κρυπτόμενον ὑπὸ τῆς πηγῆς. Οὐ τοίνυν

24 κἀγὼ – ἀγνοῶ: cf. supra ἐμαυτὸν ἀγνοῶ et infra κἀγὼ μὲν τοὺς ἐμοὺς χρησμοὺς ἀγνοῶ cum Π 174,6–7 τὰ πολλὰ αὐτὸς ἑαυτὸν ἀγνοεῖν ἔοικα **25–26** τὴν[1] – ἀνάπαυσιν: cf. Hermog. Περὶ ἰδεῶν 1,1,24 πάντα μὲν οὖν εἴδη λόγων ἐν τούτοις τεθεώρηται καὶ διὰ τούτων γίνεται: ἐννοίας, μεθόδου, λέξεως, σχήματος, κώλου, συνθήκης, ἀναπαύσεως, ῥυθμοῦ. cf. Psel. Σύνοψις τῆς ῥητορικῆς ... πρὸς τὸν αὐτὸν βασιλέα [scil. Mich. Duc.] = Poem. 7,356–362 ‖ **27–31** φασὶ δὲ – Θεμιστοκλῆς: cf. Plut. Them. 10 cum Herod. 7,143; cf. Psel. Ἕτερος λόγος πρὸς ... Κωνσταντῖνον τὸν Μονομάχον = Or. pan. 4,384–386, Λόγος ἐπὶ τῷ ἐν Βλαχέρναις γεγονότι θαύματι = Or. hag. 4,359–360, et Π 216,36–39; cf. etiam Synes. Cyren. Περὶ ἐνυπνίων 3,3,9–12 et Π 134,5–7 ‖ **31** κἀγὼ μὲν – ἀγνοῶ: cf. supra ἐμαυτὸν ἀγνοῶ et κἀγὼ τὰ πολλὰ τῶν ἐμῶν ἀγνοῶ cum Π 174,6–7 τὰ πολλὰ αὐτὸς ἑαυτὸν ἀγνοεῖν ἔοικα ‖ **32–33** θαυμάζεις – δεινότητος: ad formas Hermogenicas alludit; cf. Hermog. Περὶ Ἰδεῶν 1,12 (Περὶ ἐπιμελείας καὶ κάλλους) et 2,9 (Περὶ δεινότητος) ‖ **33–43** τὸ – σκιᾷ: cf. Proc. Gaz. Declam. 1,38–42 cum Paus. Περιήγησις Ἑλλάδος 9,31,7, Philostr. Νάρκισσος = Εἰκόνες 1,23 et Callistr. Εἰς τὸ τοῦ Ναρκίσσου ἄγαλμα = Ἐκφράσεις 5. cf. etiam Papaioannou 2013,170–174

23 ἢ P Boi G: εἰ B | συνήρμοσεν P Boi G: προσήρμοσε B ‖ **27** χρησμούς P Boi G: χρόνους B ‖ **31** μὲν P Boi G: δὲ B | ἐμοὺς P Boi G: om. B | χρησμοὺς P Boi G: χρησμοὺς μὲν B | ἐξακριβοῖς B dubitanter prop. G: ἐξακριβεῖς P Boi G **36** ἐνοπτρίζεται P Boi G: ἐνωπτρίζετο B ‖ **38** τῆς πηγῆς P Boi G: ταῖς πηγαῖς B

ἐκεῖθεν ἀφίστατο, ἀλλ' ὁρῶν ἐτεθνήκει. Καὶ ἡ γῆ τοῦτον οἰκτείρασα, ἄνθος ἐκ τῶν οἰκείων λαγόνων ἀφῆκεν ὁμώνυμον. Μὴ 40 τοίνυν καὶ αὐτὸς βλέπων τὴν ἐμὴν σοφίαν ὡς ἐν κατόπτρῳ τοῖς γράμμασιν, ἔρωτα σφοδρὸν ἐμαυτοῦ λάβοιμι καὶ τῇ ἐμῇ ἐναποψύξω σκιᾷ;

Ἀλλὰ θάρρει. Ὁ Ἰξίων ἤρα τῆς Ἥρας· καὶ πλάττων ἐν τῇ ψυχῇ τὸ ἐκείνης εἴδωλον, ἐδόκει τοῦτο ἀσπάζεσθαι. Ἰδὼν δέ ποτε 45 ταύτην, ἐμέμφετο ἑαυτὸν ὡς ἀμορφότατον ἀναπλάττοντα εἴδωλον. Κἀγὼ τοίνυν ὅταν εἰς τὸ σὸν μεγαλοφυὲς ἀποβλέπω καὶ περιδέξιον, τὴν ἐμὴν καταλιμπάνων σκιάν, τὴν σὴν ἄγαμαι ὡραιότητα. Ὥσπερ δὴ πάλαι θαυμάζων σου τοὺς τυρούς, νῦν ὑπερηγάσθην τὸ βούτυρον. 50

Τοῖς δέ γε ἀνακτόροις οὔ μοι σπουδὴ παραβάλλειν πυκνῶς· διὰ σὲ δὲ κατὰ τὴν τετράδα ἀφίξομαι. Τῆς δουλικῆς καὶ ταῦτα χειρός.

60. Τῷ αὐτῷ

Τῷ καίσαρι Ἰωάννῃ τῷ Δούκᾳ

G 9 [P, M, E, e¹, e², m²], Boi 6 [P], PG¹ 9 [Boi]

Οἷά σου, καῖσαρ, τὰ ἐνθυμήματα, οἷα δὲ τὰ βουλεύματα τῆς ψυχῆς· δύο μοι ταῖς πηγαῖς ἐξέτεινας ἀγωγούς, ἵνα μου ὅλον

44–46 ὁ Ἰξίων – εἴδωλον: de Ixioni cf. Synes. Cyren. Δίων 5,7 εἰ δὲ μὴ ὁ Ἰξίων ἀντὶ τῆς Ἥρας τὴν νεφέλην ἠρήκει, καὶ ἠγαπήκει συνὼν τῷ εἰδώλῳ, οὐκ ἄν ποτε ἑκὼν εἶναι μεθεῖτο τῆς ἀτόπου διώξεως et Schol. in Lucianum 28,12 φασὶ γὰρ τὸν Ἰξίονα τῆς Ἥρας ἐρασθῆναι, ἐρασθέντι δὲ τὴν Ἥραν χαριζομένην αὐτῷ νεφέλην εἰς ἑαυτὴν ἀπεικάσασαν ἐᾶν Ἰξίονι χρῆσθαι ὡς ἑαυτῇ cum e.g. Ps.-Nonnus Συναγωγὴ … ἱστοριῶν … in Greg. Naz. Or. 5, hist. 32 περὶ … τοῦ Ἰξίονος et Suda ι 394; cf. etiam Psel. Πρὸς τὸν λοίδορον ῥίψαντα χάρτην = Or. min. 7,6–7, Ὅτε παρῃτήσατο τὴν τοῦ πρωτοασηκρῆτις ἀξίαν = Or. min. 8,113–114, ⟨De servitute a secretis⟩ = Or. min. 11,42–44, Π 378,43–46 et Π 390,21; cf. etiam Π 526,2

41 ὡς P Boi G: om. B ‖ **42** ἐμαυτοῦ P Boi G: ἑαυτοῦ B ‖ **45** post τοῦτο folia ceciderunt, itaque epistulae finis deest in B ‖ **ep. 60** P 190v–191r, M 153r–v, E 80r–v, e¹ 206r–207r, e² 133r–v, m² 387r–388r; tit. P Boi G: τοῦ ὑπερτίμου Ψελλοῦ ἐπιστολὴ εἰς τὸν καίσαρα M E e¹ e² m² ‖ **1** σου P Boi G: σοι M E e¹ e² m² ‖ **2** ἀγωγάς Boi | μου P Boi G: μοι M E e¹ e² m²

ἐκφορήσῃς τὸ ὕδωρ, ἵνα μου πᾶσαν ἐκδαπανήσῃς τὴν βρύσιν. Εἶτα δὴ ἀγνοεῖς ὅτι ἀκένωτον ἔχω τὸ ῥεῦμα, καὶ ὅσον ἂν ἐκθηλάζοι τις,
5 τοσοῦτον τοὺς πόρους ἀναστομοῖ καὶ τὰς φλέβας εὐρύνει πρὸς τὴν ἐκ βάθους ἀπορροήν;

Οἶδα ὅτι δεινὸς εἶ, καὶ πρὸς πᾶσαν ἀρετὴν περιδέξιος, καὶ βούλει τὸν ἐγκεκρυμμένον μοι μαργαρίτην λαβεῖν ἵν' ἐγκολάψῃς τοῦτον ἐπὶ τοῦ σοῦ διαδήματος. Σὺ δέ μοι οὐδὲ ἕνα, ἀλλὰ πολλοὺς
10 ἤδη κέκλοφας. Τὸν δέ γε μείζονα τούτων, καὶ λευκότατον μὲν τῷ χρώματι, περιφερέστατον δὲ τῷ σχήματι, οὐ δυνήσῃ περιλαβεῖν· ἔχω γὰρ τοῦτον ἐν τοῖς ψυχικοῖς κόλποις οὗ μὴ φθάνουσιν αἱ χεῖρες τοῦ κλέπτοντος. Τί με περικυκλοῖς πάντοθεν, καὶ περιορύττεις κύκλωσε; Ἄσυλός εἰμι τὸν τῆς γνώσεως θησαυρόν. Ὅσον
15 ἀπαρύττῃ τοῦ φρέατος, τοσοῦτον πλουσιώτερον τὸ νᾶμα ποιεῖς.

Ὑπερφυὴς δέ σου καὶ ἡ τῆς κλοπῆς τέχνη. Ὁ ἥλιος φυσικῇ δυνάμει καὶ περιουσίᾳ θερμότητος, ἑλκτικός ἐστι τῆς ἐν τῷ βάθει ὑγρότητος· διὰ ταῦτα ἔαρος καὶ θέρους πλησιάζων ἡμῖν, ἀνέλκει τὴν ἐν τοῖς δένδροις ἰκμάδα, καὶ ἔγκαρπα τὰ δένδρα ποιεῖ. Οὐ
20 μὴν ἐπιτάσσει καὶ τῇ σελήνῃ τὴν τοιαύτην ἐνέργειαν. Σὺ δέ μοι, ὁ

3–6 εἶτα δὴ – ἀπορροήν: cf. Π 133,34–36 οὕτω γοῦν καὶ αὐτὸς τοῖς τῶν ἐμῶν ἐπιστολῶν φρεωρύχοις ὥσπερ τινὰς πίδακας ἀποθλίβω τοὺς λόγους· κἂν μὲν ὀρύττωμαι παρ' ὑμῶν, ἀνυγραίνομαι· ἂν δὲ μή, κατέψυγμαι ἀτεχνῶς. cf. etiam Papaioannou 2013,228–230 ‖ **8** τὸν – μαργαρίτην: cf. Mt. 13,45–46 πάλιν ὁμοία ἐστὶν ἡ βασιλεία τῶν οὐρανῶν ἀνθρώπῳ ἐμπόρῳ ζητοῦντι καλοὺς μαργαρίτας· εὑρὼν δὲ ἕνα πολύτιμον μαργαρίτην ἀπελθὼν πέπρακεν πάντα ὅσα εἶχεν καὶ ἠγόρασεν αὐτόν. cf. etiam Psel. Εἰς τὸ εὐαγγελικὸν ῥητόν· 'πνεῦμα ὁ θεός …' = Theol. I 76,78 et Π 37,41–42 ‖ **13–14** τί με – κύκλωσε: cf. Π 53,1–2 τί με περικυκλοῖς, ἀτίμητε καῖσαρ, καὶ κρείττων παντὸς ὀνόματος κρείττονος; τί με πολιορκεῖν ἐπιχειρεῖς;

3 ἐκδαπανήσῃς – βρύσιν P Boi G: τὴν βρύσιν ἐκδαπανήσῃς M E e¹ e² m² **5** εὐρύνει P Boi G: εὐρύνοι M E e¹ e² m² ‖ **8** ἐκγεκρυμμένον e¹ e² m² ἐγκολλάψῃς P ‖ **10** γε om. e¹ e² m² ‖ **11** περιφερέστατον P Boi G: περιφυέστατον M E περιφιέστατον e¹ e² m² ‖ **15** ἀπαρύττῃ P Boi G: ἀπαρρύῃ M E e¹ e² m² ‖ **16** ὑπερφυὴς P Boi G: ὑπερφυῶς M E e¹ e² m²

ἐμὸς ἥλιος, καὶ τὴν σὴν περιέστησας σελήνην καὶ ἐπιτρέπεις ἵνα τι καὶ αὐτὴ ἀπὸ τῆς ἐμῆς πηγῆς ἀπαρύηται.

Τί μοι τὸν τυρὸν καὶ τὸ βούτυρον; Δελεάσματα ταῦτα καὶ ἰξοὶ καὶ πάγαι εἰσίν, ἵνα με ὅλον θηράσῃς καὶ τοῖς σοῖς περισφίγξῃς δικτύοις, ἢ ὥσπερ ἰχθῦν ὑπεξαγαγὼν τῆς θαλάσσης, ἢ ὥσπερ 25 πτηνὸν ἐκ τοῦ ἀέρος κατενεγκών. Ἐπὶ τὰς ἄρκτους καὶ τὰς παρδάλεις τῇ θηρατικῇ τέχνῃ σου χρῶ· ἐμὲ δὲ οὐκ ἂν λάβοις ποτέ, οὐδὲ διασπαράξῃς, οὔτε κυσὶν, οὔτε δόρασιν. Ἵνα δέ σοι τἀληθὲς ἐρῶ, ὅλος ἐγώ σοι τεθήραμαι. Καί με ἔχεις ἐν ταῖς χερσὶν, ἔμψυχον καὶ ἡδὺ θήραμα, καὶ λεαίνεις ἐν τοῖς ὀδοῦσι, μᾶλλον δὲ 30 ὅλον ἐν τῇ ψυχῇ σου συνείληφας· τί γὰρ ἀθήρατόν σοι τῶν ἐμῶν πέφυκεν; ἡ ψυχή; μὴ τοῦτο εἴποι τις, ἀλλὰ διαρραγείη ψευδόμενος· ἡ γλῶσσα; ἰδού σοι ταύτην ἐκτείνω ἐν λόγοις, ἐν ἐπιστολαῖς, ἐν συγγράμμασιν· εἰ δὲ βούλει, καὶ τέμνε καὶ σπάραττε· αἱ χεῖρες; ἀλλὰ διακονήσουσί σοι καὶ αὗται τὰ πολλὰ καὶ μεγάλα ἐγκώμια· 35 οἱ πόδες; ἀλλ' ἕψομαί σοι ὅπῃ σοι βουλητόν, ἐν γηλόφοις, ἐν γηπέδοις, ἐν ὕψεσιν ὀρῶν, ἐν βάθεσι γῆς. Οὕτως ἔχεις με ὅλον λαβών.

21 τὴν – σελήνην: uxorem Irenem Pegonitissam († ca. a. 1060 – a. 1066) significat (cf. infra l. 40: ἡ καισάρισσα); cf. etiam Psel. Ἐπιτάφιος εἰς Εἰρήνην καισάρισσαν = K-D I 21 (155–189) ‖ **27–29** ἐμὲ – τεθήραμαι: cf. Π 53,5–7 ἤδη σοι ἑαλώκειν, καὶ ἐκπεπολιόρκημαί σοι ὡς ἥδιστα, αὐτὸς ἑαυτῷ τὸν ἐμόν σε ὑπαγόμενος τύραννον, καὶ προδιδούς σοι τὴν ἐμὴν ψυχὴν ὥστε διασπαράττειν καὶ διασπᾶν ‖ **32–33** διαρραγείη ψευδόμενος: Dem. Περὶ στεφάνου = Or. 18,27 οὐδ' ἂν σὺ διαρραγῇς ψευδόμενος. cf. etiam Psel. Ἀπολογητικὸς ὑπὲρ τοῦ Φιλιππουπόλεως Λαζάρου καθαιρεθέντος = Or. for. 2,266–267 ‖ **36–37** ἐν[1] – γηπέδοις: cf. Ael. Herodian. (?) Ἐπιμερισμοί 14,6–7 γήλοφος, ὁ ὑψηλὸς τόπος … γήπεδον, ἡ γῆ et Psel. Χρονογραφία VI,175 τὸ πρότριτα γήλοφον τριταῖον γήπεδον, Εἰς τὸ 'κύριος ἔκτισέ με …' = Theol. I 10,83–84 γῆν εἰς γηλόφους ἀνισταμένην καὶ καθειμένην εἰς γήπεδα, Π 88,22–23 τὰ Ῥωμαίων γήλοφά τε καὶ γήπεδα, Π 202,113 γηλόφῳ τε καὶ γηπέδῳ, et Π 376,17–18 ἐν γηλόφοις, ἐν γηπέδοις

21 τι om. E e[1] e[2] m[2] ‖ **22** ἀπὸ P Boi G: ἐκ M E e[1] e[2] m[2] | ἀπαρύηται G corr. Boi: ἀπαρρύηται P M E ἀπαρρύεται e[1] e[2] m[2] ‖ **24** περισφίγξῃς P Boi G: περισφίξῃς M E e[1] e[2] m[2] ‖ **26** τὰς ἄρκτους M E e[1] e[2] m[2] G: τοὺς ἄρκτους P Boi **27** λάβοις P M (ante corr.) E (ante corr.) e[2] (ante corr.) e (ante corr.) Boi: λάβῃς M (post corr.) E (post corr.) e[2] (post corr.) e (post corr.) m[2] G **28** διασπαράξεις Boi ‖ **29** ταῖς χερσὶν P Boi: ταῖν χεροῖν M E e[1] e[2] m[2] G **36** ὅπῃ σοι P Boi G: ὅποι M E e[1] e[2] m[2]

Ἀλλ’ ὅρα μὴ πλεονεξίαν ὁ δικαιότατος ἐγκληθῇς· σήμερον γὰρ
40 καὶ ἡ καισάρισσά με τεθήρακεν ὥσπερ δελέατι τυρῷ καὶ ἀρτιπαγεῖ γάλακτι· καὶ γὰρ θηρῶμαι τούτοις ὡς ἀληθῶς, καὶ λίχνος εἰμὶ περὶ τὸ βρῶμα· καὶ ἡνίκα ἴδω τὸ γνώρισμα, εὐθὺς περιχαίνω καὶ τὸ ἄγκιστρον περιπείρει με καὶ ἀναρτᾷ με ἐκ τοῦ λαιμοῦ. Μὴ τοίνυν μου διασπαράξῃς τὸν λόγον, ἢ μᾶλλον μὴ σφετερίσῃς ὅλην
45 τὴν ἄγραν, ἀλλὰ διέλεσθέ μοι τὴν θήραν ἀμφότεροι. Καὶ σὺ μὲν καὶ τῆς ἐννοίας ἀπογεύσῃ καὶ τῆς λέξεως· τῇ δέ γε ἐμῇ δεσπότιδι, μεταδίδου τῶν τῆς ἐπιστολῆς νοημάτων, ἵνα μοι καὶ αὕτη μετάσχῃ τῆς ἐμῆς τῶν λόγων γλυκύτητος, καὶ τῆς ἡδονῆς ἕνεκα πολλάκις με θηρᾶν βούλοιτο· χαίρω γὰρ θηρώμενος παρ’ ὑμῶν.
50 Ὑμεῖς μὲν γὰρ λόγους κενοὺς καὶ πτερόεντας ἐν ταῖς χερσὶν ἔχετε, ἐγὼ δὲ βούτυρα καὶ τυρούς.

61. Τῷ αὐτῷ

Τῷ καίσαρι Ἰωάννῃ τῷ Δούκᾳ

G 6 [P], Boi 7 [P], PG[1] 10 [Boi]

Ἔγραψας, εἰ καὶ μὴ τῇ χειρί, ἀλλὰ τῇ ψυχῇ· ὁ γὰρ χαρακτὴρ γνώριμος καὶ ἀκριβῶς εἰκασμένος εἰς τὸ πρωτότυπον. Εἶτα ἐν τῷ μὴ ἐμπίπλασθαί σε τῶν ἐμῶν λόγων, μηδὲ κορέννυσθαι τῆς τούτων (ὡς γράφεις) γλυκύτητος, αὐτοὶ καθιοῦμεν ἀνθολογοῦντες

50 λόγους ... πτερόεντας: iunctura Homerica (cf. e.g. Il. 1,201 ἔπεα πτερόεντα) saepissime laudata ‖ **4–6** αὐτοὶ – ἐξεργαζόμενοι: cf. Psel. Περὶ χαρακτήρων συγγραμμάτων τινῶν 49,29–50,2 περὶ τὰ τοιαῦτα τῶν βιβλίων ἐφιπτάμην, ἀφ’ ὧν δρόσος καὶ πίννα καὶ ἄνθος τὸ συλλεγόμενον καὶ χειρόμενον ἦν, Π 118,37–43 ἔπειτα δὲ οὐδὲ μελιττουργεῖταί μοι παρὰ τῇ γλώττῃ τανῦν οὔτε λέξεων ἡδονή, οὔτε συνθήκης εὐαρμοστία, ἵνα σε φιλοτίμως ἐφεστιάσω, καί σοι παραθείην ψυχῆς καρύκευμα τρόφιμον· αἱ γάρ μοι μέλισσαι, αἱ τῇ γλώττῃ τὰ κηρία συντιθεῖσαι τοῦ λόγου, καὶ (ποιητικῶς εἰπεῖν) «τιθαιβώσσουσαι», ἐπεὶ μηδὲν ἐνταῦθα ἄνθος κηρόχυτον, μηδὲ πόα καταμελιτοῦσα ψυχήν, ᾤχοντο ἀποπτάμεναι, Π 125,87–90 ἐνίοτε δὲ ὥσπερ αἱ μέλισσαι τὰ ἄνθη τῆς τέχνης περιπετόμενος καὶ περιβομβῶν ταῦτα καὶ

39 πλεονεξίαν P Boi G: πλεονεξίας M E e[1] e[2] m[2] ‖ **40** δελέατι P Boi G: δελεάσματι M E e[1] e[2] m[2] ‖ **44** ὅλην P Boi G: om. M E e[1] e[2] m[2] ‖ **46** ἀπογεύσῃ P Boi G: ἀπογεύοιο M E e[1] e[2] m[2] ‖ **48** μετάσχοι e[1] e[2] m[2] ‖ **49** θηρᾶν P Boi G: θηρῶν M E e[1] e[2] m[2] ‖ **51** βούτυρα P Boi G: γάλα M E e[1] e[2] m[2] ‖ **ep. 61** P 190v–191r; tit. P Boi G

ἀεὶ ὥσπερ αἱ μέλισσαι καὶ τὴν τοῦ μέλιτος ἐργασίαν 5
ἐξεργαζόμενοι.

Ἀλλ' εἰ «καὶ ἡ θάλασσα οὐκ ἔστιν ἐμπιπλαμένη», κατὰ τὸν εἰρηκότα σοφόν, πάντων τῶν ποταμῶν εἰς αὐτὴν ἀπερευγομένων τὰ ῥεύματα, ἀλλ' ἀπὸ τῶν ὀρῶν ἀεὶ προχεῖται τὰ νάματα, καὶ τὸ τῆς ὑγρᾶς ἀκόρεστον οὐχ ἱστᾷ τῶν ποταμῶν τὴν φοράν. 10

Οἱ μὲν οὖν Ἀθηναῖοι πάλαι ὑπὸ τοῦ Δαρείου κατὰ τὴν ἤπειρον πολεμούμενοι καὶ ἀνθίστασθαι πρὸς τὰς χιλιάδας ἐκείνου καὶ μυριάδας μὴ ἐξισχύοντες, ἀπένευσαν εἰς τὴν θάλασσαν· καὶ ναυσὶ χρησάμενοι, τὴν σωτηρίαν διαπόντιον εὕραντο. Ἐγὼ δὲ ποῦ φύγω; Ποῖ τράπωμαι; Πάντοθεν πάγαι, πάντοθεν θήρατρα. 15
Ἐκκλίνω πρὸς γῆν; ἀλλ' εὐθύς με θηρᾶται τὰ βούτυρα, ἀποτέμνει μοι τὴν ὁ⟨δ⟩ὸν τὰ σὰ ποίμνια καὶ βουκόλια. Ἐκδράμω πρὸς θάλασσαν; ἀλλὰ βαβαὶ τῆς τῶν ἰχθύων φορᾶς. Αὐτός μοι τούτων ὁ

κείρων τῆς μελιτουργοῦ πόας, οὕτω τοὺς σίμβλους ὑποδύομαι καὶ τὰ ἄνθη μέλι ποιῶ, et Π 459,15 τὴν δ' ἐμμελῆ τοῦ λόγου συνθήκην ὥσπερ αἱ μέλιτται τὰ κηρία ἔτι περιέπομέν τε καὶ περιϊπτάμεθα. cf. etiam Π 58,27–34, Π 247,19–22, et Π 376,68–71
7–9 καὶ – ῥεύματα: Eccl. 1,7 πάντες οἱ χείμαρροι, πορεύονται εἰς τὴν θάλασσαν, καὶ ἡ θάλασσα οὐκ ἔσται ἐμπιμπλαμένη. cf. Psel. Εἰς τὸν σεισμὸν … = Phil. min. I 30,51–52 et Κανὼν κατὰ τοῦ Ἰακώβου = Poem. 22,134–135 **11–14** οἱ – εὕραντο: cf. Herod. 8,41 sqq.; Darium pro Xerxem perperam scripsit; cf. Psel. Ἑτέρα λύσις προφητικῆς ῥήσεως = Theol. I 39,38–40 Δαρεῖος γοῦν, ὁ μετὰ ταῦτα τὴν Περσικὴν βασιλείαν ἀναδησάμενος, καὶ ὁ μετ' ἐκεῖνον Ξέρξης, ἐπειδὴ τοῖς Ἀθηναίοις, ὁ μὲν κατὰ γῆν, ὁ δὲ κατὰ θάλασσαν, συμβεβληκότες ἡττήθησαν ‖ **15** ποῖ τράπωμαι: iunctura saepisime laudata (cf. Eurip. Ἑκάβη 1099 et Βάκχαι 1366 cum Aphth. Περὶ Ἠθοποιίας = Προγυμνάσματα 11,6 et Greg. Naz. Εἰς τὸν μέγαν Βασίλειον … = Or. 43,14); cf. Psel. Ἀπολογητικὸς ὑπὲρ τοῦ Φιλιππουπόλεως Λαζάρου καθαιρεθέντος = Or. for. 2,178 et Π 173,57–58 ‖ **14–18** ποῦ – φορᾶς: cf. Ps. 138,7–10 ποῦ πορευθῶ ἀπὸ τοῦ πνεύματός σου καὶ ἀπὸ τοῦ προσώπου σου ποῦ φύγω; / ἐὰν ἀναβῶ εἰς τὸν οὐρανόν, σὺ εἶ ἐκεῖ· ἐὰν καταβῶ εἰς τὸν ᾅδην, πάρει· / ἐὰν ἀναλάβοιμι τὰς πτέρυγάς μου κατ' ὄρθρον καὶ κατασκηνώσω εἰς τὰ ἔσχατα τῆς θαλάσσης, / καὶ γὰρ ἐκεῖ ἡ χείρ σου ὁδηγήσει με, καὶ καθέξει με ἡ δεξιά σου et etiam Psel. Ἀπολογητικὸς ὑπὲρ τοῦ Φιλιππουπόλεως Λαζάρου καθαιρεθέντος = Or. for. 2,178–181 ποῖ τράπωμαι; ποίαν ἐμαυτῷ εὑρήσω καταφυγήν; ἐν τῷ πελάγει βυθίζομαι· κἂν ἐκεῖνο μοι κατευνασθῇ, ὁ λιμὴν σφοδρότερος ἀπαντᾷ· κἂν τοῦτον ἐξέλθω, ἡ γῆ μοι προσίσταται

8 ἀπερευγομένων corr. G: ἀπερρευγομένων P Boi ‖ **17** ὁδὸν scripsit Boi G

κράτιστος ἀπαντᾷ τύραννος, καὶ δυσὶ κύκλοις περιλαμβάνει με
20 ὥσπερ τισὶ κέρασι τοῦ ἰδίου στρατεύματος.

Οἶσθα οὖν ὃ ποιήσω; Πτήσομαι πρὸς ἀέρα καὶ τὸν καιρὸν ἕξω σύμμαχον· οὐ γὰρ καὶ στρουθοὺς καθ᾽ ἡμῶν ἐκστρατεύσεις νῦν· ἐπέχει γὰρ ἡ τεσσαρακονθήμερος τούτους περίοδος.

Τῆς δουλικῆς ταῦτα ψυχῆς, εἰ καὶ μὴ χειρός.

62. Τῷ αὐτῷ

Τῷ καίσαρι Ἰωάννῃ τῷ Δούκᾳ

G 7 [P], Boi 8 [P], PG[1] 11 [Boi]

Ἐγὼ μὲν ἐδεδίειν, μέγιστε καῖσαρ, τὰς τῶν ἐμῶν ἐπιστολῶν παραδεικνύειν μορφάς· ᾐσχυνόμην γὰρ ὑπὲρ τούτων ὡς μὴ ἐχουσῶν μήτε φυσικὸν κάλλος, μήτε ἐπίκτητον. Ἐπεὶ δὲ σὺ τούτων ἀνελπίστως ἠράσθης, καί με πέπεικας καλὰ τίκτειν
5 γεννήματα, ἰδού σοι προδήλως ἀπηναισχύντηκα· καὶ τὴν ὥραν παραδεικνύω· καὶ ὥσπερ ὁ μηδικὸς ταώς, τοῦτο δὴ τὸ φιλόκαλον ζῷον καὶ σύνηθες, θεατρίζω σοι τούτων τὴν ὡραιότητα· καὶ (ὡς ὁρᾷς) ἐπὶ ταῖς σαῖς θύραις προϋπαντῶ, μήτε καλούμενος, μήτε μισθὸν τῆς ὥρας λαβών.
10 Ὁ μὲν οὖν Σολομῶν τοῖς αὐτοκλήτοις τῶν φίλων δι᾽ εὐλαβείας ποιεῖται τὰς εἰς τοὺς συνήθεις εἰσόδους καὶ ἀπαντήσεις, ἵνα μὴ κόρον αὐτῶν τῆς ὁμιλίας λαβόντες μισήσωσιν. Ἐγὼ δὲ τοὐναντίον ποιήσειν διέγνωκα, ἐρασμιώτερόν σοι τὸ ἐμὸν κάλλος ἐπιδεικνύειν διὰ τῆς συνεχείας καὶ ποθεινότερον.

6–7 ὥσπερ – ὡραιότητα: Greg. Naz. Λόγος θεολογικὸς δεύτερος, περὶ θεολογίας = Or. 28,24 ταώς, ὁ ἀλαζὼν ὄρνις καὶ Μηδικός, οὕτω φιλόκαλος καὶ φιλότιμος, ὥστε ... ὅταν ἴδῃ τινὰ πλησιάζοντα, ἢ ταῖς θηλείαις, ὥς φασι, καλλωπίζηται, ... καὶ ... θεατρίζει τὸ κάλλος τοῖς ἐρασταῖς, cf. Psel. Λόγος τοῦ ὑπερτίμου ὃς ἐπικέκληται σελέντιος = Or. min. 4,91–93 et Π 20,11–12 **10–12** ὁ – μισήσωσιν: Prov. 25,17 σπάνιον εἴσαγε σὸν πόδα πρὸς τὸν σεαυτοῦ φίλον, μήποτε πλησθείς σου μισήσῃ σε

ep. 62 P 191r; tit. P Boi G

Ὁ μὲν γὰρ Πρωτεὺς ἐκεῖνος ἀνὴρ ἢ δαίμων ὃν Ὅμηρος πλάττει καὶ μεταπλάττει παντοδαπὸς ἦν καὶ μετήλλαττε τὰς μορφάς· καὶ νῦν μὲν λέων τοῖς ὁρῶσιν ἐδείκνυτο, νῦν δὲ ὄφις, νῦν δὲ σῦς, καὶ πῦρ, καὶ δένδρον καὶ λίθος καὶ σίδηρος. Ἐγὼ δέ σοι εἰς μὲν θηριώδεις φύσεις οὐ μεταβήσομαι, οὐδὲ ἐκπλήξω τῇ τῶν φαντασμάτων καινότητι, ἀλλὰ τοὺς περὶ τὴν κιθάραν μιμήσομαι. Τί δὲ οὗτοι δρῶσιν; Ἐπειδὰν αἴσθωνται τοὺς ἀκούοντας κορεννυμένους τοῦ μέλους, μεταβάλλουσι τὰς χορδὰς στρέφοντες αὐτὰς τοῖς καλάμοις καὶ μεταστρέφοντες καὶ ποικίλας ἁρμονίας μεταχειρίζοντες, ἵνα διὰ τῆς τοιαύτης μεταλλαγῆς τε καὶ μεταβάσεως, ἀκορέστους τῆς μουσικῆς ἡδονῆς τοὺς ἀκροατὰς ἔχωσιν. Οὕτω γοῦν κἀγώ σοι μεταποιήσω τοὺς ἐμοὺς λόγους· καὶ νῦν μὲν ἱλαροὺς τούτους παρέξω σοι, νῦν δὲ συντόνους, καὶ νῦν μὲν ἀναβεβλημένους καὶ μαλακούς, νῦν δὲ γενναίους καὶ ἰσχυρούς, νῦν δὲ ἄλλην μορφὴν ἔχοντας. 15 20 25

Ὁ γοῦν Ὅμηρος ὁπλίτην ἐπαινῶν ἄνδρα, καὶ τοῦτο τοῖς ἐπαίνοις προστίθησιν ὅτι οἶδε μετακινεῖν τὴν ἀσπίδα νῦν μὲν εἰς δεξιά, νῦν δὲ εἰς εὐώνυμα. Ἐγὼ δὲ τὸ ἐμὸν ὅπλον τοὺς λόγους, οὐκ ἐπὶ τὰ πλάγια μόνον, ἀλλὰ καὶ ἔμπροσθεν μεταχειριοῦμαι καὶ ὄπισθεν. Οὐχ ἓν ἐστι τὸ τῶν λόγων χρῶμα, οὐδὲ ἡ μορφὴ μία, 30

15–18 ὁ – σίδηρος: locus communis (ex Hom. Od. 384–386); cf. Psel. Χρονογραφία VI,152, Ἐκ τοῦ περὶ τοῦ πνεύματος λόγου εἰς τὸ ‘Σαδδουκαῖοι μὲν …’ = Theol. I 106,115–116, et Π 77,26–27 = Π 130,26–27, Π 254,39, et Π 288,29–30; cf. etiam Π 532,1–2 ‖ **22** μεταβάλλουσι – χορδάς: cf. Π 68,34 ἄλλαξον χορδήν, Π 78,21–22 ἀλλακτέον ἡμῖν τὴν χορδήν, Π 108,21 ἄλλαττε τὴν χορδήν, Π 254,28 ἄλλαξον καὶ αὐτὸς τὴν χορδήν, Π 264,8–9 ἄλλαξον τὴν πρὸς ἡμᾶς σου χορδὴν ‖ **18–29** ἐγὼ – ἔχοντας: cf. Π 64,18 ἀλλὰ παντοδαπὸς πᾶσι γέγονα πράγμασι, Π 76,45–47 ἔστι δέ μοι καὶ μουσικὸν ἐν τῷ στήθει μαγάδιον, καὶ μέλος παντοδαπόν, οὐ σύντονον μόνον, ἀλλὰ καὶ ἐναρμόνιον, Π 128,70–74 διαπέπλασταί μοι γὰρ ἡ ψυχὴ πρὸς πᾶσαν ἰδέαν καὶ Μουσῶν καὶ Χαρίτων, καὶ οὐχ ὥσπερ αἱ χορδαὶ ἢ σύντονός εἰμι μόνον ἢ ἐναρμόνιος, ἀλλὰ παντοδαπὸν ἔχω τὸ μέλος, νῦν μὲν λιγυρὸν καὶ ἡδύφωνον, νῦν δὲ συντεταμένον τε καὶ γενναῖον, et Π 146,134–138 διδάσκαλος δὲ πᾶσι γινόμενος, κατὰ τὸ μέτρον ἑκάστου τοὺς λόγους ποιοῦμαι, καὶ πρὸς τὰς ἰδέας μεταμορφοῦμαι τῶν μαθητῶν· καὶ τοῖς μὲν ἴσως λεοντοπρόσωπος φαίνομαι, ὅσοις τὸ πρὸς τοὺς λόγους ὅρμημα λεόντειον πέφυκε, τοῖς δὲ κορυδαλλὶς λόφον ἔχουσα ‖ **31–32** οἶδε – εὐώνυμα: Hom. Il. 7,238–239 οἶδ’ ἐπὶ δεξιά, οἶδ’ ἐπ’ ἀριστερὰ νωμῆσαι βῶν / ἀζαλέην. cf. Psel. Ἱστορία σύντομος 50,63–64 et Π 33,8–9 et Π 214,2

35 ἀλλ’ ἄμφω παντοδαπὰ καὶ ποικίλα, καὶ ὁ τὰς κράσεις καὶ συνθέσεις τούτων εἰδὼς πολύμορφα δείξει τοῖς ἐρασταῖς τὰ θεάματα.

Εἶδον ἐγώ ποτε νύμφην ἐπὶ παστάδος καὶ ὥρας εὖ ἔχουσαν καὶ τῷ ἐπιποιήτῳ κάλλει κεκοσμημένην λαμπρῶς. Καὶ τήν γε πρώτην ἡμέραν πορφύρα ταύτην ἐκόσμει καὶ χρυσῆ ταινία, καὶ 40 ἐπωμὶς ἐξηνθισμένη κόσμῳ παντοδαπῷ καὶ ἡ στηθοδεσμὶς ἠλεκτρίνη· ἀλλ’ ἐνδιατρίψας βραχύ τι τοῖς φαινομένοις ὡραϊσμοῖς, ἐκορέσθην ἰδών. Ἀλλὰ τήν γε δευτέραν ἡμέραν μεταβαλοῦσα τὸν κόσμον καὶ χρυσοϋφῆ ἐσθῆτα ἐπενδυθεῖσα, πάλιν ἐθήρα. Καὶ τὴν τρίτην οὕτως· καὶ τὴν τετάρτην· καὶ ἦν ἀκόρεστον τὸ καλόν.

45 Εἰσὶν οὖν κἀμοί, καῖσαρ, ἐλλόβια λογικὰ καὶ περιδέραια γνωστικά, καὶ περιτραχήλιοι κόσμοι καὶ ἐπιστήθιοι· κἂν κορεσθῇς τοῦ χρυσοῦ, παραγυμνώσω τί σοι τοῦ ἠλεκτρώδους· εἰ δὲ καὶ τούτου πλησθῇς, ἔχω σαπφείφους καὶ ὑακίνθους καὶ λίθους ἑτέρους παντοδαποὺς καὶ τὴν χροιὰν καὶ τὴν δύναμιν· καὶ ὡς 50 ἔοικεν, οὔτε σὺ πλησθήσῃ ποτὲ τοῦ ἐρᾶν, οὔτε ἐγὼ κάλλους ἀπορήσω καὶ ἐπιδείξεως.

63. Εἰς τὸν αὐτόν

Εἰς τὸν καίσαρα Ἰωάννην τὸν Δούκαν

G 10 [M, E, e[1], e[2], m[2]], Rue [E, e[1]]

Πότερον ὡς αὐλητὴς θέλγω σε τῇ τῶν ἐμῶν λόγων ἠχῇ, ἢ ὡς ἀνθάμιλλος πρὸς τὴν σὴν ἀνταγωνίζομαι μουσικήν; ὁρῶ γὰρ καὶ σὲ λογικὴν λύραν ἐντείνοντα, καὶ ἀντᾴδειν πειρώμενον, ὥστε μικροῦ δεῖν ὑπὸ τοῦ σοῦ μέλους καὶ ὑπορχοῦμαι, καὶ ταῖς χερσὶ

40–41 στηθοδεσμὶς ἠλεκτρίνη: cf. Π 240,15–16 οὐδὲ ἠλεκτρίνην αὐτῇ τὴν στηθοδέσμιδα ποιήσομαι ‖ **3–4** ὥστε – ὑπορχοῦμαι: cf. Π 106,2 χορεύειν βούλομαι, Π 131,2 μικροῦ δεῖν καὶ ὠρχούμην, Π 138,10 ἀτεχνῶς χορεύοντι ἔοικα, Π 140,104 *μικροῦ δεῖν καὶ ἐχόρευσα*, et Π 140,17–18 βούλομαι πολλάκις χορεύειν. cf. etiam Π 16,3 *μικροῦ δεῖν ἐχορεύσατε*

35 ποικίλα corr. Boi G: ποικῖλα P ‖ **ep. 63** M 153v–154r, E 80v–81v, e[1] 207r–208v, e[2] 133v–134v, m[2] 388r–v; tit. G: τοῦ αὐτοῦ εἰς τὸν αὐτόν (scil. τὸν καίσαρα) M E e[1] e[2] m[2] om. Rue ‖ **3** ἀντιτείνοντα Rue | πειρόμενον e[1] e[2] m[2] **4** τοῦ om. Rue | χερσὶν e[1] e[2] m[2]

κυμβαλίζω, καὶ ἐπικροτῶ τῷ ποδί, ὥσπερ Ὀρφαϊκοῖς θελγόμενος 5
κρούμασιν. Ἀλλὰ σὺ μὲν πάντη δυνάμενος ἢ λόγοις ἢ
μηχανήμασι, τὰ ἐμὰ θεατρίζειν μέλη καταναγκάζεις· ἐγὼ δὲ
πόσων στατήρων ἢ ταλάντων τὰ σὰ πρίωμαι θέλγητρα;

Μήποτε οὖν, ὥσπερ ὁ Πᾶν ἐκεῖνος (τραγοσκελὴς δὲ οὗτος καὶ
κεράσφορος δοκεῖ τῷ μύθῳ θεός) ηὔλει μὲν ἐν τοῖς ὄρεσι καὶ 10
ἐσκίρτα μανικοῖς ἅλμασιν, ἀντήχουν δὲ τούτῳ αἵ τε πέτραι καὶ
νάπαι, καὶ εἶχεν ἄμισθον τὴν ἀντανάκλασιν τῆς οἰκείας ᾠδῆς
ἡδονήν, οὕτω δὴ κἀγὼ τὸ σὸν μέλος ἀνακλώμενον πρὸς τὴν ἐμὴν
ἔχω φωνήν;

Εἰ δὲ μὴ ἀντηχεῖν ἐθέλεις, μηδ’ ἄλλως τοὺς σοὺς ῥυθμοὺς ἡμῖν 15
ἐπιδείκνυσθαι, εἰ μὴ τούτους ἐξωνησαίμεθα, χείρων εἶ τὴν τέχνην
ἀνθρώπου Θρᾳκός: Ὀρφεὺς τούτῳ τὸ ὄνομα· μετεχειρίζετο δὲ τὴν
κιθάραν, ὡς οὐδεὶς ἄλλος μουσοποιός· καὶ ἐπεδείκνυ τὴν ἐπιστή-
μην, οὐ βασιλεῦσι καὶ ἡγεμόσιν, οὐδ’ ἀπεδίδου τὴν τέχνην
χρημάτων πολλῶν, ἀλλὰ ποτὲ μὲν ἐπὶ τῶν ἀλσῶν, ποτὲ δὲ 20
καθήμενος ἐπὶ τῶν ἀκτῶν λέουσι, καὶ βουσί, καὶ δελφῖσι, καὶ
κήτεσιν, ὑπέκρουεν τὰς χορδάς· καὶ οὔτε τὴν γαλὴν ἀπηξίου, οὔτε

5–6 ὀρφαϊκοῖς – κρούμασιν: cf. e.g. Them. Χαριστήριος τῷ αὐτοκράτορι … 209c5 τοῖς κρούμασι τοῖς Ὀρφέως cum Psel. Ἐγκώμιον εἰς τὸν … Ἰωάννην τὸν Κρουστουλᾶν ἀναγνόντα ἐν τῇ Ἁγίᾳ Σορῷ = Or. min. 37,166–168 et Π 76,49–50 et Π 268,2–3 ‖ **9–10** ὁ – θεός: cf. Lucian. Θεῶν διάλογοι 2,2 κερασφόρος καὶ τραγοσκελὴς εἶ (scil. Pan) et Long. Daphnis et Chloe 2,24,2 ἔνθα τὸ τοῦ Πανὸς ἄγαλμα ἵδρυτο τραγοσκελές, κερασφόρον ‖ **9–13** ὁ – ἡδονήν: cf. etiam Psel. Λόγος εἰς … τὸν Μονομάχον = Or. pan. 2,291–295 et Συλλογαὶ διάφοροι καὶ ἀναγκαῖαι = Phil. min. I 55,82 et 719–721

8 στατηρῶν Rue | ἢ M E e[1] e[2] m[2] G: καὶ Rue ‖ **9** Πὰν post corr. e[1] e[2] m[2] Rue τραγοσκελὴς : τραγοσκρίης m[2] ‖ **11** μανεικοῖς ante corr. e[1] | ἅλμασι e[1] e[2] m[2] Rue ‖ **11–12** καὶ αἱ νάπαι G om. m[2] ‖ **12** εἶχον m[2] | οἰκίας m[2] ‖ **16** χείρω E e[1] e[2] m[2] ‖ **19** οὐ : οὐδὲ G | οὐδὲ m[2] ‖ **21** καθήμενος : ἐπικαθήμενος ante corr. e[1] ἀκτῶν : ἐκτῶν m[2] | δελφίσι ante corr. e[1] e[2] ante corr. m[2] Rue ‖ **22** ἀπηξίου corr. Rue G: ἀπηξίουν M E e[1] e[2] m[2]

τὸν μῦν πρὸς τὴν οἰκείαν ὀρχήστραν, ἀλλὰ παρῆν αὐτῷ καὶ μηκά-
ζον αἰπόλιον, καὶ προβατίων βληχή· καὶ τὰ μὲν συνεξορχοῦντο
25 τοῖς ἐκείνου μέλεσι, τὰ δὲ ἠρέμει κηλούμενα· καὶ ὁ Θρᾷξ ἐκεῖνος
παρ' οὐδενὸς τούτων μισθὸν τῆς μουσικῆς εἰσεπράττετο.

Πάρειμι γοῦν κἀγὼ πρὸς τὴν κιθάραν τῶν σῶν ἐπιστολῶν·
καὶ ἀκούω ταύτης ἡδέως, εἴτε ὡς λέων ἐπέχων διὰ τῆς ἡδονῆς τὸν
θυμόν, εἴτε ὡς ταῦρος τὸ ἀγέρωχον σθένος δαμάζων τῆς φύσεως,
30 εἴτε ὡς ἄλλο τι τῶν θηρίων, ἠρέμα ἐπισκιρτῶν καὶ γαννύμενος.
Ἀλλὰ μὴ φθονήσῃς ἡμῖν τῆς σῆς μελιρρύτου φωνῆς, μηδὲ ὡς αἱ
Σειρῆνες ἐν καιρῷ μετρήσῃς τὴν ἡδονήν, μηδὲ ὡς Ἀπόλλων παρὰ
μέρος τὴν χέλυν μεταχειρίζῃ, μηδὲ ὡς ὁ Μαρσύας εἰς ἅμιλλαν
ἡμῖν καθίστασο.

35 Ἀλλ' ὅπερ ἐρεῖν βούλομαι, θαυμάσιον μὲν ἄλλως, οὐ πάνυ δὲ
πιθανὸν τοῖς πολλοῖς. Εἰρήκασι γοῦν τινες τῶν πάλαι σοφῶν ὅτι,
ἐξ ἀνατολῆς πρὸς δύσιν τοῦ οὐρανοῦ κινουμένου, καὶ ἐξ ἑσπέρας εἰς

23–24 μηκάζον – βληχή: Synes. Cyren. Epist. 148,60–61; cf. Psel. ⟨De meteorologicis⟩ = Phil. min. I 19,206 et Εἰς τὸ 'σοὶ μόνῳ ἥμαρτον ...' = Theol. I 14,110 ‖ **19–26** τὴν – εἰσεπράττετο: cf. e.g. Ps.-Nonnus Συναγωγὴ ... ἱστοριῶν ... in Greg. Naz. Or. 4, hist. 77,1–3 Ὀρφεὺς γέγονε μουσικός, Θρᾷξ τὸ γένος, ὃς λέγεται ὅτι οὕτω προσηνῶς ᾖδεν ὥστε ἐπακολουθεῖν τῇ ᾠδῇ αὐτοῦ τὰς δρῦς καὶ τῶν ζῴων τὰ ἄλογα, καὶ τοὺς λίθους, καὶ τοὺς ποταμούς cum Psel. e.g. Στίχοι ἰαμβικοὶ εἰς τὴν τελευτὴν τῆς Σκληραίνης = Poem. 17,111 et Π 111,97–98, Π 248,18–19, et Π 268,10–14 ‖ **24** συνεξορχοῦντο: vox Synesiana; cf. Synes. Cyren. Φαλάκρας ἐγκώμιον 6,31. cf. Π 254,42–43 et Π 288,22 ‖ **31–32** ὡς – ἡδονήν: cf. Hom. Od. 12,39–46, locus saepe laudatus; cf. Psel. Εἰς τὸ ῥητὸν τοῦ Ἰὼβ ... 'καὶ ὁ διάβολος παρέστη ... = Theol. I 32,59, et Π 112,79–80, Π 117,67, Π 248,16 et 23–27, Π 445,8–10, et Π 486,5; cf. etiam Π 121,76–80, Π 199,31, et Π 379,4–5; et Π 30,11, Π 76,49–50, et Π 128,36–37 **32–33** Ἀπόλλων – χέλυν: cf. e.g. Schol. in Pind. P hyp. a,10–13 Ἑρμῆς δὲ χέλυν εὑρὼν τετράχορδον λίνα ἀντὶ χορδῶν ἐνημμένην, ἐπειδὴ οὔπω τῶν νεύρων ἡ χρῆσις εὕρητο, καὶ ἁλοὺς τὰς Ἀπόλλωνος βοῦς κλέπτων, ἀντὶ τῆς κλοπῆς τὴν χέλυν δίδωσι τῷ Ἀπόλλωνι ‖ **33** Μαρσύας: cf. e.g. Suda μ 230

23–24 μηκάζον : μηκάζουσαι e[1] e[2] m[2] ‖ **24** συνεξορχοῦντα post corr. m[2] συνεξορχοῦντος ante corr. m[2] συνωρχοῦντο Rue ‖ **25** κηλούμενα scripsi: καλούμενα M E e[1] e[2] m[2] Rue G ‖ **26** εἰσπράττετο G ‖ **27** κἀγὼ om. e[1] e[2] m[2] πρὸς τὴν πρὸς τὴν ante corr. m[2] ‖ **30** γαννύμενον corr. G γανύμενος corr. Rue ‖ **31** σῆς om. e[1] e[2] m[2] ‖ **32** Σειρῆναι e[1] e[2] m[2] | ὁ Ἀπόλλων e[1] e[2] m[2] G **33** μεταχειρίζει ante corr. e[1] ante corr. e[2] | ὁ Μαρσύας : ἁμαρσίας m[2] Μαρσύας Rue ‖ **34** καθίσταται ante corr. m[2] ‖ **36** πιθανὸν τῆς φωνῆς ante corr. e[1]

ἀνατολὴν τῶν πλανήτων ἀστέρων, μέλος τι ἄρρητον ἀπὸ τῆς τοιαύτης ἀντικινήσεως γίγνεται, οὗ τὴν αἴσθησιν ἡ ἐπίκηρος ἡμῶν φύσις ἔχειν οὐ δύναται. Τοιαύτης οὖν με ἐμπιπλᾷ μουσικῆς, 40 τὸν ἅπαντα χρόνον ἡδονῆς ἀκηράτου πληρῶν.

Ἔγωγ' οὖν, μέγιστε καῖσαρ, κἂν μὴ ἐπιστέλλης πολλάκις, ἀλλ' οἷς ἀπέστειλας ἀποχρῶσαν ἔχω τὴν ἡδονήν. Οἱ παλαιοὶ ἐκεῖνοι Ἀσσύριοι οὐ πάντας τοὺς τεθνηκότας τῇ γῇ κατεχώννυον, ἀλλ' εἴτε μήτηρ τοῦ οἰκείου ἤρα παιδός, εἴτε ἡ γυνὴ τοῦ γαμέτου, 45 εἴτε ὁ ἀνὴρ γαμετῆς, καὶ ἐτεθνήκεσαν οἱ ἐρώμενοι, τὰ τούτων ταριχεύοντες σώματα, καὶ ξύλοις ἀσήπτοις ἐγγλύφοντες, ἀκόρεστα εἶχον θεάματα. Ἐγὼ δὲ οὐκ ἐγκολάπτω σου τὰς ἐπιστολὰς ὕλαις ἀψύχοις, ἀλλὰ περιάμματα ἐν ψυχῇ ταύτας ποιούμενος, ὁρᾶν ἀεὶ καὶ ἀκούειν δοκῶ. 50

Ἀλλ' οὐκ εἶπον ἵνα μὴ γράφῃς, ἀλλ' ἵνα εἰδὼς ὅπως ἐρῶ τῆς σῆς μουσοεργοῦ χάριτος, πολλάκις μοι τὸ τῶν χειλέων ἐπιστάζῃς μέλι, καὶ τὴν σὴν ἐπιφωνῇς μουσικήν.

39–40 ἡ – φύσις: locus communis; cf. Psel. Χρονογραφία VI,220 (= VIa,17), Theol. I 8a,44–5, Εἰς τὸ 'ὅτι πνεῦμα διῆλθεν ...' = Theol. I 34,5–6, Εἰς τὸ 'καὶ ἡμῖν μὲν βρωθήσεται ...' = Theol. I 99,21 et Π 31,33, Π 173,3–4, Π 174,17–18, et Π 200,72–73 ‖ **36–40** εἰρήκασι – δύναται: cf. e.g. Arist. Περὶ οὐρανοῦ 290b12–291a6 cum Theon Smyr. De util. math. 139,1–140,3; cf. Psel. Βίος καὶ πολιτεία ... Αὐξεντίου ... = Or. hag. 1c,171–173 et Omn. doctr. 200,10–11 **43–48** οἱ παλαιοὶ – θεάματα: cf. Herod. 2,86–89 (de Aegyptiis)

38 πλανητῶν Rue G ‖ **39** ἐπίκηρα e² ante corr. m² ‖ **40** οὖν με : μὲν οὖν e¹ e² m² Rue ‖ **42** ἐγὼ γοῦν Rue | μέγιστα ante corr. e² m² ‖ **43** ἐπέστειλας G **44** Ἀσύριοι e¹ e² m² | κατεχώνυον e¹ e² m² ‖ **45** γαμίτου e¹ e² m² Rue γαμετοῦ corr. G ‖ **47** ξήλοις e¹ e² m² | ἐκγλύφοντες in marg. E ἐγλύφοντες e¹ e² m² **48** δὲ : δὴ e¹ e² m² | ἐγκωλάπτω ante corr. e¹ ante corr. e² ‖ **52** μουσοέργου G an μουσουργοῦ scribendum? | τὸ om. e¹ e² m² ‖ **53** ἐπιφαίνῃς Rue

64. Εἰς τὸν αὐτόν
Εἰς τὸν καίσαρα Ἰωάννην τὸν Δούκαν

K-D 231 [Taf1], Taf1 48 [P], PG2 48 [Taf1]

Νὴ τὴν ἱεράν σου καὶ τριπόθητον κεφαλήν, μέγιστε τῶν πώποτε γεγενημένων καισάρων καὶ ἀξιάγαστε, νῦν ἀπόναμαι ἧς συνείλοχα λογιότητος, καὶ νῦν σοφὸς δοκῶ γεγενῆσθαι, καὶ ἐν τῷ καταλόγῳ τῶν λογίων συνηριθμῆσθαι, ὁπότε μου σὺ τῶν λόγων
5 ἐρᾷς, ἐν αὐχμῷ καὶ ταῦτα φιλομούσου καὶ γλώττης καὶ ἀκοῆς. Τί γὰρ ὄφελος αὐλητῇ εἰ αὐλοὺς μὲν ἔχοι καλούς, οὐδεὶς δὲ αὐτοῦ ἀκούειν βούλοιτο; Τί δὲ κιθαριστῇ, εἰ ἐντείνει μὲν καλῶς τὰς χορδάς, οἱ δὲ ἐν γειτόνων τὴν ἐκείνου μουσικὴν ἀποστρέφονται; Εἰ δὲ καὶ δρομεὺς ἀγαθὸς εἴη, οὐδεὶς δὲ ὁρᾶν βούλοιτο ἱπτάμενον
10 αὐτὸν ἐν τοῖς δρόμοις, τί ποτ' ἂν ἀπόναιτο τῆς ὠκύτητος;

Οὕτως οὖν ἐγὼ τὸ μέχρι τοῦ νῦν κύμβαλον ἦν ἀλαλάζον καὶ μάτην ἠχοῦν. Ἀλλὰ σύ με σεμνότερον διὰ τῆς ἐπιμελοῦς ἀπέδειξας ἀκροάσεως. Καὶ ἵνα σοι ἐξαγγείλω ὃ περὶ σοῦ πέπονθα (ἀλλά μοι τῷ λόγῳ τὸν νοῦν πρόσεχε), σημεῖον ποιοῦμαι τὴν σὴν περὶ τοὺς
15 λόγους ἐπιθυμίαν τῆς σῆς ἀρίστης ψυχῆς ἀφ' ἧς γίνεται τὸ ἐπιθυμεῖν. Ἐγὼ γὰρ (ἵνα σοι τἀληθὲς ἐρῶ) οὐ ξηρὸς γέγονα τὴν

1 νὴ – κεφαλήν: Synes. Cyren. Epist. 79,8 (cf. Epist. 86,1–2 πρὸς τὴν ἱεράν σου καὶ τριπόθητον κεφαλήν). cf. Π 42,20, Π 65,21–22, Π 68,36, Π 122,1, Π 180,2, Π 183,14–15, Π 193,15–16, Π 198,5–6, Π 211,56–57, Π 494,2–3. cf. etiam Psel. Ἐγκωμιαστικὸς εἰς ... Μιχαὴλ τὸν Κηρουλλάριον = Or. fun. I 1,61,30, Περὶ τῶν ἰδεῶν ἃς ὁ Πλάτων λέγει = Phil. min. II 33 (111,24–25), Π 284,9–10 et Π 394,19–20 ‖ **11** κύμβαλον – ἀλαλάζον: I Cor. 13,1 γέγονα χαλκὸς ἠχῶν ἢ κύμβαλον ἀλαλάζον, cf. Psel. Ἐγκώμιον εἰς Ἰωάννην ... Εὐχαΐτων ... = Or. pan. 17,227–228 et Π 30,10

ep. 64 P 254r, M 154r–v, E 81v–82v, e1 208v–210r, e2 134v–135v, m2 389r–v; tit. scripsi: om. P Taf1 τοῦ αὐτοῦ εἰς τὸν αὐτόν (scil. τὸν καίσαρα) M E e1 e2 m2 ⟨τῷ καίσαρι τῷ Δούκᾳ⟩ K-D ‖ **1** νὴ om. Taf1 ‖ **3** συνείληχα e1 e2 m2 λογιότητος M E e1 m2 corr. K-D Malt4,29: ἁγιότητος P Taf1 | σοφὸς δοκῶ P Taf1 K-D: δοκῶ σοφὸς M E e1 e2 m2 ‖ **4** συνηρηθμῆσθαι e1 e2 m2 | μου σὺ P Taf1 K-D: σύ μου M E e1 e2 m2 ‖ **6** ἔχει ante corr. e1 ante corr. e2 ἔχῃ post corr. e1 post corr. e2 m2 | αὐτοῦ M E e1 e2 m2: αὐτῶν P Taf1 K-D ‖ **8** ἐν P Taf1 K-D: ἐκ M E e1 e2 m2 ‖ **11** οὖν M E e1 e2 m2: om. P Taf1 K-D ‖ **12** ἠχοῦν M e1 e2 m2 Malt4,29: ἠχῶν P Taf1 K-D ‖ **13** περὶ M E e1 e2 m2: παρὰ P Taf1 K-D **14** πρόσεχε m2 | τοὺς P Taf1 K-D: om. M E e1 e2 m2 ‖ **16** γὰρ P Taf1 K-D: om. M E e1 e2 m2 ‖ **16–17** γέγονα – προθυμηθέντες in marg. suppl. e1

σοφίαν, οὐδ᾽ ὥσπερ οἱ πολλοὶ μέχρι τοῦ λέγειν προθυμηθέντες, ἀλλὰ παντοδαπὸς πᾶσι γέγονα πράγμασι. Καὶ πᾶσαν φιλόκαλον ψυχὴν ἐπαινῶ, οὐ μόνον ἥτις νοητοῦ κάλλους ἐρᾷ, ἀλλὰ καὶ ἥτις χρωμάτων ἀνθηρῶν, καὶ τέχνης ἀκριβοῦς καὶ μαργαρίτου καὶ 20 σαπφείρου καὶ ὑακίνθου· τεκμήριον γὰρ τὴν περὶ ταῦτα ποιοῦμαι ἔφεσιν τῆς ὑψηλοτέρας ἐπιθυμίας καὶ κρείττονος.

Ὅταν δέ τις λόγων κάλλους ἐρᾷ, οὗτος ἐμοὶ ὑψηλότερός ἐστι τὴν ἐπιβολὴν τῆς ψυχῆς· ὥσπερ γὰρ ὁ παντάπασι τὴν γνώμην ἠλίθιος ἀκίνητός ἐστι πρὸς ἅπασαν μουσικήν, καὶ οὐδὲν αὐτὸν 25

18 ἀλλὰ – πράγμασι: cf. Π 62,18–29 ἐγὼ δέ σοι εἰς μὲν θηριώδεις φύσεις οὐ μεταβήσομαι, οὐδὲ ἐκπλήξω τῇ τῶν φαντασμάτων καινότητι, ἀλλὰ τοὺς περὶ τὴν κιθάραν μιμήσομαι. τί δὲ οὗτοι δρῶσιν; ἐπειδὰν αἴσθωνται τοὺς ἀκούοντας κορεννυμένους τοῦ μέλους, μεταβάλλουσι τὰς χορδὰς στρέφοντες αὐτὰς τοῖς καλάμοις καὶ μεταστρέφοντες καὶ ποικίλας ἁρμονίας μεταχειρίζοντες, ἵνα, διὰ τῆς τοιαύτης μεταλλαγῆς τε καὶ μεταβάσεως, ἀκορέστους τῆς μουσικῆς ἡδονῆς τοὺς ἀκροατὰς ἔχωσιν. οὕτω γοῦν κἀγώ σοι μεταποιήσω τοὺς ἐμοὺς λόγους· καὶ νῦν μὲν ἱλαροὺς τούτους παρέξω σοι, νῦν δὲ συντόνους, καὶ νῦν μὲν ἀναβεβλημένους καὶ μαλακούς, νῦν δὲ γενναίους καὶ ἰσχυρούς, νῦν δὲ ἄλλην μορφὴν ἔχοντας, Π 76,45–47 ἔστι δέ μοι καὶ μουσικὸν ἐν τῷ στήθει μαγάδιον, καὶ μέλος παντοδαπόν, οὐ σύντονον μόνον, ἀλλὰ καὶ ἐναρμόνιον, Π 128,70–74 διαπέπλασταί μοι γὰρ ἡ ψυχὴ πρὸς πᾶσαν ἰδέαν καὶ Μουσῶν καὶ Χαρίτων, καὶ οὐχ ὥσπερ αἱ χορδαὶ ἢ σύντονός εἰμι μόνον ἢ ἐναρμόνιος, ἀλλὰ παντοδαπὸν ἔχω τὸ μέλος, νῦν μὲν λιγυρὸν καὶ ἡδύφωνον, νῦν δὲ συντεταμένον τε καὶ γενναῖον, et Π 146,134–138 διδάσκαλος δὲ πᾶσι γινόμενος, κατὰ τὸ μέτρον ἑκάστου τοὺς λόγους ποιοῦμαι, καὶ πρὸς τὰς ἰδέας μεταμορφοῦμαι τῶν μαθητῶν· καὶ τοῖς μὲν ἴσως λεοντοπρόσωπος φαίνομαι, ὅσοις τὸ πρὸς τοὺς λόγους ὅρμημα λεόντειον πέφυκε, τοῖς δὲ κορυδαλλὶς λόφον ἔχουσα | παντοδαπὸς – πράγμασι: cf. Π 122,50–51 ἐγὼ πάντα γίνομαι ‖ **18–21** καὶ πᾶσαν – ὑακίνθου: cf. Psel. Λόγος σχεδιασθεὶς πρὸς Πόθον βεστάρχην ... περὶ τοῦ θεολογικοῦ χαρακτῆρος 16 καὶ οἶδα ὡς περὶ τὸ αἰσθητὸν κάλλος ἐπτοημένος ἢ προμετωπίδιόν τινα κόσμον ἢ περιτραχήλιον ἢ στρεπτὸν ποθουμένῳ συνεξύφαγκας σώματι, Π 124,101–103 ἔοικας γάρ μοι μὴ γενναίαις εἶναι ἁλώσιμος φύσεσιν, ἀλλ᾽ ὅσαις κάλλος ἐφιζάνει, ἢ ἔμφυτον ἢ ἐπιποίητον ‖ **23–24** ὅταν δέ – ψυχῆς: cf. Synes. Cyren. Δίων 6,4, 6,5, et 8,2–3 cum Π 167,30–33, Π 200,69-75, Π 201,30-34, et Π 202,215–217

19 ἥτις[1] P Taf[1] K-D: εἴ τις M E e[1] e[2] m[2] | ἥτις[2] P Taf[1] K-D: εἴ τις M E e[1] e[2] m[2] **21** γὰρ P Taf[1] K-D: δὲ M E e[1] e[2] m[2] ‖ **23** **λόγων κάλλους** P Taf[1] K-D: κάλλους λόγων M E e[1] e[2] m[2] | ὑψηλότερός P Taf[1] K-D: ὑψηλός M E e[1] e[2] m[2] | ἐστιν e[1] e[2] m[2] ‖ **25** ἅπασαν M E e[1] e[2] m[2]: πᾶσαν P Taf[1] K-D | οὐδὲν P Taf[1] K-D: οὐθὲν M E e[1] e[2] m[2]

αἱρεῖ τῶν ὅσα τερπνά, ἀλλ' ἐν ἴσῳ τίθεται βορβόρῳ ἐγκαλινδεῖ-
σθαι, καὶ ὑπὸ σύσκιον πάγκαλον ἀναπαύεσθαι, οὕτως ὁ γεγυμνα-
σμένος τὰ αἰσθητήρια πρὸς διάκρισιν χείρονος καὶ βελτίονος ἐπὶ
τοῖς τῶν πραγμάτων ἐνθουσιᾷ κάλλεσι, καὶ θέλγεται μὲν τοῖς
30 ῥυθμοῖς, ἐπαγάλλεται δὲ συμφωνίαις καὶ ἁρμονίαις, λόγων δὲ
μάλιστα κόσμῳ καὶ κάλλει συνθήκης γοητεύεται ἀτεχνῶς.

Ἐρῶ γάρ σοι λόγον ἀπόρρητον μὲν φιλοσοφώτατον δέ. Ἡ
ψυχή, κάλλιστε καῖσαρ, μετὰ τοῦ νοητοῦ κάλλους τῷ σώματι
προσαρμόζεται, ἰδεῖν δὲ τοῦτο ἐν τῷ ὑλικῷ κόσμῳ οὐ δύναται· οὐ
35 γὰρ χωρεῖ τὴν ἀϋλίαν ἡ ὕλη. Ἀπορροίας δὲ τούτου καὶ ἴχνη ἐν
σωματικοῖς θεωμένη κάλλεσιν, οἰστρεῖ καὶ μέμηνεν, οἰομένη
ἐκεῖνο εἶναι ὅπερ ἐν τῷ σώματι γενομένη διέφθειρε· διὰ ταῦτα
πεπλάνηται περὶ τὰς πολυτίμους τῶν λίθων, καὶ τὰ εὐειδῆ

27 σύσκιον πάγκαλον: Plat. Φαῖδρος 230b3–4 τοῦ τε ἄγνου τὸ ὕψος καὶ τὸ σύσκιον πάγκαλον, locus saepe laudatus. cf. Psel. Ἐπιτάφιος εἰς … Ἰωάννην τὸν Ξιφιλῖνον = Or. fun. I 3,16,43–44, Τὰ πρὸς Ὄλυμπον = Or. min. 36,34, Ἑρμηνεία περὶ τῶν εἰκοσιτεσσάρων στοιχείων ... πρὸς ... Ἰωάννην τὸν λιβελλίσιον = Phil. min. I 36,305, et Εἰς τὸ θεολογικὸν τὸ 'ταῦτα τοῖς αἰνιγματισταῖς ...' = Theol. I 16,32–33 et Π 22,39–40, Π 201,31–32, et Π 482,7–8 ‖ **32–40** ἡ ψυχὴ … ἐπτόηνται: cf. Plat. Φαῖδρος 251d6–7 ἡ ψυχὴ οἰστρᾷ καὶ ὀδυνᾶται, μνήμην δ' αὖ ἔχουσα τοῦ καλοῦ γέγηθεν cum Psel. Ἔκφρασις εἰς Ἔρωτα ἐγγεγλυμμένον λίθῳ = Or. min. 34,19–30 πλὴν μηδὲ τὸν χθαμαλώτερον ἀποδιοπομπησώμεθα Ἔρωτα, εἰ δεῖ πεπεῖσθαι τῷ θαυμασίῳ φιλοσόφῳ (φημὶ δὴ τῷ Πλάτωνι). ἑτοιμάζει καὶ οὗτος τὰς ψυχὰς ἀπὸ τοῦ ἐμφανοῦς κάλλους πρὸς τὴν ἀναγωγὸν ἡδονὴν καί, ἐπεὶ μὴ δύναται τὸ νοερὸν καὶ ἀπόθετον κάλλος ἐπὶ τῆς ἰδίας ὑποστήσασθαι φύσεως, ἀπηχήματά τινα καὶ ἐμφάσεις εἰδωλοποιεῖ ἐν τοῖς σώμασιν, ἅπερ ἰδοῦσα ψυχὴ φιλόκαλος οἰστρεῖ ἀτεχνῶς καὶ ἀνακηκίει θερμῶς, ἐπιγνοῦσα ἐν ταῖς ἐμφάσεσι τὸ ἴχνος τῆς νοερᾶς ἐκείνης ψυχῆς. οὕτω δὲ διατακτέον ὡς εἰ μέν τις ἰδὼν κάλλος ἐν σώματι ἐναπομείνοι τῷ ὑποκειμένῳ καὶ τὸ εἴδωλον μόνον ἐναγκαλίσαιτο, φιλοσώματος οὗτος ἀλλ' οὐ φιλόκαλος· εἰ δ' ἐκεῖθεν ἐπιστραφείη πρὸς τὸ ἀναγωγὸν εἶδος, οὗτός ἐστιν ὁ Πλατωνικὸς ἐραστὴς οὗ τὸν λόγον οἱ ἀγνοήσαντες βάλλουσι σκώμμασιν. cf. Π 459,22-23 **35–36** ἀπορροίας – κάλλεσιν: cf. Herm. In Phaedr. 78,1–2 ἀπόρροια οὖν τούτου τοῦ νοητοῦ κάλλους ἐνδέδοται τῇ ὕλῃ cum Psel. Περὶ αἰῶνος = Theol. II 32,21–22 τὰ γὰρ ἐνταῦθα οὐκ οἶδα εἴτε ἀπορροαὶ τῶν ἐκεῖσε εἴτε μετοχαὶ εἴθ' ὁμοιώσεις. cf. etiam Π 167,35–36

30 ἐπαγγέλεται e[1] e[2] m[2] ‖ **32** λόγως e[2] ante corr. m[2] | ἀπόρητον e[1] e[2] m[2] **36** κάλλεσι M E e[1] e[2] m[2] ‖ **37** ἐκεῖνο εἶναι : ἐκεῖν' οὗ m[2] | γενομένη P Taf[1] K-D: γινομένη M E e[1] e[2] m[2] ‖ **38** πεπλάνηται M E e[1] e[2] m[2] Malt[4],29: om. P Taf[1] K-D

πρόσωπα, καὶ τὰς μουσικὰς ἁρμονίας· οἱ δέ γε φιλοσοφώτεροι περὶ τὸ τῶν λόγων κάλλος ἐπτόηνται· ὁποῖος εἶ σύ. 40

Ἀλλ' ἔδει σε καὶ τοιούτου φιλοσόφου τυχεῖν, ὁποίου τοῦ Ἀριστοτέλους μὲν ὁ Ἀλέξανδρος, τοῦ Πλάτωνος δὲ ὁ Διονύσιος. Ἀλλὰ σὺ μὲν κρείττων ἐκείνων (ναί! ὡς ἐγὼ δικάζω καὶ ἀποφαίνομαι), ἐγὼ δὲ χείρων ἐκείνων παρὰ πολύ. Πλὴν τοσοῦτον εὐτύχηκα, ὅτι μου μᾶλλον ἐρᾷς ἢ τῶν φιλοσόφων ἐκεῖνοι, καὶ διὰ 45 ταῦτα τὸ παρ' ἐμοὶ ἔλαττον πλεῖον ἡγῇ τοῦ παρ' ἐκείνοις μείζονός τε καὶ πλείονος. Πλὴν καὶ τοῦτο ἴσθι, ὡς ἐκεῖνοι μὲν ὧν ἀρτίως ἐμνήσθην σφοδρότατοι ἐρασταὶ τὸ κατ' ἀρχὰς ἐπὶ τοὺς φιλοσόφους γενόμενοι, ὕστερον ὥσπερ οἱ τῶν δρομέων ὀλίγωροι καθυφῆκαν αὐτοῖς τοῦ ἔρωτος· καὶ διὰ ταῦτα καὶ Διονύσιος ἐν τυράννοις 50 ἠρίθμηται ὅτι τὰ Πλάτωνος ἠθέτησε δόγματα, καὶ Ἀλέξανδρος τῶν κρειττόνων ἐγκωμίων ἐστέρηται ὅτι τῆς Ἀριστοτέλους σοφίας καταπεφρόνηκε. Παρὰ σοὶ δὲ οὐδὲν τοιοῦτον ὑπονοῶ, ὅτι καὶ κρείττων ἐκείνων πολλῷ καὶ τὴν ψυχὴν καὶ τὴν σύνεσιν.

Ἔδει δὲ καὶ τοὺς βασιλεῖς τοῖς σοφοῖς ἐκείνοις μνησικακῆσαι, 55 ὅτι οὔτ' Ἀριστοτέλης ἐγκώμιον Ἀλεξάνδρου, οὔτε Πλάτων Διονυσίου πεποίηται· διὰ ταῦτα ὥσπερ ὑβρισμένοι παρὰ τούτων, δίκην παρ' αὐτῶν τῆς ὕβρεως ἑκάτεροι ἀπειλήφασι. Καὶ (ἵνα σοι καὶ τὸ πᾶν ἐκείνων ἀνακαλύψω) εἰς ἄκρον μὲν φιλοσοφίας ἐληλάκεισαν ἄμφω, λόγων δὲ χάριτας οὐκ ἐσχήκασι· διὰ ταῦτα ἐλάττους ἐν 60 τοῖς ἐγκωμίοις γεγόνασιν. Ἐγὼ δέ σοι ἥττων μὲν τὴν σοφίαν ἐκείνων, κρείττων δὲ τὴν γλῶτταν περὶ τὴν εὐφημίαν εἰμί.

39 γὰρ γε ante corr. m² | φιλοσοφότεροι e¹ e² post corr. m² φιλοσοφίας ante corr. m² ‖ **41** ὁποίου P Taf¹ K-D: ὁποῖος M E e¹ e² m² ‖ **43** ναί : καὶ Taf¹ del. K-D | ναί ὡς post corr. e¹: καὶ ante corr. e¹ ‖ **44** ἐκείνων M E e¹ e² m²: om. P Taf¹ K-D ‖ **46** πλεῖον P Taf¹ K-D: πλεῖον ἐκείνων M E e¹ e² m² ‖ **48** ἐπὶ P Taf¹ K-D: περὶ M E e¹ e² m² ‖ **49–50** ὕστερον – ἔρωτος in marg. suppl. m² **50** Διόνυσος ante corr. e² ‖ **52** σοφίας P Taf¹ K-D: φιλοσοφίας M E e¹ e² m² **53** καταπεφρόνηκεν e¹ e² m² | παρὰ: περὶ Taf¹ K-D | ὑπονοῶ P post corr. M post corr. E post corr. e¹ e² m² Taf¹ K-D: κατανοῶ ante corr. M ante corr. E ante corr. e¹ ‖ **54** πολλῷ P Taf¹ K-D: μακρῷ M E e¹ e² m² ‖ **56** Ἀριτέλης e¹ m² **56–57** οὔτε – Διονυσίου in marg. suppl. e¹ ‖ **59** πᾶν scripsi: περὶ P Taf¹ K-D παρ' M E e¹ e² m² | φιλοσοφίας e² | ἐληλάκεισαν P Taf¹ K-D: ἐληλάκασιν M E e¹ e² m² ‖ **61–62** τὴν – ἐκείνων P Taf¹ K-D: ἐκείνων τὴν φιλοσοφίαν M E e¹ e² m² ‖ **62** γλῶτταν P Taf¹ K-D: γλῶσσαν M E e¹ e² m² | εὐφημίαν P Taf¹ K-D: φιλοσοφίαν M E e¹ e² m²

65. Εἰς τὸν αὐτόν

Εἰς τὸν καίσαρα Ἰωάννην τὸν Δούκαν. post Π 47

G 11 [M, E, e[1], e[2], m[2]], Malt 1a [M]

Οὐχ ὅτι νῦν γράφω, θειοτάτη ψυχή, νῦν σε καὶ διὰ μνήμης φαντάζομαι, ἀλλὰ τοῦ πολλάκις μεμνῆσθαι τὸ γράμμα σημεῖον. Ὅπερ ἐστὶ τοῖς ἐπιδημοῦσι τῶν φίλων ἡ ὁμιλία, τοῦτο τοῖς ἀποδημοῦσι τὰ γράμματα· καὶ ὥσπερ ἐκείνοις ἔμφυτον μέν ἐστι
5 τὸ μεμνῆσθαι, ἐκ περιόδου δὲ τὸ ὁμιλεῖν, οὕτω καὶ τούτοις ἐμπέφυκε μὲν τὸ φαντάζεσθαι, περιγίνεται δὲ τὸ γράφειν ἐκ διαστημάτων πολλῶν.

Ἔγωγ' οὖν (ὄμνυμι δὲ τὴν ἱεράν σου ψυχήν!) τοιοῦτον τὸ ἐμὸν ἀπεικάζω: ὥσπερ ἂν εἴ τις Ἕλλην ἀνὴρ ἐν Βρεττανοῖς
10 ὑπερόριος γένοιτο, ἔπειτα διὰ χρόνου πολλοῦ ἐντύχοι τινὶ Ἀττικῷ καὶ τὴν ψυχὴν καὶ τὴν γλῶτταν, καὶ ἐπιθυμοίη πρὸς ἐκεῖνον Ἑλληνιστὶ φθέγγεσθαι· τὰ γὰρ ἐνταῦθα οὐδὲν ἀπέοικεν Βρεττανῶν· ὀλίγοι γὰρ οἱ ἑλληνίζοντες, καὶ οὐδὲ οὗτοι ὀρθοεπεῖν δεδύνηνται ἀκριβῶς. Ἀλλὰ σὺ κρείττοσιν ὁμιλῶν, τὴν ἡμετέραν
15 γλῶτταν ἀπαξιοῖς. Καὶ εἰ μή τί σοι προσγένοιτο κακὸν ἀπροσδόκητον ὁποῖοι οἱ ἀρουραῖοι μῦες γεγόνασιν, οὐκ ἂν ἄλλως φθέγγεσθαι πρὸς ἡμᾶς βούλοιο· δι' ὑπερβολὴν γὰρ φιλοσοφίας, καὶ τοῖς

3–4 ὅπερ – γράμματα: cf. Mich. Chon. Epist. 103,16–17 ὃ γάρ ἐστι πρὸς ἐπιδημοῦντας πρόσρησις, τοῦτο πρὸς ἀποδήμους ἐπιστολή ‖ **9–14** ὥσπερ – ἀκριβῶς: cf. Π 176,46–50 εἰ δὲ καὶ Ἰταλός τις ἦν, ἢ Βρεττανός, εἶτα ᾤκουν παρὰ πολλοῖς ἑτέροις ἑτερογλώσσοις, οὐκ ἂν τῶν πολλῶν ἐκείνων ἕνα ἀντηλλαξάμην ὁμογενῆ; ἐμοὶ δὲ Ἕλληνι τὴν γλῶσσαν ὄντι, καὶ μέχρι τούτου, τίς ἂν ἡδίων ἄλλος, ἢ ὁ μέγας Εὐχαΐτων Ἕλλην (εἰ μηδὲ τοῦτο ἀπαξιοῖ), Ἕλλην ὄντως ἀνήρ

ep. 65 M 154v, E 82v–83r, e[2] 135v–136r, e[1] 210r–v, m[2] 390r–v; tit. scripsi: τοῦ αὐτοῦ εἰς τὸν αὐτόν (scil. τὸν καίσαρα) M E e[1] e[2] m[2] τῷ καίσαρι Δούκᾳ Malt **1** καὶ om. e[1] e[2] m[2] ‖ **2** σημεῖον τὸ γράμμα ante corr. e[1] σημεῖον τὸ γράμμα e[2] τὸ γράμμα σημεῖον τὸ γρά ante corr. m[2] ‖ **4** ἐστι : ἐστι τὸ μέν ἐστι ante corr. m[2] ‖ **12** Ἑλληνιστὶ E ‖ **13** οὐδὲν e[2] | οὗτοι : οὗ e[1] e[2] m[2] ‖ **17** γὰρ om. e[1] e[2] m[2]

χείροσιν ὡς οὐδὲν βλάπτουσι χρώμενος, παίζεις ἐν οὐ παικτοῖς, ἱλαρὰν παιδιὰν τὰς ἐπηρείας ποιούμενος. Ἀλλὰ μὴ οὕτω φθέγγοιο, μηδὲ διὰ τὰ λυμαντικὰ τοῦ σοῦ θέρους ζωύφια, ἀλλὰ 20 φιλίας ἕνεκα καὶ τῆς κοινῆς διαθέσεως· νὴ τὴν ἱεράν σου γὰρ καὶ τριπόθητον κεφαλήν, οὐκ οἶδα εἴ τινι ἄλλῳ τῶν ἁπάντων τεθάρρηκα, καὶ οὕτω συμπέφυκα ἢ ἀναπέφυκα.

Εἰ μὲν οὖν τὴν ἴσην ἀποδίδως διάθεσιν, δικαιοσύνην ἐργάζοιο· εἰ δ' οὖν, ἀδικώτατος εἶ, μὴ ἰσορρεπῆ τὴν φιλίαν ἡμῖν ποιούμενος. 25

66. Εἰς τὸν αὐτόν

Εἰς τὸν καίσαρα Ἰωάννην τὸν Δούκαν

G 13 [M, E, e¹, e², m², Boi], Boi 10 [P]

Ἡ τοῦ μύθου κάμηλος περὶ κέρατος ἐξελιπάρει θεόν (τοῦτο γὰρ καὶ μόνον ᾤετο ἐλλελεῖφθαι τῷ κάλλει καὶ τῷ μεγέθει αὐτῆς, καὶ

18 παίζεις – παικτοῖς: proverbium; cf. Ioann. Chrys. In Rom. hom. 31,5 (PG 60,674,55), In 2 Cor. hom. 22,3 (PG 61,551,15), In Hebr. hom. 27,5 (PG 63,191,4); cf. Psel. Λόγος εἰς ... τὸν Μονομάχον = Or. pan. 2,501–502, ⟨Explicatio trium locorum novi testamenti (Ioann. 21,7; Mt. 3,4; Ioann. 21,9)⟩ = Theol. I 17,13, et Εἰ τὸ 'ἀλλ' εἰ ταὐτὸν τῷ πατρὶ ὁ υἱὸς κατ' οὐσίαν, ἀγέννητος δὲ ὁ πατήρ, ἔσται τοῦτο καὶ ὁ υἱός' = Theol. I 24,74. cf. etiam Π 375,43–44 ἔα τὰ παικτὰ παίζεσθαι ‖ **15–20** κακὸν – ζωύφια: cf. Π 47? ‖ **21–22** νὴ – κεφαλήν: Synes. Cyren. Epist. 79,8 (cf. Epist. 86,1–2 πρὸς τὴν ἱεράν σου καὶ τριπόθητον κεφαλήν). cf. Π 42,20, Π 64,1, Π 68,36, Π 122,1, Π 180,2, Π 183,14–15, Π 193,15–16, Π 198,5–6, Π 211,56–57, Π 494,2–3. cf. etiam Psel. Ἐγκωμιαστικὸς εἰς ... Μιχαὴλ τὸν Κηρουλλάριον = Or. fun. I 1,61,30, Περὶ τῶν ἰδεῶν ἃς ὁ Πλάτων λέγει = Phil. min. II 33 (111,24–25), Π 284,9–10 et Π 394,19–20 ‖ **1–5** ἡ τοῦ μύθου – παντάπασι: Aesop. Κάμηλος καὶ Ζεύς = Fab. 119

20 λυμαντικὰ m² ‖ **23** συμπέφυκα : ἢ ἀπέφυκα ἀμπέφυκα ante corr. m² ἀμπέφυκα post corr. m² | ἢ ἀναπέφυκα : in marg. suppl. E in marg. suppl. e¹ in marg. suppl. e² in marg. correxit m² ‖ **25** post ποιούμενος epist. Π 13 continuat in E e¹ e² m² Malt 1b ‖ **ep. 66** P 55r–v, O 196r–v, M 155v–156r, E 84r–85r, e¹ 212r–213v, e² 137r–138v, m² 391v–392v, m⁴ 223v–224r; tit. scripsi: περὶ τοῦ κλέμματος οὗ πέπονθεν manu post. add. P om. O τοῦ αὐτοῦ εἰς τὸν αὐτόν (scil. τὸν καίσαρα) M E e¹ e² m² τοῦ σοφωτάτου Ψελλοῦ, εἰς τὸν λαμπρότατον καίσαρα m⁴ ⟨ad Ioannem Ducam⟩ G τοῦ αὐτοῦ περὶ τοῦ κλέμματος οὗ πέπονθεν Boi ‖ **2** καὶ¹ P m⁴ Boi G: om. O M E e¹ e² m² ἐλλελεῖφθαι P m⁴ O M Boi G: ἐλλεῖφθαι E e¹ e² m²

ἐβούλετο καὶ τοῖς ἐκ τῶν κροτάφων κέρασι καλλωπίζεσθαι)· ἀλλ' ὁ θεὸς μισήσας τῆς ὑπερηφανίας αὐτήν, ἀφείλετο καὶ τὰ ὦτα, ἵνα
5 ᾖ αἰσχίων παντάπασι.

Τοιοῦτόν τι καὶ αὐτός, καῖσαρ ὑπέρτιμε, πέπονθα. Καὶ ζητῶν προσθήκην εὕρασθαι τοῖς ἐμοῖς χρήμασι, καὶ τῶν προσόντων ἐστέρημαι· ἀπόλωλε γάρ μοι τὴν χθὲς ἡμέραν ὁ θησαυρός, γέμων τριακοσίων στατήρων· καὶ ἀπόλωλε θαυμασίως. Ὁ μὲν γὰρ
10 Χριστὸς εἰς ᾅδην κατεληλυθώς, οὐ πρὶν τὰς αἰχμαλώτους ἐκεῖθεν ψυχὰς ἀνερρύσατο, εἰ μὴ τὸ φρούριον ταύταις πέριξ κατέσκαψε, καὶ τὰς τοῦ δεσμωτηρίου συνέθλασε κλεῖς. Ὁ δὲ σεσυληκὼς τὰ ἐμά, ὥσπερ φασὶ τοὺς δράκοντας ταῖς ἀναπνοαῖς τὰ πόρρω κείμενα ἕλκειν, οὕτω κἀκεῖνος ἀναπνεύσας, ἀφανῶς τοῦτον ἐσύλη-
15 σεν, οὐ τοῖχον διορύξας, οὐ θυρίδα περιελών, οὐ κλεῖν ἀφελών. Ἐγὼ μὲν οὖν ἐθαύμαζον ὅπως καὶ κεκλεισμένων τῶν θυρῶν εἰσελήλυθεν ὁ Χριστός, καὶ ἐδόκει μοι τὸ πρᾶγμα παράδοξον· νῦν δὲ ἀφεὶς ἐκεῖνο, ἐκπέπληγμαι τοῦτο.

Ὁ Ῥαψίνιτος Αἰγύπτου βασιλεὺς ἐγεγόνει· καὶ δόξαν αὐτῷ,
20 φυλακὴν τοῖς χρήμασιν ἐπενόησε· καί τι φρούριον αὐτῷ πρὸς ἀσφάλειαν ᾠκοδόμητο ἀκριβέστατον. Ἀλλ' ὅ γε οἰκοδομήσας τὸ

9–12 ὁ μὲν – κλεῖς: cf. e.g. Euseb. Εὐαγγελικὴ προπαρασκευή 10,8,64 vel Roman. Mel. Κοντάκιον εἰς τὴν ἀνάστασιν = Cant. 45, etc. cum Psel. Λόγος εἰς τὴν σταύρωσιν = Or. hag. 3a,886–888; cf. etiam Psel. Εἰς τὸ 'δρέπανον' ὃ τεθέαται Ζαχαρίας 'πετόμενον' = Theol. I 41,21–25 ‖ **13–14** τοὺς – ἕλκειν: Aelian. Περὶ ζῴων ἰδιότητος 2,21 λέγουσι δὲ Φρύγιοι λόγοι καὶ ἐν Φρυγίᾳ γίνεσθαι δράκοντας ... ἀτρέμα καὶ ἡσυχῇ τὴν φάρυγγα ἀνατείναντες καὶ μέντοι καὶ τὸ στόμα ἀνοίξαντες, εἶτα τὰ πτηνὰ ἕλκουσιν οἱονεὶ ἴυγγι τῷ ἄσθματι ‖ **16–17** κεκλεισμένων – Χριστός: Ioann. 20,26 ἔρχεται ὁ Ἰησοῦς τῶν θυρῶν κεκλεισμένων. cf. Psel. Εἰς τὸ 'τὰ μὲν δὴ σωματικὰ ...' = Theol. I 46,22–23 ‖ **19–24** ὁ Ῥαψίνιτος – πλουτεῖν: cf. Herod. 2,121a

3 τοῖς ἐκ P m[4] M E e[1] e[2] m[2] Boi G: ἐκ τοῖς O ‖ **4** τὰ ὦτα O M E e[1] e[2] m[2] G: τοῦ ὀφθαλμοῦ P m[4] Boi | ἵνα P m[4] O Boi G: ἵν' M E e[1] e[2] m[2] ‖ **6** καῖσαρ P m[4] e[1] e[2] m[2] Boi G: καίσαρ O M E ‖ **7** εὕρασθαι P m[4]: εὑρᾶσθαι O M ante corr. E εὑρῆσθαι post corr. E e[1] e[2] m[2] G ἄρασθαι Boi | χρήμασι P m[4] O M Boi G: in marg. suppl. E om. e[1] e[2] m[2] ‖ **12** δεσμωτηρίου G | τὰς – κλεῖς P m[4] Boi G: τὰς κλεῖς τοῦ δεσμωτηρίου συνέθραυσε O M E e[1] e[2] m[2] ‖ **15** τοῖχον διορύξας P m[4] Boi G: διορύξας θύραν O M E e[1] e[2] m[2] ‖ **16** καὶ P m[4] Boi G: om. O M E e[1] e[2] m[2] ‖ **18** δὲ – ἐκεῖνο P m[4] Boi G: δ' ἐκεῖνο ἀφεὶς O M E e[1] e[2] m[2] ‖ **19** Αἰγίπτου e[1] e[2] m[2] ‖ **20** τι P m[4] Boi G: τὸ O M E e[1] e[2] m[2] ‖ **20–21** πρὸς – ἀκριβέστατον O M E e[1] e[2] m[2]: ᾠκοδόμητο ἀκριβέστατον εἰς ἀσφάλειαν P m[4] Boi G

δόμημα, ἀγχοῦ πρὸς τοῖς θεμελίοις, εὐκύλιστον λίθον καὶ κυλίν-
δρῳ παρόμοιον προσηρμόσατο· εἰσήει γοῦν ἐκεῖθεν καὶ ἐξῄει, καὶ
ἦν αὐτῷ ἡ τοῦ βασιλέως ἀσφάλεια, ἐλευθερία πρὸς τὸ πλουτεῖν.
Ἐμοὶ δὲ ἡ τοῦ χρήματος φυλακὴ οὐδὲν εἶχε τοιοῦτον κλέμμα, ἀλλ' 25
ὥσπερ ὁ τοῦ μύθου Βορρᾶς ἥρπασεν ἀφανῶς τὴν Ὠρείθυιαν (κόρη
δὲ αὕτη καὶ ἁπαλὴ καὶ καλή), οὕτω τις καὶ τὸν ἐμὸν θησαυρὸν
Ἀπαρκτίας ἐξεφόρησεν ἄνεμος. Καὶ νῦν ἐλεύθερός σοι τῷ ὄντι καὶ
φιλόσοφος γέγονα, πέδης ἀπολελυμένος χρυσῆς.

Ἐγὼ καὶ τῶν γυναικῶν ὅσαι τοὺς βραχίονας χρυσοῖς κύκλοις 30
καταδεσμοῦσι, καὶ περιδερραίοις τὸν τράχηλον κατασφίγγουσιν,
ἐν δεσμοῖς ἥγημαι, καὶ τῆς ἀνάγκης οἰκτείρω. Τρόπον οὖν τινα
καὶ αὐτὸς τοῖς δεσμώταις συνηριθμούμην, καὶ κατεχωννύμην οὗ
τὰ χρήματα ἔκειτο. Ἀλλ' ἐντεῦθεν μὲν ἐλευθέρωμαι· τῷ δὲ συνήθει
πάθει ἑάλωκα, καὶ πολλαῖς ἡ γαστὴρ ταῖς ὀδύναις βάλλεται. 35
Ἀλλά μοι, καῖσαρ, μὴ πολλάκις μηδὲ πολλὰ ἐπὶ τῇ τῶν χρημά-
των ἐλευθερίᾳ τέρποιό τε καὶ συναγάλλοιο· ἐβουλόμην γὰρ ἐκεί-
νως δεδεσμῆσθαι, ἢ οὕτως ἀπολελύσθαι· οὐχὶ γὰρ καὶ τὸ σῶμα
ἡμῶν ἐξ ὀστῶν συγκείμενον καὶ σαρκῶν ἀλγοῦμεν, ἐν τῷ θανάτῳ
ἀποδυόμενοι; Εἰ δὲ γεώδους σκήνους ἀπολυόμενοι ἀνιώμεθα, πῶς 40
οὐκ ἂν αὐτὸς χρυσὸν τοσοῦτον ἀφῃρημένος εἰκότως ἀγανακτοίην,
ὑπὲρ οὗ τὰ ἔσχατα οἱ μεταλλεύοντες τοῦτον πάσχουσιν; Οὐ
μέμφομαι τὸν σεσυληκότα, ὅτι μου τοῦ χρυσοῦ πέπωκε νάματος,

26–27 ὁ – καλή: cf. Plat. Φαῖδρος 229b4–5 εἰπέ μοι, ὦ Σώκρατες, οὐκ ἐνθένδε μέντοι ποθὲν ἀπὸ τοῦ Ἰλισοῦ λέγεται ὁ Βορέας τὴν Ὠρείθυιαν ἁρπάσαι; **29** πέδης – χρυσῆς: Hom. Il. 13,36 ἀμφὶ δὲ ποσσὶ πέδας ἔβαλε χρυσείας

22–23 κυλίνδῳ e[1] e[2] m[2] ‖ **23** ἐξῄει : προσεξῄει O ‖ **24** ἐλευθέρα ante corr. e[1] e[2] ‖ **25** δὲ ἡ P m[4] O Boi: δ' ἡ M E e[1] e[2] m[2] G | οὐδὲν – κλέμμα P m[4] Boi G: τοιοῦτον εἶχε κλέμμα οὐδὲν O M τοιοῦτον εἶχε κλῶσμμα οὐδὲν E τοιοῦτον εἶχε κλῶσμα οὐδὲν e[1] e[2] m[2] ‖ **27** καὶ[1] O M E e[1] e[2] m[2] G: om. P m[4] Boi ‖ **28** καὶ τῷ ὄντι e[1] e[2] m[2] ‖ **30** ὅσῳ e[1] e[2] m[2] ‖ **36** μοι : μὴ anter corr. m[2] | καῖσαρ P m[4] e[1] e[2] m[2] Boi G: καίσαρ O M E ‖ **37** ἐλευθερίᾳ P m[4] Boi: ταλαιπωρίᾳ O M E e[1] e[2] m[2] G | ἐβουλόμην P m[4] O Boi: ἐβουλόμην μὲν M E e[1] e[2] m[2] G ‖ **38** τὸ om. e[1] e[2] m[2] ‖ **39** ἐν – θανάτῳ O M E e[1] e[2] m[2] G: lacunam indicavit P Boi om. m[4] **40** γεώδους σκήνους P m[4] Boi: γεῶδες σκῆνος O γαιῶδες σκῆνος M E e[1] e[2] m[2] G | ἀπολυόμενοι P m[4] Boi: ἀποδυόμενοι O M G ἀποδυόμενος E e[1] e[2] m[2] **41** εἰκότως P m[4] Boi G: om. O M E e[1] e[2] m[2] ‖ **43** μου – χρυσοῦ P m[4] Boi G: τοῦ χρυσοῦ μου O M E e[1] e[2] m[2]

ἀλλ’ ὅτι ἀκριβῶς ᾔδει μοι τὰς χρυσᾶς μοι πάντοθεν ἀποπεφρα-
45 γμένας πηγάς.

Ὁ Ζεὺς ἐρῶν τῆς Δανάης, ἄλλῳ μὲν οὐδενί, χρυσοῦς δὲ γενόμενος, ἐράσμιος αὐτῇ ἔδοξε· καὶ τοῖς Αἰθίοψι δὲ νόμος, ἐπειδὰν οἱ πατέρες βούλοιντο τοὺς παῖδας κολάσαι, χρυσῇ πέδῃ τούτους παρηγορεῖν. Οὕτως ἐστὶν ἐπέραστος ὁ χρυσός. Ἀλλ’ εἰ
50 μὲν ἀντλοίη τις αὐτόν, τάχα οὐκ ἄχθοιτο ἀπαντλούμενος. Εἰ δὲ συλλέγει τε καὶ συντίθησιν, ὡς ἡ χελιδὼν τὴν καλιάν, πολλοῖς καὶ πυκνοῖς κάρφεσιν, εἶτα δὴ ἀφαιροῖτο, οὐ φορητὴν τὴν ζημίαν ἥγηται.

Ἀλλ’ ἐγώ σοι καὶ οὕτως ἔχων, φιλοσοφῶ· ναὶ νὴ τὴν ἐμὴν ἐν
55 σοὶ καύχησιν! Καὶ τοῦτο μόνον ἐπαχθὲς ἥγημαι, ὅτι μοι τῶν θεραπόντων τινὲς ὑπωπτεύθησαν· καὶ οὔτε τὰς συνήθεις αὐτοῖς φωνὰς διαλέγομαι, οὔθ’ ὅπερ εἴωθα συμμειδιῶ καὶ χαριεντίζομαι, ἀλλ’ ὥσπερ ἐπὶ τῆς ὀρχήστρας οἱ μῖμοι, μεταποιοῦμαι τὸ πρόσω-
πον.

60 Μὴ οἴου δὲ ἐξεπίτηδές σοι ταῦτα γεγραφέναι ἵνα μοι κοινωνήσῃς τοῦ κλέμματος. Μὴ οὕτως σε τεχνικῶς ἀγαπήσαιμι. Ὅθεν

46–47 ὁ Ζεὺς – ἔδοξε: cf. e.g. Ps.-Nonnus Συναγωγὴ … ἱστοριῶν … in Greg. Naz. Or. 5, hist. 24 = **Πῶς** ὁ Ζεὺς δι’ ἀσέλγειαν πάντα γίνεται ‖ **47–49** καὶ – παρηγορεῖν: cf. Herod. 3,23,15–16 ἐς δεσμωτήριον ἀνδρῶν, ἔνθα τοὺς πάντας ἐν πέδησι χρυσέῃσι δεδέσθαι cum Suda κ 1161 παρὰ δὲ Αἰθίοψιν οἱ κακοῦργοι χρυσαῖς ἁλύσεσιν ἐδέδεντο ‖ **51–52** ὡς – κάρφεσιν: cf. e.g. Ioann. Philop. In Phys. 311,6–8 καὶ ἡ χελιδὼν δὲ τὴν νεοττιὰν οὐ μάτην δήπου ἐργάζεται ἀλλ’ ἕνεκά του, διόπερ ὅτι μάλιστα ἀσφαλῶς συνδεῖ τοῖς κάρφεσι τὸν πηλόν, καὶ σχῆμα πολυχωρητότατον καὶ ἰσχυρότατον ἐργάζεται

44 εἴδει E e[1] e[2] m[2] | τὰς – μοι[2] P m[4] Boi: μοι τὰς τοῦ χρυσοῦ O M E e[1] e[2] m[2] G ‖ **46** ἄλλῳ – οὐδενί P m[4] Boi: ἄλλο μὲν οὐθέν O M E e[1] e[2] m[2] G **47** ἐράσμιος P m[4] Boi G: ἐρώμενος O M in marg. suppl. E e[1] e[2] m[2] ‖ **50** τάχα – ἄχθοιτο : τάχα οὐκ ἂν ἄχθοιτο vel τάχ’ ἂν οὐκ ἄχθοιτο prop. Boi ἄχθοιτο m[2] **51–52** ὡς – δὴ [ca. 50 litt.] O ‖ **52** δὴ : δὲ G ‖ **54** ναὶ : καὶ e[1] e[2] m[2] | νὴ P m[4] Boi G: om. M E e[1] e[2] m[2] ‖ **52–54** ζημίαν – νὴ ζη[ca. 50 litt.] O ‖ **55** ἐπαχθὲς ἥγημαι P m[4] Boi G: ἥγημαί σοι ἐπαχθὲς M ἥγημαί σοι ἐπαχθὴς E e[1] ἥγημαί σοι ἐπαχθεὶς e[2] m[2] ‖ **56** ὑπωπτεύθησαν G ‖ **55–56** καὶ τοῦτο – ὑπωπτεύθησαν: [ca. 50 litt.]πτεύθησαν O ‖ **56–57** συνήθεις – καὶ : συν[ca. 50 litt.] O ‖ **58–59** ὥσπερ – πρόσωπον : [ca. 50 litt.] O ‖ **60** δὲ om. G **61** κλώσμματος E κλώσματος e[1] e[2] m[2] ‖ **60–61** ταῦτα – τεχνικῶς : [ca. 50 litt.] O

καὶ τὰ φρικωδέστατα ἐπαρῶμαι σοι εἰ τοῦτο ἐνθυμηθείης μὴ ὅ τι γε καὶ πρᾶξαι θελήσειας. Οὕτως ὄναιο τῆς τοῦ βασιλέως καὶ ἀδελφοῦ ἐμφύτου χρηστότητος, ἐπεὶ (ἵνα σοι τἀληθὲς ἐρῶ), τὸ προχειρότατον βαλάντιον κέκλεμμαι, τὸ παλαμναῖον δὲ καὶ 65 βαρύτερον, καὶ ὃ πρὸς ἐξώνησιν κτήματος ἀφωσίωμαι, ἐνδοτέρω τοῦ τοίχου φυλάττεται.

Τί ποτε οὖν σοι τοῦτο γεγράφηκα; ἵν' ἐπὶ πᾶσι τοῖς ἐμοῖς ἐντρυφῴης, εἴτε κρείττοσιν, εἴτε χείροσιν, οὐκ ἐπαγαλλόμενος τοῖς ἐμοῖς ἀτυχήμασιν, ἀλλὰ τοῖς περὶ τούτων ἡδόμενος γράμμασιν. 70

67. ⟨Τῷ καίσαρι Ἰωάννῃ τῷ Δούκᾳ⟩

K-D 232 [Taf1], Taf1 49 [P], PG2 49 [Taf1]

Πρὸς μὲν τυροὺς καὶ ὕδνα, ἴσως δὲ καὶ μῦρα καὶ πέμματα καὶ ἀρώματα, ὑπερθαύμαστέ μοι καῖσαρ, ἐπιστέλλειν καὶ ἀνταμείβεσθαι δύναμαι. Πρὸς δὲ ἵππον οὕτω μὲν καλόν, οὕτω δὲ μέγαν, οὕτω δὲ τρυφερόν, οὕτω δὲ ταχὺν καὶ εὐκίνητον, ἐπιστολὴν ἰσόμετρόν τε καὶ ἰσοδύναμον ποιῆσαι ἀμηχανῶ· εἰ γὰρ καὶ μὴ 5 τοιοῦτος ἦν μηδὲ τοσούτοις ἐκεκόσμητο κάλλεσιν, ὁπόσοις οὐδ' ὁ τοῦ Ἀλεξάνδρου παράσημος ἵππος (ἐκεῖνος γὰρ θυμοειδὴς ἄλλως

63–64 τοῦ – ἀδελφοῦ: Constantinus X Ducas (imperator: 23/24.XI.1059 – 22/23.V.1067) (Π XVIII) ‖ **7** ἵππος – θυμοειδής: iunctura saepe laudata; cf. e.g. Greg. Naz. Περὶ τῆς ἐν διαλέξεσιν εὐταξίας = Or. 32,3 cum Psel. Τίνα τρόπον ὁ Πλάτων οἴεται εἰσοικίζεσθαι τὰς ψυχὰς τοῖς τῶν ἀλόγων ζῴων σώμασι, πρὸς τὸν εὐσεβέστατον βασιλέα κῦρ Ἀνδρόνικον = Phil. min. II 29 (106,13) **6–9** ὁ – προσιέμενος: Plut. Alex. 6 τὸν Βουκεφάλαν ... ἐδόκει τε χαλεπὸς εἶναι καὶ κομιδῇ δύσχρηστος, οὔτ' ἀναβάτην προσιέμενος οὔτε φωνὴν ὑπομένων ... ὡς ἑώρα πληρούμενον θυμοῦ καὶ πνεύματος. cf. etiam Psel. Χρονογραφία VII,58 ὥσπερ δὴ ὁ τοῦ Φιλίππου εὐήνιον τὸν Βουκέφαλον πεποίηκεν

62 ἐπαρῶμαι σοι P m4 Boi: σοι ἐπαρῶμαι M E e1 e2 m2 G | τοῦτο P m4 Boi: τι τοιοῦτον M E e1 e2 m2 G ‖ **63** πρᾶξαι P m4 Boi: καταπράξαι M E e1 e2 m2 G **62–63** φρικωδέστατα – πρᾶξαι : φριχ[ca. 50 litt.]πράξαι O ‖ **62–63** μὴ – θελήσειας in marg. suppl. e1 ‖ **63–64** βασιλέως – ἀδελφοῦ P m4 Boi G: ἀδελφοῦ καὶ βασιλέως M E e1 e2 m2 ‖ **64** ἐμφύτου χρηστότητος M E e1 e2 m2 G: ἐμψύχου ψυχρότητος P m4 Boi ‖ **63–64** ὄναιο – ἐρῶ : [ca. 50 litt.] O **65** προχειρότατον P m4 Boi: προχειρότερον O M E e1 e2 m2 G ‖ **68** ἵν' G **69** ἐντρυφῴης Boi ‖ **70** ἐμοῖς : ἐμοῦ m2 ‖ **ep. 67** P 254r–v; tit. scripsi: ⟨τῷ αὐτῷ=τῷ καίσαρι τῷ Δούκᾳ⟩ K-D

ἦν, ἀποπτύων τε τὸν χαλινόν, καὶ δι’ ὑπερβολὴν ἀγερωχίας ἐπιβάτην μὴ προσιέμενος), ἀλλ’ ἐπειδὴ παρὰ τοιούτου ἀνδρὸς
10 δῶρόν μοι ἀπέσταλται, ὁποίῳ ἂν οὐδεὶς τῶν ἀπ’ αἰῶνος γηγενῶν ἀντερίσειεν, πῶς ἂν διαμιλλησαίμην λόγῳ πρὸς τὴν τοῦ πέμψαντος ἀρετήν; Ἐπεὶ δὲ καὶ ὁ πεπομφὼς ἄνω που κάθηται τῶν νεφῶν, καὶ τὸ πεμφθὲν μικροῦ δεῖν τοῖς ὁμοειδέσι ζῴοις ἀσύγκριτον, «πρὸς δύο» τηλικαῦτα, τὸ κάλλος ὁμοῦ καὶ τὸ
15 μέγεθος, «οὐδ’ Ἡρακλῆς ἐκεῖνος ἀνταγωνίσαιτο», αἱ παροιμίαι φασίν.

Ἀλλ’ ὅταν μὲν πρὸς τὴν σὴν ἐπιμύσας ὑπεροχὴν τὸν ἵππον θαυμάσαι βουλήσομαι, κάτω που τούτου καὶ τὸν Βουκεφάλαν καὶ τὸν Πήγασον τίθεμαι· τί γὰρ εἰ ὁ μὲν εὔσαρκος μέν τις ἦν καὶ
20 πιότατος, καὶ βοὸς κεφαλῇ διεσχημάτιστο ἐπὶ τοῦ μηροῦ, θρασύτατος δὲ τἄλλα καὶ τὴν ἡνίαν μὴ προσιέμενος, ὁ δὲ εἰς ἀέρα ἐπτέρωτο, καὶ τὸν ἐπιβάτην πολλάκις τῶν νώτων ἀπέκρουεν; Ἀλλ’ ὅ γε πεμφθεὶς ἐμοὶ καὶ τῷ κάλλει μὲν καὶ τῷ μεγέθει ἐκείνοις ἀνθάμιλλος· ἔχει δὲ μετὰ τῶν δυοῖν τούτων ἀρετῶν, καὶ
25 τὸ μὴ πρὸ πολλοῦ γεγεννῆσθαι, ἀλλ’ ἄρτι ἡβᾶν τὴν ἵππειον ἥβην, ἥμερόν τε εἶναι καὶ μὴ πρὸς θίξιν χειρὸς ἀγριαίνειν, μήτε δεῖσθαι τοῦ περιποππύζεσθαι καὶ οἷον τιθασεύεσθαί τε καὶ κολακεύεσθαι.

Ὅταν μὲν οὖν πρὸς τὸν ἵππον ἀπίδω, οὕτως τοῦτον ὑπερεκπέπληγμαι, καὶ ἀσύγκριτον πρὸς τοὺς λοιποὺς τίθεμαι· εἰ δὲ πρὸς
30 τὸν ἀπεσταλκότα μεταβιβάσω τὴν ἔννοιαν, τηνικαῦτα τὸ λυχναῖον φῶς θαυμάζειν ἀφείς, τοῦ ἡλίου τέθηπα τὴν μαρμαρυγήν.

Ἔδει μὲν οὖν σε ὅσον ἐπὶ ταῖς τῶν πραγμάτων ὑπεροχαῖς, ὑπερνεφεῖν τε, καὶ οἷον ἀεροβατεῖν, καὶ καταφρονεῖν τῶν ἐφημέρων ἡμῶν. Νῦν δὲ ὃ τοῖς ἄλλοις τὰς ὀφρῦς ὑπὲρ τὸ μέτωπον
35 τίθησι, σοὶ καὶ τοὺς ὀφθαλμοὺς αἰδοῦς ἐμπιπλᾷ, καὶ μετριοφροσύνην ἄρρητον ἐμποιεῖ. Ἐγὼ δὲ ἔτι οὐ τὰ μεγάλα μόνον θαυμάζειν

14–15 πρὸς – ἀνταγωνίσαιτο: proverbium; CPG I 140–141 (nr. 49) et II 206 (nr. 42); cf. Psel. Εἰς τὸ ... ‘ὁ τοῦ πατρὸς ὅρος καὶ λόγος’; = Theol. I 97,68 et II 491,14 ‖ **20** βοὸς – μηροῦ: cf. Διήγησις Ἀλεξάνδρου Recensio ε 4,1 φοβερὸν καὶ πλήρη κάλλους διαθέσεων, βοὸς κεφαλὴν ἔχοντα ἐκτετυπωμένην τῷ δεξιῷ μηρῷ ‖ **27** περιποππύζεσθαι: Greg. Naz. Συντακτήριος = Or. 42,24 ἵπποις δὲ φέρεσθαι τρυφεροῖς, καὶ ... περιποππύζεσθαι

15 οὐδ’ : δ’ Taf[1] ‖ **15–16** αἱ – φασίν P: ἡ παροιμία φησίν K-D αἱ παροιμία φησίν Taf[1] ‖ **30** ἀποσταλέντα Taf[1]

προῆγμαι, ἀλλά σου καὶ τὰ πάρεργα ἀσύγκριτα καὶ ἀπαράμιλλα ἥγημαι.

Καὶ ὃ τὴν χθές π[ου] τοῖς καλλίστοις υἱοῖς σου συσσιτούμενος (ὡς ἐπίστασαι), οὐκ ἀποκρύψομαι, ἀλλὰ λαμπρῶς διηγήσομαι: 40

Ὁ γὰρ περιπόθητός μοι Ἀνδρόνικος τὸ τῶν γεράνων ἡδέως μοι διηγούμενος κυνηγέσιον, καὶ ὡς τὸ βραχύτατον ζῷον, τὸ τοῦ γένους ἐπιβουλότατον, θηρᾶται τοῦτον τὸν γέρανον ὑπερνεφοῦντα ταῖς πτέρυξι, καὶ ὑπὸ τὴν ἀγκάλην ἠρέμα ὑπεισιόν, πολιορκεῖ τε καὶ ὡς τεῖχος μέγιστον καθαιρεῖ καὶ τοῖς ὄνυξιν ἐκείνου διασπαράττεται, εἶτά μοι τὸν λόγον καταβιβάσας ὅτι σοι καὶ πρὸ ὀλίγου θαυμάσιον ζῷον ὑπὸ γεράνου διέφθαρται, σὺ δὲ τοσούτου ἐδεήθης ἀλγῆσαι, ὥστε καὶ περιεγάννυσο, καὶ μικροῦ δεῖν τῷ τοῦ ζῴου σπαραγμῷ ἐπεσκίρτησας, ἐπειπὼν ὅτι ἀνηρέθη μαχόμενον, καὶ ὥσπερ ἐν πολέμῳ ἀπέθυσε τὴν ζωήν, καὶ ὥσπερ ἐπικήδειόν τινα λόγον ἐπᾴσας τῷ ζῴῳ, εἶτα δὴ οὐδὲ ἠξίωσας ἀποδῦσαι τοῦ ὁπλισμοῦ, ἀλλὰ μετὰ τοῦ θώρακος καὶ τῆς λοιπῆς κατέθαψας προβολῆς, σκιρτῆσαι πεποίηκε (νὴ τὴν ἱεράν σου ψυχήν!) ἐπὶ τῷ θαυμασίῳ τούτῳ καὶ ὑπερφυεῖ καὶ γενναίῳ διηγήματι· οὐ γὰρ ἀριστεῖαι μόνον καὶ στρατηγήματα τὸν ἄνδρα δεικνύουσιν, ἀλλὰ καὶ νεῦμα καὶ λόγος καὶ γέλως σεμνὸς καὶ ἀπόφθεγμα χαρίτων μεστὸν τήν γε ἀρίστην ψυχὴν ἐξεικονίζουσιν ἀκριβῶς. 45 50 55

Ἀλλὰ σὺ μὲν καὶ θηρᾶσαι δεινός, καὶ ἱππάσασθαι περιδέξιος, καὶ ὄχθους ὑπερπηδῆσαι γενναῖος καὶ ἀδεής, καὶ διωλισθηκότα τὸν ἵππον εὐθὺ ἀνεῖρξαι καὶ ἀναστῆσαι σύντομός τε καὶ ἐπιτήδειος. Ἐγὼ δὲ (καὶ ὁρκοποιοῦμαι τὴν σὴν φιλτάτην ψυχήν!) οὕτω τοὺς ἵππους δέδοικα πέφρικά τε καὶ πεπτόημαι, ὥσπερ δὴ οἱ λοιποὶ τοὺς ἐλέφαντας καὶ τοὺς λέοντας. Κἂν βραχύ τι περικινήσῃ τὴν κεφαλὴν ὁ φέρων ἐμέ, εὐθὺς αὐτὸς τῆς ἕδρας ἀπολισθαίνω, καὶ 60

41 Ἀνδρόνικος: Andronicus Ducas (ante 1045 – 1077) (Π XVI) ‖ **43–44** θηρᾶται – πτέρυξι: cf. Π 76,28–29 γέρανόν τινα ὑπερνεφοῦσαν κατενεγκεῖν **61–67** ἐγὼ δὲ – ἐδίπλασεν: cf. Π 215,16–18 ἀλλά με ὁ ἵππος, ἑκατέρωθεν τοὺς ὤμους δινῶν, καὶ τὸν αὐχένα ὑποκυμαίνων, πολλάκις δὲ καὶ τὸν χαλινὸν ὑφελκόμενος, ταράττει δεινῶς et etiam Π 95,121–123 ἐγὼ γὰρ μετρίως ἄλογον ὑποτάξαι δύναμαι ταῖς χερσίν, ἀλογώτατον δὲ καὶ θρασύτατον οὔ μοι δύναμις τῷ χαλινῷ ἀντισπᾶν. cf. etiam Π 78,7 ἱππεύειν οὐ δεδύνημαι

39 ὃ P: ὁ Taf[1] K-D | που suppl. Taf[1] ‖ **45** τοῖς corr. K-D: ταῖς P Taf[1]
59 διωλισθηκότα P: διολισθόντα corr. K-D διολισθέντα Taf[1]

65 ἀκρατής μοι ἡ χεὶρ τοῦ χαλινοῦ γίνεται. Ἀλλ᾽ ἦν μοι τοῦτο πρότερον ἐξ ἁπαλῆς καὶ δειλῆς φύσεως, νῦν δέ μοι καὶ τὸ προσγενόμενον νόσημα τὴν φυσικὴν πτοίαν ἐδίπλασεν. Ἀλλ᾽ εἰ καὶ ⟨τοὺς⟩ ἄλλους ἵππους πεφόβημαι, ἐπί γε τοῦ σοῦ θαρρούντως ὀχήσομαι. Οὕτω σου θαρρῶ οὐ τὴν ψυχὴν μόνον, ἀλλ᾽ εἴ τινας ἔχοις καὶ
70 λέοντας.

68. ⟨Τῷ καίσαρι Ἰωάννῃ τῷ Δούκᾳ⟩

K-D 233b [Taf[1]], Taf[1] 51 [P], PG[2] 51 [Taf[1]]

Τοσαῦτα, φιλοτιμότατε καῖσαρ; Μή ποτε δέ σοι ἡ γῆ ἐκπεπόρνευται καὶ διὰ τὴν ὥραν ἀπηναισχύντηκεν, ὥστε μὴ μόνον προφαίνειν τοὺς οἰκείους μαστούς, ἀλλὰ καὶ ἐπιδιδόναι τοῖς ἀφελεῖν βουλομένοις; Εἰ δὲ καὶ μὴ μαστοὶ ταῦτα ἀλλὰ καὶ γοναὶ
5 κρύφιοι, οὐκ ἐρυθριᾷ ἐφ᾽ οὕτω πολλοῖς καὶ ἀμόρφοις τόκοις, οὐκ ἐν ῥόδοις καὶ κάλυξιν ἀνθέων ἑτέρων, ἀλλ᾽ ἐν εἰδεχθέσιν ὕδνοις ἐπιδεικνυμένη τὸ γόνιμον;

Ἀλλ᾽ (ὡς ἔοικε) πρὸς τὴν τοῦ μύθου ἀλώπεκα ἑαυτὴν παραβάλλουσα οὐ τῷ ἔξωθεν ἀμόρφῳ, ἀλλὰ τῷ κεκρυμμένῳ τῆς ἡδονῆς
10 ἐνσεμνύνεται· εἰσάγεται γὰρ ἐν τοῖς Αἰσώπου μύθοις ἡ πάρδαλις ἐπισκώπτουσα τὴν ἀλώπεκα, ὡς ἡ μὲν ποικίλη τε εἴη καὶ τοῖς φολίσι κατάστικτος, ἡ δὲ αὐχμηρὰ τὴν δορὰν καὶ τὴν χρόαν παντάπασιν ἀκαλλής· ἀλλ᾽ ἥ γε ἀλώπηξ «Σὺ μὲν τοῖς φαινομένοις νικᾷς» ἔφησε «κάλλεσιν, ἐγὼ δὲ τοῖς κρυφίοις τε καὶ λανθάνουσι».
15 Τοιοῦτόν ἐστι καὶ τὸ ὕ[δνον, οὔ]τε εὐανθὲς οὔτε τῷ σχήματι ἁπαλόν, ἀλλὰ κατατέτμηται καὶ ἐκτετράχυνται καθαπερεὶ ὄχθοις καὶ φάραγξιν· εἰ δὲ κατατέμοις, εἰ δὲ προσαγάγοις τῷ στόματι,

8–14 πρὸς – λανθάνουσι: Aesop. Ἀλώπηξ καὶ πάρδαλις = Fab. 12 **15–19** τοιοῦτόν – ἡδονῆς: cf. Π 48,17–18 τοιοῦτον δὴ καὶ τὸ ὕδνον ἐστί· τὸ μὲν φαινόμενον ἄμορφον, τὸ δὲ κρυπτόμενον τρόφιμον

65 ἦν scripsi: εἴ Taf[1] K-D ἓν P ‖ **67** τοὺς add. Taf[1] K-D ‖ **ep. 68** P 254v; tit. scripsi ‖ **2** ἀπηναισχύντηκεν corr. K-D: ἀπαναισχύντηκας P Taf[1] ‖ **2–3** μὴ μόνον scripsi: μὴ δὲ P μηδὲ Taf[1] K-D ‖ **4** ἀφελεῖν P Taf[1]: ὑφελεῖν corr. K-D ταῦτα : om. Taf[1] K-D ‖ **8–9** παραβάλλουσα P corr. K-D: περιβάλλουσα Taf[1] **12** φολίσι P: φολίδεσσι Taf[1] K-D ‖ **15** ὕδνον οὔτε suppl. Taf[1]

καὶ λεανεῖς τοῖς ὀδοῦσιν, ἀπορρήτου τινὸς αἰσθήσῃ παντάπασιν ἡδονῆς.

Ἀλλὰ μὴ οὕτως μηδὲ κατὰ πλῆθος ἐπιδείκνυσο ἡμῖν τὴν 20 δεξίωσιν· ἀλλ' οἷον παραδείκνυε ἡμῖν τῆς ἡδονῆς τὴν πηγήν, ἵνα μᾶλλον ἐξάπτῃς τὸν ἔρωτα. Τὴν Ἥραν ὁ Ὅμηρος οἷα δή τις σοφὸς ποιητὴς ζηλότυπον μὲν ποιεῖ τῷ Διΐ, οὐκ εἰς εὐνὰς δὲ τούτου ἀφικνουμένην, οὐδὲ τὴν ὥραν αὐτῷ θεωρίζουσαν. Ἐπεὶ δέ ποτε ταύτην πολυτελῶς καθωραΐσας καὶ τὸν κεστὸν ἐνδύσας 25 προσήνεγκε τῷ ἀνδρί, ἐξύβρισε μᾶλλον ἢ ἐπέραστον ἔδειξεν· ὁ γάρ τοι Ζεὺς κόρον (ὡς ἔοικε) σχὼν τοῦ πρὸς αὐτὴν ἔρωτος, οὐχ ὡς ἐρωμένην ἠγάπησεν, ἀλλ' ὡς ἀπατήσασαν κατῄσχυνε καὶ ἠτίμασεν. Οὕτως ὁ κόρος ὕβριν γεννᾷ.

Ἀλλὰ τί μοι τὰ ὕδνα νῦν; Τί δὲ οὐχ ὥσπερ οἱ μουσικοὶ 30 μεταβάλλεις μοι τὰ μέλη καὶ τοὺς ῥυθμούς; ὁ γὰρ καιρὸς ὑμῖν μὲν τοὺς ταῶνας καὶ τοὺς γαλαθηνοὺς ἀρνειοὺς ἐπανήγαγεν, ἡμῖν δὲ γάλα καὶ τοὺς τυροὺς καὶ τὸ βούτυρον καὶ τὰ τῶν ἀλεκτορίδων ᾠά. Ἄλλαξον τὴν χορδήν· τούτοις γενοῦ μοι φιλότιμος. Πυνθάνομαι δέ σου [τῆς] πάντα καλλίστης καὶ ἀσυγκρίτου ψυχῆς· καὶ 35 πυνθάνομαι οὐ (μὰ τὴν ἱεράν σου καὶ τριπόθητον κεφαλήν!) χρειωδῶς, ἀλλὰ [φιλ]ικῶς, ἵν' ἔχοις τρυφᾶν καὶ γελᾶν· πυνθάνομαι δ' οὖν: οὐχὶ πατρὶς ἡ πολυύμνητος Παφλαγονία ἐστίν, ὅθεν [ἔστι] ταρίχη κρέα τὰ ὕεια; Τί δ' οὖν ἐγέλασας; Μή ποτέ τι

22–29 τὴν Ἥραν – ἠτίμασεν: cf. Hom. Il. 14,197–360; cf. Π 268,30–32 ‖ **29** ὁ – γεννᾷ: proverbium; CPG I 308 (nr. 22) et II 218 (nr. 27) τίκτει τοι κόρος ὕβριν ‖ **34** ἄλλαξον τὴν χορδήν: cf. Π 62,22 μεταβάλλουσι τὰς χορδάς, Π 78,21–22 ἀλλακτέον ἡμῖν τὴν χορδήν, Π 108,21 ἄλλαττε τὴν χορδήν, Π 254,28, ἄλλαξον καὶ αὐτὸς τὴν χορδήν, Π 264,8–9 ἄλλαξον τὴν πρὸς ἡμᾶς σου χορδὴν ‖ **36** μὰ – κεφαλήν: Synes. Cyren. Epist. 79,8 νὴ τὴν ἱεράν σου καὶ τριπόθητον κεφαλήν et 86,1–2 πρὸς τὴν ἱεράν σου καὶ τριπόθητον κεφαλήν. cf. Π 42,20, Π 64,1, Π 65,21–22, Π 122,1, Π 180,2, Π 183,14–15, Π 193,15–16, Π 198,5–6, Π 211,56–57, Π 494,2–3. cf. etiam Psel. Ἐγκωμιαστικὸς εἰς ... Μιχαὴλ τὸν Κηρουλλάριον = Or. fun. I 1,61,30, Περὶ τῶν ἰδεῶν ἃς ὁ Πλάτων λέγει = Phil. min. II 33 (111,24–25), Π 284,9–10 et Π 394,19–20

18 λεανεῖς P Taf[1]: λεανοῖς corr. K-D ‖ **25** καθωραΐσας P: καθωράϊσε corr. K-D: καθωράϊσκε Taf[1] ‖ **35** τῆς suppl. Taf[1] ‖ **37** φιλικῶς scripsi: βασιλικῶς suppl. Taf[1] ὁλικῶς corr. K-D ‖ **39** ἔστι suppl. Taf[1]

40 ᾠήθης; εἰσὶ καὶ παρ' ἡμῖν λέοντες, οὐκ ὀπτὰ καὶ ἑφθὰ καὶ ταρίχη, ἀλλὰ καὶ ὠμὰ μικροῦ δεῖν ταῦτα θοινώμενοι.

69. ⟨Τῷ καίσαρι Ἰωάννῃ τῷ Δούκᾳ (?)⟩

K-D 234 [L, V, Taf[1]], Taf[1] 52 [P], PG[2] 52 [Taf[1]]

Τὴν πρόδρομον ἀπέσταλκά σοι τῶν ὀπωρῶν. Ἀλλ' οὐχ ὥσπερ τῶν νυμφῶν αὕτη προθέουσα, ἐκείναις καταλείπει τὸ σεμνοτέρας εἶναι τῶν προτρεχουσῶν· προαντανίσχει δὲ τῶν ἄλλων, οἷά τις ὁδηγὸς ἐκείναις δεικνυμένη, καὶ προδεικνύουσα τὴν εἰς τὸν βίον ὁδόν. Οὐ 5 διὰ ταῦτα δὲ μόνον καλλίστη, ἀλλ' ὅτι καὶ ἡδίστη τῶν ἑτέρων ἐστίν· οὔτε γὰρ γλυκεῖ ἐκταράττει τὸν γεγευμένον χυμῷ, οὔτε δυσχεραίνειν ποιεῖ τῷ πικρῷ, οὔτε συνάγει τὴν γλῶτταν τῷ στύφοντι. Καὶ τὸ ὀξὺ δὲ ταύτης οὐκ ἄμετρον, ἀλλὰ συγκέκραται τῷ ἡδύνοντι. Χωρεῖ δὲ οὐ διὰ τῶν χαύνων μόνον, ἀλλ' ἤδη καὶ 10 τῶν στερεῶν. Μετρεῖ δὲ ἑαυτὴν τῷ ἐσθίοντι· ὥσπερ γὰρ τὸ ῥόδον κολάζει τὸν ἄτακτον θεριστὴν τῇ ἀκάνθῃ, καὶ εἰ μή τις ἠρέμα δρέψαιτο, αἰσθήσεται πάντως τοῦ πλήξοντος, οὕτω δὴ καὶ αὐτὴ εἰ μή τις ἐπιστημόνως διαμασήσαιτο, καὶ ὅσον εἰκὸς μεταλάβοι, ἐγχρίψει τι τοῖς ὀδοῦσιν ἀνιαρόν, καὶ αἱμωδιάσουσιν οἱ γομφίοι, 15 ὥσπερ δίκας ἀποτιννύντες τῆς ἀπλήστου τροφῆς.

Προανατέλλει μὲν οὖν (ὥσπερ εἴρηται) συμπασῶν τῶν ἄλλων ὀπωρῶν, καὶ ἔστι τις πρώτη χάρις τοῦ ἔαρος, καὶ πλέον τῶν ἄλλων τῶν ἡλιακῶν αὐγῶν ἐπαισθάνεται· ὁμοῦ τε γὰρ ἐκεῖνος ἐπὶ

40–41 εἰσὶ – θοινώμενοι: cf. Psel. Ἐγκώμιον εἰς … Κωνσταντῖνον … τὸν Λειχούδην = Or. fun. I 2,5,34–36 ὥσπερ λέων ἐπιβαίνων … λαφύσσων αὐτοὺς καὶ θοινώμενος et Π 78,26–27 ὑμεῖς οἱ λέοντες οἱ γενναίως βρυχώμενοι καὶ θοινώμενοι

40 λέοντες P Taf[1]: ὀδόντες corr. K-D, sed cf. app. font. ‖ **41** θοινώμενοι scripsi: θοινούμενοι P Taf[1] K-D ‖ **ep. 69** L 100r–v, P 255r, V 263v–264r, v[4] 383r–384r (= V), r fasc. 20 (= v[4]); tit. scripsi: om. L P ⟨τῷ αὐτῷ?=τῷ καίσαρι τῷ Δούκᾳ?⟩ K-D ἐπιστολὴ τοῦ αὐτοῦ V ‖ **1** πρόδρομον – ὀπωρῶν L V: πρόδρομόν σοι τῶν ὀπωρῶν ἀπέσταλκα P Taf[1] K-D ‖ **2** σεμνοτέρας L P Taf[1] K-D: σεμνοτάτας V **3** οἷά L V: οἷα δή P Taf[1] K-D ‖ **5** ἑτέρων L V: ἄλλων P Taf[1] K-D ‖ **10** στερρεῶν post corr. L ‖ **12** αἰσθήσεται L V K-D: αἰσθήσαιτο P Taf[1] | πλήξοντος L V: πλήξαντος P Taf[1] K-D ‖ **13** διαμασήσαιτο L P V K-D: διαμασσήσαιτο P **14** ἐγχρίμψει corr. K-D ‖ **16** συμπασῶν : πρὸ πασῶν post corr. L

τὸ ἰσημερινὸν σημεῖον ἐλήλυθε, καὶ προσυπήντησεν, αὕτη τῶν ἀκρεμόνων ἐκκύψασα· κἂν ὁ φωστὴρ σκυθρωπάσῃ, καὶ μὴ 20 λαμπρὰς ἐπαφήσει τῷ φυτῷ τὰς ἀκτῖνας, ἐφ' ἑαυτῆς κέκρυπται, καὶ τοῖς φύλλοις μόνοις τότε τὸ δένδρον κομᾷ.

Καὶ τῶν μὲν ἄλλων ὀπωρῶν, ἡ μέν τις κεκρυμμένην ἔχουσα τὴν τροφήν, ἄβρωτός ἐστι τῷ προβεβλημένῳ, ἡ δὲ τρέφουσα τῷ φαινομένῳ, τῷ κρυφίῳ οὐχ ἑστιᾷ. Αὕτη δὲ τὰ μὲν πρῶτα πρὸς 25 πᾶσαν ἡδύτητα ἀρκεῖ τῇ φαινομένῃ περιβολῇ, οὐδὲν δὲ ἔλαττον καὶ τῇ κεκρυμμένῃ. Εἶτα δὴ τοῦ χρόνου προβαίνοντος, τὸ μὲν δεικνύμενον αὖον καὶ ἄβρωτον δείκνυσι, τὸ δὲ κρυπτόμενον ἠρέμα παχύνασα, ἐδώδιμον ἀκριβῶς κατεργάζεται. Ὧι δὴ καὶ στερεᾷ τροφῇ χρήσαιο, καὶ (εἰ βούλει) καὶ ὑγροτέρᾳ· γάλακτος γὰρ 30 ἀπορρήτους ἔχει πηγάς· ὁπηνίκα καὶ βρωτόν ἐστι καὶ ποτόν, καὶ τοῖς Ἀσκληπιάδαις εἰς ἀμφότερα αὔταρκες.

70. ⟨Τῷ καίσαρι Ἰωάννῃ τῷ Δούκᾳ (?)⟩

K-D 235 [L, V, Taf[1]], Taf[1] 53 [P], PG[2] 53 [Taf[1]]

Κάρυον μὲν δὴ καὶ τοῦτο· καὶ τἆλλα μὲν ὅμοιον τῷ κυρίως, ἔλαττον δὲ μόνον τοῦ μεγέθους ἐκείνου. Πλὴν εἰ καὶ κατὰ τὸ σχῆμα σῴζει τὴν ὁμοιότητα, ἀλλὰ τὸ γένος ἕτερον παρὰ τὸ λοιπόν.

Ἐκείνῳ μὲν οὖν πάντες κύκλοι καὶ ὁ ἔσωθεν καὶ ὁ ἔξωθεν· 5 τούτῳ δὲ ἑτέρως ἔχει ἡ ἔξω περιβολή. Ἔοικε γοῦν αὕτη μυωξίᾳ, καὶ ὁ καρπὸς ἀποδιδράσκοντι, εἶτα δὴ ὑποδύντι τὸ τρῆμα. Γελῶ γοῦν ὅταν ἴδω τὸν ὡσανεὶ δραπέτην, ὑπελθόντα τὸ σπήλαιον ἵνα τὰς διωκούσας ἀποδράσῃ χεῖρας. Τοσοῦτον δὲ αὐτὸν διέλαθεν, ὅτι μὴ ψηφῖδα αὐτοῦ προέθηκεν ὥσπερ ἡ σηπία προχέουσα τὸν θολὸν 10 ἵν' ἐκφύγῃ τὸν θηρατήν. Ἁλίσκεται γοῦν φαινόμενος ὥσπερ ὁ

19 προσυπήντησεν L P Taf[1] K-D: προϋπήντησεν V ‖ **20** ἐκκύψασα L V K-D: ἐγκύψασα P Taf[1] | σκυθρωπάσῃ L V P Taf[1]: σκυθρωπάσει corr. K-D **21** ἑαυτῆς L P V: ἑαυτῷ Taf[1] K-D ‖ **22** τότε L P Taf[1] K-D: om. V ‖ **23** τῶν – ἄλλων L P Taf[1] K-D: τῶν ἄλλων V | κεκρυμμένην L P Taf[1] K-D: κεκρυμμένη V ‖ **26** δὲ V K-D: om. L P Taf[1] ‖ **29** ᾧ δή: ὧδε Taf[1] | στερεᾷ ante corr. L P V Taf[1] K-D: στερρεᾷ post corr. L ‖ **ep. 70** P 255r; tit. scripsi: ⟨τῷ αὐτῷ?=τῷ καίσαρι τῷ Δούκᾳ?⟩ K-D ‖ **6** μυωξίᾳ P: μυωπίᾳ Taf[1] K-D ‖ **10** αὐτοῦ corr. Diam 304

βολβὸς τῷ βλαστῷ. Ὁ δὲ οὐκ αὐτίκα διέξ[εισιν], εἰ μή τις αὐτῷ πολιορκήσει τὸ φρούριον· ἢν δὲ ἐπιχειρήσῃ, προολισθαίνει εὐθὺς καὶ βούλεται διεκφυγεῖν καὶ ἁλούς.

15 Ἀλλ' ἐλάθομεν, ὦ βελτίστη κεφαλή, ψυχοῦντες τὸ ἄψυχον· τὸ δὲ οὔτε ἀπέδρασεν, οὔτε πέφευγεν, ἀλλὰ προὔκυψεν ἐξ ἀρχῆς μετὰ τοῦ συμφυοῦς καλύμματος. Τοιοῦτο δὲ ἡ τέχνη τῆς φύσεως: οὐ σπαργανοῖ καθ' ἓν ἅπαντα τὰ κυήματα, ἀλλ' ἕτερον ἄλλο τι ἐπενδύει· τὰ δὲ καὶ γυμνὰ τίθησιν, ἔσωθεν αὐτὰ περισφίγξασα. 20 Τοὺς γοῦν λόγους ἡμῖν θεωρητέον τῶν ἐκείνης μηχανημάτων, ἵν' ἔχοιμεν λόγων λόγῳ κατατρυφᾶν.

71. ⟨Τῷ καίσαρι Ἰωάννῃ τῷ Δούκᾳ (?)⟩

K-D 236 [Taf[1]], Taf[1] 54 [P], PG[2] 54 [Taf[1]]

Σὺ μὲν δυσχερανεῖς ἴσως καὶ πρὸς τὰς λεπτὰς τῶν καστάνων περιβολάς, καὶ μάλιστα πρὸς τὴν τελευταίαν ὅτι ἀπρὶξ ἔχεται τοῦ καρποῦ, καὶ τοὺς ὄχθους αὐτῆς ὑποδύεται. Ἐγὼ δὲ ὁπηνίκα τῶν δένδρων ἀπέσπων αὐτά, εὐαφῶς ὥσπερ ῥόδων ἡπτόμην τὰς 5 ἀκάνθας αὐτῶν ὑφορώμενος. Οὐκ οἶσθα γὰρ ὅτι γνοῦσα ἡ φύσις σκληρὰν οὕτως ὀπώραν, οὕτω πως ἠσφαλίσατο καὶ δυσεπιβουλότατον εἰργάσατο τὸν καρπόν; Ἢ τάχα που (ἵνα τι προσπαίξας εἴπω), ἐπεὶ δρίον ὄρειον τὰ πολλὰ τὸ φυτὸν καὶ ἔμελλον αὐτὸ ἁδρότεραι χεῖρες τρυγᾶν, διὰ ταῦτα ἀκανθῶδες αὐτὸ 10 ἡ πλάττουσα φύσις ἐποίησε (ποιμένων γὰρ χεῖρες καὶ γεωργῶν τετυλωμέναι ὡς οἶσθα, καὶ οὐ πάνυ τι τῆς ἀκάνθης αἰσθάνονται); Οὐ παντὶ δὲ τῷ καρπῷ ὁ ἐσωτέρω προσπέφυκε φλοιός, ἀλλ' ὅσοις μὴ ἐν τῷ δένδρῳ ἡ πέψις ἐγεγόνει, μηδὲ ἡ ἄκανθα ἔσχισται· τὸ δὲ σχῆμα τῶν περιβόλων αὐτῷ, ὁ μὲν ἀκριβὴς σφαῖρα, εἴ τις ἀφέλοι 15 τὴν ἄκανθαν, ὁ δὲ ἡμισφαίριον.

Οἷος οὖν ἐγὼ περιττός, τῷ παντὶ τὴν ὀπώραν ἀπείκασα· τούτου γὰρ ὁ μὲν οὐρανὸς ἀκριβὴς σφαῖρα, τὰ δέ γε στοιχεῖα βούλονται μὲν οὕτως εἶναι, ἀλλ' οὐ σῴζει τὴν ὁμοιότητα, παρά τι δὲ τοῦ ἀκριβοῦς ἔχεται σχήματος. Τοῦτό σοι τοῦ καρποῦ τὸ ἀπόρ-

12 διέξεισι suppl. Taf[1] διέξεισιν K-D ‖ **20** μηχανημάτων scripsi: μνημάτων P Taf[1] K-D ‖ **ep. 71** P 255r; tit. scripsi: ⟨τῷ αὐτῷ? (= τῷ καίσαρι τῷ Δούκᾳ?) ⟩ K-D ‖ **5** οἶσθα corr. K-D: οἶδα P Taf[1] ‖ **19** ἔχεται corr. K-D: ἔρχεται P Taf[1]

ρητον. Καὶ τοῦτο μὲν ἐν ψυχῇ κατάθου· τὸ δὲ φαινόμενον δίδου τῷ σώματι. 20

72. ⟨Τῷ καίσαρι Ἰωάννῃ τῷ Δούκᾳ (?)⟩

K-D 237 [Taf1], Taf1 55 [P], PG2 55 [Taf1]

Μάτην μετὰ τοῦ πέπονος ἡ ἐπιστολή· ἀρκεῖ γὰρ αὐτὸς ἑαυτῷ παντὸς λόγου καὶ πάσης ποιήσεως, εἰ καὶ ὁ ποιητὴς εἰς ὄνειδος τοὔνομα προφέρει τοῖς Ἀχαιοῖς. Εἰ γὰρ εἰς ἐμὴν κρίσιν ἀναθείη τις τὰ εἴδη τῶν ὀπωρῶν, οὐδ' ἂν ὅλως ἀμφισβητήσας τὰ πρωτεῖα κατὰ τῶν ἄλλων θήσω τῷ πέπονι· ἔστι γὰρ οἷον κεφαλὴ καὶ τῷ 5 σχήματι ὁ αὐτὸς καὶ πολυσχήμων τοῖς εἴδεσιν ὤν. Βέβηκε μὲν γὰρ κατὰ κύβον, ἀνέστηκε δὲ κατὰ πυραμίδα, περιῆκται δὲ κατὰ σφαῖραν.

Ἀλλὰ τί ἀπὸ τούτων τὸν πέπονα, καὶ μὴ οἴκοθεν καὶ παρ' ἑαυτοῦ; ἔστι γάρ τι χρῆμα οἷον οὐκ ἄλλο. Καὶ οὐ χρῷ δῆλον, ἀλλὰ 10 τῷ σώματι· ὅλος γὰρ διόλου ἡδονῆς ἐστιν ἀρρήτου μέτοχος, καὶ οὔτε σκληρὸς κατὰ τὸ μῆλόν ἐστιν, οὔτε παντάπασιν ἁπαλὸς καὶ ἀπόρρυτος, ἀλλ' ἔσφιγκται μὲν ὅσον μέτριον, εἴκει δὲ τοῖς λεαίνουσιν, ὁπόσον καὶ τοῖς μακροβίοις ἐστὶν ἀποχρῶν. Τὸ δὲ τῆς ἡδονῆς, καὶ αὐτόθεν, καὶ διὰ τοῦ φάρυγγος. Καὶ μέχρι τοῦ 15 στήθους ἀμβροσία τις ἐπίκηρος ὡσανεὶ καὶ ἀρκῶν ἀντὶ νέκταρος· οὐ γὰρ παρεικάσαις αὐτοῦ τὴν ἡδονὴν οὐδεμιᾷ τῶν ἐν τοῖς καιροῖς ὀπωρῶν. Ἔστι δὲ κατὰ τὰς τοῦ παντὸς ὥρας καὶ τὰς τῶν στοιχείων χάριτας· μικροῦ γὰρ οὐδ' ὠνητός ἐστιν. Ἀλλὰ δυεῖν δραχμῶν γυργάθους ἀρεῖς δέκα τῆς ὀπώρας μεστούς· ἄφθονον γὰρ 20 ἐστι τἀγαθόν, ὡς ὁ ἀήρ, ὡς τὸ πῦρ, ὡς ἡ θάλασσα.

2–3 εἰ – Ἀχαιοῖς: Hom. Il. 2,235 ὦ πέπονες κάκ' ἐλέγχε' Ἀχαιΐδες οὐκέτ' Ἀχαιοὶ ‖ **10** χρῷ δῆλον: Synes. Cyren. Φαλάκρας ἐγκώμιον 21,5 ὁ μὲν γὰρ Φερεκύδης θοἰμάτιον ἐπηλυγασάμενος, «χρῷ δῆλον», ἔφη et Epist. 117,14–15 ἀλλὰ καὶ ἤδη πρεσβύτης «χρῷ δῆλον», ὁ Φερεκύδης φησίν. cf. Psel. Μονῳδία εἰς ... Μιχαὴλ τὸν Ῥαδηνόν 292–293, Λόγος εἰς τὴν σταύρωσιν = Or. hag. 3a,844, et Ἐκ τοῦ περὶ τοῦ πνεύματος λόγου εἰς τὸ 'Σαδδουκαῖοι μὲν ...' = Theol. I 106,120–121

ep. 72 P 255r–v; tit. scripsi: ⟨τῷ αὐτῷ? = τῷ καίσαρι τῷ Δούκᾳ?⟩ K-D

Οἶμαι δὲ μηδὲ σκεπτικὸν ἄνδρα ἐνδοιάσαι περὶ τῆς τούτου γλυκύτητος, μὴδ' ἐρεῖν «οὐδέν τι μᾶλλον», μηδὲ εἰς ἐποχὴν ἐλθεῖν, ἀλλ' ἀποφήνασθαι ὅτι συμπασῶν κρατεῖ τῶν ἄλλων
25 ὀπωρῶν.

73. ⟨Τῷ καίσαρι Ἰωάννῃ τῷ Δούκᾳ (?)⟩

K-D 238 [Taf[1]], Taf[1] 56 [P], PG[2] 56 [Taf[1]]

Ἐοίκατον ἄμφω πρὸς ἄλληλα, ἐπιστολή τε καὶ σταφυλή. Καὶ οὐκ ἄν τις παρὰ τὸ εἰκὸς ἢ τὴν ἐπιστολὴν τῇ σταφυλῇ ἀπεικάσειεν, ἢ τὴν σταφυλὴν τῇ ἐπιστολῇ· ὅ τε γὰρ λόγος ἡδύ τι ἄλλο εἴπερ τι χρῆμα ψυχῇ, καὶ τῇ σταφυλῇ ποία τῶν ὀπωρῶν εἰς ἡδύτητα
5 ἀντερίσειεν; Εὐφραίνει μέντοι αὐτίκα τὸν προσιέμενον. Καὶ ὥσπερ ταύτης τὸ μέν τι αὐτόθεν καὶ ἀνέργαστον τὸ ἡδύ, τὸ δέ τι πλέον καὶ ποτιμώτερον ληνοβατηθεισῶν τῶν ῥαγῶν, οὕτω καὶ τοῦ λόγου διττὸν τὸ εἶδος (λέγω δὲ τοῦ σοφοῦ): τὸ μὲν αὐτίκα καὶ ἐκ χειλέων, τὸ δὲ εἴ τις διαιρεῖν ἐθέλοι, καὶ ὁπόσον ἔνδον εἴη ἐκκενοῦν
10 τῷ προῃρημένῳ πιεῖν.

Κἂν εἴ τις τὸν μὲν ἐν προφορᾷ λόγον τῇ ἀνεκθλίπτῳ στραφυλῇ ἀπεικάζῃ, τὸν δέ γε ἐν νοήσει κρείττονι τῇ ἱκανῶς διαιρεθείσῃ καὶ εἰς ῥεῦμα τὸν οἶνον προχεομένῃ, εὐστοχώτερον ἂν εἴποι ἁπανταχῇ τὰς ἀναλογίας σκοπῶν. Εἰ δὲ καὶ τῶν σταφυλῶν, αἱ μὲν χρυσίζου-
15 σιν ἀκριβῶς, αἱ δ' οὐχ οὕτως, ἀλλ' ἢ λευκότεραί εἰσιν ἢ μελάντεραι, αἱ δὲ ποικιλώτεραι τὴν χροιάν, ἀλλ' οὐδὲ τῶν λόγων τὸ εἶδος ἁπλοῦν· ἀλλὰ τὸ μὲν ὑπόλευκον, τῆς εὐαγγελικῆς καθαρότητος σύμβολον, τὸ δὲ ἀτεχνῶς μέλαν, τῆς παλαιᾶς σκιᾶς σύνθημα, τὸ δὲ ποικίλον καὶ μηδέτερον καθαρῶς. Ταύτῃ τοι καὶ χρεὼν μήτε

23 οὐδέν – μᾶλλον: cf. Diog. Laert. 9,74–75 … οἱ σκεπτικοὶ … τὴν «Οὐδὲν μᾶλλον» φωνήν … etc. ‖ **23–24** εἰς – ἐλθεῖν: cf. Sext. Empir. Πυρρώνειαι ὑποτυπώσεις 1,10,5–6 'ἐποχὴ' δέ ἐστι στάσις διανοίας δι' ἣν οὔτε αἴρομέν τι οὔτε τίθεμεν. cf. Suda ε 2824 ἐποχή: πρῶτος Πύρρων ἀκαταληψίας καὶ ἐποχῆς εἶδος εἰσήγαγεν. cf. Π 134,53

ep. 73 P 255v; tit. scripsi: ⟨τῷ αὐτῷ? = τῷ καίσαρι τῷ Δούκᾳ?⟩ K-D
13 προχεομένῃ P corr. K-D: προχευμένῃ Taf[1]

ἐπιστολὴν μόνως ἀλλὰ καὶ σταφυλήν, μήτε σταφυλὴν μόνως 20
ἐκπέμπειν.

74. ⟨Τῷ καίσαρι Ἰωάννῃ τῷ Δούκᾳ (?)⟩

K-D 239 [Taf[1]], Taf[1] 57 [P], PG[2] 57 [Taf[1]]

Ἡμεῖς μὲν δὴ καὶ τὴν ὀπώραν ταύτην ἐπίσης ταῖς ἄλλαις λόγῳ
τιμᾶν προειλόμεθα· καὶ οὐ γυμνήν σοι ταύτην πεπόμφαμεν, ἀλλὰ
μετὰ τῆς ἐπιστολῆς ὡς ὁρᾷς. Ἀρκεῖ δὲ αὕτη τῷ Ἀρχιγένει εἰς
κατηγορίαν τῆς φύσεως· λυττᾷ γὰρ κατ᾽ αὐτῆς οὗτος ὡς ἀλόγως
τὰ πλεῖστα ποιούσης. «Διατί γὰρ» φήσειεν ἂν ἐκεῖνος «ἁπλῆν 5
οὖσαν ταυτηνὶ τὴν ὀπώραν μὴ ἔξωθεν ἡ φύσις περιετείχισεν, ἀλλὰ
τὸ μὲν κάρυον πολλοῖς φρουρίοις κατησφαλίσατο, ὧν καὶ χωρὶς
ἤρκει καθ᾽ ἑαυτὸν ὁ καρπός, ταύτην δὲ ἁπλῆν ὁμοῦ καὶ γυμνὴν
πᾶσι προτέθεικεν;» «Ἀλλ᾽, ὦ Ἀρχίγενες,» εἴποιμ᾽ ἂν ἐγὼ πρὸς
αὐτόν, «διττή τίς ἐστι ταῖς ὀπώραις παρὰ τῆς φύσεως ἡ ἀσφάλεια, 10
ἡ μὲν ἔσωθεν, ἡ δὲ ἔξωθεν. Καὶ ὅσα μὲν ἡ φύσις τῶν γεννημάτων
τῇ ἔξωθεν σπαργανοῖ, ἔρημα τῆς ἔνδον ἀφίησιν· ὅσα δὲ ἔνδον
κατασφαλίζεται, τούτοις οὐ πάνυ τι αὐτῇ μέλει τῆς ἔξωθεν. Οἱ
γοῦν πυρῆνες κρυφίοις ἐοίκασι μηχανήμασιν ἔσωθεν τὰς τῶν
ὀπωρῶν σάρκας κρατοῦντές τε καὶ συνέχοντες. Οἷς οὖν ἀπὸ 15
καρδίας (ὡς εἰπεῖν) ἡ φυλακή, τούτοις περιττὸς ὁ χιτών».

Λόγου γοῦν καὶ τοῦτο τὸ εἶδος τοῦ καλλίστου μέτοχόν ἐστιν.
Διὰ ταῦτα καὶ οὐδ᾽ ἂν ἀξιώσειέ τις ἀνὴρ θεωρὸς τῶν ἔργων τῆς
φύσεως, φίλοις αὐτὸ χαριζόμενος, μὴ σὺν ἐπιστολῇ διδόναι.

3–5 ἀρκεῖ – ποιούσης: de Archigene medico, cf. libros Galeni. cf. etiam e.g. Galen. Περὶ χρείας μορίων 3,557,15–16 οὐ γὰρ ἀλόγως ἡ φύσις αὐτοὺς ἐποίησε τοσούτους τε καὶ τοιούτους et 3,736,2–3 οὔτ᾽ οὖν τούτων οὐδὲν ἀργῶς ἡ φύσις ἐποίησεν οὔτ᾽ ἀλόγως cum Π 75,4–5 λέγουσι μὲν οὖν τῶν σοφῶν οἱ πλείους ὅτι μὴ οἶδεν αὕτη ἃ ἐπιχειρεῖ ‖ **9** ὦ Ἀρχίγενες: cf. e.g. Galen. Περὶ τῶν πεπονθότων τόπων 8,151,4–5 ἐκ τίνος, Ἀρχίγενες, λόγου πιθανοῦ πεισθέντες ἐπὶ τὴν κεφαλὴν ἀφιξόμεθα ... vel 154,9–11 ἀλλὰ πάντα τε ταῦτα κατ᾽ οὐδένα λόγον, Ἀρχίγενες γενναιότατε, τῇ κεφαλῇ προσφέρεις ... etc.

20 μόνως[2] : ἀλλὰ καὶ ἐπιστολὴν post μόνως addendum? ‖ **ep. 74** P 255v; tit. scripsi: ⟨τῷ αὐτῷ? = τῷ καίσαρι τῷ Δούκᾳ?⟩ K-D ‖ **3** Ἀρχηγένει corr. K-D

20 Σὺ δ' ὁπηνίκα φάγοις, ἐν παλάμῃ τὸν πυρῆνα θείς, τοσοῦτον ἐνθυμήθητι, ὅτι οὗτος ἦν ὁ τοῦ καρποῦ φύλαξ καλλίων, ἢ οὓς Πλάτων ἐν τῇ οἰκείᾳ τίθησι πόλει.

75. ⟨Τῷ καίσαρι Ἰωάννῃ τῷ Δούκᾳ (?)⟩

G 26 [V]

Σὺν ἐπιστολαῖς καὶ τὰ κάρυα· μηδὲ γὰρ μηδὲ ταῦτα εἴη λόγου χωρίς, ὅτι ταῦτα φύσις ἐποίησεν, ἡ δὲ φύσις λόγον· ἔσχατος μὲν τῶν ἄλλων, ἀλλὰ τοῦ γε ψυχικοῦ καὶ νοεροῦ ἔκγονος.

Λέγουσι μὲν οὖν τῶν σοφῶν οἱ πλείους ὅτι μὴ οἶδεν αὕτη ἃ 5 ἐπιχειρεῖ. Ἐγὼ δὲ οὔ φημι. Καὶ σύμβολον τῆς ἐμῆς δόξης, ἄλλα τέ εἰσι πάμπολλα, καὶ δὴ καὶ τὰ κάρυα· ὅρα γὰρ ὡς εἰδυῖα ταῦτα ἐτεκτήνατο καὶ κατεσκεύακε, καὶ διηρίθμησε τὸν ἔνδον καρπόν, ὥσπερ ἐν χορῷ κόρας κατὰ δύο στησαμένη, καὶ συμφυεῖς τὰς συζυγίας ποιησαμένη· καὶ ἑκατέρωθεν ἀπ' ἀλλήλων διελομένη, 10 ὥσπερ ζωνῶν κροσσοῖς ταύτας συνήγαγε, καὶ συνέδησεν. Ἀλλ' ἁπαλαὶ αἱ κάρπιμοι αὗται κόραι. Διὰ ταῦτα καὶ ἀρραγέσιν ἑρκίοις ταύτας κατησφαλίσατο, διττῶν κελύφων εἴδει περιφυλάξασα, ἵν' ὅπερ τὸ ἐκτὸς τῷ μέσῳ τυγχάνῃ, τοῦτο τὸ μέσον τῷ τελευταίῳ· περιφρουρεῖται γὰρ παρὰ θατέρου θάτερον, καὶ τὸ μὲν πρῶτον τὸ

21–22 ὁ – πόλει: cf. Plat. Πολιτεία e.g. 374d8 et passim ‖ **2–3** ἡ – ἔκγονος: ad λόγον φυσικόν alludit; cf. e.g. Psel. Περὶ φιλίας πρὸς τοὺς ἀνεψιοὺς τοῦ πατριάρχου κῦρ Μιχαήλ = Or. min. 31,85–87 θεωρήσωμεν δὲ καὶ οὕτως τὸν λόγον· πλάττει μὲν ἀπὸ τῶν σπερμάτων ὁ φυσικὸς λόγος τὰ σώματα, εἰσάγει δὲ τούτοις τὰς ψυχὰς ὁ νοερὸς ἔξωθεν et Συλλογαὶ διάφοροι καὶ ποικίλαι = Phil. min. II 13 (33,15–17) καὶ οἱ φυσικοὶ λόγοι ἀμερεῖς καὶ ἀσώματοι· ἐν ἑκάστῳ γὰρ μορίῳ οἱ αὐτοὶ λόγοι καὶ ἐν τῷ παντὶ σπέρματι, οἱ θρεπτικοὶ καὶ διαπλαστικοί etc. ‖ **3** τοῦ – ἔκγονος: cf. Plat. Θεαίτητος 150d2 τῆς ἐμῆς ψυχῆς ἔκγονον. iunctura in libris neoplatonicis laudata. cf. Π 75,3. cf. etiam Psel. Εἰς τὸν αὐτοῦ ἔκγονον ἔτι νήπιον ὄντα = Or. min. 38,2 ‖ **4–5** λέγουσι – ἐπιχειρεῖ: cf. Π 74,3–5 ἀρκεῖ δὲ αὕτη τῷ Ἀρχιγένει εἰς κατηγορίαν τῆς φύσεως· λυττᾷ γὰρ κατ' αὐτῆς οὗτος ὡς ἀλόγως τὰ πλεῖστα ποιούσης. cf. etiam e.g. Galen. Περὶ χρείας μορίων 3,557,15–16 οὐ γὰρ ἀλόγως ἡ φύσις αὐτοὺς ἐποίησε τοσούτους τε καὶ τοιούτους et 3,736,2–3 οὔτ' οὖν τούτων οὐδὲν ἀργῶς ἡ φύσις ἐποίησεν οὔτ' ἀλόγως

ep. 75 V 117r–v, v[4] 161r–v (= V); tit. scripsi: τοῦ αὐτοῦ ἐπιστολή V ⟨ad Ioannem Ducam?⟩ G

πᾶν ἐστι συμφυὲς καὶ οὐκ ἂν διέλοις, μετὰ δὲ τὴν διάρθρωσιν ἡ 15
διαίρεσις.

Τοῖς μὲν οὖν πολλοῖς ὥσπερ ἐν Καρὸς μοίρᾳ πρὸς τάς γε λοιπὰς ὀπώρας δοκεῖ τὸ κάρυον. Ἐ[γὼ] δὲ κεφαλὴν αὐτὸ ζῴου τίθημι· τό τε γὰρ ἔσχατον ὁ ἐγκέφαλος, καὶ οἱ ὑμένες δίκην ῥοιᾶς, ἥ τε μῆνιγξ ἅπτεται εὐαφῶς, καὶ τὸ περικράνιον ὀστοῦν τελευ- 20
ταῖον.

76. Τῷ καίσαρι Ἰωάννῃ τῷ Δούκᾳ

ca. a. 1068 – a. 1071

S 156 [P]

Ἐγώ σοι τὴν ἐμὴν γλῶτταν ἀπέκλεισα, δεσποτικὴ κεφαλὴ καὶ ἶσά μοι τετιμημένη θεῷ; Ὃς δὴ ταύτην ἐν καιροῖς εὐθέτοις καὶ ἐκίνησα καὶ κινῶ; Ἐγώ σοι τοὺς κρατῆρας ἐπέσχον τῶν ἐμῶν λογικῶν ναμάτων; Ὃς δὴ πάσας σοι τὰς ἀβύσσους τῶν ἐμῶν λόγων ἀνέρρηξα, τὰς μὲν ἐν ἐπιστολαῖς, τὰς δὲ ἐν διαλόγοις καὶ 5
ὁμιλίαις ἐμψύχοις; Μὴ ὀναίμην, ὑπερφυέστατε ἄνθρωπε, μήτε φιλοσοφίας, μήτε φιλίας αὐτῆς, εἰ βραχύ τί σοι τοῦ ἐμοῦ ἤθους

17 ἐν – μοίρᾳ: CPG I 405 (nr. 60) et II 405 (nr. 39) cum Hom. Il. 9,378 ἐν Καρὸς αἴσῃ. cf. etiam Psel. Χρονογραφία III,12 et IV,47, Κατηγορία τοῦ ἀρχιερέως = Or. for. 1,2746–2747, et Π 208,34 et Π 286,12 ‖ **1** δεσποτικὴ κεφαλή: cf. Π 58,2 δεσποτικὴ τῆς ἐμῆς ψυχῆς κεφαλή ‖ **3–4** τοὺς – ναμάτων: cf. Psel. Ἐπιτάφιος εἰς τὴν ἑαυτοῦ μητέρα 1865–1868 ἐπειδή μοι ὁ βίος τοιοῦτος ἀπεκληρώθη ὥστε μὴ ἑαυτῷ μόνῳ ἀρκεῖν, ἀλλὰ καὶ τοῖς ἄλλοις … διδόναι ἀρύεσθαι οἷα δή τις κρατὴρ τῶν ναμάτων ὑπερχειλής, διὰ ταῦτα καὶ σοφίας τῆς θύραθεν ἅπτομαι ‖ **4–5** πάσας – ἀνέρρηξα: cf. Greg. Nys. Ἀντιρρητικὸς κατὰ Εὐνομίου 3,1,50 καὶ τὴν γῆν θεμελιοῖ καὶ τοὺς οὐρανοὺς ἑτοιμάζει καὶ τὰς ἀβύσσους ἀναρρήγνυσι. cf. etiam Ioann. Chrys. Πρὸς Σταγείριον ἀσκητὴν δαιμονῶντα 2,5 (PG 47,455,3) ἄβυσσος ἡ μὲν κάτωθεν ἀνερρήγνυτο et Ioann. Chrys. In Genesim Hom. 8,6 (PG 54 629,11) ἄβυσσοι ἀνερράγησαν κάτωθεν. cf. Psel. Εἰς τὸ ῥητὸν τοῦ Ἰὼβ … 'καὶ ὁ διάβολος παρέστη … = Theol. I 32,182 ‖ **6–7** μὴ ὀναίμην … μήτε φιλοσοφίας: Synes. Cyren. Epist. 43,37 οὕτω τῆς ἱερᾶς φιλοσοφίας ὀναίμην. cf. Π 112,84, Π 201,66–67, et Π 275,7–8

18 ἐγὼ suppl. G ‖ **20** μῆνιγξ corr. G: μίνιγξ V ‖ **ep. 76** P 224v, B 138r–v; tit. B: om. P ⟨πρὸς Καίσαρα τὸν Δούκαν?⟩ S ‖ **2** τετιμημένη P S: τιμωμένη B **3** ἐπέσχον B Malt[4],27: ὑπέσχον P S ‖ **5** ἀνέρρηξα P S: ἀπέρρηξα B ‖ **7–8** τί – παρήλλαξα P S: τι τοῦ ἐμοῦ ἤθους παρήλλαξά σοι B

παρήλλαξα, εἰ πρῶτον μὲν ἐντός σε τῶν τῆς ψυχῆς εἶχον ἀδύτων, νῦν δὲ ἑτέραν περὶ σὲ ἔχω διάθεσιν.

10 Τί ποτ' οὖν τὸ αἴτιον τῆς σιωπῆς καὶ τῆς ἐποχῆς τῶν ἐπιστολῶν; Ἀλλ' ἔνεγκαί μοι τὴν παρρησίαν, καὶ γενναίως τὸν λόγον ὑπόμεινον: οὐκ ἐρᾷς τῆς ἐμῆς ὁμιλίας κατὰ τὸν πρότερον τρόπον, οὐδέ μου τὴν πηγὴν τῶν λόγων ζητεῖς· οὐ περιχαίνεις τῷ ῥεύματι, οὐδ' ἀπαρρύῃ τοῦ νάματος. Διὰ ταῦτα ἐγὼ μὲν πηγάζω ἀεί, σὺ δὲ 15 ἵστασαι ξηρὸς καὶ διακεκαυμένος καὶ ἀμέτοχος τῆς ἐπιρροῆς· οὐδὲ γὰρ ἡ πηγὴ λέγει τῷ ἐφεστηκότι «ἄνθρωπε πίε μου τῶν ναμάτων», οὐδὲ ἡ ὀπώρα τῷ προσεγγίσαντι «δρέπου θαρρούντως καὶ ἀπόλαυέ μου τῆς ἡδονῆς»· ἀλλ' ὁ μὲν διψῶν ταῖς πηγαῖς ἐγκύψας κορέννυται, καὶ ὁ πεινῶν δρέπεται τῆς ὀπώρας καὶ τῶν χαρίτων 20 καταπολαύει.

Ἀλλ' ἵνα τί σοι καὶ προσονειδίσω, τοὺς μὲν μουσικοὺς ἀφῆκας λειμῶνας, ἔτρεψας δὲ σαυτὸν ἐπὶ θήρας ἀλόγων καὶ κυνηγέσια. Καὶ ἀφῆκας μὲν ἐκ τῶν χειρῶν τά βιβλία, ἐπιθωΰζεις δὲ ταῖς κυσίν, αὐτὸ δὴ τὸ τραγῳδοῦ θαμὰ ἐπιφθεγγόμενος «πρὸς θεῶν 25 ἔραμαι κυσὶ θωΰξαι, καὶ βαλίαις ἐγχρίπτειν ἐλάφοις». Καί σοι τὸ φροντιζόμενον, ἀντὶ πάσης ἐφέσεως λογικῆς τε καὶ νοερᾶς, τὸ ἔλαφον [τι]να ἢ χαυλιόδοντα κάπρον τῆς ὕλης ἐξαγαγεῖν, καὶ κατὰ τῆς κλειδὸς ἀκοντίσαι, ἢ γέρανόν τινα ὑπερνεφοῦσαν κατενεγκεῖν, καὶ γλυκὺ γελᾶσαι ἐξορχούμενον ὁρῶντα τὸν ἑαυτοῦ 30 θάνατον.

15–17 οὐδὲ – ναμάτων: cf. Π 133,18–20 κἂν ψυχὰς εἶχον αἱ πηγαί, ἥσθησαν ἂν ἐξαντλούμεναι· ὑπεκρίθησαν δὲ ἡδέως τῷ λόγῳ, ὅτι ἐπαχθῶς ἔχουσι τῷ ἀρύεσθαι ‖ **23–24** ἐπιθωΰζεις – κυσίν: cf. Psel. Χρονογραφία VII,181 (= VIIc17) ἐπιθωΰζει τὲ κυσὶ (scil. Ἰωάννης ὁ Δούκας) et Π 54,13 ‖ **24–25** πρὸς – ἐλάφοις: Eurip. Ἱππόλυτος 218–219 βαλιαῖς ἐλάφοις ἐγχριμπτόμεναι. / πρὸς θεῶν· ἔραμαι κυσὶ θωΰξαι. cf. Psel. Χρονογραφία VII,181 (=VIIc17), Π 54,29, et Π 251,15 ‖ **26** ἐφέσεως – νοερᾶς: cf. Anast. Sinait. Ὁδηγός 2,4,3–4 θέλημα μέν ἐστιν οὐσίας νοερᾶς καὶ λογικῆς ἔφεσις πρὸς τὸ καταθύμιον **28–29** γέρανόν – κατενεγκεῖν: cf. Π 67,43–44 θηρᾶται τοῦτον τὸν γέρανον ὑπερνεφοῦντα ταῖς πτέρυξι ‖ **29–30** ἐξορχούμενον – θάνατον: cf. Psel. Χρονογραφία VII,72 ἔπιπτε γὰρ ἡ γέρανος ἐπορχουμένη τὸν θάνατον

8 εἶχον P S: om. B ‖ **15** διακεκαυμένος B Malt[4],27: διακεκομμένος P S **18** ἐγκύψας P S: ἐγγίσας B ‖ **26** τε – νοερᾶς P S: om. B ‖ **26–27** τὸ – τινα scripsi: τὸ ἔλαφον [..]να B om. P S ‖ **27** τῆς B: ἐξ P S ‖ **28** τῆς P S: om. B γέρανόν τινα P S: τινα γέρανον B

Ἀλλ' οἶδα ὅτι σου τῆς ψυχῆς καθικόμην· αὐτῆς γάρ σε ἀφαιρεῖται ὁ ἀπείργων τοῦ κυνηγετεῖν. Καὶ ἔχου τῶν φιλτάτων καὶ περιέχου τούτων (ἤγουν τῆς θήρας), καὶ μὴ ἀποκάμοις, μήτε τοῦ λαγωοῦ διερευνώμενος τὰς εὐνάς, μήτε τὰς τῶν θηρῶν κοίτας, ἀλλὰ καὶ βάλοις τούτους εὐστοχώτατα (καὶ πῶς γὰρ ἂν ἀφήσεις 35 τὰ σὰ παιδικά); κἀμὲ γὰρ εἴ τις ἐξαγάγοι τῆς φίλης Ἀκαδημίας, καὶ χειριδωτὸν θείη μοι τῇ χειρί, εἶτα δὴ ἐπιδοίη θηρευτὴν ὄρνιθα, ἡδέως ἂν ἴδοιμι καὶ πολλὰ τὸ τοῦ ἀνθρώπου στῆθος καταφιλήσαιμι, καὶ ταῦτα φιλόσοφος ὢν καὶ τῶν βιβλίων κρεμαννύμενος.

Πλὴν μὴ ὅλος γίνου τοῦ πράγματος, ἀλλὰ θήρα κἀμέ, μήτε 40 ὡς βρυχώμενον λέοντα, μήτε ὡς ἄρκτον ἀπορουμένην, μήτε ὡς

33–34 μήτε – κοίτας: cf. Aelian. Περὶ ζῴων ἰδιότητος 12,43,10–11 εἰς ἁπάσας … τὰς τῶν θηρίων κοίτας καὶ εὐνάς ‖ **34** τοῦ λαγωοῦ … τὰς εὐνάς: cf. Xen. Κυνηγετικός 6,16 πρὸς τὴν εὐνὴν τοῦ λαγῶ et Psel. Σύνοψις διὰ στίχων σαφῶν καὶ πολιτικῶν περὶ πασῶν τῶν ἐπιστημῶν γενομένη πρὸς τὸν εὐσεβέστατον βασιλέα κῦριν Μιχαὴλ τὸν Δούκαν = Poem. 6,328 εὐναῖος δὲ ὁ λαγωός ‖ **36** τὰ – παιδικά: cf. Plat. Γοργίας 482a1–4 εἰ μή τις παύσει τὰ σὰ παιδικὰ τούτων τῶν λόγων … ἀλλὰ τὴν φιλοσοφίαν, τὰ ἐμὰ παιδικά et Synes. Cyren. Epist. 138,14–16 ἐπειδὴ γράφειν δύναμαι, θαμὰ τοῦτο ποιῶ … καὶ ἀπολαύω τῶν ἐμῶν παιδικῶν. cf. Psel. Εἴς τινα κάπηλον γενόμενον νομικόν = Or. min. 14,147 ἵνα μὴ περιττὸς δόξω τὰ σὰ παιδικὰ ὑφαρπάζων, Π 105,17–18 τοιαῦτα τὰ ἐμὰ παιδικά, Π 112,84–85 τῶν ἐμῶν παιδικῶν (τοὺς λόγους φημί), Π 113,105–106 τὴν ἐμὴν πάλαι γλῶτταν … τῶν ἐμῶν … παιδικῶν, Π 117,21–22 τὴν ἐμὴν ἐνδείξαιμι γλῶτταν, καὶ ἢ λέξιν ἀποσμιλεύσω, ἢ συναρμόσω περίοδον, ἢ σχεδιάσω ῥητορικὴν μέθοδον, τὰ ἐμὰ παιδικά, Π 131,47–48 ἵν' ἔχω σκῶψαί σε καὶ προσπαῖξαί σοι, καὶ καλὴν δοῦναι ἐπιστολήν, τὰ σὰ παιδικά, Π 176,36–37 τὰ σὰ παιδικά, et Π 223,11–13 ἀπόλαυε τῶν σῶν· εἰ μὲν βούλει, τῶν ἀρχαίων παιδικῶν, ὧν δὴ τὰς ἀρχὰς παρὰ τῆς ἐμῆς γλώττης εἰλήφεις· εἰ δ' οὖν, τῶν νέων τρυφῶν ‖ **37** καὶ – ὄρνιθα: cf. Proc. Gaz. Ἔκφρασις εἰκόνος 26 ὁ θηρευτὴν ὄρνιν ἄκρῳ καρπῷ προτεινόμενος ‖ **41–42** ὡς[2] – Ἀσσυρίων: cf. Osee 13,7–8 καὶ ἔσομαι αὐτοῖς ὡς πανθὴρ καὶ ὡς πάρδαλις κατὰ τὴν ὁδὸν Ἀσσυρίων· ἀπαντήσομαι αὐτοῖς ὡς ἄρκτος ἀπορουμένη et Π 149,36 et Π 488,1–3

33 τούτων – θήρας P S: τῆς θήρας B ‖ **34** λαγωοῦ B: λαγῶ P S | εὐνάς B: ὀπάς P S ‖ **35** τούτους B τοῦτον καὶ: P S ‖ **36** ἐξαγάγοι – φίλης P S: τῆς φίλης ἐξαγάγοι B ‖ **37** ἐπιδοίη B: ἐπιθείη P S | θηρευτὴν corr. Messis: θηρατὴν P S [ca. 7 litt.] B ‖ **39** φιλόσοφος : [ca. 9 litt.] B | κρεμαννύμενος P S: ἐκκρεμαμένος B ‖ **40** πράγματος : πρ[ca. 7 litt.] B | θήρα κἀμέ : [ca. 8 litt.] B **41** βρυχώμενον : βρ[… .]μενον B | μήτε[2] : [….] B

πάρδαλιν ἀπαντῶσαν κατὰ τὴν ὁδὸν Ἀσσυρίων, ἀλλ' ὡς κίτταν, ὡς ψιττακόν, ὡς εὐκέλαδον τέττιγα, ὡς ἄλλό τι τῶν μουσικῶν· καταφωνῶ γὰρ κἀγὼ τὰ λογικὰ ἄλση, καὶ ὑπερίπταμαι τῶν
45 λειμώνων, καὶ τερετίζειν ἡδέως ἐπίσταμαι. Ἔστι δέ μοι καὶ μουσικὸν ἐν τῷ στήθει μαγάδιον, καὶ μέλος παντοδαπόν, οὐ σύντονον μόνον, ἀλλὰ καὶ ἐναρμόνιον. Εἰ δέ σοι ἔρως καὶ Σειρήνων ᾠδῆς, οὐδὲ τὴν τούτων μοῦσαν ἠγνόηκα, καὶ ἐπὶ πᾶσιν οὐ βασκαίνω τινὶ οὔτε λύρας, οὔτε κιθάρας, οὔτε Ὀρφικῶν κρουμά-
50 των καὶ Σειρηνείων ᾠδῶν.

46 μουσικὸν – μαγάδιον: Greg. Naz. Λόγος θεολογικὸς δεύτερος, περὶ θεολογίας = Or. 28,24 τίς ὁ δοὺς τέττιγι τὴν ἐπὶ στήθους μαγάδα. cf. Psel. ⟨Ad discipulos de philosophia et rhetorica⟩ = Or. min. 25,89–90. cf. etiam Π 122,49–50 καὶ οἷον μαγάδιον ὑπετέθην τοῖς φθόγγοις ‖ **45–47** ἔστι δέ – ἐναρμόνιον: cf. Π 62,18–29 ἐγὼ δέ σοι εἰς μὲν θηριώδεις φύσεις οὐ μεταβήσομαι, οὐδὲ ἐκπλήξω τῇ τῶν φαντασμάτων καινότητι, ἀλλὰ τοὺς περὶ τὴν κιθάραν μιμήσομαι. τί δὲ οὗτοι δρῶσιν; ἐπειδὰν αἴσθωνται τοὺς ἀκούοντας κορεννυμένους τοῦ μέλους, μεταβάλλουσι τὰς χορδὰς στρέφοντες αὐτὰς τοῖς καλάμοις καὶ μεταστρέφοντες καὶ ποικίλας ἁρμονίας μεταχειρίζοντες, ἵνα, διὰ τῆς τοιαύτης μεταλλαγῆς τε καὶ μεταβάσεως, ἀκορέστους τῆς μουσικῆς ἡδονῆς τοὺς ἀκροατὰς ἔχωσιν. οὕτω γοῦν κἀγώ σοι μεταποιήσω τοὺς ἐμοὺς λόγους· καὶ νῦν μὲν ἱλαροὺς τούτους παρέξω σοι, νῦν δὲ συντόνους, καὶ νῦν μὲν ἀναβεβλημένους καὶ μαλακούς, νῦν δὲ γενναίους καὶ ἰσχυρούς, νῦν δὲ ἄλλην μορφὴν ἔχοντας, Π 64,18 ἀλλὰ παντοδαπὸς πᾶσι γέγονα πράγμασι, Π 128,70–74 διαπέπλασταί μοι γὰρ ἡ ψυχὴ πρὸς πᾶσαν ἰδέαν καὶ Μουσῶν καὶ Χαρίτων, καὶ οὐχ ὥσπερ αἱ χορδαὶ ἢ σύντονός εἰμι μόνον ἢ ἐναρμόνιος, ἀλλὰ παντοδαπὸν ἔχω τὸ μέλος, νῦν μὲν λιγυρὸν καὶ ἡδύφωνον, νῦν δὲ συντεταμένον τε καὶ γενναῖον, et Π 146,134–138 διδάσκαλος δὲ πᾶσι γινόμενος, κατὰ τὸ μέτρον ἑκάστου τοὺς λόγους ποιοῦμαι, καὶ πρὸς τὰς ἰδέας μεταμορφοῦμαι τῶν μαθητῶν· καὶ τοῖς μὲν ἴσως λεοντοπρόσωπος φαίνομαι, ὅσοις τὸ πρὸς τοὺς λόγους ὅρμημα λεόντειον πέφυκε, τοῖς δὲ κορυδαλλὶς λόφον ἔχουσα ‖ **49–50** Ὀρφικῶν – ᾠδῶν: cf. e.g. Them. Χαριστήριος τῷ αὐτοκράτορι ... 209c5 τοῖς κρούμασι τοῖς Ὀρφέως et Hom. Od. 12,39–54 (de Sirenis) cum Psel. Ἐγκώμιον εἰς τὸν ... Ἰωάννην τὸν Κρουστουλᾶν ἀναγνόντα ἐν τῇ Ἁγίᾳ Σορῷ = Or. min. 37,166–168, Π 30,11, Π 63,5–6 et Π 128,36–37; cf. etiam Π 268,2–3

42 ἀπαντῶσαν : [ca. 9 litt.] B ‖ **43** τέττιγα ὡς : [ca. 9 litt.] B ‖ **44** καταφωνῶ P S: καταφρονῶ B | λογικὰ P S: μουσικὰ B | ὑπερίπταμαι : [ca. 7 litt.]αμαι B **44–45** τῶν λειμώνων P S: τοὺς λειμῶνας B ‖ **46** στήθει μαγάδιον : [ca. 8 litt.]γάδιον B ‖ **47–48** Σειρήνων ᾠδῆς P S: Σειρηνείων ᾠδῶν B

Ἐν μὲν οὖν ταῖς ἐπιστολαῖς τὸ ἥδιστον μέλος καὶ τὴν σὴν ψυχὴν καταμελιτοῦν (εἰπεῖν οὕτως) ἀφίημι. Ἐνταῦθα δὲ ποδαπόν; σύντονον καὶ γενναῖον καὶ βασιλικαῖς ἀκοαῖς ἔνηχον, καὶ μάλιστα τῇ καλλίστῃ ψυχῇ τῆς δεσπότιδος· ἴστω γὰρ ὁ ἐμὸς δεσπότης καὶ διάπυρος ἐραστής, ὡς οὐδὲ αὐτῇ τοσοῦτον ἄλλο τι διὰ φροντίδος 55 ἐστίν, ἢ ἄλυπόν σοι πανταχόθεν ποιεῖν τὴν ζωήν. Καὶ ὅταν ἐγὼ τὴν ἐμὴν γλῶσσαν εἰς τοὺς σοὺς ἀνακινήσω ἐπαίνους (ποιῶ δὲ τοῦτο πολλάκις εἰδὼς ὅτι κἀκείνη βούλεται τῶν περὶ σοῦ λόγων ἀκούειν), ἡδέως δή μοι τὴν ἀκοὴν ὑποτίθεται, καὶ ἐπιμαρτύρεταί μοι λόγοις καὶ τοῖς οἰκείοις ἐπισφραγίζεται ῥήμασιν. Οὐ ψεῦδος 60 ταῦτα (νὴ τὴν ἱεράν σου ψυχήν!), οὐδὲ λόγος παραμυθητικός, ἀλλ' ἀληθὴς καὶ οὐκ ἔχων παραγωγήν.

Ἀδίστακτον οὖν ἔχε χαρὰν ἐν τῇ ψυχῇ· καὶ αὐτὸς γὰρ ὁ κάλλιστος ἡμῶν βασιλεὺς πολλάκις περὶ σοῦ ἐπιτραπέζια φθέγγεται ῥήματα, καὶ ἐπὶ καλλίστοις ἀεὶ τὴν σὴν μνήμην ποιεῖται. Καὶ 65 ἰδοὺ ἔχεις τὴν ἐράσμιον ἐκείνην ζωὴν ἧς πάλαι ἐτύγχανες ἐραστής· μέμνημαι γάρ σου πολλάκις ἐπομνυμένου ὅτι ἀντὶ

51–52 τὸ – καταμελιτοῦν: cf. Π 118,42 μηδὲ πόα καταμελιτοῦσα ψυχήν. cf. etiam Π 488,29–30 ὥσπερ ἡδύσματι τῷ καταμελιτοῦντι λόγῳ τὴν ἀκοήν cum app. font. ‖ **53** σύντονον – γενναῖον: cf. Aelian. Περὶ ζῴων ἰδιότητος 11,28,2 αὐλήσαντα σύντονον καὶ γενναῖον αὔλημα | βασιλικαῖς – ἔνηχον: cf. Greg. Naz. Epist. 173,3 et Εἰρηνικὸς γ´ = Or. 23,5 ἔνηχον ἔτι ταῖς ἐμαῖς ἀκοαῖς **54** τῆς δεσπότιδος: Eudocia Macrembolitissa (Π XXXVII) ‖ **59** ἡδέως – ὑποτίθεται: cf. Dion. Halicarn. Περὶ συνθέσεως ὀνομάτων 11,123 ἐὰν ἡδέως διατιθῇ τὴν ἀκοήν et 12,48–49 τὸν μέλλοντα διαθήσειν τὴν ἀκοὴν ἡδέως **62** ἀληθὴς – παραγωγήν: cf. Psel. Λόγος ὅτε προσηνέχθη ἡ ὑπεραγία θεοτόκος εἰς τὰ ἅγια τῶν ἁγίων = Or. hag. 6,28–29 οὐδὲ ψεῦδος προτεινόμενον καὶ διορθούμενον ὕστερον, ἵν' ἐξ ἀπάτης κλέψῃ καὶ ἐκ παραγωγῆς ἀληθεύσῃ ‖ **63–64** ὁ – βασιλεὺς: Romanus IV Diogenes (imperator: 1.I.1068 – a. 1071) (Π XIV) ‖ **65–69** καὶ ἰδοὺ – ἀπράγμονα: cf. Niceph. Bryen. Hist. 1,18,12–14 καὶ ὁ καῖσαρ ... περὶ Βιθυνίαν διάγων καὶ σχολάζων κυνηγεσίοις διὰ τὸ ὕποπτον εἶναι τῷ βασιλεῖ

51 οὖν P S: om. B ‖ **52** δὲ B: om. P S ‖ **53** καὶ γενναῖον B: om. P S | ἔνηχον B: εὔηχον P S | μάλιστα B: μᾶλλον P S ‖ **57** γλῶσσαν P S: γλῶτταν B ‖ **58** εἰδὼς B: om. P S ‖ **59** δή μοι P S: om. B ‖ **63** γὰρ P S: om. B ‖ **64** πολλάκις – ἐπιτραπέζια P S: ἐπιτραπέζια περὶ σοῦ B

πάσης ἀρχῆς καὶ εὐδαιμονίας ἑτέρας, ἡδέως ἂν τὸν ἄλυπον βίον ἀλλάξαιο καὶ ἀπράγμονα.

70 Ἔχεις οὖν ὅπερ ἐπόθεις, καὶ ζῆθι οὕτω μέχρι παντός· πόσον γὰρ καὶ βιώσομεν χρόνον; Εἰ γὰρ καὶ ὠμογέροντες, καὶ ἀναμὶξ τὰς πολιὰς ἔχοντες, καὶ οὐδὲ ταύτας πάνυ λευκάς, ἀλλ᾽ οὐδὲ ἡμῶν ὁ θεριστὴς φείδεται· ὡς οὖν αὔριον τεθνηξόμενος, εἰρηνικῶς τῆς ἐφεστώσης ἡμέρας ἀπόλαυε.

77. Τῷ αὐτῷ

Τῷ καίσαρι Ἰωάννῃ τῷ Δούκᾳ. versio prima [B¹]; cf. Π 130 = versio altera [B²]
Διὰ τὸν κῦρ Ἡλίαν τὸν Κρυσαλὰν (sic), τὸν ἔμπορον καπηλοποιόν· ἔχει καὶ ἑτέραν ἐπιστολὴν εἰς τὸν αὐτὸν Ἡλίαν, παρασκῶπτον (sic) αὐτοῦ τὴν ἀνούστατον βιωτήν in marg. B¹

K-D 212 [B¹, B²]

Θαυμάζουσιν Ἕλληνες τὰς Μούσας τε καὶ τὰς Χάριτας, τὰς μὲν ὡς περὶ τὸν Ἑλικῶνα χορευούσας, καὶ τὸν σφέτερον πατέρα τὸν Δία ὑμνούσας, καὶ ὅλως τῆς φιλοσόφου προεστηκυίας σεμνότητος, τὰς δὲ ὡς τοῖς ἀνθρώποις αἰτίας τέρψεώς τε καὶ ἡδονῆς.
5 Κἀντεῦθεν καὶ τῶν ἀνθρώπων, τοὺς μὲν σεμνοτέρους ταῖς

68–69 τὸν ἄλυπον βίον ... καὶ ἀπράγμονα: cf. Procl. Περὶ τῆς κατὰ Πλάτωνα θεολογίας 1,74,22–23 ἐπεὶ καὶ τοῖς παρ᾽ ἡμῖν ἀγαθοῖς μετὰ ῥᾳστώνης ὁ βίος καὶ ἀπράγμων καὶ ἄλυπος ‖ **71** ὠμογέροντες: cf. Hom. Od. 15,357 ἤκαχ᾽ ἀποφθιμένη καὶ ἐν ὠμῷ γήραϊ θῆκεν. cf. Psel. Εἰς τὸ εὐαγγελικὸν ... 'γρηγορεῖτε, ὅτι ... = Theol. I 101,83–83 ὀγδόη (scil. ὥρα), ὅταν μήπω πέπειρος ἡμῖν ὁ βλαστὸς τῆς λευκῆς τριχός, καθ᾽ ἣν δὴ καὶ ὠμογέροντες ὀνομαζόμεθα et Π 163,51–52 ‖ **72–73** οὐδὲ¹ – φείδεται: cf. Psel. Στίχοι ἰαμβικοὶ εἰς τὴν τελευτὴν τῆς Σκληραίνης = Poem. 17,190–195 ἁμαρτίαν ἥμαρτες, ὦ Χάρων, ξένην / ἐμοῦ προπέμψας εἰς ᾅδην τὴν φιλτάτην· / εἰ γὰρ θερίζειν τοὺς βροτοὺς ἐπετράπης, / ἔργον θεριστοῦ πρᾶττε τὰς λευκὰς τρίχας· / ὡς λευκὸν ἐκθέριζε τοῦ βίου στάχυν. / τί καὶ πρὸ καιροῦ τοὺς ἀώρους ἐκτέμνεις; ‖ **ep. 77** Ἡλίαν τὸν Κρυσ⟨τ⟩αλᾶν: cf. Psel. Ἐγκώμιον εἰς τὸν μοναχὸν Ἰωάννην τὸν Κρουστουλᾶν ἀναγνόντα ἐν τῇ Ἁγίᾳ Σορῷ = Or. min. 37?

68 ἑτέρας B: om. P S ‖ **ep. 77** B 138v–139r (B¹); cf. B 185v–186r (B²) = Π 130 (versio altera); tit. B¹: τῷ σεβαστῷ Κωνσταντίνῳ καὶ ἀνεψιῷ τοῦ πατριάρχου διὰ τὸν μοναχὸν Ἡλίαν τὸν Κρυσταλᾶν Π 130 ⟨τῷ καίσαρι Ἰωάννῃ τῷ Δούκᾳ⟩ K-D ‖ **1** τε B¹ K-D: om. Π 130 ‖ **2** περὶ scripsi Π 130,2 K-D: παρὰ B¹ **3** τῆς B¹ K-D: μετὰ τῆς Π 130,3 | προεστηκυίας B¹ K-D: παρεστηκυίας Π 130,3

Μούσαις εἰκάζουσι, τοὺς δὲ ἡδυτέρους ταῖς Χάρισιν.

Εἰ δέ τις ἀμφοτέρους ἔχει τοὺς χαρακτῆρας, καὶ τῆς τῶν Μουσῶν ἰδέας καὶ τῆς τῶν Χαρίτων, οὗτος αὐτοῖς ὁ τελεώτατός τε καὶ τὴν ἀρετὴν ἀκριβέστατος. Τοιοῦτος ἐν τοῖς καθ' ἡμᾶς ὁ θαυμάσιος οὗτος μοναστὴς ἐγεγόνει. Καὶ τὴν μὲν μουσικὴν μεγα- 10 ληγορίαν ἐνδείκνυται ᾄδων τὰ πολλὰ καὶ ῥυθμοῖς χαίρων καὶ μελῳδήμασιν, οὐ μόνον οὐκ ἐν Πιερίᾳ καὶ Ἑλικῶνι, ἀλλ' ὅπῃ φίλον αὐτῷ (τοῦτο γὰρ τέως κείσθω ἀνώνυμον)· βλύζει δὲ τὰ Χαρίτων καὶ ἐπινάει τῶν ἡδονῶν τὰς πηγάς, οἷς αὐτῷ μέλει (μηδὲ γὰρ οὗτοι ὀνομαστὶ τῷ γράμματι κείσθωσαν). Καὶ ἐν 15 ἑκατέρᾳ ἰδέᾳ τοῖν βίοιν ἀμφοῖν (τῆς Μούσης φημὶ καὶ τῆς Χάριτος), εἴπερ τις ἐπίσημος ἄλλος δοκεῖ.

Εἰ μὲν οὖν σοι μέλει Μουσῶν, αὐτίκα σεμνοπρεπεῖ κατὰ τὰς Ξενοκράτους εἰκόνας καὶ ὑποκριθήσεται τοὺς σεμνοτέρους τῶν βίων: τὸν εὐαγγελιστήν, τὸν ἐπίσκοπον, καὶ εἴ τις ἕτερος τοῦ 20 αὐτοῦ χαρακτῆρος ἐχόμενος. Εἰ δὲ θύεις ταῖς Χάρισι καί σοι φροντὶς χαριεντίσασθαι καὶ ἡδὺ γελάσαι καὶ τὰ παικτὰ παῖξαι, θαυμάσεις τὸν ἄνδρα τὴν τραγικὴν ἐνταῦθα πηγνύντα σκηνὴν καὶ ὅσαι ὧραι μεταμορφούμενον· καὶ νῦν μὲν Αἴαντα δοκοῦντα τὸν

9–10 ὁ – μοναστής: Elias, de eoque cf. Π 188,6, Π 219,2, Π 220,3, Π 253,1, Π 254,1, Π 288,1, Π 326,1, Π 327,1, et Π 450,1. cf. Π 130,10–11. cf. etiam Π 543,1? ‖ **18–21** κατὰ – Χάρισι: cf. Diog. Laert. 4,6 σεμνὸς δὲ τά τ' ἄλλα Ξενοκράτης καὶ σκυθρωπὸς ἀεί, ὥστε αὐτῷ λέγειν συνεχὲς τὸν Πλάτωνα, «Ξενόκρατες, θῦε ταῖς Χάρισι»; cf. Plut. Marius 2,3 ὥσπερ οὖν Ξενοκράτει τῷ φιλοσόφῳ σκυθρωποτέρῳ δοκοῦντι τὸ ἦθος εἶναι πολλάκις εἰώθει λέγειν ὁ Πλάτων· «ὦ μακάριε Ξενόκρατες, θῦε ταῖς Χάρισιν» cum Plut. Γαμικὰ παραγγέλματα 141f7–10 et Ἐρωτικός 769d2–6; cf. Psel. Χρονογραφία 7,47, Λόγος εἰς ... Κωνσταντῖνον τὸν Μονομάχον = Or. pan. 1,162–164, et Π 130,18–21

8 τῆς – Χαρίτων scripsi Π 130,8 K-D: τῶν Χαρίτων B[1] ‖ **9–10** τοῖς – θαυμάσιος B[1] K-D: τῇ καθ' ἡμᾶς γενεᾷ ὁ θαυμασιώτατος Π 130,10 ‖ **11** τὰ B[1]: τε Π 130,12 K-D ‖ **12** μονονοὺκ corr. Diam 304 ‖ **13** τέως κείσθω B[1] K-D: κείσθω τέως Π 130,14 | τὰ B[1] K-D: om. Π 130 ‖ **16** Μούσης B[1] K-D: μουσικῆς B[2] ‖ **17** εἴπερ – ἐπίσημος B[1]: ἐπίσημος εἴπερ τις Π 130,17 K-D ‖ **18** σοι μέλει B[1]: μέλει σοι Π 130,19 K-D | σεμνοπρεπεῖ B[1]: σεμνοπρεπήσει Π 130,18 K-D **21** χαρακτῆρος B[1] K-D: τρόπου Π 130,22 ‖ **23** τὸν – πηγνύντα B[1]: ἐνταῦθα τὸν ἄνδρα τὴν τραγικὴν πηγνύμενον Π 130,24 ἐνταῦθα τὸν ἄνδρα τὴν τραγικὴν πηγνύντα K-D

25 Τελαμώνιον, νῦν δὲ Μίθαικόν τε καὶ Πάταικον, καὶ τὸν κάπηλον Σάραμβον· παντοδαπὸς γὰρ ὁ ἀνὴρ καὶ τοῦ Πρωτέως οὐκ ἐλάττων τὴν μεταποίησιν.

Κἀγὼ πολλάκις τὸν ἄνδρα τεθαύμακα (νὴ τὴν ἱεράν σου ψυχήν!), καὶ ἔστερξα (πῶς ἂν εἴποις;) σφοδρῶς, ὅτι νῦν μέν μοι
30 δεῆσαν, ὑπηρέτησε ταῖς χερσί, γράφων κάλλιστα καὶ ταχύτατα, καὶ αὖθις μεταβαλλόμενος εἰς ᾠδάς, καὶ ἐμμελεῖς φθόγγους ἐτρέπετο, εἶτα δὴ (ἀλλὰ πῶς ἂν λίαν τοῦτο θαυμάσωμαι;) περιδυσάμενος καὶ τὴν ἐσθῆτα καὶ τὸ χιτώνιον παντοδαπὸς ἐγίνετο καὶ τοῖς σχήμασι καὶ τοῖς μιμήμασι.

35 Νὴ τὴν ἱεράν σου ψυχήν! ἀξιώτατος ὁ ἀνὴρ τῆς σῆς γνώμης καὶ χάριτος. Ἐπειδὴ πολύμορφος ὁ βίος ἡμῶν καὶ κατὰ τὸν Εὐριπίδην «πρὸς τὰς τύχας τὰς φρένας κεκτήμεθα» καὶ νῦν μὲν γεγενήμεθα σκυθρωπέστεροι, νῦν δὲ χαριέστεροι, καὶ κατάλληλός

25 Μίθαικόν – Πάταικον: ex libris grammaticis? cf. e.g. Theognost. Κανόνες 326 διὰ τῆς αι διφθόγγου γράφονται· οἷον, Φάλαικος· Πάταικος· Μίθαικος ὄνομα κύριον. cf. Π 130,25 ‖ **25–26** Μίθαικόν – Σάραμβον: Plat. Γοργίας 518b4–9 ἐμοῦ ἐρωτῶντος οἵτινες ἀγαθοὶ γεγόνασιν ἢ εἰσὶν σωμάτων θεραπευταί, ἔλεγές μοι πάνυ σπουδάζων, Θεαρίων ὁ ἀρτοκόπος καὶ Μίθαικος ὁ τὴν ὀψοποιίαν συγγεγραφὼς τὴν Σικελικὴν καὶ Σάραμβος ὁ κάπηλος, ὅτι οὗτοι θαυμάσιοι γεγόνασιν σωμάτων θεραπευταί, ὁ μὲν ἄρτους θαυμαστοὺς παρασκευάζων, ὁ δὲ ὄψον, ὁ δὲ οἶνον. cf. Psel. Πρὸς τοὺς βασκαίνοντας αὐτῷ = Or. min. 10,64–65, Εἴς τινα κάπηλον γενόμενον νομικόν = Or. min. 14,163, Πρὸς τὸν Σαββαΐτην = Poem. 21,232, et Π 131,38–39. cf. Π 130,25 **26–27** παντοδαπὸς – μεταποίησιν: locus communis (ex Hom. Od. 4,384–386); cf. Psel. Χρονογραφία VI,152, Ἐκ τοῦ περὶ τοῦ πνεύματος λόγου εἰς τὸ 'Σαδδουκαῖοι μὲν ...' = Theol. I 106,115–116, et Π 62,15–18, Π 254,39, et Π 288,29–30. cf. Π 130,26–27 et etiam Π 532,1–2 ‖ **36–37** κατὰ – κεκτήμεθα: Eurip. Ἱππόλυτος 701 πρὸς τὰς τύχας γὰρ τὰς φρένας κεκτήμεθα, cf. Π 91,4–5; cf. Π 130,36–37

25 καὶ² B¹: ἢ Π 130,26 K-D ‖ **26** Σάραμβον scripsi Π 130,26 K-D: Σάρβαρον B¹ (cf. Suda ε 1367 ἐνθουσιώσας· Πισίδης· καὶ τὰς ἀθέσμους ἡδονὰς τοῦ Σαρβάρου ἐνθουσιώσας τῇ πυρώσει τῆς μέθης ἐπεξανῆπτον) ‖ **30** ὑπηρέτησε B¹ K-D: ὑπηρετῆσαι B² ‖ **32** ἂν – θαυμάσωμαι B¹ K-D: ἂν τοῦτο οὐ λίαν θαυμάσαιμι Π 130,33 θαυμάσωμαι ex corr. B¹ ‖ **33** ἐγίνετο B¹: ἐγεγόνει Π 130,35 K-D ‖ **36** ἐπειδὴ B¹: ἐπειδὴ γὰρ Π 130,36–37 K-D | ὁ – ἡμῶν B¹ K-D: ἡμῶν ὁ βίος Π 130,37 ‖ **37** κεκτήμεθα B¹ K-D: φερόμεθα Π 130,38 **38** γεγενήμεθα B¹: γινόμεθα Π 130,38 K-D ‖ **38–39** καὶ – οὗτος B¹: κατάλληλός σοι καὶ οὗτος φανεῖται Π 130,39 K-D

σοι φανεῖται οὗτος πάσῃ ἰδέᾳ καὶ παραστάσει, καὶ ὑπηρετήσει οὐ τὰ μέγιστα μόνον ἀλλ' ἤδη καὶ τὰ κάτω καὶ τὰ φαυλότατα· οὐ 40 γὰρ γράψει μόνον ἑτοίμως ἀλλὰ καὶ λούσει, καὶ στρωματοδεσμήσει, καὶ ἵππῳ περιθήσει ἀστράβην καὶ περιαγάγῃ, καὶ τἄλλα ποιήσει ὁπόσα τῷ δεσπότῃ ἀρέσκει.

Τοιοῦτός σοι ἀφίκετο ἄνθρωπος. Εἰ μὲν οὖν σκυθρωπάζοντα εὕροι, ἀντεπιδείξεταί σοι αὐτίκα τῆς ψυχῆς τὴν κατήφειαν· εἰ δὲ 45 καὶ γελῶντα, γελάσει. Συμμεταμορφώθητι οὖν καὶ αὐτὸς τῷ ἀνθρώπῳ ποικιλλόμενος οἷς ἐκεῖνος ποικίλλεται· καὶ κατεύθυνον μὲν κατευθύνοντι, πλαγίασον δὲ πλαγιάσαντι. Εἰ δὲ μυθώδη τὰ ῥήματα καὶ ἐμφατικώτερα, μὴ θαυμάσῃς· συγκαλύψας γὰρ εἴρηκα· ἀνέῳγε γὰρ ἀμφοτέρας τὰς ἀκοὰς ὁπηνίκα τὴν γραφὴν 50 ὑπηγόρευον. Ἀλλ' ἐγὼ πρὸς Κρῆτα κρητίσας, ὁμοῦ τε τὴν περιπλοκὴν εἰργασάμην τῷ λόγῳ καὶ τὸ βούλημα τῆς ἐμῆς γλώσσης ἐδημοσίευσα.

78. Τῷ αὐτῷ

Τῷ καίσαρι Ἰωάννῃ τῷ Δούκᾳ

K-D 213 [B]

Οὐ βασκαίνω, σεβαστὲ καῖσαρ, οὔτε σοὶ τῷ μεγίστῳ, οὔτε τῷ νουμέρῳ τῆς προτιμήσεως· Πλάτωνος γάρ εἰμι μαθητής, καὶ τῶν ἐν Πολιτείᾳ λόγων ἀκριβῶς μέμνημαι, καὶ οὐ φθονῶ τοῖς προωδευκόσι καὶ ἐξομαλίσασί μοι (ὡς ἔφης) τὰς ἀγυιάς· ἀπειρήκασι γάρ μοι αἱ χεῖρες ὑλοτομεῖν, καὶ ἀπηγόρευκέ μοι ἡ 5 δύναμις, καὶ τῆς τέχνης ἐπελαθόμην διὰ τὸν [ca. 8 litt.] ἐπιβαίνειν

51 πρὸς – κρητίσας: proverbium; CPG I 297 (nr. 65) et II 205 (nr. 35) et 628 (nr. 98). cf. Psel. 'Τοῦτο νῦν ὀστοῦν ἐκ τῶν ὀστῶν μου καὶ σὰρξ ἐκ τῆς σαρκός μου' = Theol. II 21,14 et Π 378,24; cf. Π 130,52

39 ἰδέᾳ B[1]: ἰδέᾳ βίου Π 130,40 K-D | παραστάσει B[1]: περιστάσει Π 130,40 K-D ‖ **46** γελῶντα γελάσει B[1]: καὶ γελῶντα καὶ χαριεντιζόμενον, γελάσει καὶ χαριεντίσεται Π 130,47 K-D ‖ **48** πλαγιάσαντι B[1]: πλαγιάζοντι Π 130,50 K-D μυθώδη B[1]: μυστηριώδη σοι Π 130,50 K-D ‖ **52** εἰργασάμην – λόγῳ B[1] K-D: τῷ λόγῳ εἰργασάμην Π 130,53–54 ‖ **53** γλώσσης B[1] K-D: γνώμης Π 130,54 **ep. 78** B 139r–v; tit. B K-D

[ca. 10 litt.] ἱππεύειν οὐ δεδύνημαι [ca. 23 litt.] αὐτῷ, ἐξομαλίσῃ μοι τὰς ὀξύτητας, ὁποῖος σὺ τὴν νί[κην κατέ]σχες [..... ἐκ τῆς] ἀφετηρίας πρὸς τὴν νύσσαν εὐθυδρομῶν, τάχα [πο]τὲ πεποιθότως
10 [ca. 12 litt.] ἐπιβήσομαι.

Εἶτα οὐ φείδεσθέ μου τῶν πολιῶν, ἀλλ' ὑλο[τομεῖν] [ca. 12 litt.] καὶ ἀναχωννύειν ἃ μὴ δεδύνημαι. Ὁ Δα[ίδα]λος ἐπεχείρει μὲν τ[ῇ ὑ]λο[τομίᾳ ἔτι] ἀκμάζων· ἐπεὶ δὲ ἐγεγηράκει, ἑτέρῳ μὲν [τ]ὴν ὑλοτομίαν ἐπέτρεπεν, ἀν[ατεμ]ὼν δὲ τὸν λίθον ἐτόρευε καὶ
15 διέγλυφεν. Οὐκ εἰμι ἀτιμότερος τοῦ ἀνδριαντοποιοῦ ἐκείνου, οὐδὲ τὴν τέχνην ἀφυέστερος· ἀλλ' οἶδα, τίνος τὰ ἐνθυμήματα, καὶ ἂν μὴ σύ μοι [ca. 25 litt.] τάχ' ἂν ἐκεῖνος καὶ παραβάτης ἐγεγόνει

7 ἱππεύειν – δεδύνημαι: cf. etiam Π 67,61–67 ἐγὼ δὲ (καὶ ὁρκοποιοῦμαι τὴν σὴν φιλτάτην ψυχήν!) οὕτω τοὺς ἵππους δέδοικα πέφρικά τε καὶ πεπτόημαι, ὥσπερ δὴ οἱ λοιποὶ τοὺς ἐλέφαντας καὶ τοὺς λέοντας. κἂν βραχύ τι περικινήσῃ τὴν κεφαλὴν ὁ φέρων ἐμέ, εὐθὺς αὐτὸς τῆς ἕδρας ἀπολισθαίνω, καὶ ἀκρατής μοι ἡ χεὶρ τοῦ χαλινοῦ γίνεται. ἀλλ' ἦν μοι τοῦτο πρότερον ἐξ ἁπαλῆς καὶ δειλῆς φύσεως, νῦν δέ μοι καὶ τὸ προσγενόμενον νόσημα τὴν φυσικὴν πτοίαν ἐδίπλασεν, Π 95,121–123 ἐγὼ γὰρ μετρίως ἄλογον ὑποτάξαι δύναμαι ταῖς χερσίν, ἀλογώτατον δὲ καὶ θρασύτατον οὔ μοι δύναμις τῷ χαλινῷ ἀντισπᾶν, et Π 215,16–18 ἀλλά με ὁ ἵππος, ἑκατέρωθεν τοὺς ὤμους δινῶν, καὶ τὸν αὐχένα ὑποκυμαίνων, πολλάκις δὲ καὶ τὸν χαλινὸν ὑφελκόμενος, ταράττει δεινῶς ‖ **8–9** ἐκ – εὐθυδρομῶν: cf. Psel. Ἐγκώμιον εἰς ... Νικόλαον μοναχὸν ... = Or. fun. I 10,6,3–4 εὐθὺς ἀπὸ τῆς ἀφετηρίας ἐς τὴν νύσσαν κατήντησα, Psel. Ἐκ τοῦ τῆς Πεντηκοστῆς λόγου, εἰς τὸ 'ἔστι διαφορὰ χαρισμάτων' = Theol. I 60,87–88 τρέχει σοι ἡ γλῶττα ἐκ πρώτης ἀφετηρίας πρὸς τὴν τῶν διαλέκτων νύσσαν. cf. etiam Greg. Naz. Εἰς τὸν μέγαν Βασίλειον ... = Or. 43,22 ἀλλ' ἐπὶ τὴν νύσσαν ἐπαναγέσθω πάλιν ἡμῖν ὁ λόγος et Psel. Ἐπιτάφιος εἰς Νικήταν μαΐστωρα τῆς σχολῆς τοῦ ἁγίου Πέτρου = Or. fun. I 4,2,16–17 ‖ **12–15** ὁ Δαίδαλος – διέγλυφεν: fontem non inveni. cf. Psel. Εἰς ... Κωνσταντῖνον τὸν Ξιφιλῖνον, ἀξιώσαντα αὐτὸν μεταβαλεῖν τὸ ... Ὄργανον ἀπὸ τοῦ ἀσαφοῦς ἐπὶ τὸ σαφές = Phil. min. I 5,72–75 ὅ φασι πολλάκις τὸν Δαίδαλον. ἐκεῖνος μὲν γάρ, ἐπειδὴ τὴν τέχνην εἰς ἄκρον ἠκρίβωσεν, ἀποτόμοις λίθοις οὐκ ἐπεχείρει, ἀλλ' ἑτέροις τοῦτο παρεκελεύετο· ἐπὰν δὲ ἐκεῖνοι ἔκοψαν τὸν λίθον καὶ ἐσχημάτισαν, οὗτος παραλαμβάνων μετεχειρίζετο

8 νίκην κατέσχες suppl. K-D | ἐκ τῆς supplevi ‖ **9** ποτὲ supplevi **11** ὑλοτομεῖν suppl. K-D ‖ **12–13** Δα[ίδα]λος – ἔτι suppl. K-D ‖ **14** [τ]ὴν – ἀν[ατεμ]ὼν suppl. K-D ‖ **17** lacunam indicavit B

(ἵνα μὴ λέγω καταιβάτης κεραυνοφόρος). Ὁρᾷς ὅ τι μοι πεποίηκας, καῖσαρ, ἀναμνήσας τοῦ Ἀττικοῦ μέλιτος καὶ τῶν χρυσῶν μήλων ἐκείνων καὶ ἀτεχνῶς ἐμψύχων τε καὶ [ca. 20 litt.]. 20

Ἀπ' ἐμῆς οὖν, ἀπ' ἐμῆς ψυχῆς, καὶ ἀλλακτέον ἡμῖν τὴν χορδήν, καὶ τὸ μέλος ἀπὸ τῆς νήτης ἐπὶ τὴν σεμνοτάτην μετακινητέον ὑπάτην· οὔτε γὰρ αὐτὸς πρῶτος τεμοῦμαι τὴν διώρυγα, οὔτε ὑμῖν ἐπιτρέπω τεμεῖν. Χωρὶς τὰ Φρυγῶν καὶ Μυσῶν ὁρίσματα· καὶ ἄλλα μὲν λεόντων ὁρμήματα, ἄλλα δὲ πιθήκων 25

18 καταιβάτης κεραυνοφόρος: i.e. Zeus; cf. e.g. Lycophr. Ἀλεξάνδρα 1370–1371 ὁμώνυμος Ζεύς, ὃς καταιβάτης μολὼν / σκηπτῷ πυρώσει πάντα δυσμενῶν σταθμά cum Aesch. Προμηθεὺς δεσμώτης 358–359 ἀλλ' ἦλθεν αὐτῶι Ζηνὸς ἄγρυπνον βέλος, / καταιβάτης κεραυνὸς ἐκπνέων φλόγα et Π 111,190 ‖ **19** τοῦ – μέλιτος: cf. Aristoph. Εἰρήνη 252 φέρ' ἐπιχέω καὶ τὸ μέλι τουτὶ τἀττικόν etc. ‖ **19–20** τῶν – μήλων: cf. e.g. Hes. Θεογονία 335 παγχρύσεα μῆλα cum Psel. Εἰς ... Κωνσταντῖνον τὸν Ξιφιλῖνον, ἀξιώσαντα αὐτὸν μεταβαλεῖν τὸ ... Ὄργανον ἀπὸ τοῦ ἀσαφοῦς ἐπὶ τὸ σαφές = Phil. min. I 5,37 καὶ τὰ χρυσᾶ τῶν Ἑσπερίδων μῆλα ‖ **21–22** ἀλλακτέον – χορδήν: cf. Π 62,22 μεταβάλλουσι τὰς χορδάς, Π 68,34 ἄλλαξον χορδήν, Π 108,21 ἄλλαττε τὴν χορδήν, Π 254,28, ἄλλαξον καὶ αὐτὸς τὴν χορδήν, Π 264,8–9 ἄλλαξον τὴν πρὸς ἡμᾶς σου χορδὴν ‖ **24–25** χωρὶς – ὁρίσματα: proverbium; CPG I 377 (nr. 99) et II 130 (nr. 16) et 730 (nr. 45) cum Karath. 43. cf. Psel. Ἐγκώμιον εἰς Ἰωάννην ... Εὐχαΐτων ... = Or. pan. 17,670, Ἀλληγορία τοῦ 'οἱ δὲ θεοὶ πὰρ Ζηνὶ ...' = Phil. min. I 42,11–12, et Π 108,8–9 et Π 111,9–10 ‖ **25–26** ἄλλα[1] – μιμήματα: proverbium; cf. Greg. Pard. In Hermog. περὶ μεθόδου δεινότητος 1228,25–1229,1 ἔστι δὲ καὶ ἕτερον πάρισον τὸ λεγόμενον οὕτω πάρισον καθόλου, ὡς παρὰ τῷ θεολόγῳ [sic]· ἄλλα μὲν λεόντων ὁρμήματα, ἄλλα δὲ πιθήκων μιμήματα et fortasse Greg. Naz. Κατὰ Ἰουλιανοῦ στηλιτευτικὸς α´ = Or. 4,112 ἐδείχθη γὰρ ἂν τίνα μὲν ἀνθρώπων κινήματα, τίνα δὲ πιθήκων μιμήματα, cf. Ioann. Maurop. Λόγος εἰς ... Βασίλειον τὸν μέγαν, Γρηγόριον τὸν θεολόγον, καὶ Ἰωάννην Χρυσόστομον 116,30–117,1, Nic. Chon. Epist. 8 (212,15–16); cf. Π 108,8–9, Π 149,40–41, et Π 288,30–32 ‖ **24–26** χωρὶς – μιμήματα: cf. Π 108,8 χωρὶς τὰ Φρυγῶν καὶ Μυσῶν ὁρίσματα· ἄλλα μὲν λεόντων ὁρμήματα, ἄλλα δὲ πιθήκων μιμήματα

20 lacunam indicavit B ‖ **21** ἐμῆς[1] corr. K-D: ἐμᾶς B | ἐμῆς[2] corr. K-D: ἐμᾶς B

μιμήματα! Ὑμεῖς οἱ λέοντες οἱ γενναίως βρυχώμενοι καὶ θοινώμενοι καὶ τὸν βοῦν καὶ τὸν ἀλεκτρυόνα· ἐγὼ δὲ ὁ πελώριος πίθηκος (ἵν' εἴπω τι καὶ παράδοξον), καὶ (ὡς ὁρῶ) ἐσχάτους ἡμᾶς ὁ θεὸς ἀπέδειξεν ὡς ἐπιθανατίους.

30 Ἀλλ' οὐ πολλάκις ὑμῖν φθονήσω τοῦ ῥέοντος μέλιτος· οὐ γὰρ γλυκάζει μέχρι παντός (μηδὲ γάννυσθε), ἀλλ' ἀψίκορον ἔχει τὴν ἡδονήν, καὶ χείλεα μὲν ἐδίηνεν, ὑπερῴην δ' οὐκ ἐδίηνεν. Οἱ τοῦ μέλιτος εἰς κόρον γευόμενοι ἐνθυμεῖσθε καὶ τὴν γαστρόρροιαν, καὶ οἱ τῶν πηγῶν ἀρυόμενοι καὶ τὴν ἀλγηδόνα τοῦ ἥπατος. Ἐγὼ μὲν 35 γὰρ ᾤμην, ὦ καινοὶ σοφισταί, συμβῆναί μοι τῷ πράγματι καὶ ὁμονοίας στῆσαι κρατῆρα, καὶ ⟨εἴην⟩ ἂν ἐπαινέτης μέχρι παντὸς τοῦ κοινοῦ ἔρωτος. Ἐπεὶ δὲ διαρρήγνυτε τὴν ὁμόνοιαν, ὑμεῖς μὲν οἰκεῖτε τὴν Ἱεριχώ, καὶ βαδίζετε τὴν ἐπὶ τῶν νεφῶν· ἐγὼ δὲ διασείσω τῷ λόγῳ τὰ ἐδάφη καὶ τὰς πόλεις ὑμῶν, καὶ τῇ τῶν 40 ῥημάτων καταβαλῶ σάλπιγγι· εἰ γὰρ καὶ τοῦ μέλιτος ἀπεστέρημαι (ὁμολογῶ γὰρ αὖθις ὡς μελιτῶδες τὸ πρᾶγμα), ἀλλὰ τὴν ῥητορικὴν τέχνην ἠκρίβωκα, καὶ ῥᾷστον ἐμοὶ τὸ μὲν ἀψίνθιον μέλι που, τὸ δὲ μέλι ἀντιστρέψαι ἀψίνθιον.

26–27 ὑμεῖς οἱ – θοινώμενοι: cf. Psel. Ἐγκώμιον εἰς ... Κωνσταντῖνον ... τὸν Λειχούδην = Or. fun. I 2,5,34–36 ὥσπερ λέων ἐπιβαίνων ... λαφύσσων αὐτοὺς καὶ θοινώμενος et Π 68,40–41 εἰσὶ καὶ παρ' ἡμῖν λέοντες ... θοινώμενοι **26–27** οἱ[1] – ἀλεκτρυόνα: cf. Aesop. Ὄνος, ἀλεκτρυὼν καὶ λέων = Fab. 84 ἔν τινι ἐπαύλει ὄνος καὶ ἀλεκτρυὼν ἦσαν. λέων δὲ λιμώττων ὡς ἐθεάσατο τὸν ὄνον, οἷός τε ἦν εἰσελθὼν καταθοινήσασθαι. παρὰ δὲ τὸν ψόφον τοῦ ἀλεκτρυόνος φθεγξαμένου καταπτήξας—φασὶ γὰρ τοὺς λέοντας πτύρεσθαι πρὸς τὰς τῶν ἀλεκτρυόνων φωνάς—εἰς φυγὴν ἐτράπη. καὶ ὁ ὄνος ἀναπτερωθεὶς κατ' αὐτοῦ, εἴγε ἀλεκτρυόνα ἐφοβήθη, ἐξῆλθεν ὡς ἀποδιώξων αὐτόν. ὁ δὲ ὡς μακρὰν ἐγένετο, ἐπιστραφεὶς κατέφαγεν αὐτόν. cf. etiam Psel. Ἐγκώμιον εἰς ... Κωνσταντῖνον ... τὸν Λειχούδην = Or. fun. I 2,5,34–36 οὐ τοίνυν ὥσπερ λέων ... θοινώμενος, ἢ σπαράττων τοῖς ὀδοῦσι καὶ κατατέμνων τοῖς ὄνυξιν ‖ **28–29** ἐσχάτους – ἐπιθανατίους: I Cor. 4,9 ἡμᾶς τοὺς ἀποστόλους ἐσχάτους ἀπέδειξεν ὡς ἐπιθανατίους ‖ **32** χείλεα – ἐδίηνεν[2]: Hom. Il. 22,495 χείλεα μέν τ' ἐδίην', ὑπερῴην δ' οὐκ ἐδίηνε ‖ **37–40** ὑμεῖς – σάλπιγγι: cf. Josue 6,1–17 Ιεριχω συγκεκλεισμένη καὶ ὠχυρωμένη ... καὶ ἔσται ὡς ἂν σαλπίσητε τῇ σάλπιγγι, ... πεσεῖται αὐτόματα τὰ τείχη τῆς πόλεως etc.

26–27 θοινώμενοι corr. K-D: θοινούμενοι B ‖ **36** εἴην addidi: corruptionem indic. Diam 304 ‖ **41** μελιτῶδες corr. K-D: μελιττῶδες B ‖ **43** ἀντιστρέψαι corr. K-D: ἀντιστρέψας B

79. ⟨Τῷ καίσαρι Ἰωάννῃ τῷ Δούκᾳ⟩

K-D 256 [Taf1], Taf1 74 [P], PG2 74 [Taf1]

Ἦν ὅτε ποθεινὸς ἦν τῷ μεγάλῳ δεσπότῃ μου τῷ καίσαρι, καί μοι προσεῖχε τὸν νοῦν καὶ λέγοντι καὶ συγγράφοντι καὶ τὰς ἐπιστολὰς περὶ πλείονος ἐτίθει σπουδῆς, καὶ συγγράμματα ἐν βιβλίοις ἀπεθησαύριζε, καὶ ὅ τι εἴποιμι, ὅ τι ἐνθυμηθείην, ὅ τι ψιλῶς ἐννοήσαιμι ἠσπάζετό τε καὶ περιείχετο. 5

Νῦν δέ μοι καὶ τὸ εὐτύχημα τοῦτο μετὰ τῶν ἄλλων ἀφῄρηται. Κἀμοὶ μὲν ἴσως οὐ παντάπασιν οἱ λόγοι κατεμαράνθησαν, σὺ δέ μοι πρὸ τῆς παρακμῆς τὴν ἰσχὺν τῆς ἀγάπης κατέβαλες. Καὶ τούς τε διαλόγους ἡμῖν ἐσμίκρυνας, καὶ ἀπροσαύδητον ἀφεὶς τῆς πόλεως ἐξελήλυθας, οὔτε τὴν χεῖρα ἐπιβαλών, οὔτε πόρρωθεν 10 ἐγκραγών. Οὕτω μοι εἰς τοὐναντίον τὰ πρότερα καλὰ συνερρύηκεν· οὕτως ἐγὼ μετὰ τῶν ἄλλων λαμπρῶν καὶ τὸ κεφάλαιον τῆς λαμπρότητος, τὸν καίσαρα, ἀπολώλεκα. Καὶ οὐδὲ οἶδα εἴ ποτε αὖθις ἴδοιμι, ἢ ὁμιλήσαιμι, ἢ ἑτέραν πέμψω ἐπιστολὴν ἢ ἀμοιβαίαν δέξομαι τῆς πεμφθείσης· βουλοίμην γὰρ (εἴ γε καὶ 15

1 ἦν – καίσαρι: cf. Synes. Cyren. Epist. 81,11 ἦν ὅτε κἀγὼ φίλοις ὄφελος ἦν **2–4** τὰς – ἀπεθησαύριζε: cf. Π 59,10 σὺ (scil. Ioannes Ducas) μὲν τὰς ἐμὰς ἐπιστολὰς βιβλία ποιεῖς ‖ **11–12** εἰς – συνερρύηκεν: cf. proverbium CPG II 474 (nr. 60) καὶ τὸ ἄμεινον εἰς τοὐναντίον ἀποτελευτᾷ ‖ **15–16** βουλοίμην – δυναίμην: cf. Synes. Cyren. Epist. 95,62–63 οὐδ' ἂν εἰ δυναίμην βουλοίμην, πάντως δὲ οὐδ' ἂν εἰ βουλοίμην δυναίμην. cf. etiam Psel. Χρονογραφία VI,171 οὐδ' εἰ πάνυ βουλοίμην, τοῦτο δυναίμην ἄν, Σελέντιον δημηγορηθὲν παρὰ βασιλέως κῦρ Μιχαὴλ τοῦ Δούκα = Or. min. 3,85 βουλοίμην μέν, εἴ γε δυναίμην, Ἑρμηνεία εἰς τὸ ῥητὸν τῆς Κλίμακος = Theol. I 30,7 οὔτε βουλοίμην εἰπεῖν, οὔτ' εἰ βουλοίμην, δυναίμην ἄν, Π 23,69 ὃ βουλοίμην, οὐ δῆτα δὴ καὶ δυναίμην, Π 30,1 βουλοίμην ἂν καὶ πάνυ βουλοίμην (εἴ γε δυναίμην), Π 99,26 εἴ γε δυναίμην, βουλοίμην δέ, Π 111,19–20 οὔτε δυναίμην ἂν εἴ γε βουλοίμην, οὔτε βουλοίμην εἴ γε δυναίμην, Π 200,34–37 σὺ μὲν γὰρ καὶ βούλοιο ἅμα καὶ δύναιο· ἐγὼ δὲ βουλοίμην μὲν (καὶ μάρτυς ἐπὶ τῷ λόγῳ θεός), δυναίμην δ' οὐ πάνυ, ἀλλ' ἔλαττον ἢ βουλοίμην· εἰ δὲ γενναίως βουλοίμην, πάντως δ' ἂν καὶ δυναίμην, Π 292,5–6 βουλοίμην ἂν (εἴ γε καὶ δυναίμην), et Π 514,1–2 βουλοίμην ἂν … (εἴ γε δυναίμην)

ep. 79 P 257v (des. mut.); tit. scripsi: ⟨τῷ καίσαρι τῷ Δούκᾳ?⟩ K-D **9** ἀπροσαύδητον P (cf. Boi 284 n. 5): ἀπροσόδευτον Taf1 K-D ‖ **13** ἀπολώλεκα corr. K-D: ἀπώλεκα (more byzantino?) P Taf1 | οὐδὲ P corr. K-D: οὐδὲν Taf1

δυναίμην) ἐπ’ ἐμαυτοῦ ζῆσαί ποτε, καὶ εἴσω τῶν περιρραντηρίων γενέσθαι, ἢ καὶ αὐτοῦ παρὰ τοῖς ἀδύτοις καταπετάσμασιν.

Εἰ μὲν οὖν οὕτως βιῴην, καὶ ἀγαπῴην ἂν καὶ πάνυ μὲν οὖν. Εἰ δ’ οὖν, σὺ μὲν καὶ αὖθις ὑποκνίσεις μοι τὰς ἐρωτικὰς φροντίδας
20 καὶ ἀποστραφήσῃ, ἐγὼ δὲ ἕξομαι καὶ ἀνθέξομαι καὶ θέλοντος καὶ μὴ θέλοντος, καὶ ἐπιστελῶ πολλὰς καὶ πολλάκις, καὶ ἐπαινέσομαι, καὶ θαυμάσομαί σε καὶ πάλιν ὥσπερ εἰώθειν τοῦ παγίου φρονήματος καὶ τῆς ἄκρας συνέσεως, ἢ τῆς ἁπλουστάτης [...

16–17 εἴσω – γενέσθαι: cf. Philo Περὶ τῶν Χερουβίμ 95–96 ἄχρι τῶν ἀδύτων ... ἔξω περιρραντηρίων cum Greg. Nys. Εἰς τὴν προσευχήν, Λόγος γ′ 246,1–2 ἐπειδὰν εἰς τὸ ἄδυτον εἰσάγῃ προσευξόμενον τῷ θεῷ τὸν ἱερέα, πρῶτον μὲν καθαρσίοις τισὶ καὶ περιρραντισμοῖς ἀφαγνίζει τὸν εἰσιόντα et etiam Elias (olim David) In Cat. 121,8–9 τὰ μὲν περιρραντηρίοις καὶ θειώσεσιν ἔοικε, τὰ δὲ προτελείοις καὶ αὐταῖς ταῖς μυήσεσι. cf. Psel. Χρονογραφία VI,45 ἡ πρόδρομος χάρις τῆς γλώττης προτέλεια ἐκείνῳ καὶ περιρραντία τῶν ἐμῶν ἀδύτων ἐγένετο, Psel. Περὶ χαρακτήρων συγγραμμάτων τινῶν 49,21–23 ἐπὶ τῶν τελετῶν· ἐκεῖ μὲν γὰρ τὰ προτέλεια καὶ τὰ περιρραντήρια πρότερον, εἶτα τὸ ἐς τὰ ἄδυτα διαβῆναι, et Π 134,67–68 ἁγνεύθητι πρότερον, εἶτα μυήθητι· περιρραντίσθητι, καὶ οὕτως ἐντὸς τοῦ ἀδύτου γενοῦ, et etiam Π 275,25–26 οὐδὲ περιρραντηρίων ἢ καθαρσίων ἠξίωται. cf. etiam Psel. Πρὸς τὸν πατριάρχην κῦρ Μιχαὴλ περὶ τοῦ ὅπως ποιητέον χρυσόν 32,19–21

19 ὑποκνίσεις corr. K-D: ὑποκνήσεις P Taf[1] ‖ **22** τοῦ corr. K-D: καὶ P Taf[1]
23 post ἁπλουστάτης quattuor folia ceciderunt, itaque epistulae finis deest in P

XVIII. Κωνσταντῖνος Δούκας (a. 1006 – 22/23.V.1067)
βασιλεύς (23/24.XI.1059 – 22/23.V.1067)

80. Τῷ βασιλεῖ κῦρ Κωνσταντίνῳ τῷ Δούκᾳ

S 74 [P], H-M 61, Cre 17 [H]

Τῇ νοητῇ ἀμπέλῳ, τῷ μεγάλῳ δεσπότῃ μου, βότρυας ἀπέστειλα δύο, γλεύκους ἔτι μεστούς· καὶ γένοιό μοι μὴ ἄμπελος μόνον, ἀλλὰ καὶ ἀναδενδρὰς εἰς ὕψος ἠρμένη, καὶ βρύων μὲν ἄνθεσι, βρύων δὲ κάλλεσι, βρύων δὲ χάρισι.

XVIII cf. Psel. Χρονογραφία VII,93–121 (VIIa,1–29), Ἐπαναγνωστικὸν ὡς ἀπὸ τοῦ αὐτοκράτορος τοῦ Δούκα κῦρ Κωνσταντίνου = Or. min. 5, Τῷ αὐτῷ (scil. τῷ βασιλεῖ τῷ Κομνηνῷ) = Or. pan. 9, Τῷ αὐτῷ (scil. τῷ βασιλεῖ τῷ Κομνηνῷ) = Or. pan. 10, Δημηγορία εἰς τὸν βασιλέα τὸν Δούκαν = Or. pan. 14, et Π 2,7, Π 19,6, Π 28,39, Π 43,5, Π 49,3–4, Π 51,27–28, Π 52,16, Π 53,35, Π 55,9, Π 56,4–5, Π 66,63–64, Π 89,117, Π 90,8, Π 101,23, Π 102,14–15, Π 117,77, Π 157,60–61, Π 168,28, Π 178,6, Π 189,36–37, Π 190,16, Π 214,48, Π 217,26–27, Π 218,13, Π 225,2–3, Π 236,10, Π 262,10, Π 268,15, Π 269,45–46, Π 270,15, Π 271,5, Π 276,16, Π 291,7, Π 296,5, Π 308,4–5, Π 345,7, Π 375,15, et Π 401,36. cf. etiam Polemis 1968,28–34 ‖ **1** τῇ νοητῇ ἀμπέλῳ: cf. Ioann. 15,1 sqq. ἐγώ εἰμι ἡ ἄμπελος ἡ ἀληθινὴ etc. cum Osee 10,1 ἄμπελος εὐκληματοῦσα Ισραηλ, ὁ καρπὸς αὐτῆς εὐθηνῶν. cf. Psel. Ἐγκωμιαστικὸς εἰς ... Μιχαὴλ τὸν Κηρουλλάριον = Or. fun. I 1,14,9–10, Ἀπόδειξις ... τῆς τοῦ κυρίου ἐνσωματώσεως ... πρὸς τὸν σουλτᾶνον ἀπὸ τοῦ βασιλέως = Theol. II 3,27, et Π 156,6 et Π 148,9. cf. etiam ⟨Τῷ ... Κομνηνῷ⟩ = Or. pan. 10,48–50 καὶ «εὐκληματοῦσα» μέν σου «ἡ ἄμπελος», οἱ δὲ βότρυες ὡραῖοι ξύμπαντες καὶ οἱ ὄμφακες καὶ οἱ περκάζοντες

ep. 80 L 53v, P 206r, H 46v, c[1] 291r, r fasc. 20 (= H); tit. L: ⟨Τῷ βασιλεῖ κῦρ Κωνσταντίνῳ τῷ Δούκᾳ?⟩ S om. P H Cre τοῦ ὑπερτίμου προέδρου τῶν φιλοσόφων κῦρ Μιχαὴλ τοῦ Ψελλοῦ c[1] ⟨ad Michaelem Ducam⟩ H-M **2** μόνον P H c[1] S Cre: μόνη L ‖ **3** ἠρμένη P H c[1] S Cre: ἠρμένος L ‖ **4** χάρισι L H c[1] Cre: χάρισιν P S

81. Τῷ αὐτῷ

Τῷ βασιλεῖ κῦρ Κωνσταντίνῳ τῷ Δούκᾳ

S 48 [P], H-M 60, Cre 16 [H]

Πάλιν ὁ δοῦλος σου δεξιοῦμαί σε, τὸν δεσπότην μου καὶ βασιλέα, τρισὶ λευκοσκάροις. Ὁ δὲ ἀριθμὸς μυστικός, καὶ θεῖον τὸ ὄνομα· τό τε λευκὸν τοῦ ἰχθύος ἐκφαντικὸν τῆς σῆς καθαρότητος. Ἀλλὰ καὶ ὁ σκάρος μόνος τῶν ἰχθύων λαλίστατος· καὶ ἔστιν ὡσανεὶ 5 ἰχθὺς μουσικός, σύμβολον καὶ οὗτος τῆς σῆς εὐστρόφου γλώττης καὶ μουσικῆς.

Σώζοι μὲν οὖν σε ἡ τριάς· καταυγάζοι δέ σε ἡ λευκότης τῶν ἀρετῶν· εἴης δὲ καὶ τῇ γλώττῃ τὰ θεῖα φθεγγόμενος, χρηστότατε καὶ ἐπιεικέστατε βασιλεῦ.

82. Τῷ αὐτῷ

Τῷ βασιλεῖ κῦρ Κωνσταντίνῳ τῷ Δούκᾳ. eodem tempore ut Π 153 [vid. epistolarum ordinem in codd. L, P, et H]?

S 52 [P], H-M 60 [P], Cre 27 [H], Mai 27 [v[1]]

Ὡς μὲν ἄρτῳ σοι ζωῆς καὶ θέσει θεῷ, τὸν ἄρτον προσάγω· τὸν δὲ

4 ὁ – λαλίστατος: cf. Psel. Συλλογαὶ διάφοροι καὶ ποικίλαι = Phil. min. II 13 (56,22–24) καὶ οἱ σκάροι φωνεῖν δοκοῦσιν, ὅτι τῷ στόματι ὕδωρ δεχόμενοι ἐξωθοῦσιν αὐτὸ μετὰ ῥοίζων καὶ ἦχον ἀποτελοῦσιν, οὐ μὴν δὲ καὶ ἐν τῷ βάθει cum Ioann. Philop. In De an. 378,18–22 et Π 506,15–16 ‖ **1** ἄρτῳ – ζωῆς: Ioann. 6,35 et 48 ἐγώ εἰμι ὁ ἄρτος τῆς ζωῆς, cf. Psel. Σελέντιον ἐκφωνηθὲν ἐπὶ τῶν ἡμερῶν τῆς βασιλίσσης κυρᾶς Θεοδώρας = Or. min. 1,17 et ⟨Explicatio trium locorum novi testamenti (Ioann. 21,7; Mt. 3,4; Ioann. 21,9)⟩ = Theol. I 17,45 et Π 155,11

ep. 81 L 53v, P 200v, Y 117v–118r, H 46v, a[6] 369r–370v, r fasc. 20 (= H); tit. L: ⟨τῷ βασιλεῖ Κωνσταντίνῳ τῷ Δούκᾳ⟩ S τοῦ αὐτοῦ Y om. P H a[6] Cre ⟨ad Michaelem Ducam⟩ H-M ‖ **1** ὁ – σου L Y H a[6] Cre: om. P S H-M | μου om. a[6] **2** μυστικός L P H a[6] S H-M Cre: μουσικός Y ‖ **3** τε P Y H a[6] S H-M Cre: δὲ L **5** καὶ οὗτος L P H S H-M Cre: οὗτος Y τὲ οὗτος a[6] ‖ **ep. 82** L 53v, P 201r, Y 118r, H 50v, v[1] 95r (in collectione epistolarum selectarum), r fasc. 20 (= H); tit. L: ⟨τῷ βασιλεῖ κῦρ Κωνσταντίνῳ τῷ Δούκᾳ?⟩ S τοῦ αὐτοῦ Y om. P H v[1] Cre ⟨ad Michaelem Ducam⟩ H-M deest in Mai (anepigrapha in collectione epistolarum Nicetae Paneuphemi magistri)

οἶνον, ὡς ἀληθεῖ βασιλεῖ καὶ καρδίας σκυθρωπαζούσας εὐφραίνοντι· ὡς δὲ θνητῷ, τὴν ὀπώραν διὰ τὸ φύσει εὐμάραντον.
Ἀλλὰ σύ μοι μένοις ἀείζωος, κόσμε κόσμου, καὶ κράτος κράτους, καὶ λαμπρὸν βασιλείας διάδημα. 5

83. Τῷ βασιλεῖ ⟨κῦρ Κωνσταντίνῳ⟩ τῷ Δούκᾳ

S 104 [P], H-M 61–62 [P]

Τῷ ἀηττήτῳ καὶ ὑπερμεγέθει, καὶ φοβερῷ τὴν ἠχὴν λέοντι, τῷ βασιλεῖ καὶ δεσπότῃ μου, ἰχθύας ἀφώνους ὁ δοῦλός σου πέπομφα· τῷ μόνῳ καὶ ἑνὶ καὶ μονάρχῃ, τέσσαρας, ἵνα καὶ τῶν τεσσάρων ἄρξῃς τῆς οἰκουμένης μερῶν· οἱ δὲ ἰχθύες, καὶ ποτάμιοι καὶ θαλάσσιοι, ἵνα καὶ θαλάσσης συμπάσης βασιλεύσῃς, καὶ ποταμῶν· 5 ἀπὸ δὲ τῶν καθαρῶν τὸ δῶρον, ἵνα ἀναιμάκτως· καὶ λευκοὶ τὴν κλῆσιν, ἵνα καὶ ὁ λόγος ἀληθὴς ᾖ.
Ὁρᾷς τὰ σύμβολα; Ὁρᾷς τὰ σημεῖα σαφῆ; Καὶ φάγοι μὲν αὐτὰ λέων, συμφάγοι δὲ καὶ σκῦμνος λέοντος, καὶ πρὸ τούτου ἡ λέαινα. Ἀλλ’ ἑρμήνευσον τῇ δεσποίνῃ τὸ ὄνομα, ἵνα μὴ κακίσοι 10

6–7 λευκοὶ – ᾖ: cf. Proc. Gaz. Εἰς τὰ ᾄσματα τῶν ᾀσμάτων ἐξηγητικῶν ἐκλογῶν ἐπιτομή PG 87,2 1692,9 Ὠριγένους … λευκός, ἐπειδὴ ὁ Θεὸς ἀληθινός. cf. Π 369,5 τὸ δὲ σὸν οὐ πάντῃ λευκόν ‖ **9** σκῦμνος λέοντος: Michaelem VII Ducam significat? cf. Gen. 49,9 σκύμνος λέοντος Ιουδα etc. ‖ **10** τῇ δεσποίνῃ: Eudocia Macrembolitissa (Π XXXVII)

2 ἀληθῶς S | βασιλεῖ L P H v[1] S Cre Mai H-M: θεῷ καὶ βασιλεῖ Y σκυθρωπαζούσας L P Y H S Cre H-M: σκυθρωπαζομένας v[1] Mai ‖ **5** βασιλέως Cre ‖ **ep. 83** L 76r, P 212r, Y 117v, A 40v, a[6] 369r; tit. scripsi: τῷ βασιλεῖ τῷ Δούκᾳ L πρὸς τὸν βασιλέα τὸν Δούκαν P τοῦ αὐτοῦ Y πρὸς Λέοντα τὸν βασιλέα A τοῦ Ψελοῦ a[6] ⟨ad Michaelem Ducam⟩ H-M ‖ **1** τὴν ἠχὴν L P Y A S H-M: τῷ ἀρχὴν a[6] ‖ **3** μονάρχῃ P Y A a[6] S H-M: μονάρχῳ L | τέσσαρας P Y a[6] S H-M: τέτταρας L A | ἵνα L P Y a[6] S H-M: ἴσως A ‖ **4** ἄρξῃς L P Y S H-M: κρατήσῃς A | ἄρξῃς – οἰκουμένης L P A S H-M: τῆς οἰκουμένης ἄρξῃς Y a[6] **5** ἵνα L P Y S H-M: ἴσως A | συμπάσης L P A S H-M: πάσης Y a[6] **6** ἀναιμάκτως L P Y A S H-M: ἀναιμάκτως βασιλεύσῃς ἀπὸ κοινοῦ a[6] ‖ **7** ἵνα L P Y a[6] S H-M: ἴσως A | καὶ – ᾖ L P A S H-M: ἀληθὴς ὁ λόγος ᾖ Y a[6] ‖ **8** μὲν L P Y A S H-M: om. a[6] ‖ **9** σκῦμνος L P A S H-M: σκύμνοι Y a[6] | πρὸ τούτου L A: πρὸς τούτῳ P S H-M πρὸ τούτων Y a[6] ‖ **10** ἵνα L P A S H-M: ὅπως Y a[6] κακίσοι L P S H-M: κακίσῃ Y a[6] A

τὸν λόγον, ἣν ἀντὶ πάντων καὶ ὑπὲρ πάντων ἐκτησάμην ἐγὼ εὐεργέτιν καὶ βασιλίδα, (εἴπω καὶ τὸ ἀπόρρητον;) καὶ ἀνεψιάν· εἰ δὲ τολμηρὰ ἡ φωνή, τέμε τὴν γλῶσσαν ἡ τῶν ἐμῶν λόγων τομή, ὁ μόνος μοι τὸ στόμα ἐμφράξας, μᾶλλον δὲ τὸ τῆς ἐμῆς καρδίας
15 ἐμμουσότατον θέλγητρον.

84. Τῷ βασιλεῖ ⟨κῦρ Κωνσταντίνῳ τῷ Δούκᾳ⟩

eodem tempore ut Π 155 et Π 156 [vid. epistolarum ordinem in H]?

S 137 [P], H-M 61 [P], Cre 22 [H]

Εἴθε ἀμβροσίας εὐπόρουν, εἴθε νέκταρος, εἴθε τινὸς ἄλλου βρώματος ἢ πόματος ἀθανάτου, δέσποτά μου καὶ βασιλεῦ, ὡς ἂν αὐτό σοι τὸ ἀθάνατον βρῶμα παρέθηκα, καὶ αὐτήν σοι τὴν ἀθάνατον πόσιν ἐκέρασα. Ἐπεὶ δὲ κέκρυπται ἀφ' ἡμῶν ἡ
5 ἀθάνατος λεγομένη πηγή, καὶ τὸ τῆς ζωῆς ξῦλον, καὶ «γενεὰ

12 εἴπω – ἀπόρρητον: Liban. Declam. 33,1,21 εἴπω τι τῶν ἀπορρήτων; et 34,2,19 εἴπω τι, βούλεσθε, τῶν ἀπορρήτων; cf. Psel. Σελέντιον ἐκφωνηθὲν ἐπὶ τῶν ἡμερῶν τῆς βασιλίσσης κυρᾶς Θεοδώρας = Or. min. 1,65, Εἰς τὸν ... Κωνσταντῖνον τὸν Μονομάχον = Or. pan. 6,191, et Π 385,13–14. cf. etiam Π 210,100 |καὶ ἀνεψιάν: cf. Psel. Χρονογραφία VII,125 (= VIIb,4) ἐγὼ γὰρ ταῦτα συγγράφων ἦν δὲ ἀδελφὸς τοῦ ἐκείνης [scil. Eudociae] πατρὸς ἐκ πνευματικῆς διαθέσεως et Π 157,50–52 θεῖός εἰμι, ὃ τῆς κατὰ σάρκα συγγενείας ὑψηλότερον καὶ αἰδεσιμώτερον· καὶ σύ με πọλλάκις τῷ ὀνόματι τούτῳ ἐσέμνους ‖ **4–5** ἡ – πηγή: cf. e.g. Φυσιολόγος (redactio tertia, pseudo-Basiliana) 15,25–26 ζήτησον οὖν τὴν ἀθάνατον πηγήν, τὸν Κύριον ἡμῶν Ἰησοῦν Χριστόν et Sym. Neotheol. Or. eth. 2,1,25–26 δεῦτε οἱ διψῶντες πρὸς τὴν ἀέναον πηγὴν καὶ ἀθάνατον ‖ **5** τὸ – ξῦλον: Gen. 2,9 τὸ ξύλον τῆς ζωῆς ἐν μέσῳ τῷ παραδείσῳ etc., locus in Psello saepe laudatus; cf. e.g. Psel. Τί ἐστι τὸ ξύλον τῆς ζωῆς καὶ τὸ ξύλον τῆς γνώσεως; = Theol. II 20 et Π 3,15, Π 127,22, Π 154,3, Π 162,28, Π 504,11–12

11 ἣν – ἐγὼ L P A S H-M: ἣν ὑπὲρ πάντων καὶ ἀντὶ πάντων ἐγὼ ἐκτησάμην Y ἥνπερ πρὸ πάντων καὶ ἀντὶ πάντων ἐγὼ ἐκτησάμην a6 ‖ **12** εὐεργέτιν L A Y a6: καὶ εὐεργέτιν P S H-M | εἴπω καὶ P A S H-M: εἴπω L a6 εἴτω Y | τὸ ἀπόρρητον : ἢ τὸ μὴ ἄξιον ῥηθῆναι supra lineam a6 | εἰ : ἡ a6 ‖ **13** φωνή : φύσις a6 | τέμε L P A S H-M: τέμνε Y a6 | γλῶσσαν L A: γλῶτταν P Y a6 S H-M **15** ἐμμουσότατον L P A S H-M: εὐμουσότατον Y a6 ‖ **ep. 84** P 219v, B 177r, H 47v, r fasc. 20 (= H); tit. scripsi: τῷ βασιλεῖ B om. P H Cre πρὸς τὸν βασιλέα S ⟨ad Michaelem Ducam⟩ H-M ‖ **2** μου om. H-M

πορεύεται, καὶ γενεὰ ἔρχεται, ἡ δὲ γῆ εἰς τὸν αἰῶνα μένει» κατὰ τὸν τοῦ Ἐκκλησιαστοῦ λόγον, αὐτά σοι τῶν ἐπὶ γῆς τὰ κάλλιστα καὶ ἀναγκαιότατα πέπομφα: ἐκ λειμώνων ὀπώραν, ἐξ ἀμπέλου ἡδίστης οἶνον, ἄρτον ἐκ γενναίας αὔλακος, οἷς τὸ πρῶτον ἡ φύσις ἡμῶν ἀπετρέφετο· λιτὰ πάντα καὶ βραχέα καὶ εὐτελῆ, καὶ 10 βασιλείας μὲν ὕψει καὶ μεγέθει ἀπεοικότα, τῇ δὲ σῇ φύσει κατάλληλα τῇ ὄντως φιλοσόφῳ καὶ μετρίᾳ καὶ ἀγαθῇ, καὶ δι᾽ ἣν πάντων κεκράτηκας.

Φάγοις οὖν καὶ πίοις αὐτῶν ὁ ἐμὸς βασιλεύς, (εἴπω τι καὶ τολμήσας;) καὶ ἐμὸς θεός· καί σοι γένοιτο καὶ ἡ τροφὴ καὶ ἡ πόσις 15 εἰς ἀνάδοσιν ὑγείας καὶ ζωῆς πλείονος.

85. ⟨Τῷ βασιλεῖ κῦρ Κωνσταντίνῳ τῷ Δούκᾳ⟩

K-D 202 [O]

Οὐ φέρω σου τὸν πλοῦτον τῆς ἀγαθότητος, οὐδὲ τὸ μέτρον τῶν σῶν εὐεργεσιῶν ἀχθοφορῆσαι δεδύνημαι· πλήρης ὁ κρατήρ, μᾶλλον δὲ καὶ ὑπερχειλής.

Ἐπελάφρυνον οὖν μοι τὰ τῶν σῶν χαρίτων φορτία, καὶ μετένεγκέ τι τοῦ βάρους τῶν εὐεργετημάτων πρὸς τὸν βεστάρχην 5 Ἀναστάσιον, τὸν Λίζικα, ὃν ἶσα υἱῷ καὶ στέργω καὶ περιέπω. Καὶ

6 γενεὰ – μένει: Eccl. 1,4 γενεὰ πορεύεται καὶ γενεὰ ἔρχεται, καὶ ἡ γῆ εἰς τὸν αἰῶνα ἕστηκεν ‖ **11** βασιλείας – μεγέθει: cf. Psel. Λόγος προσφωνηματικὸς πρὸς … Μιχαὴλ τὸν Δούκαν = Or. pan. 13,23–25 σὺ μόνος, θειότατε βασιλεῦ, ὑπὲρ φύσιν καὶ λόγον δύο ἐναντία συνήνωσας πράγματα, βασίλειον ὕψος καὶ μέγεθος καὶ μέτριον ὡς ἀληθῶς φρόνημα et Π 174,26 τοῦ τῆς βασιλείας μεγέθους καὶ ὕψους ‖ **5–6** πρὸς – Λίζικα: Anastasius Lizix († ca. a. 1060 [Sideras 1994,135–136]; ca. a. 1070 prop. Gautier 1978,86–91]), nepos Nicolai Scleri (Π LVII), πατρίκιος et βεστάρχης, de quo Psel. Ἐπιτάφιος εἰς ⟨Ἀναστάσιον⟩ = Or. fun. I 8, et Π 36,1, Π 150,1, Π 207,24, Π 261,16, Π 263,3, Π 272,90

6 ἡ – γῆ B H: ἡ δ[ca. 8 litt.] lacunam indicavit P ἡ δὲ γῆ suppl. H-M ὁ δ᾽ S **8** πέπομφα P H S H-M in marg. B (All): ἐκπέπομφα B ‖ **15** τολμήσω S τολμηροτέρως H-M τολμηρῶς Mil 271 | καὶ[2] P H S H-M: om. B ‖ **16** ὑγείας H-M ‖ **ep. 85** O 202r; tit. scripsi: ⟨τῷ βασιλεῖ⟩ K-D

ἡ τοῦ Μηδικίου δωρεὰ ἀπὸ τοῦ ἐμοῦ προσώπου εἰς τὸ ἐκείνου μεταπλασθήτω, ὡς ἂν γνῷ καὶ οὗτος, οἷα τὰ παρὰ τῆς σῆς δεσποτικῆς χειρὸς ἐπιφορτιζόμενα ἡμῖν ἄχθη, ὡς εὐπετῆ καὶ κοῦφα, καὶ
10 ἐπιρρωννύντα μᾶλλον ἢ δαπανῶντα τοῦ ἀχθοφοροῦντος τὴν δύναμιν.

86. Πρὸς τὸν βασιλέα ⟨κῦρ Κωνσταντῖνον⟩ τὸν Δούκαν

K-D 29 [L]

Ὁρᾷς ὅπως κατατολμῶ σου, θειότατε βασιλεῦ, καὶ οὔτε σου τὸν ὑπερφαῆ κύκλον δέδοικα, οὔτε σου τὸ μέγεθος τῆς ψυχῆς πέφρικα, ἀλλὰ πολλάκις σοι δημηγόρος ἐφέστηκα; εἰ γὰρ καὶ καταπλήττεις τῷ ἀπαραμίλλῳ κάλλει τῶν ἀρετῶν, ἀλλ' ὡς θεὸς
5 εὐμενὴς καὶ ἵλεως ἕστηκας· καί σοῦ τις, δειλιῶν τὸ τῆς λαμπηδόνος ὑπερφυές, καὶ ἀτεχνῶς μύων τὰ ὄμματα, θαρρεῖ πως τὴν ἐπιείκειαν. Αὕτη γοῦν κἀμὲ πολλάκις δημηγόρον ποιεῖ· καὶ ὑποχωροῦντα ἐφέλκεται· καὶ ὑποστελλόμενον ἠρέμα ἐπάγεται.

Δύο γοῦν ἐπὶ σοὶ ἀπέραντα κατανενόηκα πέρατα: ὕψος καὶ
10 βάθος· τὸ μὲν φρονήσεως, τὸ δὲ ταπεινώσεως. Ἀλλ' ὅτε μὲν εἰς τὸ ὕψος ἀνανεύσω τὴν κεφαλήν, ἰλιγγιῶ καὶ σκοτοδινιῶ, καὶ οὐκ ἔχω πῶς ἂν ἐνατενίσω σου τῷ ἀπείρῳ φωτί. Ὅταν δὲ εἰς τὸ βάθος τῆς σῆς μετριοφροσύνης ἐγκύψω ὥσπερ εἰς ἀχανὲς πέλαγος, μικροῦ δεῖν ἐξίσταμαι τῶν φρενῶν καὶ οὐκ ἔχω, πῶς ἂν ἐμαυτὸν ἐπιστη-
15 ρίξω, ἵνα σου θεάσωμαι τὰ ἀθέατα. Ὢ ἀρρήτου συγκράσεως! Ὢ εὐμελοῦς τῶν ἐναντίων μίξεως! Ἐξήτασαι μετὰ ἀγγέλων ταῖς τῶν ἀρετῶν ἀστραπαῖς, καὶ τεθέασαι μετὰ ἀνθρώπων τῷ ἀλύπῳ τῶν

7 τοῦ Μηδικίου: cf. Janin 1975,165–168 et Mango–Ševčenko 1973,240–242 et Π 91,8–9, Π 243,22, Π 258,1, Π 349,18, Π 350,1–2, et Π 360,44–45 ‖ **9** ὡς – κοῦφα: cf. Psel. Ἑτέρα λύσις προφητικῆς ῥήσεως = Theol. I 39,47–48 αἱ γεώδεις ἐπιθυμίαι ... κοῦφαι δοκοῦσαι καὶ εὐπετεῖς

7 τὸ ἐκείνου O corr. Diam 304: τὸν ἐκεῖνον K-D ‖ **ep. 86** L 11v–12r; tit. scripsi: τοῦ αὐτοῦ πρὸς τὸν βασιλέα τὸν Δούκαν L [τοῦ αὐτοῦ] πρὸς τὸν βασιλέα τὸν Δούκαν K-D ‖ **12** ἐνατενίσω corr. K-D: ἐνατενίσαί L ‖ **14–15** ἐπιστηρίξω L corr. Diam 303: ἐπιστηρίζω K-D

σῶν ἠθῶν καὶ ἡμέρῳ χρήματι. Ἕστηκας ὥσπερ ἐν κέντρῳ τοῖς ἀνακτορικοῖς σημείοις, καὶ τὸν πάντα κύκλον περιοδεύεις τῆς οἰκουμένης. Ἵστασαι τοῖς Ἄραψιν ἀντιπρόσωπος· πρὸς τὴν 20 Περσικὴν ἠγώνισαι δύναμιν· ἀναστέλλεις τὸ βάρβαρον θράσος. Εἶτα δὴ πρὸς τὴν ἑσπέραν χωρεῖς, ἢ μᾶλλον ἐν ταὐτῷ καὶ περιπλεῖς τὸν Εὐφράτην, καὶ παραπλεῖς ἀμεταθέτως τὸν Ἴστρον. Ὦ βραχιόνων ὑψηλῶν καὶ στερρῶν! Ὦ μεγέθους ἀπείρου φύσεως! Ἥνωσαι τῷ θεῷ, ταῖς τοῦ νοῦ περιωπαῖς· ἐφάνης ἐπὶ τῆς καθ' 25 ἡμᾶς Πόλεως, τῇ περιγραφῇ τοῦ σώματος· οὐ περιγράφει σε ἡ τοῦ ἡλίου ἀνατολή, ἀλλ' ἔχει καὶ ὁ τῆς ἑσπέρας κύκλος. Καὶ δέδοικε μέν σε ἐν τοῖς ἄκροις ὁ βάρβαρος, θαρροῦμεν δέ σε ἡμεῖς ἐπὶ τῆς μεσότητος. Οὐ λέληθας ἡμᾶς προϊστάμενος ἡμῶν ἀπορρήτοις βουλεύμασι, καὶ τὴν τῶν ὅλων προστασίαν ἀναζωννύμενος. 30 Οἴδαμέν σου τὰ κρύφια σκέμματα· ἐπιστάμεθά σου τὰς ἀπορρήτους βουλάς· (εἴπω τὸ μεῖζον;) καὶ αὗταί σου αἱ νυκτεριναὶ πρὸς θεὸν δεήσεις, ὥσπερ ἀστραπαί τινες, ἔλαμψαν. Καὶ ὅσον λανθάνειν ἐπείγῃ, τοσοῦτόν σε φρυκτωρεῖ θεός, καὶ καταφανῆ πᾶσι καθίστησιν. Ὢ τοῦ θαύματος! Οὔτε τῶν ὑψηλοτέρων ἀφέστηκας, οὔτε τῶν 35 ἐλαττόνων ἠμέληκας· ἀλλ' ἐν ταὐτῷ τοῖς τε ὑπὲρ ἡμῶν ἐντρυφᾷς πόνοις, καὶ συντρυφᾶν ἡμῖν οὐκ ἀπαξιοῖς, ἀλλὰ τὴν ἀσπίδα διὰ τῆς ἀριστερᾶς προβαλλόμενος, διὰ τῆς δεξιᾶς κοινωνεῖς ἡμῖν τοῦ συσσιτίου, καὶ κρατῆρα φιλοφροσύνης ἱστᾷς, ὑπὲρ οὗ χεθήσεταί σοι ἄνωθεν ὁ θεῖος κρατὴρ καὶ οὐράνιος. 40

Καὶ πληρωθείης τῆς νοερᾶς εὐφροσύνης· καὶ συνεστιαθείης θεῷ, πληρούμενος τῆς τε ἀμβροσίας ὁμοῦ καὶ τοῦ νέκταρος.

18–20 ἕστηκας – οἰκουμένης: cf. Psel. Εἰς ... Κωνσταντῖνον τὸν Μονομάχον = Or. pan. 6,247–250 στῆθί μοι ἐν τῇ τοῦ σοῦ ὅρους ἀκρότητι ἔμψυχος ἀνδριὰς καὶ σφυρήλατος, κύκλῳ σε περιάγων τὸν ὀφθαλμὸν καὶ πάντας περιλάμπων τῷ βλέμματι ‖ **22–23** ἐν – Ἴστρον: cf. Π 88,32–33 νῦν μὲν τῷ πρὸς τῷ Εὐφράτῃ πολέμῳ, νῦν δὲ τῷ πρὸς Ἴστρῳ ‖ **25** ἥνωσαι – περιωπαῖς: cf. Psel. Βίος καὶ πολιτεία ... Αὐξεντίου ... = Or. hag. 1a,464–467 ὁ μὲν οὖν μακάριος καὶ τῷ ὄντι ἄνθρωπος τοῦ θεοῦ ἐν τῇ ἀκροτάτῃ τοῦ ὅρους περιωπῇ ὥσπερ ἐπὶ τῆς τῶν ἀρετῶν ἀκρότητος καὶ ὑψηλοτάτης βάσεως ἑστηκώς et Εἰς τὸ 'ἀπ' ἄρτι ὄψεσθε ...' = Theol. I 28,95–98 ἐπειδὰν γάρ τις ἀγγελικὴ τάξις ἢ ἀρχαγγελικὴ καταστραφθεῖσα τὴν φύσιν ταῖς ἄνωθεν θεωρίαις συνεπεκτανθῇ μέχρι πολλοῦ πρὸς τὸ ὕψος τῆς ἀκροτάτης περιωπῆς, αὐτῆς φημι τῆς τριαδικῆς ἑνώσεως καὶ μιᾶς ἀρχῆς. cf. etiam Π 13a,39–40, Π 15,10–11, Π 141,13–14, Π 206,49, et Π 515,15

XIX. ⟨Μιχαὴλ Δούκας⟩ (ca. a. 1050 – ca. a. 1090)
βασιλεύς (IX.1071 – 31.III.1078)

87. ⟨Μιχαὴλ τῷ Δούκᾳ (?)⟩

Ἐπιστολή vel λόγος? cf. Psel. Πρὸς τὸν βασιλέα τὸν Δούκαν = Or. min. 32 [V 285r–v]? a. 1069? eodem tempore ut Π 38 [P 191v–192r] et Προσφώνησις πρὸς τὸν βασιλέα κῦρ Ῥωμανὸν τὸν Διογένην παρὰ τῶν πολιτῶν ἐν κλητορίῳ = Or. pan. 20 [P 192r–v et V 285v–286r]?

K-D 189 [V]

Ἐγώ σε καὶ υἱὸν ὀνομάζω, αὐτὸ δὴ τοῦτο πάλιν, φίλτατέ μοι υἱέ, καὶ τῶν πατρικῶν οὐκ ἐπιλέλησμαί σοι θεσμῶν. Ἀλλ' ἐνίοις μὲν καὶ ἡ φύσις μετήμειπται, ἐμοὶ δὲ ἡ γνώμη εἰς τὸν ἔμφυτον λόγον μεταπεποίηται. Τοσοῦτον δέ σου κρείττων ἐγενόμην τὴν (ἵν'
5 οὕτως εἴποιμι) φυσικὴν ταύτην προαίρεσιν, ὅτι σὺ μὲν δεσπότην με καὶ πατέρα καλεῖς, καὶ ὁπόσα τῶν ὀνομάτων συγγενέστατα ὁμοῦ καὶ σεμνότατα, ἐγὼ δέ σοι τὰς πράξεις τούτων ἐφερμηνεύω, καὶ γλώττῃ χρώμενος, καὶ ψυχῇ καὶ σπουδῇ, εἰ βούλει δὲ καὶ

XIX cf. Psel. Χρονογραφία VII,165–175 (VIIc,1–11), Πρὸς τὸν βασιλέα τὸν Δούκαν = Or. min. 32, Ἔκφρασις ἢ ἀλληγορία = Or. min. 33, Ἔκφρασις εἰς Ἔρωτα ἐγγεγλυμμένον λίθῳ = Or. min. 34, Περὶ τῶν ψαλμῶν πρὸς τὸν βασιλέα κῦριν Μιχαὴλ τὸν Δούκαν καὶ περὶ τῶν ἐπιγραφῶν αὐτῶν καὶ λοιπῶν = Theol. II 1, ⟨Πρὸς τὸν βασιλέα⟩ (scil. ad Michaelem VII Ducam) = Or. pan. 8, Σύνοψις διὰ στίχων σαφῶν καὶ πολιτικῶν περὶ πασῶν τῶν ἐπιστημῶν γενομένη πρὸς τὸν εὐσεβέστατον βασιλέα κῦριν Μιχαὴλ τὸν Δούκαν = Poem. 6, Σύνοψις τῆς ῥητορικῆς διὰ στίχων ὁμοίων πρὸς τὸν αὐτὸν βασιλέα [scil. Mich. Duc.] = Poem. 7, Σύνοψις τῶν νόμων διὰ στίχων ἰάμβων καὶ πολιτικῶν πρὸς τὸν βασιλέα κῦριν Μιχαὴλ τὸν Δούκαν ἐκ προστάξεως τοῦ πατρὸς αὐτοῦ καὶ βασιλέως = Poem. 8, et Λόγος προσφωνηματικὸς πρὸς τὸν κῦρ Μιχαὴλ τὸν Δούκαν = Or. pan. 13; cf. etiam Χρυσόβουλλον τοῦ αὐτοῦ σταλὲν πρὸς τόν Ῥόμπερτον παρὰ τοῦ βασιλέως κυροῦ Μιχαὴλ τοῦ Δούκα = Or. for. 8; Σελέντιον δημηγορηθὲν παρὰ βασιλέως κῦρ Μιχαὴλ τοῦ Δούκα = Or. min. 3, Ἀπόδειξις ἀπὸ διαφόρων λόγων τῆς τοῦ κυρίου ἐνσωματώσεως· ἐστάλη πρὸς τὸν σουλτᾶνον ἀπὸ τοῦ βασιλέως = Theol. II 3, et Π 39,tit., Π 39,43, Π 83,9, Π 135,6–7, et Π 508,28. cf. etiam Polemis 1968,42–46

ep. 87 V 286r–287r, v^{4}435r–437v (= V); tit. scripsi: ⟨υἱῷ πνευματικῷ⟩ K-D

χειρί, ἐπειδὴ δεῖ τοῖς εὐροούσῃ τῇ γλώττῃ χρωμένοις, περὶ ὅτου βούλοιντο, καί τινος ἐντεῦθεν ἐπικουρίας, ἵνα ἡ τοῦ λόγου 10 ὑπόκρισις ὅλον ἀναμάξηται τὸν τύπον τῆς ἀληθείας.

Μὴ οἴου δὲ δευτέρους με περὶ σοῦ ἄθλους ὑφίστασθαι ὧν παρὰ τῶν Ῥωμαίων αὐτὸς ἀναδέδεξαι· κἀγὼ γὰρ ὑφιστῶ σοι φρούρια, καὶ γλώσσας ἀπείργω βαρβαρικάς, καὶ ἀλλοφύλων ἐπιδρομὰς ἀποκρούομαι, καὶ τρόπαιον κατ' ἐκείνων ἐγείρω, ἢ ἀπ' ἐκείνων 15 (εἰπεῖν κάλλιον). Καὶ σὺ μὲν ἴσως τὸ βαρβαρικὸν ἔτι πτοῇ (ζῶσι γὰρ ἔτι αἱ ἀντιπράττουσαί σοι φυλαί), ἐμοὶ δὲ οὐδεὶς ἔτι τῶν πολεμίων ἀντίκειται, πάντων εἰξάντων, ἢ (τό γε θαυμασιώτερον εἰπεῖν) τὴν ἐναντίαν ἑλομένων ζωήν, καὶ συμμάχων ἀθρόον καὶ συμπνόων ἡμῖν γεγονότων, καὶ τὴν αὐτὴν ἀφιέντων φωνήν. 20

Σὺ μὲν οὖν ἴσως ἐβούλου ἀβάσκανά σοι γεγενῆσθαι τὰ πράγματα, καὶ πάντας κροτήσειν ὁμοίως, ἐφ' οἷς κατώρθωκας, καὶ θαυμάσειν τούς τε περὶ τὰ τοιαῦτα κατατετριφότας τὸν βίον, τούς τε νεοτελεῖς, τήν τε στρατηγίαν καὶ τὰ κατορθώματα. Ἀλλ' οὔτε γέγονέ ποτε τοῦτο οἷς τὰ μεγάλα συνηυδόκησεν ὁ θεός, οὔτε 25 τὸν λοιπὸν αἰῶνα γενήσεται· τὸ γὰρ θάτερον προτέρημα ἑκάστῳ τῶν ὁμοίαν ἐσχηκότων τάξιν τοῦ βίου ἐλάττωμα πάντως δοκεῖ· οἷς γὰρ οὐ τὰ αὐτὰ πεποιήκασι, παρὰ τοῦτο, τῶν τὰ μείζω ἐργασαμένων ἠλάττωνται. Τὸ δ' ἐλαττοῦσθαι καὶ κατὰ πάντας μὲν τρόπους οὐδενὶ ἀνεκτόν· εἰ δὲ ὁ μὲν προδραμὼν καὶ τοὺς 30 στεφάνους ἀναδησάμενος ἄρτι προβάλλει τὴν ἄνθην, καὶ ἔτι χλοάζει τὴν κόμην, οὐδὲ μία τε ὑπαργυρίζει αὐτῷ τῶν τριχῶν, ἀλλὰ πᾶσαι ξανθαὶ ἢ μελάντεραι, οἱ δὲ κατόπιν ἐληλυθότες (ἢ μηδὲ τοῦτο) ἔτεσι καταγεγηράκασιν (ἵνα μηδὲν πλέον ἐρῶ), πῶς ἂν οὗτοι τὸν τοῦ στεφανωθέντος ἐπαινέσειαν δρόμον, καὶ ὑψηλολο- 35 γήσαιεν τὰ ἐκείνου πλεονεκτήματα, ὥσπερ καθ' ἑαυτῶν εἰληφότες τὴν γλῶσσαν παρὰ θεοῦ;

Μὴ τοίνυν τοῦτο ἐλάττωμα πλεονεκτημάτων ἡγοῦ, ἀλλὰ προτερημάτων (εἰ δεῖ οὕτως εἰπεῖν) πλεονέκτημα· τὸ γὰρ γλώττας μὴ δεξάμενον ἀντιθέτους δοκεῖ μὲν τὸ ξύμπαν νενικηκέναι, 40 ἔστι δὲ οἷον ἥμισυ κράτος· οἷς γὰρ οὐκ εἰς κρίσιν ἐλήλυθε γεγονός,

9 εὐροούσῃ – γλώττῃ: Philostr. Βίοι σοφιστῶν II,9 (583,26–27) αὐτοσχέδιος γὰρ γλώττης εὐροούσης ἀγώνισμα. cf. Π 393,4

27 τῶν corr. K-D: τὴν V

οὐδὲ διὰ τῶν ἀντιθέσεων ἐδοκιμάσθη, ἐπ' ἔλαττόν ἐστι τῶν οὕτω νενικηκότων. Καὶ ὁ περί τινος δὴ τῇ σοφιστικῇ γλώττῃ χρώμενος εἰ πρὸς ἀντιθέτους ἔχοι, γενναιότερος, ὑπὲρ οὗ προβέβληται,
45 ὦπται· καὶ ὁ λόγος τῷ λόγῳ ἀντικρινόμενος, εἶτα δὴ νικῶν, οὐκ ἐξ ὧν ὁ ἐπαινούμενος ἔπραξε τὸ ἰσχυρὸν ἔχει, ἀλλ' ἀφ' ὧν οἱ ἀντιπεσόντες ἡττήθησαν κεκραταίωται.

Λογίζου οὖν κἀμέ, εἰ μὲν βούλοιο, εὐτυχημάτων κατόρθωμα, εἰ δ' οὖν, κατορθωμάτων εὐτύχημα· γέγονα γάρ σοι ἄμφω, ἢ
50 μᾶλλον, τὸ μὲν αὐτὸς δι' ἐμέ, τὸ δ' ἐγὼ διὰ σέ, καὶ ἅτερος θατέρῳ παρὰ ὕλην καὶ εἶδός ἐσμεν. Καὶ ἵνα σου τελεώτερον καταφιλοσοφήσω, σὺ μὲν ὡς ἀρκοῦσά μοι τῷ δημιουργῷ ὑποβέβλησαι ὕλη, ἐγὼ δ' ἐφέστηκα ὕστερος ῥυθμίζων σε καὶ κοσμῶν, καὶ ἐπιτεχνώμενος ταῖς ποιότησι, καὶ τοῖς εἴδεσι. Καὶ τὸ μὲν δόγμα ἑλληνικόν,
55 ἡμῖν δὲ παντοίως κατάλληλον. Ὥσπερ δὲ αὐτὸς τὴν ἐμὴν γλῶτταν ἐπὶ τοῖς σοῖς ἔργοις εὐτύχηκας, οὕτω δὴ καὶ αὐτὸς τὴν τοῦ βασιλέως ψυχὴν ἐπὶ τοῖς ἐμοῖς λόγοις (πῶς ἂν εἴποιμι;) παρεκέρδησα· ἐγώ τε γὰρ αὐτίκα σοι τὰ εἴδη ἐπέβαλον ἀτακτότερον ἴσως, καὶ ὁ βασιλεὺς ἔτι μοι τὸ εἶδος ἐκόσμησεν (ὥσπερ ὁ Πλατωνικὸς
60 δημιουργὸς παραλαβὼν τὸν κόσμον ἴσως ἀφ' ἑτέρου καὶ πρώτου αἰτίου ὡς ὁ φιλόσοφος οἴεται), κατέστησέ τε τὸ πλημμελὲς καὶ τὸ ἄτακτον εἰς τάξιν μετήγαγεν· εὐθύτατα γὰρ τῷ λόγῳ πρὸς τὸν σκοπὸν τῶν πεπραγμένων χρησάμενος, αὐτίκα τὴν ψῆφον ὑπὲρ σοῦ τέθεικε, καὶ γέγονέ σοι τὰ πράγματα θαυμασιώτερα καὶ
65 λαμπρότερα παρὰ τὸν πεπραχότα σέ, παρὰ τὸν ἐπαινέτην ἐμέ, παρὰ τὸν ψηφισάμενον αὐτοκράτορα. Διισχυρισαίμην δ' ἂν καὶ παρὰ τοὺς ἀντιθέτους· οἷς γὰρ ἀντιτεθείκασιν, ἐμέ τε πλέον περὶ σοῦ κεκινήκασι, καὶ ἡ πρώτη ψῆφος ἐγένετο.

56–57 τοῦ βασιλέως: Romanus IV Diogenes (imperator: 1.I.1068 – a. 1071) (Π XIV)? ‖ **51–62** καὶ ἵνα – μετήγαγεν: cf. Plat. Τίμαιος (e.g. 28a) cum commentariis neoplatonicis et etiam Papaioannou 2013,77–80; cf. Psel. Ἐπιτάφιος εἰς … Ἰωάννην τὸν Ξιφιλῖνον = Or. fun. I 3,22,81–90 et Εἰς τὸ ῥητὸν τῆς πρώτης ὁμιλίας τῆς Ἑξαημέρου … = Theol. I 6,36–38 Πλάτων δὲ ἰδίᾳ παρὰ τοὺς ἄλλους τὰς ἰδέας παρήνεγκε, τὸ παραδειγματικὸν αἴτιον αἰνιττόμενος καί τινα δημιουργὸν δεύτερον μετὰ τὸν πρῶτον θεόν, ὀργάνου δίκην τὰς ὕλας τεκταινόμενον. cf. etiam Π 176,16–18 et Π 230,15–17

43 δὴ corr. K-D: δὲ V

Βούλομαι μὲν οὖν ἄλλα σοι ἐπ' ἄλλοις κατὰ τῶν πολεμίων ἐγείρεσθαι κύματα, καὶ οὕτως οἰκοδομεῖσθαι ὑπὲρ ἡμῶν φρούρια, 70 καὶ τὰ προλαβόντα μηχανήματα τοῖς ὑστέροις νικᾶσθαι, δέδοικα δὲ τὸ σφοδρὸν καὶ συντεταμένον. Ὑποπτεύω δὲ καὶ τοὺς Ὁμηρικοὺς πίθους, ἐπεὶ μὴ ἄμφω καλοί, μή πως καὶ ἐκ τῆς ἑτέρας μερίδος ἐπιχεθῶσιν ἡμῖν ῥύακες.

Στήριξον οὖν καὶ αὖθις χρῶ τῇ κινήσει, ταῦτα δὴ τὰ ἀστρολο- 75 γούμενα· εἰ δέ τις αὐτόθι ἐπ' ὄμμασιν ἀλλήλοις καταμαντεύει τὰ πράγματα, χρῶ τῷ εἱρμῷ.

88. ⟨Μιχαὴλ τῷ Δούκᾳ (?)⟩

K-D 207 [O]

Τοῦ μὲν ἐγκωμιάζεσθαί σε παρὰ τῆς ἐμῆς γλώττης, ἐπιφανέστατόν μοι τέκνον καὶ φίλτατον, τὴν σὴν αἰτιῶ φύσιν, εἰ βούλει δέ, καὶ τὴν ἐμὴν γνῶσιν. Ἡ μὲν γὰρ ἀφορμὰς τῶν ἐγκωμίων παρέχεται, ἡ δὲ τοῖς ἀγαθοῖς οὐ βασκαίνουσα, πλείους εὐφημίας τοῖς πορισθεῖσιν ἐπισυμπλέκει. Τοῦ δὲ μὴ δέχεσθαί σε 5 πλείους ἡμετέρων ἐπιστολῶν, οὔτε αὐτὸς αἴτιος, ἐπιστέλλων ἡμῖν, οὔτε ἡμεῖς, ἑτοίμως καὶ ἐναργέστερον τοῖς σοῖς ἀντιφθεγγόμενοι γράμμασιν, ἀλλ' ὁμοίως εἰσπραττόμενοι τὸ τῆς ἐπιστολῆς ὄφλημα.

Καὶ τούτων μὲν ὁ λόγος τοιοῦτος. Ὁ μέντοι γε περί σου 10 λόγος πολὺς μὲν ἐν ἁπάσῃ τῇ πόλει, πλείων δὲ (ὡς οἶσθα) παρὰ τῇ ἐμῇ γλώττῃ. Οἱ μὲν γὰρ ἄλλοι βούλονται μὲν ἤδη ἄξιόν τι τῆς σῆς μεγαλονοίας εἰπεῖν, οὐκ ἔχουσι δὲ τὴν γλῶτταν πρὸς τὸ βούλημα ἀποχρῶσαν· ἐγὼ δὲ ὃ βούλομαι, οὐδὲν ἧττον καὶ

72–73 τοὺς – καλοί: cf. Hom. Il. 24,527–528 δοιοὶ γάρ τε πίθοι κατακείαται ἐν Διὸς οὔδει / δώρων οἷα δίδωσι κακῶν, ἕτερος δὲ ἑάων. cf. Psel. Ἀλληγορία τοῦ παρ' Ὁμήρῳ Ἰθακησίου ἄντρου = Phil. min. I 45,54–61, Ἐγκωμιαστικὸς εἰς … Μιχαὴλ τὸν Κηρουλλάριον = Or. fun. I 1,7,9–13, Εἴς τινα κάπηλον γενόμενον νομικόν = Or. min. 14,170–171, et Π 194,7–8, Π 217,1–3, et Π 223,3–4 ‖ **75–76** στήριξον – ἀστρολογούμενα: στηριγμὸς et κίνησις, termini astrologici

ep. 88 O 205r–v (fin. mut.); tit. scripsi ‖ **5** σε scripsi: σοι O K-D **7** ἀντιφθεγγόμενοι corr. K-D: ἀντιφθεγγόμενος O

15 δύναμαι. Καὶ τοῖς μὲν παρ' ἔλαττον ὁ λόγος τῶν πεπραγμένων, ἐγὼ δὲ ὑπερπίπτω τὰ δόξαντα. Καὶ ὅπερ ἄν σοι δόξῃ παράδοξον, ἐνίοις (λέγω δὲ εἰκάζων, ἀλλ' οὐ δοξάζων) οὐδὲ τοιοῦτον δοκεῖ τὸ πραχθὲν παρὰ τῆς σῆς ἀγχινοίας ὁποῖον τὴν φύσιν ἐστίν· ἢ δοκεῖ μέν, ὁ δὲ λόγος ἀντιπίπτει τῇ δόξῃ. Ἐγὼ δὲ ὡς ἔχω περὶ ὧν 20 πέπραχας, οὐδὲ πρὸς σὲ ὀκνήσω εἰπεῖν, ἵν' ἔχῃς ἴχνη τινὰ τῶν ἐμῶν περὶ σὲ χαρακτήρων.

Ἐδόκει ποτὲ ἀδύτοις ἐοικέναι καὶ μυστηρίοις τὰ Ῥωμαίων γήλοφά τε καὶ γήπεδα ἀποχρῶσι καταπετάσμασι καλυπτόμενα. Τὰ δὲ ἦν φυσικὰ μέν, φάραγγες, καὶ ὄρη, καὶ ποταμοί, χειροποί-25 ητα δέ, πόλεις καὶ φρούρια. Καὶ ὅ γε βάρβαρος μέχρι τούτων τὸν ἵππον ἐλαύνων, ἰδών, εὐθὺς ἐπεῖχε τὸν χαλινόν· καὶ οὐκ ἐθάρρει τὴν εἴσοδον, ἀλλ' ἀπεφράγνυ τούτοις τὴν πρόοδον τοῦ φρουρίου ὁ πρόβολος. Ἐπεὶ δὲ ἡ τοιαύτη ἐρράγη περιβολή, ὥσπερ τι ποτάμιον ῥεῦμα, ῥαγέντος τοῦ τέως διατειχίζοντος, ἐπεισεχέθησαν 30 ἡμῖν ἡ ἀντίθετος μερὶς ἅπασα. Καὶ νῦν οὐκ ἔστιν οὐδαμοῦ τὸ διορίζον τὸ Ῥωμαϊκὸν καὶ τὸ βάρβαρον, ἀλλὰ δοκοῦμεν ἀναμὶξ καὶ συγκεχυμένως οἰκεῖν. Διὰ τοῦτο ἀμφισβητοῦσιν ἡμῖν, νῦν μὲν τῷ πρὸς τῷ Εὐφράτῃ πολέμῳ, νῦν δὲ τῷ πρὸς Ἴστρῳ.

Ὥσπερ γοῦν κατὰ τὴν τῶν πολλῶν δόξαν, τοῦ οὐρανίου 35 σώματος μεθορίου κειμένου σώμασί τε καὶ ἀσωμάτοις, εἴ τις ὑπεκτοπίσειε τὸ μεθόριον, ἡ ἀκριβὴς τῶν φύσεως διάστασις ἀκριβεστέρα γενήσεται σύγχυσις (λέγω δὲ τοῦτο τῇ τῶν πολλῶν δόξῃ ἑπόμενος), οὕτω δὴ καὶ τὸ ἐνταῦθα, εἰς ὑπόθεσιν εἰλημμένον ἐν τοῖς πράγμασι, τὴν τῶν διεστώτων ἀπετέλεσε σύγχυσιν. Καὶ 40 τό γε χαλεπώτερον, ὅτι τῆς τοιαύτης συγχύσεως, ὑπὲρ ἡμῶν τε ὁμοίως καὶ τῶν βαρβάρων κειμένης, ἐκεῖνοι τὸ μέρος ὅλον διὰ τὴν ἡμετέραν πεποιήκασιν ἄγνοιαν.

22–23 τὰ – γήπεδα: cf. Ael. Herodian. (?) Ἐπιμερισμοί 14,6–7 γήλοφος, ὁ ὑψηλὸς τόπος … γήπεδον, ἡ γῆ et Psel. Χρονογραφία VI,175 τὸ πρότριτα γήλοφον τριταῖον γήπεδον, Εἰς τὸ 'κύριος ἔκτισέ με …' = Theol. I 10,83–84 γῆν εἰς γηλόφους ἀνισταμένην καὶ καθειμένην εἰς γήπεδα, Π 60,36–37 ἐν γηλόφοις, ἐν γηπέδοις, Π 202,113 γηλόφῳ τε καὶ γηπέδῳ, et Π 376,17–18 ἐν γηλόφοις, ἐν γηπέδοις ‖ **32–33** νῦν – Ἴστρῳ: cf. Π 86,22–23 ἐν ταὐτῷ καὶ περιπλεῖς τὸν Εὐφράτην, καὶ παραπλεῖς ἀμεταθέτως τὸν Ἴστρον

36 ὑπεκτοπίσειε corr. K-D: ὑποτοπάσειε O

Ἆρ᾽ οὖν καὶ νῦν οὕτως ἡμῖν ἔχει τὰ πράγματα; Πολλοῦ γε καὶ δεῖ, ἀνδρὸς γενναίου ἐπιστάντος αὐτοῖς καὶ δείξαντος, ὅτι νοῦς ἐστι καὶ τὰ μαθήματα καὶ τὰ πράγματα κυβερνῶν. Πεποίηκας γοῦν 45 ὅπερ οἱ παλαισταί· ἢ ὁ διφρηλάτης ἐνταῦθα μᾶλλον πλέον ἐστὶν εἰς παράδειγμα· ἐκεῖνος γὰρ ἱστὰς τοὺς ἵππους ἐν τάξει, οὕτω τῆς ἀφετηρίας ἔξεισι. Καὶ σὺ γοῦν πρὸ τοῦ πολέμου, ὥσπερ ἐπ᾽ ἀκινήτῳ χάρακι τὸν στρατὸν καθιδρύσας, πόρρω τε καὶ ἀγχοῦ τῶν πολεμίων γενόμενος, τὸ μὲν τῇ φυλακῇ, τὸ δὲ τῇ προόδῳ, ὁμοῦ τε 50 ἐπὶ σαυτοῦ γέγονας, κἀκείνοις ἐμπέπτωκας. Καὶ κατώρθωκας πλείω τῶν ὑπειλημμένων ὧν ἕκαστος ἀντὶ πάντων ἀρκεῖ· τό τε γὰρ δεδιέναι τὸν βάρβαρον καὶ μὴ τολμᾶν προσεγγίσαι εἰς μέγιστον ἔπαινον ἀποχρῶν. Ἀνήρηται καὶ τὸ τῆς ἐφόδου ἀθρόον, ἢ μᾶλλον τοῖς μὲν βαρβάροις οὕτως, ἡμῖν δὲ ὡς ἑτέρως· καταδρα- 55 μούμεθα γὰρ αὐτοὺς ἐντεῦθεν. Καὶ εἰ μηδὲν ἄλλο πόρρω ποιήσομεν, καὶ ἐπὶ τῶν οἰκείων συγκλείσομεν, ἔσται δὲ ἡμῖν καὶ τετειχισμένα τὰ ὅρια, καὶ οὐκ ἄγνωστος ἡ περιβολή· ἴσως δὲ καὶ πορρωτέρω γενοίμεθα, καὶ κοινὸν ἔσται τὸ τοὺς βαρβάρους καὶ ἡμᾶς ἀποφράττον. 60

Καὶ τὰ πλείω σιγῶ, ἵνα μή τισι δόξω φορτικὸν ποιεῖν καὶ παρὰ τὸν τῶν ἐπιστολῶν νόμον. Ταῦτα μὲν πρός γε νοῦν, καὶ ἅπαξ, καὶ ἴσως οὐ πλατείᾳ τῇ γλώσσῃ· ἐνταῦθα δὲ πρὸς πολλοὺς καὶ πολλάκις, καὶ τὸ εὐθὺς ἀπὸ στόματος ἀμεταμέλητον ὁμοῦ καὶ ἀληθέστερον τοῖς ἀκούουσιν. Εἰ δὲ δεῖ σοι πρὸς ταῦτα μαρτύρων, 65 μαρτυρήσουσι σύμπαντες· οὐδεὶς γὰρ τῶν πάντων τῶν ἐμῶν λόγων ἀνήκοος. Συνείρω δὲ ταῦτα, οὐκ ἀγνόων, ὅτι μοι οὐδεὶς περὶ τούτου λόγος [...

68 finis deest; post λόγος lacunam indicavit O

89. ⟨Πρὸς τόν Ῥόμπερτον παρὰ τοῦ βασιλέως κυροῦ Μιχαὴλ τοῦ Δούκα⟩

ad Robertum Guiscardum [a. 1015 – a. 1085]; ca. a. 1072, ante Π 90; cf. etiam Χρυσόβουλλον τοῦ αὐτοῦ σταλὲν πρὸς τόν Ῥόμπερτον παρὰ τοῦ βασιλέως κυροῦ Μιχαὴλ τοῦ Δούκα = Or. for. 8 [VIII.1074]

S 144 [P] = S[2] 212–221

Πρῶτα μὲν σύγχαιρέ μοι, λογιώτατε καὶ συνετώτατε πάντων ἀνδρῶν, τὴν πατρῴαν ἀπειληφότι ἀρχὴν πληρέστατά τε καὶ τελεώτερον, θεοῦ τε οὕτω δικάσαντος, καὶ πάσης ἀρχιερατικῆς καὶ συγκλητικῆς ψήφου καὶ [ca. 10 litt.] εἰπεῖν δὲ καὶ πάντων τῶν ὑφ' 5 ἡμᾶς εἰς ταὐτὸν [ca. 18 litt.].

Τοῦτο μὲν οὖν πρῶτον ὥσπερ εὐαγγέλιον παρὰ τοῦ ἐμοῦ κράτους δεξάμενος, ἔπειτα καὶ ἣν ἔχω προαίρεσιν περὶ τὰ πράγματα μάνθανε. Εἰρηνικὸς εἴ πέρ τις ἄλλος ἀνθρώπων εἰμί, καὶ βούλομαι τὴν ἐμὴν ἀρχὴν κατευθύνεσθαι οὐ πλειόνων ἐπιθυ- 10 μίᾳ, ὥστε διὰ ταῦτα πρὸς τοὺς ἡγεμόνας τῶν ἐθνῶν διαφέρεσθαι, ἀλλ' ἀποχρῶσαν ἐμοὶ ἔχων ἣν ἔλαβον παρὰ θεοῦ βασιλείαν, βούλομαι τοὺς ἡγεμονικωτέρους τῶν ἀνδρῶν καὶ συνετωτέρους ὁποῖος εἶ σύ, διὰ φιλίας ἐμαυτῷ οἰκειοῦν, καὶ ὥσπερ κρατύνειν τε καὶ κρατύνεσθαι διὰ τῆς ὁμονοητικῆς ταύτης συνδήσεώς τε καὶ 15 διαθέσεως. Ἐπὶ δὲ σοῦ καὶ πλέον τι τῶν ἄλλων ἡγεμόνων συμβέβηκε. Πρὸς μὲν γὰρ τοὺς μὴ τὴν αὐτὴν ἡμῖν εὐσέβειαν ἔχοντας

ep. 89 ca – 90: cf. Kolia-Dermitzaki 1997 ‖ **1–6** πρῶτα μὲν … τοῦτο μὲν οὖν πρῶτον: cf. inc. Dem. Περὶ στεφάνου = Or. 18,1 et Περὶ τῆς παραπρεσβείας = Or. 19,25-27 cum Hermog. Περὶ ἰδεῶν 1,11 (περὶ περιβολῆς) 30–32 ἔστι τοίνυν ἥ τε ἀπαρίθμησις τοιαύτη, οἷον 'πρῶτον μὲν τόδε, δεύτερον δὲ τόδε' … εἰ δὲ καὶ ἐξ ἐπαναλήψεως γίνοιτο, ἕνεκα μὲν τῆς ἐπαναλήψεως εὐκρινῆ ποιεῖ τὸν λόγον, τὴν δὲ περιβολὴν διὰ τὸ διὰ μακροῦ ἀποδεδόσθαι πάντως ἔχει, οἷον «πρῶτον μέν, ὦ Ἀθηναῖοι, ἵνα μηδεὶς ὑμῶν, ἐπειδάν τι λέγοντος ἀκούῃ μου, θαυμάζῃ»· εἶτα πολλὰ εἰπὼν ἐξ ἐπεμβολῆς ἐπανέλαβε πάλιν «πρώτου μὲν τούτου καὶ μάλιστα, οὗπερ εἶπον, ἕνεκα ταῦτα διεξῆλθον» … ἥ τε οὖν ἀπαρίθμησίς ἐστι σχῆμα περιβλητικὸν καὶ τὰ ἐοικότα ταύτῃ, τό τε ἀπαριθμητικὸν λέγω, οἷον «πρῶτον μέν, ὦ Ἀθηναῖοι, τοῖς θεοῖς εὔχομαι πᾶσι καὶ πάσαις, ὅσην εὔνοιαν» καὶ τὰ ἑξῆς

ep. 89 P 221r–v; tit. scripsi: ⟨ὁ αὐτὸς τῷ αὐτῷ = Μιχαὴλ ὁ Δούκας Ροβέρτῳ δουκὶ τῆς Λογγιβαρδίας⟩ S ‖ **4** lacunam indicavit P: τῶν ἄλλων suppl. S **5** lacunam indicavit P: συναινεσάντων suppl. S

ἐλλιπὴς [ca. 30 litt.] τοῦ καιριωτάτου κεφαλαίου λείποντος (φημὶ δὴ τῆς συμφωνίας τοῦ θείου σεβάσματος). Οἷς δὲ ὁ τοιοῦτος θεμέλιος ἀρραγέστατός τε καὶ ὁμοιότατος, ὁποῖος δὴ ἀμφοτέροις ἡμῖν καταβέβληται, τούτοις καὶ ἡ τῆς ἀγάπης οἰκοδομὴ ἐπ' 20 ἀσφαλοῦς κρηπῖδος ὑφέστηκεν· ἐμβληθήσεται γὰρ τοῖς διὰ φιλίας ἑνωθησομένοις ἡμῖν ἀκρογωνιαῖος λίθος ὁ Κύριος, συνδέων τὰ τέως διεστηκότα καὶ συναρμόζων διὰ τῆς ἑαυτοῦ μεσότητος εἰς ἀκριβῆ σύμπηξιν· διδάσκουσι γάρ με αἱ ἱερατικαὶ βίβλοι καὶ αἱ ἀληθεῖς ἱστορίαι ὅτι μία τίς ἐστιν ἀρχὴ καὶ ῥίζα ταῖς καθ' ἡμᾶς 25 ἡγεμονίαις, καὶ ὡς ὁ αὐτὸς σωτήριος λόγος ἀμφοτέραις ἐφήπλωται, καὶ οἱ αὐτοὶ αὐτόπται τοῦ θείου μυστηρίου καὶ κήρυκες τὸν τοῦ εὐαγγελίου λόγον ταύταις διήχησαν.

Οὐκοῦν ἄτοπον καὶ ἀλόγιστον τοὺς κατὰ τὴν εὐσέβειαν συνημμένους καὶ συνηρμοσμένους, κατὰ τὴν τοῦ γένους κοινότητα 30 διῃρῆσθαι καὶ κατὰ τὴν τῆς γνώμης ἑτερότητα, καὶ ὁμονοοῦντας περὶ τὰ μείζονα, ἑτερογνωμονεῖν περὶ τὰ ἐλάττονα, καὶ στασιάζειν πρὸς ἀλλήλους περὶ τῶν ἐν ἀμφοτέροις ἡγεμονιῶν, ἕνα καὶ τὸν αὐτὸν θεὸν ἡγεμόνα προστησαμένους τῶν οἰκείων ἀρχῶν· τοῦτο γὰρ οὐδὲν ἕτερόν ἐστιν ἢ κατατομὴ τοῦ αὐτοῦ σώματος, καὶ τῶν 35 οἰκειοτάτων μελῶν σπαραγμὸς καὶ διαίρεσις.

Ἔγωγ' οὖν ἐννομώτατα τὴν βασιλείαν παρὰ θεοῦ εἰληφώς, ἐννομωτάτην ἅμα καὶ εὐσεβεστάτην ποιοῦμαι καὶ τὴν ἀρχήν. Καὶ τῶν ἄλλων ἡγεμόνων ἔλαττον πεφροντικὼς πρὸς σὲ πρῶτον συνθήκας ποιῆσαι προῄρημαι, τὸ μὲν πρῶτον καὶ μεῖζον διὰ τὴν 40 τῆς εὐσεβείας ταὐτότητα, οὐδὲν δὲ ἔλαττον καὶ διὰ τὴν τῆς γνώμης ὁμοιότητα· παρὰ πλείστων γὰρ τῶν τὰ σὰ ἀκριβωσάντων

20–24 ἡ – σύμπηξιν: cf. Eph. 2,20–21 (locus saepe laudatus) ἐποικοδομηθέντες ἐπὶ τῷ θεμελίῳ τῶν ἀποστόλων καὶ προφητῶν, ὄντος ἀκρογωνιαίου αὐτοῦ Χριστοῦ Ἰησοῦ, ἐν ᾧ πᾶσα οἰκοδομὴ συναρμολογουμένη αὔξει cum Ps. 117,22. cf. Psel. Κατηγορία τοῦ ἀρχιερέως = Or. for. 1,1144–1145, Εἰς τὸν … μητροπολίτην Μελιτηνῆς = Or. fun. I 5,4,4–5, Ἐγκώμιον εἰς … Νικόλαον μοναχὸν … = Or. fun. I 10,8,14–15, Σελέντιον ὡς ἀπὸ … τοῦ Διογένους = Or. min. 2,55–56, Εἰς τὸ παροιμιακὸν … 'ἡ σοφία ᾠκοδόμησεν …' = Theol. I 7,18–19, Εἰς τὸ 'ἢ βούλεται μοῖραν …' = Theol. I 62,75–76, Εἰς τὸ 'ὅστις ἐρεῖ λόγον …' = Theol. I 84,52–53, et Περὶ αἰῶνος = Theol. II 32,104–105

17 lacunam indicavit P: ἂν εἴη suppl. S

ἀκήκοα μισεῖν μὲν στάσεις καὶ μάχας, φιλεῖν δὲ τἀναντία τούτων, εἰρήνην καὶ εὐνομίαν, καὶ τὸ τῆς ὁμονοίας καλόν· προσθήσω δὲ
45 καὶ τρίτον δι' ὃ μάλιστα περὶ τὴν σὴν φιλίαν ἐσπούδακα, ὅτι σέ φασιν οἱ συνομιλήσαντες καὶ διεγνωκότες συνετώτατον ἄνθρωπον εἶναι καὶ βούλεσθαι εὐσεβεῖν, οὐκ ἐν τῇ ὀρθοτομίᾳ μόνῃ τῆς πίστεως, ἀλλὰ καὶ ἐν τῇ τῶν πραγμάτων εὐθύτητι, καὶ τῷ μὲν φρονήματι πυκνότατον εἶναι καὶ δραστικώτατον, τῷ δὲ ἤθει
50 ἁπλούστατον καὶ χαρίεντα.

Ὥσπερ οὖν ἀναγνωρίζων ἐμαυτὸν ἐν τοῖς σοῖς τρόποις καὶ ἤθεσι, κρατῆρά τέ σοι φιλίας ἵστημι, καὶ ἐν αὐτῷ βούλομαι ἀμφοτέρων συγκραθῆναι τὰς γνώμας, καὶ πιεῖν ἀμφοτέρους τοῦ αὐτοῦ νάματος. Ἵνα δὲ ἡ τοιαύτη σπονδὴ ἀκριβὴς καὶ ἀσύγχυτος
55 γένοιτο, καὶ τρόπον ἐπενοησάμην ἐπιμιξίας ἣν πρὸς ἄλλον μὲν ἂν τῶν πάντων ὤκνησα (εὖ ἴσθι) ποιήσασθαι, πρὸς δὲ σὲ μόνον προῄρημαί τε καὶ προτεθύμημαι καὶ ἀσμενεστάτην ποιοῦμαι τὴν ἕνωσιν. Τίς δὲ ὁ τῆς συγκράσεως τρόπος; Καὶ ποία ἡ τῆς ἀδιαστάτου ὁμονοίας ἀφορμή; Κοινωνῆσαί σοι βούλομαι διὰ
60 συγγενικοῦ αἵματος, ἵνα διὰ τῶν ἐξ ἀμφοῖν μερῶν ἁρμονία τις ἐν ἡμῖν συμπαγείη βεβαιοτάτη, καὶ μὴ μέχρι ψιλῶν ῥημάτων καὶ ὀνομάτων πραγμάτων ἐρήμων ὁ τῆς ἀγάπης συνδεθείη δεσμός, ἀλλὰ καὶ διὰ κοινωνίας γενῶν, πράγματος πᾶσαν ἀναιροῦντος ἀντιλογίαν καὶ πᾶν ἀντιπίπτον καὶ ἀντικείμενον λύοντος. Τὰ δὲ
65 συναφθησόμενα παρ' ἑκατέρων ἡμῶν πρόσωπα γνησιώτατα ἀλλήλοις ποιοῦμαι καὶ φίλτατα καὶ ἐκ τοῦ ἀθολώτου αἵματος καὶ ἐγγύτατα τῆς πρωτογόνου ἡμῶν καὶ πηγαίας ἀρχῆς.

Ἔστι γοῦν μοι ἀδελφὸς ὁμοπάτριός τε καὶ ὁμομήτριος, τοῦ αὐτοῦ σπέρματος καὶ τῆς αὐτῆς φύσεως, ὁ πᾶσι διαβόητος κῦρ
70 Κωνσταντῖνος, τήν τε ὥραν τῆς ὄψεως (εἰ χρὴ καὶ τοῦτο εἰπεῖν) οἷον ἄγαλμα βασιλείας, καὶ τὴν γνώμην οἷος οὐκ ἄλλος τῶν κατὰ τὴν αὐτὴν ἡλικίαν, οὐ πρὸ τῆς βασιλείας τῷ ἐμῷ γεγενημένος πατρί, ἀλλὰ μετὰ τὴν βασιλείαν, καὶ τὴν σύλληψιν ἐσχηκὼς καὶ τὴν γέννησιν, ὥσπερ πόρρωθέν σοι τοῦ θεοῦ τὸν τοιοῦτον κόσμον
75 τῷ γένει προευτρεπίζοντος. Τοὺς δὲ οὕτω γεγενημένους «πορφυρογεννήτους βασιλεῖς» οἱ καθ' ἡμᾶς Ῥωμαῖοι κατονομάζουσι, τὸ δὲ ὄνομα τοῦτο θεῖον ἄντικρυς τοῖς μετεσχηκόσι νενόμισται· ἐντεῦ-

68–70 ἀδελφὸς – Κωνσταντῖνος: Constantinus vel Constantius Ducas (1060–1081), filius Constantini X et Eudociae Macrembolitissae

θεν γὰρ καὶ ἡ βασίλειος πορφυρὶς τὸ ἐπίσημον ἔσχηκεν, ὅθεν καὶ ταῖς κοιναῖς εὐφημίαις προστέθειται τῇ βασιλείᾳ τὸ ὄνομα, καὶ «τὸν βασιλέα» τις εἰρηκώς, προστίθησιν εὐθύς, «τὸν πορφυρογέν- 80 νητον».

Τούτῳ γοῦν τῷ βασιλεῖ κῦρ Κωνσταντίνῳ τῷ πορφυρογεννήτῳ, καὶ τῆς ἐμῆς βασιλείας φιλτάτῳ συγγόνῳ, μίαν σου τῶν θυγατέρων τὴν καλλίστην ἁρμόζομαι, ἵνα ἡ τοιαύτη τῷ καλλίονι συναφθείη καὶ κρείττονι, καὶ γένοιτο ἡμῖν ὁ τῆς βασιλικῆς ἐπιγα- 85 μίας δεσμὸς φιλίας σύνδεσμος ἀρραγέστατος, καὶ διὰ τῆς μιᾶς ταύτης ἑνώσεως ἀδιαίρετος ἡμῖν καὶ ἡ ὁμόνοια γένηται, καὶ κρατὴρ ὡς ἀληθῶς σταίη οὐ νάματος διαρρέοντος, ἀλλὰ συγγενικοῦ αἵματος, οὐκ ἐκ διαιρέσεως ῥεύσαντος, ἀλλ' ἐξ ἑνώσεως εἰληφότος τὴν σύμπηξιν. 90

Ἔστω γοῦν σοι τὸ τοιοῦτον τῆς ἐμῆς ψυχῆς ἐνθύμημα τεκμήριον ἀληθέστατον τῆς πρὸς σὲ τοῦ ἐμοῦ κράτους ἀκριβεστάτης φιλίας, καὶ ἀδιάπτωτον ἑνώσεώς τε καὶ διαθέσεως. Δεῖ οὖν αὐτόθεν ἄρξασθαι πρὸς ἀλλήλους τῶν τῆς ἀγάπης καλῶν, καὶ τὰ ἀλλήλων ἡμᾶς οἰκειώσασθαι, καὶ φείδεσθαι τῆς παρ' ἑκατέροις 95 ἡγεμονίας ὡς οἰκειοτάτης ἀρχῆς, καὶ μὴ ἀναμένειν τὸν τῆς ἐπιμιξίας τοῦ γένους καιρόν, ἀλλὰ καὶ τὴν ἐπαγγελίαν τῆς ἑνώσεως καὶ ὁμολογίαν, ὡς τελεωτάτην συμφυΐαν λογίσασθαι, καὶ ὥσπερ ἀρραβῶνας ἀλλήλοις ποιήσασθαι φιλίας καὶ ὁμονοίας.

Μὴ οὖν οἴει ἀθεεὶ τὴν τοιαύτην προβήσεσθαι πρὸς ἀλλήλους 100 συμφυΐαν καὶ σύμπνοιαν, ἀλλ' ἄνωθεν καὶ παρὰ θεοῦ ταύτην ἡμῖν ἐμπεσεῖν τὴν ἐνθύμησιν· ὁ γὰρ βραβευτὴς τῆς ἀποστολικῆς καὶ καθολικῆς ἐν ἀμφοτέροις ἡμῖν εὐσεβείας ἢ πίστεως, ὁ αὐτὸς δὴ καὶ τὴν θαυμασιωτάτην ποιήσεται ἕνωσιν, ἵνα ὥσπερ μία καὶ ἡ τοῦ γένους ἀρχή, μία δὲ καὶ ἡ τῆς εὐσεβείας μορφὴ ἀμφοτέροις 105 τετύπωται, οὕτω δὴ καὶ ὁ τῆς συναφείας δεσμὸς εἷς καὶ αὐτὸς ᾖ δι' ὁμοίας τῆς ἀντιδόσεως. Ἔδει μὲν γάρ ποτε τοῦτο γενέσθαι, καὶ τὴν ἀπομερισθεῖσαν ἀρχὴν εἰς τὴν αὐτὴν αὖθις ἀναρυῆναι πηγήν· τὸ γοῦν πάλαι οἰκονομούμενον τῷ θεῷ φαίνεται νῦν παρ' ἡμῶν περατούμενον. 110

83–84 *μίαν* – θυγατέρων: Helena?

82 κῦρ om. S

Δέξαι οὖν τὴν ἐπαγγελίαν ⟨ὡς⟩ ἀληθείας ὁμολογίαν· οὐ γὰρ παρὰ τυραννικωτάτης ψυχῆς τὸ ἐπάγγελμα, ἀλλὰ παρὰ βασιλικωτάτης γνώμης τὸ ὁμολόγημα. Ἐρρίζωται δέ σοι καὶ τὸ θυγάτριον, ἢ (οὕτως εἰπεῖν) ἐγκεντρίζεται εἰς πιοτάτην ῥίζαν καὶ
115 καλλιέλαιον, ἀλλ᾽ οὐκ εἰς αὐχμηράν τε καὶ ἀγριέλαιον· καὶ ῥίζα μὲν τοῦ τοιούτου βασιλικοῦ δένδρου καὶ τῆς καλῆς ταύτης πιότητος ὁ ἐμὸς πατὴρ ἐχρημάτισεν, εἶτα ἐνεκεντρίσθη παραφυὰς ἀγριέλαιος, εἶτα τῆς δίκης μὴ ἀνασχομένης τὴν τοιαύτην παραφυάδα μετασχεῖν τῆς καλλιελαίου ποιότητος, ἐκεῖνο μὲν ἀπέσπασται
120 καὶ διέρρηκται, ὁ δὲ βλαστὸς ἐγὼ τῆς πρώτης ῥίζης ἀνέθαλλον, συνανεφύησαν δέ μοι καὶ οἱ ἀδελφοί. Τούτων γοῦν ἑνὶ τῷ καλλίστῳ καὶ τὸ σὸν θυγάτριον συναφθήσεται, ἵν᾽ ἐξ ἐννόμου ῥίζης καὶ τῷ ὄντι βασιλικῆς πάλιν ἕτεροι κλάδοι ἀναβλαστήσουσι.

Ταύτην δὴ τὴν ἐπαγγελίαν (καθὼς καὶ προείρηται) ἀληθε-
125 στάτην παντάπασι λογισάμενος, γνώρισον ἡμῖν καὶ τὰ τῆς σῆς γνώμης, καὶ ὅπως ἂν βούλοιο τὸ πρᾶγμα προβῆναι καὶ τὴν ἀρίστην λαβεῖν τελείωσιν.

117 ὁ – πατὴρ: Constantinus X Ducas (imperator: 23/24.XI.1059 – 22/23.V.1067) (Π XVIII) ‖ **117–118** παραφυὰς ἀγριέλαιος: ad Romanum IV Diogenem (Π XIV) refert ‖ **114–119** ἐγκεντρίζεται – ποιότητος: cf. Rom. 11,16–24 (locus saepe laudatus) … εἰ δέ τινες τῶν κλάδων ἐξεκλάσθησαν, σὺ δὲ ἀγριέλαιος ὢν ἐνεκεντρίσθης ἐν αὐτοῖς καὶ συγκοινωνὸς τῆς ῥίζης τῆς πιότητος τῆς ἐλαίας ἐγένου … εἰ γὰρ σὺ ἐκ τῆς κατὰ φύσιν ἐξεκόπης ἀγριελαίου καὶ παρὰ φύσιν ἐνεκεντρίσθης εἰς καλλιέλαιον. cf. Psel. Χρονογραφία VI,15,10–11, Εἰς τὸν … μητροπολίτην Μελιτηνῆς = Or. fun. I 5,5,7–8, et Π 122,58–59 et Π 185,45–46 ‖ **111–123** οὐ – ἀναβλαστήσουσι: cf. Π 90,51–58 οὐ γὰρ ταὐτὸν ἐπείσακτος βασιλεύς, καὶ αὐθιγενής, οὐδὲ εὐθύτης βασιλική, καὶ αὐτονομία τυραννική· οὐδὲ ἶσοι οἱ τοῦ κράτους θεμέλιοι. ἐγὼ μὲν γὰρ ἐξ ἐννόμου βασιλείας τὴν διαδοχὴν τῆς ἀρχῆς ἔσχηκα, ὁ δὲ ἐξ ἑτερογενοῦς ῥίζης εἰς τὴν βασιλείαν τῶν Ῥωμαίων ἐνεκεντρίσθη· ἐδίκασε δὲ καὶ θεὸς ἄνωθεν, τὸν μὲν τῆς ἀρχῆς ὑφελόμενος τυραννικῶς ταύτην διαχειρίζοντα, ἐμὲ δὲ ἐγκαταστήσας ἐν αὐτῇ τελεώτερον

111 ὡς addidi

90. ⟨Πρὸς τόν Ῥόμπερτον παρὰ τοῦ βασιλέως κυροῦ Μιχαὴλ τοῦ Δούκα⟩

ad Robertum Guiscardum [1015–1085]; ca. a. 1073, post Π 89; cf. etiam Χρυσόβουλλον τοῦ αὐτοῦ σταλὲν πρὸς τόν Ῥόμπερτον παρὰ τοῦ βασιλέως κυροῦ Μιχαὴλ τοῦ Δούκα = Or. for. 8 [VIII.1074]

S 143 [P] = S[2] 206–212

Τρία ταῦτά εἰσιν, εὐγενέστατε καὶ συνετώτατε, τὰ κινήσαντά με εἰς τὴν σὴν φιλίαν καὶ ἀκριβεστάτην διάθεσιν· ἡ ὁμοδοξία τῆς ἀληθοῦς πίστεως, ἡ τῆς προαιρέσεώς σου εὐγένεια, καὶ ἡ τοῦ γένους ὑπεροχή· ἄτοπον γὰρ ἐλογισάμην τὸν τοῦ αὐτοῦ σεβάσματος μέτοχον, καὶ τὸν καλοκἀγαθίᾳ ψυχῆς σεμνυνόμενον, 5 καὶ τὸν σεμνῷ γένει κοσμούμενον, μὴ καὶ κοινωνόν μοι γενέσθαι ἀγάπης καὶ ὁμονοίας.

Ἐγὼ γὰρ εἰρηνικωτάτου βασιλέως υἱὸς γενόμενος, καὶ τὰ μὲν πρὸς θεὸν εὐσεβοῦς, τὰ δὲ πρὸς φίλους φιλαλήθους τῷ ὄντι καὶ τὴν φιλίαν ἐξακριβοῦντος τοῖς πράγμασιν, ὥσπερ κληρονόμος τοῦ 10 κράτους αὐτοῦ ἐγεγόνειν, οὕτω κληρονομῆσαι καὶ τῶν τρόπων ἐσπούδακα· καὶ πρὸ μὲν πάντων εἰρήνην ἀσπάσασθαι, ἔπειτα δὲ καὶ τοὺς συνετωτέρους καὶ γενναιοτέρους τῶν ἀνδρῶν ἐμαυτῷ οἰκειώσασθαι καὶ βεβαίους φίλους ποιήσασθαι. Ἀκούων δὲ παρὰ πολλῶν τῶν τὴν σὴν γνώμην ἀκριβωσάντων, ὅτι εὐσέβειαν μὲν 15 πρὸ πάντων τῆς ἀρχῆς ἔθου θεμέλιον, δικαιοσύνῃ καὶ ὁσιότητι τρόπου τὴν σὴν κατευθύνεις ἀρχήν, καὶ ὡς οὐ χαίρεις τοῖς ἐκ τῶν πολέμων αἵμασιν, ἀλλ' εἰρηνικώτατα βούλει διεξάγειν τὰ κατὰ σὲ πράγματα, ἐθαύμασά τε τῆς γνώμης καὶ φιλίαν μετὰ σοῦ κεράσασθαι τίθεμαι σπούδασμα. 20

Καὶ πρὸς μὲν τοὺς ἄλλους τῶν ἐθνῶν ἡγεμόνας, ἀρκεῖν ἡγοῦμαι εἰ ἀγάπην αὐτοῖς ὁμολογήσω ἐν γράμμασιν, οἳ καὶ μέγα ἥγηνται ὅτι ὁμονοεῖν τούτοις ἠθέλησα, ὥστε εἰρηνικῶς πρὸς αὐτοὺς φέρεσθαι καὶ μὴ ἐθέλειν πολεμεῖν τε καὶ διαφέρεσθαι. Πρὸς δὲ τὴν σὴν εὐγένειάν τε καὶ σύνεσιν, πλέον τι ποιῆσαι διανενόημαι, 25 καὶ ἁρμονίαν φιλίας ἐργάσασθαι ἣν οὐδεὶς τῶν πάντων λῦσαι

ep. 90 ca – 89: cf. Kolia-Dermitzaki 1997 ‖ **8** βασιλέως: Constantinus X Ducas (imperator: 23/24.XI.1059 – 22/23.V.1067) (Π XVIII)

ep. 90 P 220v–221r; tit. scripsi: ⟨Μιχαὴλ ὁ Δούκας Ροβέρτῳ δουκὶ τῆς Λογγιβαρδίας⟩ S

δυνήσεται. Καὶ μὴ θαυμάσῃς ὅτι σὲ τῶν ἄλλων ἀρχηγῶν ἐξαίρω καὶ μείζονος ἀξιῶ πράγματος· ἡ γὰρ ταὐτότης τῆς κατὰ θεὸν ὁμολογίας καὶ πίστεως τὴν ἀκριβεστάτην ἁρμονίαν τῆς διαθέσεως
30 (ἣν ἐρεῖ προϊὼν ὁ λόγος) εἰργάσατο.

Τίς οὖν ὁ τρόπος τῆς θαυμασίας ἑνώσεως; Βούλομαί σε δι' ἀγχιστείας ἐμαυτῷ ποιήσασθαι συγγενῆ, καὶ μίαν τῶν σῶν θυγατέρων τῷ ἐμῷ ἀδελφῷ κῦρ Κωνσταντίνῳ τῷ πορφυρογεννήτῳ βασιλεῖ εἰς γάμου κοινωνίαν ἁρμόσασθαι, ἵνα διὰ τῆς
35 τούτων ἱερᾶς συναφείας καὶ ὁ νῦν δεσμὸς φιλίας ἀρραγέστατος γένοιτο. Οὐκ ἀγνοεῖς δὲ πάντως ὁποῖόν ἐστιν ἡ τῶν καθ' ἡμᾶς Ῥωμαίων βασίλειος ἡγεμονία, καὶ ὅτι καὶ οἱ πόρρωθεν ἡμῖν κατὰ γένος συναπτόμενοι εὐτύχημα μέγιστον τὴν ἕνωσιν ἥγηνται. Ἐγὼ δέ σοι τὴν θυγατέρα οὔτε ἀλλοτρίῳ τοῦ γένους οὔτε οἰκείῳ
40 μέν, τῶν πόρρωθεν δὲ συναρμόζομαι, ἀλλ' ἀδελφῷ ἀπὸ τῶν αὐτῶν μὲν φῦντι σπερμάτων, ἀπὸ τῆς αὐτῆς δὲ ἀναβλαστήσαντι φύσεως, ἐν πορφύρᾳ μὲν γεννηθέντι βασιλικῇ, βασιλικοῖς δὲ σπαργάνοις περιπλακέντι, καὶ ὁμοῦ τῇ γενέσει τὴν βασιλείαν λαχόντι παρὰ θεοῦ.

45 Τοῦτο ἐμὸν μὲν ἐνθύμημα, σὸν δὲ εὐτύχημα, θεοῦ δὲ ἄνωθεν οἰκονομία ἀμφοτέροις συμφέρουσα· σεμνοτέρα τε γάρ σοι ἐντεῦθεν ἡ ἡγεμονία γενήσεται, καὶ πάντες σε θαυμάσουσι καὶ ζηλώσουσι τοιαύτης τετυχήκοτα λαμπρότητος. Εἰ γὰρ καὶ πρὸς τὸν μετ' ἐμοῦ πρότερον ἄρξαντα τὸ τοιοῦτον ἐσπούδασταί σοι συνάλλαγμα,
50 καὶ καθωμολόγηταί σοι ὁ ἐκείνου υἱὸς εἰς μίαν τῶν θυγατέρων, ἀλλὰ πολὺ τὸ διαλάττον πρὸς ἑκατέρους· οὐ γὰρ ταὐτὸν ἐπείσα-

32–33 μίαν – θυγατέρων: Helena? ‖ **33–34** τῷ[1] – βασιλεῖ: Constantinus vel Constantius Ducas (1060–1081), filius Constantini X et Eudociae Macrembolitissae ‖ **48–49** τὸν – ἄρξαντα: Romanus IV Diogenes (imperator: 1.I.1068 – a. 1071) (Π XIV) ‖ **51–58** οὐ – τελεώτερον: cf. Π 89,111–123 οὐ γὰρ παρὰ τυραννικωτάτης ψυχῆς τὸ ἐπάγγελμα, ἀλλὰ παρὰ βασιλικωτάτης γνώμης τὸ ὁμολόγημα. ἐρρίζωται δέ σοι καὶ τὸ θυγάτριον, ἢ (οὕτως εἰπεῖν) ἐγκεντρίζεται εἰς πιοτάτην ῥίζαν καὶ καλλιέλαιον, ἀλλ' οὐκ εἰς αὐχμηράν τε καὶ ἀγριέλαιον· καὶ ῥίζα μὲν τοῦ τοιούτου βασιλικοῦ δένδρου καὶ τῆς καλῆς ταύτης πιότητος ὁ ἐμὸς πατὴρ ἐχρημάτισεν, εἶτα ἐνεκεντρίσθη παραφυὰς ἀγριέλαιος, εἶτα τῆς δίκης μὴ ἀνασχομένης τὴν τοιαύτην παραφυάδα μετασχεῖν τῆς καλλιελαίου ποιότητος, ἐκεῖνο μὲν ἀπέσπασται καὶ διέρρηκται, ὁ δὲ βλαστὸς ἐγὼ τῆς πρώτης ῥίζης ἀνέθαλλον, συνανεφύησαν δέ

48 τὸν corr. S: τὴν P

κτος βασιλεύς, καὶ αὐθιγενής, οὐδὲ εὐθύτης βασιλική, καὶ αὐτονομία τυραννική· οὐδὲ ἶσοι οἱ τοῦ κράτους θεμέλιοι. Ἐγὼ μὲν γὰρ ἐξ ἐννόμου βασιλείας τὴν διαδοχὴν τῆς ἀρχῆς ἔσχηκα, ὁ δὲ ἐξ ἑτερογενοῦς ῥίζης εἰς τὴν βασιλείαν τῶν Ῥωμαίων ἐνεκεντρίσθη· 55 ἐδίκασε δὲ καὶ θεὸς ἄνωθεν, τὸν μὲν τῆς ἀρχῆς ὑφελόμενος τυραννικῶς ταύτην διαχειρίζοντα, ἐμὲ δὲ ἐγκαταστήσας ἐν αὐτῇ τελεώτερον.

Νῦν οὖν σοι ἡ ἐπιγαμία εἰς καύχημα ἔσται καὶ σεμνολόγημα. Νῦν σοι τὸ θυγάτριον βασιλικοῦ ἀξιωθήσεται αἵματος, ἐννόμου 60 τετυχηκὸς καὶ ἀξίας καὶ κλήσεως. Δεῖ οὖν σε τὸ ἐντεῦθεν οἷα δὴ τῆς συγγενείας τοῦ ἐμοῦ κράτους ἠξιωμένον, τὰ μὲν πρῶτα χαίρειν καὶ ἀγαλλιᾶσθαι ἐπὶ τῷ πράγματι, καὶ τὴν ὁμολογίαν συντετελεσμένην ἔχειν ἀληθείᾳ, καὶ φρούριον εἶναί σε τῶν ἡμετέρων ὁρίων, φείδεσθαί τε τῆς καθ' ἡμᾶς ὑπηκόου ἀρχῆς, συμμαχεῖν 65 τε καὶ ἀντιμαχεῖν, ἐν ἅπασι καὶ πρὸς ἅπαντας, καὶ τοῖς μὲν εὐνοοῦσιν ἡμῖν προσφέρεσθαι εὐνοϊκῶς, τοῖς δ' ἐναντίως ἔχουσιν ἀπεχθάνεσθαι καὶ μισεῖν· τοιοῦτος γὰρ ὁ τῆς φιλίας ὅρος ἐστίν, ἕκαστον τῶν διὰ φιλίας ἀλλήλοις ἀνακραθέντων τῶν τοῦ φίλου πραγμάτων ὡς ἰδίων ἀντέχεσθαι. 70

Τὰ μὲν οὖν ἀφ' ἡμῶν πρὸς σὲ ἤδη σοι καὶ ἐγνώρισται καὶ καθωμολόγηται· καὶ οὐκ ἄλλως τὸ ἀπὸ τοῦδε γενήσεται. Γνώρισον δὲ καὶ αὐτὸς τῇ βασιλείᾳ μου ὅπως ἔχεις περὶ τὰ ἐμοὶ δόξαντα, μᾶλλον δὲ ταῦτα μὲν οἶδα ὡς ἀποδέξῃ, ὅπως δὲ βούλει γενέσθαι τὸ πρᾶγμα διὰ γραμμάτων σου δίδαξον. 75

μοι καὶ οἱ ἀδελφοί. τούτων γοῦν ἑνὶ τῷ καλλίστῳ καὶ τὸ σὸν θυγάτριον συναφθήσεται, ἵν' ἐξ ἐννόμου ῥίζης καὶ τῷ ὄντι βασιλικῆς πάλιν ἕτεροι κλάδοι ἀναβλαστήσουσι

52 αὐθιγενής scripsi: αὐθεγενής P S

XX. Ζώμης

κριτὴς Ὀψικίου

cf. Π 349 et Π 360?

91. Τῷ κριτῇ Ὀψικίου τῷ Ζωμῇ

S 29 [P]

Οὐ τοσοῦτον αὐτὸς δυσχεραίνεις τὰς πολλὰς ἴσως τῶν ἀξιώσεων, ὅσον ἐγὼ τὸ δεῖσθαι περὶ πολλῶν τῶν αὐτῶν, καὶ μάλιστα τῶν ὁποῖος σύ, τὸ δικαστικὸν σώζων ἀξίωμα, καὶ τῆς ἰσότητος ἐν πᾶσιν ἐχόμενος. Ἀλλ᾽ ἐπεὶ «πρὸς τὰς τύχας τὰς φρένας» κατὰ τὸν
5 εἰπόντα «κεκτήμεθα», ἐγώ τε αὖθις ἀδολεσχήσω ταῖς πρὸς σὲ ἀξιώσεσι, σύ τε καρτέρησον καὶ φιλοσόφησον τὴν ὑπομονήν.

Προσέδει μοναστηρίου ἡμῖν· καὶ δόξαν οὕτω θεῷ, τὸ ἐνδέον προσγέγονε· καὶ τοῦ Μηδικίου ἤδη δεσπόζομεν. Τὸ δὲ Μηδίκιον, μοναστήριον μέν, ἀφανὲς δέ· ὥσπερ τοὔνομα, οὕτω καὶ τὸ
10 πρᾶγμα. Εἰ μὲν γὰρ πολλῆς εὐπορεῖ γῆς, οὐκ οἶδα· ὅτι δὲ κατάχρεών ἐστι ἐπίσταμαι ἀκριβῶς. Πείθουσι δέ με πολλοί, ὡς ἢν ἀποδῶ τὰ χρέα, καὶ ἐξωνήσωμαι βόας, καὶ προσκτήσωμαι θρέμματα, καὶ ἀμπελῶνας ποιήσωμαι, καὶ ποταμοὺς ἐπιστρέψω, καὶ μετοχετεύσω ὕδατα, καὶ πᾶσαν ἐπ᾽ αὐτῷ κινήσω γῆν τε καὶ
15 θάλασσαν, ἑκατὸν μὲν μεδίμνους πυροῦ, πλείους δὲ ἢ καὶ διπλασίους κομιοῦμαι κριθῆς, ἐλαίου δὲ ὅσας ἄν τις εἴπῃ χοάς.

Ἔγωγ᾽ οὖν, πρίν τι λαβεῖν, οὐκ ὀλίγον (νὴ τὴν τιμίαν σου ψυχήν!) χρυσίον ἀνάλωσα. Ἀλλ᾽ ἐπειδὴ ἐκεῖνοι τὸ τῆς εὐπορίας κεφάλαιον ἠγνοήκασιν, αὐτὸς ἐγνωκὼς μόνος, ἰδοὺ δὴ πρὸς σὲ καὶ
20 τὴν ἔμψυχον γλῶτταν, τὸν μοναχόν, ἐξαπέστειλα· καὶ τὴν ἄψυχον ταύτην ἀπέσταλκά σοι ἐπιστολήν, εἰ δὲ βούλει καὶ ταύτην ἔμπνουν. Καὶ δέομαι δή σου εἴπερ ποτε ἀποδοῦναι ἡμῖν σαυτόν,

4–5 πρὸς – κεκτήμεθα: Eurip. Ἱππόλυτος 701. cf. Π 77,36–37 = Π 130,36–37 **8–9** τὸ δὲ Μηδίκιον μοναστήριον: cf. Janin 1975,165–168 et Mango–Ševčenko 1973,240–242 et Π 85,7, Π 243,22, Π 258,1, Π 349,18, Π 350,1–2, et Π 360,44–45 ‖ **14–15** πᾶσαν – θάλασσαν: proverbium, cf. Psel. Εἰς τὸν σεισμὸν … = Phil. min. I 30,79–80 οὐχ ὡς κινοῦντες καὶ τὴν γῆν καὶ τὴν θάλατταν, et Π 205,3–4

ep. 91 P 197v; tit. scripsi: τῷ κριτῇ Ὀψικίου τῷ Ζωμᾷ P S

καὶ γνωρίσαι ἐπὶ καιροῦ τὴν σὴν πρὸς ἡμᾶς γνώμην τε καὶ ψυχήν· κατακέκριμαι γὰρ (ὥς φασιν) ἅπαξ ἑστιᾶν σε τοῦ ἔτους· καὶ δέον ἀγάλλεσθαι, ἀπολοφύρομαι ἄντικρυς. Εἰ γὰρ αὐτὸς ὁ 25 φίλτατος ἅμα καὶ εὐγενέστατος τῆς πτωχῆς ταύτης κατατρυφήσεις μονῆς, σχολῇ γ' ἂν τὸν μετὰ σὲ πείσαιμεν τῆς ἐτησίου ταύτης ἀποσχέσθαι διαίτης. Ἐμοὶ δὲ οὐ ταῦτα μέλει περὶ τῆς σῆς ἑστιάσεως (οἶδα γὰρ ὅτι φιλόσοφον παρατίθης τράπεζαν), ἀλλ' ὅτι μοι τὸ ὄνομα σμικρυνθήσεται ἐπὶ σοί, καὶ ταῦτα φίλῳ καὶ δικαστῇ. 30

Καὶ ἵνα μὴ σμικρολογίαν τὴν ἐμὴν ἀξίωσιν οἰηθῇς, ὁπόσον βούλει χρέος ὁμολογήσω σοι. Φεῖσαί μοι μόνον τῶν ἀποκειμένων ἐν τῇ μονῇ, καὶ μή τις ἐκεῖσε παραγένηται ταξεώτης· ἀρκέσουσι γὰρ ἡμῖν οἱ μετὰ σὲ τοῦτο ποιήσοντες, ὁπότε ἴσως οὐδ' ἐν τοῖς βασιλείοις, ἀλλ' ἐν τοῖς Ὀλύμπου ἐσόμεθα μέρεσιν. 35

Ἀλλ' ἆρα ἡ πραγματεία τῆς ἀποστολῆς καὶ τῆς ἐπιστολῆς τοῦ μὴ σέ τι παρὰ τῆς μονῆς λαβεῖν ἕνεκα γέγονε; Πολλοῦ γε καὶ δεῖ· ὃν γὰρ ἂν ἡδέως ὑποδέξωμαι ἐν μέσῃ καρδίᾳ, πῶς ἀγρῶν ἢ χωρίων ἀπώσομαι; Ἀλλὰ πεποίημαι ἄμφω, ἵνα σὺ γνῷς, ὅτι δεσπόται γεγόναμεν τῆς μονῆς, καὶ τὰ ἐπὶ τούτοις προσθήσεις, τὸ 40 ἀντιποιεῖσθαι ταύτης, τὸ προσίεσθαι εὐμενῶς τοὺς ἐν αὐτῇ μοναχούς, καὶ τἆλλα ὅσα φιλίας ἀληθοῦς σύμβολα.

Μὴ δυσχέραινε οὖν τὴν ἀξίωσιν, ἀλλ' ἀγαλλιῶ, ὅτι με ποιεῖν εὖ ὁ καιρὸς δίδωσί σοι· οὐ γὰρ εἰς ἀγνώμονα καταθήσεις ψυχήν, ἀλλ' εἰς ψυχὴν καὶ γλῶτταν, τὴν μὲν εὐχαριστεῖν, τὴν δὲ εὐφημεῖν 45 δυναμένην.

92. Τῷ κριτῇ τοῦ Ὀψικίου τῷ Ζωμῇ

eodem tempore ut Π 405?

S 190 [P]

Παρενέτυχον, ἀληθῶς κάλλιστε ἀδελφὲ καὶ ἰσόψυχε, ἀναγινωσκομένης σου τῆς γραφῆς παρὰ τοῦ κραταιοῦ καὶ ἁγίου

1 ἰσόψυχε: Ps. 54,14 ἄνθρωπε ἰσόψυχε. cf. Psel. Λόγος εἰς τὴν σταύρωσιν = Or. hag. 3a,794, Π 53,26, Π 100,1, Π 163,1, Π 209,1–2, Π 304,2, Π 462,2, Π 494,1, Π 508,1, Π 551,1, et Π 553,1 ‖ **2–3** τοῦ – αὐτοκράτορος: cf. Π 405,12 ὁ φιλανθρωπότατος ἡμῶν βασιλεύς?

ep. 92 L 84r–85r, P 237r; tit. L P S ‖ **2** καὶ ἁγίου L: om. P S

ἡμῶν αὐτοκράτορος· καὶ τὰ μὲν ἤκουσα, τὰ δὲ καὶ αὐτὸς εἴρηκα ὁπόσα ἔδει περὶ σοῦ πρὸς τὸν καιρὸν φθέγγεσθαι. Καὶ ἦν ἀγών,
5 τοῦ μὲν λογοθέτου κἀμοῦ περὶ τοῦ διαδεχθῆναί σε, αἰτίας λεγόντων πρὸς τοῦτο καὶ ἀληθεῖς καὶ ἐπιτηδείους πρὸς τὸν σκοπόν: τὸ νοσεῖν ἐκ πολλοῦ, τὸ ἀπειρηκέναι σε καὶ μηδὲ πρὸς τὰ πράγματα αὐτὰ δύνασθαι ἐγηγέρθαι· τοῦ δὲ βασιλέως, αὐτόθι σε ἐγκαταμεῖναι, καὶ εἰ οἷόν τε ἐστι καὶ καταγηρᾶσαι· αἰτίας δὲ εἶχε
10 καὶ ἡ ἐκείνου ἀντιλογία: τῆς σῆς ψυχῆς τὸ εὐθές, καὶ τὸ μὴ δεῖσθαι πολλῶν, καὶ τὸ πρὸς τὰ συμπίπτοντα δραστικόν, καὶ τὸ περὶ τὰς πράξεις δεξιόν. Καὶ ἐπεὶ μὴ ἰσοπαλεῖς οἱ ἀγωνιζόμενοι, κρίσιν ἔσχηκεν ἡ πάλη ταχεῖαν, καὶ ὁ μείζων νενίκηκεν. Ἀλλὰ τηνικαῦτα μέν, οὔπω δῆλος ἦν οἵαν περὶ σοῦ τὴν ψῆφον ἐνέγκοι,
15 πλὴν ὅσον ἀπὸ τοῦ δυσχερᾶναι τὰς ἀξιώσεις σου, ὑπωπτεύετο τί ἂν εἰκότως ποιήσειε. Μετὰ ταῦτα δὲ καθ’ ἑαυτὸν γεγονώς, ἔτι ἐπερρώσθη πρὸς τὸν οἰκεῖον σκοπόν, καὶ σφραγῖδα τὴν ἀπὸ τῆς ἐξουσίας ἐπέθηκε τῷ βουλήματι.

Οἴου τοίνυν, ἀδελφὲ φίλτατε, μάλιστα δὲ πεπληροφόρησο, ὅτι
20 ἐξ ἀρχῆς γενναίας καὶ ἀγαθῆς, εἰς οὐδέν σοι χρηστὸν καταλήγει τὸ τέλος. Τί δὲ τοῦτό ἐστιν; ὁ φιλάγαθος ἡμῶν βασιλεύς, τὰ μὲν παρ’ ἄλλων ἀκούων, τὰ δὲ καὶ παρ’ ἑαυτοῦ συνειδώς, ἄνδρα σε ἥγηται (ἵνα τὰ πολλὰ συντεμὼν εἴπω), οἷος δὴ καὶ τυγχάνεις ὤν· θηρᾶται δὲ τοιούτους καὶ συλλέγει τῷ βίῳ καὶ ὑφ’ ἑαυτὸν ποιεῖται,
25 βουλόμενος διὰ τούτων κατάστασιν πρυτανεῦσαι τοῖς πράγμασι. Διὰ ταῦτα δή σε εὑρηκὼς ἁρμόσαντα τῷ τε καιρῷ καὶ τῷ ἰδίῳ

5 τοῦ[1] – λογοθέτου: Theodorus Alopus (Π III)? ‖ **25** βουλόμενος – πράγμασι: cf. Greg. Naz. Κατὰ Ἰουλιανοῦ στηλιτευτικὸς α´ = Or. 4,48 μεταβολὴν πρυτανευόντων τοῖς πράγμασιν cum Psel. Ἐγκωμιαστικὸς εἰς … Μιχαὴλ τὸν Κηρουλλάριον = Or. fun. I 1,16,54–55 κατάστασιν παρ’ ἑαυτῆς χρόνον ὅσον βραχὺν τοῖς πράγμασι πρυτανεύσασα. cf. etiam Psel. Χρονογραφία VI,218 (=VIa 15) μηδὲ τὴν ἀρίστην μεταβολὴν πρυτανεῦσαι τοῖς πράγμασι, Ἕτερος λόγος πρὸς τὸν αὐτὸν βασιλέα (scil. Κωνσταντῖνον τὸν Μονομάχον) = Or. pan. 4,109–110 τὴν γεωμετρικὴν τοῖς πράγμασιν ἰσότητα πρυτανεύουσαι, Εἰς … τὸν Μονομάχον = Or. pan. 7,78–79 τὴν ἰσότητα πρυτανεύεις τοῖς πράγμασι, Π 45,12 μεταβολὰς χρηστοτέρας πρυτανεύειν τοῖς πράγμασιν, et Π 210,55–56 πρυτανεύειν τοῖς πράγμασι τὴν μετάθεσιν

14 ἐνέγκοι P S: ἐνέγκῃ L ‖ **21** φιλάγαθος ἡμῶν P S: om. L ‖ **23** δὴ L: εἶ P S

σκοπῷ, βούλεται διὰ σοῦ περιποιῆσαι τῷ θέματι, ὁπόσα καὶ βούλεται.

Ἡ μὲν οὖν ἀρχὴ τοιαύτη· καὶ οὐδ᾽ αὐτὸς ἐρεῖς ὡς οὐκ ἀγαθή. Τὸ δὲ τέλος, ἐπειδή σοι ὁ σκοπὸς πρὸς ἄλλον βίον ὁρᾷ, πάντως 30 ἀσυντελὲς ἢ ἐναντίον παντάπασιν. Ἀξιοῖς οὖν ἡμᾶς συντελέσαι σοι ὁπόσα δὴ συντείνει σου τῷ σκοπῷ· καὶ τοῦτο μὲν ἕξεις παρ᾽ ἡμῶν δυεῖν ἕνεκα: ὅτι σοι καὶ φιλίας ὀφείλω χάριτας, καὶ (τὸ μεῖζον) ὡς ἂν καὶ αὐτὸς ἕξω τῆς συντελείας παρὰ θεοῦ τὸν μισθόν.

Τοῦτο μὲν οὖν ἔσται σοι παρ᾽ ἡμῶν. Εἰ δέ σοι δεῖ καὶ συμβου- 35 λίας ἐμῆς, εἰ μὲν ἀπηγόρευταί σοι τὰ τῆς ζωῆς, πάσης καταφρονήσας καιροῦ χρείας, καὶ τῆς πρὸς αὐτὸν ἐνθυμήσεως καὶ παρασκευῆς, πρόλαβε τὴν τομὴν κατὰ προθεσμίαν ἑστῶσαν. Εἰ δ᾽ ἀνακεκόμισταί σοι τὸ σῶμα, καὶ ἀορισταίνει αὖθις ὁ θάνατος, μηδέν τι δράσῃς παράβουλον, μηδ᾽ ἀποκλείσῃς σαυτῷ τὰ σπλάγ- 40 χνα τοῦ αὐτοκράτορος· ἀλλὰ καὶ αὖθις ἀξίωσον, καὶ ἐπιεικῶς αὐτῷ τὸν σὸν σκοπὸν πληροφόρησον, καταλέγων τὴν ἀτονίαν τοῦ σώματος, τὴν πρὸς θεὸν ἐπαγγελίαν, τὴν τῶν ἰατρῶν τέχνην ἀπειρηκυῖαν, ἵν᾽ οὕτως ἑλκύσας πρὸς τὸ φιλάνθρωπον, ἕξεις αὖθις παραμυθούμενόν σε καὶ τὸν μοναχικὸν βίον. 45

Μὴ γὰρ οἰηθῇς, ἀδελφέ, ὅτι ὁμοῦ τε γινόμεθα μοναχοί, καὶ μεταλλάττεται ἡ φύσις ἡμῶν εἰς ἕτερον εἶδος πρὸς τὰς ἀναγκαίας χρείας ἀποτομώτερον ὡς μηδενὸς δεῖσθαι, μήτε τῶν περιττῶν, μήτ᾽ αὐτῶν τῶν ἀναγκαίων. Εἰ μὲν γὰρ ἄλλοις τοῦτο προσγίνεται, οὐκ οἶδα τοὺς ἄνδρας ἐκείνους ἐγώ· ἐμοὶ γοῦν καὶ φιλοσοφή- 50 σαντι καὶ φιλοσοφοῦντι, καὶ ἡ φύσις ἐμμένει, καὶ ἡ γνώμη κατὰ βραχὺ πρὸς τὸ θειότερον ἄνεισιν. Ἀλλ᾽ οὐκ εὐθὺς ἀποτασσομένοις ἡμῖν φιλίαις καὶ συγγενείαις, τὸ μέγα τοῦτο χρῆμα τῆς ἀρετῆς περιγίνεται· ἀλλὰ τότε δὴ καὶ μάλιστα αἵ τε συγγενικαὶ ἀναγκαιότητες, οἵ τε τῆς φιλίας δεσμοὶ προσφύονταί πως ἡμᾶς καὶ 55 περιπλέκονται, ἵνα μὴ τἆλλα ἐρῶ ὧν κοσμικοὶ τὴν φύσιν οὐκ ᾔδειμεν. Τὸ μὲν οὖν ἀμεῖψαί σε τὴν ζωήν, καὶ συμβουλεύω καὶ προτρέπω (θεῖος γὰρ καὶ ἀκήρατος ὁ τῶν μοναζόντων βίος ἐστί)· τὸ δ᾽ ἀθρόον καὶ ἀπαρασκεύως, οὐκ ἂν ποτέ σοι προτρέψαιμι.

27 ὁπόσα P S: ὅσα L ‖ **38** ἑστῶσαν L: ἐνστᾶσαν P S ‖ **40** παράβουλον P S: παράβολον L ‖ **42** σὸν P S: om. L ‖ **45** μοναχικὸν L: μοναδικὸν P S **46** γινόμεθα L: γιγνόμεθα P S ‖ **51** ἐμεμήνει S

60 Εἰ μὲν οὖν ἡ γνώμη κατὰ νοῦν σοι φανείη, ἕπου ταύτῃ καὶ πράττε κατὰ τὴν εἰσήγησιν. Εἰ δὲ γενναιότερον ἔχεις, καί σε ὁ πρὸς θεὸν ἔρως ἐπῆρεν, ἴσθι, ἀδελφέ, ὡς κρείττων ἡμῶν γέγονας· καὶ λεγόντων μὲν ἡμῶν καταφρόνησον, σὺ δὲ τῇ θείᾳ χάριτι (τί γὰρ ἂν ἄλλο εἴποιμι;) τὴν κατάλληλον πραγματεύου παρασκευήν.

XXI. Ἠλίας

πρωτονοτάριος

93. Τῷ πρωτονοταρίῳ Ἠλίᾳ

Wes 6 [f], Karp 1 [a²]

Ἀχράδας ἐξ ὧν (φασι) γλίσχρως τῶν ζῴων τὰ ὀρεσίτροφα διατρέφεσθαι πέπομφα, καὶ ταρίχη πτηνῶν εὐαρίθμητα. Ἀλλ᾽ ὁ τὴν φιλίαν ἀπαράμιλλος σύ, μήτε τὴν ποιότητα τῆς ὀπώρας ὡς στυφώδη ὑπολογίζου, μήτε μὴν τὴν ποσότητα τῶν πτηνῶν ὡς 5 φαύλην τε καὶ μικράν, τὴν δὲ διάθεσιν τοῦ φιλοῦντος ἀθώπευτα. Καὶ εἴη σε, κατεμφορηθέντα τούτων εἰς πλησμονήν, χάριν ὁμολογῆσαι τοῖς ἀτυχοῦσιν ἡμῖν.

ep. 93 f 138r, a² 140v–141r; tit. Karp: τοῦ Ψελλοῦ τῷ πρωτονοταρίῳ Ἠλίᾳ f τοῦ Ψελλοῦ ἐπιστολαί: τῷ πρωτονοτάρη Ἠλία a² [[τοῦ Ψελλοῦ]] τῷ πρωτονοταρίῳ Ἠλίᾳ Wes ‖ **3** ποιότητα f Wes Karp: πιότητα a² ‖ **4** στυφώδη a² Karp: στυφώδης f Wes ‖ **5** φαύλην – μικράν Karp: φαύλη τὲ καὶ μικρά a² f Wes

XXII. Ἡσαΐας
πρώξιμος

94. Ἡσαΐᾳ πρωξίμῳ
Pselli?

K-D 24

Τὴν σὴν ἱερὰν κεφαλὴν προσαγορεύων, αὐτὸν τὸν Ἀριστείδην προσαγορεύειν δοκῶ. Ἐκεῖνος μὲν γὰρ δίκαιος, σὺ δὲ ἀρετῇ αἰδέσιμος. Εἰ καὶ φιλόφιλος ἦσθα, καὶ τοῦτο τῆς σῆς ἀρετῆς ἄξιον ἂν ἦν· τοὺς γὰρ κατὰ σὲ οὐ τοὺς φίλους μόνον φιλεῖν ὁ κύριος ἐν τοῖς εὐαγγελίοις διδάσκει, μᾶλλον δὲ πάντας ἑξῆς, ἀλλὰ καὶ τοὺς 5 ἐχθρούς. Σὺ δὲ (ὡς ἔοικεν) οὐδὲ τοὺς φίλους φιλεῖς· καὶ πῶς γὰρ φιλεῖς, εἰ μηδὲ κάμνοντας ἐπισκέπτῃ καὶ τούτους περισκοπεῖς; Κάμνω δὲ ἐγώ, καὶ νόσῳ δεινῇ καὶ βαρείᾳ. Σὺ δὲ οὐδὲ θεάσασθαί με παραγέγονας, ὁ πάντων με μᾶλλον φιλεῖν ὑπισχνούμενος· καίτοι γε οὐκ ἂν ἔχοις εἰπεῖν ὡς οὔπω τοῦτο μεμάθηκας. 10

Σκόπει οὖν ὅπως φιλίαν ἀδικεῖς, μὴ μεμνημένος καμνόντων τῶν φίλων, ὁ πάντων ἐμοὶ φίλτατος καὶ θαυμαστὸς Ἠσαΐας· οὗ ταῖς εὐχαῖς τοῦδε τοῦ λοιμικοῦ πάθους ἀπαλλαγείημεν, καὶ καθαρᾶς ἀπολαύσαιμεν τῆς ὑγείας.

Οὑτοσί δέ, ὃς τὴν ἡμετέραν γραφὴν ἐγχειρίζει σοι, παῖς μέν 15 ἐστι τοῦ καλοῦ Θεοφάνους, ὃν καὶ αὐτὸς οἶδας, μαθητὴς δὲ ἐμός. Ἐξ ὅτου δὲ κλινήρης αὐτὸς γέγονα, οὔτε λόγων μετέσχεν οὔτε σχέδος (ὡς οἶμαι) γέγραφε, κατὰ δὲ τὸν Ὁμηρικὸν ἀτακτεῖ ἵππον παιγνίοις προσανέχων. Πάντοθεν οὖν περισκοποῦντι, δεῖν ἔδοξε ταῖς σαῖς ἱεραῖς προσαναθεῖναι τὸν παῖδα χερσίν, ἵνα δὴ τῇ σῇ 20

XXII cf. Π 160,1 τῷ καλῷ Ἠσαΐᾳ? ‖ **1–2** αὐτὸν – δίκαιος: cf. e.g. Suda α 3903 Ἀριστείδης ... οὕτω δὲ ἦν δίκαιος ... etc. ‖ **4–6** τοὺς[1] – ἐχθρούς: Mt. 5,44 et Luc. 6,35 ἀγαπᾶτε τοὺς ἐχθροὺς ὑμῶν ‖ **18** κατὰ – ἵππον: Greg. Naz. Εἰς τὸν μέγαν Βασίλειον ... = Or. 43,24 ἐπιμείναντά με ταῖς Ἀθήναις χρόνον οὐχὶ συχνόν, ποιεῖ τὸν Ὁμηρικὸν ἵππον ὁ πόθος· καὶ τὰ δεσμὰ ῥήξας τῶν κατεχόντων κροαίνω κατὰ πεδίων cum Hom. Il. 6,506–507 et 15,263–264 ἵππος ... / δεσμὸν ἀπορρήξας θείῃ πεδίοιο κροαίνων. cf. Psel. Εἰς τὸ ‘ὧν γὰρ τοὺς ἐπαίνους ...’ = Theol. I 98,24–26 et Π 473,17–18 et Π 474,18–19

ep. 94 K 83v–84r; tit. K K-D

ποιμαντικῇ ποιμαίνηται ῥάβδῳ· καὶ τῶν πολλῶν παιγνίων ἀπέχοιτο, ἐφ' ὃ δεῖ παρὰ σοῦ ἰθυνόμενος. Καὶ δέχου τοῦτον· καὶ τοῖς σοῖς συναρίθμει μαθηταῖς.

Τὰ δ' ἄλλα ἔρρωσο καὶ εὐθύμει· καὶ ἡμᾶς τῶν αὐτῶν ἐπαπο-
25 λαύειν ἐπεύχου.

XXIII. ⟨Λέων (?)⟩ Ἰασίτης († post Aug. 1071?)

κουροπαλάτης, ⟨μοναχός (cf. Π 508) (?)⟩

95. Τῷ Ἰασίτῃ

S 171 [P]

Ἄλογον ὡς ἀληθῶς, σεβασμιωτάτη μοι κεφαλὴ Ἰασίτα, εἰ λόγου βουλοίμην ἀνταλλάττεσθαι ἄλογον, ὥσπερ μελίνην ἀντὶ πυροῦ, ἢ ψίαθον ἀντὶ ξυστίδος, ἢ βύρσαν ἀντὶ χρυσοπάστου στολῆς. Εἰ δὲ καὶ φιλόσοφός τις θείη τὸ χρῆμα, ἀλλ' ὅμως ἐμπορικόν· καὶ
5 πολλοί γε χείρονα μὲν κρειττόνων κατά γε τὸ ποιὸν ἀνταλλάττονται, τῷ δὲ ὑπερβάλλοντι τῆς ποσότητος κερδαλεώτερόν πως αὐτοῖς τὸ τῆς ἀνταμείψεως γίνεται. Ἐγὼ δέ, εἰ μὲν αὐτὴν τὴν τοῦ λόγου στέρησιν τῆς λογικῆς ἀντηλλαττόμην ἕξεως καὶ δυνάμεως, ἄτοπος τις ἂν εἴην καὶ οὐ φιλόσοφος. Νῦν δὲ
10 οὐ στέρησις ὃ ἀντιλαμβάνω τὸν λόγον διδούς, ἀλλ' οὐσία τις ὑποστατική· χεῖρον μὲν καὶ οὕτω τῆς ἐν ἐπιστολαῖς λογιότητος, αὐθύπαρκτον δὲ ὅμως πρᾶγμα καὶ οὐ στέρησις ἕξεως.

Εἶτα εἰ μὲν παντὸς τοῦ ἐν ἐμοὶ λόγου ἠλαττόμην τὸ ἀντικεί-μενον, εἶχέ τινά μοι μέμψιν ἡ ἄμειψις. Ἐπεὶ δὲ ὥσπερ πηγῆς τὸ
15 ἀποχετευόμενον οὐκ ἐλαττοῖ τὴν ἀρχὴν ἀφ' ἧς τὸ ῥεῖθρον, οὕτω δὴ κἀμοὶ τὸ γραμμάτιον. Καὶ ἐὰν ἐλάττω τὸν λόγον ποιῇ, οὐ παρὰ τοῦτο μεμπτέος ἐγὼ ἢ ἐπαινετέος, προσκτώμενος τῷ οἰκείῳ καὶ

XXIII Λέων: Seibt I 140; Κωνσταντῖνος prop. Gautier 1970,217–218 et Gautier 1976a,94; Μιχαήλ prop. Weiss 1972,30 | Ἰασίτης: cf. Π 119,31, Π 135,35–36, Π 283,20, et Π 508,2

ep. 95 P 229r–v; tit. P S ‖ **3** ψίαθον scripsi: ψίανθον P S ‖ **4** φιλόσοφός : an φιλοσόφως scribendum?

τὸ ἀλλότριον, ἵν' ἔχω τὸ μὲν ὄχημα τῆς ψυχῆς, τὸ δὲ τοῦ σώματος.

Καὶ ἵνα σοι μέγα ποιήσωμαι τὸ μικρόν καὶ εἰς ταὐτὸν 20 συναγάγω τὼ πράγματε, φιλοσοφίαν ὁμοῦ καὶ ῥητορικήν, τὸ βραχὺ μεγεθύνων καὶ τὸ σχεδὸν ἀνυπόστατον εἰς οὐσίαν στερρὰν τιθέμενος, οὔτε παρὰ σοὶ μόνον τὸ ἄλογον, οὔτε παρ' ἐμοὶ θάτερον μόνον τὸ λογικόν. Μᾶλλον δὲ τὸ μὲν λογικὸν ἶσον παρ' ἀμφοτέροις καὶ ὅμοιον, τὸ δέ γε λόγιον παρ' ἑκατέρῳ μέν, ἀλλ' οὐ κατ' 25 ἴσην μοῖραν, ἀλλ' ὥσπερ ἐν ζυγοῖς τρυτάνης ἡ ἐμὴ πλάστιγξ βαρυτέρα τῆς σῆς, ἐπειδὴ καὶ αὐτὸς ἄνθεσι λόγου σεμνύνῃ καὶ ζηλοῖς τὴν ὥραν τῶν λέξεων, ἣν μὴ ἀποτίκτῃς οὕτως, ἀλλὰ τοὺς ἀλλοτρίους μὲν γενναίους δὲ τόκους ὡς οἰκείους ἀσπάζῃ.

Οὔτε οὖν αὐτὸς ἄλογόν τι χρῆμα διδοὺς καὶ λογικὰς λαμβάνων 30 χάριτας ἐκτὸς τῆς ἀλογίας καθίστασαι καὶ μόνον τὸν λόγον ἐνέδυσαι· οὔτε δὲ ἐγὼ οὕτω διδοὺς καὶ λαμβάνων ἀλογώτατος μόνον γίνομαι. Ἀλλ' ἔστιν αὖθις παρ' ἀμφοτέροις ἀμφότερα. Οὕτω γὰρ καὶ ἡ φύσις ἡμῶν συμπέπλασται· τοῦ γὰρ συντεθέντος καθ' ἡμᾶς κράματος, τὸ μέν τι λόγος ἐστί, τὸ δὲ ἀλογία. Καὶ 35 πλείω τοῦ λόγου τὰ ἄλογα. Ἐκεῖ μὲν γὰρ διάνοια μόνον καθ' ἣν οὐσιούμεθα (ὁ γὰρ νοῦς ἑτέρας μερίδος), ἐνταῦθα δὲ αἴσθησις, καὶ φαντασία, καὶ τῆς δόξης τὸ πλέον. Ἀπὸ γοῦν τοιούτων δυνάμεων λογικῶν καὶ ἀλόγων κεκράμεθα. Καὶ τῶν πάντων ἡμῶν οὐδεὶς οὔτε λογικώτατος μόνον, οὔτε ἀλογώτατος· δεῖ γὰρ τῷ λόγῳ, 40 ὥσπερ δεσπότῃ καὶ βασιλεῖ, ὑπηρεσίας τῆς χείρονος, ἐφ' ἧς ὀχήσεται καὶ ἱππάσεται· καὶ αὐτίκα γοῦν διακονεῖται τούτῳ τὰ

18 ὄχημα – ψυχῆς: iunctura Platonica; cf. Plat. Τίμαιος 69c6–7 τὸ μετὰ τοῦτο θνητὸν σῶμα αὐτῇ περιετόρνευσαν ὄχημά τε πᾶν τὸ σῶμα ἔδοσαν et, e.g., Philo Περὶ γεωργίας 77 τοῦτον οὖν ἔοικε τὸν τρόπον αὐτοῖς ἐπιβάταις τὸ τῆς ψυχῆς ὄχημα σύμπαν διαφθείρεσθαι πλημμελῆσαν τὴν ἡνιόχησιν et Psel. Λόγος τοῦ ὑπερτίμου ὃς ἐπικέκληται σελέντιος = Or. min. 4,8–10, Ἔκθεσις τοῦ δόγματος τῶν Ὠριγενιαστῶν ... = Phil. min. II 15 (76,13–14). cf. etiam Psel. <De anima et mente> = Phil. min. II 2 (2,17–19) οὐκ ἄλλο τι γὰρ ὑπάρχων ὁ ἐνδιάθετος λόγος νοῦς τίς ἐστιν, ὁ δὲ προφορικὸς ὅμως ὄχημα νοῦ ‖ **40–42** δεῖ – ἱππάσεται: cf. Plat. Φαῖδρος 246a6–b4 et 253d1–254e9, cum Psel. Ἐξήγησις τῆς Πλατωνικῆς ἐν τῷ Φαίδρῳ διφρείας τῶν ψυχῶν καὶ στρατείας τῶν θεῶν = Phil. min. II 7, Πρὸς τοὺς λέγοντας μὴ εἶναι φύσει χρηστὸν τὸν ἄνθρωπον· ἐλέχθη δὲ ὁ τοιοῦτος λόγος αὐτοσχεδίως = Phil. min. II 17 (83,29–84,7), et Π 23,17–20, Π 116,28–29, Π 134,11–18, Π 214,22–23, Π 474,19–22, et Π 492,65–66

αἰσθητήρια, ἡ κοινὴ αἴσθησις, ὁ τύπος τῶν αἰσθητῶν, ἡ τοὺς λόγους τούτων ἔχουσα δόξα, ἡ τῶν ἐκτὸς ὄρεξις, ὁ γενναῖος καὶ
45 στρατιώτης θυμός, ἡ ἐπιθυμία, τὰ λοιπὰ τῶν δυνάμεων ἐνεργήματα. Καὶ οὔτε κατιὼν ὁ λόγος μέχρι τῆς ὕλης αὐτῆς εἰς ἀλογίαν ἀμείβεται, οὔτε τὸ ἄλογον τῷ λόγῳ κοσμούμενον εἰς οὐσίαν λογικὴν μεταπίπτει. Ἀλλ' ὥσπερ ἵππος, τιθασσευόμενος καὶ χρυσοῖς φαλάροις καλλωπιζόμενος, οὐκ εἰς κρείττω ὕπαρξιν
50 μετατίθεται, οὔτε μὴν εἰς τὴν χείρω ὁ ἐποχούμενος τούτῳ, ὀλισθαίνων τῆς ἕδρας καὶ συμπατούμενος, οὕτως οὔτε τὸ ἐν ἡμῖν ἄλογον, λόγος ἀκριβὴς γένοιτ' ἄν ποτε, οὔθ' ὁ λόγος τῆς πρώτης ἐκσταίη ὑπάρξεως καὶ τοῦ φυσικοῦ ἀξιώματος.

Τί ποτ' οὖν ταῦτα συνηγήοχα; ἵν ἐνδείξωμαί σοι ὅτι οὔτ'
55 αὐτὸς τὸν ἐμὸν οἰκειούμενος λόγον, τῆς ἀντικειμένης στερηθήσῃ στερήσεως, οὔτ' ἐγὼ ἀντιλαμβάνων τὸ ἄλογον, κενός ποτε γενοίμην τῆς ἕξεως. Δεῖ δὲ ἀμφοτέροις θατέρου μέρους· ἐμοὶ μέν, τῷ λογίῳ εἴποι τις ἂν ἴσως καὶ φιλοσόφῳ, τῆς ὑπερειδούσης ἀλόγου δυνάμεως· καὶ σοί, τῷ ἧττονα τὴν λογιότητα ἔχοντι, τῆς λογικω-
60 τέρας ὑπάρξεως· ὥσπερ γὰρ ὁ καθ' ἡμᾶς λόγος τὸ ἄσχετον ἔχει τῆς λογικῆς ἐργασίας, τῶν ἀλόγων δυνάμεων ὑπηρετουσῶν αὐτῷ τὰ σωματικά, οὕτω δὴ κἀμοὶ δεῖ νοερᾶς φορτίδος ἑλίσσοντι σωματικωτέραν ὑπηρεσίαν, ἵνα δὴ ἀμετάστροφος πρὸς τὰ τῇδε εἴην.

44–45 ὁ – θυμός: cf. Olympiod. In Gorg. proem. 5,17–21 καὶ ὥσπερ ἐν ταῖς πόλεσίν ἐστιν ἄρχων, εἰσὶ καὶ στρατιῶται, ἔτι δὲ καὶ θῆτες, οὕτως καὶ ἐν ἡμῖν ἀναλογεῖ τῷ μὲν ἄρχοντι ὁ λόγος, τῷ δὲ στρατιώτῃ ὁ θυμὸς μέσος ὢν καὶ ὑπακούων μὲν τῷ λόγῳ κελεύων δὲ καὶ τάττων τοὺς θῆτας, ὅ ἐστι τὴν ἐπιθυμίαν (cf. etiam Olympiod. In Phaed. 4,3) ‖ **63** ἀμετάστροφος – τῇδε: notio neoplatonica saepe in Psello laudata; cf. e.g. Procl. Στοιχείωσις θεολογική 186 πᾶν δὲ τὸ ἑαυτὸ γινῶσκον πρὸς ἑαυτὸ ἐπιστρέφεται, τὸ δὲ πρὸς ἑαυτὸ ἐπιστρέφον οὔτε σῶμά ἐστι (πᾶν γὰρ σῶμα πρὸς ἑαυτὸ ἀνεπίστροφον) οὔτε σώματος ἀχώριστον (καὶ γὰρ τὸ σώματος ἀχώριστον οὐ πέφυκε πρὸς ἑαυτὸ ἐπιστρέφειν· χωρίζοιτο γὰρ ἂν ταύτῃ σώματος) cum Plat. Ἐπινομὶς 982b7–c3 τὸ δὲ ἀμετάστροφον, ὅταν ψυχὴ τὸ ἄριστον κατὰ τὸν ἄριστον βουλεύσηται νοῦν, τὸ τέλεον ἐκβαίνει τῷ ὄντι κατὰ νοῦν, καὶ οὐδὲ ἀδάμας ἂν αὐτοῦ κρεῖττον οὐδὲ ἀμεταστροφώτερον ἄν ποτε γένοιτο. cf. e.g. Psel. Περὶ τῆς χρυσῆς ἁλύσεως ... = Phil. min. I 46,71–81 τρία γὰρ ταῦτα πρὸς τὰς ἐκείνου τρεῖς τάξεις συντίθημι, νοῦν καὶ ψυχὴν καὶ φύσιν. ὁ μὲν οὖν νοῦς γεννῶν τὴν ψυχὴν ἀνεπίστροφός ἐστι πρὸς αὐτήν· ἔννους γὰρ ἡ ψυχὴ γίνεται οὐχ ὅτε ὁ νοῦς στραφῇ πρὸς ψυχήν, ἀλλ' ὅτε ἡ ψυχὴ στραφῇ πρὸς τὸν νοῦν. ἡ δὲ φύσις τῶν σωμάτων ἐπιστρεφομένη καὶ διοικοῦσα ταῦτα οὐκ

Καὶ ὥσπερ χαλιναγωγούμενον τῷ λόγῳ τὸ ἄλογον τιθασσεύεται, οὕτω δὴ καὶ τῇ σῇ φύσει γενναίᾳ τυγχανούσῃ δεῖ τοῦ λογικοῦ 65 χαλινοῦ, οὐχ ὅτι μὴ καὶ λόγον ἔχεις τὸν ἐν τῇ φύσει (ἔχεις γὰρ τοῦτον ὡς ἀληθῶς ὡς πολλῶν γε καλλίονα), ἀλλὰ καὶ ὁ διὰ τῶν ὤτων εἰσρέων τῇ ψυχῇ λόγος συνεργὸς τῷ τῆς φύσεως γίνεται, καὶ μάλα γε λυσιτελεῖ τῇ ψυχῇ εἰς κατανόησιν τοῦ βελτίονος. Καὶ πολλοί γε μάλιστα τούτῳ πρὸς τὰ κρείττω μετήχθησαν, ἢ τῷ 70 φυσικῷ. Ὁ μὲν γὰρ βλοσυρός τις δοκεῖ εἶναι, καὶ οὐκ ἀφίησι κάλλη οὐδὲ ἀκτινοβολεῖ χάριτας, ἀλλ' ἔστι δυσπαράδεκτός τε καὶ δυσοιώνιστος· ὁ δὲ ὥσπερ ἄνθος ἐστὶν ὥρας ἐαρινῆς καὶ ὑπάγεται τὸν ἀκροατήν, εἰκότως ἑλκόμενον τῷ θελκτηρίῳ τῆς χάριτος.

Εἰ δὲ πολλοὶ πρὸς τὴν ἠχὼ τοῦ λόγου κωφεύουσιν, ἀλλά σοί 75 γε πρὸς ταύτην τὰ ὦτα ἀνεῴγασι καὶ ἑστήκασι· καὶ οὐδέν σε τῶν πάντων οὕτως ἡδύνει ὡς λέξις χαρίεσσα καὶ συνθήκη λόγου ἐμμελεστάτην ἁρμονίαν κληρωσαμένη. Τοπάζω δέ σου τὴν φύσιν ἔγωγε λίαν φιλόσοφον, ἀτυχήσασαν ἀγωγὴν ἐκκαλουμένην τὸν ἀποκείμενον ἐν τῇ ψυχῇ τοῦ λόγου πυρσόν. 80

Εἶτα δὴ θαυμάζω· πῶς δὴ οὔ; Πυνθάνῃ μου διατί, πολλῶν ὄντων ἀλόγων ὧν πλήρης καὶ ἀὴρ καὶ ὕδωρ καὶ γῆ, ἐξαίρετον τὴν κλῆσιν ταύτην ἀπεκληρώσατο τὰ παρ' ἡμῖν ἄλογα. Διατί μὴ καὶ τοὺς λέοντας προηγουμένως ἀλόγους φαμέν, μὴ τὰ κήτη, μὴ τοὺς ἀετούς, μὴ ἄλλο τι τῶν παρὰ τὰ λογικὰ ζώων; Ἀλλ' ἐγὼ φθάνω 85

ἐπιστρέφει πρὸς ἑαυτήν, ἐπειδὴ ἐστιν οὐσία σώματος χωριστή, ἀλλὰ συναπολήγει τοῖς σώμασιν. ἡ δὲ ψυχή, ἕως μὲν ἂν ᾖ τὸ οἰκεῖον τηροῦσα ἀξίωμα, ἀνεπιστρόφως ἔχειν πέφυκε πρὸς τὰ σώματα, εἰ δὲ τῇ δεινότητι κατασχεθῇ τοῦ εἱρμοῦ, τότε καὶ τῶν σωμάτων ἐπιμελεῖται, ὡς εἶναι τὸν μὲν νοῦν ἑαυτοῦ μόνως, τὴν δὲ φύσιν ἄλλου ἀεί, τὴν δὲ ψυχὴν ἑαυτοῦ καὶ ἄλλου, Ἐγκωμιαστικὸς εἰς ... Μιχαὴλ τὸν Κηρουλλάριον = Or. fun. I 1,24 τῶν μὲν περὶ τὴν ἄνω θεωρίαν ἐσχολακότων καὶ πρὸς τὰ τῇδε γενομένων ἀνεπιστρόφων, et Π 22,3–5 τὰ μὲν χείρονα ἐπιστρέφει πρὸς τὰ κρείττονα, τὰ δὲ κρείττονα ἀνεπίστροφα τῶν χειρόνων εἰσί, Π 379,8–9 πάντῃ ἀνεπίστροφος εἶ πρὸς ἡμᾶς, et Π 459,2–3 τὸ δὲ σὸν ἀνεπιστρόφως προσανέχειν θεῷ, Π 459,7–8 ἀνεπιστρόφως ἔτι ἔχεις περὶ τὰ τῇδε, et Π 459,27 οὐδ' ἀμετάστροφον
65–66 δεῖ – χαλινοῦ: cf. Olympiod. In Eccl. 12 (613,3–4) δύνασαι γὰρ τῷ λογικῷ χρώμενος χαλινοῦν τὸν θυμόν ‖ **79–80** τὸν – πυρσόν: iunctura Pselliana in Eustath. Thess. Epist. 19,180 laudata? cf. etiam Mich. Chon. Λόγος εἰς τὸν πατριάρχην κῦρ Μιχαὴλ = Orat. 3 (85,6) et Μονῳδία εἰς τὸν ... Θεσσαλονίκης κῦρ Εὐστάθιον = Orat. 16 (285,2)

σου τὴν ἐρώτησιν, διδοὺς τὴν ἀπόκρισιν: ὅτι, ὦ βέλτιστε, λόγον ἔχει τοῦτο δὴ τὸ ἄλογον πρὸς τὸ παρ' ἡμῖν τῆς φύσεως ἄλογον, φημὶ δὴ τὴν κοινὴν αἴσθησιν, τὴν φανταστικὴν δύναμιν, τὴν δοξαστικὴν οὐσίαν, αἷς πρῶτον δυνάμεσιν ὁ παρ' ἡμῖν ἐποχούμε-
90 νος λόγος, καταστέλλει ταύτας καὶ θρασυνομένας ἀνακρούει τῷ λογισμῷ. Ὥσπερ γοῦν ἡ καθ' ἡμᾶς διάνοια, λογικωτάτη τις οὖσα, ὡς ἄλογον ἄγει τὴν θυμικὴν γενναιότητα καὶ τὴν τῆς ἐπιθυμίας ἰσχὺν ἃς ἐπιβέβηκεν, οὕτω δὴ δεύτερόν ἐστι ἄλογον τὸ παρ' ἡμῖν καὶ ἐκτὸς ἄλογον τῆς ὅλης ἡμῶν συγκράτου φύσεως.

95 Ὃ γοῦν πρώτως χαλιναγωγοῦμεν καὶ ἀνασειράζομεν, τῷ χαλινῷ ἀναστέλλοντες καὶ τὸ ἔμφυτον αὐτοῦ θράσος συστέλλοντες, τοῦτο δὴ πρώτως ὀνομάζομεν «ἄλογον»· οὐ γὰρ λέουσιν ἐποχούμεθα, οὐδὲ κήτεσιν ἐπικαθήμεθα ὥσπερ οἱ Τρίτωνες, οὐδὲ παρδάλεις ἑαυτοῖς ὑποζεύγνυμεν, ἵνα ἐποχούμενοι τούτοις κατὰ μίμησιν
100 τῆς ἐν ἡμῖν φύσεως ἰδιαίτερον ἄλογα ταῦτα προσαγορεύοιμεν· ἀλλὰ τοῖς ἵπποις μόνον τὴν ὀνομασίαν ταύτην διδόαμεν. Καὶ κοινῇ μὲν ἄλογα ξύμπαντα· οὐδένα γὰρ λόγον ἔχει τὸν φυσικόν, οὐδέ τι τούτων ἀναμιμνήσκεται, ἢ συλλογίζεται, οὐδὲ ζητεῖται τοῦ ἀφανοῦς τὴν οὐσίαν, οὐδὲ θηρᾶται τὸ κεκρυμμένον δι' ἀποδείξεως,
105 οὐδὲ ψυχὴν ἔχει τὴν λογικήν, ἀλλ' ὑπὸ φύσεως ἄγεται, καὶ θυμοῖς ἀγριαίνεται, καὶ ἐπιθυμίαις μαλάττεται, καὶ μέχρις ὀνομάτων ἡμῖν ἐπικοινωνεῖ. Τὸ δέ γε ἰδιαίτερον ὀνομαζόμενον ἄλογον, ὥσπερ ἐπαναδιπλοῦται τὴν τοῦ κοινοῦ προσηγορίαν, ἀλλ' ἄλογόν ἐστιν ἡμῖν ὡς ὑποπίπτον ταῖς ἡμετέραις χερσὶ καὶ παρ' ἡμῶν
110 ἀγόμενόν τε καὶ εὐθηνούμενον.

Ἆρ' οὐχὶ μυρίων ἀλόγων ἀντάξιος ἡ ἐπιστολή, ἀδελφὲ φίλτατε; Ἀλλ' ἡμεῖς ἑνὸς ταύτην ἀνταλλαττόμεθα. Ἔστω δὲ τοῦτο μήτ' ὄνος μήθ' ἵππος ἄρρην· ἀλλ' ὥσπερ ὁ παρὰ τοῖς ἰατροῖς

86 ὦ βέλτιστε: iunctura Platonica (cf. e.g. Plat. Ἀπολογία Σωκράτους 24e1); cf. Π 145,31, Π 146,2, 84, 147 et 160, Π 319,8, et Π 407,32 ‖ **89–93** αἷς – ἐπιβέβηκεν: cf. Plat. Φαῖδρος 246a6–b4 et 253d1–254e9 et supra ll. 40–42 **113–115** ὁ – εἴη: Galen. Περὶ διαφορᾶς πυρετῶν 358,10–17 ὡς οὖν ὁ ἡμίονός … ὠνόμασται τὸν αὐτὸν τρόπον καὶ ὁ ἡμιτριταῖος· ὅ τε γὰρ ἡμίονος ἥμισυ μὲν ἵππου συντελοῦντος αὐτῷ πρὸς τὴν γένεσιν, ἥμισυ δ' ὄνου, κατὰ θάτερον αὐτῶν ὠνόμασται ἡμίονος … καί τοι νῦν καὶ ὁ ἡμιτριταῖος ἥμισυ μὲν ἑαυτοῦ μέρος ἔχει τὸν τριταῖον, ἥμισυ δ' ἄλλο τὸν ἀμφημερινὸν τὸν συνεχῆ

93 ἃς ἐπιβέβηκεν scripsi: οἷς ἐπισυμβέβηκεν P S

ἡμιτριταῖος σύνθετός ἐστιν ἐξ ἀμφημερινοῦ συνεχοῦς τριταίου διαλείποντος, οὕτω δὴ καὶ τοῦτο ἡμίονος εἴη, μήτε λειπόσαρκος 115 τὴν ὀσφύν, μήτε πίων καὶ καταπίμελος. Καὶ περὶ μὲν τῆς χρόας οὐ διαφέρομαι· εἰ δὲ ἡμερωτέρα εἴη καὶ οὐ πάνυ γε διασείουσα, τοῦτο κρεῖττον εὐχῆς, ὡς ἐμέ γε πολλαί γε τῆς ἀστράβης ἐξέσεισαν καὶ συμπεπατήκασι· κἂν εἰ μετρίων ἐτῶν εἴη μὴ μέντοι πολλῶν, οὐδὲ τοῦτό μοι ἀλυσιτελές (ἧττον γὰρ οὕτως ἕξει τὸ 120 ἄλογον)· ἐγὼ γὰρ μετρίως ἄλογον ὑποτάξαι δύναμαι ταῖς χερσίν, ἀλογώτατον δὲ καὶ θρασύτατον οὔ μοι δύναμις τῷ χαλινῷ ἀντισπᾶν.

96. Εἰς τὸν Ἰασίτην ⟨τὸν κουροπαλάτην⟩

a. 1069? eodem tempore ut Π 37 [vid. epistolarum ordinem in K]?

K-D 6 [K]

Ἐγὼ μέν, ὑπέρτιμε κουροπαλάτα, ὥσπερ ἀπλήστως ἔχω τοῦ ὁμιλεῖν σοι, οὕτω δὴ καὶ τοῦ γράφειν. Σὺ δὲ παρὼν μέν, ὁμιλεῖς συνεχῶς· ἀπὼν δέ, γράφειν οὐκ ἀξιοῖς, καὶ ταῦτα οὔτε ὑπερήφανος ὢν οὔτε τῆς ἡμετέρας φιλίας καταφρονῶν.

Σὺ μὲν οὖν ὅπως ἂν ἐθέλοις ἔχου τῶν ἠθῶν· καὶ γράφε ὅταν ᾖ 5 βουλομένῳ σοι, καὶ μὴ γράφε ὅταν σοι δόξῃ τοῦτο καλόν. Ἡμεῖς δὲ οὐκ ἀμφιδοξήσομεν· ἀλλὰ καὶ ὁμιλήσομεν παρόντι καὶ ἀποδη-

115–116 μήτε – ὀσφύν: Synes. Cyren. Epist. 37,8 λιπόσαρκος [λειπόσαρκος codd.] τὴν ὀσφύν (de equo) ‖ **121–123** ἐγὼ – ἀντισπᾶν: cf. Π 67,61–67 ἐγὼ δὲ (καὶ ὁρκοποιοῦμαι τὴν σὴν φιλτάτην ψυχήν!) οὕτω τοὺς ἵππους δέδοικα πέφρικά τε καὶ πεπτόημαι, ὥσπερ δὴ οἱ λοιποὶ τοὺς ἐλέφαντας καὶ τοὺς λέοντας. κἂν βραχύ τι περικινήσῃ τὴν κεφαλὴν ὁ φέρων ἐμέ, εὐθὺς αὐτὸς τῆς ἕδρας ἀπολισθαίνω, καὶ ἀκρατής μοι ἡ χεὶρ τοῦ χαλινοῦ γίνεται. ἀλλ' ἦν μοι τοῦτο πρότερον ἐξ ἁπαλῆς καὶ δειλῆς φύσεως, νῦν δέ μοι καὶ τὸ προσγενόμενον νόσημα τὴν φυσικὴν πτοίαν ἐδίπλασεν et Π 215,16–18 ἀλλά με ὁ ἵππος, ἑκατέρωθεν τοὺς ὤμους δινῶν, καὶ τὸν αὐχένα ὑποκυμαίνων, πολλάκις δὲ καὶ τὸν χαλινὸν ὑφελκόμενος, ταράττει δεινῶς. cf. etiam Π 78,7 ἱππεύειν οὐ δεδύνημαι

114 ἀμφημερινοῦ scripsi: ἀφημερινοῦ (more byzantino?) P S ‖ **ep. 96** K 68v–69r; tit. scripsi: εἰς τὸν Ἰασίτην K K-D ‖ **1** ἔχω corr. K-D: ἔχων K

μοῦντι γράψομεν, κἂν βούλῃ κἂν μὴ βούλῃ. Βούλοιο δέ· εἰ γὰρ
καὶ σύμψελλοι καὶ ὁμόγλωσσοι, ἀλλὰ κρείττων ἡ ἐμὴ γλῶττα τῆς
10 σῆς· καὶ βούλου παρ' αὐτῆς καὶ ὁμιλίαν καὶ γράμματα δέχεσθαι.
Πεπληροφόρησο δέ (ἵνα δὴ ἐμφύτως καὶ ἀληθῶς γράψω) ὡς
οὐδένα μᾶλλον ἐφίλησα ἢ φιλῶ· οὔτε σου τὴν προτέραν τύχην
ὑπεποιούμην, οὔτε ἐλάττων πρὸς τὴν παροῦσάν εἰμι· ἀλλὰ τὴν
αὐτὴν σώζω διάθεσιν, εἰδώς σε δραστικώτατον ἄνδρα καὶ συνετώ-
15 τατον, καὶ τοῖς πράγμασι δεξιώτατον, καὶ φίλοις αἰδεσιμώτατον.

Ἐπίσφιγγε οὖν τὴν φιλίαν ἡμῶν καὶ ὁμιλίαις καὶ γράμμασι.
Τὰ δὲ ἡμέτερα μετρίως ἔχει καὶ ὡς βουλόμεθα· καὶ τῆς κοινῆς
δεσπότιδος ἀπολαύομεν ὅσα εἰκός· αὐτάρκης γὰρ καὶ ὁρωμένη
μόνον πάσης ἡμᾶς εὐδαιμονίας καταπληρῶσαι· τοσοῦτον ἀπολάμ-
20 πει τῷ κάλλει καὶ τῷ τῆς ψυχῆς καὶ τῷ τοῦ σώματος.

Ὁ δὲ παρών, ἡμέτερος ὡς οἶσθα ὤν, ἀπόδημος νῦν ἐπὶ τῆς
πατρίδος ἐγένετο. Εἰ οὖν ἐπιδεηθείη σου ἐπί τισι πράγμασι, μὴ
ἀποτύχῃ τῆς σῆς ἀντιλήψεως· κἂν ὁμιλήσῃς, κἂν ἴδῃς, ἀρκετὸν
αὐτῷ ἀντὶ πάσης εὐδαιμονίας. Ἀντίγραμμα δὲ σὸν ἀποκομισάτω
25 μοι, πλὴν μὴ σοφὸν μηδὲ γλώττης ἄλλης, ἀλλὰ τῆς σῆς ψυχῆς
γέννημα.

Ὁ θεός μου συντηρῆσαι σε ἐπὶ παντὸς πράγματος ἀπὸ παντὸς
πταίσματος.

8 κἂν[1] – βούλῃ[2]: cf. Synes. Cyren. Epist. 71,5–6 κἂν βούληται κἂν μὴ βούληται. cf. Psel. Κατηγορία τοῦ ἀρχιερέως = Or. for. 1,1806, Π 275,99, et Π 433,22–23 ‖ **8–10** εἰ – σῆς: cf. Π 38,15–16 ἡ ἐμὴ ψελλίζουσα … ἐξαρκέσει φωνή, Π 38,52–53 ὑπεψιθύρισα … παραψελλίζων, Π 53,36 ἐγὼ … ψελλίζων, et Π 167,52 ἡ καθ' ἡμᾶς ἀηδὼν ἐμμελῶς … ὑποψελλίζει τὸ μέλος. cf. Psel. Omn. doctr. 8 ἐγὼ μὲν εἰμὶ …ὑπόψελλος ‖ **17–18** τῆς – δεσπότιδος: Eudocia Macrembolitissa (Π XXXVII)

11 ἐμφύτως K dubitanter prop. K-D (in app. crit.): ἐμφανῶς K-D **19** καταπληρῶσαι corr. K-D: καταπληρῶ K ‖ **23** ἴδῃς corr. K-D: ἴδοις K

XXIV. Κωνσταντῖνος Ἱεράκης

97. Κωνσταντίνῳ τῷ Ἱεράκῃ ἐν ἐξορίᾳ ὄντι

S 123 [P]

Ἔμψυχά σοι τὰ γράμματα τῷ ὑπερορίῳ καὶ τληπαθεῖ· καὶ ὥσπερ εἰ παρήμην αὐτός, οὕτω ταῦτα πληροῦσι τὸν ἀσπασμόν, ἄνθρωπε τοῦ θεοῦ· οὕτω γάρ ἐγώ σε οἶδα καλεῖν, ὡς ἤδη τοῦ πόματος μεταλαχόντα τῶν ὀδυνῶν καὶ τοῦ κρατῆρος τῶν πειρατηρίων ἀπογευσάμενον, εὐχαρίστως δὲ τὰ προσπεσόντα ὑπενεγκόντα, καὶ 5 γενναίαν καὶ ἄρρενα τὴν καρτερίαν κτησάμενον τῆς ὑπομονῆς, εἰς νοῦν καλῶς εἰδότα καὶ βαλλόμενον τὰ θειότατα γραφικὰ παραγγέλματα ὅτι πόνοι καὶ θλίψεις καὶ στενοχωρίαι καὶ πιεσμὸς πρόξενα τῆς βασιλείας τῶν οὐρανῶν, καὶ ὡς «ὁ ὑπομείνας εἰς τέλος οὗτος σωθήσεται», καὶ ὅτι θλίψεις καὶ ἀνάγκαι συνέχουσι 10 τὸν πρὸς ἀρετὴν ἀναγόμενον· διὰ τοῦτο (οἶμαι) καὶ ὁ θεῖος Δαυΐδ, οἷα προφήτης καὶ βασιλεύς, «ὑπομένων ὑπέμεινα τὸν Κύριον» ἔφησε «καὶ προσέσχε μοι»· ἐπὶ δὲ τούτοις τό «γνῶτε» καὶ τὸ «σχολάσατε».

XXIV cf. Stavrakos 2000,165–166 (nr. 93) et Wassiliou-Seibt I 563 (nr. 1310b) **2–3** ἄνθρωπε – θεοῦ: cf. IV Reg. 1,9 cum e.g. Greg. Naz. Ἐπιτάφιος εἰς τὸν πατέρα ... = Or. 18,1 et Psel. Βίος καὶ πολιτεία ... Αὐξεντίου ... = Or. hag. 1a,464–465, Π 101,1–2, Π 209,1, et Π 210,1 ‖ **8–9** πόνοι – οὐρανῶν: Act. 14,22 διὰ πολλῶν θλίψεων δεῖ ἡμᾶς εἰσελθεῖν εἰς τὴν βασιλείαν τοῦ θεοῦ ‖ **9–10** ὁ – σωθήσεται: Mt. 10,22 et 24,13 (cf. Marc. 13,13) ‖ **8–10** πόνοι – ἀνάγκαι: II Cor. 6,4 ἐν θλίψεσιν, ἐν ἀνάγκαις, ἐν στενοχωρίαις et 12,10 ἐν ἀνάγκαις, ἐν διωγμοῖς καὶ στενοχωρίαις. cf. Π 111,226–229 ‖ **12–13** ὑπομένων – μοι: Ps. 39,2 ‖ **13–14** γνῶτε – σχολάσατε: σχολάσατε καὶ γνῶτε Ps. 45,11, cf. Π 497,25

ep. 97 K 74v–75r, P 217v–218r, B 188r–v; tit. P S: Πρὸς Κωνσταντῖνον τὸν Ἱεράκη ἐν ἐξορίᾳ ὑπάρχοντα K τοῦ αὐτοῦ πρὸς τὸν [...] ἐν ἐ[...] B ‖ **3** ἐγώ σε K B: σε ἐγὼ P S ‖ **4** μεταλαχόντα – ὀδυνῶν K B: μετασχόντα τῶν ἡδονῶν P S **6–7** εἰς νοῦν P B S: om. K ‖ **7** βαλλόμενον K B: βαλόμενον P S ‖ **7–8** τὰ – παραγγέλματα K: τῷ θειοτάτῳ γραφικῷ παραγγέλματι P S τῷ θειοτάτῳ καὶ γραφικῷ παραγγέλματι B ‖ **8** στενοχωρία S ‖ **9** πιεσμὸς K P S: πιεσμοὶ B | ὡς P B S: om. K ‖ **11** ἀρετὴν P B S: τὴν ἀρετὴν K | τοῦτο K B: ταῦτα P S **11–12** ὁ – βασιλεύς K P S: ὁ προφήτης Δαυΐδ B ‖ **13–14** τό – σχολάσατε K B: σχολάσατε καὶ γνῶτε P S

15 Ταῦτα πάντα καὶ ἄλλα μυρία ἔχεις παρηγοροῦντά σε καὶ ἀναψύχοντα. Καὶ χαῖρέ μοι καὶ εὐθύμει ὅτι κατηξιώθης πειρασθῆναι καὶ τὴν ἅμιλλαν τοῦ ἀγῶνος δραμεῖν, ἵν' ὁ ἀγωνοθέτης ἀξίως τὸ βραβεῖον ἐπιβραβεύσῃ σοι· μακάριος γὰρ ὄντως καὶ σὺ καὶ τρισμακάριος, ὅτι τὴν ἅλμην τοῦ βίου ἀποκλυσάμενος καὶ τῶν
20 ἀστάτων καὶ φθειρομένων καταφρονήσας, μόνος μόνῳ συζῇς τῷ θεῷ, τὸ κοσμικὸν κλυδώνιον διαβὰς καὶ τοῦ βίου περάσας τὴν θάλασσαν, τὴν ἀληθῆ ζωὴν ἔχων παρ' ἑαυτῷ καὶ ταύτῃ ἐπευφραινόμενος· ἐκκακοῦμεν γὰρ ἴσθι τῷ βίῳ ἡμεῖς καὶ ταῖς αὐτοῦ στενοχωρίαις καὶ πιεσμοῖς, καὶ λυσιτέλεια πρὸς ἀρετὴν ἐντεῦθεν οὐδ'
25 ὁπωσοῦν.

Ἐπεὶ οὖν ταῦθ' οὕτως ἔχει, καὶ ζῆσαι εἰς ἀπέραντον ἄνθρωπον οὐκ ἐνὸν τὴν παροῦσαν ζωήν, εἰ μὴ πρὸς τὴν ἄνω ἀπίδοι τις ἀξίως καλούμενος κατὰ σέ, ἐρρέτω τὰ σύμπαντα. Σὺ δὲ ὁ τὸ πολίτευμα πρὸς οὐρανὸν θέμενος, ὡς ἐνταῦθα δοκιμασθεὶς ὑπὲρ χρυσόν,
30 μεμνῆσθαι ἡμῶν τῶν ἐκ ψυχῆς ἀγαπησάντων σε ἄνωθεν μὴ διαλίποις, ὥσπερ οὐδ' ἡμεῖς λήθην σου λαμβάνομεν πώποτε· ὁ γὰρ φιλάνθρωπος κύριος, τοῦ κραταιοῦ καὶ ἁγίου ἡμῶν βασιλέως καλῶς ἔχοντος, ῥύσαιτό σε τῆς συνεχούσης στενοχωρίας καὶ θλίψεως, καὶ τῆς μακρᾶς ὑπερορίας ἀνακαλέσαιτο, καὶ ἐποφθείης
35 ἡμῖν ὡς ἥδιστος τοῖς ποθοῦσί σε.

19 τὴν – ἀποκλυσάμενος: cf. Greg. Naz. Εἰς τοὺς λόγους, καὶ εἰς τὸν ἐξισωτὴν Ἰουλιανόν = Or. 19,1 μέχρις ἂν τοῖς ποτίμοις τῶν λόγων τοὺς ἁλμυροὺς ἀποκλύσωμαι cum Plat. Φαῖδρος 243d4–5 ἐπιθυμῶ ποτίμῳ λόγῳ οἷον ἁλμυρὰν ἀκοὴν ἀποκλύσασθαι et Psel. Χρονογραφία VI,179 ἀποπτύων τὴν ἅλμην τῶν συμφορῶν et ⟨Explicatio trium locorum novi testamenti (Ioann. 21,7; Mt. 3,4; Ioann. 21,9)⟩ = Theol. I 17,35–36 διὰ τῆς πικρᾶς ἅλμης τοῦ ὕδατος, φημὶ δὴ τῶν ἐν τῷ βίῳ πραγμάτων. cf. etiam Π 13a,1–3, Π 13b,1–4, Π 202,25–26, et Π 507,15–20 ‖ **28–29** ὁ – θέμενος: Phil. 3,20 ἡμῶν γὰρ τὸ πολίτευμα ἐν οὐρανοῖς ὑπάρχει. cf. Psel. Ἀκολουθία τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν Συμεὼν λογοθέτου τοῦ Μεταφραστοῦ = Poem. 23,67

15 ἄλλα K B: ἄλλ' ἄττα P S ‖ **15–16** παρηγοροῦντά – ἀναψύχοντα K B: παρηγοροῦντα καὶ ἀναψύχοντά σε P S ‖ **18** γὰρ K P S: om. B | καὶ σὺ om. B **20** καταφρονήσας μόνος : κατα[ca. 12 litt.] B ‖ **22** τὴν ἀληθῆ : [ca. 8 litt.] B ταύτῃ K B: ταύτης P S ‖ **23** ἐκκακοῦμεν K B: καὶ ἐκκακοῦμεν P S ‖ **24** ἀρετὴν P B S: τὴν ἀρετὴν K ‖ **29** οὐρανὸν P B S: τὸν οὐρανὸν K ‖ **31** γὰρ K B: δὲ P S **34** ἀνακαλέσαιτο K B: ἀνακαλέσεται P S

XXV. Ἰωάννης

ὀστιάριος καὶ πρωτονοτάριος τοῦ δρόμου

98. Τῷ ὀστιαρίῳ καὶ πρωτονοταρίῳ τοῦ δρόμου κῦρ Ἰωάννῃ

S 125 [P]

Σὺ μὲν ὁ ποθεινὸς καὶ φιλούμενος Ἀττικῇ τῇ γλώσσῃ πρὸς ἡμᾶς διείλεξαι. Ἡμεῖς δὲ ἁπλῶς καὶ ἀκατασκεύως καὶ προσφθεγγόμεθα καὶ προσαγορεύομεν· εἴ που γὰρ ἐνῆν τι γλαφυρὸν καὶ περινενοημένον ἡμῖν, ἀφείλατο τοῦτο ἡ μετὰ τῶν ἀμούσων καὶ θηριοτρόφων ἀναστροφή, καὶ ἐπηλήθευσεν ἡ παροιμία καὶ πρὸ 5 ταύτης τὸ ἔπος, τὸ «ἢν δὲ κακοῖσι μιγῇς» φράζον «ἀπολεῖς καὶ τὸν ἐόντα νόον». Ἀλλ' εὖ ἴσμεν ὡς εἰ καὶ ἀφελῆ τὰ ἡμέτερα ἡδίω σοι τῷ λογιωτάτῳ τοῦ Ὑμηττίου φανήσεται μέλιτος· τοιαῦτα γὰρ ἐπειλῆφθαι ἡμῖν δίδωσιν ἡ ἐκ παίδων ἀλλήλων σύμπνοια καὶ ὁμόνοια, ὡς οὐκ ἀπεικότως θαρρεῖν ἔχομεν. 10

Ἡ δὲ περὶ τῆς ἐπέκεινα πάντων τριάδος παρὰ τῆς σῆς ἀγχινοίας προσαχθεῖσα ἡμῖν ῥῆσις ἢ ἀξίωσις πέρας χρηστὸν εἴληφε, καὶ τοῖς ἐκεῖσε προσκαθημένοις πάντῃ ὀνησιμώτατον, πολλῷ δὲ πλέον σοὶ τῷ τὴν ἐμὴν οἰκήσαντι ψυχήν· ἀδείας γὰρ οἱ μονάζοντες ἐπειλημμένοι, ὅσα ὑπὲρ τῆς σῆς σωτηρίας ἐντεύξονται 15 τῷ ὑπὲρ ἡμᾶς, τῷ ῥητορικωτάτῳ σκοπεῖν δίδομεν.

Καὶ τὰ μὲν τῆς ἀπολογίας τοιαῦτα· ἃ δὲ περὶ τῆς σῆς περιφανείας ἐποφείλεται καὶ εἴθισται ἡμῖν, ὡς καὶ παισὶ δῆλα παρήσομεν, μᾶλλον δὲ παραχωρήσομεν τούτων τῇ τοῦ γραμματοκομιστοῦ γλώττῃ. 20

Ἔρρωσο.

XXV cf. Π 179, Π 180, et Π 468 (cf. Weiss 1973,211)? ‖ **2** ἁπλῶς – ἀκατασκεύως: iunctura saepe laudata; cf. e.g. Dion. Halicarn. De Isaeo 15,18 et Bas. Caes. Εἰς τὴν ἑξαήμερον 3,8,32 ‖ **6–7** ἢν – νόον: Theognis 1,35–36 κακοῖσιν ἢν δὲ κακοῖσιν συμμίσγῃς, ἀπολεῖς καὶ τὸν ἐόντα νόον et proverbium, CPG II 468 (nr. 20a)

ep. 98 P 218r; tit. P S ‖ **17** τοιαῦτα : ταῦτα S

XXVI. Καλοκυρός

99. ⟨Τῷ Καλοκυρῷ⟩

K-D 48 [L]

Χρυσέ μου Καλοκυρέ, οὐκ οἶδα εἴ τις ἐστὶ ἑτέρα φιλίας ὑπόθεσις, ὧν αὐτὸς ἔγνωκα καὶ εἰσήνεγκα ὑπὲρ σοῦ. Εἰ μὲν γὰρ εἴποις τὴν ἐν καιρῷ παρρησίαν, ἐπαρρησιασάμην ἐν καιρῷ ᾧ ἔδει περὶ τῆς σῆς ἀνακλήσεως· εἰ τὴν εὐμέθοδον ἐρεῖς πρὸς τὸν κρατοῦντα
5 συντυχίαν καὶ ὁμιλίαν, ταύτην δὲ δεινὸς εἴπερ ἄλλος ἐγὼ ἐρρητόρευσά σοι, τέχνῃ τὴν εὐγλωττίαν κεράσας, καὶ πόρρωθεν ἐναρξάμενος, εἶτα δὴ ἐκ περιτροπῆς εἰς σὲ καταλήξας· εἰ θελκτήριός ἐστι ᾠδὴ καὶ μέλος εὐμαρῶς εἰς ἀκοὴν ὀλισθαῖνον καὶ τὴν ψυχὴν ἀγνώστως θηρώμενος, οὐδὲ ταύτης ἠμέλησα, ἀλλὰ
10 πάσας μου τὰς ἁρμονικὰς χάριτας κεκίνηκα περὶ σοῦ. Οὐ τοῦ καιροῦ κατωλιγώρηκα· ἀλλ' ὁπηνίκα ἔδει τὸν αὐτοκράτορα συναφθῆναι θεῷ διὰ τῆς ἱερᾶς μεταλήψεως, καθαρσίων τε πρὸς αὐτὸν ἀνεμνήσθην καὶ ἀφαιρέσεως καλυμμάτων, ἐπιπροσθούντων τῇ ἡμετέρᾳ ψυχῇ· εἶτα διερμηνεύων τίνα τε τὰ καλύμματα καὶ τί
15 τὸ καθάρσιον, ἄλλα τε εἰς αὐτὸ συνεισήνεγκα, καὶ ὡσπερεὶ κεφάλαιον τὴν διὰ φιλανθρωπίας ἀποκάθαρσιν τοῦ νοὸς θέμενος, ἄλλων τέ τινων καὶ σοῦ μάλιστα εὐφυῶς παρεμνημόνευσα.

Καὶ ὥς γέ μοι πολλάκις ἐφάνη, καιρόν σοι ὥρισε τῆς παιδεύσεως· καὶ πρὸς τὸ μέτρον ἀφορῶν τῆς κολάσεως, δέχεται μὲν
20 ἡμέρως τοὺς τῆς φιλανθρωπίας λόγους, βούλεται δὲ μὴ αὐτίκα, ἀλλ' ὅσον οὔπω τυχεῖν σε τῆς ἀνακλήσεως. Ἀνέγνω δέ μοι καὶ τὸ περὶ ὧν ἔγραψας γράμμα σου· καὶ θαυμασίως διεχύθη ἀκούσας

XXVI ἀνθύπατος et βέστης. cf. scholiasten in Basilicorum libros (ed. Holwerda et Scheltema) passim ‖ **13–14** ἀφαιρέσεως – ψυχῇ: cf. Psel. Εἰς τὸ 'πηγὴ δὲ ἀνέβαινεν ...' = Theol. II 24,4–8 τὸ κατεσπαρμένον τῇ ἡμετέρᾳ φύσει παρὰ τοῦ θεοῦ ἀγαθόν, ὃ τέως μὲν ἐμποδίζεται ἀνιέναι ἐπιπροσθούσης αὐτῷ τῆς γενέσεως, εἶθ' ὕστερον παντὸς ἀφαιρεθέντος καλύμματος ἄνεισι ⟨ὥσ⟩περ ἐκ βάθους καὶ τὸ πρόσωπον καταρδεύει τῆς γῆς, ἵνα κατὰ πρόσωπον ὁρῴη θεόν

99 L 28r–v; tit. K-D ‖ **3** παρρησίαν ἐπαρρησιασάμην corr. K-D: παρρησίαν, ἣν ἐπαρρησιασάμην L

ὧνπερ ἐβούλετο· καί σε τῆς παραμυθίας ὡς εἰρήκει ἐπῄνεσε· καὶ οὐκέτι πολὺς (ὡς οἶμαι) διημερεύσει σοι χρόνος, πόρρω τῆς πατρίδος τυγχάνοντι. 25

Ἀλλ' εἴ γε δυναίμην, βουλοίμην δέ (πῶς ἂν εἴποις;), καὶ αὐτόν σοι τὸν εἱμαρταῖον ἀπορρήξω δεσμόν, καὶ θαρρούντως (σὺν θεῷ φάναι) παρὰ πῆχυν ἕνα καὶ παλαιστὴν τὸν πεπρωμένον σοι τῆς κακώσεως χρόνον ποιήσομαι.

XXVII. Μιχαὴλ Κεγχρῆς

Συμεὼν μοναχός

100. Τῷ μοναχῷ Συμεὼν τῷ Κεγχρῇ

S 54 [P]

Ὅτε σου εἰς χεῖρας τὴν γραφὴν ἐδεξάμην, ἰσόψυχε ἀδελφέ,

26 *εἴ – δέ*: cf. Synes. Cyren. Epist. 95,62–63 *οὐδ' ἂν εἰ δυναίμην βουλοίμην, πάντως δὲ οὐδ' ἂν εἰ βουλοίμην δυναίμην*. cf. etiam Psel. Χρονογραφία VI,171 *οὐδ' εἰ πάνυ βουλοίμην, τοῦτο δυναίμην ἄν*, Σελέντιον δημηγορηθὲν παρὰ βασιλέως κῦρ Μιχαὴλ τοῦ Δούκα = Or. min. 3,85 *βουλοίμην μέν, εἴ γε δυναίμην*, Ἑρμηνεία εἰς τὸ ῥητὸν τῆς Κλίμακος = Theol. I 30,7 *οὔτε βουλοίμην εἰπεῖν, οὔτ' εἰ βουλοίμην, δυναίμην ἄν*, Π 23,69 *ὃ βουλοίμην, οὐ δῆτα δὴ καὶ δυναίμην*, Π 30,1 *βουλοίμην ἂν καὶ πάνυ βουλοίμην (εἴ γε δυναίμην)*, Π 79,15–16 *βουλοίμην γὰρ (εἴ γε καὶ δυναίμην)*, Π 111,19–20 *οὔτε δυναίμην ἂν εἴ γε βουλοίμην, οὔτε βουλοίμην εἴ γε δυναίμην*, Π 200,34–37 *σὺ μὲν γὰρ καὶ βούλοιο ἅμα καὶ δύναιο· ἐγὼ δὲ βουλοίμην μὲν (καὶ μάρτυς ἐπὶ τῷ λόγῳ θεός), δυναίμην δ' οὐ πάνυ, ἀλλ' ἔλαττον ἢ βουλοίμην· εἰ δὲ γενναίως βουλοίμην, πάντως δ' ἂν καὶ δυναίμην*, Π 292,5–6 *βουλοίμην ἂν (εἴ γε καὶ δυναίμην)*, et Π 514,1–2 *βουλοίμην ἂν … (εἴ γε δυναίμην)* ‖ **27** *τὸν – δεσμόν*: cf. e.g. Iambl. Περὶ τῶν αἰγυπτίων μυστηρίων 2,6,23 *τῶν δὲ τῆς εἱμαρμένης δεσμῶν* ‖ **28** *πῆχυν – παλαιστὴν*: proverbium; cf. Karath. 146 cum Psel. Πρὸς τὸν μαθητὴν αὐτοῦ Σέργιον εἰπόντα μήποτε δηχθῆναι ὑπὸ ψύλλης = Or. min. 26,27 *ὅ φασι, δακτύλοις καὶ παλαιστῇ*
XXVII cf. Psel. Ὑπόμνημα … ἐπὶ διάλυσιν τῆς μνηστείας τοῦ γάμβρου αὐτοῦ Ἐλπιδίου τοῦ Κεγχρῆ = Or. for. 3 ‖ **1** *ἰσόψυχε*: Ps. 54,14 *ἄνθρωπε ἰσόψυχε*. cf. Psel. Λόγος εἰς τὴν σταύρωσιν = Or. hag. 3a,794, Π 53,26, Π 92,1, Π 163,1, Π 209,1–2, Π 304,2, Π 462,2, Π 494,1, Π 508,1, Π 551,1, et Π 553,1

ep. 100 U 180r–181v, P 201r–v, p[1] 138–140; tit. U P S

εὐθύμησα μὲν καὶ μικρὸν ἀνήνεγκα τὴν ψυχήν, ἔτι σε περιόντα τῷ βίῳ μαθών (ἡ γὰρ φήμη νεκρόν σε πᾶσιν ἡμῖν ἐγκατέστησεν), ἠθύμησα δὲ εὐθὺς ἀπὸ τῆς ἐπιγραφῆς. Εἰ μὲν γὰρ πάλαι
5 παρεσκευασμένος ἐπὶ τὴν μεταβολὴν ταύτην ἐλήλυθας, οὐ μόνον οὐκ ἂν ἐδυσχέρανα, ἀλλὰ καὶ ἡδέως ἐδεξάμην τὸ πρᾶγμα· ἐπεὶ δὲ ἀθρόως ἀφ' ἑτέρου πρὸς ἕτερον βίον μετεσκευάσθης, ὑποπτεύω τὸ ἀπαράσκευον καὶ φοβοῦμαι μήπως σε ὁ πονηρὸς δαίμων, νεοπαγῆ πρὸς τὸν τοιοῦτον βίον εὑρών, οὐκ ἐάσῃ χωρεῖν ἀκωλύτως, οὐδὲ
10 βαδίζειν ἀμεταμελήτως τὴν κατὰ θεὸν πορείαν.

Καὶ μή με ἡγήσῃ, φίλτατε ἀδελφέ, ὅτι τοσοῦτον εἰμὶ ἀφιλόσοφος, ὡς δυσκολαίνειν ἐπὶ τῷ φιλοσόφῳ σου καὶ θείῳ βουλεύματι· μὴ οὕτω μανείην! Ἀλλὰ φοβοῦμαι μὴ πρὸς τοιαύτην διαγωγὴν ἀγύμναστος ὤν, δυσφορήσῃς εὐθύς, καὶ εἰς ἀνάμνησιν τοῦ προτέ-
15 ρου σου βίου ἐλθών, ἐν τοῖς λιμέσιν ὑποστῇς τὸ ναυάγιον, ἐπεὶ εἰ ἐλλαμφθείη ἐν τῇ ψυχῇ σου τὸ φῶς τοῦ προσώπου Κυρίου, καὶ γεύσῃ τῆς ἀκορέστου γλυκύτητος τοῦ τῶν μοναχῶν βίου, πολλάκις σεαυτῷ καταράσῃ, ὅτι μὴ πάλαι πρὸς τὴν γλυκεῖαν ταύτην

13 μὴ[1] – μανείην: iunctura saepe in Luciano laudata, cf. e.g. Ἀναβιοῦντες ἢ Ἁλιεύς 37 et Ἑταιρικοὶ διάλογοι 2,4; cf. etiam e.g. Ael. Arist. Πρὸς Πλάτωνα ὑπὲρ τῶν τεττάρων 126,26 et Suda μ 145. cf. Psel. Κατηγορία τοῦ ἀρχιερέως = Or. for. 1,2768, Ἐγκώμιον εἰς … Νικόλαον μοναχὸν … = Or. fun. I 10,1,12, Ἐγκώμιον εἰς τὴν φθεῖρα = Or. min. 28,121, Εἰς τὸ 'νοῦς μὲν οὖν ἤδη καὶ αἴσθησις' = Theol. I 90,85, et Π 7,51, Π 55,12, Π 131,18–19, Π 139,62, Π 145,49, Π 209,3–4, Π 277,2, Π 291,31–32, et Π 454,105 ‖ **15** ἐν – ναυάγιον: iunctura saepe laudata; cf. e.g. Dio Chrys. Ἐν τῇ πατρίδι περὶ τῆς πρὸς Ἀπαμεῖς ὁμονοίας = Or. 40,13,1 ὥσπερ ἐν λιμένι ναυαγεῖν, Ioann. Chrys. Περὶ μετανοίας, hom. 9 (PG 49,344,47–48) ὁ Ἀδὰμ ἐν παραδείσῳ ὡς ἐν λιμένι τὸ ναυάγιον ὑπέστη, et Ioann. Sinait. Κλῖμαξ 2 (667,39–41) ἐλεεινὸν δὲ ἰδέσθαι θέαμα, τοὺς ἐν τῷ πελάγει διασωθέντας, ἐν τῷ λιμένι ναυαγήσαντας cum Psel. Ἀπολογητικὸς ὑπὲρ τοῦ Φιλιππουπόλεως Λαζάρου καθαιρεθέντος = Or. for. 2,174–175 κἂν τῷ λιμένι δὲ ναυαγίοις περιπίπτω χείροσιν

3 πᾶσιν U: πάλαι P S ‖ **7** ἀθρόως U: ἀθρόον P S ‖ **8** φοβοῦμαι U: δέδοικα P S **12** ὡς U: ὥστε P S ‖ **14–15** τοῦ – σου P S: om. U ‖ **18** καταράσῃ U: καταράσαιο P S

μετηνέχθης διαγωγήν· εἰ γὰρ καὶ τραχεῖά ἐστιν ἡ ὁδὸς ἡ πρὸς τὴν ζωὴν ἡμᾶς ἄγουσα, ἀλλὰ καὶ ῥᾳδία ὁμοῦ καὶ γλυκεῖα, τὸ μὲν διὰ 20 τὰς ἐλπίδας, τὸ δὲ διὰ τὴν ἐν τραχύτητι ἐγγινομένην ἡμῖν λειότητα καὶ ἱλαρότητα παρὰ τοῦ θεοῦ. Ὃν γὰρ λόγον ἔχει ἡλίου ἀνατολὴ πρὸς τὴν ἐν τῇ νυκτὶ ἐπισκότησιν, τὸν αὐτὸν καὶ ἡ τῶν μοναχῶν διαγωγὴ πρὸς τὴν ἐν τῷ βίῳ ἀναστροφήν. Οἱ μὲν γὰρ ἐν σκότῳ κάθηνται καὶ δουλεύουσι καίσαρι τῷ κοσμοκράτορι· οἱ δὲ 25 ἐν τῷ φωτὶ σκιρτῶσι καὶ ὑπηρετοῦσι θεῷ. Τί δὲ ἥδύτερον τοῦ ἐνώπιον παρίστασθαι τοῦ θεοῦ, καὶ ἀμέσως πρὸς αὐτὸν διαλέγεσθαι, καὶ τὸ θεῖον κάλλος αὐτοῦ ἐνοπτρίζεσθαι, καὶ διαυγεῖς ἔχειν ἐπὶ τοῖς μέλλουσι τὰς ἐλπίδας; Τὸ δὲ ἕνεκα τοῦ θεοῦ κακουχεῖσθαι, καὶ ῥάκεσι κατατρύχεσθαι, καὶ τῷ μελανείμονι τούτῳ 30 σχήματι καθυβρίζεσθαι, οὐκ ἀντὶ πάσης εὐδοξίας ἀρκεῖ;

Ἆρα γὰρ οὐχὶ πολλάκις τὸν ἐπίγειον βασιλέα θεραπεύειν βουλόμενοι πᾶν ὁτιοῦν ὑπομένομεν, καὶ γυναικὸς στέρησιν, καὶ πατρίδος ἀναχώρησιν; πολλάκις γὰρ καὶ θαλάσσης κατατολμῶμεν βυθῶν, καὶ τῆς οἰκείας ἀμελοῦμεν ζωῆς, ἵν' ἡμῖν ἱλαρὸν 35 ἐκεῖνος προσβλέποι, καὶ ἀντιδοίη τὴν φθονουμένην εὐμένειαν. Καὶ πόσῳ μᾶλλον ὀφείλομεν ὑπὲρ θεοῦ πᾶσαν ὑφίστασθαι κάκωσιν, ὃς οὐκ ἶσα ἴσοις ἀντιμετρεῖ, ἀλλ' οὐρανὸν αὐτὸν καὶ βασιλείαν ἀΐδιον θλίψεως μικρᾶς ἀντιδίδωσιν;

Οἶδα ὅτι δύσκολός σοι φανεῖται ἡ ἀμελέτητος τοῦ βίου μετάθε- 40 σις, ἀλλὰ τοσοῦτον ὀφείλεις ἀγαλλιᾶν, ὅτι νενίκηκας τοὺς πολλὰ τῷ βίῳ μεμελετηκότας καὶ τῷ τοιούτῳ βουλήματι συγκαταγηρά-

19–20 τραχεῖά – ἄγουσα: Mt. 7,13–14 εἰσέλθατε διὰ τῆς στενῆς πύλης· ὅτι πλατεῖα ἡ πύλη καὶ εὐρύχωρος ἡ ὁδὸς ἡ ἀπάγουσα εἰς τὴν ἀπώλειαν ... στενὴ ἡ πύλη καὶ τεθλιμμένη ἡ ὁδὸς ἡ ἀπάγουσα εἰς τὴν ζωήν et Luc. 13,24 διὰ τῆς στενῆς θύρας, cf. Psel. Ἑρμηνεία τοῦ Ἄισματος ... πρὸς τὸν ... Μονομάχον = Poem 2,104–107, Βίος καὶ πολιτεία ... Αὐξεντίου ... = Or. hag. 1c,635–640, Πρὸς τὸν πατριάρχην κῦρ Μιχαὴλ περὶ τοῦ ὅπως ποιητέον χρυσόν 40,7–8, et Π 101,21, Π 186,16–18, et Π 415,3–4; cf. etiam Π 549,12

22 καὶ U: τε καὶ P S ‖ **22–23** ὃν γὰρ – ἀνατολὴ: U: ὃν γὰρ ἔχει ἡλίου ἀνατολὴ τρόπον P S ‖ **22–82** ὃν γὰρ – βασιλεία: ὅρα οἷα νουθετεῖ τὸν ἀποταξάμενον in marg. P (f. 201v) ‖ **23** ἐν – νυκτὶ U: ἐν νυκτὶ P S ‖ **25** καίσαρι – κοσμοκράτορι U: τῷ κοσμοκράτορι καίσαρι P S ‖ **26** τῷ U: om. P S ‖ **27** τοῦ θεοῦ U: τῷ θεῷ P S ‖ **34** θαλάσσης U: θαλάττης P S ‖ **37** πᾶσαν – κάκωσιν U: τοσαῦτα ὑφίστασθαι, κόλασιν, κάκωσιν P S ‖ **40** οἶδα U: οἶδα δὲ P S ‖ **41** πολλὰ U: πολλοὺς P S

σαντας, ἀκμάζων καὶ ταῦτα τῷ σώματι, πλούτῳ κομῶν καὶ δόξῃ πολλῇ σεμνυνόμενος, καὶ ὀλίγοις (ἵνα καὶ τοῦτο εἴπω) πλημμελή-
45 μασιν ἔνοχος ὤν. Εὖ οὖν ἴσθι ὡς, ἐν ᾧ καιρῷ τὰς τρίχας ἀπέκειρας τῷ θεῷ καὶ τῷ ὑψίστῳ ἀπεδίδως τὰς εὐχάς σου, χορείαν περὶ τὸ θεῖον αἱ ἀγγελικαὶ τάξεις ἐστήσαντο καὶ γέγονεν ἐν οὐρανῷ ἀγαλλίασις, αὐτῶν δὴ τῶν πρώτων τάξεων δοξολογίαν ἐπὶ τῷ σῷ πράγματι ἀναπεμπουσῶν τῷ θεῷ, ἡ δὲ ἀντίθετος τῶν δαιμόνων
50 μερὶς ὑποβρύχιος διὰ τοῦ ἀέρος τοῖς τοῦ ᾅδου καταπέπτωκε μέρεσιν.

Εἴτε οὖν εὐθυμεῖς τὴν καρδίαν, τοῦ θεοῦ σε φυλάσσοντος, δοξολογίαν ἀνάπεμπε τῷ πρὸς τὸν καλόν σε τοῦτον βίον τὴν προθυμίαν χειραγωγήσαντι· εἴτε διὰ δοκιμασίαν δυσχερεῖς σε
55 καταλαμβάνουσι λογισμοὶ καὶ διακόπτῃ μεριζόμενος ταῖς φροντίσι, καὶ αὖθις ἱλαρῶς ἔχε καὶ μαρτύριον λογίζου τὴν ἀθυμίαν, ἐπειδὴ καὶ μαρτυρίου σοι πλακήσεται στέφανος. Πλὴν μή σέ τις πανοῦργος ὑποβολὴ δαίμονος, ἐπὶ τὴν ὑψηλοτέραν ἀναβιβάζουσα ἄσκησιν καὶ τὰς ἐκεῖ κακώσεις ὑποτιθεῖσα, πείσῃ
60 τὴν σωτηρίαν ἀπαγορεῦσαι· οὐδὲ γὰρ εὐθὺς ὁ κανὼν βούλεταί σε ἀετοῦ πτερὰ περιθέμενον ἀναπτῆναι πρὸς οὐρανόν, ἀλλ' ἀρκετὸν τῷ θεῷ καὶ ἡ ἀθρόα αὕτη μετάθεσις· εἶτα κατὰ βραχὺ βαδίσεις ἐπὶ τὴν θειοτέραν ζωήν.

Μὴ οὖν ὑπόθοιο σαυτῷ τὴν ἀτομωτέραν τρίβον τῆς ἀρετῆς,
65 ἐπεὶ καταπέσῃς εὐθύς. Ἀλλ' ὑπομίμνησκε τὴν σαυτοῦ ψυχὴν ὅτι καὶ φίλοις προσομιλήσεις καὶ τῆς ἱλαρᾶς μὲν ἀδιαβλήτου δὲ μεθέξεις ζωῆς· ἂν γὰρ οὕτω διαιτᾷς τῇ ψυχῇ, καὶ ὁμαλωτέρως μεταβιβάζῃ πρὸς ἀρετήν, ἧττον ταῖς ἐκ τῶν λογισμῶν ἀνίαις

46–48 χορείαν – ἀγαλλίασις: Luc. 15,7 οὕτως χαρὰ ἐν τῷ οὐρανῷ ἔσται ἐπὶ ἑνὶ ἁμαρτωλῷ μετανοοῦντι et 15,10 γίνεται χαρὰ ἐνώπιον τῶν ἀγγέλων τοῦ θεοῦ ἐπὶ ἑνὶ ἁμαρτωλῷ μετανοοῦντι ‖ **61** ἀετοῦ – οὐρανόν: cf. Psel. Πρὸς τοὺς λέγοντας μὴ εἶναι φύσει χρηστὸν τὸν ἄνθρωπον· ἐλέχθη δὲ ὁ τοιοῦτος λόγος αὐτοσχεδίως = Phil. min. II 17 (84,6–7) ἀσκητικὰ ταύτῃ πτερὰ περιθέμενος καὶ τοῦ σώματος ἀπολύσας διὰ τῆς τῶν παθῶν ἀποχῆς

44 ἵνα καὶ U: ἵνα P S ‖ **45** οὖν U: γὰρ P S ‖ **49** ἀναπεμπουσῶν U: πεμπουσῶν P S ‖ **53** σε U: σου P S ‖ **58** πανοῦργος P S: πάνουργος U ‖ **60** ἀπαγορεῦσαι P S: ἀπαγορεῦσαι σε U ‖ **61** περιθέμενον P S: ἐπιθέμενον U ‖ **65** σαυτοῦ U: σεαυτοῦ P S ‖ **66** ἱλαρᾶς – δὲ U: ἱλαρᾶς καὶ ἀδιαβλήτου P S ‖ **67** ὁμαλωτέρως U: ὁμαλώτερον P S ‖ **68** πρὸς ἀρετήν U: τὴν ἀρετήν P S | ἀνίαις U: ἐννοίαις P S

γενήσῃ ἁλώσιμος. Πλὴν εἴτε τὴν ὑψηλοτέραν μετελεύσῃ ἄσκησιν, μεθέξεις τῆς ἀκηράτου καὶ θείας ἐκείνης ἡδονῆς, καὶ τρυφήσεις ἐν 70 τῷ θεῷ καὶ ἀγαλλιάσῃ τὴν πνευματικὴν ἀγαλλίασιν· εἴτε τὴν μέσην βαδίσεις καὶ ὄντως βασιλικήν, ἣν καὶ ἡμεῖς βαδίζειν προειλόμεθα, ἔχεις πάλιν κἀντεῦθεν πλουσίας τὰς χάριτας.

Καὶ τί τὰ πολλὰ λέγω; Τοῦτο αὐτὸ τὸ ἐν τῷ ἄνθει τῆς ἡλικίας θῦσαι σαυτὸν τῷ θεῷ, οἷόν ἐστιν εἰς εὐφροσύνην καὶ ἀγαλλίασιν. 75 Ἐγὼ θαυμάζω κατανοῶν πῶς ὁ κάλλιστός μοι και ἀνθηρότατος Μιχαήλ, ὁ πᾶσαν κοσμικὴν φιλοκαλίαν ἠγαπηκώς, καὶ δεικνὺς τὸ φιλότιμον οὐκ ἐν ἐσθήμασι μόνον καὶ ὑποδήμασιν, ἀλλὰ καὶ μέχρι τῶν λεπτοτάτων, ὁ καὶ τὴν μορφὴν ἀστεῖος, καὶ τὴν ψυχὴν ἀπαστράπτων κάλλεσί τε καὶ χάρισι, ῥακοδυτεῖ νῦν καὶ τριβωνο- 80 φορεῖ, καὶ τριχῶν καὶ ἐσθῆτος καταφρονεῖ, ἐφ᾽ οἷς τὰ ἐν ἐπαγγελίᾳ σοι ἑτοιμάζεται ἀγαθὰ καὶ ἡ ἀΐδιος τῶν οὐρανῶν βασιλεία.

71–72 τὴν[2] – βασιλικήν: cf. Num. 20,17 et 21,22 ὁδῷ βασιλικῇ πορευσόμεθα cum Greg. Naz. Συντακτήριος = Or. 42,16 τὴν μέσην βαδίζοντες καὶ βασιλικὴν, Εἰς τὸν μέγαν Βασίλειον … = Or. 43,14 διὰ λείας τῆς ὁδοῦ φέρων καὶ ἄγαν εὐπόρου καὶ βασιλικῆς ὄντως, et Epist. 165,2 οὔτε τὸ λίαν ἀπαθὲς ἐπαινῶ, οὔτε τὸ ἄγαν περιπαθές· τὸ μὲν γὰρ ἀπάνθρωπον, τὸ δὲ ἀφιλόσοφον. ἀλλὰ δεῖ τὴν μέσην βαδίζοντα, τῶν μὲν ἄγαν ἀσχέτων φιλοσοφώτερον φαίνεσθαι, τῶν δὲ φιλοσοφούντων ἀμέτρως ἀνθρωπικώτερον. cf. Psel. Χρονογραφία VI,173 et VII,163 (=VIIb42), Ἱστορία σύντομος 105, et Π 120,50–51 et Π 339,11

70 καὶ[1] – ἐκείνης U: ἐκείνης καὶ θείας P S ‖ **73** ἔχεις πάλιν U: ἔχεις P S κἀντεῦθεν P S: κἀνταῦθα U ‖ **75** σαυτὸν U: αὐτὸν P S ‖ **77** Μιχαήλ U: om. P S **80** νῦν U: νυνὶ P S ‖ **81** ἐφ᾽ οἷς U: ἐν οἷς P S ‖ **82** καὶ – βασιλεία P S: om. U

XXVIII. ⟨Κατακαλὼν⟩ Κεκαυμένος

κουροπαλάτης (post a. 1057), ⟨Καλλίνικος, μοναχός⟩

101. Τῷ Κεκαυμένῳ

ca. a. 1059 – a. 1067

K-D 59 [L]

Τὴν γλυκεῖάν σου ἐπιστολὴν ἐκομισάμην, ὑπέρτιμε τοῦ θεοῦ ἄνθρωπε, δι' ἧς ἐγνώρισά σε ὅλον μεταποιηθέντα, καὶ καθαρῶς γεγονότα τοῦ πνεύματος, καὶ ἐν τῇ πνευματικῇ ταύτῃ πτωχείᾳ τοὺς οὐρανίους πλουτήσαντα θησαυρούς· ἴσθι γὰρ ὅτι, διὰ τῆς
5 ἐπενδύσεως τοῦ ῥακώδους ἐσθήματος καὶ ἀπεκδύσεως τῆς φθειρομένης εὐδαιμονίας, ἀπέθου μὲν τὸν παλαιὸν ἄνθρωπον, ἐφόρεσας δὲ τὸν ἐπουράνιον, τὸν ἀεὶ νεάζοντα καὶ θάλλοντα τῷ ἄνθει τῆς ἀφθαρσίας.

Εἰ μὲν οὖν ὁ ἐπιβουλεύων τῇ σωτηρίᾳ ἡμῶν ἀρχέκακος
10 δαίμων οὐκέτι σου τῇ ψυχῇ τὴν εὐδαιμονίαν τῆς ματαιότητος ἐνίησι λανθανόντως καὶ ἐπιθυμίαν τῆς προτέρας δόξης ἐντίθησι, χάριτας ὁμολόγει θεῷ, τῷ οὕτως σε κύκλῳ περιτειχίσαντι καὶ ἀπρόσιτόν σε ποιησαμένῳ τοῖς δαίμοσιν. Εἰ δὲ ἴσως ὁ πονηρὸς δαίμων ὑφέρπων σου τὴν καρδίαν ἀναμιμνήσκει ὧν διὰ τὴν πρὸς
15 τὸν θεὸν ἀγάπην καταπεφρόνηκας, καί σου πειρᾶται σβεννύειν τὸν πρὸς θεὸν ἔρωτα, ἢ τὸ σύντονόν σου τῆς προθυμίας χαλᾷ, ἀντίθες αὐτῷ τὴν ἐναποκειμένην σοι μακαριότητα, ἕνεκα τῆς ὀλιγοχρονίου ἀσκήσεως ἀντὶ τῆς ἐνταῦθα φθειρομένης εὐημερίας. Καί σοι καθ' ὑπερβολὴν λόγου ἐρῶ ὅτι, κἂν μηδὲν ἡμῖν ἀπέκειτο ἐν τοῖς
20 μέλλουσιν αἰῶσιν εἰς εὐδαιμονίαν ἀρκοῦν, τὸ διὰ τὴν τοῦ θεοῦ

XXVIII cf. Psel. Χρονογραφία VII,3 ὁ Κεκαυμένος οὗτος ὁ Κολωνειάθεν κουροπαλάτης – μοναχός: cf. Cheynet I,205 et 295–298 ‖ **ep. 101** IV.1064 – X.1066 prop. Litavrin 1969 ‖ **1–2** τοῦ – ἄνθρωπε: cf. IV Reg. 1,9 cum e.g. Greg. Naz. Ἐπιτάφιος εἰς τὸν πατέρα ... = Or. 18,1 et Psel. Βίος καὶ πολιτεία ... Αὐξεντίου ... = Or. hag. 1a,464–465, Π 97,2–3, Π 209,1, et Π 210,1 ‖ **4–7** διὰ – νεάζοντα: Eph. 4,22–24 ἀποθέσθαι ... τὸν παλαιὸν ἄνθρωπον τὸν φθειρόμενον ... καὶ ἐνδύσασθαι τὸν καινὸν ἄνθρωπον

ep. 101 L 32v; tit. L K-D: πρός τινα ἀποκαρέντα in marg. L

ἀγάπην τὴν στενοτέραν ὁδὸν προελέσθαι τῆς πλατυτέρας αὔταρκες ἀντὶ πάσης ἄλλης ἀμοιβῆς τε καὶ χάριτος.

Μὴ φειδωλίαν δὲ καταγνώσῃ τοῦ κρατίστου ἡμῶν βασιλέως, μὴ ἀποστείλαντός σοι τὴν τοῦ κουροπαλατικίου σου ῥόγαν· σὺ γὰρ τὴν χεῖρα τούτου φθάσας ἐπέσχες· ὅθεν οὐδ' ἤνυσέ τι περὶ 25 τούτου ὁ πατριάρχης, σπουδάσας πλέον τῆς οἰκείας δυνάμεως.

Πάλιν οὖν ἐπὶ τῷ σῷ θελήματι κεῖται, ἢ λαμβάνειν ταύτην, ἢ μή.

102. Τῷ Κεκαυμένῳ

ca. a. 1059 – a. 1067, post Π 101

K-D 141 [L]

Μὴ θαυμάσῃς εἴ τινά σοι τῶν ἀβουλήτων προσπίπτει καὶ οὐ κατ' εὐθεῖαν χωρεῖ τὰ πράγματα· ὁ γὰρ μοναχὸς ἀγωνιστής ἐστιν προβεβλημένος παρὰ θεοῦ, καὶ διαμιλλᾶται καὶ πρὸς δαίμονας καὶ πρὸς ἀνθρώπους, καὶ πρὸς τὴν τύχην καὶ πρὸς τὰ πράγματα, καὶ τότε μᾶλλον νικᾷ, ὅταν πολλὰς δέξηται τὰς πληγὰς καὶ τὸ 5 γενναῖον ἐπὶ ταῖς συμφοραῖς δεικνύῃ παράστημα.

Μηδὲν οὖν σε περιτρεπέτω τῶν δυσχερῶν· στεφανίτης γὰρ ἀναδείκνυσαι ἀτυχῶν, καὶ ὁπηνίκα ὁ ἐπίγειος βασιλεὺς οὐκ ἐπιχορηγήσει σοι τὰ προσήκοντα, ὁ ἐπουράνιος πολλαπλασιάσει τὴν ἀποκειμένην τοῖς δικαίοις μακαριότητα. 10

21 τὴν – πλατυτέρας: Mt. 7,13–14 εἰσέλθατε διὰ τῆς στενῆς πύλης· ὅτι πλατεῖα ἡ πύλη καὶ εὐρύχωρος ἡ ὁδὸς ἡ ἀπάγουσα εἰς τὴν ἀπώλειαν ... στενὴ ἡ πύλη καὶ τεθλιμμένη ἡ ὁδὸς ἡ ἀπάγουσα εἰς τὴν ζωήν et Luc. 13,24 διὰ τῆς στενῆς θύρας, cf. Psel. Ἑρμηνεία τοῦ Ἄισματος ... πρὸς τὸν ... Μονομάχον = Poem 2,104–107, Βίος καὶ πολιτεία ... Αὐξεντίου ... = Or. hag. 1c,635–640, Πρὸς τὸν πατριάρχην κῦρ Μιχαὴλ περὶ τοῦ ὅπως ποιητέον χρυσόν 40,7–8, et Π 100,19–20, Π 186,16–18, et Π 415,3–4; cf. etiam Π 549,12 ‖ **23** τοῦ – βασιλέως: Constantinus X Ducas (imperator: 23/24.XI.1059 – 22/23.V.1067) (Π XVIII) ‖ **26** ὁ πατριάρχης: Constantinus Leichudes (patriarcha: 2.II.1059 – 9/10.VIII.1063) (Π XXXV) vel Ioannes Xiphilinus (patriarcha: 1.I.1064 – 2.VIII.1075) (Π L)? ‖ **ep. 102** ca – 1067: IV.1064 – X.1066 prop. Litavrin 1969

24 ἀποστείλαντός corr. K-D: ἀποστείλαντι L | ῥόγαν corr. K-D: ῥόγα L
ep. 102 L 69r–v; tit. L K-D

Χαῖρε οὖν ὅτι λελύπησαι· σκίρτα ὅτι ἠτύχησας· τῆς γὰρ ῥευστῆς δόξης ἀποτυχών, ἔχεις τὴν αἰωνίζουσαν· τῶν ἐνταῦθα χρημάτων ἀποστερηθείς, ἔχεις τοὺς ὑπερκοσμίους θησαυρούς. Μακάριος εἶ σὺ ἀποτυγχάνων, καὶ ἄθλιος ἐγὼ ἐπιτυγχάνων. Τῷ
15 δὲ ἀγαθῷ ἡμῶν βασιλεῖ μὴ μνησικακήσῃς, ἀλλὰ καὶ γλώττῃ καὶ ψυχῇ εὐχαρίστησον, ἵνα ἐντελῆ σοι τὸν μισθὸν ὁ μισθαποδότης ἀποδώσει θεός.

Ὁ δὲ ἄνθρωπός σου πάντα καὶ εἶπεν καὶ ἔπραξε περὶ σοῦ. Καὶ τὰ μὲν παρεκάλεσε· τὰ δὲ ἐπαρρησιάσατο· τὰ δὲ ἐδεήθη· τὰ δὲ καὶ
20 ἀπηναισχύντησε ἕνεκεν σου. Παρηνώχλησε τῷ βασιλεῖ· παρηνώχλησε τῷ πατριάρχῃ. Ἐμὲ πρὸ πάντων μυρία κατεβιάσατο. Ἔκλαυσεν· ἐστέναξεν· ὅσα ἔδει πεποίηκεν. Ἀλλ' ἠναντιώθη αὐτῷ ὁ καιρός. Καὶ μηδὲν ἀνύσαι δυνάμενος, πάντα καταλιπών, ἐπὶ τὸν οἰκεῖον δεσπότην ἐπανελήλυθεν. Ἐβούλετο μὲν γὰρ καὶ πρὸ
25 καιροῦ ἐπαναδραμεῖν, ἀλλ' ἐγὼ κατεῖχον αὐτόν, ἐλπίδας ὑποτείνων καὶ προσδοκίας· ὡς δ' οὐδὲν παρ' οὐδενὸς ἠνύετο, τότε καὶ αὐτὸς συνεχωρήθη ἐξελθεῖν.

103. Τῷ Κεκαυμένῳ
ca. a. 1059 – a. 1067

K-D 30 [L]

Μεγαλοπρεπέστατε κῦρ μου καὶ τῷ ὄντι σεβασμιώτατε, ἐπειδὴ καὶ ἐν τοῖς κοσμικοῖς φίλτατόν με ἡγήσω παρὰ πάντας καὶ σύμβουλον δεξιώτατον, καὶ τοῦ μοναδικοῦ βίου γενόμενος, οὐδὲν ἔλαττον τοὺς σκοποὺς ἀνατίθῃς τῶν σῶν πράξεων, καὶ παρ' ἐμοῦ
5 βούλει τὰ λυσιτελοῦντά σοι διδάσκεσθαι καὶ συμφέροντα, οὐκ ἂν ἀποκνήσαιμι παραινέσαι σοι περὶ τῶν συμφερόντων σοι καὶ

14–15 τῷ … βασιλεῖ: Constantinus X Ducas (imperator: 23/24.XI.1059 – 22/23.V.1067) (Π XVIII) ‖ **16–17** τὸν – θεός: cf. Mt. 20,8 ἀπόδος αὐτοῖς τὸν μισθὸν, et Π 226,10, Π 301,9–10, et Π 412,13 ‖ **21** τῷ πατριάρχῃ: Constantinus Leichudes (patriarcha: 2.II.1059 – 9/10.VIII.1063) (Π XXXV) vel Ioannes Xiphilinus (patriarcha: 1.I.1064 – 2.VIII.1075) (Π L) ‖ **ep. 103** ca – 1067: IV.1064 prop. Litavrin 1969

ep. 103 L 12v–13v; tit. L K-D

εἰσηγήσασθαι, τίνα βίον ἑλόμενος, κάλλιστα ἂν καὶ σαυτῷ καὶ τοῖς προσήκουσί σοι συμβουλεύσαις.

Πολλῶν τοιγαροῦν οὐσῶν ἀρετῶν, δι' ὧν ἄν τις ὁμοιωθείη θεῷ, οὐδεμίαν εἶναι φημι τῇ καθαρωτάτῃ ἀγάπῃ παραπλησίαν, 10 ἐπειδὴ καὶ ταύτης (κατὰ τὸ ἱερὸν φάναι εὐαγγέλιον) πάντες οἱ νόμοι καὶ οἱ προφῆται ἤρτηνται. Ὁ τοίνυν τὴν ἀγάπην πρὸ παντὸς ἄλλου καὶ ἀντὶ πάντων οἰκειωσάμενος ἑαυτῷ οὗτος οὐ μόνον τῶν ἐκ θεοῦ μέτοχος ἐλλάμψεων γίνοιτο ἀλλὰ καὶ εἰρηνικώτατα διαβιῴη, μηδενὸς τῶν πάντων ἐναντιωθῆναι τούτῳ ἢ 15 ἀντιπεσεῖν ἐξισχύοντος.

Εἰ τοίνυν, ἐν μέσῳ τῷ βίῳ στρεφόμενος, ἀγαπητικώτατος ὁ αὐτὸς καὶ εἰρηνικώτατος τοῖς πᾶσι καθίστασο, πῶς οὐχὶ νῦν μᾶλλον τὸν τοιοῦτον βίον ζηλώσειας, ὅσῳ καὶ τῶν πραγμάτων ἀφέστηκας καὶ θεῷ πεπλησίακας; Τῆς δὲ ἀγάπης εἰς δύο ταῦτα 20 διαιρουμένης, εἴς τε τὴν πρὸς θεὸν εἰλικρινεστάτην οἰκείωσιν καὶ εἰς τὴν πρὸς τὸν πλησίον καθαρωτάτην διάθεσιν, τὸ μὲν πρὸς τὸν θεὸν μέρος ὅσον ἐπὶ τοῖς φαινομένοις κατώρθωκας, τῆς ἐπικήρου λαμπρότητος καὶ τοῦ φαινομένου προβλήματος τὸν κεκρυμμένον ἐν τῷ θεῷ βίον ἀνταλλαξάμενος· ἀγάπην δὲ πρὸς τὸν πλησίον 25 ὡμολόγησας μὲν εὐθύς, τῷ βίῳ ἀποταξάμενος, καί που καὶ ἐν προθύροις γέγονας τοῦ τοιούτου καλοῦ, εἶτα δὴ ἐν μεταμέλῳ τῆς ἐπαγγελίας καὶ ὁμολογίας γενόμενος, ἄλλον τινὰ τρόπον ἢ πρότερον ᾕρησαι.

Οὐ σύ, κῦρ μου μεγαλοφρονέστατε, ἐν τοῖς πρὸς ἐμὲ γράμμασι 30 πολλάκις ἀνωμολόγησας ἶσα πατρὶ τὸν τιμιώτατον μητροπολίτην Κολωνείας τιμᾶν καὶ τὴν σύμπασαν αὐτῷ προσεμαρτύρησας ἀρετήν; Οὐ καθηγητὴν ὠνόμασας; οὐ φίλτατον καὶ οἰκειότατον, καὶ τὰ πρὸς ψυχὴν εὐνούστατον καὶ λυσιτελέστατον; Εἶτα τί νεώτερον γέγονεν, ὅτι σὺ τὰς τοιαύτας ὁμολογίας καταλιπών, ἐπὶ 35

11–12 ταύτης – ἤρτηνται: Mt. 22,37–40 ἀγαπήσεις κύριον τὸν θεόν σου ... ἀγαπήσεις τὸν πλησίον σου ὡς σεαυτόν. ἐν ταύταις ταῖς δυσὶν ἐντολαῖς ὅλος ὁ νόμος κρέμαται καὶ οἱ προφῆται ‖ **26–27** ἐν – καλοῦ: cf. Plat. Φίληβος 64c1 τοῦ ἀγαθοῦ νῦν ἤδη προθύροις cum Plot. V,9,2,25–26 et Procl. e.g. In Tim. II 267,20–21 et Psel. Ἐγκωμιαστικὸς εἰς ... Μιχαὴλ τὸν Κηρουλλάριον = Or. fun. I 1,30,12–13, Ἐγκώμιον εἰς Ἰωάννην ... Εὐχαΐτων .... = Or. pan. 17,144–145, et Περὶ τῶν ἰδεῶν ἃς ὁ Πλάτων λέγει = Phil. min. II 33 (113,12) et Π 125,100–101 et Π 275,9

τὰς ἐναντίας ὑπολήψεις μετέστης, καὶ ὃν ὡς πατέρα τετίμηκας, τοῦτον εἰς τὴν ἐναντίαν μερίδα τέθεικας;

Οὐκ οἶδας οἷον ἐστι χρῆμα ὁ ἀρχιερεύς, καὶ ὅσα πρὸς Χριστὸν δύναται, ἐντὸς τῶν ἀδύτων ἑστὼς καὶ ἄγγελος χρηματίζων τοῦ
40 κρείττονος, τῶν μὲν ὑπερευχόμενος τῶν δὲ κατευχόμενος; Μὴ οὕτως ὁ θαυμασιώτατός μοι σὺ καὶ πρὸς πάντας τὴν ἀρετὴν ἀπαράμιλλος. Μὴ πρὸς θεοῦ, μή μοι τὸν χαρακτῆρα τῆς ψυχῆς ἀμείψῃς· μηδὲ τὰς πρὸς θεὸν ὑποσχέσεις ἀλλοιώσῃς· μηδὲ δίδου τὰς ἀκοὰς γλώσσαις βασκάνοις καὶ λοιδορεῖν εἰθισμέναις θείας
45 ψυχάς. Ἀλλά, κἂν εἴ τις ἐπιψιθυρίσῃ σου τοῖς ὠσὶ λοίδορον λόγον καὶ βάσκανον, ὡς ἰὸν ὄφεως τοῦτον εὐθὺς ἀποτίναξον. Καὶ μένε ἐπὶ τῶν σῶν χρηστοτάτων ἠθῶν τοῖς περιτρέπουσιν ἀπερίτρεπτος.

Εἰ μὲν γὰρ ᾔδειν τὸν ἄνθρωπον, ἢ ἀγνωμονεῖν εἰωθότα τοῖς εὐεργέταις, ἢ μὴ εὐθύτητα ψυχῆς ἔχοντα, ἀλλὰ καμπύλον τινὰ
50 καὶ περινενοημένον, οὔτ' ἂν αὐτὸν ὑπεδεξάμην παρακαλοῦντα καὶ δυσωποῦντά με, οὔτ' ἄν σε προετρεψάμην φιλίαν πρὸς αὐτὸν ἢ τὴν παλαιὰν σῴζειν ἢ νέαν καὶ θαυμασιωτέραν ποιεῖν. Ἐπεὶ δὲ αὐτὸς ἐγὼ ἐπιτηδείαν εὑρηκὼς τὴν αὐτοῦ ψυχήν, παιδείας τε συμπάσης ἐνέπλησα καὶ καλλίσταις ἰδέαις ἐμόρφωσα, διὰ ταῦτα ἐκείνῳ μὲν
55 προστάττω οἷα δὴ καὶ διδάσκαλος τοῖς σοῖς ἕπεσθαι λόγοις καὶ ὑπερεύχεσθαί σου τῆς ὁσιωτάτης ψυχῆς, σοὶ δὲ συμβουλεύω ἀντέχεσθαι τοῦ ἀνδρὸς καὶ φυλάττειν τοῖς κακοῦν βουλομένοις ἀπολιόρκητον.

Καὶ μὴ οἰηθῇς, ἀδελφέ, ὅτι σοι τὴν γλῶτταν οὗτος μετήμειψε·
60 «μὴ γενοίμην ἀμπελὼν τοῦ ἠγαπημένου» κατὰ τὸν θεῖον φάναι Γρηγόριον, εἰ ἠκηκόειν τοῦ ἀνδρὸς φωνὴν ἀφιέντος κατὰ σοῦ τὴν οἱανοῦν. Ἀλλὰ σὲ μέν, ὥσπερ πρῶτον, οὕτω δὴ καὶ νῦν ἐν τοῖς ἐξαιρέτοις ἔχει· περιαλγὴς δέ ἐστιν, οὐχ ὅτι ἐξ ἐναντίας αὐτῷ καθέστηκας, ἀλλ' ὅτι μὴ ἐπαμύνεις πολεμουμένῳ καὶ πολιορκου-
65 μένῳ ὁ θαυμάσιος σὺ στρατηγός, ὃς δὴ καὶ μόνῳ νεύματι ἀρκεῖς πᾶσαν διαλῦσαι καὶ μηχανὴν καὶ παράταξιν.

Ἐβουλόμην, ἀδελφὲ φίλτατε, μὴ ἐκ Κολωνείας ὡρμῆσθαί σε, ἵνα δὴ ἐλευθέρᾳ τῇ γλώττῃ τῷ γένει διελοιδορησάμην. Ἀλλ' ὅμως οἱ πλείους κακίους, καὶ πρόχειρον τὸ ἔθνος εἰς ἐπήρειαν καὶ διαβο-
70 λήν· ἀλλ' οὐδὲ πρὸς φόνον ὀκλάζουσιν· ἀλλ' οὐδὲ φειδώ τις αὐτοῖς, οὔτε ἱερέως οὔτε ἀρχιερέως. Καὶ εἰ μὴ σὺ ἀντίμαχος τούτοις

60 μὴ – ἠγαπημένου: Greg. Naz. Εἰς τὸν πατέρα σιωπῶντα ... = Or. 16,12

γένοιο καὶ βοηθήσαις τῷ ἀρχιερεῖ κινδυνεύοντι, ἔνοχος τῷ θεῷ γένοιο ἐπὶ τῇ τοιαύτῃ ὑποστολῇ. Ἐπὶ πᾶσι πρέσβυς σοι καὶ αὐτὸς ὑπὲρ τοῦ μητροπολίτου γίνομαι· ὅτι δὲ εἰρηνικώτατος ἁπάντων εἰμὶ πρέσβεων, ἐν τῷ προλαβόντι χρόνῳ ἐγνώρισας. 75

Ἀνάστηθι οὖν ὑπὲρ τοῦ ἀνδρὸς γενναιότερον· καὶ ἢ ὡς Φινεὲς τοὺς ἀπὸ θεοῦ πορνεύοντας καὶ τῷ λειτουργῷ αὐτοῦ ἀντικαθισταμένους ἐκκέντησον, ἢ δυσωπητικώτερον εἰς φιλίαν τὰ μέρη συνάρμοσον. Καὶ δεῖξον ὅτι καθαρῶς ἀγαπᾶν τὸν ἀγαπῶντά σε προείλου θεόν, τοῖς ὑπηρέταις τῶν αὐτοῦ μυστηρίων εὐμενῶς καὶ 80 ἀγαπητικῶς προσφερόμενος.

XXIX. Μιχαὴλ Κηρουλλάριος (1000/1005 – 21.I.1059)

πατριάρχης (25.III.1043 – 2.XI.1058)

cf. Π 399

104. Τῷ πατριάρχῃ κῦρ Μιχαήλ

K-D 208 [O, S], S 56 [P]

Τὴν κεφαλήν μου, τὴν κεφαλήν μου! οὐ τὴν ἐμὴν δὲ ἀλλὰ τὴν ἀλλοτρίαν, ἢ κἀκείνην ἐμήν, κἂν ἄλλως ᾠκονομήθημεν. Ἀλλὰ σὺ

76–78 ἀνάστηθι – ἐκκέντησον: Num. 25,7–8 ἰδὼν Φινεες ... ἐξανέστη ... καὶ ἀπεκέντησεν ἀμφοτέρους, τόν τε ἄνθρωπον τὸν Ισραηλίτην καὶ τὴν γυναῖκα διὰ τῆς μήτρας αὐτῆς, cf. Psel. Πρὸς τὸν λοίδορον ῥίψαντα χάρτην = Or. min. 7,241–242 ἢ καθάπερ ὁ Φινεὲς δι' ἀμφοτέρων τὸν σειρομάστην διήλασα; et Ἐγκωμιαστικὸς εἰς ... Μιχαὴλ τὸν Κηρουλλάριον = Or. fun. I 1,34,7 **XXIX** cf. Psel. Πρὸς τὸν πατριάρχην κῦρ Μιχαὴλ περὶ τοῦ ὅπως ποιητέον χρυσόν (vel Ἐπιστολὴ πρὸς τὸν ἁγιώτατον πατριάρχην τὸν Ξιφιλῖνον περὶ χρυσοποιίας), Πρὸς τὴν σύνοδον κατηγορία τοῦ ἀρχιερέως = Or. for. 1, Ἐγκωμιαστικὸς εἰς τὸν μακαριώτατον πατριάρχην κῦρ Μιχαὴλ τὸν Κηρουλλάριον = Or. fun. I 1, et Π 122,55, Π 185,27, et Π 203,10 ‖ **1** τὴν[1] – μου[2]: IV Reg. 4,19 ‖ **2–4** σὺ – πάνυ: cf. IV Reg. 2,9 et 13 καὶ εἶπεν Ελισαιε «γενηθήτω δὴ διπλᾶ ἐν πνεύματί σου ἐπ' ἐμέ» ... καὶ ὕψωσεν τὴν μηλωτὴν Ηλιου, ἣ ἔπεσεν ἐπάνωθεν Ελισαιε. cf. etiam Π 14,38–42

73 πρέσβυς corr. K-D: πρέσβις L ‖ **ep. 104** P 202r–v, O 287r; tit. P S K-D: τοῦ Ψελλοῦ κυροῦ Μιχαήλ. τῷ πατριάρχῃ κῦρ Μιχαήλ

ὁ ἐμὸς Ἑλισσαῖος καὶ μέγα καὶ ἄνωθεν τὸ δέρρας δεξάμενος, καὶ τὴν διπλῆν χάριν Ἠλιοὺ τοῦ πάνυ, οὐκ ἀφῆκας θανεῖν ἐπὶ τῷ τῆς 5 κεφαλῆς ἀλγήματι, ἀλλὰ τὸ ἀποτετμημένον ἀποκατέστησας προσθήκῃ τελεωτέρᾳ καὶ μείζονι.

Ἄλλοι μὲν οὖν θεάτροις τερπέσθωσαν, καὶ οἷς ἐκεῖνα κεκόσμηνται κοσμείσθωσαν τήμερον. Ἐγὼ δὲ ἀλλ' ἄκουσον ὅπως ἀντίρροπον ἐμαυτῷ κατασκευάσω τὴν ἡδονήν (ἥσθην γὰρ 10 ὑπερφυῶς ἥσθην, τὸν φίλτατον ἰχθὺν θεασάμενος):

Πρῶτα μὲν εἰς βαλανεῖον ἀφίξομαι· καὶ δῆτα περινοῶ τὸ ἐπιτερπές τε καὶ κάλλιστον, καὶ ἐν ᾧ κολυμβῆθραι καὶ νάματα πλούσια. Ἔπειτα ὅλην ἀποτίλας ῥοδωνιάν, καὶ διατεμόμενος τῶν μίσχων τὰ πέταλα, καὶ τὴν ἄνθην τῶν φύλλων ἐπιστρώσω τοῖς 15 ὕδασι, λευκήν, ἢ φοινικὴν ὅτι μάλιστα τῶν ὑδάτων τὴν ἐπιφάνειαν ἐργασάμενος. Καὶ τὸ σῶμα ῥύψας ὅσον εἰκός, ἡδέως τῇ κολυμβήθρᾳ ἐμβὰς ἐπινήξομαι, στρέφων ἐν νῷ ὅτι ὁ ποτάμιος ὗς ὁ κάλλιστος τῶν ἰχθύων ὀψαρτυσίαις ἐπισκευάζεται. Εἶτα βραχύ τι τοῖς ἀποψήμασιν ἐπαναπαυσάμενος (ἕλξει γάρ με, εὖ οἶδα, ἡ βελτίστη 20 πρὸς τὸ βρῶμα γαστήρ), τράπεζάν τε ἐμαυτῷ θήσομαι, ἄσκευον μὲν καὶ λιτήν, ἐμοὶ δὲ λαμπρὰν ἄλλως καὶ περιττήν· τί γάρ μοι αἱ πολλαὶ τῶν ἐδεσμάτων διαδοχαί, τευθὶς ἐπὶ σηπίᾳ, καὶ μετὰ ταύτην ἄλλο σελάχιον, καὶ ἐπὶ τούτῳ μαλακόστρακον ἕτερον, καὶ αὖθις ἄλλο ἐπ' ἄλλῳ, πάντα τοῦ πηλοῦ καὶ τοῦ τέλματος; ἐμοὶ δὲ

4–5 τῷ – ἀλγήματι: cf. Π 184,31–32 τῆς κεφαλῆς τῷ ἀλγήματι ‖ **9–10** ἥσθην – ἥσθην: Synes. Cyren. Epist. 110,18 ἥσθην ὑπερφυῶς ‖ **22–23** τευθὶς – ἕτερον: Athen. Δειπνοσοφισταί 3,65 τῶν μαλακοστράκων et 7,107 σηπίαν, τευθίδα … μαλάκια … σελάχια

3 καὶ ἄνωθεν P S K-D: ἄνωθεν O | δέρρας P S K-D: γέρας O **5** ἀποκατέστησας P S K-D: ἀποκαταστήσας O ‖ **7** οὖν P S K-D: οἷς O τερπέσθωσαν P S: ἐπιτερπέσθωσαν O K-D ‖ **8** κεκόσμηνται P S K-D: κεκόσμηται O | κοσμείσθωσαν P S K-D: om. O ‖ **9** κατασκευάσω O K-D: κατεσκεύασα P S ‖ **13** ῥοδωνιάν O corr. S (in app.) K-D: ῥοδονιάν P S **14** μίσχων O K-D: σμίχων P S | καὶ – ἄνθην P S: τὰ ἄνθη O K-D ‖ **17** ἐμβὰς O K-D: om. P S ‖ **19** ἀποψήμασιν O K-D: ἀποψήσασιν P S | ἕλξει P S K-D: θέλξει O ‖ **21–22** αἱ πολλαὶ O K-D: τὰ πολλὰ P S ‖ **22** διαδοχαί O K-D: om. P S τευθὶς P S K-D: τεφθὶς O ‖ **23** ταύτην P S K-D: ταῦτα O | μαλακόστρακον O corr. S K-D: μαλοκόστρακον P

πρῶτα μὲν ὁ ποτάμιος ὗς, καὶ αὖθις ὁ θαλάττιος ὗς, καὶ πάλιν ὁ ἀμφίβιος ὗς, ὁ αὐτὸς ἀρχή, καὶ μέση, καὶ τελευτή. 25

Οὕτως δὴ καὶ ἐπὶ τοῦ παντὸς ἐγὼ θεωρῶ. Ἥλιος μὲν γὰρ ἐνταῦθα ἀπαστράπτει, καὶ ἡ σελήνη παρὰ μέρος ἐσχημάτισται, καὶ ὁ φωσφόρος ἑτέραν μοῖραν ἐπέχει, καὶ ὁ ἕσπερος αὐτὸ τοῦτο πρὸς ἑσπέραν ἐστίν· ὁ δὲ οὐρανὸς πανταχοῦ, καὶ ἐπὶ τούτῳ 30 μᾶλλον τὸ θεῖον ἢ ἐπὶ τοῖς ἑτέροις τεμαχίοις γανύσκεται. Οὕτω δὴ κἀγὼ τὸν ἐμὸν μεριῶ οὐρανὸν ἵνα μοι διαλάβῃ πᾶσαν τὴν τράπεζαν, καὶ μηδὲν αὐτοῦ τῶν τμημάτων ἀμέτοχον ᾖ. Καὶ μὴ θαυμάσῃς «οὐρανὸν» ἀκούων «ἐμόν»· οὐ γάρ εἰμι τοῦ κανθάρου καταδεέστερος, κἀκείνῳ δὲ τὸ περίττωμα πρὸς τὴν σφαῖραν εἰκόνισται· εἰ 35 δὲ καὶ σὺ ὁ θεῖος ἀνὴρ ὁ πεπομφὼς τὸν ἰχθύν, τοῦτο δὲ τοὔνομα ἀπὸ τοῦ θεοῦ παρωνόμασται, τί καινὸν εἰ ἐν συμβόλῳ καὶ σχήματι οὐρανοῦ μοι δέδωκας μέγεθος; Σὺ δέ μοι τοῦ λειτουργήματος ἀπειληφὼς τὴν ἀπόδειξιν, ἐντεῦθεν καὶ τὰ λοιπὰ ὀφλήματα χαρακτήριζε. 40

105. Τῷ πατριάρχῃ κῦρ Μιχαήλ

eodem tempore ut Π 200, Π 109, Π 443, et Π 444 [vid. epistolarum ordinem in U]?

S 164 [P]

Συνεκεφαλαίωσας ἡμῖν τῶν εὐεργεσιῶν τὰς χάριτας, ἀποπέμψας

30–31 ἐπὶ – γανύσκεται: cf. Synes. Cyren. Περὶ βασιλείας 25,48–49 λόγον τε ἔχει καὶ τὸ θεῖον γανύσκεσθαι κυδαινόμενον βασιλέως εὐσεβοῦς θεραπείᾳ **34–35** οὐ – εἰκόνισται: Aesop. Ἀετὸς καὶ κάνθαρος = Fab. 3 ὁ κάνθαρος … κόπρου σφαῖραν ποιήσας ἀνέπτη. cf. Psel. Ὑπὲρ τοῦ νομοφύλακος κατὰ τοῦ Ὀφρυδᾶ = Or. for. 3,490–491

25 ποτάμιος P S K-D: ποταμὸς O ‖ **25–26** καὶ[1] – ὗς P S K-D: om. O ‖ **26** ὁ αὐτὸς P S K-D: καὶ αὐτὸς O | τελευτή P S K-D: τελετή O ‖ **30** τούτῳ P O K-D: τούτοις S ‖ **31** ἐπὶ τοῖς P S: τοῖς O K-D | τεμαχίοις O corr. S K-D: τεμμαχίοις P | γανύσκεται corr. K-D: γαννύσκεται O γάννυται P S ‖ **32** ἵνα P S K-D: ἱέρα O | διαλάβῃ O K-D: διαλάβοι P S ‖ **33** μηδὲν P S K-D: μηδὲ O ‖ **36** σὺ – θεῖος P S K-D: σὺ θεῖος O | τοὔνομα P S: τὸ ὄνομα O K-D ‖ **39** ἀπειληφὼς P S K-D: ἀπείληφας O ‖ **39–40** χαρακτήριζε P S K-D: χαρακτηρίζεται O ‖ **ep. 105** U 186r–v, P 227r, c[2] 164v; tit. P S: τῷ πατριάρχῃ U τοῦ αὐτοῦ ἐπιστολὴ πρὸς τὸν πατριάρχην κῦρ Μιχαήλ c[2] | [..]νεκεφαλαίωσας c[2]

τῶν ἀγαθῶν τὸ κεφάλαιον, μᾶλλον δὲ μετὰ τὸν ποταμὸν τὴν πηγήν.

Οἵαν δὲ καὶ ἰδὼν ἀπεφθεγξάμην φωνήν! Τί ὡραιώθησαν αἱ
5 σιαγόνες σου ὡς τρυγόνος, τράχηλοί σοι ὡς ὁρμίσκοι; ὡς σπαρτίον κόκκινον χείλη σου· ὅλη καλὴ εἶ καὶ μῶμος οὐκ ἔστιν ἐν σοί· εἰ γὰρ ἐκ μέρους καλή, ὅλη ποταπή· εἰ μετ' αὐχένα περικαλλής, μετὰ τοῦ αὐχένος ὑπερφυής· εἰ τὸ βραχύτατον πολυτίμητον, τὸ ὅλον ὑπέρτιμον.

10 Εἶδον, εἶδον τὸ χρυσοῦν θέαμα, τὸ γλυκὺ ὅραμα, τὸ παμπόθητον ἄγαλμα. Νοῦ ὄντως ἡ κεφαλὴ αὐτὴ οἰκητήριον· πρὸς γὰρ τὸν ὄφιν ἀπείκασται, ὃν μιμεῖσθαι δεδιδάγμεθα. Καὶ τὸ καινότατον ἄκουσμα: ἡδὺς ὄφις καὶ τρόφιμος. Οὗτος ἄρα τοὺς γενεάρχας ἠπάτησε, τέρψας τοῖς ῥήμασι, θέλξας τοῖς σχήμασιν· οἵα γὰρ
15 αὐτῆς ἡ μορφή!

Ἀλλὰ πῶς ἂν ἐν ὀλίγῳ τὸ πολὺ παραστήσαιμι; Ἀλλ' ἐρωτᾷς: «Οὕτως ἅπασαι, ἢ μόνη αὕτη χρυσῆ ὡς δεσποτική;» Ἐμμελής,

4–5 τί ὡραιώθησαν – ὁρμίσκοι: Cant. 1,10 τί ὡραιώθησαν σιαγόνες σου ὡς τρυγόνες, / τράχηλός σου ὡς ὁρμίσκοι; cf. Psel. Ἑρμηνεία τοῦ Ἄισματος … πρὸς τὸν … Μονομάχον = Poem. 2,130–137 et etiam Ἐγκώμιον εἰς … Νικόλαον μοναχὸν … = Or. fun. I 10,21,33, et Λόγος ὅτε προσηνέχθη ἡ ὑπεραγία θεοτόκος εἰς τὰ ἅγια τῶν ἁγίων = Or. hag. 6,109–110 ‖ **5–6** ὡς[3] – σου: Cant. 4,1. cf. Psel. Ἑρμηνεία τοῦ Ἄισματος … πρὸς τὸν … Μονομάχον = Poem. 2,791–797 ‖ **6** ὅλη – σοί: Cant. 4,7 ὅλη καλὴ εἶ, ἡ πλησίον μου, καὶ μῶμος οὐκ ἔστιν ἐν σοί. cf. Psel. Ἑρμηνεία τοῦ Ἄισματος … πρὸς τὸν … Μονομάχον = Poem. 2,841–842 ‖ **11–12** πρὸς – δεδιδάγμεθα: Mt. 10,16 γίνεσθε οὖν φρόνιμοι ὡς οἱ ὄφεις. cf. Psel. Εἰς τὸ 'γίνεσθε φρόνιμοι …' = Theol. II 16 ‖ **17–18** ἐμμελής, ὑγροφυής, νύμφη: cf. Psel. Πρὸς τὸν εἰπόντα μελῳδόν, ὅτι ⟨τὸ⟩ σῶμα κατ' εἰκόνα … = Theol. II 5,156–157 τὸ δὲ λοιπὸν σῶμα ὑγροφυῶς λυγιζόμενον εὐάρθρόν τε καὶ εὐάρμοστον ταῖς ἁρμονίαις τυγχάνει cum Aristaen. Epist. 1,1,38–39 τρυφερὰ τῆς Λαΐδος τὰ μέλη, ὡς ὑγροφυῶς αὐτῆς λυγίζεσθαι τὰ ὀστᾶ et Etym. Magn. 529,32 κόρη: ἡ παρθένος καὶ ὑγροφυὴς καὶ τρυφερά

4 ἀπεφθεγξάμην c[2]: ἐπεφθεγξάμην U ἐφθεγξάμην P S ‖ **11** αὐτὴ c[2]: αὐτῇ U αὕτη P S ‖ **11–12** τὸν – ἀπείκασται [ca. 17 litt.] U ‖ **13** ἄκουσμα ἡδὺς [ca. 11 litt.] U | γενεάρχας U: γενάρχας P c[2] S ‖ **17** χρυσῆ P S: χρυσὴ U c[2]

ὑγροφυής, νύμφη ἀτεχνῶς· τοιαῦτα τὰ ἐμὰ παιδικά. Σὺ δέ μοι λέγε τὰς ἐκ Θηβῶν βουνιάδας, καὶ ἐκ Λιπάρας μαινίδας, καὶ τὴν γογγυλίδα τὴν Μαντινειακήν, καὶ τὰς ἐν Μιντούρναις ἀφύας, τὰ καινὰ ταῦτα καὶ περιττὰ καὶ λαμπρὰ μέχρις ὀνόματος. Σὲ μὲν ἐκεῖνα τερπέτω, καὶ τὸ σεμνὸν ὄψον οἱ ἅλες. Ἐμὲ δὲ εὐωχείτω ὁ καλὸς οὗτος ὄφις, καὶ πληρούτω μοι λαμπρῶς τὴν τράπεζαν. 20

Ἀλλὰ βάλλ' οὕτως λαμπρῶς καὶ δεσποτικῶς· ἀπορῶν δὲ τῆς ὁλότητος, δεξιοῦ τοῖς ἡμίσεσιν. 25

18 τοιαῦτα – παιδικά: cf. Plat. Γοργίας 482a1–4 εἰ μή τις παύσει τὰ σὰ παιδικὰ τούτων τῶν λόγων … ἀλλὰ τὴν φιλοσοφίαν, τὰ ἐμὰ παιδικά et Synes. Cyren. Epist. 138,14–16 ἐπειδὴ γράφειν δύναμαι, θαμὰ τοῦτο ποιῶ … καὶ ἀπολαύω τῶν ἐμῶν παιδικῶν. cf. Psel. Εἴς τινα κάπηλον γενόμενον νομικόν = Or. min. 14,147 ἵνα μὴ περιττὸς δόξω τὰ σὰ παιδικὰ ὑφαρπάζων, Π 76,36 τὰ σὰ παιδικά, Π 112,84–85 τῶν ἐμῶν παιδικῶν (τοὺς λόγους φημί), Π 113,105–106 τὴν ἐμὴν πάλαι γλῶτταν … τῶν ἐμῶν … παιδικῶν, Π 117,21–22 τὴν ἐμὴν ἐνδείξαιμι γλῶτταν, καὶ ἢ λέξιν ἀποσμιλεύσω, ἢ συναρμόσω περίοδον, ἢ σχεδιάσω ῥητορικὴν μέθοδον, τὰ ἐμὰ παιδικά, Π 131,47–48 ἵν' ἔχω σκῶψαί σε καὶ προσπαῖξαί σοι, καὶ καλὴν δοῦναι ἐπιστολήν, τὰ σὰ παιδικά, Π 176,36–37 τὰ σὰ παιδικά, et Π 223,11–13 ἀπόλαυε τῶν σῶν· εἰ μὲν βούλει, τῶν ἀρχαίων παιδικῶν, ὧν δὴ τὰς ἀρχὰς παρὰ τῆς ἐμῆς γλώττης εἰλήφεις· εἰ δ' οὖν, τῶν νέων τρυφῶν ‖ **19–20** τὰς – Μαντινειακήν: Athen. Δειπνοσοφισταί 1,6,30–31 τὰς ἐκ Λιπάρας μαινίδας, τὴν Μαντινικὴν γογγυλίδα, τὰς ἐκ Θηβῶν βουνιάδας ‖ **20** τὰς – ἀφύας: Athen. Δειπνοσοφισταί 7,24,1–5 Λυγκεὺς δ' ὁ Σάμιος ἐν τῇ πρὸς Διαγόραν ἐπιστολῇ ἐπαινῶν τὰς Ῥοδιακὰς ἀφύας καὶ ἀντιτιθεὶς πολλὰ τῶν Ἀθήνησι γινομένων πρὸς τὰ ἐν τῇ Ῥόδῳ φησί· 'ταῖς μὲν Φαληρικαῖς ἀφύαις τὰς Αἰνάτιδας καλουμένας ἀφύας cum 1,12,1–8 ἐγένετο δὲ κατὰ τοὺς Τιβερίου χρόνους ἀνήρ τις Ἀπίκιος, πλουσιώτατος τρυφητής, ἀφ' οὗ πλακούντων γένη πολλὰ Ἀπίκια ὀνομάζεται. οὗτος ἱκανὰς μυριάδας καταναλώσας εἰς τὴν γαστέρα ἐν Μιντούρναις (πόλις δὲ Καμπανίας) διέτριβε τὰ πλεῖστα καρίδας ἐσθίων πολυτελεῖς, αἳ γίνονται αὐτόθι ὑπέρ γε τὰς ἐν Σμύρνῃ μέγισται καὶ τοὺς ἐν Ἀλεξανδρείᾳ ἀστακούς ‖ **24** βάλλ' οὕτως: Hom. Il. 8,282. cf. Psel. Λόγος εἰς … τὸν Μονομάχον = Or. pan. 2,404 et Π 214,7–8, Π 241,7, et Π 449,4–5

20 Μιντούρναις U c²: Μιτούρναις P S ‖ **22** οἱ ἅλες U: ἅλις P S αἱ ἅλες c²
25 δεξιοῦ – ἡμίσεσιν U c²: δεξιοῦ με τοῖς μέρεσι P δεξιοῦμαι τοῖς μέρεσι S

106. Τῷ αὐτῷ
Τῷ πατριάρχῃ κῦρ Μιχαήλ. post a. 1054 [cf. l. 3: με τὸν ἀσκητὴν]?

S 57 [P]

Ὡς εὔκυκλος, ὡς πίων, ὡς πιμελής! Τὰ δ᾽ ἐμὰ ποῖα; Ὡς ἥδομαι, καὶ τέρπομαι, καὶ χορεύειν βούλομαι!

Ἀλλ᾽ ὁρᾷς ὅπου με τὸν ἀσκητὴν κατεβίβασεν ὁ ἰχθύς; Μή ποτε γόης τὴν φύσιν ἐστί, καὶ θέλγει τὸν νοῦν, καὶ κατάγει τὴν 5 ψυχήν, ὥσπερ τὴν σελήνην αἱ γρᾶες φασίν, ἢ τῶν μάγων αἱ ἴϋγγες, ὅσον ἐντὸς οὐρανοῦ παθητικόν ἐστι καὶ θελγόμενον;

Ἔγωγ᾽ οὖν πᾶν ὑπερφυγὼν τὸ ἡδύ (ἀλλὰ μὴ βάλοι με φθόνος νεμέσεως!), τούτου μόνου ἥττων εἰμί, οὐκ οἶδ᾽ ὅθεν ἀγκιστρευθείς. Καί μοι τῆς ὀρεκτικῆς καταβληθείσης δυνάμεως, ἐπειδὰν ἴδω τὸν 10 ἰχθύν, ἀνεγείρομαι, καὶ τὴν ὀψαρτυσίαν αὐτοῦ καταλέγω, καὶ τῷ μαγείρῳ ἐπιτάττω τὴν τέχνην ἀκριβῶς τῆς ὀπτήσεως· καὶ πανταχῇ μὲν φιλόσοφος ἴσως εἰμί, ἐνταῦθα δὲ μόνον ἐλέγχομαι.

Ἡ δὲ τοῦ χρόνου φορὰ μᾶλλόν μοι τὸν πόθον ἐπηύξησε. Σὺ δέ μοι τοῖς ἀγρευταῖς ἐγκέλευε, καὶ αὖθις τὴν σαγήνην ἐπιβαλεῖν, εἰς 15 τὸ βαθύτερον μέρος τοῦ ποταμοῦ, ἵν᾽ εὐμεγεθέστερον ἁλιεύσωσιν· ὅσῳ γὰρ μείζων, τοσούτῳ καλλίων.

Ὄναιο τῆς πηγῆς· ὄναιο τοῦ ῥεύματος· ὄναιό μοι καὶ τῆς συνεχοῦς μεταδόσεως. Καὶ μήθ᾽ ὁ ποταμὸς ἐπιλίποι τὸ θήραμα, μήτε σὺ τὴν μετάδοσιν.

2 χορεύειν βούλομαι: cf. Π 63,3–4 ὥστε μικροῦ δεῖν ὑπὸ τοῦ σοῦ μέλους καὶ ὑπορχοῦμαι, Π 131,2 μικροῦ δεῖν καὶ ὠρχούμην, Π 138,10 ἀτεχνῶς χορεύοντι ἔοικα, Π 140,17–18 βούλομαι πολλάκις χορεύειν, et Π 140,104 μικροῦ δεῖν καὶ ἐχόρευσα,. cf. etiam Π 16,3 μικροῦ δεῖν ἐχορεύσατε ‖ **7–8** ἀλλὰ – νεμέσεως: cf. Liban. Βίος ἢ περὶ τῆς ἑαυτοῦ τύχης = Or. 1,1,10 Νεμέσεως δὲ ἡμᾶς μὴ βάλοι βέλος. cf. Psel. Χρονογραφία VII,172 (=VIIc,8), Ἐγκώμιον εἰς Ἰωάννην … Εὐχαΐτων … = Or. pan. 17,356, et Π 111,53–54, Π 459,13, et Π 516,25–26. cf. etiam Ἐπιτάφιος εἰς … Ἰωάννην τὸν Ξιφιλῖνον = Or. fun. I 3,12,20

ep. 106 P 202v, c² 164v (des. mut.); tit. P S: τοῦ αὐτοῦ πρὸς τὸν αὐτόν (= τὸν πατριάρχην κῦρ Μιχαήλ) c² ‖ **3** ἰχθύς c² S: ἰχθῦς P ‖ **4** τὴν¹ – ἐστί c²: ἐστὶ τὴν φύσιν P S ‖ **7** πᾶν c²: πάντων P S ‖ **8** μόνου c²: μόνον P S ‖ **19** post μετάδοσιν folia ceciderunt, itaque epistulae finis deest in c²

Ἀλλὰ σὲ πότε θηράσομαι τὸ ἐμὸν καὶ γλυκὺ δέλεαρ;

107. Τῷ αὐτῷ

Τῷ πατριάρχῃ κῦρ Μιχαήλ (et ad nepotes eius, Constantinum et Nicephorum [cf. l. 20: ὑμῖν, τῇ καλλίστῃ συζυγίᾳ τῆς ἀδελφικῆς συμπνοίας]?) post Π 106

S 58 [P]

Ὡς ἡδέως τὸν ποτάμιον ὗν, ὡς ἂν εἴποι τις ἀνὴρ Ἀττικός, ἁγιώτατε πάντων ἐμοὶ καὶ θεοειδέστατε (οἱ γὰρ ἰδιῶται ἡμεῖς ὕσκαν τὸν ἰχθῦν ὀνομάζομεν), ὡς ἡδέως τὸν ἡδυμελῆ καὶ ἡδύκρεων! ἐκ κυμάτων γὰρ γαλήνην ἑώρακα, καίτοι τὸ βρῶμα ποτάμιον· ἐσκίρτησε δέ μοι καὶ ἡ φύσις, καὶ τὴν ὄρεξιν διηρέθισε, 5 καὶ οἷον ἀπονεκρωθεῖσαν τοῖς ἀπὸ τῶν ποταμῶν χυμοῖς ἀνεζώωσεν.

Ὁρᾷς οἷον τὸ προειπεῖν καὶ τοῦ μέλλοντος παραστοχάσασθαι, ἢ καταμαντεύσασθαι; Εἰ δέ μοι τοσοῦτον ἡ γλῶττα περὶ τὴν τοῦ ἰχθύος ἄγραν δεδύνηται, πάλιν καὶ πολλάκις τὸν αὐτὸν ἐρῶ 10 λόγον· κἂν μὴ σὺ ἀναδύσῃ τὰ ὡμολογημένα, ἐμπεσεῖται καὶ αὖθις ταῖς σαγήναις τὸ πολυτίμητον· εἰ δὲ «χαλεπὰ τὰ καλά» (φασιν οἱ

20 γλυκὺ δέλεαρ: Greg. Naz. Εἰς τὴν καινὴν Κυριακήν = Or. 44,6 ὡραῖος ἦν εἰς ὅρασιν, καὶ καλὸς εἰς βρῶσιν, ὁ ἐμὲ θανατώσας καρπός … μηδὲ συναρπασθῇς σοῖς βλεφάροις, εἰ δυνατὸν, μέχρι καὶ παροράματος, τὴν Εὔαν ἐνθυμηθεὶς, τὸ γλυκὺ δέλεαρ, τὸ τιμώμενον φάρμακον ‖ **107,1** ποτάμιον – Ἀττικός: cf. e.g. Hesych. υ 818 ὗς· χοῖρος, ἢ σῦς. καὶ ἰχθῦς ‖ **4** ἐκ – ἑώρακα: proverbium; CPG II 389 (nr. 88d). cf. Psel. Ἐγκώμιον εἰς … Κωνσταντῖνον … τὸν Λειχούδην = Or. fun. I 2,16,12 et Π 53,31–32 et Π 168,32–33 ‖ **8–11** ὁρᾷς – λόγον: cf. Π 106,13–19 σὺ δέ μοι τοῖς ἀγρευταῖς ἐγκέλευε καὶ αὖθις τὴν σαγήνην ἐπιβαλεῖν εἰς τὸ βαθύτερον μέρος τοῦ ποταμοῦ, ἵν' εὐμεγεθέστερον ἁλιεύσωσιν, ὅσῳ γὰρ μείζων, τοσούτῳ καλλίων. ὄναιο τῆς πηγῆς, ὄναιο τοῦ ῥεύματος, ὄναιό μοι καὶ τῆς συνεχοῦς μεταδόσεως· καὶ μήθ' ὁ ποταμὸς ἐπιλίποι τὸ θήραμα, μήτε σὺ τὴν μετάδοσιν ‖ **12** χαλεπὰ – καλά: proverbium; CPG I 172 (nr. 38) et 462 (nr. 22) et II 89 (nr. 30) et 717 (nr. 7) cum Karath. 66. cf. Psel. Χρονογραφία VI,74 et Π 161,3 et Π 508,27

ep. 107 U 161r (inc. mut.), P 202v, D 269v (des. mut.), A 44v (inc. mut.); tit. P S: deest U A τῷ πατριάρχῃ κῦρ Μιχαήλ D ‖ **107,1** ὗν D | εἴποι D: εἴπῃ P S **3** ὕσκαν D | ἰχθύν S ‖ **5** ποτάμιον scripsi: πελάγιον P D S | διηρέθισε D: ἠρέθισε P S ‖ **6** ἀπὸ – ποταμῶν D: τῶν βοτανῶν P S

παροιμιαζόμενοι) καὶ τὰ ἡδέα δυσπόριστα, οἴσομεν τὴν τῆς τύχης ἀναβολήν. Ἀλλά μοι θάρρησον καὶ αὐτὸς τὸν δεσποτικὸν εἰπεῖν
15 λόγον, πρὸς ὃν ὡς πρὸς ἀρχέτυπον τὴν σὴν ἐξεικονίζεις ψυχήν· κἂν ἐπιτάξῃς τοῖς ἀσπαλιευταῖς βαλεῖν ἐπὶ «τὰ δεξιὰ μέρη τοῦ πλοίου τὸ δίκτυον», εὑρήσουσι τὸν ἰχθῦν (τῆς γὰρ «τοῦ πλήθους» ὑπερβολῆς παραχωροῦμεν τῷ κρείττονι).

Σοὶ μὲν οὖν τῷ μεγάλῳ δεσπότῃ, ἀντιδεξιώσαιτο τὰ κρείττονα
20 ὁ θεός. Ἐγὼ δὲ ὑμῖν, τῇ καλλίστῃ συζυγίᾳ τῆς ἀδελφικῆς συμπνοίας, τὸν τῆς φιλίας κρατῆρα κίρνημι· ἀντιπροπίοιτε δέ μοι καὶ ὑμεῖς τὴν φιλοτήσιον κύλικα.

108. Τῷ αὐτῷ

Τῷ πατριάρχῃ κῦρ Μιχαήλ. ante Π 399 [vid. epistolarum ordinem in codd. U et A]?

S 59 [P]

Καὶ τί μετὰ κιθάραν, αὐλοί; καὶ μετὰ τὴν Λύδιον ἁρμονίαν, ἡ Φρύγιος; Οὐδὲ λοπὰς κακόν ἐστι, ἀλλὰ τὸ τάγηνον ἄριστον.

16–17 βαλεῖν – ἰχθῦν: Ioann. 21,6 ὁ δὲ εἶπεν αὐτοῖς, «βάλετε εἰς τὰ δεξιὰ μέρη τοῦ πλοίου τὸ δίκτυον, καὶ εὑρήσετε». ἔβαλον οὖν, καὶ οὐκέτι αὐτὸ ἑλκύσαι ἴσχυον ἀπὸ τοῦ πλήθους τῶν ἰχθύων ‖ **20–21** ὑμῖν – συμπνοίας: Constantinus (Π XXX) et Nicephorus (Π XXXI), nepotes Cerularii? cf. Psel. Περὶ φιλίας πρὸς τοὺς ἀνεψιοὺς τοῦ πατριάρχου κῦρ Μιχαήλ = Or. min. 31,213–215 καὶ τί δεῖ τῶν ἔξω παραδειγμάτων ὑμῖν; ἀγάλματα γὰρ ὑμῖν ἀνεστᾶσι τῆς ὁμογενοῦς συμφυΐας ἡ θεία καὶ ἱερὰ συζυγία, τὸν πατέρα καὶ τὸν θεῖόν φημι, ὧν ἑκάτερος ζῇ τε ἅμα καὶ τέθνηκεν ‖ **20** τῇ – συζυγίᾳ: cf. Π 118,61 τῆς καλλίστης συζυγίας cum Greg. Naz. Εἰς τὸν μέγαν Βασίλειον … = Or. 43,80 τῆς μεγάλης … συζυγίας ‖ **21–22** ἀντιπροπίοιτε – κύλικα: cf. Dem. Περὶ τῆς παραπρεσβείας = Or. 19,128,11–12 καὶ φιλοτησίας προὔπινεν cum e.g. Suda φ 427; cf. Psel. Βίος καὶ πολιτεία … Αὐξεντίου … = Or. hag. 1c,335–336 ‖ **1–2** μετὰ[2] – Φρύγιος: cf. proverbium ἀπὸ Δωρίου ἐπὶ Φρύγιον, CPG I 384 (nr. 38) et II 302 (nr. 61); cf. Psel. Περὶ τῶν ψαλμῶν πρὸς τὸν … Μιχαὴλ τὸν Δούκαν … = Theol. II 1,125–126 et Π 254,34, et Π 288,23 ‖ **2** οὐδὲ λοπὰς – ἄριστον: Athen. Δειπνοσοφισταί 8,27 οὐδὲ λοπὰς κακόν ἐστιν· ἀτὰρ τὸ τάγηνον ἄμεινον (= Plat. Com. Fragm. 173,12); cf. Psel. Πρὸς τὸν ἑαυτοῦ παπᾶν = Or. min. 16,75

17 τὸ δίκτυον P S: om. D | ἰχθύν S ‖ **18** post παραχωροῦμεν τῷ κρείττονι des. D ‖ **20** ab καλλίστῃ inc. U et A | καλίστῃ A ‖ **22** ὑμεῖς P A S: ἡμεῖς U
ep. 108 U 161r, P 202v, A 44v; tit. U P A S ‖ **2** λάγηνον A

Καλὸν μὲν γὰρ καὶ τοῦτο δῶρον (καὶ πῶς γὰρ οὔ; φυσικὸν ὁμοῦ τε καὶ τεχνικόν), ἀλλὰ γενέσεως γνώρισμα· γάλα γάρ, φθαρείσης τῆς φύσεως, ἀποτέλεσμα. Ὁ δὲ ποτάμιος ὗς, ὁ φίλτατος ἐμοὶ καὶ 5 τριπόθητος, τῆς πρώτης ἔργον δημιουργίας, ὅτε οὔπω φθορά, οὐδὲ βρῶσις, οὐδὲ κατάκρισις.

Χωρὶς τὰ Μυσῶν καὶ Φρυγῶν ὁρίσματα! ἄλλα μὲν λεόντων ὁρμήματα, ἄλλα δὲ πιθήκων μιμήματα! Μὴ συγκρίνωμεν τὰ ἀσύγκριτα. Τί ποιήσει χύτρα πρὸς λέβητα; αὐτὴ προσκρούσει, καὶ 10 αὐτὴ συντριβήσεται. Μιᾶς μὲν οἱ ποταμοὶ ἄμφω πηγῆς (τῆς σῆς φημὶ δεξιᾶς), ἀλλ' ὁ μὲν χρυσοῦς ἡμῖν ἐπιρρέει, καὶ τῷ Πακτωλῷ ἀνάλογος πέφυκεν, ὁ δὲ ἀργυροδίνης μὲν ἐστί, καὶ Νεῖλος ἀτεχνῶς, ἀναβάσεις καθ' ὥραν ποιούμενος, ἀλλ' οὔ τι συμβλητὸς

8 χωρὶς – ὁρίσματα: proverbium; CPG I 377 (nr. 99) et II 130 (nr. 16) et 730 (nr. 45) cum Karath. 43. cf. Psel. Ἐγκώμιον εἰς Ἰωάννην ... Εὐχαΐτων ... = Or. pan. 17,670, Ἀλληγορία τοῦ 'οἱ δὲ θεοὶ πὰρ Ζηνὶ ...' = Phil. min. I 42,11–12, et Π 78,24–25 et Π 111,9–10 ‖ **8–9** ἄλλα – μιμήματα: proverbium; cf. Greg. Pard. In Hermog. περὶ μεθόδου δεινότητος 1228,25–1229,1 ἔστι δὲ καὶ ἕτερον πάρισον τὸ λεγόμενον οὕτω πάρισον καθόλου, ὡς παρὰ τῷ θεολόγῳ [sic]· ἄλλα μὲν λεόντων ὁρμήματα, ἄλλα δὲ πιθήκων μιμήματα et fortasse Greg. Naz. Κατὰ Ἰουλιανοῦ στηλιτευτικὸς α´ = Or. 4,112 ἐδείχθη γὰρ ἂν τίνα μὲν ἀνθρώπων κινήματα, τίνα δὲ πιθήκων μιμήματα, cf. Ioann. Maurop. Λόγος εἰς ... Βασίλειον τὸν μέγαν, Γρηγόριον τὸν θεολόγον, καὶ Ἰωάννην Χρυσόστομον 116,30–117,1, Nic. Chon. Epist. 8 (212,15–16); cf. Π 78,25–26, Π 149,40–41, et Π 288,30–32 ‖ **8–9** χωρὶς – μιμήματα: cf. Π 78,24–26 χωρὶς τὰ Φρυγῶν καὶ Μυσῶν ὁρίσματα, καὶ ἄλλα μὲν λεόντων ὁρμήματα, ἄλλα δὲ πιθήκων μιμήματα ‖ **10–11** τί ποιήσει – συντριβήσεται: Eccl. 13,2,3 τί κοινωνήσει χύτρα πρὸς λέβητα; αὕτη προσκρούσει, καὶ αὕτη συντριβήσεται. **12–13** ἀλλ' – πέφυκεν: locus communis; cf. e.g. Psel. Λόγος εἰς ... τὸν Μονομάχον = Or. pan. 2,668 καὶ γίνῃ χρυσόρειθρος Πακτωλός. cf. etiam Πρὸς τὸν πατριάρχην κῦρ Μιχαὴλ περὶ τοῦ ὅπως ποιητέον χρυσόν 36,12–13 ‖ **13** ὁ – ἐστί: Hom. Il. 2,753 et 21,130; cf. Psel. Ἑτέρα μονῳδία εἰς τὸν Ἀνδρόνικον τὸν Δούκαν = Or. fun. I 6,2,7 ‖ **13–14** ὁ – ἀτεχνῶς: cf. Psel. Ἑτέρα μονῳδία εἰς τὸν Ἀνδρόνικον τὸν Δούκαν = Or. fun. I 6,2,5–7 ὥσπερ ἐκ Νειλῴων πηγῶν ... ποταμὸς ἐγεγόνει (ποιητικῶς) ἀργυροδίνης (εἰπεῖν) **13–14** Νεῖλος – ποιούμενος: de Nilo cf. Psel. Omn. doctr. 176 (Περὶ τῆς τοῦ Νείλου ἀναβάσεως) et etiam Π 3,7–8 et Π 17,9–11

3 δῶρον U A: τὸ δῶρον P S | καὶ πῶς U A: πῶς P S ‖ **5** ὁ δὲ ποτάμιος om. A **6** τριπόθητος U A: σεβάσμιος P S ‖ **7** οὐδὲ[1] U A: οὔπω P S ‖ **8** τὰ – Φρυγῶν U A: τὰ Φρυγῶν καὶ Μυσῶν P S ‖ **10–11** αὐτὴ – συντριβήσεται P S: om. U A **13** ἀργυρώδης A

15 τῷ ἑτέρῳ· οὐ γὰρ προδώσω σοι τὸν ἰχθύν, οὐχ οὕτω φανοῦμαι περὶ τὸν εὐεργέτην ἀχάριστος· ἀλλὰ τῷ μὲν τυρῷ κατὰ τῶν ἄλλων τὰ πρωτεῖα χαρίσομαι, τῷ ἰχθύϊ δὲ καὶ κατὰ τοῦ τυροῦ· ἔστω γὰρ ὑψηλοῦ ὑψηλότερος, καὶ θαυμασίου θαυμασιώτερος.

Ἀλλὰ σὺ ἡ ἐμὴ πηγὴ μετὰ τῶν χρυσῶν ψηγμάτων καὶ τὰς 20 ψάμμους ἐπίχεε· ἔστι γάρ τις καὶ τούτων χρυσίζουσα. Ὅτε δὲ προσκορὴς τῶν δευτέρων μελῶν ἔσομαι, ἄλλαττε τὴν χορδήν, τὴν σύντονον ἀντιδιδοὺς τῆς ἁρμονικῆς.

109. Τῷ πατριάρχῃ κῦρ Μιχαήλ

ca. a. 1054? eodem tempore ut Π 200, Π 443, Π 444, et Π 105 [vid. epistolarum ordinem in U]?

S 159 [P], Cre 25 [H]

Ἀπεστέρησάς με, θεοτίμητε δέσποτα, μετὰ τοῦ πρωτοτύπου καὶ τῶν συμβόλων. Ἢ μᾶλλον σὺ μὲν τὸ ἀρχέτυπον, καὶ τὸ σύμβολον ὁ ἰχθῦς εἰς τοὐμφανὲς τὸ κατάλληλον κάλλος παραδεικνύεται· ἐγὼ δὲ ἐν ἀμφοῖν εὐτυχήσας πάλαι, νῦν κατ' ἄμφω ἠτύχηκα· καὶ σὲ 5 μὲν ζητῶν, οὐχ ὁρῶ ὅσον ἐρῶ, ὁ δέ με μεταδιώξας (δεῖ γὰρ οὕτως εἰπεῖν) παρὰ πόδας κατόπιν ἐλήλυθε. Καὶ ὁ μὴ θηραθεὶς ἠτύχηκα· καὶ ὅτι μὴ ἐντὸς ἐγενόμην τῆς ἄγρας, παρευδοκίμημαι· καὶ πᾶσα νῦν ἡ σκηνὴ τῆς τύχης μεταπεποίηται· καὶ κατ' ὀλίγον μοι συμπαγεῖσα, ἀθρόον καὶ παρ' ἐλπίδας μοι καταβέβληται. Τί 10 τοσοῦτον ἠδικηκότι; Τί δὲ τῶν μὴ καθηκόντων πεποιηκότι;

21 ἄλλαττε – χορδήν: cf. Π 62,22 μεταβάλλουσι τὰς χορδάς, Π 68,34 ἄλλαξον χορδήν, Π 78,21–22 ἀλλακτέον ἡμῖν τὴν χορδήν, Π 254,28 ἄλλαξον καὶ αὐτὸς τὴν χορδήν, et Π 264,8–9 ἄλλαξον τὴν πρὸς ἡμᾶς σου χορδὴν ‖ **2–3** σὺ – ἰχθῦς: cf. Π 149,1–7 ἀνεμνήσθην ἰδὼν τὸν ἰχθύν ... ἀνεμνήσθην μέν, ἀλλὰ μόλις, ὥσπερ ἐπιλαθόμενος καὶ τῆς εἰκόνος καὶ τοῦ παραδείγματος

15 σοι P S: μοι U A ‖ **17** πρῶτα A ‖ **20–22** ὅτε – ἁρμονικῆς: ὡρ(αῖον) manu posteriore(?) in marg. U ‖ **ep. 109** U 183v–184r, P 225v, H 49v–50r, r fasc. 20 (= H); tit. P S: om. H Cre | ἀπεστέρησάς P H S Cre: ὑπεστέρησάς U **1** θεοτίμητε δέσποτα U P S: om. H Cre ‖ **2** σὺ U H Cre: σοὶ P S ‖ **3** ἰχθῦς U P S: ἰχθὺς H Cre ‖ **6** παρὰ P H S Cre: περὶ U ‖ **9** παρ' ἐλπίδας P S: παρελπίδας U παρελπίδα H παρ' ἐλπίδα Cre

Ἀλλ᾽ ὅμως ἀτυχεῖν ἔδει με καὶ ἠτύχηκα. Καὶ πάντα μοι εἰς ἐναντίας ὑπολήψεις παραπεποίηται. Ὅτι μὲν γὰρ τῶν πολλῶν ὁρῶ τι πλέον, μετὰ τῶν περιέργων ἠρίθμημαι· ἁπλοῦς δὲ ὢν τὴν ψυχήν, ποικίλος ὑπείλημμαι· καὶ ὁ λόγος κακοτεχνία δοκεῖ· καὶ τὸ σοφῶς γράφειν εἰς ὑποψίαν κινεῖ· καὶ τὸ ἐρᾶν τῆς σῆς ὁμιλίας, 15 πολυπραγμοσύνης δίδωσιν ἔμφασιν· ἂν μεγαλοψύχως ἐνέγκω τὸ πρᾶγμα, καταπεφρόνηκα· ἂν ἀλγήσας μικροψυχήσω, ἐξύβρικα· ἂν πεῖσαι προθυμηθῶ, ἠσέβηκα, ὅτι κατὰ τῶν κρειττόνων ὀμώμοκα.

Ἆρ᾽ οὖν οὐ πολλὰ ταῦτα δοκεῖ καὶ ὑπερφυῶς σχέτλια; Ἀλλὰ 20 λύσις τούτων ἁπάντων μία καὶ ῥᾴστη· ἂν γὰρ ἠρεμεῖν ἐθελήσω, ὁ σύνδεσμος τῶν κακῶν διαλέλυται. Καὶ πολλάκις μὲν ἐπεχείρησα τοῦτο ποιεῖν, ἀλλ᾽ ὑπὸ τῶν ἐνθυμημάτων ἀπόλλυμαι, ἅ με πρὸς σὲ ὅλοις κέντροις ὠθοῦσι, καὶ τῆς ἐπιχειρήσεως ῥᾷστα μετατιθέασι. 25

Σὺ δέ μοι τέχνην ποιεῖς καὶ τὴν δοκοῦσαν ἀποστροφήν· ἐξ ἡμισείας γάρ μοι ἀποκρυπτόμενος, ᾧ μὲν ἐμφανίζῃ ἕλκεις, ᾧ δὲ κρύπτῃ κατάγχεις. Εἰ δ᾽ ἅπαξ μοι τὰς θύρας ἐπιζυγώσας ἀπήλασας, τάχ᾽ ἂν τὴν πρὸς σὲ φέρουσαν ἀπογνούς, ἐτραπόμην ἑτέραν. Καὶ σὺ μὲν ἴσως (ἵν᾽ οὕτως εἴπω) θρύπτῃ καὶ ἀκκίζῃ, τὸ μέν τι 30 τοῦ ποθουμένου παραδεικνύς, τὸ δὲ ἔχων ἀθέατον. Ἐγὼ δὲ μικροῦ δεῖν ἐξεπεπνεύκειν, βραχεῖ τινι μορίῳ ἀναπνέων τοῦ πνεύματος. Τἆλλα μὲν γὰρ καρτερῶς ἔχω καὶ τῶν τεχνῶν καὶ τῶν ἐπιστημῶν καὶ τῶν τῆς ἀρετῆς ἕξεων, τὸ μὲν προσλαμβάνων, τῷ δὲ προσμέ-

30 θρύπτῃ – ἀκκίζῃ: cf. Psel. Εἰς τὸ ‘γίνεσθε φρόνιμοι …’ = Theol. II 16,87–88 ἀλλ᾽ ἀναβάλλεται τὴν συνάφειαν, οὐκ ἀκκιζομένη ἢ θρυπτομένη, ἵνα μᾶλλον τὸν ἐραστὴν ἐρεθίσειεν. cf. e.g. Them. Εἰς Κωνστάντιον τὸν αὐτοκράτορα 28b8–9 οὔκουν ἔστι μοι θρύπτεσθαι καὶ ἀκκίζεσθαι vel Alciphr. Epist. 3,5,2 ᾐσθημένη γὰρ τὸν ἔρωτα ἐκκεκαυμένον τοῦ μειρακίου, θρύπτεται καὶ συνεχῶς ἀκκίζεται?

11 ἀτυχεῖν P H S Cre: lacunam indicavit U ‖ **12** παραπεποίηται : μεταπεποίηται ante corr. H Cre ‖ **13** ὁρῶ U Cre: ὁρῶν P H S prop. Cre **21** ἠρεμεῖν U P S: ἠρεμήσειν H Cre | ἐθελήσω U: ἐθέλω P S H Cre **28** κατάγχεις U H Cre: κατέχεις P S ‖ **28–29** ἀπήλασας U P ante corr. H S Cre: ἀπήλαξας post corr. H ‖ **30** ἵν᾽ – εἴπω U P S: οὕτως ἵν᾽ εἴπω H Cre **34** τῷ : τὸ S Cre

35 νων, ὥστε προσλήψεσθαι· παραβραχὺ δὲ τῆς σῆς θέας ἐλθών, ὡς τοῦ παντὸς ἐστερημένος βοῶ.

Καὶ τὸν ἥλιον πολλάκις νέφεσι καλυπτόμενον, ἐκαρτέρησα· καὶ τὴν σελήνην οὐκ ἀποδυσπετῶ ἀφώτιστον πολλάκις ὁρῶν. Σὲ δὲ εἰ μὴ πλησιφαῆ θεάσομαι, εἰ μὴ ὅλῳ τῷ κύκλῳ πεφωτισμένον,
40 ὡς τὰ ἔσχατα περιυβρισμένος, ἀσχάλλω καὶ δυσφορῶ· ὅτι με γὰρ καὶ οὕτως ἔχοντα, τῶν πολλῶν προτιμᾷς, οὐ δέομαι τοῦ διδάξοντος· ἀλλ' ὅτι μὴ ὅλον (πῶς δ' ἂν εἴποιμι;) ἐπισπῶμαί σε καὶ ὅλαις περικυκλῶ ταῖς χερσίν, ἀτιμίαν τὴν κόλασιν τῆς ἀπληστίας λογίζομαι. Καίτοι πόσοις ἐμαυτὸν κατεπᾴδω τοῖς λογισμοῖς;
45 Πόσοις ἐμαυτὸν παραμυθοῦμαι τοῖς παραδείγμασι, παλαιοῖς, νέοις, τοῖς παρ' Ἑλλήνων, τοῖς παρὰ βαρβάρων, φυσικοῖς, θεολογικοῖς; οὔτε γὰρ τὸ θεῖον πᾶν ὅσον ἐστὶν ἐφικτόν, οὔθ' ἡ φύσις πᾶσα νενόηται.

Ἀλλὰ Μωσῆς μὲν τὰ τοῦ θεοῦ τεθεαμένος ὀπίσθια, ὡς τὸ πᾶν
50 λαβὼν τῆς ἐφέσεως, εὐγνωμόνησεν· Ἀβραὰμ δὲ ἐν συμβόλοις ξενίσας τὸ θεῖον, οὐ πόρρω τῆς εἰκόνος ἐχώρησεν· οἱ δέ γε πλείους τῶν εὐδοκιμηκότων καὶ πρὸς τὰς φωτεινοτέρας λαμπηδόνας

49–50 Μωσῆς – εὐγνωμόνησεν: cf. Exod. 33,23 καὶ τότε ὄψῃ τὰ ὀπίσω μου, τὸ δὲ πρόσωπόν μου οὐκ ὀφθήσεταί σοι cum Psel. Εἰς τὸ 'ὄψει τὰ ὀπίσθια' = Theol. I 26 et etiam Εἰς τὸ 'Ἀδάμ, ποῦ εἶ;' = Theol. II 22,20–22 **50–51** Ἀβραὰμ – ἐχώρησεν: Gen. 18. cf. Psel. Ἀπόδειξις ... τῆς τοῦ κυρίου ἐνσωματώσεως ... πρὸς τὸν σουλτᾶνον ἀπὸ τοῦ βασιλέως = Theol. II 3,698–705

35 προσλήψεσθαι U H Cre: προσλείψεσθαι P S | παραβραχὺ δὲ U H Cre: παρὰ βραχὺ P S ‖ **40** με P S: μὲν U H Cre ‖ **41** καὶ U P S: om. H Cre | ἔχοντα H Cre: ἔχων U P S ‖ **41–42** διδάξοντος H Cre: διδάξαντος U δικάζοντος P S ‖ **42** ἀλλ' ὅτι U P S: ὅτι δὲ H Cre | πῶς δ' U: πῶς P S πῶς γὰρ H Cre ‖ **43** ἀπλήστης Cre ‖ **50** Ἀβραὰμ P H S Cre: καὶ Ἀβραὰμ U

ἀπέμυσαν. Ἐμοὶ δὲ κάθηται ἡ καρδία ὥσπερ τις ἐν ἀκροπόλει τύραννος, ὅλον σε βιαζομένη καταπιεῖν, ἀπλήστως περιλαβεῖν.

Ἂν μὲν οὖν ἀντιβιάσωμαι, κατατρύχομαι· ἂν ἡττηθεὶς ἴδω σε 55 τὸν ποθούμενον, ἔτι μᾶλλον ἡττῶμαι, τυραννηθεὶς καὶ τοὺς ὀφθαλμούς.

Τί μοι τὸν ἰχθῦν; Σαυτὸν δίδου ὡς τὸ πρὶν μετὰ τῆς συνήθους ἁπλότητος.

110. Τῷ πατριάρχῃ κῦρ Μιχαήλ

S 160 [P]

Ὄντως πᾶν δώρημα τέλειον ἄνωθέν ἐστι καταβαῖνον. Εἰ δὲ βούλει, τὸν λόγον γυμνάσωμεν οὑτωσί: καὶ σὺ μὲν ἔσο θεὸς ἐμοί (καὶ οὐδεὶς ἡμᾶς αἰτιάσαιτο λέγοντας· τοῦτο γὰρ δίδωσί σοι ἡ τελειότης τοῦ χρίσματος), ὁ δ' ἀνεψιός (οὐ γὰρ ἔχω τούτου κρεῖττον ἐγκώμιον) ἐγγύτερος ἐμοῦ τὰ πρὸς σέ. Δίδωσι μὲν οὖν 5 κἀκεῖνος διαβιβάζων τὰ σά, ἀλλ' ἀτελέστερα διὰ τὴν μεσότητα. Τὰ δὲ παρὰ τῆς σῆς δεξιᾶς ὑπερτελῆ καὶ ἐξαίρετα· ὅ τε γὰρ

53–54 ἐμοὶ – τύραννος: cf. Plat. Πολιτεία 560b7–8 κατέλαβον τὴν τοῦ νέου τῆς ψυχῆς ἀκρόπολιν et Philo Περὶ τῶν ἐν μέρει διαταγμάτων 4,49 μετανισταμένου μὲν τοῦ λογισμοῦ καὶ παρακεχωρηκότος τὴν τῆς ψυχῆς ἀκρόπολιν cum Greg. Nys. Εἰς τοὺς μακαρισμούς 3 (PG 44 1228,21–26) ἕκαστον γὰρ τῶν ἐν ἡμῖν παθῶν ... καθάπερ τις τύραννος καταλαβὼν τῆς ψυχῆς τὴν ἀκρόπολιν, δι' αὐτῶν τῶν ὑποχειρίων κακοῖ τὸ ὑπήκοον, ὑπηρέταις τοῖς ἡμετέροις λογισμοῖς πρὸς τὸ δοκοῦν ἑαυτῷ καταχρώμενος. cf. Psel. Ἐκ τοῦ τῆς Πεντηκοστῆς λόγου, εἰς τὸ 'ἔστι διαφορὰ χαρισμάτων' = Theol. I 60,26, Εἰς τὸ 'ἐπλήσθησαν οἱ ἀπόστολοι ...' = Theol. I 74,70, et Π 53,4–5; cf. etiam Π 146,20 ‖ **1** πᾶν – καταβαῖνον: Iac. 1,17 πᾶσα δόσις ἀγαθὴ καὶ πᾶν δώρημα τέλειον ἄνωθέν ἐστιν καταβαῖνον cum Liturg. Chrysost. πᾶν δώρημα τέλειον, ἄνωθέν ἐστι, καταβαῖνον ἐκ σοῦ τοῦ πατρὸς τῶν φώτων. cf. Psel. Ἐγκωμιαστικὸς εἰς ... Μιχαὴλ τὸν Κηρουλλάριον = Or. fun. I 1,61,118–119 et Π 127,3–4 ‖ **4** ὁ – ἀνεψιός: Constantinus (Π XXX)

54 ἀπλήστως U P S: καὶ ἀπλήστως H Cre ‖ **55** ἡττηθεὶς P H S Cre: ἡττηθῆς U ‖ **58** ὡς om. Cre | μετὰ om. Cre ‖ **ep. 110** P 225v–226r, B 183r–v; tit. scripsi: τῷ αὐτῷ (= τῷ πατριάρχῃ κῦρ Μιχαήλ) P S: τοῦ αὐτοῦ τῷ πατριάρχῃ κῦρ Μιχαήλ B ‖ **3** αἰτιάσαιτο P: αἰτιάσεται B αἰτιάσατο S | τοῦτο – δίδωσί P S: τοῦτο, δίδωσι γὰρ B ‖ **5** κρείττων S | ἐγγύτερος P S: ἀνώτερος B | δίδωσι P S: δίδω B ‖ **6** κἀκεῖνος P S: ἐκεῖνος B

κύκλος μείζων καὶ περιεκτικώτερος, τὸ δὲ βάθος, οἷον τὸ γεωμετρικὸν σῶμα ἀκριβῶς στερεόν.

10 Ἔχω τοίνυν τὴν ὅλην εὐδαιμονίαν, τὸ μὲν παρὰ σοῦ, τὸ δὲ διὰ σοῦ. Καὶ μή μοι τὸν λόγον κακίσῃς· σκόπει γὰρ ὡς ἀληθῶς εἴρηκα: οὐκέτι τῶν τῆς σκιᾶς ἐδεσμάτων ὁ ἰχθὺς ἀτελέστερος, ἀλλ' «ἄρτος ἀγγέλων» ἐκεῖνα τῷ Ἰσραὴλ ὠνομάζετο (οὗ τί ἄν τις μεῖζον ἐρεῖ;)· εἰ δὲ τῷ ἐλάττονι τὸ ἑπόμενον τηλικοῦτον, ποταπὸν 15 ἂν εἴη τὸ ἐμὸν ἀγαθόν;

Ἀλλὰ μέ τις λέγοντα λογισμὸς μεταξὺ ἔθραξε, καὶ ἀποδειλιάσω πρὸς σὲ εἰπεῖν τὸ μυστήριον: οὐ πάνυ μοι νενόμισται ἡ δωρεὰ ἄμεσος· οὐ γὰρ ἀπὸ τῆς σῆς λαμβάνω ταύτην χειρός, ἀλλ' ἕτεραί μοι χεῖρες τὸ διδόμενον διακομίζουσιν. Ὢ τῆς βασκάνου μοι 20 τύχης! ἐπειδὴ γὰρ οὐχ ὅλης με τῆς εὐδαιμονίας ἀποτειχίζειν δεδύνηται, ἀχλύν τινα ἐπιχεῖ τῷ φωτί, καὶ νέφει (εἰ καὶ βραχεῖ) καλύπτει τὸν ἥλιον. Ἀλλ' ὢ πόσοι μίσθιοι τῷ κοινῷ συνευωχοῦνται πατρί, ἐγὼ δὲ λιμῷ μὲν οὐκ ἀπόλλυμαι, ζήλῳ δὲ ὑπερκαίομαι, καὶ ταῦτα οὔτε τὴν πατρῴαν οὐσίαν ἐδηδοκώς, οὔτε εἰς 25 χώραν ἀποφοιτήσας μακράν, ἀλλὰ καὶ τηρήσας τὸν κλῆρον

13 ἄρτος ἀγγέλων: Ps. 77,25; cf. Psel. Σελέντιον δημηγορηθὲν παρὰ βασιλέως κῦρ Μιχαὴλ τοῦ Δούκα = Or. min. 3,56 et Εἰς τὸ 'ἐπλήγη ὡσεὶ χόρτος ...' = Theol. I 18,6–7 ‖ **16** ἔθραξε: vox Platonica; cf. Plat. Φαῖδρος 242c7 et Παρμενίδης 130d5 cum e.g. Synes. Cyren. Epist. 121,13. cf. Π 53,15 et Π 243,32 ‖ **21–22** νέφει – ἥλιον: cf. Hom. Il. 17,243 νέφος περὶ πάντα καλύπτει cum Ez. 32,7 ἥλιον ἐν νεφέλῃ καλύψω, cf. etiam Psel. Χρονογραφία 6,124, Ἕτερος λόγος πρὸς ... Κωνσταντῖνον τὸν Μονομάχον = Or. pan. 4,6–7, Λόγος προσφωνηματικὸς πρὸς ... Μιχαὴλ τὸν Δούκαν = Or. pan. 13,63, Τῷ αὐτῷ [scil. Rom. Diog.] ὡς ἐν ἐγκωμίῳ προσχήματι = Or. pan. 19,19–20, et Π 375,40–41

13 ἐκεῖνα P S: ἐκείνω B | ὠνομάζετο B: ὀνομάζεται P S ‖ **16** λογισμὸς μεταξὺ P S: μεταξὺ λογισμὸς B | ἔθραξε scripsi (cf. app. font.): ἔθραυσε P B S **19** διδόμενον scripsi: δεδομένον P S δι[δό]μενον B ‖ **20** ἀποτειχίζειν scripsi: τειχίζειν P S [.]ποτειχίζειν B ‖ **22** πόσοι : [..]σοι B ‖ **23–24** ὑπερ[.]αίομ[..] B **24** οὐσίαν : οὐ[..]΄αν B | εἰς : [...] B ‖ **25** τηρήσας – κλῆρον P S: τὸν κλῆρον τηρήσας B

ἀμείωτον (ἵνα μὴ λέγω ὅτι καὶ τάλαντα τραπεζιτεύσας προστέθεικα), ἐγγύς που σκηνώσας τῆς πατρῴας αὐλῆς. Κἀκεῖνο μὲν οὐκ ἂν ἐγκαλέσαιμι, ὡς οὐδέποτέ μοι ἔδωκας ἔριφον, ἵνα μετὰ τῶν φίλων μου εὐφρανθῶ, ἀλλ' ὅτι με τῆς κοινῆς τραπέζης καὶ τῶν συντρόφων ἁλῶν ἀπεστέρησας. Ἐκεῖνα μὲν οὐκ ἂν ἀπαιτήσαιμί σε, τὴν πρώτην στολὴν καὶ τὸν ἐπὶ τῇ χειρὶ δακτύλιον (τοῦ γὰρ σιτευτοῦ μόσχου πολλοῦ δέω συγκοινωνεῖν σοι), τῶν δὲ ἀπὸ τῆς τραπέζης σου πιπτόντων ψιχίων, διατί μὴ ἀπολαύω κἂν ὡς κυνάριον; 30

Ἐγὼ μὲν οὐδὲν ἐμαυτῷ τοιοῦτον οἷον κατασεσυκοφάντημαι ἢ συνεπίσταμαι· καὶ ὅρκον οὐκ ἂν προσθείην, ἵνα μὴ καὶ πάλιν ἡμῖν τὸν λόγον οἱ ἰχνηλάται θηράσωσιν. Εἰ δὲ βούλει, ἀναπεπλάσθω μοι ὅσα ἂν ἐνδοίης τοῖς πονηροῖς τε καὶ κακοήθεσι. Τί οὖν παρὰ ταῦτα κεκλείσεταί μοι ἡ αὔλειος; Ἢ τὴν παράθυρον ὑπερβὰς καὶ κλέψας τὴν εἴσοδον, ὕποπτος δόξω; Καὶ στρέψεις δι' ἐμὲ τὸ πρόσωπον ἐπὶ θάτερον; Ὃ δὴ πεπονθὼς ἅπαξ ὡς ἔδοξα, ὥσπερ οἱ κατακώχιμοι τοῖς αὐλήμασι, σκιάν τινα τῆς ὕβρεως ἕλκω, καὶ ὁρᾶν δοκῶ τὸ ἅπαξ γενόμενον. 35 40

26–27 ἵνα – προστέθεικα: cf. Mt. 25,14–30 ‖ **22–34** πόσοι – κυνάριον: Luc. 15,13–32 ... ἀπεδήμησεν εἰς χώραν μακράν ... πόσοι μίσθιοι τοῦ πατρός μου περισσεύονται ἄρτων, ἐγὼ δὲ λιμῷ ὧδε ἀπόλλυμαι ... ἐξενέγκατε στολὴν τὴν πρώτην καὶ ἐνδύσατε αὐτόν, καὶ δότε δακτύλιον εἰς τὴν χεῖρα αὐτοῦ ... καὶ φέρετε τὸν μόσχον τὸν σιτευτόν, θύσατε καὶ φαγόντες εὐφρανθῶμεν ... ἐμοὶ οὐδέποτε ἔδωκας ἔριφον ἵνα μετὰ τῶν φίλων μου εὐφρανθῶ ... cum Mt. 15,26–27 (cf. Marc. 7,27–28) ὁ δὲ ἀποκριθεὶς εἶπεν, «οὐκ ἔστιν καλὸν λαβεῖν τὸν ἄρτον τῶν τέκνων καὶ βαλεῖν τοῖς κυναρίοις». ἡ δὲ εἶπεν, «ναί, κύριε, καὶ γὰρ τὰ κυνάρια ἐσθίει ἀπὸ τῶν ψιχίων τῶν πιπτόντων ἀπὸ τῆς τραπέζης τῶν κυρίων αὐτῶν»; cf. etiam Π 9,52–63, Π 11,50–53, et Π 112,55–59 ‖ **41–42** οἱ – αὐλήμασι: Synes. Cyren. Δίων 18,4 καὶ μένουσι χρόνον ὑπόσυχνον τοῖς αὐλήμασι κατακώχιμοι (cf. etiam Suda κ 597); cf. Π 280,35

26 ὅτι : [...] B | τάλαντα P S: τὰ τάλ[....] B ‖ **29** μου P S: om. B **30** ἀπεστέρησας scripsi: om. P [...]στέρησας B ‖ **31** δακτύ[..]ον B | τοῦ γὰρ P S: [... ...] B ‖ **33** διατί – ἀπολαύω P S: [ca. 10 litt.]λαύω B ‖ **35** οἷον B: om. P S **35–36** κατασεσυκοφάντημαι – ὅρκον : κατασεσυκοφάν[ca. 23 litt.]κον B **35** ἢ scripsi: ἡ P ‖ **36–37** ἡμῖν – λόγον P S: ἡμᾶς B ‖ **37** εἰ δὲ – ἀναπεπλάσθω: [ca. 18 litt.]άσθω B ‖ **39** ταῦτα – αὔλειος P S: ταῦ[ca. 18 litt.]ὔλειος B **40** στρέψεις – ἐμὲ : [ca. 13 litt.] B ‖ **41** θάτερον P S: θάτερα B **42** κατακώχιμοι – αὐλήμασι : κατα[ca. 14 litt.]λήμασι B ‖ **43** ὁρᾶν δοκῶ P S: δοκῶ ὁρᾶν B

Μέχρι τίνος ῥεύσουσιν ἡμῖν οἱ ποταμοὶ τὸν ἰχθῦν; Ἡ μεγάλη
45 ἀνεῳχθήτω μοι θάλασσα, τὸ μέγα τῆς φιλανθρωπίας πέλαγος,
καὶ δός ποτε συγγνώμην μὴ ἁμαρτήσαντι (ἀλλ' οὐδ' αὖθις
ὁμοῦμαι)—τί λέγω «μὴ ἁμαρτήσαντι»; μᾶλλον μὲν οὖν «σφοδρῶς
τῶν ἡμαρτηκότων κατηγορήσαντι». Κἂν εἰ τἆλλά μοι ἀφεὶς ὁ
ἀδέκαστος δικαστὴς ἐλαττώματα ἐπὶ τοῖς σοῖς ταλάντοις δικάσῃς,
50 οὐκ ἐκ δεξιῶν μόνον ἀλλὰ καὶ ἐγγὺς στήσεις τοῦ βήματος. Καί
μοι βραχὺ τοῦ ἤθους δέξαι μαρτύριον: τίνι τῶν πάντων ἀνθρώπων
ἠγνωμονήσαμεν ἢ προσεπταίκαμεν; Ἄτοπον δὲ εἰ, παρὰ τοῖς
ἄλλοις ἐλάττοσιν ἴσως οὖσι τοῖς πλείοσι τὴν γνώμην βεβαιωσάμε-
νοι, παρὰ σοὶ τῷ καὶ τιμήσαντι καὶ υἱοθετήσαντι (εἰπεῖν) ἠλλοιώ-
55 σαμεν.

111. Πρὸς τὸν πατριάρχην κῦρ Μιχαὴλ τὸν Κηρουλλάριον
Ἐπιστολή vel λόγος? post a. 1054; ca. a. 1057 – a. 1058?

Cris[2] [P, S], S 207 [P]

Σὺ μὲν ἴσως, ὦ πατέρων ἐμοὶ πολυτεκνότατε καὶ φιλοστοργώτατε
(οἴκοθεν γὰρ ἔχω τῆς εὐφημίας τὴν ἀφορμήν), καὶ τῶν ἀρρήτων
καὶ ἀπορρήτων καὶ πάλαι καὶ νῦν μύστα καὶ θεωρέ (τοῦτο γὰρ καὶ
φῆμαι βοῶσι, καὶ οὐδεὶς ἀγνοεῖ τῶν πάντων ὅστις οὐκ
5 ἐμβεβρόντηται)· σὺ μὲν οὖν (ὥσπερ εἴρηται) εἰς ἀέρα ἐκ γῆς

54 υἱοθετήσαντι: cf. Π 111,1–2 ὦ πατέρων ἐμοὶ πολυτεκνότατε καὶ φιλοστοργώτατε (οἴκοθεν γὰρ ἔχω τῆς εὐφημίας τὴν ἀφορμήν) ‖ **1–2** ὦ – ἀφορμήν: cf. Π 110,54 υἱοθετήσαντι ‖ **2–3** τῶν – ἀπορρήτων: cf. Psel. Λόγος τοῦ ὑπερτίμου ὃς ἐπικέκληται σελέντιος = Or. min. 4,33 ἄρρητά τινα νοήματα καὶ ἀπόρρητα, Δημηγορία εἰς τὸν βασιλέα τὸν Δούκαν = Or. pan. 14,6 τὴν ἄρρητον καὶ ἀπόρρητον ἐπὶ σὲ τοῦ θεοῦ πρόνοιαν, Ἑρμηνεία περὶ τῶν εἰκοσιτεσσάρων στοιχείων … πρὸς … Ἰωάννην τὸν λιβελλίσιον = Phil. min. I 36,624 ἀπόρρητά τε καὶ ἄρρητα τὰ ἐν τούτῳ περιεχόμενα, Π 202,83–84 μυχὸς γῆς ἄρρητος καὶ ἀπόρρητος, et Π 275,44–45 ἐν ἀρρήτοις καὶ ἀπορρήτοις ἀναγνοὺς γράμμασιν ‖ **5–6** εἰς – καταβέβηκας: cf. Ioann. 3,13 καὶ οὐδεὶς ἀναβέβηκεν εἰς τὸν οὐρανὸν εἰ μὴ ὁ ἐκ τοῦ οὐρανοῦ καταβάς

44 τίνος – ἡμῖν : [ca. 18 litt.] B ‖ **46–47** ἀλλ' – ἁμαρτήσαντι P S: om. B **48** τἆλλά P S: τὰ ἄλλα B | ἀφεὶς P S: ἀφῆς B ‖ **ep. 111** P 156r–157r; tit. P S Cris[2]

ἀναβὰς ὅθεν πρὸς ἡμᾶς καταβέβηκας, καὶ ταῖς ἐκεῖσε δυνάμεσι συγγενόμενος, καὶ ἀφομοιωθεὶς ταύταις εἰς δύναμιν, εἰς τὴν αὐτὴν ἰδέαν καὶ τὴν ἀνθρωπίνην ζωὴν ἄγειν ἐπιχειρεῖς. Τὸ δέ ἐστιν ἄζηλον καὶ ἀμίμητον· «χωρὶς» γὰρ (ὅ φασι) «τὰ Φρυγῶν καὶ Μυσῶν ὁρίσματα». Σὺ δὲ μεθόριον ὥσπερ τῶν φύσεων γεγονώς, 10 τῇ μὲν μορφῇ καὶ τῷ σχήματι τῷ καθ' ἡμᾶς γένει προσέοικας, ταῖς δὲ δραστικαῖς ἐνεργείαις καὶ ταῖς ὀξυτάταις κινήσεσι τοῖς ὑπὲρ ἡμᾶς εὐθὺς ἀφωμοίωσαι.

Τίς οὖν σε ζηλώσειεν ἢ μιμήσαιτο, εἰ μή γε προδήλως σκιαμαχεῖν βούλοιτο; Μὴ οὖν χαλέπαινε, ὁ πραότατος καὶ εἰρηνι- 15 κώτατος, ὁ τὰ διεστῶτα συνάψας καὶ τὸ μεσότοιχον ἀφελόμενος, εἰ ἐκ διαμέτρου τῷ σῷ βίῳ ἀφέστηκα. Σὺ μὲν γὰρ «ἐπουράνιος» ἄγγελος, κατὰ τὸν Παύλου λόγον, ἐγὼ δὲ τοῦτο αὐτὸ ὅπερ εἰμί, φύσις λογικὴ μετὰ σώματος, καὶ οὔτε δυναίμην ἂν εἴ γε βουλοί-

9–10 χωρὶς – ὁρίσματα: proverbium; CPG I 377 (nr. 99) et II 130 (nr. 16) et 730 (nr. 45) cum Karath. 43. cf. Psel. Ἐγκώμιον εἰς Ἰωάννην ... Εὐχαΐτων ... = Or. pan. 17,670, Ἀλληγορία τοῦ 'οἱ δὲ θεοὶ πὰρ Ζηνὶ ...' = Phil. min. I 42,11–12, et Π 78,24–25 et Π 108,8 ‖ **16** ὁ – ἀφελόμενος: Eph. 2,14 ὁ ποιήσας τὰ ἀμφότερα ἓν καὶ τὸ μεσότοιχον τοῦ φραγμοῦ λύσας. cf. Psel. Χρονογραφία VII,107 (VIIa,15), Κατηγορία τοῦ ἀρχιερέως = Or. for. 1,21–22 et 549–550, Ἀπολογητικὸς ὑπὲρ τοῦ Φιλιππουπόλεως Λαζάρου καθαιρεθέντος = Or. for. 2,331–332, Σελέντιον ὡς ἀπὸ ... τοῦ Διογένους = Or. min. 2,56, Συντακτήριος πρὸς τὸν βασιλέα = Or. pan. 21,24–25, Εἰς τὸ 'ἀπ' ἄρτι ὄψεσθε ...' = Theol. I 28,15–36, Εἰς τὸ 'πῦρ ἦλθον ...' = Theol. I 77,77–78 ‖ **17–18** ἐπουράνιος ἄγγελος: I Cor. 15,40 καὶ σώματα ἐπουράνια et 48–49 οἷος ὁ χοϊκός, τοιοῦτοι καὶ οἱ χοϊκοί, καὶ οἷος ὁ ἐπουράνιος, τοιοῦτοι καὶ οἱ ἐπουράνιοι· καὶ καθὼς ἐφορέσαμεν τὴν εἰκόνα τοῦ χοϊκοῦ, φορέσομεν καὶ τὴν εἰκόνα τοῦ ἐπουρανίου **18–19** ἐγὼ – σώματος: cf. Psel. Εἰς τὸ 'οἱ μὲν ἄνθρωποι τρεπτοί ...' = Theol. I 29,9 ἡ λογικὴ φύσις χρωμένη σώματι ‖ **19–20** οὔτε – δυναίμην: Synes. Cyren. Epist. 95,62–63 οὐδ' ἂν εἰ δυναίμην βουλοίμην, πάντως δὲ οὐδ' ἂν εἰ βουλοίμην δυναίμην. cf. etiam Psel. Χρονογραφία VI,171 οὐδ' εἰ πάνυ βουλοίμην, τοῦτο δυναίμην ἄν, Σελέντιον δημηγορηθὲν παρὰ βασιλέως κῦρ Μιχαὴλ τοῦ Δούκα = Or. min. 3,85 βουλοίμην μέν, εἴ γε δυναίμην, Ἑρμηνεία εἰς τὸ ῥητὸν τῆς Κλίμακος = Theol. I 30,7 οὔτε βουλοίμην εἰπεῖν, οὔτ' εἰ βουλοίμην, δυναίμην ἄν, Π 23,69 ὃ βουλοίμην, οὐ δῆτα δὴ καὶ δυναίμην, Π 30,1 βουλοίμην ἂν καὶ πάνυ βουλοίμην (εἴ γε δυναίμην), Π 79,15–16 βουλοίμην γὰρ (εἴ γε καὶ δυναίμην), Π 99,26 εἴ γε δυναίμην, βουλοίμην δέ, Π 200,34–37 σὺ μὲν γὰρ καὶ βούλοιο ἅμα καὶ δύναιο· ἐγὼ δὲ βουλοίμην μὲν (καὶ μάρτυς ἐπὶ τῷ λόγῳ θεός), δυναίμην δ' οὐ πάνυ, ἀλλ' ἔλαττον ἢ βουλοίμην· εἰ δὲ γενναίως βουλοίμην, πάντως δ' ἂν καὶ δυναίμην, Π 292,5–6

20 μην, οὔτε βουλοίμην εἴ γε δυναίμην, ἢ (μᾶλλον εἰπεῖν) ἀμφοῖν ἐστέρημαι, καὶ δυνάμεως καὶ βουλήσεως. Σοὶ δὲ θεόληπτος καὶ ἡ δύναμις, ἐνθουσιαστικὴ δὲ καὶ ἡ βούλησις.

Μὴ οὖν ὀργίζοιό μοι εἰ μή σοι συγκορυβαντιῶ καὶ συναίρομαι. Ἀλλὰ πράως ἔχε ἐπὶ τῆς δεδομένης ζῶντι ζωῆς· ἢ δεῖξον ὅστις τῶν
25 πάντων δύναμιν ἔσχεν ἀπεικασθῆναί σοι (ἵνα μὴ λέγω τὴν βούλησιν). Εἰ δὲ τέρας τῷ γένει μεμένηκας, ὥσπερ δὴ πᾶσα γλῶσσα βοᾷ, τί δὴ τερατουργεῖν ἐπιχειρεῖς τὸν μήτε πεφυκότα πρὸς τοῦτο, μήτε πρὸς τὴν σὴν τέχνην καμπτόμενον; Ἐγὼ γὰρ ἄνθρωπος εἶναι ὁμολογῶ, ζῷον ἀλλοιωτὸν καὶ τρεπτόν, ψυχὴ λογικὴ
30 χρωμένη σώματι, κρᾶμα καινὸν ἐξ ἀναρμόστων τῶν συνελθόντων. Καὶ νῦν μὲν ὅπῃ δυναίμην ἐπελαφρίζω τῇ κρείττονι φύσει, τὸ συμφυὲς φορτίον αὐτῇ ἀφαιρούμενος τῆς ἐπαχθείας ὅσον εἰκός· νῦν δέ—ἀλλ' οὐδὲν ἐρῶ δύσφημον. Σὺ δὲ μόνος τῶν ἁπάντων ἄτρεπτός τε καὶ ἀμετάθετος, ὥσπερ τις φύσις ἑτέρα παρὰ τὴν
35 ἡμεδαπήν, ἐφ' ἑαυτῆς βεβηκυῖα καὶ ἀκλινής, κἂν σπένδηταί τις, κἂν δάκρυσιν ἐξιλάσκηται.

Τίς ἂν οὖν σου τοῦτο ζηλώσειεν; Ἀλλ' ἵνα μὴ ἐξονυχίζω τὸν λέοντα, τὸν μέγαν θῆρα καὶ τῷ λασίῳ πᾶσαν ἐπικυμαίνοντα γῆν, ἀπὸ πρώτων στοιχείων ἐπιτομήν σοι ἐν κεφαλαίοις ποιήσομαι τῆς
40 ἀζήλου σου φύσεως καὶ τῶν ἀμιμήτων σου πράξεων, ἵνα μή μοι τὴν ὀφρῦν ἐπιστοιβάζῃς ὁπότε σε μιμεῖσθαι μὴ δύναμαι.

Αὐτίκα ἐμοὶ μὲν ἡ γνῶσις συνείλεκται, καὶ κατὰ βραχὺ συμπεπόρισται, καὶ σχεδὸν ἡλικιῶτίς ἐστι· θαμά τε γὰρ ὁμιλῶ τοῖς βιβλίοις, καὶ τὰ μὲν αὐτῶν ζητῶν ἐφευρίσκω, ἐξ ἀρχῶν

βουλοίμην ἂν (εἴ γε καὶ δυναίμην), et Π 514,1–2 βουλοίμην ἂν … (εἴ γε δυναίμην)
23 συγκορυβαντιῶ: vox Platonica (Φαῖδρος 228b7 ἕξοι τὸν συγκορυβαντιῶντα); cf. Synes. Cyren. Epist. 139,23 (οὐκ ὄντος τοῦ συγκορυβαντιῶντος) et Suda σ 1297; cf. Psel. Κατηγορία τοῦ ἀρχιερέως = Or. for. 1,636 et Π 134,9 ‖ **28–29** ἐγὼ γὰρ – ὁμολογῶ: cf. Synes. Cyren. Δίων 8,1 ἐπίσταμαι γὰρ ἄνθρωπος ὤν, καὶ οὔτε θεός … οὔτε θηρίον. cf. etiam Π 408,5–7 ἐγὼ γὰρ ἄνθρωπός εἰμι, ψυχὴ συνδεδεμένη τῷ σώματι· διὰ τοῦτο τοῖς νοήμασι χαίρω καὶ ταῖς αἰσθήσεσιν ‖ **29–30** ζῷον – συνελθόντων: locus communis; cf. e.g. Greg. Naz. Εἰς τὸ ἅγιον Πάσχα = Or. 45,7 ‖ **37–38** ἐξονυχίζω – λέοντα: proverbium; CPG I 252 (nr. 15), II 165 (nr. 95), et 409 (nr. 57) cum Karath. 111

ὁμολογουμένων συμπεραινόμενος, τὰ δὲ ὡς παραξυνιέντος μου ὁ 45
εἰδὼς λαμβάνων, τὴν διδασκαλικὴν ἐπιστήμην ποιεῖται μοι.
Ἐντεῦθεν καὶ φιλοσοφίας ἄττα ἐξέμαθον, καὶ τὴν γλῶτταν ταῖς
σοφιστικαῖς τέχναις ἐκάθηρα, καὶ γεωμετρίαν τοῖς ἐφ' ἡμῖν
συμπεπόρισμαι, πρῶτος ἐπιβαλών, καὶ μουσικῆς λόγους
ἐξεύρηκα, καὶ τῶν περὶ τὴν σφαῖραν κινήσεων οὐκ ὀλίγα διωρθω- 50
σάμην, καὶ τῶν ἡμετέρων λόγων τὴν ἐπιστήμην ἀκριβεστέραν
ἐποιησάμην, καὶ θεολογίας ἐξεθέμην διδάγματα, καὶ τὸ τῆς
ἀλληγορίας βάθος ἀνέπτυξα, καὶ πᾶσαν (ἀλλά με φθόνου μὴ
βάλοι βέλος!) ἐπιστήμην ἠκρίβωσα.

47–48 τὴν γλῶτταν ... ἐκάθηρα: Synes. Cyren. Epist. 154,10–11 καὶ τὴν γλῶτταν καθήρασθαι. cf. etiam Psel. Χρονογραφία VI,23, Ὑπὲρ τοῦ νομοφύλακος κατὰ τοῦ Ὀφρυδᾶ = Or. for. 3,134, et Ἐγκώμιον εἰς τὸν Μεταφραστὴν ... = Or. hag. 7,55–56 ‖ **53–54** ἀλλά – βέλος: cf. Liban. Βίος ἢ περὶ τῆς ἑαυτοῦ τύχης = Or. 1,1,10 Νεμέσεως ἡμᾶς μὴ βάλοι βέλος. cf. Psel. Χρονογραφία VII,172 (=VIIc,8), Ἐγκώμιον εἰς Ἰωάννην ... Εὐχαΐτων ... = Or. pan. 17,356, et Π 106,7–8, Π 459,13, et Π 516,25–26; cf. etiam Ἐπιτάφιος εἰς ... Ἰωάννην τὸν Ξιφιλῖνον = Or. fun. I 3,12,20 ‖ **42–54** αὐτίκα – ἠκρίβωσα: cf. Psel. Ἐπιτάφιος εἰς τὴν ἑαυτοῦ μητέρα 1685–1931, Χρονογραφία VI,36–40, Π 177,4–9 κατὰ τοῦ πᾶν ἀνεγνωκότος μάθημα καὶ ὑπὲρ πάντας ἀνθρώπους ταλαιπωρήσαντος, φημὶ δὴ ῥητορικήν, γεωμετρίαν, μουσικήν, ῥυθμικήν, ἀριθμητικήν, σφαιρικήν, νομικήν (κἂν Ἕλληνες ἀπαρέσκωνται), ἱερατικήν, θεολογικήν, ὅσα ἔγνωσται, ὅσα οὐκ ἔγνωσται, ὅσα μηδεὶς τῶν πάντων, et Π 284,27–40 οἱ τὴν Πόλιν τοῖς λόγοις κοσμήσαντες· οἱ τὴν τῆς παιδεύσεως φήμην τοῖς τῆς οἰκουμένης πέρασι παραπέμψαντες· οἱ μηδ' ὁτιοῦν εἶδος παραλελοιπότες ἀσκήσεως· οἱ τῇ φύσει μόνῃ διδασκάλῳ πρὸς πᾶσαν χρησάμενοι μάθησιν· οἱ τὰ γένη τῶν φιλοσοφιῶν μόνοι τῶν πάντων (λεγέσθω γὰρ καὶ τιτρωσκέσθωσαν οἱ βασκαίνοντες) ἀκριβώσαντες, τὰ τῶν Ἑλλήνων, τὰ τῶν Χαλδαίων, τὰ τῶν Αἰγυπτίων, τὰ τῶν Ἑβραίων· οἱ τὰς ἱερὰς βίβλους φιλοσόφως καὶ μετ' ἐπιστασίας ἐξηγησάμενοι κρείττονος· οἱ τὰς τέχνας καταστησάμενοι, καὶ τὰς μεθόδους λεπτύναντες· οἱ μηδὲν τῆς Ἰταλῶν σοφίας ἀπολειπόμενοι, μηδὲ τῆς τῶν πραγμάτων τύρβης ἣν ἐπιστήμην οἱ πολλοί φασιν· οἱ τὸ σχεδιάζειν ἀνανεωσάμενοι, καὶ πρᾶγμα πάντῃ τὸν αἰῶνα ἐκλελοιπὸς τῷ βίῳ καινοτομήσαντες· οἱ διδάσκαλοι μόνοι τῶν πάντων ἐπιγραφόμενοι

45 παραξυνιέντος scripsi: παρὰ ξυνιέντος P S Cris[2]

55 Σοὶ δὲ ἡ σοφία καὶ ἡ θεολογία ἐξ ἑτέρων ἀρχῶν ὧν οὔτε ἴσμεν οὔτε πεπύσμεθα (εἰ μὴ τὰς Διὸς δέλτους ἐρεῖς)· οὔτε γὰρ φιλοσοφήσας, οὔτε στερεομετρήσας, οὔτε βιβλίοις προσομιλήσας ποτέ, οὔτε σοφοῖς ἐντυχών, οὐχ Ἕλλησιν οὐ βαρβάροις, οὐδέσιν ἄλλοις, αὐτεπιστήμη καὶ αὐτοσοφία (ὡς ἂν ἐρεῖς) ἡμῖν ἀναπέφανσαι, οὐκ
60 ἀπὸ καρδίας πλασθεὶς οὐδ᾽ ἐξ ἥπατος (ὡς ἔνιοι τῶν φυσικῶν τὴν ἡμετέραν φύσιν διεγνώκασιν), ἀλλ᾽ ἐκ κεφαλῆς, ἢ ἀθρόον τὸ πᾶν, ὡς ἡ φύσις, ὡς ἡ ἰδέα, ὡς ἡ ψυχή, ὡς ὁ πολυτίμητος νοῦς.

Ὁρᾷς ὁπόσοις μὲν ὄρεσιν, ὅσαις δὲ θαλάσσαις, ὅσαις δὲ ἠπείροις ἀπ᾽ ἀλλήλων εὐθὺς διϊστάμεθα; Οὔτε τοίνυν αὐτὸς ἐμὲ
65 δύνῃ μιμήσασθαι, οὔτ᾽ ἐγώ σε βουλήσομαι ἢ προθυμήσομαι. Ὅρα δὴ καὶ τἆλλα:

Σοὶ μὲν τὸ γένος λαμπρόν, ὁπότερον βούλει· ὅ τε γὰρ πάππος καὶ ὁ ἐπίπαππος, καὶ εἴ τις ἕτερος, διαβόητος καὶ ἐν τοῖς ἁπάντων στόμασι κείμενος· καὶ τούτῳ πρὸ τῶν ἄλλων ἀποσεμνύνεις τὴν
70 ἱερατικὴν τελειότητα. Ἐμοὶ δὲ καὶ τῷ Φωκίωνι (ἵνα μὴ λέγω τῶν προφητῶν ἐνίοις), οὐ πάνυ λαμπρὰ τὰ ἐντεῦθεν, ἢ λαμπρὰ μὲν ἴσως, ἀλλ᾽ ἐμοὶ σεσιώπηται· οὐ γὰρ ἀπὸ τῆς σεσηπυίας ὀφρύος, ἀλλ᾽ ἀπὸ τῆς ἡβώσης γλώσσης χαρακτηρίζεσθαι βούλομαι. Καὶ

56 τὰς – δέλτους: cf. Lucian. Περὶ τῶν ἐπὶ μισθῷ συνόντων 12 cum proverbium CPG II 162 (nr. 68) et 518 (nr. 9a) ἐκ τῶν Διὸς δέλτων ὁ μάρτυς. cf. etiam Psel. Ὑπὲρ τοῦ νομοφύλακος κατὰ τοῦ Ὀφρυδᾶ = Or. for. 3,81 Εἴς τινα κάπηλον γενόμενον νομικόν = Or. min. 14,92, et Λόγος εἰς ... Κωνσταντῖνον τὸν Μονομάχον = Or. pan. 1,34 ‖ **59** αὐτεπιστήμη: vox neoplatonica; cf. e.g. Procl. In Parm. 967 |αὐτοσοφία: vox theologica; cf. e.g. Psel. Βίος καὶ πολιτεία ... Αὐξεντίου ... = Or. hag. 1c,217 et Ἐγκώμιον εἰς τὴν ἀποτομὴν ... Ἰωάννου = Or. hag. 8,660. cf. etiam Ὑπὲρ τοῦ νομοφύλακος κατὰ τοῦ Ὀφρυδᾶ = Or. for. 3,450 ‖ **59–61** οὐκ – διεγνώκασιν: cf. Galen. Περὶ χρείας μορίων 3,45,10–16 et passim ‖ **70–72** καὶ – ἴσως: cf. Plut. Phoc. 4,1 Φωκίωνα δὲ τεκμαίρομαι μὴ παντάπασιν εἶναι γένους ἀτίμου καὶ καταπεπτωκότος ‖ **72** σεσηπυίας ὀφρύος: Greg. Naz. Εἰς Ἥρωνα τὸν φιλόσοφον = Or. 25,3 ‖ **73–74** καὶ σοὶ – ἡ ἐσθής: cf. Psel. Ἐγκωμιαστικὸς εἰς ... Μιχαὴλ τὸν Κηρουλλάριον = Or. fun. I 1,8,5–8 τῷ μὲν (scil. fratri Cerularii) πολυτελεστέρα, εὐπάρυφόν τε τὸ ἔσθημα, τῷ δὲ (scil. Mich. Cer.) βραχὺ μέν τι ἀφελεστέρα, μᾶλλον δέ τι ἡδύνουσα, ἥ τε περιβολὴ φιλόσοφος ἅμα καὶ στίλβουσα

σοὶ μὲν εὐπάρυφος ἐξ αὐτῆς γενέσεως ἡ ἐσθής, [ca. 10 litt.] ὥσπερ ὑπατείαν μεταχειριζομένῳ οἱ δωδεκαπελέκεις καὶ οἱ ῥαβδοῦχοι 75 τὸ γνώρισμα, τὰ τῆς ἀρχιερωσύνης σύμβολα καὶ προτέλεια. Ἐμοὶ δὲ οὔτε μαστιγονόμων ἐδέησε πρὸς τὴν τῶν μαθημάτων ἀνάληψιν, καὶ ἡ ἀναβολὴ αὐτουργῷ σοφίας προσεοικυῖα.

Πῶς ἂν οὖν ἀλλήλοις συμβῶμεν, οὕτω καὶ τοῖς βίοις διηρημένοι καὶ τοῖς γένεσι καὶ τοῖς ἤθεσιν; ὥσπερ γὰρ ἐκ τῶν ἀστρῴων 80 σχηματισμῶν, σοὶ μὲν εὐθὺς πάντα βασίλεια, ἐμοὶ δὲ αὐχμηρὰ καὶ φιλόσοφα, καὶ τὰ μὲν σὰ καινοφανῆ καὶ παράδοξα, τὰ δὲ ἐμὰ συνήθη τε καὶ βιώσιμα. Διὰ ταῦτά μοι καὶ τὴν κοινωνίαν καὶ τὴν συμβίωσιν παραιτῇ, καὶ ἀτιμάζεις τὸν λόγον, καὶ καταφρονεῖς τῆς παιδεύσεως, καὶ οὐδέν σε τῶν ἐμῶν θέλγειν δεδύνηται, οὐ σχεδιά- 85 ζουσα γλῶττα τοὺς λόγους, οὐ λέξις ἐρρυθμισμένη, οὐ τρόπος ἐπιεικής, οὐκ ἦθος φιλόσοφον, οὐ τὸ πεζὸν τῆς γνώμης καὶ ὕπτιον.

Ἀλλὰ Κελτοὺς μὲν καὶ Ἄρραβας ἁλωσίμους ἡμῖν πεποιήκαμεν· καὶ καταπεφοιτήκασι κατὰ κλέος ἡμέτερον κἀκ τῆς ἑτέρας ἠπείρου. Καὶ ὁ μὲν Νεῖλος τὴν γῆν ἐπάρδει τοῖς Αἰγυπτίοις, ἡ δὲ 90 ἐμὴ γλῶττα τὴν ἐκείνων ψυχήν· κἂν πύθοιο τῶν Περσῶν, κἂν τῶν Αἰθιόπων, ἐροῦσιν ὡς ἴσασί με καὶ τεθαυμάκασι καὶ τεθήρανται.

Καὶ νῦν δέ τις ἐκ τῶν Βαβυλῶνος ὁρίων ὥστε πιεῖν τῶν ἐμῶν ναμάτων ἀσχέτοις ταῖς προθυμίαις ἐλήλυθε, καὶ τὸ μὲν τῶν ἐθνῶν «λύχνον σοφίας» καλεῖ, τὸ δὲ «φωστῆρα» προσονομάζει· καὶ ἄλλοι 95 ἄλλως με τοῖς καλλίστοις ὀνόμασι διηρήκασι. Σὺ δέ μοι μόνος τῆς

74–76 ὥσπερ – γνώρισμα: cf. Dion. Halicarn. Ῥωμαϊκὴ ἀρχαιολογία II 29,1 ῥάβδους τε καὶ πελέκεις ὑπ᾽ ἀνδρῶν δώδεκα φερομένους et passim cum Psel. Ἱστορία σύντομος 9; cf. etiam Psel. Ὅτε παρητήσατο τὴν τοῦ πρωτοασηκρῆτις ἀξίαν = Or. min. 8,82–84 περιέπουσί τε τοῦτον καὶ δορυφοροῦσιν ὥσπερ τοὺς πάλαι Ῥωμαίων ὑπάτους δωδεκαπελέκεις καὶ ἑξαπελέκεις σωματοφύλακες ‖ **77** οὔτε – ἐδέησε: Plut. Περὶ τῶν ὑπὸ τοῦ θείου βραδέως τιμωρουμένων 553a6–8 Σικυωνίοις δὲ καὶ διαρρήδην ὁ θεὸς προεῖπε μαστιγονόμων δεῖσθαι τὴν πόλιν ‖ **78** αὐτουργῷ σοφίας: cf. Dio Chrys. Περὶ βασιλείας α′ = Or. 1,9 αὐτουργοὶ τῆς σοφίας cum Xen. Συμπόσιον 1,5 αὐτουργούς τινας τῆς φιλοσοφίας ‖ **87** τὸ – ὕπτιον: cf. Synes. Cyren. Περὶ βασιλείας 10,36–37 τοῦτον ὄψει νῦν μὲν ὑψοῦ τὴν γνώμην, νῦν δὲ ὕπτιον

74 lacunam indicavit S ‖ **75** δωδεκαπελέκεις P S: δώδεκα πελέκεις corr. Cris[2]

λύρας ἀνήκοος, ἢ ἐπήκοος μὲν ἀλλ' οὐχ ⟨ὡς⟩ ἡ δρῦς πρὸς τὴν Ὀρφικὴν ἐμμέλειαν (ἵνα μηδὲν πλέον ἐρῶ). Τοσοῦτόν σοι τὸ περιὸν τοῦ στασίμου ἤθους καὶ τῆς βεβηκυίας ψυχῆς (ἵνα μὴ λέγω
100 τὸ καταπεφρονηκὸς τῆς παιδεύσεως)· οὐ γὰρ διασύρων ταῦτά φημι, ἀλλὰ τεθαυμακώς σου τὸ ἀγοήτευτον· πολιτεύεται δὲ καὶ γένος τοιοῦτον ἐν τῷ παντί, καὶ οὐκ ἂν θέλξαις αὐτὸ τὴν διαπασῶν ἁρμονίαν ἐμμελῶς ἁρμοσάμενος.

Οὕτω μοι τὰ πάντα πρὸς τὴν σὴν φύσιν ἀντέστραπται. Καὶ σὺ
105 μὲν ὁμόθεν μοι γεγαώς, κἀκ τῆς αὐτῆς ἀναφυεὶς αὔλακος, οὐκ οἶδα πότερον ἐβλάστησας ἢ παρεβλάστησας, καὶ ἠλλοτρίωσαί μοι τὸ γένος. Ὁ δὲ θειότατός μοι καὶ φιλοσοφώτατος βασιλεύς, ᾧ τὸ στέφος οὐκ ἐξ ἀνθρώπων οὐδὲ δι' ἀνθρώπων, ἀλλ' ἄνωθεν ἐνήρμοσται προφυῶς, ὅρπηξ ἀναθηλήσας ἑτέρωθεν κάλλιστος, τῆς αὐτῆς
110 μοι ποιότητος κεκοινώνηκε.

Καὶ ὅρα τὴν γνώμην τἀνδρός. Συνάπτει τῇ ἁλουργίδι τὸν τρίβωνα, καὶ ἐπανάγειν πειρᾶται φιλοσοφίαν πρὸς τὰ βασίλεια ὥσπερ ὁ Καῖσαρ πάλαι καὶ ὁ Σεβαστὸς καὶ εἴ τις ἄλλος τὸ ἄνθος τῶν λόγων ἐζήλωσεν· ὁ μὲν τὸν Ἀρριανόν, ὁ δὲ τὸν Ῥουστικόν, καὶ

97–98 ἢ – ἐμμέλειαν: cf. e.g. Ps.-Nonnus Συναγωγὴ ... ἱστοριῶν ... in Greg. Naz. Or. 4, hist. 77,1–3 Ὀρφεὺς γέγονε μουσικός, Θρᾷξ τὸ γένος, ὃς λέγεται ὅτι οὕτω προσηνῶς ᾖδεν ὥστε ἐπακολουθεῖν τῇ ᾠδῇ αὐτοῦ τὰς δρῦς καὶ τῶν ζῴων τὰ ἄλογα, καὶ τοὺς λίθους, καὶ τοὺς ποταμούς cum Psel. e.g. Στίχοι ἰαμβικοὶ εἰς τὴν τελευτὴν τῆς Σκληραίνης = Poem. 17,111 et Π 63,19–26, Π 248,18–19, et Π 268,10–14 ‖ **101–102** τὸ – παντί: cf. Synes. Cyren. Περὶ ἐνυπνίων 3,1 καὶ ὅσον γὰρ ἔξω τοῦ κόσμου θεῖόν ἐστιν, ἅπαν ἐστὶν ἀγοήτευτον ‖ **105** ὁμόθεν – γεγαώς: Hes. Ἔργα καὶ ἡμέραι 108 ὁμόθεν γεγάασι θεοὶ θνητοί τ' ἄνθρωποι ‖ **107** ὁ – βασιλεύς: Isaacius Comnenus (imperator: 1.IX.1057 – 22.XI.1059) (Π XXXII)? ‖ **111–112** συνάπτει τῇ ἁλουργίδι τὸν τρίβωνα: Them. Ἐρωτικὸς ἢ περὶ κάλλους βασιλικοῦ 166b4–5 βασιλείαν συνθακοῦσαν φιλοσοφίᾳ καὶ τριβώνιον ἁλουργίδι συνδιαιτώμενον **113–114** ὥσπερ – Ῥουστικόν: Them. Ἐρωτικὸς ἢ περὶ κάλλους βασιλικοῦ 173c1–4 ὁ Σεβαστὸς Ἀρείῳ συνῆν τῷ Αἰγυπτίῳ καὶ Τίτος Μουσωνίῳ τῷ Τυρρηνῷ καὶ Τραϊανὸς Δίωνι τῷ ἐκ Βιθυνίας καὶ Μάρκος Ῥουστίκῳ, καὶ ὅ γε Σεβαστὸς ἀποδιδοὺς τὴν πόλιν Ἀλεξανδρεῦσιν cum Ἐπὶ τῇ χειροτονίᾳ τῆς πολιαρχίας 215a5–9 ἀπολαυέτω τοίνυν ὁ καθ' ἡμᾶς χρόνος τῶν Τραϊανοῦ καιρῶν ἐπανιόντων, τῶν Ἀδριανοῦ, τῶν Μάρκου, τῶν Ἀντωνίνου, οἳ τὸν Ἀρειανὸν καὶ τὸν Ῥούστικον ἐξαναστήσαντες ἐκ τῶν βιβλίων μεριστὰς ἐποιοῦντο καὶ συνεργοὺς τῆς τῶν κοινῶν ἐπιτροπείας

97 ὡς addidi ‖ **109** ἑτέρωθεν : ἑκατέρωθεν dubitanter prop. Cris[2] (in app. crit.)

ἄλλος ἄλλον, βουληφόρους τε καὶ συμφράδμονας, καὶ τῶν ἐθνῶν 115
ἐπιμελητὰς κατεστήσαντο, καὶ τὴν πολιτικὴν φιλοσοφίαν τοῖς
διοικουμένοις ἡρμόσαντο.

Ἀλλὰ καινὸν οὐδέν. Σὺ μὲν γὰρ αὐταρκέστατος σεαυτῷ παρά
του καθέστηκας· καὶ οὔτε λόγων δεήσῃ, οὔτε σοφίας αὐτῆς, ἀλλ'
ὁμοῦ τε τὸν θεῖον ἀποτέμνεις ἀμνόν, καὶ τελειοῖς τὰς χεῖρας τῷ 120
θύματι, καὶ τὸ πᾶν μεθαρμόζεις ἀμφιδεξίως. Ἡμῶν δὲ ἕκαστος
τῆς φύσεως τεμάχιον πέφυκε· καὶ ὥσπερ τὰ μέρη τοῦ σώματος
ἀλλήλων δεῖται πρὸς σύμπηξιν, οὕτως αἱ μερικαὶ τῶν ὄντων
ὁλότητες τῆς ἑκάστου συννεύσεως.

Ὅρα μοι καὶ τοὺς συγκοινωνούς σοι τοῦ βήματος, ὧν τὸν μὲν 125
ἡ ἀνατολή, τὸν δὲ ἡ Ἀλεξάνδρεια ἐκληρώσατο, καὶ ὁ μὲν τὴν
Παλαιστίνην, ὁ δὲ τὴν πρεσβυτέραν Ῥώμην διέλαχε: τούτους γὰρ
ὁ μὲν θρόνος ἥρπασεν ἀφ' ἡμῶν, ὁ δὲ λόγος ἡμῖν ὑπηγάγετο. Τὴν
μὲν γὰρ ἀπόρρητον καὶ τελεστικὴν σοφίαν ἴσως ἐπίστασαι, τὴν δὲ
διὰ λόγου καὶ τῆς καταλλήλου θεωρίας ἠγνόηκας. 130

Ἔστι κἀμοὶ θρόνος ἐνταῦθα ὑψηλὸς καὶ μετέωρος, οὐδὲν
ἥττων τοῦ σοῦ (ἵνα μὴ λέγω ἀπροσδεέστερος)· καὶ οὔτε θεολογή-
σεις μὴ τῇ ἐμῇ γλώσσῃ προσχρώμενος, οὔτε κανόνας ἐκθήσεις,
οὔτ' ἄλλο τι ποιήσεις τῶν θειοτέρων· ἐμοὶ γὰρ ὡς μέτρῳ καὶ
κανόνι ταῦτα μεμέτρηται. Εἰ δ' ἐπὶ τῆς σῆς πλεύσεις σχεδίας τὸ 135

115 βουληφόρους – συμφράδμονας: voces Homericae ‖ **116** τὴν – φιλοσοφίαν: cf. e.g. Dion. Halicarn. Περὶ τῶν ἀρχαίων ῥητόρων 4,13 etc. ‖ **120** τὸν – ἀμνόν: iunctura biblica et liturgica saepe laudata ‖ **125–126** τὸν – ἀνατολή: Petrus III patriarcha Antiochiae (a. 1052 – a. 1056)? ‖ **126** τὸν – Ἀλεξάνδρεια: Leontius patriarcha Alexandriae (a. 1052 – a. 1059)? ‖ **126–127** ὁ – Παλαιστίνην: Ioannicius patriarcha Hierosolymis? ‖ **127** ὁ – Ῥώμην: Victor II papa Romae (a. 1055 – a. 1057)? ‖ **131** ἔστι – μετέωρος: dum Psellus πρόεδρος/ὕπατος τῶν φιλοσόφων erat (1047–)? cf. Π 174,49, Π 185,44, Π 196,38–45, et Π 498,9–10; cf. etiam 280,20 et 47, Π 388,11, et 455,34–35? **135–136** τὸ – πέλαγος: Greg. Naz. Εἰς τὸν μέγαν Βασίλειον … = Or. 43,65 ἀφέντες τὸ μέγα καὶ βαθὺ πέλαγος

122 τεμάχιον corr. Cris[2]: τεμμάχιον P S ‖ **133** χρώμενος S

μέγα τῆς θεολογίας καὶ βαθὺ πέλαγος, αἰνιξάμενός σοι ἐρῶ: πέτραις ἐντύχῃς προβλήτισι, καὶ ἀλιμένοις ἐγκυρήσεις ἀκταῖς.

Ἀλλ' ὅθεν ὁ λόγος ἐρρύη; Ἦν δὲ τὸ ἀμφοῖν ἀνάρμοστόν τε καὶ ἀκοινώνητον. Ἐγὼ μὲν ἐξ ἀρχῆς, φιλοσοφίας ἦν ἐραστής. Σὺ δὲ
140 ἐτελοῦ τὰ ὑπὲρ ἡμᾶς, δι' ἃ καὶ μαρτυρίου δρόμον (εἴποις ἂν αὐτός) ἤνυσας, καὶ στεφανίτης ἀνηγορεύθης, καὶ τοῦ καλοῦ θιάσου κορυφαῖος ἐκρίθης· καὶ γραφῶν ἥλως κρειττόνων ἐνθυμημάτων, δι' ἃ καὶ τῆς θειοτέρας τετύχηκας λήξεως. [Ἐγὼ ....] πλὴν ὅσον τὰ ὁμώνυμα ἐζήτουν, καὶ τὰ συνώνυμα, καὶ τὰ καθ' αὑτὰ
145 διῄρουν καὶ ᾗ αὐτά, καὶ τὴν ἰδέαν ἠρεύνων, καὶ τὴν φύσιν ἐζήτουν, καὶ περὶ τοῦ ἀριθμοῦ τῶν αἰτιῶν ἐπυνθανόμην, καὶ τίς μὲν ἡ φιλόσοφος λέξις ἠκρίβουν, τίς δὲ ἡ λογική, καὶ πῶς ἀλλήλαις κοινωνεῖτον καὶ διαιρεῖτον, τὰ ληρώδη ταῦτα (εἴποις ἴσως αὐτὸς) καὶ μάταια, ἀλλὰ τά γε ἐμοὶ ἐφικτά· τὸ δὲ χρυσοῦν πέδιλον φορεί-
150 τωσαν οἷς ἐπικέκλωσται.

Κἀγὼ μὲν οὕτως ἀρχαίως ἔχω καὶ ἀμαθῶς, ὡς μὴ παρὰ τὴν τύχην ἐπαίρεσθαι, ἀλλὰ χρᾶσθαί μοι τοῖς ἀργυρωνήταις ὡς ἰσοπολίταις. Ἢ μὴ τοίνυν πᾶσιν ἐφέστιος καὶ συνέστιος, καὶ κοινῶν συμμετέχω ἀλῶν, καὶ ἀπὸ τοῦ αὐτοῦ πίνω κρατῆρος; Κἂν ἀπολι-
155 γωρήσῃ μοί τις, οὐ πάνυ μέμηνα· κἂν ὀλισθήσαντί μοι ἐπιγελάσῃ, οὐ δυσκολαίνω· κἂν ὑβρίσῃ, παιδιὰν τὴν ὕβριν λογίζομαι.

137 πέτραις – προβλήτισι: Hom. Il. 16,407 πέτρῃ ... προβλῆτι | καὶ – ἀκταῖς: cf. Eurip. Ἄλκηστις 595–596 ἐπ' ἀκτὰν ἀλίμενον | πέτραις – ἀκταῖς: cf. Psel. Εἰς τὸ εὐαγγελικὸν ... 'πνεῦμα ὁ θεός ...' = Theol. I 76,163–164 ἅπαντα γάρ μοι ἀλίμενα καταφαίνεται καὶ πανταχοῦ πέτραι προβλήτιδες **140–141** μαρτυρίου – ἤνυσας: iunctura saepe laudata ‖ **141** τοῦ – θιάσου: Dem. Περὶ στεφάνου = Or. 18,260 ἐν δὲ ταῖς ἡμέραις τοὺς καλοὺς θιάσους ἄγων διὰ τῶν ὁδῶν. cf. Π 272,10–11 et Π 488,63–64 ‖ **149** τὸ – πέδιλον: cf. Hom. Il. 24,340–341 et Od. 1,96–97 et 5,44–45 πέδιλα / ... χρύσεια cum Hes. Θεογονία 12 χρυσέοισι πεδίλοις ‖ **152–153** χρᾶσθαί – ἰσοπολίταις: cf. Synes. Cyren. Δίων 15,6 καὶ συχνοί μοι τῶν οἰκετῶν ἰσοπολῖται γεγόνασι **153–154** κοινῶν – ἀλῶν: locus communis; cf. Psel. Ἐπιτάφιος εἰς τὴν ἑαυτοῦ μητέρα 1127 et Π 286,4

137 ἀγκυρήσεις S ‖ **142** post ἐνθυμημάτων lacunam prop. Cris[2] ‖ **143** ἃ scripsi: ἣν P S Cris[2] | lacunam indicavit S ἐγὼ suppl. S Cris[2] ‖ **144** post ἐζήτουν del. καὶ περὶ τοῦ ἀριθμοῦ τῶν αἰτιῶν ἐπυνθανόμην P **152** ἀργυρωνήταις corr. Cris[2]: ἀργυρωνίταις P S ‖ **153** ἢ scripsi: εἰ P S Cris[2]

Σοὶ δὲ ὑπερτελῆ πάντα καὶ τῆς ἡμετέρας ὑπερόρια φύσεως· φρίττουσι γάρ σε μᾶλλον ἢ τὴν τῶν Χαλδαίων πυρκαϊάν· κἂν εἴποις πεφρίκασι, κἂν ἴδοις πεπήγασι, κἂν τὴν ὀφρὺν συνάξῃς τεθνήκασιν· ὅθεν τι καὶ συντετολμήκασί σοι, καὶ μετὰ τῶν νεκρῶν 160 ζῶντες ἠρίθμηνται. Ἐμοὶ δὲ ἡ χεὶρ οὔτε πρὸς βακτηρίαν οὔτε πρὸς λύγον συνείθισται, ἀλλὰ κἂν (συμβὰν οὕτω) τυπτόμενον ἴδω παρά τινος, εὐθὺς ἐπιμύω τοὺς ὀφθαλμοὺς καὶ παρατρέχω τὸν τόπον ὡς δεσμωτήριον. Σὺ δὲ μετὰ θεὸν οὐκ ἦλθες εἰρήνην βαλεῖν ἀλλὰ μάχαιραν, καὶ διαιρεῖς ἀπ' ἀλλήλων τὰ γένη, καὶ ἐπανιστᾷς 165 ἀλλήλοις τὰ κήδη. Ταῦτα δὲ σοὶ μόνῳ τῶν ἐκ τοῦ παντὸς αἰῶνος καὶ μεμαρτύρηται καὶ πεπλήρωται.

Τί μὴ λέγω τὰ μείζω καὶ ὑψηλότερα; Ἀλλὰ βραχύ τι τῷ τοῦ Ἀποστόλου προσχρήσομαι ῥήματι: Οὐ φιλόσοφός εἰμι οὐ διδάσκαλος, οὐχ ὑπελθὼν ἑκουσίως τὸν τοῦ Κυρίου ζυγόν, «οὐ τὴν 170 νέκρωσιν περιφέρων τοῦ Ἰησοῦ»; Ἀλλὰ πέφρικα τὸ τοῦ θείου βήματος πῦρ (πῶς ἂν εἴπῃς;), καὶ πόρρω μετὰ τῶν κατηχουμένων ἕστηκα, καὶ οὐδέποτέ μοι ὁ ὀφθαλμὸς ἐνητένισται μελιζομένου τοῦ ὑπὲρ ἡμῶν θύματος.

Σὺ δὲ μόνος τῶν πάντων ἱλαρᾷ τῇ ψυχῇ καὶ μειδιῶσι χείλεσι 175 τῶν ἀδύτων κατατολμᾷς· καὶ παρασείσας ἠμελημένως τὸ καταπέτασμα, κυκλοῖς τὸ θυσιαστήριον, καὶ μεταχειρίζῃ τὸν ἄληπτον λόγον καὶ ἀκατάληπτον· αὐτῷ γὰρ τῷ πρώτῳ φωτὶ προσεπέλασας, ὅθεν σκιαί σοι τἆλλα καὶ ὄναρ καὶ παίγνια. Διὰ ταῦτα καὶ

158 τὴν – πυρκαϊάν: Dan. 3,15 τὴν κάμινον τοῦ πυρὸς τὴν καιομένην etc. iunctura Pselliana in Nic. Mesar. Ἐπιτάφιος εἰς ... Ἰωάννην τὸν Μεσαρίτην 68,3 laudata? ‖ **164–165** οὐκ – μάχαιραν: Mt. 10,34 μὴ νομίσητε ὅτι ἦλθον βαλεῖν εἰρήνην ἐπὶ τὴν γῆν· οὐκ ἦλθον βαλεῖν εἰρήνην ἀλλὰ μάχαιραν **169–170** οὐ φιλόσοφός – διδάσκαλος: I Cor. 9,1 οὐκ εἰμὶ ἐλεύθερος; οὐκ εἰμὶ ἀπόστολος; οὐχὶ Ἰησοῦν τὸν κύριον ἡμῶν ἑώρακα; οὐ τὸ ἔργον μου ὑμεῖς ἐστε ἐν κυρίῳ; ‖ **170** τὸν – ζυγόν: Mt. 11,29 ἄρατε τὸν ζυγόν μου ἐφ' ὑμᾶς. cf. Psel. Βίος καὶ πολιτεία ... Αὐξεντίου ... = Or. hag. 1c,648–649 et Ἑρμηνεία τοῦ Ἄισματος ... πρὸς τὸν ... Μονομάχον = Poem. 2,858, Εἰς τὸ 'καὶ ἡμῖν μὲν βρωθήσεται ὁ ἀμνός, οἱ δὲ θρηνείτωσαν' = Theol. I 99,93–95 et II 202,19–20 et 181–182 et II 251,38 ‖ **170–171** οὐ – Ἰησοῦ: II Cor. 4,10 πάντοτε τὴν νέκρωσιν τοῦ Ἰησοῦ ἐν τῷ σώματι περιφέροντες ‖ **177** κυκλοῖς – θυσιαστήριον: iunctura biblica et liturgica saepe laudata

157 ὑμετέρας S ‖ **159** ὀφρῦν Cris[2] ‖ **162** λύγον P Mil 271 Cris[2]: λόγον S **178** πρώτῳ corr. Cris[2]: πρωτὶ P S

180 βασιλέων κατολιγωρεῖς, καὶ πάσαις ἀνταίρεις δυνάμεσι· τοιοῦτος γὰρ ἡμῖν ἀρχιερεὺς ἔπρεπεν, ὑπερμαχῶν τε καὶ προμαχόμενος μόνον οὐ ξίφει καὶ δόρατι, λόγῳ δὲ καὶ κελεύσματι· καὶ δέδειχεν ὡς ἀληθῶς ὅσον ὁ ποδήρης τῆς ἁλουργίδος κεκράτηκε καὶ ἡ ταινία τοῦ στέμματος.

185 Ταῦτα δέ σοι τὰ προτερήματα ἄνωθεν προκεκήρυκται. Ἢ οὐ μέμνῃ, θειότατε ἀρχιερέων καὶ δραστικώτατε; Ἀλλὰ σὺ μὲν ἴσως καὶ μεμνημένος ἐπέχεις τὴν γλῶτταν, καὶ οὐκ ἐγκαλλωπίζῃ τῷ διηγήματι. Ἐμοὶ δὲ τὸ θαῦμα τὸν λόγον δείξει καλλίονα· ὁμοῦ τε γὰρ τῆς ἀρχιερωσύνης τετύχηκας, καὶ τὸ θεῖον πᾶν ὅσον τοῦ 190 γενησομένου ἐπεσημήνατο: καταιβάτης εὐθὺς κεραυνὸς τὸ θεῖον κατενείματο ἔδαφος, τῶν μερῶν τὰ μὲν συμφλέξας, τὰ δὲ ζώναις οἷον ὑπαργυριζούσαις περιζωσάμενος· ἐφ᾽ ὧν δὲ καὶ περιστερὰν φλογοποιὸν ἐσχεδίασεν, ἣν αὐτὸς τὰ θεῖα σεβόμενος ἱερῶς ἀνιέρωσας, χαλκῷ περιβαλὼν καὶ τιμήσας ὅσον εἰκός.

195 Ἥκει τοίνυν ἡμῖν τὸ μάντευμα; Ἢ μᾶλλον—ἀλλ᾽ ἀποτράποιτό μοι· καὶ στῆθι καὶ ἵλασαι, καὶ κοπασάτω ἡ θραῦσις. Εἰ δὲ μὴ βούλει, ἀλλὰ σύ μοι, θειότατε βασιλεῦ, περίζωσαι τὴν ῥομφαίαν σου ἐπὶ τὸν μηρόν σου, τῇ ὡραιότητί σου καὶ τῷ κάλλει σου, καὶ γενοῦ μοι σβεστήριον τῆς θειώδους ταύτης καὶ ἀΰλου 200 φλογώσεως.

Ἀλλ᾽ ἐπαναχτέον αὖθις ἡμῖν τὸν λόγον ἐπὶ τὸν οἰκεῖον εἱρμόν. Ἐγὼ μὲν οὐδένα τῶν πάντων ὕβρικα, ἢ μεμίσηκα· οὕτως εἰμὶ ἀδιάφορος. Σὺ δὲ ὥσπερ τις φύσις ἑτέρα παρὰ τὴν σύντροφον, ἀπότροφον τὸ γένος ἡγῇ· καὶ τῶν μὲν τὰ αἴσχη ἀνακαλύπτεις, 205 τοῖς δ᾽ αἰτίας ἀπογεννᾷς μέμψεως, πᾶσι τὴν ὀφρῦν καταστέλλων

180–181 τοιοῦτος – ἀρχιερεὺς: Hebr. 7,26; cf. Psel. Ἐγκώμιον εἰς Ἰωάννην ... Εὐχαΐτων ... = Or. pan. 17,730 et Π 395,9 ‖ **190** καταιβάτης ... κεραυνός: Aesch. Προμηθεὺς δεσμώτης 358–359 ἀλλ᾽ ἦλθεν αὐτῶι Ζηνὸς ἄγρυπνον βέλος, / καταιβάτης κεραυνὸς ἐκπνέων φλόγα. cf. Π 78,18 ‖ **196** καὶ[1] – θραῦσις: Greg. Naz. Εἰς τὸν πατέρα σιωπῶντα ... = Or. 16,20 στῆθι περὶ ἡμῶν, καὶ ἐξίλασαι· καὶ κοπασάτω ἡ θραῦσις (cf. Ps. 105,30 καὶ ἔστη Φινεες καὶ ἐξιλάσατο, καὶ ἐκόπασεν ἡ θραῦσις) ‖ **197–198** περίζωσαι – σου[2]: Ps. 44,4 περίζωσαι τὴν ῥομφαίαν σου ἐπὶ τὸν μηρόν σου, δυνατέ / τῇ ὡραιότητί σου καὶ τῷ κάλλει σου. cf. Psel. Ἀπόδειξις ... τῆς τοῦ κυρίου ἐνσωματώσεως ... πρὸς τὸν σουλτᾶνον ἀπὸ τοῦ βασιλέως = Theol. II 3,528–529 et Π 17,27

188 δείξῃ S

καὶ ἐκπαιδεύων ἴσως τὴν μετριότητα. Ὅθεν μοι καὶ ἐζήτησαι ὥσπερ τῇ Πυθίᾳ εἴ σε θεὸν ἢ ἄνδρα καλέσομαι, ἢ μηδέτερον, ἀλλ' ἀμφοῖν τὸ μεταίχμιον.

Καὶ σὺ μὲν δημοκρατικὸς ὢν ἀνὴρ δυσχεραίνεις τὴν μοναρχίαν. Ἐμοὶ δὲ τὸ πάλαι μὲν Ὁμήρειον, αὖθις δὲ Ἀριστοτέλειον 210 πολλάκις ἀναφωνεῖται: «εἷς κοίρανος ἔστω, εἷς βασιλεύς». Πάλαι μὲν γὰρ ὁ αὐτὸς ἱλαστήριον ἅμα ὑπὲρ τοῦ γένους καὶ ἀμυντήριον προειστήκει· νῦν δὲ εἰς μέρη διῃρέθη τὸ σύνθετον, καὶ τὸ μὲν αὐτοῦ βασιλεύειν, τὸ δὲ ἱερατεύειν τετάχαται.

Ἄγε δὴ σὺ χεῖρας ἱκέτιδας πρὸς θεὸν αἶρε, καὶ κίρνα σπονδὰς 215 ἀνθρώποις τε καὶ θεῷ. Τὴν δὲ πολιτικὴν ἐπιμέλειαν οἷς ὥρισται διοικήσουσι· μέχρι γὰρ τίνος διπάλτῳ χειρὶ τὴν ὑπὲρ ἡμῶν συμμαχίαν αἱρήσῃ; Ἀπεδύσω πρὸς τοὺς ἀγῶνας λαμπρῶς, τὴν πίστιν τετήρηκας, τὸν δρόμον τετέλεκας· δέχου λοιπὸν τὸν τῆς ἀθλήσεως στέφανον, τὴν ἀπὸ τῶν φροντίδων σχολήν. Μὴ ἄρχοις, 220 μὴ βασιλεύοις ἡμῶν· οὐ γὰρ χωρητὸς τοῖς γε πλείοσιν.

Ὁρᾷς ὡς οὐδὲ αὐτὸς σὲ κατανενόηκα, οὐδὲ τὴν ἡγεμονίαν ὑφίσταμαι; Φιλῶ· σὺ δὲ μισεῖς. Σπένδομαι· σὺ δὲ ἀπεχθαίρεις. Ἐξιλεοῦμαι· σὺ δὲ ἀπωθῇ. Εὐφημῶ· σὺ δὲ λοιδορεῖς. Γενεὰν ὅλην ὑπήνεγκα τυραννούμενος· σὺ δὲ ὡς νῦν ἠργμένος τοῦ πράγματος, 225 ὑπερβαλέσθαι φιλονεικεῖς τοῖς παροῦσι τὰ φθάσαντα. Τὰς τοῦ

206–207 ἐζήτησαι – καλέσομαι: cf. Xen. Ἀπολογία Σωκράτους 15 πότερα θεόν σε εἴπω ἢ ἄνθρωπον ‖ **211** εἷς[1] – βασιλεύς: Hom. Il. 2,204–205 et Arist. Metaph. 1076a4 cum Aphth. Προγυμνάσματα 7,2 et Olympiod. Εἰς τὰ προλεγόμενα τῆς λογικῆς 9,22–25 ‖ **215** χεῖρας – αἶρε: Synes. Cyren. Epist. 11,19 ὑπὲρ ἐμοῦ χεῖρας ἱκέτιδας ἄρατε πρὸς θεόν. cf. Psel. Χρονογραφία V,48 **217** διπάλτῳ χειρὶ: Soph. Αἴας 408–409 πᾶς δὲ στρατὸς δίπαλτος ἄν / με χειρὶ φονεύοι, cf. Suda δ 1256, et Π 214,15–16 ‖ **218–220** τὴν – στέφανον: II Tim. 4,7–8 τὸν καλὸν ἀγῶνα ἠγώνισμαι, τὸν δρόμον τετέλεκα, τὴν πίστιν τετήρηκα· λοιπὸν ἀπόκειταί μοι ὁ τῆς δικαιοσύνης στέφανος. cf. Psel. Εἰς τὸν … μητροπολίτην Μελιτηνῆς = Or. fun. I 5,7,12–14 et Ἐγκώμιον εἰς … Νικόλαον μοναχὸν … = Or. fun. I 10,32,11 ‖ **223–226** φιλῶ – φθάσαντα: cf. Π 112,35–38 φιλῶν, ἐβδελυττόμην· στέργων, ἀπεπεμπόμην· λέγων καλῶς, ἤκουον κακῶς· ἱλαρῷ προσώπῳ προσήειν, καὶ δυσμενοῦς ἐτύγχανον ὄψεως

211 ἴστω S ‖ **221** πλείοισιν Cris[2]

Παύλου ἀγωνίας διεξελήλυθα, κινδυνεύων ἐν ψευδαδέλφοις, περισσεύων ἐν θλίψεσι, συκοφαντούμενος, τυραννούμενος, πᾶσαν ἐπιβουλὴν ὑφιστάμενος ἄδικον, οὐκ ἀνταίρων, οὐκ ἀντεπιβου-
230 λεύων, ἀληθεύων, ἀλλ' οὐ συκοφαντῶν. Τοῦτό μοι μόνον τῶν συμφορῶν παραμύθιον: μετὰ Παύλου τῷ βυθῷ παραδέδομαι, μετὰ Πέτρου ἐσταύρωμαι, ἢ σταυρωθήσομαι, παντὶ συγκινδυνεύω τῷ γένει, ἀποθνήσκω μετὰ Φωκίωνος.

Ἀλλ' ἔπεχέ μοι τὴν τῆς παιδείας πληγήν· «ἔσσεται ἦμαρ»,
235 καὶ τὰ ἑξῆς τοῦ ἔπους. Τότε καὶ αὐτὸς μετὰ τῆς πατρίδος κείσομαι, μετὰ τῶν αὐθιγενῶν ἐκδοθήσομαι, ἐκ τῆς Ἑλλάδος ἀφίξομαι εἰς τὴν βάρβαρον. Οὔπω μοι ἡ ὥρα ἐλήλυθε, κορεσθήσῃ ποτὲ καὶ τοῦ ἐμοῦ αἵματος, εἴ γέ σοι παραδοθήσομαι (οὐκ οἶδα ἄνωθεν, ἢ κάτωθεν εἰπεῖν βέλτιον).

240 Ἀλλ' ἐγὼ καὶ πάλιν ἀρχαῖος καὶ ἀπόνηρος ἄνθρωπος· ἱστορῆσαι γάρ σοι τὸν βίον βουλόμενος, κεφάλαιά σοι τῶν πράξεων συναγήοχα, τὰ μὲν αὐτὸς εὑρηκώς, τὰ δὲ παρὰ τῶν εἰδότων μεμαθηκώς· πολλοὶ δὲ τὰς ἀφορμὰς συνηρανίσαντό μοι τῶν διηγήσεων· ὑφ' ἑκάστῳ δ' ἄν, τὴν ἁρμόττουσαν περιβαλὼν ἔννοιαν, λέξει
245 ῥυθμοειδεῖ καὶ παγκάλῳ περιανθίσω τὸ σύγγραμμα, αἱμυλίας καὶ χάριτας, καὶ τὴν λοιπὴν εὐστομίαν ἐγκατασπείρας τοῖς λόγοις, ἵν' ὁμοῦ τις τὴν δέλτον μεταχειριζόμενος καὶ θαυμάζοι τὴν πρᾶξιν, καὶ κροτοίη τὴν λέξιν· καὶ τὸν τέως ἐφ' ἡμῖν κρυπτόμενον εἴσεται

227 κινδυνεύων – ψευδαδέλφοις: II Cor. 11,26 κινδύνοις ἐν ψευδαδέλφοις **226–229** τὰς τοῦ Παύλου – ἄδικον: cf. e.g. II Cor. 12,10 διὸ εὐδοκῶ ἐν ἀσθενείαις, ἐν ὕβρεσιν, ἐν ἀνάγκαις, ἐν διωγμοῖς καὶ στενοχωρίαις etc. cf. etiam Π 97,8–11 ‖ **231** μετὰ[1] – παραδέδομαι: II Cor. 11,26 νυχθήμερον ἐν τῷ βυθῷ πεποίηκα ‖ **233** ἀποθνήσκω – Φωκίωνος: Plut. Phoc. 36,3–4 «εἶτ' οὐκ ἀγαπᾷς» εἶπεν «ὅτι μετὰ Φωκίωνος ἀποθνῄσκεις;». cf. etiam Plut. Περὶ τοῦ ἑαυτὸν ἐπαινεῖν ἀνεπιφθόνως 541c et Aelian. Ποικίλη ἱστορία 13,41 ‖ **234** ἔσσεται ἦμαρ: Hom. Il. 4,164 et 6,448. cf. Π 213,19 ‖ **236–237** ἀφίξομαι – βάρβαρον: cf. Eurip. Βάκχαι 1354 ἐγώ θ' ὁ τλήμων· βαρβάρους ἀφίξομαι **237** οὔπω μοι ἡ ὥρα ἐλήλυθε: Ioann. 7,30 οὔπω ἐληλύθει ἡ ὥρα αὐτοῦ **237–238** κορεσθήσῃ – αἵματος: cf. Hom. Il. 5,289 (20,78 et 22,267) αἵματος ἆσαι Ἄρηα ‖ **245–246** αἱμυλίας – χάριτας: Plut. Πῶς δεῖ τὸν νέον ποιημάτων ἀκούειν 16b7–8 τοσοῦτον αἱμυλίας καὶ χάριτος cum Numa 8,10 et Aem. Paul. 2,2

234 ἔσεται S ‖ **236** αὐθιγενῶν corr. Cris[2]: αὐθηγενῶν P S ‖ **242** συνηγήοχα S

μὲν καὶ ἡ Αἴγυπτος, γνώσεται δὲ καὶ ἡ ἀρωματοφόρος, καὶ ὁ πρὸς ἑσπέραν Ὠκεανός, ἐφ' ἃ δὴ μέρη τὸ ἐμὸν μεταβήσεται σύγγραμμα. 250

112. Πρὸς τὸν πατριάρχην κῦρ Μιχαήλ

Ἐπιστολή vel λόγος?

Malt 16 [B, Wei[1]], Wei[1] 46–49 [B]

Τίς οὕτω δεινὸς δαίμων βασκαίνει μοι, τίς δὲ οὕτω πονηρὰ γλῶσσα καὶ λοίδορος τοσοῦτον ἤδη χρόνον ἐπ' ἐμὲ τὸ βέλος ἀποτοξεύει, ἁγιώτατε δέσποτα; Ὅπως δὲ καὶ φαρμάττει τὸν σίδηρον, ἵν' ὁμοῦ τε ἅψηταί μου τοῦ σώματος καὶ ἀνέλῃ τὴν δύναμιν! Ὁπόσον δὲ χρόνον πολιορκῶν τὴν ἐμὴν ψυχὴν οὐκ 5 ἀφέστηκεν, ἀλλὰ καὶ φανερῶς βάλλει καὶ κρύβδην λοχᾷ· καὶ πάντα με τρόπον περικυκλοῖ καὶ τόσῳ μᾶλλον τὰς ἑλεπόλεις προσμηχανᾶται, ὅσῳ μᾶλλον αὐτὸς ἀνάλωτος πέφυκα· καί (ὢ τῆς ἀναισχυντίας!) πολλάκις ἀποκρουόμενος, αὖθις πειρᾶται τῶν προσβολῶν. 10

Καὶ ἀλγύνει μέν, δρᾷ δὲ πλέον οὐδέν· πᾶσα γὰρ αὐτῷ πύλη ἀποκέκλεισται, καὶ πᾶσα εἴσοδος ἀποπέφρακται. Ἀλλὰ τεχνητὴν ἔχει τὴν κακουργίαν, καὶ πρὸς τοὺς καιροὺς μετατίθεται· τί βουλόμενος; ἵνα τὸν Ἰακὼβ μὲν ἐξώσῃ, ἀντεισάγῃ δὲ ἴσως τὸν Ἡσαῦ, ὃς μεμίσηται τῷ θεῷ, πρὸ τῆς εἰς τὸν βίον παρόδου· ὅρα 15 γὰρ ὅπως ἔχει τὸ κατ' ἐμέ:

249 ἀρωματοφόρος (scil. Ἀραβία): cf. Ioann. Chrys. In epistulam i ad Timotheum, Hom. 17,3 (PG 62 96,37–38) ἐν δὲ τῇ ἀρωματοφόρῳ Ἀραβίᾳ cum Psel. Theol. II 29,19–22 ‘ἐκ τοῦ χρυσίου τῆς Ἀραβίας’. ἀρωματοφόρος ἡ γῆ αὕτη καὶ ἀναλογίαν πρὸς τὴν ψυχὴν ἔχουσα, ἐξ ἧς ἡ τοῦ πνευματικοῦ μύρου εὐωδία ἀτμοειδῶς ἄνεισι et Π 3,6–7 ‖ **14–15** ἵνα – παρόδου: Malach. 1,2–3 λέγει κύριος· καὶ ἠγάπησα τὸν Ιακωβ, τὸν δὲ Ησαυ ἐμίσησα (cf. Rom. 9,12–13 et Gen. 25,23). cf. etiam Psel. Ἐγκώμιον εἰς … Νικόλαον μοναχὸν … = Or. fun. I 10,6,19–20

ep. 112 B 154r–155r; tit. Wei[1]: τοῦ αὐτοῦ πρὸς τὸν πατριάρχην κῦριν Μιχαήλ B τῷ Μιχαὴλ Κηρουλαρίῳ Malt ‖ **2** γλῶττα corr. Wei[1] | τὸ : τὶ Wei[1] **6** ἐφέστηκεν Wei[1] ‖ **8** ὦ Wei[1] ‖ **11** πύλη scripsi: πόλις B Wei[1] Malt ‖ **15** πρὸ corr. Wei[1] Malt: πρὸς B

Ἐγώ σε ὁμοῦ τε ἐξ ἀρχῆς εἶδον καὶ ἐπιτεθαύμακα τῆς ψυχῆς, καὶ ὥσπερ ἀνάθημά σοι προσαρτώμενος ἦν· καὶ εἱπόμην καὶ περιεῖπον πρὸς τὸ σὸν ἦθος ἀνακιρνώμενος. Εἶτα δὴ τῶν πραγμά-
20 των πολλὰς μορφὰς ἀμειψάντων, σὲ μὲν ἑαυτῷ θύτην πεποίηκεν ὁ θεός, ἐμὲ δὲ (δόξαν οὕτω) προσήγαγε τῇ σκηνῇ. Καὶ ἀπῳκίσθην μέν σου τῷ βίῳ, οὐ διῳκίσθην δέ σου τῷ τρόπῳ, ἀλλ' ἐζήτουν πῶς ἂν ἀκούσαιμί σου, πῶς ἂν προσψαύσαιμί σοι. Ἐδίδουν τὴν ἀκοὴν τῇ φωνῇ· ἀπέλαυόν σου τῆς θέας· τῶν ἐμφύτων χαρίτων ἐμπιπλά-
25 μην: τοῦ ἤθους, τοῦ τρόπου, τῆς σεμνῆς ἀστειότητος. Ναὶ μὰ τὸν ἁμετέρᾳ ψυχᾷ τὴν ἀληθῆ παραδόντα δόξαν, πηγὴν ἀεννάου φύσεως! ᾠδῖσιν ἀρρήτοις ἐφερόμην πρὸς σὲ τῆς ψυχῆς. Ἔκλαον ταλαιπωροῦντός σου· ἀνῴμωζον ἀθυμοῦντός σου· ἐσκίρτων μεταβεβλημένου ἐπὶ τὸ κάλλιον· ἀλλ' οὐχ οὕτως ἐδόκουν. Καὶ
30 τἄλλα οἶδας (ἵνα μὴ καὶ αὖθις καταξαινοίμην ταῖς ἀναμνήσεσι τῶν κακῶν).

Πλὴν ὅσον ὁ μέν τις ἦν βλασφημῶν, κἀγὼ τὰς γραφὰς εἶχον καὶ [τὰς ἐν]δείξεις, κ[αὶ] ὁ καιρὸς οὐκ ἐδίδου [π]αρρησιάζεσθαι· [...]ν κρείττονι προσανεῖχόν σοι. Καὶ ἐμαστιζόμην ὡς λοίδορος·
35 εὐθυμῶν ἐφαινόμην, καὶ ὁ [κακη]γορῶν ἀνάλωτος ἦν. Φιλῶν, ἐβδελυττόμην· στέργων, ἀπεπεμπόμην· λέγων καλῶς, ἤκουον κακῶς· ἱλαρῷ προσώπῳ προσήειν, καὶ δυσμενοῦς ἐτύγχανον ὄψεως. Ποσάκις μέσην τὴν ψυχὴν ἐδεδέγμην; Ποσάκις ὠχρίακα; Ποσάκις τὰς ἀλγηδόνας ἀδακρυτὶ ὑπήνεγκα;

25–27 ναὶ μὰ – φύσεως: Pythag. Χρυσᾶ ἔπη 47–48 ναὶ μὰ τὸν ἁμετέραι ψυχᾶι παραδόντα τετρακτύν, / παγὰν ἀενάου φύσεως cum e.g. Procl. In Remp. II 69,29–5. cf. Π 173,84–85 ‖ **35–38** φιλῶν – ὄψεως: cf. Π 111,223–226 φιλῶ· σὺ δὲ μισεῖς. σπένδομαι· σὺ δὲ ἀπεχθαίρεις. ἐξιλεοῦμαι· σὺ δὲ ἀπωθῇ. εὐφημῶ· σὺ δὲ λοιδορεῖς. γενεὰν ὅλην ὑπήνεγκα τυραννούμενος· σὺ δὲ ὡς νῦν ἠργμένος τοῦ πράγματος, ὑπερβαλέσθαι φιλονεικεῖς τοῖς παροῦσι τὰ φθάσαντα

24 ἀπέλαυόν corr. Malt: ἀπέλαβόν B Wei[1] ‖ **27** ἔκλαιον Wei[1] ‖ **28** ἀθυμοῦντός : ἀτυχοῦντός Wei[1] ‖ **29** μεταβεβλημένου : μεγα βεβλημένου Wei[1] ‖ **33** τὰς ἐνδείξεις suppl. Malt (in app. crit.): [ἀπο]δείξεις Wei[1] | κ[αὶ] suppl. Malt: [ἀλλὰ] Wei[1] | [π]αρρησιάζεσθαι suppl. Wei[1] Malt ‖ **34** [...]ν: ὅθεν dubitanter prop. Malt (in app. crit.) [μόνο]ν Wei[1] ‖ **35** εὐθυμῶν B Wei[1] Malt: ῥαθυμῶν vel ἀθυμῶν prop. Pol,313 | καὶ ὁ [κακη]γορῶν Malt: ὃς [γρη]γορῶν Wei[1]

Εἶτα τί; Ἀπῆλθε τὰ δυσχερῆ, καὶ ἡ πέδη τῆς παρρησίας 40
ἐλύθη, καὶ ἡ γλῶσσα πάντα ἡρμήνευκε, καὶ ἡ ἀπόδειξις ἐναργής.
Κἀγὼ ἐντεῦθεν ἐπ' ἄκρων ὀνύχων ἐβάδιζον, καὶ τὰς ὀφρῦς
ἀνέσπων ὡς μετὰ τὴν πολλὴν ἧτταν ἀθρόον νενικηκώς. Ἀλλὰ
βραχὺς ὁ Ζέφυρος, καὶ βραχεῖα αὔρα λεπτή, καὶ τὸ τεθηλὸς αὖθις
ἀπήνθησε, καὶ τῆς γαλήνης ἀπολελαύκαμεν ἄχρις ὀνόματος. 45

Αὖθις οὖν χειμῶνες, καὶ θύελλαι, καὶ ζάλη, χαλάζης ἐμβολαί,
πικραὶ τὸ πρῶτον, εἶτα πλείους καὶ πάλιν μείζους, καὶ ὁ συκοφάν-
της ἐν περιωπῇ. Κἀγὼ πόρρω καθήμενος, ἐδεχόμην τὰ αἰτιά-
ματα, ὡς τῆς βασιλίδος, ὡς τῆς ἑτοίμου πρὸς τὴν ἀκοήν, οὐχ
ἑωρακώς, οὐ προσωμιληκώς, εἰ μή που εἴδωλον τεθεαμένος, καὶ 50
ἀμυδρᾶς ἀκούσας φωνῆς. Ποίαν οὐ ῥήγνυσι ταῦτα ψυχήν; Ἂν
ψευδὴς ὁ λόγος, ἀπέλεγξον· ἂν συγκείμενος πιθανῶς, διάλυσον
ἀληθῶς.

Λέλυται καὶ ταῦτα, καὶ βραχύ τι ἡ κυμανθεῖσα ἐγέλασε
θάλασσα. Καὶ (ἵνα μὴ τὰ πλείω λέγω) ὑφήπλωσάς μοι τὰς ἀγκά- 55
λας οὐχ ὡς ἀσώτῳ παιδί, ἀλλ' ὡς φιλτάτῳ καὶ τὴν γνώμην
ἐλευθερίῳ, καὶ περιέφραξας πᾶσι πάντα, δακτυλίῳ τὴν χεῖρα,
πεδίλῳ τὸν πόδα, χιτῶνι τὸ σῶμα λεπτῷ· ἔθυσάς μοι καὶ τὸν
μόσχον τὸν σιτευτόν, καὶ εἰσεδέξω τῶν ἀδύτων ἐντός. Καὶ τὸ
πρᾶγμα θαυμάσιον οἷον, καὶ ἡ μεταβολὴ ἄρρητος: ὁ μισούμενος, 60
ὁμοσκήνιος· ὁ βδελυττόμενος, ὁμοτραπέζιος· ἡ ὕποπτος γλῶττα,
φιλτάτη καὶ πολυτίμητος. Ἐθαύμαζες τῆς ἁπλότητος· ἐπόθεις τῆς
γαληνότητος· ἐξεπλήττου τῆς τῶν λόγων λαμπρότητος· ἀπεικά-
ζειν οὐκ εἶχες, ὅπως ἦθος πρᾷον καὶ πυρφόρος συνελήλυθε νοῦς.

Ἴσως ἂν καὶ μετέμελέ σοι τῶν πεπραγμένων. Ὅθεν ἁπαντα- 65
χοῦ (διὰ τῆς ἀγορᾶς, διὰ τοῦ ἄστεως, διὰ τῶν λιμένων, ἐν τοῖς
περιβόλοις, ἔξω τειχῶν), πολὺ τὸ παρὰ σοῦ πρός με ὁποῖον δὴ

42 ἐπ' – ἐβάδιζον: proverbium; cf. e.g. Athen. Δειπνοσοφισταί (epitome) 165,16–17 et Liban. Declam. 33,1,20,10 ‖ **44** αὔρα λεπτή: iunctura saepe laudata; cf. III Reg. 19,12 φωνὴ αὔρας λεπτῆς ‖ **49** τῆς βασιλίδος: Theodora (post a. 980 – 31.VIII.1056), imperatrix (11.I.1055 – 31.VIII.1056) ‖ **55–59** ὑφή-πλωσάς – ἐντός: cf. Luc. 15,20–23; cf. etiam Π 9,52–63, Π 11,50–53, et Π 110,26–27

41 γλῶττα corr. Wei[1] ‖ **44** βραχεῖα scripsi: ἡ βραχεῖα B Wei[1]Malt ‖ **57** πάντα : πάντως Wei[1] ‖ **64** πυρφόρος : πυρφόρον Wei[1] ‖ **66** ἄστεως corr. Wei[1] Malt: ἄστεος B

τοῦτο. Κἀμὲ μὲν ἐπῄνουν τῆς εὐτυχίας, οὐκ ἔλαττον δὲ καὶ σὲ τῆς ἐπιτυχίας· μὴ γάρ μοι τὸ τῆς τύχης ὅρα, μηδ' ὅτι τῶν πολλῶν
70 κάτω κεῖμαι (δόξαν οὕτω θεῷ), ἀλλ' ὅ τι παρὰ τοὺς πολλοὺς γέγονα. Καὶ ὥσπερ ἐμοὶ μέγα τὸ τυχεῖν τῆς σῆς ψυχῆς εὐμενοῦς, οὕτω δὴ καὶ σοὶ οὐκ ἔλαττον εἰς ἔπαινον τὸ τὴν ἐμὴν γλῶτταν λαβεῖν εὐφημοῦσαν τὰ σά.

Εἰ μὲν οὖν ἄλλον με τρόπον προσῆγες, διδούς τι τῶν ὅσα
75 πατριαρχικὴ χεὶρ δεδύνηται, ἐκεῖθεν ἂν σοι προσγεγενῆσθαι τοὺς ἐμοὺς ὑπώπτευες ἔρωτας. Εἰ δὲ ἀναίτιος ἡ προσχώρησις, τί μὴ θαυμάζεις τὸν τρόπον; Ἐρῶ σοι τἀληθὲς δι' ὅ σοι λίαν προσπέφυκα:

Οὐκ οἶδα ὁπόθεν ἔχω, ἀλλ' εἰσὶ σειρῆνες, ψυχῶν μὲν ἑτέρας
80 ἕλκουσαι ἀφανῶς· καὶ ὁ μὲν ἁλοὺς ἕλκεται, ὁ δὲ κεκρατηκὼς [εἰς] ἅπαν τυ[λοῦται]. Τοιοῦτος ἐγὼ περὶ σέ: ἔρ[αμαι τ]ῆς γλώττης· ποθῶ σου τὸ εἶδος· προσῳκείωμαι [τῇ ψ]υχῇ· τῷ [ἐ]πιεικεῖ σου προσπέφυκα· τοια[ῦ]τά με βέλη τοξεύουσι, τοσούτοις θελγή[τροις] ἐφέλκομαι. Ὀναίμην οὕτω θεοῦ· ὀναίμην τῆς ἱερᾶς φιλοσοφίας, ἣν
85 ἐγὼ πρεσβεύω τήμ[ερον]· ὀναίμην τῶν ἐμῶν παιδικῶν (τοὺς

79–80 εἰσὶ – ἀφανῶς: cf. Hom. Od. 12,39–46, locus saepe laudatus; cf. Psel. Εἰς τὸ ῥητὸν τοῦ Ἰὼβ … 'καὶ ὁ διάβολος παρέστη … = Theol. I 32,59, Π 63,31–32, Π 117,67, Π 248,16 et 23–27, Π 445,8–10, Π 486,5; cf. etiam Π 121,76–80, Π 199,31, et Π 379,4–5; et Π 30,11, Π 76,49–50, et Π 128,36–37 **84** ὀναίμην – φιλοσοφίας: Synes. Cyren. Epist. 43,37 οὕτω τῆς ἱερᾶς φιλοσοφίας ὀναίμην. cf. Π 76,6–7, Π 201,66–67, et Π 275,7–8 ‖ **85–86** τῶν – φημί: cf. Plat. Γοργίας 482a1–4 εἰ μή τις παύσει τὰ σὰ παιδικὰ τούτων τῶν λόγων … ἀλλὰ τὴν φιλοσοφίαν, τὰ ἐμὰ παιδικά et Synes. Cyren. Epist. 138,14–16 ἐπειδὴ γράφειν δύναμαι, θαμὰ τοῦτο ποιῶ … καὶ ἀπολαύω τῶν ἐμῶν παιδικῶν. cf. Psel. Εἴς τινα κάπηλον γενόμενον νομικόν = Or. min. 14,147 ἵνα μὴ περιττὸς δόξω τὰ σὰ παιδικὰ ὑφαρπάζων, Π 76,36 τὰ σὰ παιδικά, Π 105,17–18 τοιαῦτα τὰ ἐμὰ παιδικά, Π 113,105–106 τὴν ἐμὴν πάλαι γλῶτταν … τῶν ἐμῶν … παιδικῶν, Π 117,21–22 τὴν ἐμὴν ἐνδείξαιμι γλῶτταν, καὶ ἢ λέξιν ἀποσμιλεύσω, ἢ συναρμόσω περίοδον, ἢ σχεδιάσω ῥητορικὴν μέθοδον, τὰ ἐμὰ παιδικά, Π 131,47–48 ἵν' ἔχω σκῶψαί σε καὶ

68 ἐπῄνουν corr. Wei[1] Malt: ἠπῄνουν B ‖ **70** τι Wei[1]: ὅτι Malt B ‖ **79** ψυχῶν : ψυχὰς Wei[1] ‖ **80–81** εἰς – τυλοῦται prop. Malt (in app. crit.): [τοῦ] ἅπαν[τος] τυ[γχάνει] Wei[1] ‖ **81** ἔρ[αμαι τ]ῆς suppl. Malt: ἐτ[..] ος Wei[1] **82** προσῳκείωμαι – ψυχῇ suppl. Malt: προσῳκει[ω]μ[ένος] [τῇ εὐ]χῇ Wei[1] ἐπιεικεῖ suppl. Wei[1] Malt ‖ **83** τοιαῦτά suppl. Wei[1] Malt | θελγή[τροις] suppl. Wei[1] Malt ‖ **85** τήμ[ερον] suppl. Wei[1] Malt

λόγους φημί)· ὀναίμην τῶν ἐμῶν χαρίτων, τῶν ἀπὸ τῆς γλώττης, τ[ῶν] ἀπὸ τοῦ ἤθους, ὑφ' ὧν ἐγὼ δέσμιος ἄγομαι.

Πίστεις οὖν λαβών, δέδωκα καλὰς καλλίους, κρείττους κρατίστας. Ἀλλ' ἐγὼ μὲν εὐθὺς τὴν γλῶσσαν διδούς, ἀφεῖλον τὴν ἀκοήν· σὺ δὲ ἄρα πάσαις αὐτὴν φωναῖς ἀνεπέτασας. Διὰ ταῦτα 90 πάλιν αὐτὴν ψόφος ἀέριος, δαίμονος ἴσως μηχανησαμένου τὸν ἦχον. Καί (πῶς ἂν εἴποιμι; πῶς ἂν ἀποιμώξαιμι;) ἄπλαστος ποικίλου τε[τύ]χηκα· καὶ βληθεὶς ἐς ἧπαρ, ἠγνόουν· καὶ ἀττικίζων, ᾐσθόμην σου βαρβαρίζοντος, τοῦ πάντοτέ μοι προσελληνίζοντος· ὑπωπτεύθη γάρ μοι καὶ ὁ καιρὸς τῆς ἀνόδου (ὦ γῆ καὶ 95 ἥλιε) καὶ ἡ καθέδρα, ἴσως δὲ καὶ τῆς παρρησίας τὸ σύνηθες. Κἀγὼ μὲν προσῄειν ἀμαχητί· σὺ δὲ περιεκύκλους (ὡς ὕστερον ἔγνων), κατὰ νῶτον λοχῶν, ἐπὶ τὴν πλευρὰν ὠθῶν τὴν αἰχμήν. Ὦ τῆς ἐμῆς ἁπλότητος, ὢ τῆς σῆς—ἀλλὰ μηδὲν βλασφημήσαιμι! Ἐγὼ μὲν ὡς θεῷ σοι προσῆγον τοὺς λόγους (οὕτω γάρ σοι καὶ 100 προσανέχω, καὶ μάρτυς θεός), σὺ δὲ μετὰ περινοίας ἐδέχου, καὶ ἄλλο τι ὑπώπτευες ἢ τὸ λεγόμενον.

Τίς ἄρα ἐμοῦ τῶν πάντων δυστυχέστερος πέφυκεν; Ὁ δὲ ἀθλιώτερος ἄνθρωπος οὐκ ἐγώ; ὁ γὰρ ἵνα μὴ τοξευθῇ χαλκευόμενος, εἶτα ἐς καρδίαν βαλλόμενος, οὐ παρὰ πάντας δεδυστύχηκε; 105 Τοῦτό μοι τῶν πάντων προσῆκται θεῷ: ἡ τῶν πολιτευμάτων ἁπλότης· φιλοσοφῆσαι γὰρ ἐξ ἀρχῆς καθαρῶς οὐ προσεγένετό μοι, βληθείσης (οὐκ οἶδ' ὅπως) τῆς προαιρέσεως· ἐκείνου τοίνυν ἀπεγνωκὼς καὶ τοῦ μεγάλου ἀποτυχὼν θύματος, προσῆγον θεῷ τὸ τῆς γνώμης ἁπλοῦν. Εἶτα ὁ πᾶσιν οὕτω δεδωκὼς τὴν ἐμὴν 110 γνώμην, περὶ σὲ ταῦτα ἠλλοίωκα, καὶ ταῦτα πίστεις τοσαύτας

προσπαῖξαί σοι, καὶ καλὴν δοῦναι ἐπιστολήν, τὰ σὰ παιδικά, Π 176,36–37 τὰ σὰ παιδικά, et Π 223,11–13 ἀπόλαυε τῶν σῶν· εἰ μὲν βούλει, τῶν ἀρχαίων παιδικῶν, ὧν δὴ τὰς ἀρχὰς παρὰ τῆς ἐμῆς γλώττης εἰλήφεις· εἰ δ' οὖν, τῶν νέων τρυφῶν

93 βληθεὶς – ἧπαρ: cf. Hom. Il. 17,348–349 καὶ βάλεν Ἱππασίδην Ἀπισάονα ποιμένα λαῶν / ἧπαρ ὑπὸ πραπίδω ‖ **95–96** ὦ – ἥλιε: Dem. Περὶ στεφάνου = Or. 18,127. cf. e.g. Greg. Naz. Epist. 5,5 cum Π 128,1, Π 146,157–158, Π 157,8, Π 202,1–2, Π 284,25–26, et Π 285,17

87 τ[ῶν] suppl. Wei[1] Malt ‖ **88–89** κρατίστας corr. Wei[1] Malt: κρείττονας B **93** τετύχηκα suppl. Wei[1] Malt ‖ **99** ὦ … ὦ Wei[1] ‖ **105** : δεδυστύχηκεν Wei[1] **111** ἠλλοίωμαι Wei[1]

παρεσχηκώς, ἃς ἄν τις καὶ τῶν ἀσχημόνων ὀκνήσειε; Καὶ οὔτε ἡ μακαρία τριὰς τῷ λόγῳ προσειλημμένη, οὔτ' ἄλλο τι τῶν ὠμοσμένων πιστά σοι φανεῖται, ἀλλ' ἐπὶ πᾶσι καὶ τοῖς ὁπωσδή-
115 ποτε λεγομένοις τὰ αὐτὰ αὖθις εἰσενεχθήσεται.

Καὶ ἐπὶ τούτῳ τῆς σῆς ἐγὼ φιλίας ἀπήλαυσα, ἵν' ὕποπτος φαινοίμην καὶ πάντα πράττοιμι ὅπως ἂν φεύξαιμι; Τί πρὸς ταῦτα ἐρεῖς, ποίαν ἀντιστήσεις πρὸς τὴν ἀλήθειαν πιθανότητα, τί τῶν πάντων ἀπολογήσῃ;

120 Ἐγὼ μὲν οὖν οὐκ ἀρνήσομαι πώποτε τὴν ὁμολογίαν τῆς πίστεως· ἅπαξ γὰρ ὤμοσα ἐν τῷ ἁγίῳ καὶ οὐκ ἐπιλήσομαι τῶν συνθηκῶν. Ἀλλὰ κἂν αὖθις μισήσῃς, φιλήσω· κἂν φεύξῃ, διώξω· κἂν λοιδορήσῃς, ἀξιώσω, ἤτοι ἐγκωμιάσω. Δεῖξον ὅτῳ δὴ βούλει τὴν ἐπιστολὴν ἵνα, εἴ τις ἔχοι ἀντίρροπα λέγειν, παρρησιάσηται
125 ὡς ἐγώ.

Ἐγὼ μὲν οὖν οὕτως. Σὺ δὲ οὐκ οἶδα ὅπως διατεθήσῃ πρὸς ἡμᾶς, πολλάκις μὲν ἀναλλοίωτον τὴν εὐμένειαν ὑποσχόμενος, τάχιστα δὲ ἐπὶ τοῖς καιροῖς καὶ τοῖς πράγμασιν ἀλλοιούμενος.

113. Τῷ πατρι[άρχῃ κῦρ Μιχαὴλ (?)] ἀξιώσαντι γράψαι αὐτῷ, πότε δεῖ καθαίρεσθαι διὰ βοηθημάτων

B-M [n²]

Ὀλλύσθω, θεοτίμητέ μου δέσποτα, ἀστρομυθία πᾶσα Ἑλληνική

120–122 τὴν – συνθηκῶν: cf. Psel. Ἔκθεσις πίστεως ἐκδοθεῖσα τῷ βασιλεῖ τῷ Μονομάχῳ πρὸς ἔλεγχον τῶν διαβαλλόντων αὐτόν = Theol. II 35

116 ἀπήλαυσα (more byzantino) B: ἀπέλαυσα corr. Wei¹ Malt **118** πιθανώτατα Wei¹ ‖ **ep. 113** B 186r–187r, n² 443v–446r, o¹ 168v–170v; tit. dubitanter supplevi: τῷ πατρι[άρχῃ ....] ἀξιώσαντι γράψαι αὐτῷ, πότε δεῖ καθαίρεσθαι διὰ βοηθημάτων B ἐπιστολὴ Πέτρου φιλοσόφου εἰς τὸν πατριάρχην κῦρ Λουκᾶν o¹ n² B-M Cau ‖ **1** θεοτίμητέ – δέσποτα o¹ n² B-M: θεοτι[..]τε [ca. 10 litt.] B | ἀστρομυθία B: ἀστρολογία o¹ n² B-M

(ἵνα δή σοι τῶν σῶν πρωτογεννημάτων ἀφ' ἑστίας [ἱερ]ᾶς εὐθὺς ἀπάρξωμαι)! Φθειρέσθωσαν γοῦν ἡμῖν Κύνες ἀστράπτοντες, καὶ Ταῦροι ὑβρίζοντες, καὶ ναῦς ἀφιεῖσα φωνήν, καὶ ὁ τῆς ἀδικίας Ζυγός! Συμφθειρέσθω τούτοις καὶ τὰ πρῶτα τῆς ἀπάτης 5 μυθεύματα, ἀφ' ὧν ἐδραματουργήθη ἡ ζωηφόρος πλάσις ἐν οὐρανῷ!

Τὸ μὲν τρέπεσθαι τὸν ἀέρα, ταῖς τῶν ἄστρων ἐπιτολαῖς τε καὶ ἀνατολαῖς, οὐ πάνυ τι ἀπιστῶ τοῖς περὶ τούτου φιλοσοφήμασιν· ἔχω γὰρ καὶ τὴν αἴσθησιν πολλαχοῦ τῶν γινομένων ἐπιμαρτυροῦ- 10 σαν τοῖς πράγμασι. Καρκίνους δὲ καὶ Λέοντας ἐξεπίτηδες καὶ προηγουμένως ἐν οὐρανῷ συμπεπλάσθαι παρὰ τῆς δημιουργοῦ

2 τῶν – πρωτογεννημάτων: Exod. 23,19 τὰς ἀπαρχὰς τῶν πρωτογενημάτων τῆς γῆς σου εἰσοίσεις εἰς τὸν οἶκον κυρίου τοῦ θεοῦ. cf. Psel. Πρὸς τοὺς ἐρωτήσαντας πόσα γένη τῶν φιλοσοφουμένων λόγων = Phil. min. I 3,194 ἑστίας [ἱερ]ᾶς: cf. Synes. Cyren. Epist. 148,17 νὴ τὴν ἱερὰν Ἑστίαν cum Greg. Naz. Epist. 169,1,2 ὦ τῆς ἱερᾶς ἑστίας? ‖ **2–3** ἀφ' – ἀπάρξωμαι: proverbium, CPG I 14 (nr. 40) et Karath. 1; cf. Psel. Ἐγκώμιον εἰς Ἰωάννην ... Εὐχαΐτων ... = Or. pan. 17,494 ἵν' ἀφ' ἑστίας ἄρξωμαι. cf. etiam Psel. Χρονογραφία III,15, Ἐγκώμιον εἰς ... Κωνσταντῖνον ... τὸν Λειχούδην = Or. fun. I 2,11,4, Λόγος εἰς τὰ θαύματα τοῦ ἀρχιστρατήγου Μιχαὴλ = Or. hag. 5,447, Πρὸς αὐτὸν (scil. Πόθον τὸν βεστάρχην) ἐρωτήσαντα ποῖος ἐγκωμίων κρείττων = Or. min. 15,30, Ἕτερος λόγος πρὸς ... Κωνσταντῖνον τὸν Μονομάχον = Or. pan. 4,286, Εἰς ... τὸν Μονομάχον = Or. pan. 7,19 ‖ **4** ναῦς – φωνήν: cf. e.g. Ps.-Apollod. Bibl. 1,110 ναῦν κατεσκεύασε τὴν προσαγορευθεῖσαν ἀπὸ τοῦ κατασκευάσαντος Ἀργώ· κατὰ δὲ τὴν πρῷραν ἐνήρμοσεν Ἀθηνᾶ φωνῆεν φηγοῦ τῆς Δωδωνίδος ξύλον cum Ps.-Erat. Catasterismi 35 Ἀργοῦς. αὕτη διὰ τὴν Ἀθηνᾶν ἐν τοῖς ἄστροις ἐτάχθη, πρώτη γὰρ αὕτη ναῦς κατεσκευάσθη ... φωνήεσσα δὲ γενομένη etc. ‖ **8–11** τὸ μὲν – πράγμασι: cf. e.g. Psel. Omn. doctr. 136 ἐπισημασία ἐστίν, ὅταν ὁ ἐπιτέλλων ἀστὴρ καὶ συνανατέλλων τῷ ἡλίῳ, ὥσπερ ὁ καλούμενος κύων καὶ ὁ ὠρίων καὶ ὁ ἀρκτοῦρος ἤ ἕτερός τις τῶν ἀπλανῶν ἀλλοιώσῃ τὸν ἀέρα κατὰ τοὺς τέσσαρας τοῦ ἔτους καιρούς etc. **12–13** τῆς – χειρός: cf. Psel. Ὀνειδίζει τοὺς μαθητὰς ἀμελοῦντας = Or. min. 24,57–60 καὶ τὴν φύσιν μέσον τοῦ δημιουργοῦ καὶ τῶν δημιουργημάτων φαντάζομαι, ἥτις ὥσπερ χείρ ἐστι τοῦ πρώτου αἰτίου, καὶ δι' αὐτῆς ἐφ' ἑαυτοῦ μένων ἀκίνητος τὰ τῇδε οἰκονομεῖ καὶ τὰς ὥρας συγκεραννύμενος ἄλυπον ἡμῖν τὸν βίον ἐργάζεται

2 δή o[1] n[2] B-M: δέ B | ἀφ' B: ἐφ' o[1] n[2] B-M | [ἱερ]ᾶς dubitanter supplevi (cf. app. sim.): [...]ας B om. o[1] n[2] B-M ‖ **3** γοῦν B: οὖν o[1] n[2] B-M ‖ **4** ναῦς **B**: νᾶς o[1] n[2] **Παρθένος** corr. B-M ‖ **10** καὶ o[1] n[2] B-M: [...] B ‖ **11** δὲ B corr. B-M: τε o[1] n[2] **12** τῆς B: τῆς τοῦ o[1] n[2] B-M

τῶν ὅλων χειρός, μήποτε οὕτως ἐκσταίην φρενῶν ὥστε καὶ ἀκροθιγῶς τοῖς ὠσὶ παραδέξασθαι.

15 Ποιεῖν δὲ τὰ ἄστρα ἐν τῇ καθ' ἡμᾶς οὐσίᾳ τοσοῦτον δέχομαι, ὥστε μεταλλοιοῦν ταῦτα τὸν ἀέρα ταῖς ἰδίαις κράσεσι καὶ ποιότησι, καὶ διὰ τοῦτο ψύχειν ἢ θερμαίνειν ἡμᾶς ἧττον ἢ μᾶλλον ἑκάτερον. Ἔνθεν τοι καὶ ὁ λαμπρὸς οὗτος ἀστὴρ ὁ παρ' Ἕλλησι μὲν Κύων ὀνομαζόμενος, Μαζουρὼθ δὲ παρὰ τοῖς Ἑβραίοις 20 καλούμενος, ὥς τινες τῶν τὴν γλῶτταν μεταβαλλόντων διηρμηνεύκασιν, εἷς τῶν ἀπλανῶν ἀστέρων ἐστὶν ἐν τῷ μετώπῳ τοῦ λεγομένου Κυνὸς προφαινόμενος· οὐ γὰρ ἡ σύμπασα πλάσις ἐστὶ τοῦ Κυνός, ἀλλὰ ἀπὸ τοῦ μέρους τὸ σύμπαν κατηγορήθη. Καὶ οὗτος γοῦν ὁ ἀστὴρ φλογωδέστατος εἰ καί τις ἄλλος τῶν κατ' 25 οὐρανὸν ἀστέρων ἐστί, καὶ τὸν μὲν ἄλλον χρόνον καθ' ὃν οὐ συνοδεύει τῷ ἡλίῳ πόρρω τῶν ἐκείνου ἀκτίνων φερόμενος, οὐ πάνυ τῆς ὅλης ἀφῃρημένος πυρᾶς, ὅταν δὲ ὁ ἥλιος τὸν θερινὸν ἀναβαίνων κύκλον ἢ ἐκεῖθεν ἠρέμα καὶ βραχὺ κατιών, ἐπιψαύσῃ τῆς τούτου θέσεως (εἴπω δὲ κινήσεως), οἷον ὑπεξάπτει τοῦτον τῷ 30 οἰκείῳ πυρὶ καὶ διακαέστερον ἀπεργάζεται.

13 μήποτε – φρενῶν: cf. Psel. Ὑπὲρ τοῦ νομοφύλακος κατὰ τοῦ Ὀφρυδᾶ = Or. for. 3,129, Μονῳδία ἐπὶ Ῥωμανῷ ῥαιφερενδαρίῳ = Or. fun. I 9,2,34–35, Εἰς τὸ παροιμιακὸν … 'ἡ σοφία ᾠκοδόμησεν …' = Theol. I 7,97 et Π 167,13, Π 251,27, Π 275,6–7, et Π 503,1–2 ‖ **14** ἀκροθιγῶς – παραδέξασθαι: cf. Psel. Omn. doctr. 156 οὐδὲ ἀκροθιγῶς τοῖς ὠσὶν et Π 501,2–3 οὐδὲ ἀκροθιγῶς τοῖς ὠσὶν ἐβουλόμην ἀκοῦσαι ‖ **19–20** Μαζουρὼθ – καλούμενος: cf. Suda μ 40 Μαζουρώθ: τὰ συστήματα τῶν ἀστέρων, ἃ ἐν τῇ συνηθείᾳ ζῴδια καλοῦνται. ἑβραϊστὶ δὲ τινές φασι λέγεσθαι τὴν λέξιν, σημαίνειν δὲ καὶ τὸν ἀστρῷον κύνα

13 οὕτως B: om. o[1] n[2] B-M ‖ **16** μεταλλοιοῦν B corr. B-M: μεταλλιοῦντα o[1] n[2] **18** Ἕλησι n[2] ‖ **19** Μαζουρὼθ scripsi: Βαρουζὼθ B Μαρουζὼθ o[1] Μαζουζὼθ n[2] B-M ‖ **23** ἀπὸ o[1] n[2] B-M: om. B | κατηγορήθη B: κατεγορήθη o[1] κατηρήθη n[2] κατερρήθη corr. B-M ‖ **24** γοῦν o[1] n[2] B-M: νῦν B ‖ **26–27** οὐ – πυρᾶς B: [spatium vacat]υ τῆς ὅλης ἀφῃρημένος πυρᾶς o[1] om. n[2] B-M ‖ **28** ἐπιψαύσῃ B: ἐπιψαύσοι o[1] n[2] B-M ‖ **29** θέσεως B: θεώσεως o[1] n[2] B-M | εἴπω B: εἴποιμι o[1] n[2] B-M | οἷον : οἱονεὶ corr. B-M | ὑπεξάπτει B: ὑπερεξάπτει o[1] n[2] B-M

Γίνεται δὲ ἡ ἐπιτολὴ τοῦ Κυνὸς ἀπὸ τῆς ιθʹ τοῦ ἰουλίου μηνός, ὁπηνίκα πυρωδέστερος μὲν ἑαυτοῦ ὁ ἀὴρ γίνεται, ὑπερζεῖ δὲ τὰ ἡμέτερα σώματα, καὶ αἱ τούτων δυνάμεις, τῷ πολλῷ τοῦ ἀστέρος πυρί, ἐξασθενοῦσί καὶ καταβέβληνται. Ταύτῃ τοι καὶ Ἱπποκράτης τὰς ὑπὸ Κύνα καὶ πρὸ Κυνὸς θεραπείας, φαρμακείας ἐργώδεις 35 διαγνούς, οὕτως ὠνόμασεν· «ὑπὸ Κύνα» γάρ φησι «καὶ πρὸ Κυνὸς ἐργώδεες αἱ φαρμακεῖαι»· διχῇ γὰρ διεῖλε τὴν ὅλην τοῦ Κυνὸς δύναμιν: εἴς τε τὴν ὑπὸ ἥλιον κρύψιν, καὶ τὴν μετὰ ταῦτα ἐπιτολήν τοῦ Κυνός· καὶ «ὑπὸ Κύνα» μὲν εἰρήκει τὴν ἐπιτολὴν τοῦ Κυνός, «πρὸ Κυνὸς» δὲ τὴν προηγουμένην κρύψιν αὐτοῦ πρὸ τῆς 40 ἐπιτολῆς.

Οὔκουν οἱ Ἀσκληπιάδαι καθαίρουσιν οὔτε πρὸ τῆς ἐπιτολῆς οὔτε μετὰ τὴν ἐπιτολὴν εὐθύς, ἀλλὰ δέκα μὲν πρὸ τῆς ἐπιτολῆς ἡμέρας ὥστε μὴ καθαίρειν τὰ σώματα ἀφωρίσαντο, δέκα δὲ μετὰ τὴν ἐπιτολήν. Τὸ γοῦν ἐντεῦθεν, ἄρχονται τῶν καθάρσεων· 45 ἠσθένηκε γὰρ τηνικαῦτα ὁ Κύων τοῦ ἡλίου διαζυγείς, καὶ αὐτίκα ὅτε ἀὴρ ἐπὶ τὸ εὐκρατότερον μεταβέβληται, καὶ τὰ ἡμέτερα

31 ἡ – μηνός: cf. Theoph. Protospath. In Aph. 388,2–3 γίνεται δὲ ἡ ἐπιτολὴ τοῦ κυνὸς ἀπὸ ιθʹ τοῦ ἰουλίου μηνός. cf. etiam Psel. Omn. doctr. 146,29–30 γίνονται δὲ οἱ βόρειοι ἐτήσιοι ἄνεμοι μετὰ εἴκοσιν ἡμέρας τῆς θερινῆς τροπῆς, μετὰ τὴν τοῦ κυνάστρου ἐπιτολήν ‖ **36–37** ὑπὸ – φαρμακεῖαι: Hipp. Ἀφορισμοί IV,5 ‖ **42–45** οἱ – ἐπιτολήν: cf. etiam Hipp. Περὶ ἀέρων, ὑδάτων, τόπων 11 δεῖ δὲ καὶ τῶν ἄστρων τὰς ἐπιτολὰς φυλάσσεσθαι, καὶ μάλιστα τοῦ κυνός, ἔπειτα ἀρκτούρου, καὶ ἔτι πληϊάδων δύσιν· τά τε γὰρ νοσεύματα μάλιστα ἐν ταύτῃσι τῇσιν ἡμέρῃσι κρίνεται· καὶ τὰ μὲν ἀποφθίνει, τὰ δὲ λήγει, τὰ δὲ ἄλλα πάντα μεθίσταται ἐς ἕτερον εἶδος καὶ ἑτέρην κατάστασιν cum e.g. Hierophil. Soph. Περὶ τροφῶν κύκλος 7,5–6 καθαρσίου δὲ ἀπέχεσθαι δεῖ. σκοπεῖται δὲ καὶ τὸ ἄστρον τοῦ Κυνὸς ψηφιζόμενον ἀπὸ τῆς ιγʹ ἕως τῆς ιϛʹ

31 ιθʹ scripsi (cf. app. font. cum B-M in app. crit.): ιαʹ B o[1] n[2] B-M **32** πυρωδέστερος B corr. B-M: πυροδέστερος o[1] n[2] | ὑπερζεῖ corr. B-M: ὑπερζῆ B o[1] n[2] ‖ **34** καὶ[1] B: τε καὶ o[1] n[2] B-M ‖ **35** θεραπείας φαρμακείας o[1] n[2] B-M: φαρμακείας B ‖ **36** ὠνόμασεν B corr. B-M: ὀνόμασεν o[1] n[2] ‖ **37** ἐργώδεες corr. B-M: ἐργώδεις B o[1] n[2] | γὰρ B: δὲ o[1] n[2] B-M ‖ **38** ἥλιον B: τὸν ἥλιον o[1] n[2] B-M ‖ **39** τοῦ Κυνός[1] B: om. o[1] n[2] B-M ‖ **40–41** δὲ – ἐπιτολῆς : [ca. 17 litt.] κρ[...] αὐτ[..] πρὸ τῆς [ca. 8 litt.] B ‖ **45** τὴν B o[1] suppl. B-M: om. n[2] | ἄρχονται B: κατάρχονται o[1] n[2] B-M ‖ **47** ἀὴρ B: ὁ ἀὴρ o[1] n[2] B-M | τὸ εὐκρατότερον B: τῷ εὐκρατώτερον o[1] τῷ ἐγκρατώτερον n[2] τὸ ἐγκρατέστερον corr. B-M μεταβέβληται B o[1] corr. B-M: μεταβέβληνται n[2]

σώματα ἐθάλφθη τε καὶ ἐρρώσθη· εἰ γὰρ αἱ τῶν ἀστέρων ἐπισημασίαι τήν τε τοῦ ἀέρος κράσιν μεταποιοῦσι καὶ τὴν θάλασσαν
50 ἀθρόως κυμαίνουσι, πῶς οὐχὶ καὶ τοῖς ἡμετέροις σώμασι ζάλην τινὰ καὶ ταραχὴν ἐμποιοῦσιν; εἰ γὰρ ταῖς ὁλότησι τῶν στοιχείων ἐπισημαίνονταί τι τῆς οἰκείας δυνάμεως, πῶς οὐχὶ καὶ τὰ μέρη τούτων καινοτομήσουσιν;

Οὔτε γοῦν εὐθὺς δυομένου τοῦ ἀστέρος ὑπὸ τὸν ἥλιον ἐφεκτέον
55 ἡμῖν τῶν καθάρσεων, οὔτε μετὰ πολλὰς τῆς ἐπιτολῆς ἡμέρας. Ἀλλ' ἐπειδὴ πεντεκαίδεκα ἡμέρας κέκρυπται ἑῴαν δύσιν ποιούμενος ἄχρι πρώτης ἐπιτολῆς, τὰς μὲν πρώτας πέντε ἡμέρας, οὐ πάνυ τι παραφυλακτέον τὴν κάθαρσιν, ἀλλὰ τὰς δέκα τὰς ἐσύστερον· οὐ γὰρ ὑποδὺς εὐθὺς ἀπολαύει τῆς τοῦ ἡλίου θερμότητος,
60 ἀλλὰ κατὰ βραχὺ προϊών. Ἐπεὶ δὲ καὶ ἔξω τῶν ἡλιακῶν ἀκτίνων γενόμενος, μετὰ τὰς πεντεκαίδεκα ἡμέρας τῆς ἐπικρύψεως ἔτι γειτονῶν τῷ φωστῆρι, ἀπολαύει τοῦ ἐκεῖθεν φωτὸς δέκα ἡμέρας, αὖθις τὰς ἐκ τοῦ γειτονήματος τῷ ἀστέρι οἱ περὶ τὸν Ἱπποκράτην ἐμέτρησαν δυνάμεις.

65 Εἴκοσι γοῦν ὅλαις ἡμέραις ἀφεκτέον ἡμῖν τῶν καθάρσεων, ἤτοι ἀπὸ τῆς ια´ τοῦ ἰουλίου μηνὸς ἄχρι τῆς τριακάδος αὐτοῦ, μικρόν τι πλέον ἢ ἔλασσον, καὶ μήτε ὑπὸ Κύνα (ὅπερ ἐστὶν ἐπιτέλλοντος τοῦ Κυνός), μήτε πρὸ Κυνός (ὅπερ ἐστὶ δύνοντος), ποιητέον τὰς καθάρσεις ἡμῖν, ἵνα μὴ τὴν ξηρότητα τῶν σωμάτων
70 ἡμῶν τῇ προσθήκῃ τῆς κενώσεως ἐπιτείνωμεν, ἵνα μὴ καταβεβλημένας ὑπὸ τοῦ καιροῦ τὰς φυσικὰς ἡμῶν δυνάμεις ἀσθενεστέρας τῷ καθαρσίῳ ποιήσωμεν, ἵνα μὴ τὴν διαφόρησιν τῶν σωμάτων ἡμῶν ἐπαυξήσωμεν, καὶ ἐξεπίτηδες τοῖς ἡμετέροις ἐπηρεάσω-

48–53 εἰ – καινοτομήσουσιν: cf. supra ll. 8–18

48 ἐθάλφθη B: ἐφθάλθη o[1] n[2] εὖ ἐθάλφθη corr. B-M | ἐρρώσθη B n[2] B-M: ἐρρώθη o[1] ‖ **49** κράσιν corr. B-M ‖ **50** ἀθρόως B o[1]: ἀθρόον n[2] B-M | καὶ καὶ πῶς ante corr. n[2] ‖ **54** γοῦν B: οὖν o[1] n[2] B-M ‖ **55** πολλὰς B: τὰς πολλὰς o[1] n[2] B-M ‖ **58** παραφυλακτέον τὴν : [....]φυλακ[....]ὴν B ‖ **58–59** ἐσύστερον o[1] n[2] B-M: ὕστερον B ‖ **59** τῆς – θερμότητος o[1] n[2] B-M: τοῦ ἡλίου θερμότερ[ον] B **60** ἐπεὶ B o[1] corr. B-M: ἐπὶ n[2] ‖ **63** τὰς B: om. o[1] n[2] B-M ‖ **64** δυνάμεις B: δύσεις o[1] n[2] ⟨τὰς⟩ δύσεις B-M ‖ **70** κενώσεως B: καύσεως o[1] n[2] B-M

μεν σώμασι. Ταῦτα δὲ παραφυλακτέον ἡμῖν μή τινος ὀξέος νοσήματος καταναγκάζοντος· εἰ γὰρ κυνάγχη τις ἢ πλευρῖτις κἀν 75 ταῖς ἀπειρημέναις ἡμέραις ἐπεισφρήσῃ τοῖς σώμασι, χρώμεθα ταῖς καθάρσεσιν.

Οὕτως ἐγώ, θεοτίμητε δέσποτά μου, παντὸς ἐπαΐω μαθήματος, ἀπὸ μὲν τῶν ὑψηλοτέρων ἐπιστημῶν ὥσπερ ἐξ ἀρχῶν κρειττόνων, τὰς ὑποκειμένας ἐξαριθμούμενος, πολλάκις δὲ καὶ ἀπὸ 80 τούτων, ὥσπερ ἐν ταῖς γεωμετρίαις ποιεῖν εἰώθαμεν, ἐπὶ τὰ πρῶτα τῶν θεωρημάτων ἀναπεμπόμενοι.

Ἔνιοι γοῦν τῶν περὶ τὴν νομικήν, ὥσπερ θηρία μοι ἐξαγριαίνουσιν, ἐπειδάν τι καὶ περὶ ταύτης ὑψηλογήσωμαι. Οὐ (νὴ τὴν ἱεράν σου ψυχήν!) τὴν ὀφρὺν κατ' αὐτῶν αἴρων ὡς πλείω περὶ τὰ 85 κρείττω πραγματευσάμενος, ἀλλ' ἐπειδὴ τῶν νόμων τὰ μὲν ψιλὴν ἔχει τὴν προφορὰν καὶ οὐ πάνυ τι φιλοσοφίας ἀντιποιεῖται, τὰ δὲ βραχύ τι ἀνερπύζει καὶ βούλεται πρόσω τοῦ ὅρους ἐπαναβαίνειν, τὰ μὲν πολλὰ γυμνῷ χρῶμαι τῷ νόμῳ, καὶ οὐδέν τι πλέον περιεργάζομαι, ὅπου δὲ τομή τις ἐστὶ πράγματος καὶ διαίρεσις τεχνικὴ 90

74–75 ὀξέος – πλευρῖτις: cf. Galen. In Aph. 490,11–12 ... . ὡς ἐν πλευρίτιδι καὶ περιπνευμονίᾳ καὶ κυνάγχῃ ... τοῖς ὀξέσι νοσήμασι ... ‖ **31–77** γίνεται – καθάρσεσιν: Theoph. Protospath. In Aph. 387,25–388,15 ἄλλο πρὸ κυνὸς καὶ ἄλλο ὑπὸ κύνα· πρὸ κυνὸς μὲν λέγεται αἱ πρὸ τῆς ἐπιτολῆς τοῦ κυνὸς εἴκοσιν ἡμέραι, ὑπὸ κύνα δὲ αἱ μετὰ τὴν ἐπιτολὴν τοῦ κυνὸς εἴκοσιν ἡμέραι. γίνεται δὲ ἡ ἐπιτολὴ τοῦ κυνὸς ἀπὸ ιθʹ τοῦ ἰουλίου μηνός. ἐν τούτοις οὖν τοῖς χρόνοις ὁ Ἱπποκράτης λέγει ἐργώδεις εἶναι τὰς φαρμακείας τουτέστι δυσχερεῖς. καὶ ἡ αἰτία· διὰ τὸ τηνικαῦτα ἀσθενῆ εἶναι τὴν δύναμιν διὰ τὸ καῦμα, καὶ δέος, μὴ προκαταλυθῇ τῇ καθάρσει· ἄλλως τε ὅτι τὸ περιέχον θερμὸν ἀνάπτεται, διὸ καὶ πυρέττουσι πολλοὶ τότε. καὶ μὴν καὶ τὸ διδόμενον φάρμακον θερμὸν καὶ ἡ ὕλη δριμεῖα καὶ δέος, μή πως οὐκ ἀσφαλὴς γένηται ἡ κάθαρσις, ἐκπυρουμένου τοῦ θερμοῦ καὶ δυσκρασίας πολλῆς καταλαμβανούσης τὸ σῶμα, ἄλλως τε ὅτι μάχεται τὸ φάρμακον καὶ ἡ τοῦ ἀέρος κατάστασις, ἡ μὲν περὶ τὴν ἐπιφάνειαν ἕλκουσα τὴν ὕλην, τὸ δὲ φάρμακον ἀντισπῶν ἔσω, καὶ δέος μήπως, μαχομένων ἀμφοτέρων, διασπασθῇ ἡ φύσις. cf. etiam Galen. In Aph. 664,4–13

75 κυνάγχη o[1] n[2] B-M: κυνάχη B ‖ **76** ἀπειρημέναις B o[1]: ἐπειρημέναις n[2] B-M ‖ **81** ὥσπερ B: ὡς o[1] n[2] B-M | εἰώθαμεν B: εἰώθασιν o[1] n[2] B-M **82** ἀναπεμπόμενοι B o[1]: ἀναπεμπόμενος n[2] B-M ‖ **83** μοι o[1] n[2] B-M: om. B **84** ὑψηλογήσωμαι B n[2] B-M: ὑψηλογήσομαι o[1] ‖ **86** νόμων B: νομίμων o[1] νομικῶν n[2] B-M ‖ **87** προφορὰν B: παραφορὰν o[1] n[2] B-M | φιλοσοφίας B: τῆς φιλοσοφίας o[1] n[2] B-M ‖ **89** οὐδέν – πλέον B: οὐ πλέον τι o[1] n[2] B-M

ἢ ἀναφορά τις τῶν τετμημένων, ἐνταῦθά τι καὶ τῆς σεμνοτέρας ἐπιστήμης παρενείρειν ἀποθαρρῶ.

Καὶ εἰ μέν τις ἐπὶ τούτοις φιλόσοφος ἀπαντήσοι ἡμῖν ἀκοή, ἄγαται καὶ τέθηπε τὴν ἐπιβολήν, καὶ μικροῦ δεῖν τοῦτο τὸ γένος
95 καταφιλοῦσιν ἡμῶν καὶ στέρνα καὶ μέτωπον. Οἱ δὲ τῆς ἐναντίας μερίδος μονονουχὶ τοῖς ἑαυτῶν συμφθείρονται πάθεσιν· ἃ γὰρ οὐκ ἴσασιν ἢ ὧν οὐκ ἐφίκοιντο, ταῦτα οὐδὲ ἐν οὐσίας τίθενται μέρει, ἀλλ' οὗ μὲν ἂν ἀπρὶξ λάβοιντο, τούτου δὴ κάρτα ἔχονται ἢ ἀντέχονται, γενναῖον δὲ νοῦν καὶ φιλοσόφους ἀρχὰς οὔτ' ἴσασιν
100 οὔτε ἀποδέχονται.

Πρὸς γοῦν τὰς τῶν πολλῶν ἀκοάς (ὄμνυμι τὴν ἱεράν σου ψυχήν!), μετερρύθμισα τὴν ἐμὴν γλῶσσαν ἢ (πλέον εἰπεῖν) παρερρύθμισα. Καὶ μὴ θαυμάσῃς εἴ σοι βραχύ τι τῆς ἐμῆς ἀνεπέτασα εὐγλωττίας· παρὰ γὰρ σοὶ τῷ μεγάλῳ μου δεσπότῃ καὶ

91–92 ἐνταῦθά – παρενείρειν: cf. Psel. Εἰς τὸ 'πῶς δὲ οὐκ ἐν τόπῳ πάντως' = Theol. I 51,43–44 διὰ τοῦτο παρενείρω ταῦτα τοῖς ἐμοῖς συγγράμμασιν, ἵν' εἰδῆτε καὶ τὰ τῶν Ἑλλήνων ἀπόρρητα ‖ **83–92** ἔνιοι – ἀποθαρρῶ: cf. Psel. Ἐπιτάφιος εἰς … Ἰωάννην τὸν Ξιφιλῖνον = Or. fun. I 3,6,28–40 εἰ μὲν οὖν ἐγὼ ὕστερον ἀπὸ φιλοσοφίας ἐπικλινὴς εἰς νόμους γενόμενος, οὕτω τὴν νομικὴν ἐπιστήμην ἠκρίβωσα, θαυμάζειν οὐ χρή, ἀπὸ τοῦ κρείττονος τῷ ἐλάττονι προσιών, κἀκεῖθεν τὴν μέθοδον εἰληφώς. ἐκεῖνον δ' ἂν εἰκότως ἀγαίμην ἐγώ, εἰ οὔπω ὑπερνεφὴς γεγονώς, εἶτα δὴ τοῖς πεζοτέροις προσκεχωρηκώς, ἀπὸ τῆς οὐρανίας ἁψῖδος ἐφθέγγετο, ὡς οἱ πολλοί γε νῦν (οὐ γὰρ ἂν καθαψαίμην τῶν τελεωτέρων), οὐ διαιροῦσι τοὺς νόμους, ἀλλὰ σπαράττουσιν, οὐδὲ τέμνουσιν, ὡς δεῖ τέμνειν, ἀλλὰ διαξαίνουσι, καὶ δοκεῖ κρείττων ἅτερος θατέρου τῷ πολλὰ εἰδέναι νόμου κεφάλαια, ὥσπερ εἴ τινες ἐν φιλοσοφίᾳ οὐ τῷ ἐπίστασθαι τὰ τῶν συλλογισμῶν σχήματα καὶ ἑκάστους εἰς τὸ οἰκεῖον ἀνάγειν, ἀλλὰ τῷ πολλοὺς συμφορεῖν συλλογισμούς, οὔθ' ὅθεν προέλθοιεν ἐπιστάμενοι, οὔθ' ὅπῃ συνέλθοιεν ‖ **103** παρερρύθμισα: cf. Psel. Ἐπιτάφιος εἰς … Ἰωάννην τὸν Ξιφιλῖνον = Or. fun. I 3,10,15 παρερρύθμιζον

91 ἀναφορά B: καὶ ἀναφορά o¹ n² B-M ‖ **95** καταφιλοῦσιν B: καταφιλοσοφοῦσιν o¹ n² B-M | ἡμῶν B o¹: ἡμῖν n² B-M | μέτωπον B: μέτωπα o¹ n² B-M ‖ **96** γὰρ B: om. o¹ n² B-M ‖ **97** ἐφίκοιντο o¹ n² B-M: ἀφίκοιντο B οὐδὲ B: οὐδ' o¹ n² B-M ‖ **98** ἂν B: om. o¹ n² B-M | ἀπρὶξ – δὴ : [.]πρὶ[...]ιντο, τού[.....] B ‖ **100** οὔτε B: οὔτ' o¹ n² B-M ‖ **102** μετερρύθμισα – γλῶσσαν B: τὴν ἐμὴν μετερρύθμισα γλῶσσαν o¹ n² B-M ‖ **104** σοὶ B: om. o¹ n² B-M | μου δεσπότῃ B: δεσπότῃ μου o¹ n² B-M

σοφῷ καὶ τὰ θεῖα καὶ ἀνθρώπινα, καὶ τὴν ἐμὴν πάλαι γλῶτταν 105
ἠγαπηκότι καὶ ἐπαινέσαντι, τῶν ἐμῶν ἀπήχησα παιδικῶν.

105–106 τὴν – παιδικῶν: cf. Plat. Γοργίας 482a1–4 εἰ μή τις παύσει τὰ σὰ παιδικὰ τούτων τῶν λόγων … ἀλλὰ τὴν φιλοσοφίαν, τὰ ἐμὰ παιδικά et Synes. Cyren. Epist. 138,14–16 ἐπειδὴ γράφειν δύναμαι, θαμὰ τοῦτο ποιῶ … καὶ ἀπολαύω τῶν ἐμῶν παιδικῶν. cf. Psel. Εἴς τινα κάπηλον γενόμενον νομικόν = Or. min. 14,147 ἵνα μὴ περιττὸς δόξω τὰ σὰ παιδικὰ ὑφαρπάζων, Π 76,36 τὰ σὰ παιδικά, Π 105,17–18 τοιαῦτα τὰ ἐμὰ παιδικά, Π 112,84–85 τῶν ἐμῶν παιδικῶν (τοὺς λόγους φημί), Π 117,21–22 τὴν ἐμὴν ἐνδείξαιμι γλῶτταν, καὶ ἢ λέξιν ἀποσμιλεύσω, ἢ συναρμόσω περίοδον, ἢ σχεδιάσω ῥητορικὴν μέθοδον, τὰ ἐμὰ παιδικά, Π 131,47–48 ἵν' ἔχω σκῶψαί σε καὶ προσπαῖξαί σοι, καὶ καλὴν δοῦναι ἐπιστολήν, τὰ σὰ παιδικά, Π 176,36–37 τὰ σὰ παιδικά, et Π 223,11–13 ἀπόλαυε τῶν σῶν· εἰ μὲν βούλει, τῶν ἀρχαίων παιδικῶν, ὧν δὴ τὰς ἀρχὰς παρὰ τῆς ἐμῆς γλώττης εἰλήφεις· εἰ δ' οὖν, τῶν νέων τρυφῶν

XXX. Κωνσταντῖνος (ca. a. 1030/35? – ca. a. 1078? ante a. 1082), ἀνεψιὸς τοῦ πατριάρχου

μάγιστρος καὶ σακελλάριος (ca. a. 1065?),
πρόεδρος (ca. a. 1065 – a. 1067?),
πρωτοπρόεδρος (ca. a. 1071/1072?),
μέγας δρουγγάριος τῆς βίγλας (ca. a. 1073/1074),
σεβαστὸς καὶ ἐπὶ τῶν κρίσεων (ca. a. 1075/1078?)
cf. etiam Π 107 et Π 492

114. Τῷ μαγίστρῳ Κωνσταντίνῳ καὶ σακελλαρίῳ ⟨τῷ ἀνεψιῷ τοῦ πατριάρχου Μιχαήλ⟩

S 45 [P]

Καὶ τοῦτο μετὰ τῶν ἄλλων σοι ἐστὶ πλεονεκτημάτων, λαμπρότατε κύριέ μου καὶ ἀδελφὲ περιπόθητε: τὸ μὴ καταδυσωπεῖσθαι χάρισι φίλων, ἢ συγγενῶν, ἢ τῶν ἄλλως οἰκείων, ἀλλ' ὀρθὴν καὶ ἀπότομον ἔχειν ἐπ' ἀμφοτέροις τοῖς 5 μέρεσι τὴν τοῦ δικαίου ἰσχύν. Καὶ ταύτης ἐγώ σοι μάρτυς τῆς προαιρέσεως, ἀρκῶν ἀντὶ πολλῶν (ὡς ἂν αὐτὸς φαίης).

Θαυμάζω οὖν ὅπως ποτὲ τὴν τοιαύτην διάθεσιν μεταβέβληκας. Καὶ περιορᾷς σὺ ὁ τηλικοῦτος τὴν ἀρετήν, ὁ τοῦ μεγάλου ἀρχιερέως ἀδελφιδοῦς (ἵνα μηδὲν ἄλλο εἴπω), ἀδελφὸν ὑπ' 10 ἀδελφοῦ καταδυναστευόμενον, ὅτι ὁ μὲν πλείω κέκτηται καὶ ἀρκεῖ πρὸς τὴν ἐξώνησιν τοῦ ἀποκεκληρωμένου τῷ ἀδελφῷ, ὁ δὲ ἀποχρῶν ἡγεῖται τὸ μέρος, καὶ τοῦ πλείονος οὐκ ἐρᾷ.

XXX cf. Psel. Περὶ φιλίας πρὸς τοὺς ἀνεψιοὺς τοῦ πατριάρχου κῦρ Μιχαήλ = Or. min. 31, Ὡς ἀπὸ προσώπου τοῦ βασιλέως = Or. for. 5, et Π 107,20–21, et Π 110,4. cf. Wassiliou-Seibt 2011 et 2018; cf. etiam Jeffreys 2017a |μάγιστρος – κρίσεων: cursus honorum in Wassiliou-Seibt 2011; cf. etiam Wassiliou-Seibt 2018

ep. 114 P 200r, A 44r–v (des. mut.); tit. scripsi: τῷ μαγίστρῳ Κωνσταντίνῳ καὶ σακελλαρίῳ P S πρὸς τὸν σακελλάριον A ‖ **1** σοι – πλεονεκτημάτων P S: πλεονεκτημάτων ἐστὶ A ‖ **2** λαμπρότατε – περιπόθητε A: om. P S **3** καταδυσωπεῖσθαι A: δυσωπεῖσθαι P S | ἄλλως P S: ἄλλων A ‖ **4** ἐπ' P S: ἐν A

Τί οὖν; Ὁ μὲν ἀποίσεται τὴν νικῶσαν, ὅτι Συμεών τε ἐστίν (ἵνα μικρόν τι χαριεντίσωμαι) καὶ τοῦ ἰδικοῦ νοτάριος, ὁ δὲ μετὰ τῆς μελαίνης ἐξωσθήσεται, ὅτι τε ἑτέρως κατονομάζεται καὶ τὸ 15 τοῦ ἰδικοῦ οὐκ ἴσησι σέκρετον; Ἀλλὰ μὴ σύ γε οὕτω ψηφίσαιο.

Καὶ τοῦτο μὲν ἔλαττον κακόν. «Οὗτος δὲ τί;», τὸ βραχὺ τοῦτο καὶ μέγα τοῦ Πέτρου ἐρώτημα, ὥσπερ μέλος ὑγιὲς συναπολαύσει τῷ νενοσηκότι τῆς τομῆς καὶ τῆς καύσεως, καὶ συναδικηθήσεται τῷ ἀδικουμένῳ, καὶ τῆς κοινῆς ἀποπέσῃ χάριτος, ὅς γε Πολίτης 20 τέ ἐστιν εἰς ἀρχαιολογίαν γένους ἀναγόμενος, καὶ τοῦ μείζονος μέρος συστήματος, (εἴπω σοι τἀληθές) καὶ συγγενὴς ἐμός; φιλοσοφία γὰρ οὐ διενεχθήσεται περὶ τῆς διαφορότητος τῶν ἔξωθεν.

Τί οὖν, ἐπὶ τούτοις ἐλέγξαι σε προεθυμήθημεν τὸν ἀνέγκλητον 25 καὶ πάσαις βρύοντα καλλοναῖς τε καὶ ἀρεταῖς; Πολλοῦ γε καὶ δεῖ. Ἀξιῶ οὖν καὶ τὸν Συμεὼν παυθῆναι τοῦ ἀδικεῖν, καὶ τοῦτον τυχεῖν οὗ τυχεῖν ἐστι δίκαιον.

115. Τῷ σακελλαρίῳ καὶ μαγίστρῳ ⟨Κωνσταντίνῳ, τῷ ἀνεψιῷ τοῦ πατριάρχου Μιχαήλ⟩

S 46 [P]

Ἐρῶ σοι, πανάριστε ἀδελφέ, ὅ τι σοι κατενόησα: ἐρᾷς τῶν ἐμῶν λόγων οὕτω δεινῶς, ὡς πρὸς σύμπαντας τοὺς ἄλλους ἀτεχνῶς ἐμφράττειν τὸ οὖς, εἶτα βουλόμενος ὡς ἐκ πηγῆς σοι τούτους ἐπιρρεῖν, τεχνικῶς οὐκ εὐθὺς ἐπινεύεις ταῖς πρώταις τῶν

13–15 ὁ μὲν – κατονομάζεται: cf. Suda τ 293 Τελχῖνες: πονηροὶ δαίμονες. ἢ ἄνθρωποι φθονεροὶ καὶ βάσκανοι. δύο ἐγένοντο Τελχῖνες, Σίμων καὶ Νίκων. ὑπερίσχυσε δὲ ὁ Νίκων τὴν ἐπὶ Σίμωνι φήμην ἀπαλεῖψαι. καὶ παροιμία· οἶδα Σίμωνα καὶ Σίμων ἐμέ. ἐπὶ τῶν ἀλλήλους ἐπὶ κακίᾳ γινωσκόντων et Π 115,10 οἱ Τελχῖνες οὗτοι ‖ **17** οὗτος δὲ τί: Ioann. 21,21 ‖ **21–22** τοῦ – συστήματος: Strab. Γεωγραφικά 15,3,2,11–12 ἐν μέρει τετάχθαι συστήματος μείζονος ‖ **22** συγγενὴς ἐμός: de eodem notario cf. Π 115,15; cf. etiam Π 354,2?

13 post νικῶσαν des. A ‖ **16** ψηφήσαιο S ‖ **ep. 115** P 200r–v, O 289r, A 45v; tit. scripsi: τῷ σακελλαρίῳ καὶ μαγίστρῳ O A τῷ αὐτῷ (= τῷ μαγίστρῳ Κωνσταντίνῳ καὶ σακελλαρίῳ) P S ‖ **1** σοι[2] – ἐρᾷς P O S: κατενόησα ἐρᾷν σε A ‖ **3** ἐμφράττειν P A S: ἐμφράττῃ O

5 ἀξιώσεων, ἵνα ἡμεῖς μὲν παλιλλογῶμεν περὶ τῶν αὐτῶν, σὺ δὲ τρυφᾷς καὶ γελᾷς τὰς ἐμὰς πολλάκις ἀνελίττων ἐπιστολάς.

Ἐπαινῶ τὴν ἐπιβουλὴν ταύτην, καὶ ἄγαμαί σου τοῦ μηχανήματος, δι᾽ οὗ ἡμᾶς ἑλὼν ἔχεις, καὶ τὴν ἀκρόπολιν εἴληφας. Πάλιν οὖν σοι μεταμείψαντες τῶν αἰτήσεων τὰ ὀνόματα, τὰς ἐννοίας 10 φυλάττομεν. Ἀλλὰ τοσοῦτον προλαβεῖν δεῖ: οἱ Τελχῖνες οὗτοι, πλέον ἢ ἡμεῖς ἀγαπῶμεν ἀλλήλους, τὸ πρᾶγμα ἐγνώκασι, καί μοι συρρεῖ πρὸς ταῖς θύραις ὄχλος ἀμύθητος, θυροκοποῦντες καὶ τὴν ψυχὴν καὶ τὰ ὦτα ἡμῶν.

Τῶν μὲν οὖν ἄλλων περιέστην, πείσας ἀφίστασθαι. Πρὸς δὲ 15 τοῦτον, εἰς οὐδέν μοι τὰ θέλγητρα· ἔχει γὰρ πᾶσιν ἀντίρροπον τὴν συγγένειαν. Μέσος οὖν ἑστὼς συγγενικῆς τε ἀναγκαιότητος καὶ φιλίας ὑπερφυοῦς, πῶς ἂν δύο τυραννίδων ἀπαλλαγήσωμαι;

Μόνος οὖν αὐτὸς ἔχεις τὸ φάρμακον τῆς ἀπαλλαγῆς, νηπενθές, ἄχολόν τε, κακῶν ἐπίληθες ἁπάντων. Ἀλλὰ μὴ ἐμοὶ κεράσῃς 20 τὸ πόμα, ἀλλὰ τῶν σῶν χαρίτων τὸν ἐμὸν συγγενῆ μέθυσον, ὅπως ἂν ἐγχωρῇ καὶ αὐτὸς δύνῃ τὸ μέθυ συγκερασάμενος. Ἐπιστολῶν δὲ ἀφορμὴν ἑτέραν μοι ἐπινόησον· ἐρῶ τίνα καὶ ποίαν: τὸν ποτάμιον ὗν, μετὰ τῶν ἄλλων καὶ τοῦτον θειώσας.

10 οἱ – οὗτοι: cf. Suda τ 293 Τελχῖνες: πονηροὶ δαίμονες. ἢ ἄνθρωποι φθονεροὶ καὶ βάσκανοι. δύο ἐγένοντο Τελχῖνες, Σίμων καὶ Νίκων. ὑπερίσχυσε δὲ ὁ Νίκων τὴν ἐπὶ Σίμωνι φήμην ἀπαλεῖψαι et Π 114,13–15 ὁ μὲν ἀποίσεται τὴν νικῶσαν, ὅτι Συμεών τε ἐστίν (ἵνα μικρόν τι χαριεντίσωμαι) καὶ τοῦ ἰδικοῦ νοτάριος, ὁ δὲ μετὰ τῆς μελαίνης ἐξωσθήσεται, ὅτι τε ἑτέρως κατονομάζεται **12–13** θυροκοποῦντες – ἡμῶν: cf. Synes. Cyren. Epist. 140,10–12 αἴσθησιν ἀγαπῶντες καί, ὅταν αὕτη μὴ ὑπὸ σωμάτων θυροκοπῆται, ψυχῆς παρουσίαν οὐ προσιέμενοι ‖ **15** τοῦτον (et infra l.20 τὸν ἐμὸν συγγενῆ): de quo cf. Π 114,22; cf. etiam Π 354,2? ‖ **18–19** νηπενθές – ἁπάντων: Hom. Od. 4,221; cf. Psel. Περὶ παραδόξων ἀκουσμάτων = Phil. min. I 32,8–9 et Π 124,41–43 et Π 448a,26–27

6 πολλάκις – ἐπιστολάς P A S: ἐπιστολάς πολλάκις ἀνελίττων O ‖ **10** οἱ P A S: εἰ O ‖ **14** ἄλλων P O S: om. A | περιέστην O A: περίειμι P S ‖ **16** ἑστὼς O A: ἑστηκὼς P S ‖ **21** μέθυ P O S: μέλι A | συγκερασάμενος O A: ἐγκερασάμενος P S ‖ **23** θειώσας O A: θειάσας P S

116. Τῷ σακελλαρίῳ ⟨Κωνσταντίνῳ, τῷ ἀνεψιῷ τοῦ πατριάρχου Μιχαήλ⟩

K-D 211 [O]

Ὥσπερ εἴ τι δ' ἂν πρὸς σὲ ὑπὲρ σοῦ φθεγξαίμην, συνέσεως καὶ εὐφυΐας ἔμψυχον ἄγαλμα, ἔλαττόν ἐστι τῆς ἐμφύτου μοι πρός σε διαθέσεως, κἀνταῦθα μόνον ἡ γλῶττα τῆς γνώμης ἀπολιμπάνεται, οὕτω δὴ καὶ τῆς σῆς εἰκόνος (λεγέσθω γὰρ οὕτως, εἰ βούλει· εἰ δὲ τὸ ἀληθὲς ἀκούειν ἐθέλεις: τοῦ πρώτου καὶ 5 ἀκριβοῦς παραδείγματος) τὸ ἐν τοῖς λόγοις μέτρον μᾶλλον ὑστέρησεν, ἢ ὅσον ἐστὶν ὃ λέγεται· τὸ γάρ τοι μέτρον, αὐτὸ τοῦτο ὅπερ ἐστί, κανών, πρὸς ἃ παραμεμέτρηται, λέγεται· ἐνταῦθα δὲ τοσούτου δεῖν αὐτὸ ἥγημαι, ὥστε τυχεῖν τοῦ ὀνόματος, ὁπόσου ἠτύχηκεν. 10

Ἡ μὲν γὰρ εἰκὼν οὐδὲν τοῦ παραδείγματος διενήνοχεν, ὥς γέ μοι δοκεῖ. Ἔγωγ' οὖν καὶ ὡς σώματος πολλάκις ἡψάμην τοῦ χρώματος· καί μοι ἡ χεὶρ οὐκ ἐψεύσατο, ἀλλὰ τῇ δόξῃ συνηκολούθησεν. Οὕτως ἡ βάσις· οὕτως ἡ τάσις· οὕτω τὸ σχῆμα τῆς κεφαλῆς· οὕτω τοῦ τραύματος ὁ ἰχώρ, καὶ ἡ ζῶσα τοῦ προσώπου 15 νέκρωσις, καὶ ὁ ἔμψυχος θάνατος.

Τίς δ' ἂν εἴη τῷ παραδείγματι λόγος προσόμοιος, πρὸς ὃ ἡ εἰκὼν τὴν φύσιν ἠρνήσατο; Πῶς δ' ἂν τὸ μέτρον συσχηματισθείη τῇ ἀληθείᾳ, καὶ συναποθάνοι ἡ λέξις τῷ λόγῳ νεκρῷ; Πῶς δ' ἂν ὁ νοῦς τὴν ἐκπνοὴν μιμήσαιτο τῆς ψυχῆς; Ἅπαξ δὲ καινοτομηθέν- 20 τος τοῦ πράγματος, πῶς τὸ πολλάκις γινόμενον ἔσται ἐπιτυχές; Εἰ μὲν γὰρ τέχνης δύναμις ἡ εἰκών, εἰ χρωμάτων κράσις, τάχ' ἂν καὶ ἡ τοῦ μέτρου τέχνη οὐκ ἀπείρηκε πρὸς τὴν βάναυσον. Ἐπεὶ δὲ

ep. 116 U 145v (des. mut.), O 287v–288r (O¹) et 348v (O²), A 47r (des. mut.); tit. scripsi: τῷ σακελλαρίῳ U O¹ A K-D τοῦ ὑπερτίμου Ψελλοῦ O² ‖ **5** οὕτως – βούλει U O² A K-D: εἰ βούλει, οὕτως O¹ | ἀληθὲς – ἐθέλεις U O¹ A K-D: ἀκριβὲς ἐθέλεις ἀκούειν O² ‖ **6** μέτρον: om. A ‖ **8** ἃ U O¹ O² A: ὃ K-D **10** ἠτύχηκεν U O² A: ηὐτύχηκεν O¹ K-D ‖ **11–12** γέ μοι U O¹ O² K-D: γ' ἐμοὶ A ‖ **12** ἔγωγ' οὖνU O¹ O² K-D: ἐγὼ γοῦν A ‖ **16** post θάνατος des. U (folia ceciderunt) et A, itaque epistulae finis deest in U et A ‖ **17** εἴη O² K-D: om. O¹ ‖ **18** δ' ἂν O¹ K-D: om. O² ‖ **19** τῷ – νεκρῷ O² K-D: τῷ ζῶντι νεκρῷ O¹ **22** κράσις O¹ K-D: κράσεις O² K-D ‖ **23** ἡ – ἀπείρηκε O¹ K-D: ἡ τοῦ μέτρου βάσις ἀπείρηκε O² | βάναυσον O¹: βάσανον O² K-D

τὸ πᾶν ἐκμαγεῖόν ἐστι τῆς ἀληθοῦς φύσεως, τίνι τρόπῳ ὁ λόγος τὸ
25 ὑπὲρ φύσιν χαρακτηρίσειεν; Ἔπειτα ἔκθαμβος εὐθὺς ὁ νοῦς γινόμενος, καὶ κατὰ τὴν πρώτην ἐπιβολὴν ἐκπλαγεὶς ὥσπερ οἱ φοιβόληπτοι, ἰλίγγου καὶ σκοτοδίνης καὶ τὸν ὑπηρέτην λόγον πληροῖ. Καὶ ὥσπερ ἵππος ἁρμάτειος οὗτος, τὸν ἐφεστηκότα νοῦν ἀποβεβληκώς, οἴχεται φερόμενος πάσαις πλάναις καὶ πάσαις
30 περιφοραῖς. Καὶ τό γε χαλεπώτερον ἐναντίωμα, ὅτι χείρων τῆς πλάνης ἡ ἐπιστροφή· ὅτε γὰρ ἐρεῖσαι τὸν νοῦν πρὸς τὸν τύπον βουλήσομαι, τότε ταράττομαι, ὥσπερ οἱ ναυτιῶντες προσκεκυφότες τοῖς κύμασι.

Γενοῦ οὖν αὐτὸς μέτρον ἀμφοῖν, τῷ τε ἐμῷ φημι λόγῳ καὶ τῷ
35 σῷ παραδείγματι (οὕτω γὰρ εἰπεῖν κάλλιον), τὸ μὲν ὑπὲρ φύσιν τιθείς, τὸ δὲ ἐμὸν φύσεως εὕρημα. Κἂν εἰ τοσοῦτον ἡμάρτηκα τῆς πρωτοτύπου μορφῆς, μήτε μοι μέμφου, μήτε με θαύμαζε, πῶς ἐν ἄλλοις κρεῖττον μετρῶν, ἐνταῦθα ἧττον ἑάλωκα· οὐ γάρ ἐστιν ὅμοιον, ἀλλὰ καὶ πάντῃ ἀνόμοιον. Τοῖς μὲν γὰρ ἄλλοις ὁ λόγος
40 διαιτᾷ τὸ κατάλληλον, διαιτᾶσθαι δὲ παρὰ τοῦ κρείττονος εὐτύχημα ἥγηται.

Ἡδέως δ᾽ ἂν σου πυθοίμην· εἴ με ἑώρακας σκιᾶς τινος σώματος τοῖς δακτύλοις περιδραξάμενον, οὐκ ἂν ἐξεπλάγης, καὶ «ἀποτρόπαιε» πολλάκις εἴρηκας, ὥσπερ ἀποτροπιαζόμενος τὴν

24 τὸ[1] – φύσεως: cf. Plat. Τίμαιος 50c ἐκμαγεῖον γὰρ φύσει παντὶ κεῖται **26–27** οἱ φοιβόληπτοι: cf. e.g. Procl. Περὶ τῆς κατὰ Πλάτωνα θεολογίας 5,131,25 et 6,59,19; cf. etiam Psel. Εἰς τὸ 'ἐπλήσθησαν οἱ ἀπόστολοι …' = Theol. I 74,84–85 ὥσπερ δὴ καὶ οἱ μεμηνότες, οὓς δὴ φοιβολήπτους οἱ πάλαι ὠνόμαζον ‖ **28–29** ὥσπερ – ἀποβεβληκώς: cf. Plat. Φαῖδρος 246a6–b4 et 253d1–254e9, cum Psel. Ἐξήγησις τῆς Πλατωνικῆς ἐν τῷ Φαίδρῳ διφρείας τῶν ψυχῶν καὶ στρατείας τῶν θεῶν = Phil. min. II 7, Πρὸς τοὺς λέγοντας μὴ εἶναι φύσει χρηστὸν τὸν ἄνθρωπον· ἐλέχθη δὲ ὁ τοιοῦτος λόγος αὐτοσχεδίως = Phil. min. II 17 (83,29–84,7), et Π 23,17–20, Π 95,40–42, Π 134,11–18, Π 214,22–23, Π 474,19–22, et Π 492,65–66 ‖ **31–33** ὅτε – κύμασι: cf. Psel. Λόγος σχεδιασθεὶς πρὸς Πόθον βεστάρχην … περὶ τοῦ θεολογικοῦ χαρακτῆρος 6 κἂν ἀναχωρῆσαι τῆς φράσεως ἐπὶ τὸν νοῦν βιασθῶ, ἀλγῶ ὅτι μὴ καὶ αὖθις συλῶμαι καὶ ὡς στέρησιν τὴν προσθήκην ὀδύρομαι

25 εὐθὺς O[2] K-D: om. O[1] ‖ **28** οὗτος O[1] K-D: οὕτως O[2] | ἐφεστηκότα O[2] K-D: ἀφεστηκότα O[1] ‖ **29** φερόμενος O[1]: περιφερόμενος O[2] K-D ‖ **34** φημι O[1] K-D: om. O[2] ‖ **38** ἧττον O[1] K-D: ἥττων O[2] ‖ **44** ἀποτρόπαιε O[2] K-D: ἀποτρόπαιον O[1]

καινοτομίαν τοῦ πράγματος; Πόσῳ οὖν ἐστι μᾶλλον τοῦ σκιὰν 45
κατασχεῖν τὸ λόγῳ συλλαβεῖν ποσῶς τὴν ἀλήθειαν; Τοῦτο δέ ἐστι
τὸ μὴ πόρρω γενέσθαι τοῦ τῆς σῆς εἰκόνος μορφώματος. Καὶ εἴ
μοι τοῖς στίχοις προσέξεις τὸν νοῦν, καὶ τὴν κατάλληλον ἀκαταλ-
ληλίαν τῶν λέξεων ἐννοήσειας, καὶ τὴν ἔμψυχον ἀπορίαν, καὶ τὴν
μονοειδῆ διχόνοιαν, τάχ' ἂν σκιὰν ἐρεῖς καὶ τὸν λόγον τοῦ χρώμα- 50
τος.

Ἀλλ' ἐγὼ μὲν ἐλάττων τῆς ἀληθείας ἐλήλυθα· ἀνομολογήσο-
μαι δὲ καὶ τῶν σῶν ἐπαίνων ἐλλείπειν, ὦ μόνος σὺ μετά γε τὸν
μέγιστον αὐτοκράτορα ἡμῶν τοῦτον τὸν λόγον ἀκηκοὼς παρ'
ἐμοῦ, καὶ ταῦτα ἐν γράμμασιν, ἵν' ἔχῃς τῆς μαρτυρίας τὸ ἀσφα- 55
λές. Ἀλλὰ μὴ οὕτω σὺ πρὸς ἡμᾶς ἔν γε τῇ διαμείψει τοῦ σηρικοῦ,
ἀλλὰ καλλίων φάνηθι διδούς, ἢ δεχόμενος, κάλλιστε πάντων ἐμοί,
καὶ μαργάρων, καὶ ὑφασμάτων, καὶ τῆς λοιπῆς εὐδαιμονίας τε καὶ
λαμπρότητος.

117. Τῷ προέδρῳ Κωνσταντίνῳ, τῷ ἀνεψιῷ τοῦ πατριάρχου Μιχαήλ

K-D 31 [L]; cf. Π 538,1–9

Οὐκ οἶδα τίσι ποτὲ χρήσομαι λόγοις, ἀνεψιὲ φίλτατε, καὶ πάντων
ἀνδρῶν κάλλιστε, πρὸς σὲ τὸν λόγον ποιούμενος. Πότερον
δείξομαί σοι τὴν κοινωνίαν τῶν συμφορῶν, καὶ καταθρηνήσω τοῦ

53–54 τὸν – αὐτοκράτορα: Isaacius Comnenus (imperator: 1.IX.1057 – 22.XI.1059) (Π XXXII)? cf. Π 364a,11–12 et Π 365,6–7 et epistolarum ordinem in codd. O et A)

46 τὸ O[1] K-D: τῷ O[2] ‖ **52–53** ἀνομολογήσομαι O[2] K-D: ἀνωμολόγημαι O[1] **54** αὐτοκράτορα – λόγον O[1] K-D: αὐτοκράτορα τὸν λόγον τοῦτον O[2] K-D **55** ἐμοῦ O[1] K-D: ἡμῶν O[2] ‖ **57** καλλίων scripsi: καλλίω O[1] O[2] K-D | δεχόμενος scripsi: οἰόμενος O[1] O[2] K-D ‖ **58** τε καὶ O[1] K-D: καὶ τῆς O[2] ‖ **ep. 117** L 13v–15v; cf. excerptum οὐκ οἶδα ... φαινόμενος (ll. 1–10) in a[5] 10r = Π 538,1–9 (L-D); tit. L K-D: κῦρ Μιχαὴλ τοῦ Ψελλοῦ φιλοσόφου και ῥήτορος· πρὸς τὸν ἀνεψιὸν τοῦ πατριάρχου κῦρ Μιχαὴλ τὸν Θεοφύλακτον, ὅτι φιλοῦντα τὴν μουσικήν, τὴν τραγῳδίαν, τὰς δημοτικὰς παροιμίας ὑπὲρ τὴν τῆς φιλοσοφίας τέχνην καὶ γραφῶν ἐπιμέλειαν Π 538 ‖ **1–2** ἀνεψιὲ – ποιούμενος L K-D: πρὸς σὲ τὸν λόγον ποιούμενος, ἀνεψιὲ φίλτατε τοῦ ἁγιωτάτου ἡμῶν πατριάρχου Π 538,1–2 ‖ **3** δείξομαί L K-D: ἐνδείξομαί Π 538,3

γράμματος ἐνδιαθέτως (οὐκ ἐξεπίτηδες), ἢ παραμυθητικοῖς σε
5 λόγοις ἀνακαλέσομαι;

Βούλομαι μὲν οὖν ἀμφότερά σοι κεράσαι, ἀλλ' ἐκκρούεται θάτερον παρά θατέρου. Ἐν μέρει τοιγαροῦν (ὡς ἂν οἷός τε ὦ) ἀμφοτέροις χρήσομαι· μὴ γὰρ εἴην οὕτω ζῶν, μηδὲ τοῦ κρείττονος μέρους ἀποτετμημένος, μηδ' ὥσπερ ἡμίτομόν τι τέρας καὶ ὢν καὶ
10 φαινόμενος, ἀλλ' ἢ ἀποκατασταίην ἐς τὴν τοῦ μέρους ἀνάληψιν, ἢ ἐκσταίην τῆς ἐνταῦθα ζωῆς· ἐγὼ γάρ σε, φιλτάτη ψυχή, φίλον ἐποιησάμην, οὐκ ἀβασανίστως οὐδ' ἐκ τοῦ παρατυχόντος, οὐδ' ἀπὸ πρώτης ἐντεύξεως, ἀλλ' ἐν πᾶσιν ἀκριβωσάμενος καιροῖς, τρόποις, ἤθεσι, βίου αἱρέσεσι, σύμπασιν (ὡς εἰπεῖν) πράγμασι·
15 καὶ ἐπειδή σε τοῖς ὅλοις μέρεσιν εἶδον τὸ ἀκρότατον τῆς ἀρετῆς ἔχοντα, οὕτω δή σοι συνεφύην ἢ συντέτηκα, ἢ οὐκ οἶδ' ὅ τι συμφυέστερον εἴποιμι ὄνομα.

Νῦν δὲ τοῦ συμφυοῦς ἀποτετμημένος, πῶς ἂν βιῴην; Τίνα κοινωνήσω καὶ τῶν κρειττόνων καὶ τῶν χειρόνων; Πρὸς τίνα δὲ
20 τῶν πάντων ἀφίξομαι καὶ τὰ εἰωθότα προσανακλαύσομαι; Τίνι δὲ τὴν ἐμὴν ἐνδείξαιμι γλῶτταν, καὶ ἢ λέξιν ἀποσμιλεύσω, ἢ συναρ-

6–7 ἐκκρούεται – θατέρου: cf. Psel. Λόγος εἰς τὴν σταύρωσιν = Or. hag. 3b,561 θατέρῳ ἕπεται θάτερον καὶ ἧλος ἥλῳ ἐκκρούεται ‖ **8–10** μηδὲ – φαινόμενος: Greg. Naz. Εἰς τὸν μέγαν Βασίλειον ... = Or. 43,80 ἡμιθνὴς δὲ Γρηγόριος καὶ ἡμίτομος, τῆς μεγάλης ἀπερρωγὼς συζυγίας cum Psel. Ἐπιτάφιος εἰς τὴν ἑαυτοῦ μητέρα 907 et Π 118,61, Π 201,40–41, et Π 360,9; cf. etiam Π 538,8–9 ‖ **13** ἀπὸ – ἐντεύξεως: cf. Heliod. Αἰθιοπικά 3,5,4 ὥσπερ τῆς ψυχῆς ἐκ πρώτης ἐντεύξεως τὸ ὅμοιον ἐπιγνούσης (cf. etiam 4,11,2, 5,18,7, et 9,24,8) cum Psel. Περὶ φιλίας πρὸς τοὺς ἀνεψιοὺς τοῦ πατριάρχου κῦρ Μιχαὴλ = Or. min. 31,190 et Π 35,10 ‖ **21–22** τὴν – παιδικά: cf. Plat. Γοργίας 482a1–4 εἰ μή τις παύσει τὰ σὰ παιδικὰ τούτων τῶν λόγων ... ἀλλὰ τὴν φιλοσοφίαν, τὰ ἐμὰ παιδικά et Synes. Cyren. Epist. 138,14–16 ἐπειδὴ γράφειν δύναμαι, θαμὰ τοῦτο ποιῶ ... καὶ ἀπολαύω τῶν ἐμῶν παιδικῶν. cf. Psel. Εἴς τινα κάπηλον γενόμενον νομικόν = Or. min. 14,147 ἵνα μὴ περιττὸς δόξω τὰ σὰ παιδικὰ ὑφαρπάζων, Π 76,36 τὰ σὰ παιδικά, Π 105,17–18 τοιαῦτα τὰ ἐμὰ παιδικά, Π 112,84–85 τῶν ἐμῶν παιδικῶν (τοὺς λόγους φημί), Π 113,105–106 τὴν ἐμὴν πάλαι γλῶτταν ... τῶν ἐμῶν ... παιδικῶν, Π 131,47–48 ἵν' ἔχω σκῶψαί σε καὶ προσπαῖξαί σοι, καὶ καλὴν δοῦναι ἐπιστολήν, τὰ σὰ παιδικά, Π 176,36–37 τὰ σὰ παιδικά, et Π 223,11–13

7 παρά L K-D: om. Π 538,6 | θατέρου corr. Diam 303 Π 538,6: θάτερον L K-D **10** post φαινόμενος des. excerptum Π 538,1–9 ‖ **18** συμφυοῦς scripsi: σαφοῦς L K-D

μόσω περίοδον, ἢ σχεδιάσω ῥητορικὴν μέθοδον, τὰ ἐμὰ παιδικά; Τίς δέ με τῶν πάντων θαυμάσεται, ἢ μὴ βασκήνας ἢ συνιείς, ἢ εὐφυῶς ἔχων πρὸς χάριτας; Ἔοικα γοῦν νῦν ἐπιλελησμένῳ καὶ τέχνης καὶ τῶν ἀπὸ τῆς φύσεως ἀγαθῶν· καὶ σεσίγηκεν ἡ σὴ 25 ἀηδὼν ἀπεληλυθότος τοῦ ἔαρος, μᾶλλον δέ σοι συναπελήλυθε.

Πλὴν εἰ καὶ τἆλλα τοῦ πίθου ἀπέπτη καὶ με λαθόντα διέδραμεν, ἀλλά γε τὰς ἐλπίδας ὅλας συνέσχον ἀγκαλισάμενος. Καὶ οὐδέν τι τούτων μέρος τοῖς λοιποῖς συνεξῴχηκεν, ἀλλά σοι τὸ δικαστήριον φιλανθρωπότατόν τε ἅμα καὶ δικαιότατον· ὅ τε γὰρ 30 δικάζων ἕτοιμος καὶ τὸ δίκαιον παραθραῦσαι φιλανθρωπίας γε ἕνεκα. Σοὶ δὲ οὐδὲ μέλον ἐστὶ φιλανθρωπίας· ἕστηκας γὰρ τῷ δικαίῳ θαρρῶν, καὶ σαυτὸν τοῖς πᾶσιν ἀπογυμνῶν, κἂν εἴ τις τὰ ἐντὸς ἐξακριβοῦν βούλοιτο, ὑπανοίγων τὸν θώρακα καὶ διδοὺς καὶ τὸ ἧπαρ καὶ τὴν καρδίαν. Τοῖς τε περὶ τὸν πρῶτον δικαστήν, καὶ 35 ὅσοις ὄμμα οὐκ εὐμενὲς μόνον, ἀλλὰ καὶ βάσκανον, κατείληπταί σου τὰ χρώματα τῆς ψυχῆς, οὔτε ἐρυθρά, οὔτε ὑπέρυθρα, ἀλλὰ λευκότατα πάντῃ, καὶ τῷ λαμπρῷ στίλβοντα· ἀποπεπνίξεται τοιγαροῦν τούτοις πᾶσι παρερπύζων ὁ φθόνος καὶ διαρρυήσεται.

Τί ποτ' οὖν ἐρεῖς; Μὴ μέχρι τοῦ νῦν διερρύηκεν, ὅτι μὴ 40 συνετάκη πάντῃ ὁ μόλυβδος, ὅτι σου τὴν χρυσῆν ψυχὴν βούλεται κύριος, ἐντακείσης ἴσως ὕλης τινός, ἀπαλλάξαι διὰ πυρώσεως; Εἴ τις οὖν ἐγὼ γνῶναι δεινὸς βασάνων καιρούς, ἀπήρτισταί σοι ἤδη τὸ τῆς κολάσεως μέτρον, καὶ ἡ πύρωσις ἔληξεν ἐνδειξαμένη ὅπερ ἐβούλετο. 45

Ὅτι μὲν γάρ, ἀνεψιέ φίλτατε, χαλεπὰ φαίνεται τὰ ἀβούλητα, καὶ ὁ τούτοις ἑαλωκὼς οὐχ ὅτι οἰκονομεῖται ἥδιστα δέχεται τὰ

ἀπόλαυε τῶν σῶν· εἰ μὲν βούλει, τῶν ἀρχαίων παιδικῶν, ὧν δὴ τὰς ἀρχὰς παρὰ τῆς ἐμῆς γλώττης εἰλήφεις· εἰ δ' οὖν, τῶν νέων τρυφῶν ‖ **21** λέξιν ἀποσμιλεύσω: cf. Synes. Cyren. Epist. 101,72 τοῖς ἀποσμιλεύουσι τὰ ὀνόματα et Δίων 8,4 καὶ τὸ λέξιν καθῆραί τε καὶ ἀποσμιλεῦσαι. cf. Π 552,17–18
27–28 καὶ[1] – ἀγκαλισάμενος: Hes. Ἔργα καὶ ἡμέραι 94–98 ἀλλὰ γυνὴ χείρεσσι πίθου μέγα πῶμ' ἀφελοῦσα / ἐσκέδασ', ἀνθρώποισι δ' ἐμήσατο κήδεα λυγρά. / μούνη δ' αὐτόθι Ἐλπὶς ἐν ἀρρήκτοισι δόμοισιν / ἔνδον ἔμεινε πίθου ὑπὸ χείλεσιν οὐδὲ θύραζε / ἐξέπτη. cf. Psel. Ἀλληγορία τοῦ παρ' Ὁμήρῳ Ἰθακησίου ἄντρου = Phil. min. I 45,54–61 et Π 134,57–58 et Π 269,52–53

35 τοῖς: scripsi: οἵ L K-D

συμπίπτοντα, ἀλλ' ὅτι ἀλγεῖ, ἀνιᾶται καὶ κέκραγεν, οἶδα σαφῶς· καὶ γὰρ καὶ αὐτὸς τῶν οἰκονομουμένων καὶ βοώντων εἰμί. Τὸ
50 μέντοι μεγαλοπρεπὲς τῆς προνοίας ἐν τούτοις ἡμῖν ἀποδείκνυται, καὶ ἡ μείζων φιλανθρωπία τοῦ κρείττονος· πραΰνεται γὰρ ἡμῖν τὰ θρυλλούμενα ἐκεῖνα δικαστήρια καὶ δικαιωτήρια ταῖς ἐνταῦθα πληγαῖς. Καὶ βίος ἐκεῖνος μὲν ἐγνωσμένος θεῷ καὶ τοῖς ἀκριβῶς κρίνουσι ζηλωτός, ὁ μὴ πᾶσι τοῖς φαινομένοις καλοῖς εὐθηνῶν,
55 ἀλλ' ᾧ καὶ θατέρῳ μέρει προσπίπτει τὰ δυσχερῆ, ἢ κατ' αὐτὸ ἢ παρὰ τὸν καιρόν· εἰ δέ τῳ πάντα εἴη τὰ κάλλιστα, βραχὺ δέ τι τὸ παρὰ βούλησιν, ὅ τε καιρὸς τούτοις βραχύς, παραμυθείσθω πολλοῖς οὖσι τοῖς κρείττοσιν, ἀλλὰ μὴ δυσχεραινέτω ὀλίγῳ ὄντι τῷ χείρονι.

60 Ἀλλ' ὅμως καὶ τοῦτο πικρὸν ἤθει χρηστῷ, ὁποῖον δὴ τὸ σόν, καὶ πάσχοντι καὶ συμπάσχοντι, καὶ μητρί, καὶ γυναικί, καὶ παιδίοις, καὶ τοσούτοις καὶ τοιούτοις, καὶ πάσχουσι καὶ αὐτοῖς καὶ συμπάσχουσι (ἴση γὰρ ἡ ἀντίδοσις)· εἶδον γὰρ εἶδον καὶ πάντα καὶ πάσας, καὶ πολλὰ τῶν ὀφθαλμῶν κατέσπειρα δάκρυα· οὐκ
65 οἶδα γὰρ εἰ καὶ τοῖς σοῖς ὀφθαλμοῖς οὕτως ὤφθησαν, ὥσπερ ἐμοὶ τὰ πρῶτα θεασαμένῳ· μὴ γὰρ οὕτως εἴη μοι τοιοῦτον θέαμα, μηδ' ἀκούσαιμι Σειρήνων θρηνουσῶν· ἔστι γάρ μοι τὰ μέλη τοῖς ὠσὶν ἔνηχα· ἀνέξανε δέ μοι τὰ τῆς ψυχῆς τραύματα, ἄλλα ἐπ' ἄλλοις ὁ κένσωρ ἀπαγγέλλων καὶ διηγούμενος.

70 Τέως μὲν οὖν ἔχεις τὰ φίλτατα, οὐκ εἰς μακρὰν δέ σε καὶ ταῦτα ἕξουσιν· οἰκονομεῖται γάρ σοι ἡ κάθοδος. Καὶ διαρραγείην αὐτός, εἰ μὴ διαρραγείην ὅλαις ὑπὲρ σοῦ ταῖς προθυμίαις ἀναρρηγνύμενος· τέως γάρ σοι οἰκονομῶ τὴν ἐπιδημίαν, τεχνικώτερον τοῦ πράγματος ἐφαπτόμενος, καὶ τὰ μὲν πλήττων, τὰ δὲ δυσω-
75 πῶν.

Εἰ μὲν οὖν προχωροίη τῆς οἰκονομίας ὁ τρόπος, ἔχομεν ὁμαλῶς τὸ ζητούμενον. Εἰ δ' οὖν, ἀκουέτω ταῦτα καὶ βασιλεύς·

67 Σειρήνων: cf. Michaeas 1,8 πένθος ὡς θυγατέρων σειρήνων cum Hom. Od. 12,39–46, locus saepe laudatus (cf. Psel. Εἰς τὸ ῥητὸν τοῦ Ἰὼβ ... 'καὶ ὁ διάβολος παρέστη ... = Theol. I 32,59, et Π 63,31–32, Π 112,79–80, Π 248,16 et 23–27, Π 445,8–10, et Π 486,5; cf. etiam Π 121,76–80, Π 199,31, et Π 379,4–5; et Π 30,11, Π 76,49–50, et Π 128,36–37) ‖ **77** βασιλεύς: Constantinus X Ducas (imperator: 23/24.XI.1059 – 22/23.V.1067) (Π XVIII)

71 ἕξουσιν scripsi: ἔξουσιν L K-D

ἐκεῖνός τε γὰρ φιλάνθρωπος, καὶ αὐτὸς οὐκ ἐλάττων εἰς παρρησίαν τινός. Τὰ δέ γε τῆς βασιλίδος, ὁποῖα; τὰ τῆς κρείττονος ἀγαθότητος (ἵνα βραχεῖ λόγῳ δηλώσω τὸ πᾶν). Τὰ τοῦ πατριάρχου; 80 θερμότερος οὗτος πυρὸς ὑπὲρ σοῦ. Ὁ καῖσαρ; ἐκκέκαυται, ὡς μηδὲ δακρύειν δύνασθαι τῷ πυρί. Ὁ βασιλεὺς διωμάλισται, ὁποῖος ἐκεῖνος, καὶ νεύματι ταλαντεύει τὴν σωτηρίαν. Ὁ ἀδελφὸς περιτρύζει τὴν καλιάν, ὄφεώς τινος λαθόντος καὶ παρερπύσαντος. Ἐμοὶ δὲ οὔπω φιλίας ἔργον ἄξιον πέπρακται· πεπράξεται δὲ καὶ 85 γλώσσῃ καὶ χειρὶ καὶ ποδί, καὶ θρήνοις, καὶ δάκρυσι.

Καὶ ταῦτα μὲν οὕτως ἔστι τε καὶ ἔσται. Προσειρήσθωσαν δέ σοι παρ' ἐμοῦ αἱ κυρίαι μου, τὰ χρυσᾶ παιδία καὶ πάγκαλα, τὰ ἐλεύθερα πάντα, τὰ δοῦλα σύμπαντα, ἄχρι καὶ τοῦ ἰπνοποιοῦ, καὶ αὐτοῦ δὴ τοῦ μάττοντος· φιλῶ γὰρ διὰ σὲ καὶ σύμπαντας τοὺς 90 σοὺς καὶ συμπάσας.

79 τῆς βασιλίδος: Eudocia Macrembolitissa (Π XXXVII) ‖ **80** τοῦ πατριάρχου: Constantinus Leichudes (patriarcha: 2.II.1059 – 9/10.VIII.1063) (Π XXXV) vel Ioannes Xiphilinus (patriarcha: 1.I.1064 – 2.VIII.1075) (Π L) ‖ **81** ὁ καῖσαρ: Ioannes Ducas (Π XVII), frater Constantini Ducae ‖ **83** ὁ ἀδελφὸς: Nicephorus (Π XXXI), frater Constantini ‖ **84** περιτρύζει – παρερπύσαντος: cf. Heliod. Αἰθιοπικά 2,22,4 ὥσπερ οἶμαί τις ὄρνις ὄφεως αὐτῇ τὴν καλιὰν πορθοῦντος ἐν ὀφθαλμοῖς τε τὴν γονὴν θοινωμένου προσελθεῖν μὲν ὀκνεῖ φεύγειν δὲ οὐ φέρει, πόθος γὰρ ἐν αὐτῇ καὶ πάθος ἀνταγωνίζεται, τετριγυῖα δὲ περιποτᾶται τὴν πολιορκίαν ‖ **89–90** ἄχρι – μάττοντος: cf. Synes. Cyren. Περὶ βασιλείας 20,16 καὶ ὁ τραπεζοποιός, καὶ ὁ περὶ τὸν ἰπνόν et Π 119,49–50

91 συμπάσας K-D: σύμπασας L

118. ⟨Κωνσταντίνῳ, τῷ ἀνεψιῷ τοῦ πατριάρχου Μιχαήλ⟩
ex Cappadociae, a. 1069, militiis ab Romano IV Diogene inceptis; eodem tempore ut Π 135? ante Π 119? ante Π 23

S 186 [P]

Ἀμέλει τοι τὸ μὲν πλινθίον παράτασίς ἐστιν ἐκ τεσσάρων πλευρῶν ἰσαρίθμοις φάλαγξι καὶ ἴσαις παρισουμένων, ὡς εἶναι τὸ ἐμπεριεχόμενον χωρίον τετράγωνον· τὸ δὲ πλαίσιον, ὅταν ἐκ τεσσάρων μὲν πλευρῶν γένηται ἡ παράτασις, οὐκ ἐν τετραγώνῳ
5 δὲ ἀλλ' ἐν ἑτερομήκει τῷ σχήματι. Τοῖς δὲ τῶν χελωνῶν ξύλοις ἡμιποδιαῖοι ἐπικαθηλούσθωσαν ἧλοι, καὶ τὸ μηχάνημα συμπεπηγὸς καὶ ὑπὸ τροχῶν προσφερέσθω τοῖς τείχεσιν. Ἀλλ' ὅπῃ τὸν λογισμὸν ἐκκεκύλισμαι, καὶ ταῦτα πρὸς σὲ τὴν τιμιωτάτην ἐμοὶ κεφαλὴν ἐπιστέλλειν ἐπιβαλλόμενος;
10 Τοσοῦτόν με τῆς ἐν φιλοσοφίᾳ παιδείας καὶ τῶν καθηκόντων ἠθῶν οἱ στρατιωτικοὶ λόχοι καὶ τὰ πολιορκητικὰ ὑφηρπάκασιν ὄργανα. Καὶ τῶν μὲν ἐν φιλοσοφίᾳ θαυμασίων ἀντιστροφῶν, ἔν τε ὅροις καὶ συλλογισμοῖς καὶ προτάσεσι, βραχύς μοι τανῦν ὁ λόγος ἐστίν· ἐξελίττω δὲ νῦν καὶ τὸν Μακεδόνα ἐξελιγμόν, τόν τε Χόριον

1–5 τὸ – σχήματι: cf. e.g. Anon. Tactica Byzantina, De re strategica 21,39–44 πλινθίον ἐστὶν ὅταν κατὰ διαφόρους ἐπιφανείας ἀναφανέντων τῶν ἐχθρῶν καθ' ἑκάστην αὐτῶν οἰκείαν ἀντιτάττωμεν φάλαγγα ἐν τετραγώνῳ σχήματι τὸν αὐτὸν ἀριθμὸν τοῦ πλήθους ταῖς ἄλλαις ἔχουσαν. τὸ δὲ πλαίσιον ὁρίζονται οἱ παλαιοὶ οὕτως· πλαίσιόν ἐστιν ἐὰν πρὸς πάσας τὰς ἐπιφανείας πᾶς ὁπλίτης παρατάσσηται ἐν ἑτερομήκει σχήματι et Suda π 1715, 1775, et 1778 (cf. Suda, Onomasticon Tacticon 60 et 61) ‖ **5–7** τοῖς δὲ τῶν χελωνῶν – τοῖς τείχεσιν: Apollod. Πολιορκητικά 146–147 τούτοις τοῖς τῶν χελωνῶν ξύλοις ... καὶ ἧλοι πλατυκέφαλοι ἡμιποδιαῖοι ἐπικαθηλούσθωσαν τοῖς παρορθίοις ξύλοις, ... συμπεπηγυῖαι δὲ καὶ ὑπότροχοι τοῖς τείχεσι προσφερέσθωσαν **14–15** ἐξελίττω – Λάκωνα: cf. e.g. Suda ε 1616 ἐξελιγμῶν ... καλεῖται γὰρ ὁ μὲν Μακεδών, ὁ δὲ Λάκων, ὁ δὲ Χόριος (cf. Suda, Omonasticon Tacticon 44) et Π 24,5–6 et etiam Π 17,22–23. cf. Mich. Ital. Epist. 22 (170,16–17) ποδαπὸς ὁ Μακεδὼν ἢ ὁ Λάκων ἐξελιγμός, locus e Psello inspiratus?

ep. 118 P 234v–235r; tit. scripsi: ἀνεπίγραφος S ‖ **7** προσφέρεσθαι S **14** Μακεδόνα scripsi: Μακεδόνος P S | Χόριον scripsi: χορεῖον P S

καὶ τὸν Λάκωνα, ἐπιστρέφω τε καὶ ἀναστρέφω τὴν φάλαγγα, καὶ 15
ἐκ δυοῖν ἐπιστροφῶν περισπῶ, τὸ μὲν ἐπὶ δόρυ, τὸ δ' ἐπ' ἀσπίδα.

Ὁρᾷς γοῦν ὅτι καθάπερ οἱ θεομάντεις, οὐδὲν ὅτι μὴ μόνον τοὺς στρατιωτικοὺς τούτους ἀναπνέω χρησμούς, ἢ ὥσπερ ἐν Λεβαδείᾳ γενόμενος, μόνης τῆς κατοχῆς γέγονα, μηδενὸς τῶν πρώην ἐπιστρεφόμενος; 20

Ἀλλὰ ὄμνυμι δὲ τὴν ἱεράν σου κεφαλὴν ὅτι τούτοις μὲν (εἴ γε δεῖ μὴ ληρεῖν) βραχύ τι προσέχω τὸν νοῦν, καὶ τοσοῦτον ἐπίστροφός εἰμι πρὸς αὐτά, ὅσον ἐντείλασθαι κατὰ τοὺς ἀρχιτέκτονας ταῖς ὑποκειμέναις ἐπιστήμαις τὴν τέχνην τῶν γιγνομένων· εἶτα ἐμαυτοῦ γίγνομαι. Ὁπηνίκα δὲ ὥσπερ ὁ Ἴκαρος, ἐς οὐρανὸν 25
αὐτὸν μετεωρισθῶ, οὐ πτερυσσόμενος, ἀλλ' ὥσπέρ μοι ἀνοιδούσης τῆς γῆς, καὶ αὖθις καθάπερ ἐπὶ τοὺς ἀντίποδας ἀποσφαιρισθῶ, οὐ διὰ ῥᾳδίας, ἀλλὰ ποικίλοις μὲν ἑλιγμοῖς, μακροῖς δὲ τοῖς διαστήμασιν, οὐκ ἔχω τίς ἂν γενοίμην· μᾶλλον δὲ τότε δή με ὁ τυφωνικὸς οὗτος ἄνεμος ἀπωθήσει, τότε γοῦν καὶ φιλοσοφίας αὐτῆς καὶ 30
φιλίας ἐπιλανθάνομαι. Καὶ οὐκ ἐγὼ μόνον ἀπειρήκειν πρὸς τὰς τοσαύτας ἐπαγωγὰς τῶν δεινῶν, ἀλλ' ἁπαξάπαντες· κἀκείνοις

15–16 ἐπιστρέφω – ἀσπίδα: cf. e.g. Suda π 1291 (cf. Suda, Omonasticon Tacticon 42) περισπασμός: ἐκ δυοῖν ἐπιστροφῶν τοῦ τάγματος κίνησις, ὥστε μεταλαμβάνειν τὸν ὀπίσω τόπον. ἐκπερισπασμὸς δέ ἐστιν ἐκ τριῶν ἐπιστροφῶν συνεχῶν τοῦ τάγματος κίνησις, ὥστε μεταλαμβάνειν, ἐὰν μὲν ἐπὶ δόρυ γίγνηται, τὴν ἐξ ἀριστερῶν ἐπιφάνειαν· ἐὰν δὲ ἐπ' ἀσπίδα, τὴν ἐκ δεξιῶν ‖ **18–19** ἐν – γενόμενος: proverbium, CPG I 72 (nr. 61), II 25 (nr. 50), et 694 (nr. 30), cf. Suda τ 1065 Τροφωνίου ... ἐν Λεβαδείᾳ χρηστήριον ἦν, et Π 20,39 et Π 24,13–14 ‖ **21–22** εἴ – ληρεῖν: Dem. Περὶ στεφάνου = Or. 18,297 et Περὶ τῆς παραπρεσβείας = Or. 19,262. cf. Π 291,1–2 ‖ **23–24** ὅσον – γιγνομένων: cf. Aspas. In Eth. Nic. 4,28–5,7 et 6,1–5 δόξειε δ' ἄν, φησί, τῆς κυριωτάτης καὶ μάλιστα ἀρχιτεκτονικῆς· τοιαύτη δὲ ἡ πολιτική· ἔχει γὰρ τὰ ὑπάρχοντα τῇ ἀρχιτεκτονικῇ· καὶ γὰρ προστάττει πάσαις ταῖς λοιπαῖς ἐπιστήμαις cum Psel. Περὶ αἰσθήσεως καὶ αἰσθητῶν = Phil. min. II 8 (17,12–14) ἐν ἁπάσαις δὲ ταῖς δυνάμεσι τὰ τῶν ἀρχιτεκτονικῶν τεχνῶν τέλη αἱρετώτερα τῶν ὑφ' ἑαυτά. ἀρχιτεκτονικαὶ δὲ λέγονται αἱ ἄρχουσαι καὶ κρατοῦσαι τῶν ὑφ' αὑτάς et Π 266,13–15 ‖ **25** ὥσπερ – Ἴκαρος: cf. e.g. Psel. Εἴς τινα κάπηλον γενόμενον νομικόν = Or. min. 14,85–86 etc. ‖ **29–30** ὁ – ἄνεμος: Act. 27,14 μετ' οὐ πολὺ δὲ ἔβαλεν κατ' αὐτῆς ἄνεμος τυφωνικὸς ὁ καλούμενος Εὐρακύλων· συναρπασθέντος δὲ τοῦ πλοίου καὶ μὴ δυναμένου ἀντοφθαλμεῖν τῷ ἀνέμῳ ἐπιδόντες ἐφερόμεθα

26 post πτερυσσόμενος lacunam prop. Veld,304

[γε] αὐτοῖς τοῦτο, ὅσοις ἡ ἀναισθησία τὴν ἀναλγησίαν εἰσῳκίσατο τῇ ψυχῇ.

35 Διὰ ταῦτά σοι καὶ πλεῖστον γράφειν ἀπεσιώπησα, ὁ μᾶλλόν σοι προσδιαλεγόμενος ἢ τῇ οἰκείᾳ ψυχῇ. Πρῶτον μὲν καὶ διὰ τὰς αἰτίας ἃς εἴρηκα· ἔπειτα δὲ οὐδὲ μελιττουργεῖταί μοι παρὰ τῇ γλώττῃ τανῦν οὔτε λέξεων ἡδονή, οὔτε συνθήκης εὐαρμοστία, ἵνα σε φιλοτίμως ἐφεστιάσω, καί σοι παραθείην ψυχῆς καρύκευμα 40 τρόφιμον· αἱ γάρ μοι μέλισσαι, αἱ τῇ γλώττῃ τὰ κηρία συντιθεῖσαι τοῦ λόγου, καὶ (ποιητικῶς εἰπεῖν) «τιθαιβώσσουσαι», ἐπεὶ μηδὲν ἐνταῦθα ἄνθος κηρόχυτον, μηδὲ πόα καταμελιτοῦσα ψυχήν, ᾤχοντο ἀποπτάμεναι.

Ὁρᾷς γοῦν καὶ τὴν ἐπιστολὴν ταύτην, ὡς βούλεται μὲν ἀναφέ-45 ρειν εἰς τὸ ἀρχαῖον ἀξίωμα; Καὶ ὁρμᾷ μὲν μεγαλοπρεπῶς· ναρκᾷ δὲ τὴν κίνησιν, [καί] ἴχνη μόνον ἐμφαίνει, καὶ ταῦτα δὴ ἀσαφῆ τε καὶ ἀμαυρὰ τῆς ἀρχαίας διαγραφῆς.

Ἦσάν ποτ' ἦσαν ἄλκιμοι Μιλήσιοι! Τανῦν δὲ καὶ ἡ ἐμὴ περὶ τοὺς λόγους εὐδαιμονία εἰς ἄζηλον ἕξιν κατέληξε. Καὶ πέπονθα

41 τιθαιβώσσουσαι: Hom. Od. 13,106 τιθαιβώσσουσι μέλισσαι. cf. Psel. Ἀλληγορία τοῦ παρ' Ὁμήρῳ Ἰθακησίου ἄντρου = Phil. min. I 45,8 ‖ **42** μηδὲ – ψυχήν: cf. Π 76,51–52 τὸ ἥδιστον μέλος καὶ τὴν σὴν ψυχὴν καταμελιτοῦν. cf. etiam Π 488,29–30 ὥσπερ ἡδύσματι τῷ καταμελιτοῦντι λόγῳ τὴν ἀκοήν cum app. font. ‖ **37–43** ἔπειτα – ἀποπτάμεναι: cf. Psel. Περὶ χαρακτήρων συγγραμμάτων τινῶν 49,29–50,2 περὶ τὰ τοιαῦτα τῶν βιβλίων ἐφιπτάμην, ἀφ' ὧν δρόσος καὶ πίννα καὶ ἄνθος τὸ συλλεγόμενον καὶ κειρόμενον ἦν, Π 61,4–6 αὐτοὶ καθιοῦμεν ἀνθολογοῦντες ἀεὶ ὥσπερ αἱ μέλισσαι καὶ τὴν τοῦ μέλιτος ἐργασίαν ἐξεργαζόμενοι, Π 125,87–90 ἐνίοτε δὲ ὥσπερ αἱ μέλισσαι τὰ ἄνθη τῆς τέχνης περιπετόμενος καὶ περιβομβῶν ταῦτα καὶ κείρων τῆς μελιτουργοῦ πόας, οὕτω τοὺς σίμβλους ὑποδύομαι καὶ τὰ ἄνθη μέλι ποιῶ, et Π 459,15 τὴν δ' ἐμμελῆ τοῦ λόγου συνθήκην ὥσπερ αἱ μέλιτται τὰ κηρία ἔτι περιέπομέν τε καὶ περιϊπτάμεθα. cf. etiam Π 58,27–34, Π 247,19–22, et Π 376,68–71 ‖ **48** ἦσάν ποτ' – Μιλήσιοι: proverbium, CPG I 152 (nr. 80); cf. Synes. Cyren. Epist. 81,10 et Suda η 572 ἦσαν, πότ' ἦσαν ἄλκιμοι Μιλήσιοι: παροιμία ἀπὸ χρησμοῦ. ἐπὶ τῶν ποτε εὖ, εἶτα ἑτέρως γεγονότων et π 61 πάλαι ποτ' ἦσαν ἄλκιμοι Μιλήσιοι: ἐπὶ τῶν ποτε ἀκμασάντων, νῦν δὲ ἀσθενῶν ὄντων. cf. Π 208,55 ‖ **49–51** καὶ πέπονθα – ὀνόματος: Synes. Cyren. Epist. 136,7–14 ὡς οὐδὲν ἔχουσιν αἱ νῦν Ἀθῆναι σεμνὸν ἀλλ' ἢ τὰ κλεινὰ τῶν χωρίων ὀνόματα. καθάπερ ἱερείου διαπεπραγμένου τὸ δέρμα λείπεται γνώρισμα τοῦ πάλαι ποτὲ ζῴου, οὕτως, ἐνθένδε φιλοσοφίας ἐξῳκισμένης,

33 γε dubitanter supplevi: δὲ suppl. S ‖ **46** καί dubitanter suppl. S

ταὐτὸν ταῖς Ἀθήναις· κἀκεῖσε γὰρ ἐν σκιαῖς ἡ Ἀκαδημία, καὶ ἡ 50
Ποικίλη τοῦ Χρυσίππου Στοά, καὶ τὸ Λύκειον μέχρις ὀνόματος·
οὕτω γὰρ κἀμοί, τὰ μὲν ὀνόματα τῶν ἐπιστημῶν ἐμμεμένηκε, καὶ
τὸ τῆς φιλοσοφίας ἐξαίρετον, τὰ δ' ἐφ' οἷς ταῦτα αἱ περιστάσεις
ἀφείλοντο.

Καὶ βούλεται μὲν ἡ τοῦ κρατίστου βασιλέως διάθεσις, π[ρός] 55
ἡμᾶς χρηστοτάτη καὶ ἔμφυτος, ἀντίρροπος εἶναι ὥσπερ ἐπὶ ζυγοῦ
τοῖς πολλαχόθεν ἡμῖν δεινοῖς ἐπιρρέουσιν· ἀλλ' ἥ τε ἀντίσταθμος
πλάστιγξ λίαν ἰσχυρῶς ἑτεροζυγεῖ, καὶ μόνης ἑαυτῆς τὴν ἐμὴν
ποιεῖται [ψυχήν].

Καὶ ἵνα δὴ τὰ ἐνταῦθα ἐάσω, ποδαπόν μοι εἰς συμφορὰν ὅτι 60
σοῦ καὶ τοῦ ἀδελφοῦ τῆς καλλίστης συζυγίας ἐστέρημαι, ἣν
οὐδεμιᾶς εὐδαιμονίας ἡστινοσοῦν ἀνταλλάττομαι; Ποδαπὸν τὸ μὴ
ἔχειν ὁμιλεῖν [δὴ] βιβλίῳ Πλατωνικῷ (λέγω δὲ οὕτω φιλοσοφίαν
ξύμπασαν), μήτε Δημοσθενικῷ (ἵνα τὴν ἀντίθετον τέχνην ὁμοίως
ἐρῶ); Ποδαπὸν τὸ μὴ ἔχειν ὁρᾶν τὰ φίλτατα; Ἢ οὐκ οἶσθα ὅτι 65

λείπεται περινοστοῦντα θαυμάζειν τὴν Ἀκαδημίαν τε καὶ τὸ Λύκειον καὶ νὴ Δία τὴν Ποικίλην Στοάν, τὴν ἐπώνυμον τῆς Χρυσίππου φιλοσοφίας, νῦν οὐκέτ' οὖσαν ποικίλην (cf. etiam Epist. 54,12–15). cf. Π 323a,1–5
55 τοῦ – βασιλέως: Romanus IV Diogenes (imperator: 1.I.1068 – a. 1071) (Π XIV) ‖ **61** τοῦ ἀδελφοῦ: Nicephorus (Π XXXI) |τῆς – συζυγίας: cf. Π 107,20 τῇ καλλίστῃ συζυγίᾳ cum Greg. Naz. Εἰς τὸν μέγαν Βασίλειον ... = Or. 43,80 τῆς μεγάλης ... συζυγίας | τῆς – ἐστέρημαι: Greg. Naz. Εἰς τὸν μέγαν Βασίλειον ... = Or. 43,80 τῆς μεγάλης ἀπερρωγὼς συζυγίας. cf. etiam Psel. Ἐπιτάφιος εἰς τὴν ἑαυτοῦ μητέρα 907, et Π 117,8–10, Π 201,40–41, et Π 360,9; cf. etiam Π 538,8–9 ‖ **65** τὰ φίλτατα: cf. Π 127,41, Π 128,45, Π 160,7, Π 201,79, et infra l. 92; cf. etiam Π 282a,23 μνημόνευέ μου καὶ τῶν παίδων τῶν λογικῶν? ‖ **65–66** οὐκ – καθέστηκε: cf. Plat. Θεαίτητος 194c5–d3 ὁ κηρός του ἐν τῇ ψυχῇ ... εἰσὶν οἱ τοιοῦτοι πρῶτον μὲν εὐμαθεῖς, ἔπειτα μνήμονες. cf. Π 128,43–45 ἡ φύσις ὥσπερ τις κηρὸς ἁπαλὸς καὶ εὐτύπωτος καὶ τῶν μαθημάτων συνέσχε τὰ κάλλιστα, καὶ τὰς τῶν φιλτάτων χάριτας ἀναμάττεται cum Psel. Ὑπὲρ τοῦ νομοφύλακος κατὰ τοῦ Ὀφρυδᾶ = Or. for. 3,203–225 ... ὅπερ παίζων ὁ Πλάτων φησίν, ὁ τῆς ψυχῆς κηρὸς αἴτιος· ἔστι γὰρ ἐν ἑκάστῳ κηρὸς ὥσπερ τύπους δεχόμενος τὰ μαθήματα ... etc., Psel. Ἐπιτάφιος εἰς Νικήταν μαΐστωρα τῆς σχολῆς τοῦ ἁγίου Πέτρου = Or. fun. I 4,8,1–3 οὕτως εὐάγωγος ἦν τὴν ψυχὴν οἷόν τις κηρὸς εὔπλαστος καὶ εὐκίνητος, μήτε ἁπαλὸς ἄγαν καὶ διαρρέων μήτε σκληρὸς καὶ ἀντίτυπος,

55 πρὸς dubitanter suppl. S ‖ **59** ψυχὴν supplevi ‖ **63** δὴ dubitanter supplevi (cf. Π 111,43–44 θαμά τε γὰρ ὁμιλῶ τοῖς βιβλίοις): ἐν suppl. S

μοι εὐτύπωτος ἡ ψ[υχὴ] πρὸς τὰς τοιαύτας ἕξεις καθέστηκε, καί
με μᾶλλον αἱ μνῆμαι τούτων οὐ παραμυθοῦνται, ἀλλ' ἀτεχνῶς
[βα]σανίζουσι; Μὴ γάρ με συγκρίνῃς πρὸς τοὺς ἀδαμαντίνους καὶ
ἀτεράμονας· ἐγὼ γάρ, πρὸς μὲν φιλοσοφίαν [ἥρ]μοσα τὴν ψυχήν,
70 τῆς δ' ἐμφύτου ἕξεως οὐ μεθήρμοσα· ἀλλά μοι τὸ πνεῦμα, εἴτε τὸ
φανταστικόν, εἴτ' ἄ[λλο] τι ᾧ πρώτως ἐποχεῖται ψυχή, λεπτὸν
μὲν ἴσως, οὐκ ἀντίτυπον δέ, ἀλλὰ μαλθακόν, ὥστε καὶ φιλοσοφίᾳ
καὶ φιλίᾳ κοιλαίνεσθαι (νὴ τὴν ἱεράν σου καὶ θείαν ψυχήν!).

ἀλλὰ δικαιότατος τὴν τῶν ἠθῶν ἁρμονίαν, Psel. Ἐγκώμιον εἰς τὸν ... Ἰωάννην τὸν Κρουστουλᾶν ἀναγνόντα ἐν τῇ Ἁγίᾳ Σορῷ = Or. min. 37,126–127 τοῦτο δὲ πάντως ψυχῆς εὐτυπώτου πέφυκεν ἀποτέλεσμα καὶ γνώμης εὐείκτου πρὸς πάντα τὰ κάλλιστα, Psel. Εἰς ... Κωνσταντῖνον τὸν Μονομάχον = Or. pan. 6,203–207 ... σοι τὰ μαθήματα. οὕτω σοι τὴν φύσιν ἁπαλὴν ὁμοῦ καὶ στερέμνιον ὀξεῖ [.........] ἄτιμον ὅπλ[ισμα] ἐδημιούργησεν ἐκεῖνο διὰ τὸ τῶν προσαγομένων εὐτύπωτον, τοῦτο διὰ τὸ τῶν [........] μνημονικὸν καὶ κάτοχον. cf. etiam Π 492,59–60 et Papaioannou 2013,103 et 144

68 τοὺς ἀδαμαντίνους: cf. Synes. Cyren. Δίων 8,5 οἱ δὲ τὴν ἑτέραν ὁδὸν τὴν ἀξιουμένην ἀδαμαντίνην εἶναι βαδίσαντες cum Hes. Ἔργα καὶ ἡμέραι 143–147 ἄλλο γένος μερόπων ἀνθρώπων ... ἀδάμαντος ἔχον κρατερόφρονα θυμόν, Plat. Πολιτεία 360b5 οὕτως ἀδαμάντινος, et Greg. Naz. Ἀπολογητικός = Or. 2,63 τίς οὕτω τολμηρὸς καὶ τὴν ψυχὴν ἀδαμάντινος. cf. Π 128,45–46 et Π 202,30 ‖ **68–69** τοὺς – ἀτεράμονας: cf. Π 128,16–17 θάτερον δὲ μέρος Σκυθικόν καὶ ἀτέραμνον. cf. etiam Psel. Ἐγκώμιον εἰς τὴν ἀποτομὴν ... Ἰωάννου = Or. hag. 8,396–397 εἴτε τὸ τῶν ἐθνῶν ἀτέραμνον, οὐ πολλῷ τῆς λίθων ἀντιτυπίας μανώτερον cum Εἰς τὸ 'προέκοπτεν ὥσπερ ἡλικίᾳ ...' = Theol. I 81,99 τὰς ἀντιτύπους καρδίας καὶ ἀτεράμονας ‖ **70–72** ἀλλά – μαλθακόν: Synes. Cyren. Περὶ ἐνυπνίων 6,2–3 τὸ φανταστικὸν πνεῦμα ... τὸ πρῶτον αὐτῆς καὶ ἴδιον ὄχημα, ἀγαθυνομένης μὲν λεπτύνεται καὶ ἀπαιθεροῦται. cf. Psel. Ὑπὲρ τοῦ νομοφύλακος κατὰ τοῦ Ὀφρυδᾶ = Or. for. 3,402–405 ἀλλ' ὁ μὲν λεπτοτέραν ταύτην ἐκτήσατο, τοῦ φανταστικοῦ πνεύματος ἀερώδους ὑποκειμένου αὐτῷ, ὁ δὲ παχεῖαν αὐτὴν ἐδυστύχησε καὶ περιττότερον τον ἐγκέφαλον et Εἰς τὸ 'ἐπλήσθησαν οἱ ἀπόστολοι ...' = Theol. I 74,130–131 ὅστις δὲ τῷ φανταστικῷ τῆς ψυχῆς ὀχήματι τὰ θεῖα φαντάζοιτο

66 ψυχὴ suppl. S ‖ **68** βασανίζουσι suppl. S ‖ **69** ἥρμοσα suppl. S ‖ **71** ἄλλο dubitanter suppl. S

Ὥσπερ οἱ τὰς ἀκτῖνας τῶν ὄψεων ἀσθενεῖς δο[κοῦ]σί τι πρόσωπον ἔξωθεν ὁρᾷν ἀτενές, ὁρῶσι δὲ οὐκ ἄλλό τι ἢ τὸ οἰκεῖον 75 ἀντανακλώμενον, οὕτω δὴ [καὶ σὺ] ἐνώπιος ἵστασαι μετὰ τῶν ὀφθαλμῶν ἐκείνων, μετὰ τοῦ εὐπρεποῦς γέλωτος, μεθ' ὅσης τῆς χάριτος· τὴν δὲ [αὐτήν] σοι χώραν τῆς ἐμῆς ψυχῆς καὶ ἅτερός μοι κατέχει ἀνεψιός. Καί μοι ἐκκέχυται πρὸς ἀμφοτέρους ὑμᾶς ἡ ψ[υχὴ] καὶ τὰς ἀμφοῖν ὥσπερ ἀντικεχυμένας εἰσδέχομαι. 80

Καὶ βουλοίμην μὲν ἀεὶ μιᾷ γε ἐπιστολῇ ἀμφοτέρους ἑνοῦν διὰ τὴν τῆς φύσεως σύμπνοιαν, ἢ δυσὶ διαιρεῖν διὰ τὴν τῶν σωμάτων διάστασιν, ἀντιπεριάγομαι δὲ τ[ῷ] βουλήματι, πολλαῖς ταῖς ἐνταῦθα παρατροπαῖς. Διὰ ταῦτά μοι συγγνώμην δοίητε εἰ μήτε πολλὰς ὑμῖν ἐπιστέλλω ἐπιστολάς, μήτε μίαν μὲν χαρίεσσαν δέ· 85 ὥσπερ γὰρ ἡ καθ' Ἡσίοδον Δίκη, οὕτω δὴ κἀμοῦ τῆς ψυχῆς αἱ τῶν λ[όγων] ἀπέπτησαν χάριτες. Εἰ μὲν οὖν αὖθις τῆς ἀρχαίας ἑστίας μεμνήσονται, κοινωνήσομεν καὶ ὑμῖν τοῖς φιλτάτοις τὸ ἕρμαιον· εἰ δ' οὖν, δυνήσεσθέ μοι καθάπερ αἱ μέλισσαι καὶ ἀπὸ τοῦ

74–76 ὥσπερ – ἀντανακλώμενον: cf. Plat. 255d4–6 οἷον ἀπ' ἄλλου ὀφθαλμίας ἀπολελαυκὼς πρόφασιν εἰπεῖν οὐκ ἔχει, ὥσπερ δὲ ἐν κατόπτρῳ ἐν τῷ ἐρῶντι ἑαυτὸν ὁρῶν λέληθεν. cf. Π 58,45–46 εἶδες ἐν κατόπτρῳ τὸ σὸν πρόσωπον, Π 134,56–57 ἵνα σε μᾶλλον μυωπίσω πρὸς τὸ ποθούμενον, et Π 170,28–29 ὀφθαλμιῶν πρὸς ἡμᾶς ταῖς τῆς φιλίας ὑπερχύσεσιν ἢ προσχύσεσιν ‖ **78** τὴν – ψυχῆς: cf. Psel. Ἐγκώμιον εἰς … Κωνσταντῖνον … Λειχούδην = Or. fun. I 2,7,49 ἡ χώρα τῆς ψυχῆς. iunctura Pselliana in Mich. Ital. Or. 43 (265,14–15) τὴν μέσην τῆς ψυχῆς χώραν δέδωκας, Nic. Eugen. Ἀνάχαρσις ἢ Ἀνανίας 940 τὴν μέσην χώραν τῆς ψυχῆς ἐχαρίσατο, et in Mich. Chon. Epist. 15,14 ὡς ἐν μέσῃ τῇ χώρᾳ τῆς ψυχῆς ὅλους φέρων ἡμᾶς, et 59,15–16 τὴν μέσην τῆς ἐμῆς ψυχῆς χώραν ἀπεκληρωσάμην σοι laudata est? **78–79** ἅτερός – ἀνεψιός: Nicephorus (Π XXXI), frater Constantini **79–80** καί μοι – ψυχή: cf. Π 282a,14 et 282b,13–14 ὡς ἐκκέχυταί μοι … ἐπ' αὐτῶν ἡ ψυχή. iunctura Pselliana in Eumath. Macremb. Τὸ καθ' Ὑσμίνην καὶ Ὑσμινίαν δρᾶμα 11,17,24 ἐγὼ δ' ὅλην ὑφ' ἡδονῆς ἐκκέχυμαι τὴν ψυχήν, Nic. Chon. Χρονικὴ Διήγησις 444,23–24 πρὸς δέ γε τὴν θεομήτορα τοσαύτην ἔτρεφε πίστιν, ὡς καὶ τὴν ψυχὴν ἐκκεχύσθαι ταῖς εἰκόσιν αὐτῆς laudata? **82** τὴν[1] – σύμπνοιαν: cf. Greg. Naz. Λόγος θεολογικὸς τρίτος, περὶ Υἱοῦ = Or. 29,2 φύσεως ὁμοτιμία συνίστησι, καὶ γνώμης σύμπνοια ‖ **86** ὥσπερ – Δίκη: Hes. Ἔργα καὶ ἡμέραι 224 οἵ τέ μιν (scil. Δίκην) ἐξελάσωσι

74 δοκοῦσί supplevi (cf. Malt[5],255) ‖ **76** καὶ σὺ dubitanter suppl. S ‖ **78** αὐτήν dubitanter supplevi ‖ **80** ψυχὴ suppl. S ‖ **83** τῷ suppl. S ‖ **87** λόγων suppl. S

90 θύμου ὧν ἐργάζομαι νῦν ἐπιστολῶν μέλιτός τι ἐνστάζειν ταῖς ὑμετέραις ψυχαῖς.

Μέμνησθέ μου τῆς παρακαταθήκης· τίς αὕτη; τὰ φίλτατα.

119. Κωνσταντίνῳ, ⟨τῷ ἀνεψιῷ τοῦ πατριάρχου Μιχαήλ⟩
ex Cappadociae, aestate a. 1069, militiis ab Romano IV Diogene inceptis; post Π 118 et Π 135? ante Π 23

Sni [C, p², t, a⁷, b], C-M 2

Οἶδα ὅτι ἐρᾷς ἐπιστολῶν ἐμῶν, καὶ συχνῶν, καὶ καλῶν, ὦ τέκνον σοφίας ἐπήρατον· καὶ πῶς γὰρ οὐ μέλλεις, ὑφ' ὧν ἐτράφης πρὸς παίδευσιν, καὶ ἃ τῶν ἄλλων προέκρινας; Ἐγὼ δὲ ἔοικα μὴ δύνασθαι νῦν ἐμπλῆσαί σου τὴν ψυχὴν τοῦ ἐραστοῦ τούτου δὴ 5 πράγματος, καὶ παραμυθήσασθαί σου τὸν ἔρωτα: πρῶτον μὲν ὅτι μοι καὶ ἡ χεὶρ (ὥσπερ δὴ οἱ τοὺς πίνακας γράφοντες) ἀργοτέρα πῶς ἐγεγόνει τῷ χρόνῳ πρὸς τὰς τῶν λόγων μορφάς· ἔπειτα δὴ καὶ τὸ γόνιμον ἐκεῖνο καὶ εὔτονον τῆς ψυχῆς, ἀμβλύτερον μὲν ἴσως οὐκ ἐγεγόνει (τί γὰρ δεῖ μὴ τἀληθῆ λέγειν;), ἀλλ' ἐπέσχον 10 τὴν γνώμην ὠδίνουσαν τὰ ἐνταῦθα δεινά (ἐπεγείρεται γὰρ ἀεί μοι κῦμ' ἐπὶ κύματι)· καί μοι τὸ σῶμα ὅλον καταβελὲς ἤδη, κἂν οὔπω βέβλητο.

92 μέμνησθέ – φίλτατα: Greg. Naz. Συντακτήριος = Or. 42,27 (peroratio) τεκνία, φυλάσσοιτέ μοι τὴν παρακαταθήκην· μέμνησθέ μου τῶν λιθασμῶν τὰ φίλτατα: cf. Π 127,41, Π 128,45, Π 160,7, Π 201,79, et supra l. 65; cf. etiam Π 282a,23 μνημόνευέ μου καὶ τῶν παίδων τῶν λογικῶν? ‖ **5–10** πρῶτον – δεινά: cf. Π 23,85–107 δέδοικα δὲ μὴ τὸ κύκνειον ᾄδω μέλος, ἐξόδιον ὑμῖν ᾠδὴν ἁρμοζόμενος ... ἐμοὶ δὲ ὅσῳ ἐμβριθὴς ἡ φύσις τοῦ σώματος, τοσούτῳ καὶ ἀσθενής ‖ **11** κῦμ' – κύματι: proverbium; cf. Heliod. Αἰθιοπικά 5,20,1 κῦμα φασὶν ἐπὶ κύματι προσέβαλλεν ὁ δαίμων

ep. 119 C 194r–195v, a⁷ 89r–90v (= C-M), a⁹ (= C-M), b² 222r–226r (= C-M), p² 111r–113r (= C-M), t 115r–117r (= C-M); tit. scripsi: τοῦ αὐτοῦ, Κωνσταντίνῳ C Sni τοῦ αὐτοῦ, Κωνσταντίνῳ ἀδελφῷ C-M ‖ **2** ἐτράφεις C ‖ **3** δὲ C Sni: δ' C-M ‖ **6** δὴ C Sni: δὲ C-M ‖ **7** ἴσως post ἐγεγόνει in marg. suppl. C | τῷ χρόνῳ C-M Sni: κρατοῦσα τῷ χρόνῳ C ‖ **9** μὴ C Sni: μὲ C-M ‖ **10** ὠδείνουσαν C-M **11** κῦμα ἐπικύματι C-M | ὅλον C Sni: ὅσον C-M | καταβαλὲς C-M

Τέως γὰρ ἀφόρητόν τί μοι ἐδόκει κακὸν ἡ ἄμετρος ἐνταῦθα περιαγωγή, καὶ τὸ μὴ ἵστασθαί με, ἀλλ' ἀεὶ ἐλαύνεσθαι, καὶ οὐδὲ διὰ ῥᾳδίας, οὐδὲ διὰ λείας καὶ τετριμμένης, ἀλλὰ νῦν μὲν διὰ 15 βαθείας φάραγγος, αὖθις δὲ δι' ὀρέων ὑπερνεφῶν, αἵματί τε ποταμῶν κεχραμένων καὶ ἐφελκομένων τῷ ῥεύματι· ταῦτα δή, καὶ τὰ τούτων δεινότερα. Νῦν δέ μοι ξύμπαντα ταῦτα μέτριά τε καὶ ἀτεχνῶς ἱλαρά, καὶ ἐλάνθανον τέως ἐν παραδείσῳ τρυχόμενος.

Τὰ δέ γε νῦν παρεστῶτα, πῶς ἂν διηγησαίμην, τριπόθητε 20 ἀδελφέ; ἐοίκαμεν γὰρ ἄντικρυς κατακρίτοις καὶ ἀπαγομένοις εἰς θάνατον. Περικάθηντο γὰρ ἡμᾶς κύκλωθεν οἱ πολέμιοι, πρὸς οὓς ἀφικνούμεθα· καὶ τῶν ἄλλων ἀποδειλιασάντων πρὸς τὴν ἐπαγωγὴν τοῦ κακοῦ, μόνος θαρρεῖ τοῦτο ὁ βασιλεύς, καὶ οὐδὲν αὐτῷ πρᾶγμα εἰ καὶ μόνος ἐκείνων ταῖς χιλιάσιν ἀντισταίη, καὶ 25 μυριάσι· τὸ γὰρ γενναῖόν τι πρᾶγμα καὶ τοῖς πράγμασι λυσιτελὲς ἐργάσασθαι μυρίων θανάτων ἀνταλλάττεται· κἀμοὶ βραχύ τι καθίσταται ἡ ψυχή, ἐπειδὰν ὑπὸ προπυργίῳ τούτῳ καὶ βαδίζω καὶ ἵσταμαι.

Ἀλλ' αὖθις ταράττομαι πρὸς ἑτέραν δὴ ἀκοήν· καὶ (νὴ τὴν 30 ἱεράν σου ψυχήν!) εἰ μὴ ὁ καλὸς Ἰασίτης, ὁ πάντα ἐμοὶ ἐράσμιος καὶ θαυμάσιος, καθίστα τέως τὰ κυμαίνοντα πράγματα, καὶ τὴν φορὰν τῶν δεινῶν ἐπεῖχε, καὶ τὴν ἐπάνοδον ἡμῖν ἡτοιμάζετο πόρρωθεν, ὁποῖος δὴ οὗτος τοῖς ἀπόροις πόρους προσμηχανώμενος, καὶ ἱλαρᾷ γλώττῃ βραχύ τι πρᾶγμα ἀναχωννύς, αὐτίκα ἂν 35 ἐτεθνήκειν.

Ἀπὸ δὴ τοιαύτης ψυχῆς τί ἂν ἀκούσαις ἡδύ, φιλτάτη ψυχή; ἀπερρύη γάρ μοι ἄντικρυς εἴ τί μοι δὴ καὶ πρώην συνείλεκται· καί σοι ἡ καλὴ ἐκείνη γλῶττα, ἧς ἐραστὴς ἐτύγχανες ὤν, καὶ ἀφ' ἧς οὐδὲν πίπτειν χαμάζε ἐβούλου, ἀλλὰ καὶ πίπτον ἴσως χαμόθεν 40 ἀναλαμβάνειν ᾐροῦ, κατέψυκται ἄντικρυς, καὶ αὐχμὸν ἀγροικίας

24 ὁ βασιλεύς: Romanus IV Diogenes (imperator: 1.I.1068 – a. 1071) (Π XIV)
31 ὁ[1] – Ἰασίτης: (Leon?) Iasites (Π XXIII)

14 μὴ C Sni: μὲν cum ἡ supra l. C | ἐλαύνεσθε ante corr. C ‖ **17** κεχραμένων corr. Sni: κεχραμμένων C C-M ‖ **20** διηγησαίμην corr. Sni: διηγησαίμι C διηγησαῖμι C-M | τριπόθειτε C-M ‖ **26** λυσιτελὲς C-M Sni: λυσιτελὴς C **27** ἀνταλλέττεται C-M ‖ **33** ἑτοιμάζετο C-M ‖ **34** πόρος C-M **34–35** προσμηχανώμενος corr. Sni: πρὸς μηχανώμενος C προσμηχανόμενος C-M ‖ **38** ἀπορρύη C-M | συνήλεκται C-M ‖ **40** χαμᾶζε … πῖπτον Sni

περίκειται. Εἰ δέ τι καὶ ὡραῖον ἐν ταῖς εἰκόσι (λέγω δὲ οὕτω τοὺς λόγους τούτους), οὐ παρὰ τὴν ἐμὴν χάριν καὶ δύναμιν, ἀλλὰ τὴν πρὸς σέ μοι φιλίαν, δι' ἣν δοκεῖ μοι κἂν ἐξ Ἅιδου φωνὴν ἀφεῖναι
45 χαρίεσσαν (εἰ μὴ τῶν ἐν Ἅιδου τὰ τῆδε καταπολὺ σκυθρωπότερα).

Ἀλλὰ πότε σὲ καὶ τὴν ξύμπασάν σου θεασαίμην οἰκίαν, τὸ τιμιώτατόν σοι τῆς πλευρᾶς τμῆμα, τὸν μαθητήν, τὸν βεστάρχην, τὸν βέστην, τὸν ἄρτι τῶν σπαργάνων λυθέντα πατρίκιον, τὸν πρῶτον περὶ σὲ κύκλον, τὸν δεύτερον, καὶ εἴ τις τρίτος, καὶ τὸν
50 περὶ τὸν ἱππῶνα, καὶ τὸν ἰπνόν; Ἀλλὰ πότε ταῦτα ὑμῖν ἀποκαθιστάμενος φθέγξομαι; νῦν γὰρ ἀπάγομαι, νῦν ἀπελαύνομαι ἔτι καὶ πόρρω Καισαρείας· ἀφ' ἧς ἀνακάμψω καὶ πρὸς ὑμᾶς βαδιοῦμαι, καὶ τὼ χεῖρέ ποτε ὡς σταδιοδρόμος ἀρῶ.

120. Ἐπιστολὴ πρώτη πρὸς τὸν πρωτοπρόεδρον κῦρ Κωνσταντῖνον τὸν δρουγγάριον
ca. a. 1073/1074

S 1 [P], C-M 3

Αὐθέντα μου καὶ ἀνεψιέ, ἐπίφθονόν τι χρῆμα (ὡς καὶ αὐτὸς οἶσθα) φιλοσοφία τε καὶ φιλόσοφος· λέγω δὲ τοῦτο τρόπον ἕτερον, οὐχ ὡς ζηλούμενα, ἀλλ' ὡς βασκαινόμενα· καὶ τοξεύουσιν ἐπ' αὐτὰ οὐχ αἱ βάσκανοι μόνον γλῶτται, ἀλλ' ἔστιν οὗ καὶ αἱ σεμναὶ καὶ

49–50 τὸν[2] – ἰπνόν: Synes. Cyren. Περὶ βασιλείας 20,16 καὶ ὁ τραπεζοποιός, καὶ ὁ περὶ τὸν ἰπνόν et Π 117,89–90 ‖ **52** Καισαρείας – ἀνακάμψω: cf. Π 23,101–103 διὰ ταῦτα ἐμοὶ μὲν καμπτῆρος ἡ τοῦ δρόμου γέγονε ξύντασις· οὕτω γὰρ ἐγὼ καλῶ τὴν Καισάρειαν, ἔνθεν αὐτὸς τὸν δρόμον ἀνέλυσα

45 χαρίεσα C-M | τῶν bis C-M ‖ **46** θεάσαιμι C-M ‖ **48** Πατρίκιον C C-M **49** κῦκνον C-M ‖ **50** ἴπωνα C-M | ἰπνόν scripsi (cf. app. font.): ἴπωνον C ἵπωνον C-M ἰπνῶνα corr. Sni ‖ **51** φθέξομαι C | ἀπάγωμαι C-M ‖ **ep. 120** P 189r–v, C 195v–197v, p[2] 113r–116r (= C-M), t 117r–121r (= C-M), a[7] 90v–92r (= C-M), b[2] 226r–233r (= C-M), a[9] (= C-M); tit. scripsi: τοῦ Ψελλοῦ, ἐπιστολὴ πρώτη πρὸς τὸν πρωτοπρόεδρον κῦρ Κωνσταντῖνον τὸν δρουγγάριον P τοῦ αὐτοῦ τῷ αὐτῷ (= Κωνσταντίνῳ) εἰς ἀρραβῶνα κληθέντος C τοῦ αὐτοῦ πρὸς τὸν αὐτὸν (= Κωνσταντῖνον ἀδελφὸν) εἰς ἀρραβῶνα κληθέντος C-M τοῦ Ψελλοῦ, ἐπιστολὴ πρώτη πρὸς τὸν πρωτοπρόεδρον κῦρ Κωνσταντῖνον τὸν Δρουγκάριον S ‖ **1** αὐθέντα μου καὶ ἀνεψιέ P S: ἀφθέντα μου καὶ ἀδελφέ C C-M ‖ **3** αὐτὰ P S: αὐτὸν C C-M ‖ **4** γλῶτται P C S: om. C-M

ἐπιεικεῖς, αἱ μὲν ὡς βασκαίνουσαι τῷ καλῷ, αἱ δὲ ὡς τὸ δοκεῖν 5
ἀντέχεσθαι τοῦ καλλίονος. Ἐγὼ δὲ φιλόσοφος μὲν ἴσως οὐκ εἰμί,
οὐδέ μοι τῆς ἱερᾶς ἐπιστήμης μέτεστιν οὐδ᾽ ὁτιοῦν· φιλοσόφου δὲ
δόξαν παρὰ τοῖς πολλοῖς ἔσχηκα. Καί με ἀξιοῦσιν οἱ πλείους,
μηδὲ τῆς γῆς ἅπτεσθαι τοῖν ποδοῖν. Περιεργάζονται δέ μοι καὶ
προόδους, καὶ λογικὰς συνουσίας, καὶ εἰ δευρὶ τὴν χεῖρα, ἀλλὰ μὴ 10
δευρὶ μετήνεγκα, καὶ εἰ τὰς ἀρχὰς τῶν ὑποκειμένων ζητῶ·
βούλονται γάρ με ἀπρὶξ ἔχεσθαι τῶν ὑποθέσεων, καὶ σπαράττειν

8–15 *καί με – ὁδόν*: cf. Π 251,6–25 τὰ δὲ ἡμέτερα τούτοις πᾶσιν ἀντίρροπα, καὶ ἔτι βαρὺς ὁ κανών: μὴ θίξαι, μὴ γρύξαι, μὴ ἐς θέατρον παρακύψαι, μὴ ἰδεῖν κυνηγέσιον, μὴ παρατυχεῖν ἀκοντίζουσι, μὴ παραγενέσθαι τοξεύουσιν, ἀλλ᾽ οἴκοι καθῆσθαι· μᾶλλον δὲ μηδὲ οἴκοι, μηδὲ καθῆσθαι, ἀλλ᾽ ἐπ᾽ ἀλλοτρίας ἑστάναι· ἢ μηδὲ τοῦτο, ἀλλὰ κύπτειν ἀεί, καὶ ἀποτυλοῦν τὸ γόνυ, καὶ ἀπολιθοῦν τὸν δάκτυλον. σὺ δὲ οὔτε τῶν σῶν ἡμῖν μεταδίδως, οὔτε τῶν ἡμετέρων μεταλαμβάνεις. ἀδικεῖς οὖν τὸ φίλτρον, καὶ συγχεῖς ὅρια φιλίας κοινά. πρὸς θεοῦ, «ἔραμαι κυσὶ θωΰξαι» (τοῦτο δὴ τῆς τραγῳδίας τὸ ἔπος)· ἔραμαι μέν, ἀλλά μοι ὁ ἔρως ἀτέλεστος. τίς ὁ καινὸς ἡμῖν νομοθέτης; τίς ὁ βαρὺς ζυγός, καὶ δεσμός, καὶ ἡ ἐργώδης αὕτη ζωή, καὶ ἡ τῶν ἐπιταγμάτων ἀνάγκη; γλυκὺς ὁ τῆς ὀπώρας καρπός· ἀλλὰ μὴ λάβῃς. ἡδὺ τὸ τῆς πηγῆς πόμα· σὺ δὲ μὴ πίῃς. εὐανθὴς ὁ λειμών· ἀλλὰ μὴ προσέλθῃς. τὸ θέατρον ἡδεῖα διατριβή· ἀλλὰ μὴ δώσῃς πρὸς τοῦτο τὸν ὀφθαλμόν. ἡ θήρα χρῆμα ἐπιτερπές· ἀλλὰ μὴ ἴδῃς ἐκθορόντα λαγωόν, μηδὲ κύνα διώκοντα, μηδ᾽ ἄλλο τι τῶν καταθελγόντων ψυχήν. δέδοικα μὴ καὶ τὴν γῆν ἡμᾶς ἀφαιρήσωσιν οἱ νομοθετοῦντες, μὴ καὶ τῆς ἀναπνοῆς τοῦ ἀέρος ἀπείρξωσι ‖ **10–11** *εἰ – μετήνεγκα*: Dem. Περὶ στεφάνου = Or. 18,232 εἰ τουτὶ τὸ ῥῆμα, ἀλλὰ μὴ τουτὶ διελέχθην ἐγώ, ἢ δευρὶ τὴν χεῖρα, ἀλλὰ μὴ δευρὶ παρήνεγκα. cf. etiam Longin. Τέχνη ῥητορικὴ 553,5–6 δευρὶ τὴν χεῖρα, ἀλλ᾽ οὐ δευρὶ μετήνεγκεν et Anon. Προλεγόμενα τῶν Στάσεων 242,14–15 παρὰ τῷ Δημοσθένει ἐν τῷ Ὑπὲρ Κτησιφῶντος εἰρημένου «εἰ δευρὶ τὴν χεῖρα ἀλλὰ μὴ δευρὶ μετήνεγκα» ‖ **11** *τὰς – ὑποκειμένων*: cf. Simplic. In Phys. 50,8–9 et 30 et Π 202,72 ‖ **12–13** *σπαράττειν – διαιρεῖν*: cf. Psel. Ἐπιτάφιος εἰς … Ἰωάννην τὸν Ξιφιλῖνον = Or. fun. I 3,6,34–36 ὡς οἱ πολλοί γε νῦν … οὐ διαιροῦσι τοὺς νόμους, ἀλλὰ σπαράττουσιν, οὐδὲ τέμνουσιν ὡς δεῖ τέμνειν, ἀλλὰ διαξαίνουσι. cf. etiam Π 132,28–29

7 οὐδοτιοῦν C-M ‖ **12** βούλονται P C S: καὶ βούλονται C-M

αὐτάς, ἀλλὰ μὴ κατ’ ἄρθρα διαιρεῖν. Καὶ νομοθετοῦσιν οἷ
βαδιστέον ἐμοί, καὶ ὅθεν, καὶ πηνίκα, καὶ ὅσον, Σαββάτου μοι
15 ὥσπερ παραμετροῦντες ὁδόν. Καὶ οὐκ ἴσασιν ὅτι τοῦ φιλοσόφου,
τὰ μὲν ἀπεῖναι δέον ὁπόσα λυμαίνεται τῷ σκοπῷ, τὰ δ’ ἐξ
ἀνάγκης τούτῳ συμπέφυκε, τὰ δ’ αἱ φιλίαι καὶ αἱ διαθέσεις αὐτῷ
προστιθέασι, καὶ ὡς χρὴ τοῦτον καὶ τὰ ἐκ τῶν χαρίτων μυεῖσθαι,
καὶ τὰ μὲν ὑπόσεμνον εἶναι, τὰ δὲ ἀνεῖσθαι ταῖς χάρισιν.
20 Ἐχρῆν μὲν οὖν μὴ πρὸς τὰς ἑτέρων ζῆν ὑπολήψεις, μηδὲ
ζυγοστατεῖσθαί με ἀλλοτρίαις χερσίν, ἀλλ’ αὐτὸν ἑαυτῷ κανόνα
καὶ στάθμην καθίστασθαι. Ἀλλ’ ἵνα μὴ κἂν τούτῳ βασκανίας ὦ
τούτοις ὑπόθεσις ὡς παντάπασι τῶν παρ’ ἐκείνοις δοξῶν ὑπερκεί-
μενος, οὔτε δημοσίου τὰ πολλὰ μετέχω κρατῆρος (οὔ, νὴ τὴν

13 κατ’ – διαιρεῖν: cf. Psel. Πρὸς τοὺς βασκαίνοντας αὐτῷ = Or. min. 10,78–81 ἐγὼ δὲ ὁρῶ καὶ ἐνίους ὑμῶν, καθ’ ὃν εἴωθα τύπον ἐγώ, οὕτω καὶ τὰς πολιτικὰς ὑποθέσεις μεταχειριζομένους, κατ’ ἄρθρα μὲν διαιροῦντας καὶ τῶν μερῶν ἕκαστον πρὸς τὸ οἰκεῖον τῆς νομικῆς ἐπιστήμης ἀνάγοντας, ἀλλὰ μὴ ἀναμὶξ πάντα συγχέοντας cum Ἐγκώμιον εἰς ... Κωνσταντῖνον ... τὸν Λειχούδην = Or. fun. I 2,5,11–13 ἀπὸ τῆς τέχνης ἐπὶ τὴν τέχνην, τῆς ἑκατέρωθεν βαλλούσης τὴν ἐπὶ θάτερον μέρος φέρουσαν, τῆς κατ’ ἄρθρα τὸν λόγον τεμνούσης τὴν δεομένην τῆς ἐκεῖθεν τομῆς et 14,5–7 παρεκόμισέ τι ἀγώγιμον ἀπὸ τοῦ πολιτικοῦ βίου πρὸς τὸν ἱερατικόν, τὸ βαθὺ τῆς γνώμης καὶ τὸ διαιρεῖν κατ’ ἄρθρα ἕκαστα, et Ἐπιτάφιος εἰς ... Ἰωάννην τὸν Ξιφιλῖνον = Or. fun. I 3,9,9–11 ἐπήβολος δὲ παντοίας φιλοσοφίας ὥσπερ εἰρήκειν γενόμενος, τὰς διαιρέσεις κατ’ ἄρθρα ἐποιεῖτο τῶν γνώσεων, ὁμοῦ τε λέγων καὶ σπουδάζων αὖθις περὶ τὰ συγγράμματα. cf. etiam Π 132,2–3 **14–15** Σαββάτου – ὁδόν: Act. 1,12 σαββάτου ἔχον ὁδόν. cf. Suda σ 7 Σαββάτου ἔχον ὁδόν: δισχιλίων πήχεων ἦν· τοσοῦτον γὰρ ἡ κιβωτὸς διάστημα προελάμβανε τὴν παρεμβολήν, καὶ ἀπὸ τοσούτου διαστήματος ἐκίνουν, οἷς ἐξῆν προσκυνεῖν τὴν σκηνὴν ἐν σαββάτῳ βαδίζειν ‖ **19** τὰ[1] – χάρισιν: cf. Psel. Χρονογραφία III,2 ἁβρός τε τὴν γλῶτταν καὶ τὸ φθέγμα ὑπόσεμνος ἥρως τε τὴν ἡλικίαν καὶ τὸ πρόσωπον ἀτεχνῶς ἔχων βασίλειον et Ἱστορία σύντομος 105 ἦν δὲ καὶ τὸ εἶδος αὐτῷ χάριτος μεστὸν καὶ σεμνότητος, ἱλαρὸς μὲν τὸ ἦθος, οὗ δὲ δεῖ βασιλικὴν πρᾶξιν ἁρμόσασθαι, εἴσω συννενευκώς, νενηφὼς ἀεὶ καὶ τῇ ὀφρύι διδοὺς ἦθος ὑπόσεμνον, ἐμβριθεῖσθαι σφοδρὸς καὶ χαριεντίσασθαι γλαφυρός, συστεῖλαι δυσμενῆ φοβερός

13 οἷ P S: οἷον C C-M ‖ **16–17** ἐξανάγκης C ‖ **18** μυεῖσθαι P S: μιμεῖσθαι C μιμῆσθαι C-M ‖ **20** μὴ P S: καὶ C C-M ‖ **21–22** κανόνα – στάθμην P S: στάθμην καὶ κανόνα C C-M ‖ **22** τούτῳ P S: τούτοις C C-M ‖ **23** ὑπόθεσις P S: ὑποθέσεων C C-M | ἐκείνοις P S: ἐκείνου C C-M ‖ **24** νὴ P C S: μὰ C-M

ἱεράν σου ψυχήν!), οὔτε ἀπὸ τῆς αὐτῆς σιτοῦμαι τοῖς πλείοσι· 25
πανηγύρεσί τε οὐ παραβάλλω οὔτε ἰδίαις οὔτε κοιναῖς, εἰ μή που
ταῖς σαῖς.

Γάμος δὲ ἱερὸς καὶ τὰ τούτου προοίμια καὶ προαύλια, καὶ τὰ
πρὸ τῆς παστάδος (οὕτως εἰπεῖν) προθαλάμια, ἀδύτων ἔμοιγε
τυγχάνει προτεμενίσματα, καὶ ἀναβολαὶ μελῶν μουσικῶν· καὶ 30
ἥδιστον θυραυλεῖν ἐπὶ τούτοις, καὶ ἀπαντᾷν αὐτίκα, καὶ συσπου-
δάζειν τοῖς τελουμένοις, καὶ μετέχειν τῶν τελετῶν. Ἀλλὰ παντὶ
μὲν ἄλλῳ ἐξὸν ἐντὸς τῶν θυρῶν εἶναι, ἐμὲ δὲ δεῖν φασι πόρρω
τούτων καθίστασθαι ὅτι πειρῶμαι φιλοσοφεῖν καὶ τὴν ψυχὴν
ἐκλύειν τοῦ σώματος· καίτοι γε καὶ τὸ ὁρώμενον κάλλος εἰς τὸ 35
νοητὸν τὸν φιλόσοφον ἀντιπεριάγειν κάλλος δεδύνηται, καὶ ἡ
ἐμφανὴς ἁρμονία τοῦ ἀφανοῦς ἀνάμνησις γίνεται, καὶ οὐ τὰ μαθή-
ματα μόνον συνεθίζει τὸν ὁμιλοῦντα τούτοις εἰς κατανόησιν τῆς
ἀσωμάτου φύσεως.

Ἀλλὰ τί ταῦτα τοῖς λεπτολόγοις μὲν ὀλιγογνώμοσι δὲ καὶ 40
μηδὲν ἕτερον εἰδόσιν, ἢ οὗ ἂν ταῖν χεροῖν ἅψαιντο; Ἐγὼ δὲ ὥσπερ
καὶ πολλῶν ἑτέρων ἀπέχεσθαι ὑποσχόμενος τῷ θεῷ, ἑτέρους

28 προοίμια – προαύλια: cf. Arist. Ῥητορική 1414b19-22 τὸ μὲν οὖν προοίμιόν ἐστιν ἀρχὴ λόγου, ὅπερ ἐν ποιήσει πρόλογος καὶ ἐν αὐλήσει προαύλιον· … τὸ μὲν οὖν προαύλιον ὅμοιον τῷ τῶν ἐπιδεικτικῶν προοιμίῳ **34–35** τὴν – σώματος: cf. Synes. Epist. 139,36-37 τὸν Πλωτῖνον … ἀναλύοντα τὴν ψυχὴν ἀπὸ τοῦ σώματος et Liban. Epist. 694,2 οὐδὲν γὰρ δεινὸν φιλοσόφοις ἐκλυθῆναι σώματος, μέγιστον μὲν οὖν ἀγαθόν. cf. Psel. ⟨Explicatio trium locorum novi testamenti (Ioann. 21,7; Mt. 3,4; Ioann. 21,9)⟩ = Theol. I 17,124–125 ἀποδιδράσκει τὸ σῶμα ψυχὴ καὶ τῆς βαρυτάτης πέδης ἐκλύεται et Εἰς τὸ ‘εἶδον ἄνθρωπον ἐν Χριστῷ …’ = Theol. I 27,56–57 ὁ Παῦλος ἡρπάγη, εἴτε κατὰ μόνον τὸν νοῦν ἐκλυθέντα τοῦ σώματος, εἴτε δὲ σὺν αὐτῇ τῇ σαρκί ‖ **35–37** καίτοι – γίνεται: cf. Plat. Φαῖδρος 249d5–6 τὸ τῇδέ τις ὁρῶν κάλλος, τοῦ ἀληθοῦς ἀναμιμνῃσκόμενος cum Π 149,13–14 et Π 200,63–64

28 προάβλια C-M ‖ **30** μελλῶν C-M ‖ **31** ἥδυστον C-M | ἀπαντᾷν P S: ἀπαντῆσαι C C-M ‖ **31–32** συσπουδάζειν P S: σπουδάζειν C C-M ‖ **32** τελετῶν C C-M: τελῶν P S ‖ **33** ἐντὸς – εἶναι P S: ἐντὸς εἶναι θυρῶν C C-M | φασι P C-M S: om. C ‖ **35** ἐκλύειν P S: ἀναλύειν C C-M ‖ **35–36** εἰς – ἀντιπεριάγειν P S: ἀντιπεριάγειν τὸν φιλόσοφον εἰς τὸ νοητὸν C C-M ‖ **40** τοῖς – δὲ P S: τοῦ λε[…] μὲν ὀλίγν[…]σι δὲ lacunam indicavit C τῷ λέγοντι μὲν ὀλίγον, πολὺ δὲ τοῖς ἀκούουσι C-M ‖ **41** ἅψαιντο P S: ἅψωνται C ἅψονται C-M | δὲ P C-M S: om. C ‖ **42** τῷ P S: om. C C-M

τούτων ὁρᾶν μετέχοντας οὐ κεκώλυμαι. Οὕτω δὴ καὶ γάμον ἀπειρηκώς, οὐκ ἀπεῖργμαι παρ' ἄλλοις τοῦτον ὁρᾶν σπουδαζόμε-
45 νον· ἦ γὰρ ἂν ὑπεύθυνος εἴην ξύμπασιν ὅτι μετὸν τοῖς πολλοῖς τῶν ἀπειρημένων ἐμοί.

Ἀλλ' οἵ γε βασκαίνοντες, νομοθετοῦντος ταῦτά φασιν εἶναι ἀλλ' οὐχ ἑπομένου τοῖς νομισθεῖσιν. Ἐπεὶ γοῦν τῶν ἀμφιλόγων ἐγώ, καὶ περὶ ὧν ἐστιν ἀμφισβήτησις, τὰ μὲν ἐμαυτοῦ, τὰ δὲ τῶν
50 λεγόντων γίνομαι, καὶ οὐ τὴν ἑτέραν αὐτῶν, ἀλλὰ τὴν μέσην ἀμφοῖν τρέπομαι. Οὔτε γοῦν σοι τῆς πανηγύρεως ἀποστήσομαι, οὔτε τῆς ἑορτῆς ὅλος γενήσομαι. Ἀλλ' ἀπαντήσω μὲν λαμπρὸς κατὰ τὰ ξυγκείμενα, καὶ τὰ μὲν ἀκροάσομαι περὶ τῶν γινομένων, τὰ δὲ αὐτὸς διαλέξομαι· καὶ συνησθήσομαί σοι τοῖς γαμικοῖς
55 προοιμίοις, καὶ ἐμφύτοις σκιρτήμασι συναγαλλιάσομαι, καὶ (εἰ βούλει) κάλλιστόν σοι ᾄσομαι τοῦ προοιμίου προοίμιον. Μελῶν δὲ ἢ ῥυθμῶν οὐκ ἀκούσομαι, ἵνα μὴ τοῖς λογολέσχαις διατριβὴ γένωμαι· καίτοι πῶς οἴει με τῶν σεμνῶν χαρίτων ἐρᾶν, καὶ

50–51 τὴν[2] – τρέπομαι: cf. Greg. Naz. Συντακτήριος = Or. 42,16 τὴν μέσην βαδίζοντες καὶ βασιλικὴν, Εἰς τὸν μέγαν Βασίλειον … = Or. 43,14 διὰ λείας τῆς ὁδοῦ φέρων καὶ ἄγαν εὐπόρου καὶ βασιλικῆς ὄντως, et Epist. 165,2 οὔτε τὸ λίαν ἀπαθὲς ἐπαινῶ, οὔτε τὸ ἄγαν περιπαθές· τὸ μὲν γὰρ ἀπάνθρωπον, τὸ δὲ ἀφιλόσοφον. ἀλλὰ δεῖ τὴν μέσην βαδίζοντα, τῶν μὲν ἄγαν ἀσχέτων φιλοσοφώτερον φαίνεσθαι, τῶν δὲ φιλοσοφούντων ἀμέτρως ἀνθρωπικώτερον. cf. etiam Psel. Χρονογραφία VI,173 et VII,163 (=VIIb42), Ἱστορία σύντομος 105, et Π 100,71–72 et Π 339,11 ‖ **56** κάλλιστόν – προοίμιον: Plat. Νόμοι 854c6-8 ταῦτα ἡμῶν ᾀδόντων προοίμια … μετὰ τὸ προοίμιον ᾄδειν μέγα. cf. Ael. Arist. Παναθηναϊκός 123,10 ὥσπερ τι προοίμιον ᾆσαι ‖ **57** τοῖς λογολέσχαις: Greg. Naz. Λόγος θεολογικὸς πέμπτος, περὶ τοῦ Ἁγίου Πνεύματος = Or. 31,13 στῆναι δὲ ὅμως ἀναγκαῖον πρὸς τοὺς λογολέσχας. cf. Psel. Εἰ τὸ 'ἀλλ' εἰ ταὐτὸν τῷ πατρὶ ὁ υἱὸς κατ' οὐσίαν, ἀγέννητος δὲ ὁ πατήρ, ἔσται τοῦτο καὶ ὁ υἱός' = Theol. I 24,71–72 ὁ λογολέσχης Ἀνόμοιος

43 οὐκ ἐκώλυμαι C-M | δὴ P C S: δὲ C-M ‖ **44** ἄλλοις P S: ἑτέροις C C-M τοῦτον ὁρᾶν P S: ὁρᾶν τοῦτον C C-M ‖ **45** ἦ scripsi: ἢ P C S | ξύμπασιν P S: ξύμπασιν ὑμῖν C | μετὸν P S: μετὰ τὸν C ‖ **45–46** ἦ – ἐμοί P C S: om. C-M **47** βασκαίνοντος post corr. C | νομοθετοῦντα post corr. C ‖ **48** νομισθεῖσιν P S: νομοθετηθεῖσιν C νομοθετιθῆσιν C-M | ἐπεὶ P C-M: ἐπὶ C S ‖ **52** ὅλως C-M ἀπαντήσω μὲν P S: ἀπαντήσομαι C C-M | λαμπρὸς P S: λαμπρῶς C C-M **53** συγκείμενα C-M | ἀνακροάσομαι C-M ‖ **54** αὐτὸς C C-M: om. P S συνησθήσομαί P S: συνθήσομαί C C-M ‖ **55** ἐνφύτοις C ‖ **56** μελλῶν C-M **57** ἀκούσομαι : ἄσομαι C-M ‖ **58** γένομαι C

μάλιστα τῶν ἐν ῥυθμοῖς τε καὶ μέλεσι· εἰμὶ γὰρ οὐκ ἀπεσκληκό-
τως ἔχων τῆς φύσεως, οὔτε πάλιν ἐν ταῖς ᾠδαῖς ὑποχαλῶ τι τοῦ 60
βλοσυροῦ, ἀλλὰ βραχύ τι τὴν πρώτην τοῖς τῶν ὀργάνων κρούμασι
συνησθείς, ἔπειτα ἐμαυτὸν εἰς τοὺς ἁρμονικοὺς ἀναφέρω λόγους,
καὶ τάς τε συμφώνους ἀναθεωρῶ τῶν χορδῶν, καὶ εἴ τι παράφωνόν
ἐστιν ἐν αὐταῖς ἢ διάφωνον, καὶ ἀπὸ τῶν καθαπτῶν ὀργάνων
πορίζομαί τι ἐς τὰ μέρη τῆς μουσικῆς (τοὺς τόνους φημί, καὶ τὰ 65
διαστήματα καὶ συστήματα).

Ἀλλ᾽ οὗ ἐπιλέλησμαι; Ἆρ᾽ οὐκ ἔστιν, φίλτατε ἀνεψιέ, τὸ νέον
τοῦτο νυμφίδιον, ἐκεῖνο δὴ ὃ ἐν τοῖς ἀνακτόροις τεθέαμαι, τὸ
λαμπρὸν καὶ εὐτράπελον, ὃ δή με καὶ ᾠκειοῦτο αὐτίκα, εἶτα δὴ
ἑτέρων καλλιόνων ἀντήρα; Κάλλιστον (νὴ τὴν ἱεράν σου ψυχήν!), 70
καὶ τὴν ὄψιν καὶ τὴν ψυχήν, ἄμφω μὲν τῆς μητρὸς ἧττον (τί γὰρ
αὐτῇ ἶσον γένοιτ᾽ ἄν;), τῶν δὲ ἄλλων ὧν ἐγὼ τεθέαμαι, παρὰ
πολὺ κάλλιον.

Γένοιτο αὐτῇ καὶ ὁ ἀρραβὼν καὶ ὁ γάμος αἴσια πάντα καὶ
προσφιλῆ, καὶ μηδὲν αὐτῇ τῶν πάντων ἀνάρμοστον, μήθ᾽ ἡ 75
παστάς, μήθ᾽ ὁ θάλαμος, μήθ᾽ ὁ ἐπινύμφιος κόσμος. Ἀλλ᾽ ἁρμόσοι
τἀνδρὶ κἀκεῖνος αὖθις αὐτῇ, καὶ γένοιτ᾽ ἀμφοῖν ἡ συμβίωσις οὐ
συνοικείωσις σωμάτων μόνον, ἀλλὰ καὶ ψυχῶν· κάλλιστος γάρ
μοι καὶ ὁ νυμφίος δοκεῖ, καὶ αὐτὸ δὴ τοῦτο «νυμφίος» ὡς ἀληθῶς
καὶ τῇ νύμφῃ προσόμοιος. Ἐκείνη δὲ τοσοῦτον εἰπέ, ὅτι: «οὐ 80

59–60 ἀπεσκληκότως ἔχων: Synes. Cyren. Epist. 139,22 ἀπεσκληκότως ἔχει. cf. Psel. Ἐπιτάφιος εἰς … Ἰωάννην τὸν Ξιφιλῖνον = Or. fun. I 3,20,36–37, Εἰς τὸ 'ὅστις ἐρεῖ λόγον κατὰ τοῦ υἱοῦ …' = Theol. I 84,18 et II 23,56–57, II 128,49–50, et II 211,39 ‖ **60–61** ὑποχαλῶ – βλοσυροῦ: cf. Psel. Χρονογραφία IV,13 κεχάλαστο δ᾽ ὅμως τὸ βλοσυρὸν τῷ θηρὶ καὶ τὸ ἐπισκύνιον οὐδαμοῦ, II 50,8–9 χάλασον τῷ λόγῳ τὸ βλοσυρόν τε καὶ ἐπισκύνιον et II 254,42 βλοσυρὸν χαλάσας τὸ ἐπισκύνιον ‖ **79** αὐτὸ – ἀληθῶς: cf. Etym. Magn. 608,40–42 νυμφίος: … παρὰ τὸ νῦν ἠμφιᾶσθαι καλῶς· ἢ νυμφίος, ὁ νῦν φιλῶν τὴν νύμφην

59 μέλεσιν C-M ‖ **60** ἔχον C | τι C C-M: om. P S ‖ **61** βλοσυροῦ C C-M corr. S: βλοσσυροῦ P | κρούμασι P S: κρούσμασι C C-M ‖ **62** ἁρμονιεὶς C ἁρμονιεῖς C-M ‖ **65** ἐς – μέρη C: εἰς τὰ μέρη C-M ἐς τὰ μέσα P S ‖ **66** συστήματα P S: συστρέματα C συστρέμματα C-M ‖ **67** οὗ : οὐκ C-M ‖ **68** τοῦτον C | νυμφήδιον C-M | δὴ P C S: δὲ C-M ‖ **69** δὴ P C S: δὲ C-M ‖ **75** ἀνάρμοστον P S: ἀνάρμοστον ἢ C C-M ‖ **76** ἐπινύμφιος P S: ἐπινυμφίδιος C C-M ‖ **77** κἀκεῖνο C | αὖθις P S: om. C C-M ‖ **78** συνοικίωσις C-M ‖ **79** τοῦτον C ‖ **80** προσόμια C

ζηλότυπος ἐγὼ ἐραστὴς οὐδέ σου μέμφομαι τὴν μετάθεσιν· μόνον ἐρῴης αὐτοῦ, καὶ τέκοις παιδία καλά τε καὶ πολλά, ὁπόσα ἡ μήτηρ καὶ οἷα, ἄρρενά τε καὶ θήλεα».

Καὶ ταῦτα μὲν δή σοι παρ' ἐμοῦ τοῦ γάμου προοίμια. Εἰ δὲ
85 βιώσιμος εἴην, καὶ πρὸς τῇ τελείᾳ σου τελετῇ, καὶ δᾷδας γαμηλίους ἀνάψω, καὶ ὑποθήσομαι ὅπως σοι τῷ νυμφίῳ προσενεκτέον· οὐ γὰρ δὴ καὶ τῶν ὑποθηκῶν κεκώλυται ὁ φιλόσοφος. Μόνον οὐδὲ τότε τῶν γαμηλίων σοι πιοῦμαι κρατήρων, ἵνα μὴ σβέσας τὰς ἐπὶ σοὶ δᾷδας μετὰ τὴν τελετήν, τὰς τῶν βασκάνων γλώσσας ἀνάψω.

121. Τῷ μεγάλῳ δρουγγαρίῳ κῦρ Κωνσταντίνῳ ἀξιοῦντι ἐλθεῖν εἰς γάμον
ca. a. 1073/1074

S 83 [P], C-M 4

Εἰ δέ μοι νόμος ἔκειτο λέοντι μὴ μονομαχεῖν, ἔπειτα σὺ τὸν θῆρα θηράσας καὶ τῶν ὀνύχων αὐτὸν ἀφελόμενος συμπλακῆναι παρῄνεις, ὡς ἤδη μοι τοῦ νόμου λυθέντος διὰ τὴν τῶν ὀνύχων ἀφαίρεσιν, ἆρ' ἂν εὐλόγως ἐδόκεις λέγειν, ἢ τοῦ παντὸς
5 διημαρτήκεις καὶ τῆς πειθοῦς ἀπετύγχανες; Οὕτω τοιγαροῦν καὶ τῶν τοῦ γάμου προτελείων τὰ ἐπὶ τούτοις ἀφῃρηκὼς ᾄσματα, καὶ ξύμπασαν τὴν τῆς ἱερᾶς τελετῆς πραγματείαν, καὶ ἀποσεμνύνας

7 ξύμπασαν – πραγματείαν: cf. infra l. 42 ξύμπασαν τὴν ἱεροφαντικὴν πραγματείαν

82 καλά – πολλά P S: πολλά τε καὶ καλλά C πολλά τε καὶ καλά C-M **85** τελείᾳ P S: τελευταίᾳ C C-M ‖ **88** ποιοῦμαι C ‖ **89** βασκάνων C C-M: βαναύσων P S ‖ **ep. 121** P 207r–v, C 198r–200r, a[7] 92v–94v (= C-M), a[9] (= C-M), b[2] 233r–239r (= C-M), p[2] 116r–119r (= C-M), t 121r–124v (= C-M); tit. P S: τοῦ αὐτοῦ τῷ αὐτῷ (= Κωνσταντίνῳ) μηνυθέντι παρὰ τοῦ πρώτου ἀδελφιδοῦς ὡς οὐδὲν τῶν ἀσέμνων ἔσται ἐν τῇ τραπέζῃ C τοῦ αὐτοῦ πρὸς τὸν αὐτόν (= Κωνσταντῖνον ἀδελφὸν), μυνηθέντι αὐτῷ παρὰ τοῦ πρώτου ἀδελφιδοῦ ὡς οὐδὲν τῶν ἀσέμνων ἔσται ἐν τῇ τραπέζῃ C-M ‖ **1** μονομαχεῖν P C S: μονομαχῆσαι C-M ‖ **5** διημαρτήκεις P S: ἂν διημαρτήκεις C ἂν διημαρτίκεις C-M ‖ **6** προτελείων P S: προεισοδίων C C-M | ἀφῃρηκὼς P C-M S: ὑφῃρηκὼς C ‖ **7** τὴν – ἱερᾶς C C-M: τῆς P S

τὸ πρᾶγμα ὅσα εἰκός, οὐ πιθανὸς εἴης συγκαλῶν ἐπὶ τοῦτο καὶ προτρέπων· ὥσπερ γὰρ ἐκεῖ μένει τοὔνομα τῷ θηρὶ καὶ παρακεκομμένῳ τοὺς ὄνυχας, ᾧ μὴ προσπαλαίειν νενομοθέτητο, 10 οὕτω δὴ κἀνταῦθα, οὐ μεταπεποίηται ὁ ἀρραβὼν ἣν ἀφήρηται τὰ μέλη καὶ τοὺς ῥυθμούς.

Σὺ δ' ἄρα καὶ γυναῖκα μετακοσμήσας, καὶ τὰς πλοκαμίδας αὐτῇ βοστρυχίδας ποιήσας, καὶ τὸν τῆς κεφαλῆς κόσμον μεταβαλών, ἔπειτά με συγκαθεύδειν αὐτῇ κατανάγκασον· καὶ τὴν προσή- 15 κουσαν αὐτῇ στολὴν ὑφελών, ἐπιχείρησον πείθειν ὅτι μὴ γυνὴ τὸ ὁρώμενον. Ἀλλ' οὐ περιεργαστέον ἡμῖν τοὺς νόμους· ἀλλὰ τηρητέον αὐτοῖς καὶ τὰς λέξεις θ' ἅμα καὶ τὰς ἐννοίας.

Καὶ γάμοις γοῦν ἐγὼ πολλοῖς παραγέγονα ὁπηνίκα ἐξῆν, ἐν οἷς οὔθ' ὁ κιθαρῳδικὸς ἐτελεῖτο νόμος, οὔθ' ὑμνεῖτο ὁ ὑμέναιος, 20 ἀλλ' ὅμως ἔκειτο τῷ πράγματι τοὔνομα, καὶ γάμος ἦν τὸ γινόμενον, καὶ οὐδὲν ἧττον ἡ συζυγία ἐπραγματεύετο· ὥσπερ γὰρ οὐκ ἔστι μᾶλλον καὶ ἧττον ἄνθρωπος, καὶ τοῦτο καλῶς τῇ ἐπιστήμῃ ἠκρίβωται, οὕτως οὐδὲ γάμος οὐδ' ἀρραβών· οὐδὲ γὰρ ὁ ἠκρωτηριασμένος τῶν ὑπὸ τὸ αὐτὸ εἶδος ἐλάττων παρὰ τοῦτο τοῦ τελείου 25 (κατά γε τὸν τῆς φύσεως λόγον), ἢ παρ' ἐκεῖνον ἕτερος· ἄνθρωποι γὰρ ξύμπαντες, καὶ τοῦ αὐτοῦ λόγου κεκοινωνήκασιν.

Εἰ μὲν γὰρ ἔχεις δεικνύειν ὅτι παρὰ τοῖς ἀχόρδοις ἀρραβῶσιν ἄλλο τί ἐστι τὸ τελούμενον, ἐφ' ᾧ νόμος ἀπείργων ἡμᾶς οὐ τέθειται, αὐτῷ δὴ τούτῳ νενίκηκας, κἀμοὶ ἀπαντητέον αὐτίκα 30

20 ὁ[1] – νόμος: cf. Suda ν 473 et 478 ‖ **22–23** οὐκ – ἄνθρωπος: Arist. Κατηγορίαι 3b37–39 οἷον εἰ ἔστιν αὕτη ἡ οὐσία ἄνθρωπος, οὐκ ἔσται μᾶλλον καὶ ἧττον ἄνθρωπος, οὔτε αὐτὸς αὑτοῦ οὔτε ἕτερος ἑτέρου. cf. Psel. Περὶ τῶν πέντε φωνῶν = Phil. min. I 51,417–431, Διδασκαλία σύντομος καὶ σαφεστάτη περὶ τῶν δέκα κατηγοριῶν καὶ τῶν προτάσεων καὶ τῶν συλλογισμῶν = Phil. min. I 52,103–105

8 ὅσα P S: ὁπόσα C C-M | πειθανὸς C C-M ‖ **9** προτρέπων P S: προτρεπόμενος C C-M ‖ **9–10** καὶ παρακεκομμένῳ P S: καὶ περικεκομμένῳ C καίπερ κεκομμένῳ C-M ‖ **10** νενομοθέτητο P S: νενομοθέτημαι C C-M ‖ **11** ἣν P S: κἂν C C-M ‖ **13** δ' P C-M S: δὲ C ‖ **14** αὐτῇ P S: αὐτῆς C C-M **14–15** μεταβαλών P S: μεταβαλλόν C μεταβαλλών C-M ‖ **15** με P C S: μοι C-M | καὶ P S: ἢ C C-M ‖ **17** τοὺς νόμους C C-M: τοὔνομα P S ‖ **18** θ' P S: om. C C-M ‖ **20** κιθαρῳδικὸς C C-M: κιθαρῳδὸς P S | ὁ[2] P S: om. C C-M ‖ **26** γε C C-M: om. P S ‖ **27** γὰρ P C S: δὲ C-M ‖ **30** αὐτῷ ... τούτῳ P S: αὐτὸ ... τοῦτο C C-M

πρὸς τὴν τελετήν. Ἕως δὲ μὴ τοῦτο δεικνύειν δεδύνησαι, ἐμοὶ ἀπείργεις τὴν πρόοδον· οὐ γὰρ τὸ πᾶν τοῦ γινομένου ὑφῄρηκας, ἀλλὰ τὸ μὲν προβαίνειν εἴασας, τὸ δ' ὑπεκώλυσας.

Εἰ δὲ καὶ θέατρον ἐπετέλεις τῇ πανηγύρει ὥσπερ καινὴν
35 ἱπποδρομίαν ποιούμενος, εἶτα τὴν μὲν γυμνοποδίαν ὑφῄρηκας, αὐτῇ δὲ τῇ ἱπποδρομίᾳ συνίστασο, ἆρ' ἄν με δικαίως ἐκάλεις ἐπὶ τὸ θέατρον ὅτι δὴ ἐξ ἡμισείας ἠκρωτηρίασται; σοὶ γὰρ ἂν ἐγὼ δικαίως ἐπισκήψαιμι ὅτι τῆς τελετῆς τὸν νενομισμένον ὑφαιρεῖς κόσμον, ὥσπερ εἴ τις ὑφαιροίη τὰ ἄνθη τοῦ ἔαρος (τί γὰρ δὴ τὸ
40 τελούμενον παρὰ τὸν κόσμον τῆς τελετῆς;)· ὥσπερ γὰρ εἰ τις ἀφέλοιτο τῶν μυστηρίων αὐτὰς δὴ τὰς μυστηριώδεις ἐχεμυθίας καὶ ξύμπασαν τὴν ἱεροφαντικὴν πραγματείαν τὸ πᾶν συνέχεε καὶ ἀνέτρεπεν, οὕτω δὴ καὶ γάμων καὶ τῶν ἐπὶ τούτοις ἀρραβώνων: εἴ τις τοὺς συνήθεις περιέλοι κόσμους, καὶ μάλιστα τὰ ἐπᾴσματα καὶ
45 τὰ ᾄσματα, λυμαίνεται τῷ παντί. Οὔτε γοῦν ἐμοὶ νόμος προσιέναι γάμοις, καὶ τοῖς τούτων προεισοδίοις, οὔτε σοὶ ἐπ' ἐξουσίας ἐστὶν ὑφαιρεῖν τὰ ἐπὶ τούτοις νομοθετούμενα.

Ἀλλ' εἰς ὅ μοι ὁ λόγος ὥρμηται. Τῶν γινομένων, τὰ μὲν ἀνεῖταί μοι, τὰ δὲ ἀποτετείχισται. Καὶ ἀνεῖταί μοι θεῖα τεμένη
50 καὶ θύματα ἔννομα, καὶ ὅσα τούτοις ἕπεται· ἀποτετείχισται δὲ

41–42 τὰς – πραγματείαν: Eunap. Βίοι φιλοσόφων καὶ σοφιστῶν 6,1,5,5–6 πρὸς μυστηριώδη τινὰ σιωπὴν καὶ ἱεροφαντικὴν ἐχεμυθίαν. cf. Π 145,22, Π 146,46, et supra l. 7 ξύμπασαν τὴν τῆς ἱερᾶς τελετῆς πραγματείαν. cf. etiam Iambl. Προτρεπτικός 106,5–7 κατὰ τὴν νενομοθετημένην αὐτοῖς ὑπὸ Πυθαγόρου ἐχεμυθίαν μυστηρίων et Π 134,19–20 ‖ **50–51** ἀποτετείχισται – ἀκόλουθα: cf. Psel. Χρονογραφία II,8 μάλιστα δὲ ἐμεμήνει (scil. Const. VIII, imperator) περί τε τὰ θέατρα καὶ ἱπποδρομίας

32 ἀφῄρηκας C-M ‖ **33** ὑπεκώλυσας P S: ἀπεκώλυσας C C-M ‖ **34** ἐπετέλεις P C S: ἀπετέλεις C-M | καινὴν P S: καὶ νῦν C C-M ‖ **35** ἠφῄρηκας C-M **36** ὑποδρομίᾳ C-M | ἆρ' P C-M S: ἆρα C ‖ **37–38** ἂν – δικαίως P S: ἐγὼ δικαίως ἂν C C-M ‖ **39** ὑφαίροι C-M ‖ **40** παρὰ C C-M: περὶ P S ‖ **41** ἀφέλοιτο P S: ὑφέλῃ C C-M ‖ **42** ξύμπασαν – ἱεροφαντικὴν C C-M (cf. app. font.): σύμπασαν τὴν ἱερατικὴν P S | συνέχεεν C-M ‖ **43** ἀνέτρεπεν P S: ἀνέτρεψεν C C-M | ἀρραβώνων P S: ἀρραβὼν C ἀρραβῶν C-M ‖ **45–46** προσιέναι γάμοις P S: γάμοις προσιέναι C C-M ‖ **46** σοὶ – ἐξουσίας P S: σῆς ἐπεξουσίας C σαῖς ἐπεξουσίαις C-M | ἐστὶ C ‖ **49** καὶ P S: om. C C-M ‖ **49–50** θεῖα – ἕπεται P S: θεῖοι ναοὶ καὶ ὅσα τοιαῦτα C C-M ‖ **50** δὲ P S: om. C C-M

ἱπποδρομία καὶ τὰ ἄλλα θέατρα, καὶ ὅσα τούτοις ἀκόλουθα. Ἆρ' οὖν εἰ ναοῖς ἐντύχοιμι ἐν οἷς οὐ λουτῆρες, οὐδὲ σπονδεῖα, οὐδὲ τὸ ἅγιον κοσμικὸν περὶ ταῦτα, οὐδὲ παριτητέον μοι εἰς αὐτούς; Πολλοῦ γε καὶ δεῖ· τούτων γὰρ σπάνις παρά γε τοῖς πλείοσι. Κατὰ γοῦν τὸ ἶσον ἀντίθετον, οὐδὲ ἐς θέατρα βαδιοῦμαι, οὐδ' ἔνθα 55 με νόμος ἀπείργει, εἰ μὴ πάντα ἐκ πάντων τῶν νενομισμένων συντέθειται. Τῶν δημοσίων τούτων δὴ καπηλείων πρὸ τῆς εἰσόδου εὐτελές τι λῖνον καταπετάννυται· ἆρ' οὖν εἴ τις ἀφέλοι τὸ καταπέτασμα, συνανῄρηκε τούτῳ καὶ τοῦ πανδοχείου τοὔνομα;

Ἀνεψιὲ φίλτατε, ἄλλο γένεσις, καὶ ἄλλο ἀλλοίωσις. Ἐκεῖ μὲν 60 γὰρ συμμεταβέβληται τὸ ὑποκείμενον, καὶ ἄλλο ἡ ὕλη γίνεται, ἢ πρότερον ἦν· ἐνταῦθα δὲ περί τι εἰδοπεποιημένον ἡ μεταβολή («ἀλλοῖός μοι, ξεῖνε, φάνης νέον ἠὲ πάροιθεν», φησὶν Ὅμηρος). Οὐ τοίνυν οὐδὲ σὺ τὸ ὑποκείμενον ἀναιρεῖς, ἀλλὰ τὰ περὶ αὐτὸ μᾶλλον μεταβάλλεις. 65

52 οὐ – σπονδεῖα: Exod. 30,18 et 25,29; cf. Psel. Ἐπιτάφιος εἰς … Ἰωάννην τὸν Ξιφιλῖνον = Or. fun. I 3,23,85 τοὺς λουτῆρας, τὰ σπονδεῖα, τὰ θύματα, τὰ θυτήρια et Κατηγορία τοῦ ἀρχιερέως = Or. for. 1,2246 μὴ σπονδεῖον, μὴ θυΐσκον, μὴ τῶν λουτήρων τινά ‖ **52–53** τὸ – κοσμικὸν: Hebr. 9,1; cf. Psel. Λόγος εἰς τὴν σταύρωσιν = Or. hag. 3b,62 et Λόγος ἐπὶ τῷ ἐν Βλαχέρναις γεγονότι θαύματι = Or. hag. 4,124 ‖ **60** ἄλλο[1] – ἀλλοίωσις: cf. Arist. Περὶ γενέσεως καὶ φθορᾶς passim etc. ‖ **60–62** ἄλλο[1] – μεταβολή: cf. Ioann. Philop. In De an. 300,15–17 ἡ γὰρ ἀλλοίωσις μεταβολή ἐστιν ἐξ εἰδοπεποιημένου εἰς εἰδοπεποιημένον, τοῦ αὐτοῦ ὑποκειμένου μένοντος cum Psel. Συλλογαὶ διάφοροι καὶ ποικίλαι = Phil. min. II 13 (49,7–8) ‖ **63** ἀλλοῖός – πάροιθεν: Od. 16,181

51 ἱπποδρομία P S: ἱπποδρομίαι C C-M | τὰ ἄλλα P S: τἄλλα C C-M **53** περὶ P S: παρὰ C C-M | παριτητέον P S: εἰσιτητέα C εἰσιτέα C-M | εἰς P S: ἐς C C-M ‖ **55** ἐς θέατρα P S: ἐς θάτερον C εἰς θάτερον C-M | βαδιοῦμαι P S: διαβαδιοῦμαι C C-M ‖ **56** εἰ C C-M: εἰ δὲ P S ‖ **57** δὴ P S: om. C C-M | τῆς εἰσόδου P S: τῶν εἰσόδων C C-M ‖ **59** τοὔνομα P S: τὸ ὄνομα C C-M ‖ **61** ἡ ὕλη P S: τῇ ὕλῃ C C-M ‖ **62** ἦν P C S: ᾖ C-M ‖ **63** ξεῖνε – νέον scripsi: ξεῖν' ἐφάνης νέον P S ξεῖνε φάνης νεὸν C ξέν' ἐφάνης νεὸν C-M | ἠὲ πάροιθεν C: ἠὲ πάροιθε P S ἢ ἐπάροιθεν C-M ‖ **65** μᾶλλον P S: om. C C-M

Ὁ κολοιὸς καὶ πρὸ τῶν ἀλλοτρίων πτερῶν ἦν τε καὶ ὠνομάζετο, οὐδὲν δὲ ἧττον καὶ μετὰ ταῦτα νόθος ἐστὶ κολοιός. Καὶ ὁ μετασχηματισμὸς πλάνην μὲν τοῖς ὁρῶσι μεταβολῇ τοῦ ὑποκειμένου ποιεῖ· οὐ μὴν κατ' οὐσίαν, ὃ δὴ μετασχηματίζει, ἀναιρεῖν
70 δύναται.

Οἶδας οὖν ὃ ποιήσεις, ἵνα καὶ τὸν νόμον ἐμοὶ σώσῃς, καὶ σαυτῷ τὸ ἐνθύμημα; Ἐπειδὰν ἀφίξωμαί σοι συμμεθέξων τῆς πανηγύρεως ὁπόσον εἰκὸς ἐμοί, μήτε αὐτίκα ἐάσῃς ἀπεῖναι τῆς τελετῆς, ἀλλὰ συλλαβών, καὶ δεσμήσας, ἀκριβῶς φύλαττε. Εἶτα
75 δὴ ἐγὼ μὲν προσποιήσομαι τοὐμὸν ἴδιον, καὶ ἀκκιοῦμαί σοι, καὶ ἀπερυθριάσω· σὺ δὲ ἔτι μᾶλλον ἐπίσφιγγε τὸν δεσμόν, μόνον οὐκ ἐν ἱστοπέδῃ δήσας, ὥσπερ τὸν Κεφαλλῆνα οἱ συγκαταπλέοντες ἑταῖροι αὐτοῦ· εἶθ' οὕτως ἀνεγκλήτως ἀκούσομαι τῶν Σειρηνίων ᾠδῶν. Καὶ (ναὶ πρὸς φιλίου!) εἰ οὕτως μέλλεις ποιεῖν, ἔστωσαν
80 ἐμοὶ καὶ Σειρῆνες· οὐκ εἰμὶ σεμνότερος Δαυῒδ ὃς δὴ καὶ κιθάραις καὶ ναύλαις τοὺς ἱεροὺς ἐμελούργει ψαλμούς. Εἰ δὲ μὴ οὕτω

66–67 ὁ κολοιὸς – κολοιός: cf. Aesop. Κολοιὸς καὶ ὄρνεις = Fab. 103 cum e.g. Ps.-Nonnus Συναγωγὴ ... ἱστοριῶν ... in Greg. Naz. Or. 4, hist. 63 ἡ κατὰ τὸν κολοιὸν καὶ τὰ πτερὰ αὐτοῦ. cf. Psel. Εἰς τὴν θυγατέρα Στυλιανὴν ... 67,31–68,4 ‖ **79** πρὸς φιλίου: i.e. Zeus; cf. Plat. Ἀλκιβιάδης α´ 109d μὰ τὸν Φίλιον τὸν ἐμόν τε καὶ σόν cum Synes. Cyren. Epist. 51,2–3, 59,9, 103,1, 129,11–12. cf. Π 9,68, Π 28,15, Π 128,6, et Π 213,19 ‖ **76–80** σὺ – Σειρῆνες: cf. Hom. Od. 12,39–54 et 197–200, locus saepe laudatus; cf. Π 199,31 et Π 379,4–5; cf. etiam Εἰς τὸ ῥητὸν τοῦ Ἰὼβ ... 'καὶ ὁ διάβολος παρέστη ... = Theol. I 32,59, et Π 63,31–32, Π 112,79–80, Π 117,67, Π 248,16 et 23–27, Π 445,8–10, et Π 486,5; cf. etiam Π 30,11, Π 76,49–50, et Π 128,36–37

66 κωλοιὸς C-M | ἀλλοτρίων : ἄλλων τριῶν C-M ‖ **66–67** ὠνομάζετο P S: ὠνόμασται C C-M ‖ **67** ἐστὶν C | κωλοιὸς C-M ‖ **68** μεταβολῇ C C-M: μεταβολῆς P S ‖ **69** δὴ P S: om. C C-M ‖ **71** οἶδας: P S: οἶσθ' C C-M | σώσοις C-M ‖ **72** ἐπειδὰν: P C-M S: ἐπειδ' ἂν C | συμμετέχων C-M ‖ **73** ὁπόσον – ἐμοί P S: om. C C-M | μήτε αὐτίκα P S: μὴ μὲ C μή με C-M ‖ **74** δεσμήσας C C-M: δεσμεύσας P S ‖ **76** τὸν δεσμόν C C-M: om. P S ‖ **77** συγκαταπλέοντες P S: συμπλέοντες C C-M ‖ **78** αὐτοῦ P S: om. C C-M | εἶθ' : οὐθ' C | Σειρηνίων P S: Σειρηνείων C C-M ‖ **79** οὕτως P C S: οὕτω C-M ‖ **80** ἐμοὶ P S: ἡμῖν C C-M

ποιήσεις περὶ τὸν Σίδης, ἢ περὶ ἐμέ, ἢ περὶ ἄλλον ὀντιναοῦν, ὥσπερ ἑπτακύκλου ἀσπίδος τὸν χρυσοῦν ὑφαιρεῖς ὀμφαλόν.

122. Τῷ αὐτῷ

Τῷ μεγάλῳ δρουγγαρίῳ κῦρ Κωνσταντίνῳ. ca. a. 1073/1074

S 84 [P], C-M 5

Ἐγὼ μέν, ὦ ἱερὰ καὶ τριπόθητε κεφαλή, οὐκ οἶδα εἴτε ὡς ἄγροικος, εἴτε ὡς ἐκλαθόμενος τῶν τοῦ γάμου προεισοδίων, αὐτίκα ᾤμην τὴν τελετὴν εἰσιών, πᾶσι μὲν αὐλοῖς, πάσαις δὲ κιθάραις περιηχηθήσεσθαι, προϊὼν δέ, μήλοις μὲν βληθήσεσθαι παρὰ τῶν ταῖς πλαγίαις θύραις ἐφεστηκυιῶν γυναικῶν, ῥόδοις δὲ 5 καταρρανθήσεσθαι ἄνωθεν, καὶ μηδ᾽ ἀρκέσειν τὰ ὦτα πρὸς τὸν ὑμέναιον. Διὰ ταῦτα αἰσχυνομένῳ ἐῴκειν καὶ ἀναβαλλομένῳ τὴν ἱερὰν δᾳδουχίαν, ἵνα μὴ ἀπαίσιος γενοίμην πρὸς τὴν πανήγυριν,

82 τὸν Σίδης: Ioannes; cf. e.g. Cont. Scyl. 155,8–11 προσελάβετο (scil. Michael VII Ducas) δὲ διὰ τοῦτο Ἰωάννην τὸν τῆς Σίδης μητροπολίτην εἰς τὸ τὰ κοινὰ διοικεῖν, εὐνοῦχον μὲν τὴν φύσιν, δραστήριον δὲ καὶ ἀμφιδέξιον, πρωτοπρόεδρον τῶν πρωτοσυγκέλλων τυγχάνοντα, ἄνδρα πᾶσι τοῖς ἀγαθοῖς σεμνυνόμενον ‖ **83** ἑπτακύκλου – ὀμφαλόν: cf. Liban. Εἰς Εὐστάθιον τὸν Κάρα = Or. 44,2,6 ὀμφαλοῦ τε ἀσπίδος χρυσίου cum Declam. 33,1,17,7–8 ἀλλ᾽ ἔδει καὶ τὸν τῆς ἀσπίδος ὀμφαλὸν ἐξαλείφειν χρυσῷ ‖ **1** ὦ – κεφαλή: Synes. Cyren. Epist. 79,8 νὴ τὴν ἱεράν σου καὶ τριπόθητον κεφαλήν et 86,1–2 πρὸς τὴν ἱεράν σου καὶ τριπόθητον κεφαλήν. cf. Π 42,20, Π 64,1, Π 65,21–22, Π 68,36, Π 180,2, Π 183,14–15, Π 193,15–16, Π 198,5–6, Π 211,56–57, Π 494,2–3. cf. etiam Psel. Ἐγκωμιαστικὸς εἰς ... Μιχαὴλ τὸν Κηρουλλάριον = Or. fun. I 1,61,30, Περὶ τῶν ἰδεῶν ἃς ὁ Πλάτων λέγει = Phil. min. II 33 (111,24–25), Π 284,9–10 et Π 394,19–20

82 ποιήσεις P S: ποιήσειας C C-M | περὶ[1] P S: παρὰ C C-M | περὶ[2] P S: παρ᾽ C C-M | περὶ[3] P S: παρ᾽ C C-M ‖ **ep. 122** P 207v–208r, C 200r–202r, a[7] 95r–96v (= C-M), a[9] (= C-M), b[2] 239–245 (= C-M), p[2] 119r–121v (= C-M), t 124v–128r (= C-M); tit. P S: τῷ αὐτῷ (= Κωνσταντίνῳ ἀδελφῷ) μετὰ τὸ ἀπαντῆσαι εἰς τὸν ἀρραβῶνα τοῦ αὐτοῦ C ὁ αὐτὸς τῷ αὐτῷ (= Κωνσταντίνῳ ἀδελφῷ) μετὰ τὸ ἀπαντῆσαι εἰς τὸν ἀρραβῶνα τοῦ αὐτοῦ C-M ‖ **1** μέν P S: δὲ ᾤμην C C-M τριπόθειτε C-M ‖ **3** ᾤμην P S: om. C C-M ‖ **4** περιηχηθήσεσθαι P S: περιηχήσεσθαι C C-M ‖ **6** καταραντήσεσθαι C-M | μηδ᾽ ἀρκέσειν C-M: μὴ διαρκέσειν P S μηδὲ ἀρκέσειν C

καὶ μέ τις ἰδὼν οἰωνίσαιτο ἐν χάρισι μέσαις καὶ τηλικαύτῃ
10 λαμπρότητι, μελένδυτον ἀκριβῶς καὶ αὐτῷ τῷ σχήματι
σκυθρωπάζοντα· οὐ γὰρ ᾔδειν ταῖς Ἐλευσινίαις μέλλων προσιέναι,
καὶ μυστηρίοις ἀτεχνῶς ἀπαντήσεσθαι, καὶ ἄναυλον καὶ ἄχορδον
ἑορτᾶσαι πανήγυριν, καὶ «θύσειν» (ὅ φασιν) «ἄκαπνα».

Οὕτως ἐκ διαμέτρου τῶν ἐλπίδων τετύχηκα· καί σε μετὰ τῶν
15 ἄλλων τεθαύμακα, ὅτι τὰ τῶν Χαρίτων μυούμενος, ἢ μᾶλλον
μυσταγωγῶν, τὰς σεμνὰς συμπαρέλαβες Μούσας, καὶ κρατῆρα
κιρνῶν ἡδονῆς, οὐκ ἄμικτον τὸ κρᾶμα ποιεῖς, ἀλλὰ καὶ φιλοσο-
φίαν συμπαραλαμβάνεις τῷ πράγματι, οὔτε τὸν Διόνυσον
ἄμουσον, οὔτε τὰς Μούσας ἀπροσδιονύσους ποιούμενος, οὔτε
20 ἀναφροδίτους τὰς Χάριτας.

Ἔμοιγ᾽ οὖν φιλόσοφος ἀληθῶς ἡ τελετὴ ἔδοξε, καὶ εἰ μὴ
ἀπηντήκειν, μετεγνώκειν ἄν. Τὰ μὲν γὰρ Ἐλευσίνια, καὶ ἡ
Μιθριακὴ τελετή, τὰ μὲν ἄνετα καὶ πομπὴ ἀτεχνῶς καὶ ἐν γέλωτι
τὰ μυστήρια, ἡ δὲ διεστοιβασμένη, καὶ κολάζουσα μᾶλλον, ἢ
25 μυσταγωγοῦσα· καὶ ἐναντίως ἀλλήλοις εἶχε πάλαι τὰ παίγνια.
Τὰ δὲ σὰ Παναθήναια (οὕτω γὰρ δέον εἰπεῖν διὰ τὴν παντοδαπὴν

13 θύσειν – ἄκαπνα: CPG II 193–194 (nr. 43) cum Athen. Δειπνοσοφισταί 1,14 ἄκαπνα γὰρ αἰὲν ἀοιδοὶ θύομεν. cf. Π 478,4–5 ‖ **19** οὔτε[1] – ποιούμενος: cf. Plut. Συμποσιακά 671e10-11 οἶμαι δὲ καὶ τὴν τῶν σαββάτων ἑορτὴν μὴ παντάπασιν ἀπροσδιόνυσον εἶναι ‖ **22–24** τὰ μὲν – μυστήρια: cf. e.g. Suda τ 19 ὅτι ἐπὶ τῆς ἁμάξης ὀχούμεναι αἱ γυναῖκες αἱ τῶν Ἀθηναίων, ἐπὰν εἰς Ἐλευσίνια ἐβάδιζον εἰς τὰ μεγάλα μυστήρια, ἐλοιδόρουν ἀλλήλας ἐν τῇ ὁδῷ. cf. etiam Psel. Πρὸς τὸν λοίδορον ῥίψαντα χάρτην = Or. min. 7,11–12 οὐχ ὡς ἀπὸ τῶν Ἐλευσινίων ἄπεισι λαμπρός τε καὶ γεγηθώς ‖ **22–25** καὶ – μυσταγωγοῦσα: cf. Ps.-Nonnus Συναγωγὴ … ἱστοριῶν … in Greg. Naz. Or. 4, hist. 47 ἡ ἐν Μίθρου κόλασις et in Or. 39, hist. 18 περὶ τῶν κολάσεων τοῦ Μίθρου cum Suda μ 1045; cf. Π 20,31–34

9–10 τηλικαύτῃ λαμπρότητι P: τηλικαύτα λαμπρότατα C τηλικαύτης λαμπρότητος C-M τηλικαύτην λαμπρότητα S ‖ **10** μελένδυτον P S: μελάνδετον C μελάνδυτον C-M ‖ **15** τῶν P S: om. C C-M ‖ **17** κρᾶμμα C-M **17–18** φιλοσοφίαν P S: φιλοσόφου C φιλόσοφον C-M ‖ **19** ἀπροσδιονύσους P C-M S: ἀπροσδιονύσου C ‖ **21** ἔμοιγ᾽ οὖν P S: ἐμοὶ γοῦν C C-M

τῶν συνεληλυθότων ἕξιν τε καὶ κατάστασιν), μίγμα τι τοῦ ποικίλου καλοῦ ἐτύγχανεν ὄντα.

Εἰ μὲν γὰρ ὡς φιλόσοφον τὸν σύλλογον ἐξετάζομεν, μεστὸν εὑρήσομεν χάριτος· εἰ δὲ ταῖς χάρισι παραβάλλομεν, ἔχοντά τι καὶ 30 τῆς θαυμασίας σεμνότητος. Καὶ ὥσπερ γὰρ ἡ μέν τις πάνδημος Ἀφροδίτη, ἣν τὸ δημότερον γένος πρεσβεύει, ἡ δέ τις ἄνωθεν, καὶ κομψῶς τοῦτο ἀλληγορεῖται τοῖς Ἕλλησιν, οὕτω δὴ καὶ Χάριτες, αἱ μὲν γυμναὶ τῶν πηγῶν ἀναδύουσιν, αἱ δὲ ἱερὰν στολὴν ἀμφιέννυνται, κατὰ τὸν αὐτὸν δὴ τρόπον καὶ ἐπιθαλάμιοι καὶ γαμήλιοι 35 ἑορταί, καὶ ὁπόσα τῷ ἐννόμῳ τελεῖται ἔρωτι: τὰ μὲν ἐπαφρόδιτα μόνον ὧν νεβρίδες καὶ θύρσοι προϋπαντῶσι, τὰ δὲ μετὰ φιλοσόφου σεμνότητος πρόεισι. Τοῖς μὲν γὰρ κρείττοσιν, οὐ δεῖ τῶν χειρόνων (ὅθεν ὑμνεῖταί τις σοφία ἱερά τε καὶ ἀκοινώνητος)· τὰ δὲ χείρω, ἣν μὴ τὰ κρείττω περιαμπίσχηται, εὐθὺς ἀσχήμονα δείκνυται. Διὰ 40

27–28 μίγμα – ὄντα: locutio in Nic. Chon. Χρονικὴ Διήγησις 109,22–24 Ἀφροδίτην Ἄρεϊ συνελθεῖν, τῇ δ' Ἐνυοῖ προσπλέκεσθαι Χάριτας· οὕτω τὰ τότε παίγνια μῖγμα ποικίλου καλοῦ ἐτύγχανεν ὄντα laudata ‖ **31–33** ἡ – Ἕλλησιν: cf. Plat. Συμπόσιον 180d5–182a6 cum e.g. Plot. VI,9,9,28–32 **33–34** Χάριτες – ἀναδύουσιν: cf. Paus. Περιήγησις Ἑλλάδος 9,35,6–7 ὅστις δὲ ἦν ἀνθρώπων ὁ γυμνὰς πρῶτος Χάριτας ἤτοι πλάσας ἢ γραφῇ μιμησάμενος, οὐχ οἷόν τε ἐγένετο πυθέσθαι με, ἐπεὶ τά γε ἀρχαιότερα ἐχούσας ἐσθῆτα οἵ τε πλάσται καὶ κατὰ ταὐτὰ ἐποίουν οἱ ζωγράφοι ... καὶ ταῦτα μέν ἐστιν ὁμοίως ἅπαντα ἐν ἐσθῆτι, οἱ δὲ ὕστερον (οὐκ οἶδα ἐφ' ὅτῳ) μεταβεβλήκασι τὸ σχῆμα αὐταῖς· Χάριτας γοῦν οἱ κατ' ἐμὲ ἔπλασσόν τε καὶ ἔγραφον γυμνάς ‖ **37** νεβρίδες – θύρσοι: cf. Eurip. Βάκχαι 24–25 νεβρίδ' ἐξάψας χροὸς / θύρσον τε δοὺς ἐς χεῖρα et Φοίνισσαι 791 οὐδ' ὑπὸ θυρσομανεῖ νεβρίδων μέτα †δινεύεις. iunctura saepe laudata; cf. e.g. Plut. Περὶ Ἴσιδος καὶ Ὀσίριδος 364e7-8 καὶ γὰρ νεβρίδας περικαθάπτονται καὶ θύρσους φοροῦσι et Philo Πρεσβεία πρὸς Γάϊον 79 κιττῷ καὶ θύρσῳ καὶ νεβρίσιν εἰς Διόνυσον ἠσκεῖτο. cf. etiam Π 134,9

27 ξυνεληλυθότων ante corr. C | μίγματι C-M ‖ **28** καλλοῦ C ‖ **29** ἐξετάζομεν P S: ἐξετάζωμεν C ἐξετάξωμεν C-M ‖ **30** παραβάλλομεν P S: παραβάλλοιμεν C παραβάλοιμεν C-M ‖ **31** τῆς : κατὰ τῆς C-M | καὶ P S: om. C C-M | τις P S: τις ἐστὶ C C-M ‖ **32** δημότερον P S: δημοτικὸν C C-M ‖ **33** κομψῶς P S: κομψὴ καὶ C κομψὴ καὶ κατὰ C-M ‖ **34–35** ἀναδύουσιν – ἐπιθαλάμιοι in marg. suppl. P ‖ **36** ἐν νόμῳ C-M ‖ **37** μόνον P S: μόνα C C-M | νεβρίδες P S: εὑρίδες C C-M ‖ **39** ἣν P C-M S: ἢ εἰ C

ταῦτα καὶ ἡ ὕλη τὸ εἶδος ἐνδέδυται, καὶ ὅροι ταύτης μὲν τὰ ἔνυλα εἴδη, τῶν δὲ ἐμψυχωμένων σωμάτων αὗται αἱ ψυχαί.

Τοιοῦτον δὴ καὶ τὸ σὸν κρᾶμα τῆς πανηγύρεως· Ἀφροδίσιος αὖρα μετὰ μουσικῆς ἐπιπνοίας· καὶ λόγος φιλόσοφος μετὰ
45 χαρίτων ἡδύτητος· καὶ ὑμέναιος, ἄχορδος μέν, ὥσπερ ἔδει, καὶ ἄναυλος, οὐ μέντοιγε καὶ ἀσύμφωνος· ἀλλὰ πρεπωδέστατα μὲν τὰ μέλη, οὐκ ἀκόλαστοι δὲ οἱ ῥυθμοί· οὐδὲ διθύραμβοι καὶ ἀνάπαιστοι, ἀλλὰ τὰ πλείω σπονδειακοὶ καὶ ἐπίτριτοι.

41–42 καὶ[1] – εἴδη: cf. Psel. Ἐγκωμιαστικὸς εἰς ... Μιχαὴλ τὸν Κηρουλλάριον = Or. fun. I 1,5,40–46 εἰ μὲν γὰρ ἁπλῶς ὕλη τις ἦν ἀνείδεος τὰ ἡμέτερα σώματα, ἐχρῆν δι' αὐτὸ τοῦτο ἀποδιοπομπεῖσθαι τοῦ λόγου τὸ ἄμορφον αἶσχος, καὶ αὐτὸ δὴ τοῦτο τελευταῖον καὶ ὑλικώτατον· ἐπεὶ δὲ καὶ ἐξ ἐνύλων εἰδῶν συμπεπήγαμεν, οὐκ ἀτιμαστέον μᾶλλον ἡμῖν διὰ τὴν ὕλην τὰ σώματα, ἢ τιμητέον διὰ τὸ εἶδος, ὃ δὴ ἄνωθεν ἀπὸ τοῦ νοεροῦ προεληλυθὸς ἐς τὰ σώματα λῆξαν ἀχώριστον ἔμεινε et Π 334,5–7 μηδὲ τὴν ὕλην οἱ φιλόσοφοι ἀξιοῦσιν ἀμέθεκτον τοῦ καλοῦ· ἐρᾷ γὰρ καὶ αὐτὴ τοῦ εἴδους, καὶ ἀμφιέννυται τοῦτο λαβοῦσα, καὶ οὐ φεύγει τὴν ἕνωσιν **41–42** καὶ[1] – ψυχαί: cf. Psel. Omn. doctr. 34–35 μίγνυται τὰ μιγνύμενα ἢ κιρνάμενα ἀλλήλοις ... ὡς τῇ ὕλῃ τὸ ἔνυλον εἶδος ... καὶ Ἀριστοτέλης δὲ διὰ τοῦτο τὴν ψυχὴν ποιεῖ διττήν, τὴν μὲν κεχωρισμένην, τὴν δὲ ἐν σώματι τὴν ὑπόστασιν ἔχουσαν· τὸ δὲ ἐν σώματι γεγονὸς τῆς ψυχῆς εἶδος ἐν ὀργάνου τάξει τέτακται πρὸς τὴν ἄνω ψυχήν ... ἡ ψυχὴ ἐν σώματι οὖσα ἢ ὀργάνῳ χρῆται τῷ σώματι ἢ ἀχώριστος ἐστὶν αὐτοῦ. ἀλλ' εἰ μὲν τὸ πρότερον, οὐκ ἀναγκάζεται δέχεσθαι τὰ πάθη τοῦ σώματος· εἰ δὲ ἀχώριστός ἐστι τοῦ σώματος, ἢ κέκραται πρὸς αὐτὸ ἢ διαπέπλεκται ἢ ὡς εἶδος ἔνυλόν ἐστιν. ἀλλ' εἰ μὲν κέκραται, οὐχ' ἡ ψυχὴ αἰσθάνεται καὶ πάσχει, ἀλλὰ τὸ ἐμψυχωμένον σῶμα ... etc. ‖ **41–42** τὰ – εἴδη: iunctura neoplatonica; cf. e.g. Psel. Omn. doctr. 64,11 τὰ ἔνυλα εἴδη περὶ τὰ σώματα μεριστά **43–44** Ἀφροδίσιος αὖρα: cf. Lucian. Ἔρωτες 12,17–18 Ἀφροδίσιοι προσέπνευσαν αὖραι ‖ **47–48** οὐκ – ἐπίτριτοι: cf. Hermog. Περὶ ἰδεῶν 1,6 (περὶ σεμνότητος) 31 συνθῆκαί γε μὴν σεμναὶ αἱ τῆς μὲν συγκρούσεως ἕνεκα τῶν φωνηέντων μὴ μικρολογούμεναι, τῷ δὲ ὅλῳ δακτυλικαί τε οὖσαι καὶ ἀναπαιστικαὶ παιωνικαί τε καὶ ἔστιν ὅτε ἰαμβικαὶ σπονδειακαί τε καὶ μᾶλλον· διὸ καὶ αἱ ἐξ ἐπιτρίτων ἁρμόττουσι τῷ σεμνῷ

41 ἡ P S: om. C C-M ‖ **42** αὗται P S: αὐταὶ C C-M ‖ **48** σπονδιακοὶ C-M

Εἰ δὲ καὶ αὐτὸς πάρεργον τῆς ἀναβολῆς ἐγενόμην, καὶ οἷον μαγάδιον ὑπετέθην τοῖς φθόγγοις, σὸν καὶ τοῦτό ἐστι, δι' ὃν ἐγὼ 50 πάντα γίνομαι, ἵνα σε πανταχόθεν ἐμαυτῷ οἰκειώσωμαι· οὐ γάρ ἐστι περὶ ὅ τι ἄλλο ἐπραγματευσάμην ἐγώ, οὐδ' οὕτως ἑαλώκειν τινί, ἢ ἕτερόν τινα τῶν πάντων τεθήραμαι (εἰ μὴ λέγεις τὸν ἀδελφόν). Ἐλλοχῶ δὲ ὑμᾶς, ὥσπερ τις πελταστής, οὐκ αὐτόθεν, ἀλλ' ἀπὸ τοῦ πατρός, ἀπὸ τῶν ἱερωτέρων τοῦ γένους, ἀπὸ τῆς 55 θαυμασίας μητρὸς (ἣν ἐγὼ ἀπεικόνισμα φαίην ἂν ἀρετῆς), ἀπὸ τῶν ἐγγυτέρω, ἀπὸ τῶν πορρωτέρω. Καί πως συμβέβλημαι ὑμῖν, καὶ ἀναπέφυκα ταῖς ψυχαῖς καὶ συμπέφυκα, οὐκ ἐξ ἀγριελαίου ἐγκεντρισθεὶς εἰς τὴν καλλιέλαιον, ἀλλ' ἐκ τῆς αὐτῆς (ἵν' εἴπω) φυτείας τε καὶ πιότητος. 60

Εἰ δὲ καὶ γένος ἐστὶ ψυχῶν (ὑποτιθέσθω δὲ ὁ λόγος, οὐ δογματιζόμενος ἀλλ' ἁπλῶς εἰσαγόμενος), εἰ τίς ἐστι ψυχῶν καὶ

49 καὶ[1] – ἐγενόμην: Greg. Naz. Εἰς τὸν μέγαν Βασίλειον ... = Or. 43,59 ταύτης τῆς ἐπινοίας δέδοικα μὴ καὶ αὐτὸς ἐγενόμην πάρεργον. cf. Psel. Χρονογραφία VII,136 (=VIIb15) κἀγὼ τῆς στρατείας πάρεργον γίνομαι et Π 355a,11–12 et 355b,7 με μὴ πάρεργον φιλίας πεποίησαι ‖ **49–50** οἷον – φθόγγοις: cf. Greg. Naz. Λόγος θεολογικὸς δεύτερος, περὶ θεολογίας = Or. 28,24 τίς ὁ δοὺς τέττιγι τὴν ἐπὶ στήθους μαγάδα. cf. Psel. ⟨Ad discipulos de philosophia et rhetorica⟩ = Or. min. 25,89–90 et Π 76,46 ἔστι δέ μοι καὶ μουσικὸν ἐν τῷ στήθει μαγάδιον ‖ **50–51** ἐγὼ – γίνομαι: cf. Π 64,18 ἀλλὰ παντοδαπὸς πᾶσι γέγονα πράγμασι. cf. etiam I Cor. 9,22 τοῖς πᾶσιν γέγονα πάντα ‖ **53–54** τὸν ἀδελφόν: Nicephorus (Π XXXI) ‖ **54** ἐλλοχῶ – πελταστής: Plat. Θεαίτητος 165d5–6 ἐλλοχῶν ... πελταστικὸς ἀνὴρ μισθοφόρος ‖ **55** τῶν – γένους: Michael Cerularius, patriarcha (Π XXIX) ‖ **58–59** οὐκ – καλλιέλαιον: Rom. 11,24 (locus saepe laudatus) εἰ γὰρ σὺ ἐκ τῆς κατὰ φύσιν ἐξεκόπης ἀγριελαίου καὶ παρὰ φύσιν ἐνεκεντρίσθης εἰς καλλιέλαιον. cf. Psel. Χρονογραφία VI,15,10–11, Εἰς τὸν ... μητροπολίτην Μελιτηνῆς = Or. fun. I 5,5,7–8, et Π 89,114–119 et Π 185,45–46 ‖ **62–63** ψυχῶν – συγγένεια: cf. Synes. Cyren. Αἰγύπτιοι ἢ περὶ προνοίας 1,1,6–7 ἔστι δὲ οὐ μία ψυχῶν καὶ σωμάτων συγγένεια. cf. Psel. Ἐγκωμιαστικὸς εἰς ... Μιχαὴλ τὸν Κηρουλλάριον = Or. fun. I 1,58,22–24 et Π 252,20–22 ‖ **62–64** εἰ – ἡμεδαπαί: cf. Π 252,19–23 εἰ δέ τις ἔστι καὶ ψυχῶν συγγένεια καὶ χαρακτὴρ ὁμοιότητος, καὶ νοερῶν συνθημάτων ἐμφέρεια, θαρρήσας ἐρῶ, ὡς αἱ ψυχαὶ ἀμφοῖν, ἥ τε

50 ὑποτεθὲν C-M | ἐστίν C ‖ **51** γίνωμαι C ‖ **52** ἐστιν C | ὅ – ἄλλο P S: ὅν τινα ἄλλον C C-M ‖ **54** τις P S: om. C C-M | αὐτόθεν P S: αὐτόθι C C-M **55** ἱερωτέρων P S: ἱερωτάτων C C-M ‖ **59** ἵν' εἴπω : ἣν ἀεὶ C-M ‖ **60** ποιότητος C-M ‖ **62** καὶ (prius) P S: om. C C-M

συγγένεια, καί τινες χαρακτῆρες ἰδιάζοντες ἐνίαις αὐτῶν ἐπιβέβληνται, ἐγνώκεισαν ἀλλήλας αἱ ἡμεδαπαί· ὁρῶ γὰρ ὅτι μοι καὶ
65 τῶν ἠθῶν κεκοινωνήκατε, καὶ οὔτε τὸ ἁπλοῦν ὑμῶν πᾶσιν ἁλώσιμον, καὶ τῷ γενναίῳ ποικιλίας οὐ μέτεστιν.

Ὁρᾷς οὖν, ἀνεψιὲ φίλτατε, ὅπως ὁ ἀρραβὼν ἡμᾶς μᾶλλον συνέδησεν, ἢ ἐκείνους ἐφ' οἷς ἑώρτασται; Τοιοῦτόν ἐστιν ἐρῶσα καὶ ἐρωμένη ψυχή, πάντα λόγον καὶ πᾶσαν ὑπόθεσιν τοῦ οἰκείου
70 ποιεῖται ἔρωτος.

Οἵας οὖν ἔμελλον ἀπολειφθήσεσθαι πανηγύρεως! Νὴ τὴν ἱεράν σου ψυχήν, ἱλαρὰν ἔχω καὶ τοῖς ἡδίστοις ἁλώσιμον τὴν ψυχήν· ἣν που ἐντύχω ταῖς χάρισι, γίνομαι τούτων εὐθύς, καί μοι ἀνεῖται ἡ γνώμη, καὶ ὥσπερ Ζεφύρου πνοαῖς ἔγκειμαι. Ὁπότε δὲ
75 καὶ παρὰ σοὶ καταλύω, μάλιστα διαχέομαι· διατί; ὅτι δῆτα ἐν τοῖς ἐμοῖς τὸ συσσίτιον.

123. Τῷ αὐτῷ

Τῷ μεγάλῳ δρουγγαρίῳ κῦρ Κωνσταντίνῳ, τῷ ἀνεψιῷ τοῦ πατριάρχου Μιχαήλ.
ante Π 124 et Π 125

S 85 [P]

Πάλαι ποτὲ ἀπέτικτον ἐγώ, ἄγαλμα σοφίας ἐπήρατον, ὡραίας ἐπιστολάς, αἷς δὴ σὺ περιτυγχάνων πολλάκις, εἶτα δὴ καὶ

ἐμή, καὶ σή, ὁμόθεν γεγάασι, καὶ ἀπὸ μιᾶς πηγῆς συνερρύησαν, ὅθεν ἀλλήλας ἐπιγινώσκουσι

74 ὥσπερ – πνοαῖς: iunctura saepe laudata. cf. Hom. Il. 19,415 πνοιῇ Ζεφύροιο (cf. Od. 4,402 et 10,25), Eurip. Φοίνισσαι 211 Ζεφύρου πνοαῖς, et Suda ζ 41 Ζεφυρία πνοή: … καὶ Ζεφύριον πνεῦμα. Ζέφυρος γὰρ λεῖος ἄνεμος. cf. Π 43,59 ὥσπερ Ζεφύρου πνεῦμα, Π 200,23–24 πνεῦμα ἐπεγείρειν οἷος ὁ Ζέφυρος, ἡδὺς ὁμοῦ καὶ λεῖος, et Π 305,21–22 καὶ ὡς Ζέφυροι περιπνεῖν ὁμαλῶς

64 ὁρᾷς C-M ‖ **65** ὑμῶν P S: ἡμῶν C C-M | πᾶσι C-M ‖ **68** συνέδησαι C ‖ **73** ἣν P S: κἂν C κἄν C-M ‖ **74** ἔγγειμαι C-M ‖ **75** διαχέωμαι C-M | διατί in marg. suppl. P | δῆτα P S: παρὰ σοὶ δισσὸν C παρὰ δὶς τὰ C-M ‖ **ep. 123** P 208r–v, O 287r–v, V 105r–106v, v4 199r–200r/147v–148r (= V), r fasc. 20 (= v4); tit. P (= τῷ μεγάλῳ δρουγγαρίῳ κῦρ Κωνσταντίνῳ) S: τοῦ αὐτοῦ ἐπιστολή, πρὸς τὸν μέγαν δρουγγάριον V om. O ‖ **1** ποτὲ P O S: ἀπέτεχον V ‖ **2** πολλάκις P V S: πολλοῖς O

θαυμάζων ἴσως τῆς χάριτος, οἴει καὶ αὖθίς με τοιαύτας ἀποτεκεῖν δύνασθαι. Διὰ τοῦτο σὺ μὲν ἐρᾷς τῶν ἐμῶν ὠδίνων, ἐγὼ δέ σοι ἐκφῆναι τὸν τόκον οὐ βούλομαι. 5

Ἡ μὲν γὰρ Λαῒς ἐκείνη, ἡ τὸ καλὸν τῆς ὥρας ἐν τοῖς τότε χρόνοις ἀνθήσασα, ἐπειδὴ ῥυτίδας ἐγνώκει περὶ τὸ πρόσωπον, ἀνέθηκε τὸ κάτοπτρον τῇ θεῷ: «οἵη μὲν γάρ» φησιν «ἦν πάρος, εἶναι οὐ δύναμαι· οἵη δὲ νῦν εἰμί, οὐ βεβούλημαι». Ἐμοὶ δὲ τοῦ πνεύματος ἐπιλείποντος, ὑφ' οὗ τὸ πρόσθεν ἐβρόντων τε ἐν τοῖς 10 λόγοις καὶ ἤστραπτον ἀτεχνῶς, αἰσχύνομαι νῦν ὑπὸ βύρσῃ βροντᾶν, καὶ μὴ ἐξ αἰθέρος, πολλῶν μοι συρρηγνυμένων νεφῶν.

Εἰ δ' ὥσπερ οἱ φιλότιμοι ἐρασταὶ ἁλώσιμος ὑπὸ συνηθείας γέγονας, ὥστε τὴν ἀνθοῦσάν ποτε ὥραν καὶ μετὰ χαλαρᾶς ῥυτίδος προσίεσθαι, οὐδ' ἂν αὐτός σοι προσποιήσωμαι, οὔτε τὸ τῆς ἐμῆς 15 ψυχῆς ἀσύλληπτον, οὔτε τὸ πρὸς τόκους ἀνεπιτήδειον· οὐ γὰρ ὥσπερ ἐπὶ τῶν σωμάτων, οὕτω δὴ καὶ ἐπὶ τῶν ψυχῶν αἱ τῶν λόγων ὠδῖνες ἔχουσι: τὰ μὲν γάρ οὐκ ἔστιν ὅπως, πρὸς τὸ τίκτειν ἀπoναρκήσαντα, εἰς τὴν πρώτην ἐπανέλθοιεν δύναμιν· αἱ δὲ ψυχαὶ

6–9 ἡ μὲν – βεβούλημαι: AP 6,1 Πλάτωνος. Ἡ σοβαρὸν γελάσασα καθ' Ἑλλάδος, ἡ τὸν ἐραστῶν / ἑσμὸν ἐνὶ προθύροις Λαῒς ἔχουσα νέων, / τῇ Παφίῃ τὸ κάτοπτρον, ἐπεὶ τοίη μὲν ὁρᾶσθαι / οὐκ ἐθέλω, οἵη δ' ἦν πάρος, οὐ δύναμαι ‖ **11–12** ὑπὸ – βροντᾶν: Greg. Naz. Κατὰ Ἰουλιανοῦ στηλιτευτικὸς β´ = Or. 5,8 καὶ Σαλμωνεὺς εἶναί τις ἐκ βύρσης βροντῶν. cf. etiam Ps.-Nonnus Συναγωγὴ … ἱστοριῶν … in Greg. Naz. Or. 5, hist. 2 περὶ τοῦ Τὸν Σαλμωνέα ἐκ βύρσης βροντᾶν ‖ **12** βροντᾶν – νεφῶν: cf. Psel. Ἐγκώμιον εἰς Ἰωάννην … Εὐχαΐτων … = Or. pan. 17,537–538 πνεύματα ἐκ τῶν νεφῶν συρρηγνύμενα. iunctura Pselliana in Nic. Mesar. Λόγος ἀφηγηματικὸς … ἐπὶ νεωτερισμῷ τινος … = Seditio Ioanni Comneni 19,19–20 μὴ βροντή τις ἐξ οὐρανοῦ συρρηγνυμένων νεφῶν laudata? ‖ **14** χαλαρᾶς ῥυτίδος: Synes. Cyren. Epist. 3,35 ὑπὸ χαλαρᾷ ῥυτίδι. cf. Psel. Χρονογραφία VI,6, Ἐγκώμιον εἰς τοὺς κόρεις = Or. min. 29,83 et Π 171,3–4. iunctura Synesiana (vel Pselliana?) saepe in Nic. Chon. laudata (e.g. Or. 7 [57,6]) ‖ **17–18** αἱ – ὠδῖνες: Greg. Naz. Λόγος θεολογικὸς πρῶτος πρὸς Εὐνομιανούς = Or. 27,9 οὐ κατέχεις τὴν ὠδῖνα τοῦ λόγου; cf. Psel. Ἐγκώμιον εἰς … Νικόλαον μοναχὸν … = Or. fun. I 10,6,2 et Εἰς δύο τινὰς τῶν μαθητῶν αὐτοῦ λογογραφήσαντας πρὸς ἀλλήλους = Or. min. 20,50 et 58

3 καὶ – τοιαύτας P S: τοιαύτας με καὶ αὖθις V τοιαῦτά με καὶ αὖθις O **4** τοῦτο : ταῦτα S ‖ **6** μὲν om. S ‖ **7** ἐπειδὴ P O S: ἐπεὶ V ‖ **10** ἐπιλείποντος P V S: ἐπιλιπόντος O ‖ **14** ὥστε : ὡς S

20 δύναιντ' ἂν πρὸς τὴν προτέραν ἕξιν μετενεχθῆναι, ἢ λόγου ταύτας ἐπάρδοντος, ἢ προθυμίας διεγειρούσης.

Εἰ δὲ καὶ τῷ ἐπιδεικνυμένῳ τὴν ὥραν τοῦ λόγου ὁ ἀκροατὴς ἐπιρωννύει τὴν δύναμιν, πῶς οὐχὶ μᾶλλον ἡ ἐπίδειξις κατὰ λόγον χωρήσει τῷ ῥήτορι; Ἔγωγ' οὖν ἐν μέσῳ θεάτρου πολλοῦ, αὐτὸ δὴ 25 τοῦτο θεατρίζων τὸ κάλλος τῶν λέξεων, καὶ περὶ τὴν ἐμμελῆ συνθήκην τῶν μερῶν τοῦ λόγου πραγματευόμενος, πρὸς τὰ τῶν ἀκροατῶν ὦτα καὶ σχήματα, εἴτε κατερραθυμημένα εἴη, εἴτε διεγηγερμένα καὶ δόκιμα, οὕτως ἢ ἐκείνως μεταρρυθμίζομαι.

Ὑπὸ σοὶ δέ μᾶλλον ἀκροατῇ τοὺς λόγους ποιούμενος, ἔνθους 30 τε γίνομαι, καὶ συνεπαίρομαί σοι τῷ ἐπτερωμένῳ σχήματι τῆς ψυχῆς, καὶ τῷ σημαίνοντί σοι τοῦ βλέμματος, καὶ τῷ γεγηθότι τοῦ μειδιάματος, καὶ ταῖς ἐμφύτοις καὶ ἀπροσποιήτοις χάρισι, χαριεστέρας σοι καὶ αὐτὸς τὰς τῶν λόγων ἀντεπιδείκνυμι χάριτας· ὃ γὰρ δὴ πρὸς τὰς τοῦ καιροῦ ὥρας καὶ τὰς τοῦ ἀέρος τροπὰς αἱ 35 ψυχαὶ πάσχειν πεφύκασι, τοῦτο δὴ πρὸς τοὺς ἀκροατὰς ἐγὼ τῶν ἐμῶν δημηγοριῶν γίνομαι· καὶ τὰ μὲν ἐσκυθρωπακὼς φαίνομαι, τὰ δέ ἀγλαΐας πληρούμενος.

Εἰ μὲν οὖν προῖκα ὥσπερ δὴ καὶ τὸν ἄλλον χρόνον προσηγηόχειν σοι τὴν ἐπιστολήν, οὐκ ἂν περὶ τὸ κάλλος ἐπραγματευσάμην 40 τῶν λέξεων. Ἐπεὶ δὲ ἄλλό τι νῦν ἐξεργάζομαι, ἐξωνούμενος, ἢ

29–30 ἔνθους – γίνομαι: Greg. Naz. Κατὰ Ἰουλιανοῦ στηλιτευτικὸς α´ = Or. 4,17 et Εἰς τὸν ἅγιον ἱερομάρτυρα Κυπριανόν = Or. 24,5 ὥσπερ ἔνθους ὑφ' ἡδονῆς γίνομαι, cf. Psel. Βίος καὶ πολιτεία … Αὐξεντίου … = Or. hag. 1c,682–683 et Π 38,23 et Π 140,17. cf. etiam Χρονογραφία VII,39 ἔμπνους τε γίνομαι τὴν ψυχὴν et infra Π 551,29 ‖ **30–31** τῷ – ψυχῆς: iunctura saepissime laudata; cf. Plat. Φαῖδρος 246c1 τελέα μὲν οὖν οὖσα (scil. ἡ ψυχὴ) καὶ ἐπτερωμένη etc. cum e.g. Herm. In Phaedr. 133,2 πτερὸν τῆς ψυχῆς ἐλέγομεν τὴν ἀναγωγὸν αὐτῆς δύναμιν et Ioann. Chrys. Πρὸς Στελέχιον, καὶ περὶ κατανύξεως 1 (PG 47 411,27–28) μετεωρίζει τῆς ψυχῆς τὸ πτερὸν πρὸς οὐρανόν. cf. Psel. Ἐγκωμιαστικὸς εἰς … Μιχαὴλ τὸν Κηρουλλάριον = Or. fun. I 1,59,36, Σελέντιον δημηγορηθὲν παρὰ βασιλέως κῦρ Μιχαὴλ τοῦ Δούκα = Or. min. 3,20–21, Εἰς τὸ 'εἶδον ἄνθρωπον ἐν Χριστῷ …' = Theol. I 27,78, Εἰς τὸ 'τὸ μέν, ἵνα μένῃ …' = Theol. I 91,110, et Π 206,30, Π 210,37, et Π 385,5–6

27 εἴτε[1] P V S: εἰ O ‖ **28** μεταρρυθμίζομαι V O: ῥυθμίζομαι P S ‖ **30** σχήματι P V S: ὀχήματι O (cf. Malt[2],191) ‖ **33** ἀντεπιδείκνυμι V O: ἀνταποδείκνυμι P S **34** ἀέρος V O: ἔαρος P S

ἀνταλλαττόμενος τῶν κρειττόνων τὰ χείρονα, διὰ ταῦτά σοι περιανθίζω, ὥσπερ ἐν πωλητηρίῳ, ταύτην δὴ τὴν ἀπεμπολουμένην ἐπιστολήν, ἵνα δὴ τῷ φαινομένῳ κάλλει θελχθείς, ὁποσουδήποτε ταύτην πρίῃ τιμήματος.

Ἢν δὲ βούλει, οὕτω πρὸς ἀλλήλους ποιήσωμεν. Μήτε ἐγώ 45 σοι τὴν χεῖρα ὠνήσομαι, μήτε αὐτὸς τὴν γλῶτταν ἐμοί, μὴδ᾽ ἀλλήλοις ταῦτα καταλλαξαίμεθα. Ἀλλ᾽ ἐπειδὴ σὺ μὲν ἐμοῦ μᾶλλον δεδύνησαι τῇ χειρί, ἐγὼ δέ σου τῇ γλώττῃ καθυπερτερῶ, ἀφορμὰς ἀλλήλοις τῶν ἀντιδόσεων ποιήσωμεν ἄλληλα, ὥσπερ ἐπὶ τῶν ἀτμῶν ἔχει καὶ τῶν ὑετῶν. Τοὺς μὲν γὰρ ἀτμοὺς ἡ γῆ πρὸς 50 τὸν οὐρανὸν ἀναπέμπουσα, ἀφορμὰς ἐκείνῳ ὑετῶν δίδωσιν, ἐκεῖνος δὲ τὸ ὑποκείμενον ὑετίζων στοιχεῖον, αὐτὸ δὴ τὸ ἀντιπεμπόμενον ἀρχὴν ἀτμίδος ἐργάζεται.

Ἀλλὰ σοὶ μὲν περὶ τὴν ἐμὴν ταύτην ἴσως ἐπιστολὴν τὰ ὦτα θελχθήσεται· ἢ καὶ εἰς καρδίαν ἡδονή τις ἐντεῦθεν καταρρυεῖσα, 55 θέλξει τε καὶ καταψυχαγωγήσει, καὶ εἰς ἡδίστην ἕξιν σε διαθήσεται. Ἐγὼ δὲ οὐκ οἶδ᾽ ὅ τι τῆς ἀντιδόσεως κερδανῶ· μᾶλλον δὲ οἶδα ὡς οὐδὲν μετὸν ταύτης ἐμοί.

50–53 τοὺς – ἐργάζεται: cf. Psel. Περὶ ὑετοῦ, χαλάζης, χιόνος, πάχνης καὶ δρόσου = Phil. min. I 20

43 θελχθείς P V S: θελχθῇς O ‖ **44** ταύτην πρίῃ V: ταύτην προΐῃ P S πρίῃ ταύτην O (cf. Malt²,191) ‖ **46** μήτε αὐτὸς P S: μήτ᾽ αὐτὸς V O | μήδ᾽ ἀλλήλας ταύτας ποιήσωμεν post ἐμοί add. O ‖ **47** ἀλλήλοις ταῦτα P V S: ἀλλήλας ταύτας O ‖ **48** σου : σοι S ‖ **51** τὸν P V S: om. O ‖ **52** τὸ¹ P O S: om. V **54–55** ταύτην – θελχθήσεται P S: ἴσως ἐπιστολὴν τὰ ὦτα θελχθήσεται V ταύτην ἐπιστολὴν τὰ ὦτα ἴσως θελχθήσεται O ‖ **55** ἢ καὶ V: ἢ P S καὶ O καταρρυεῖσα V O: παραρρυεῖσα P S ‖ **56** καταψυχαγωγήσει P V S: ψυχαγωγήσει O ‖ **58** μετὸν ταύτης P V S: με τῶν ταῦτα O

Ἀλλ᾽ οὖν οὐ χείρων ἐγὼ τῶν χελωνῶν ἔσομαι· ἐκεῖναι γὰρ
60 διψῶσαι, οὐ κατὰ μίαν ἅπασαι σπῶσι τοῦ νάματος, ἀλλ᾽ ἣν ἡ
πρώτη ἀποχρώντως πίῃ, αἱ λοιπαὶ ἀρρήτως κορέννυνται.

124. Τῷ αὐτῷ

Τῷ μεγάλῳ δρουγγαρίῳ κῦρ Κωνσταντίνῳ, τῷ ἀνεψιῷ τοῦ πατριάρχου Μιχαήλ.
post Π 123 et ante Π 125

S 86 [P]

Θαυμάζειν μοι λίαν ἔοικας, θαυμασιωτάτη τῷ ὄντι ψυχή, μικροῦ
δὲ καὶ διαπιστεῖν, εἰ διψῶσα χελώνη, εἶτα δὴ πιοῦσα ποταμῶν ἢ
πηγῶν, διαδόσιμον τὸ τῆς δίψης ἄκος ταῖς συνεπομέναις ποιεῖται.
Καὶ ἐκπλήττει μὲν ὡς ἀληθῶς καὶ τὴν ψυχὴν καὶ τὴν ἀκοὴν τὸ
5 γινόμενον· ἔστι δὲ τὰ πολλὰ ἡ φύσις τοιοῦτον, ἐν οἷς ἀπόδειξις μὲν
οὔτε ἐξ ἐπαγωγῆς ἐστιν, οὔτε ἐκ πρώτων αἰτιῶν ἢ ἀρχῶν

59–61 οὐ – κορέννυνται: cf. Π 124,1–10 θαυμάζειν μοι λίαν ἔοικας, θαυμασιωτάτη τῷ ὄντι ψυχή, μικροῦ δὲ καὶ διαπιστεῖν, εἰ διψῶσα χελώνη, εἶτα δὴ πιοῦσα ποταμῶν ἢ πηγῶν, διαδόσιμον τὸ τῆς δίψης ἄκος ταῖς συνεπομέναις ποιεῖται. καὶ ἐκπλήττει μὲν ὡς ἀληθῶς καὶ τὴν ψυχὴν καὶ τὴν ἀκοὴν τὸ γινόμενον· ἔστι δὲ τὰ πολλὰ ἡ φύσις τοιοῦτον, ἐν οἷς ἀπόδειξις μὲν οὔτε ἐξ ἐπαγωγῆς ἐστιν, οὔτε ἐκ πρώτων αἰτιῶν ἢ ἀρχῶν ἐγνωσμένων, τὸ δὲ ὁρώμενον ἀντὶ πάσης ἀρκεῖ τῆς διὰ τῶν λόγων ἐντέχνου πίστεως. τί ποτε δὲ οὕτως ἐξεπλάγης τὸν νοῦν ἐπὶ τῷ παραδόξῳ τῶν χελωνῶν διηγήματι; **5–8** ἔστι – πίστεως: cf. Π 125,51–54 τὸ μέντοι γε εἰδέναι ὡς οὐκ ἐν πᾶσι τοῖς γιγνομένοις ἀποχρῶσά ἐστιν ἡ Πλατωνικὴ ἀπόδειξις, ἀλλ᾽ εἰσί τινα κρείττονα τῆς λογικωτέρας ἢ νοερωτέρας ἐπιβολῆς λυσιτελέστερα εἰς τὴν τῶν ὑπερφυῶν πραγματείαν ‖ **1–10** θαυμάζειν – διηγήματι: cf. Π 123,59–61 οὐ χείρων ἐγὼ τῶν χελωνῶν ἔσομαι; ἐκεῖναι γὰρ διψῶσαι, οὐ κατὰ μίαν ἅπασαι σπῶσι τοῦ νάματος, ἀλλ᾽ ἣν ἡ πρώτη ἀποχρώντως πίῃ, αἱ λοιπαὶ ἀρρήτως κορέννυνται

60 ἣν ἡ P V S: ἵν᾽ ἡ O ‖ **ep. 124** P 208v–209v, M 165r–166r, E 98r–99v, e[1] 235r–238v, e[2] 154v–157r, m[2] 408r–410r; tit. P (= τῷ μεγάλῳ δρουγγαρίῳ κῦρ Κωνσταντίνῳ) S: τοῦ αὐτοῦ τῷ πρωτοπροέδρῳ καὶ ἐπὶ τῶν κρίσεων κῦρ Κωνσταντίνῳ M E τῷ αὐτῷ πρωτοέδρῳ καὶ ἐπὶ τῶν κρίσεως κῦρ Κωνσταντίνῳ e[1] m[2] τῷ αὐτῷ πρωτοέδρῳ καὶ ἐπὶ τῶν κρίσεων κῦρ Κωνσταντίνον e[2] ‖ **1** μοι om. e[1] e[2] m[2] ‖ **3** διαδόσιμον ἐκδιδόσιμον e[1] e[2] m[2] **2–4** εἰ – ψυχὴν in marg. suppl. P ‖ **5** γινόμενον P S: γιγνόμενον M E e[1] e[2] m[2] **6** ἐξ ἐπαγωγῆς P S: ἐξαγωγῆς M E e[1] e[2] m[2]

ἐγνωσμένων, τὸ δὲ ὁρώμενον ἀντὶ πάσης ἀρκεῖ τῆς διὰ τῶν λόγων ἐντέχνου πίστεως.

Τί ποτε δὲ οὕτως ἐξεπλάγης τὸν νοῦν ἐπὶ τῷ παραδόξῳ τῶν χελωνῶν διηγήματι; Ἆρ' ὡς μήπω τεθεαμένος ἔργα φύσεως 10 ἄρρητα; Τὸ δὲ τῆς μαγνήτιδος λίθου, οὐ πάσης τεχνολογίας ἐπέκεινα; Τὸ δὲ τοῦ λαγωοῦ ἐπαμφότερον καὶ περὶ τὴν φύσιν ἀμφισβητήσιμον, οὗ πλεῖστοι τῶν τεθηρακότων τὸ γένος ἐν πλείστοις ἐγνώκασιν;

Ἆρ' οὖν εἰ μήπω ἐγνώκεις τῆς λίθου τὴν ἀπόρρητον δύναμιν, 15 εἶτα δή σοί τις ἐξετραγῴδησε τὸ γινόμενον, οὐκ αὐτὸ δὴ τοῦτο σκηνὴν ἀτεχνῶς καὶ δρᾶμα τὸν λόγον ᾠήθης; Νῦν δὲ διεστηκὸς τὸ σιδήριον ὀλίγῳ τῷ διαστήματι ἐφέλκεται ἡ μαγνῆτις ὥσπερ χειρῶν ἐπιβολαῖς ἐπισπωμένη πρὸς ἑαυτήν.

Ἴσθι τοιγαροῦν ὡς δυνάμεις τινὲς ἄρρητοι καὶ πάθη οὔπω τοῖς 20 πολλοῖς ἐγνωσμένα, καὶ ζώοις, καὶ λίθοις, καὶ πόαις ἐγκάθηνται· καὶ γοητεύεται ἄλλο παρ' ἄλλου, καὶ ἕτερον ἑτέρῳ αὐτομάτως προσφύεται. Καὶ τὰ μέν, ἄτομα ἐνεργεῖ, τὰ δέ, μετὰ τὴν τομήν, καὶ ἕκαστον τῶν τμημάτων ἄλλό τι ποιεῖ, καὶ σύνδεσμοι, καὶ ἶνες, καὶ χιτῶνες παντοδαποί· καὶ τὸ μὲν οὕτω σχηματισθέν, τήνδε 25

11–12 τὸ δὲ – ἐπέκεινα: cf. Psel. Περὶ λίθων δυνάμεων = Phil. min. I 34,68–69 ὁ μάγνης λίθος ἐστὶ μέλας καὶ βαρὺς καὶ ἀνώμαλος· καὶ ὁ μέν τις ἐπισπᾶται τὸν σίδηρον, ὁ δὲ ἀποπτύει et Ἐκ τοῦ αὐτοῦ λόγου, εἰς τὸ 'καινοτομοῦνται φύσεις' = Theol. I 69,69–70 κἂν ἡ μαγνῆτις τῷ σιδήρῳ ἑλχθείη, ἕλκειν τοῦτον φύσιν ἔχουσα, κεκαινοτόμηται, ὡς δὲ κἀκεῖνος τοῦτο πέπονθε ‖ **12–14** τὸ δὲ – ἐγνώκασιν: cf. e.g. Elias In Isag. 68,11–14 ἔστι ζῷον, ὃ πολλάκις τῆς ἡμέρας μεταβάλλει εἰς τὸ ἄρρεν καὶ τὸ θῆλυ ... καὶ ἡ ὕαινα δὲ τῶν μεταβαλλόντων ἐστὶν εἰς τὸ θῆλυ καὶ ἄρρεν ... καὶ ὁ λαγωὸς δὲ ὁμοίως τοῦτο πάσχει καὶ μεταβάλλει ‖ **20–21** δυνάμεις – ἐγκάθηνται: cf. Π 125,43–46 τὰς δὲ ἐνθεαστικὰς θεαγωγίας (οὕτω γὰρ Ἕλληνες αὐτὰς ὀνομάζουσιν) οὐ πόαι [καὶ] λίθοι, καὶ ζῶα τεμνόμενα, περὶ τοὺς θεατὰς ἐνεργοῦσι ‖ **20–23** δυνάμεις – προσφύεται: Synes. Cyren. Περὶ ἐνυπνίων 2,3,1–3 τῶν εἴσω τοῦ κόσμου λίθος ἐνθένδε καὶ βοτάνη προσήκει, οἷς ὁμοιοπαθῶν εἴκει τῇ φύσει καὶ γοητεύεται

12 λαγωοῦ P S: λαγὼ M E e¹ e² m² | ἐπαμφότερα e¹ e² m² ‖ **15** τῆς M E e¹ e² m²: τοῦ P S | post λίθου: οὐ πάσης τεχνολογίας ἐπέκεινα scripsit et del. e¹ ἀπόρρητον P S: ἄρρητον M E e¹ e² m² ‖ **16** ἐξετραγῴδησε P S: διέτραγώδησε M E e¹ e² m² | γινόμενον P S: γιγνόμενον M E e¹ e² m² ‖ **19** ἐπιβολαῖς P S: ἐπιβολῆς M E e¹ e² m² ‖ **22** ἑτέρου ante corr. e² ‖ **25** οὕτω P S: οὕτως M E e¹ e² m²

ἐπικτᾶται τὴν δύναμιν, τὸ δὲ ἑτέρως, ἄλλην τινὰ ἐνδείκνυται τὴν ἐνέργειαν. Καὶ σύμπνοια μὲν μία τῶν ὅλων, τὰ δὲ διεστήκασι· καὶ τὴν σύρροιαν οἶδεν ὁ τοῖς ὅλοις ἐφεστηκώς, εἴτε νοῦς, εἴτε τι τούτου ἐπέκεινα· οὐ γὰρ διήρηται τὰ ὄντα ἀσυμπαθῶς, ἀλλ' 30 ἥρμοσται ὑπερφυῶς, ἄλλα ἄλλοις· καὶ αἱ μὲν σειραὶ διάφοροι, καὶ ἡ ἐφεστηκυῖα ἑκάστη πηγὴ καὶ ἀρχὴ ἑτέρα πρὸς τὴν ἑτέραν· σύμπνουν δὲ καὶ τὸ ἐκείνων πάθος καὶ ὑπὸ τὴν πρώτην αἰτίαν πάντα.

Ἐγὼ δέ σοι θεραπεύειν τὸ πάθος ἑλόμενος, διαλύειν μὲν οὐ 35 δεδύνημαι, οὐδὲ ἀπογυμνοῦν τὰ τῆς φύσεως ἄδυτα· οὐδὲ γὰρ οἶδα οὐδ' ὅ τι τῶν ἀγνώστων τὸ καταπέτασμα. Ἑτέροις δὲ θαυμασίοις πλείοσιν ἑτοιμάσω σου τὴν διάνοιαν μὴ καινοπαθεῖν ἐφ' οἷς ἀκατάληπτόν ἐστι λόγῳ τὸ δραματουργούμενον ὑπὸ φύσεως.

27–28 σύμπνοια – σύρροιαν: cf. e.g. Galen. Περὶ τῶν ἐν τοῖς σφυγμῶν αἰτίων 88,11–13 ὁ γάρ τοι πατὴρ τοῦ δόγματος ὁ θεῖος ἐκεῖνος Ἱπποκράτης, σύρροια μία, φησὶ, σύμπνοια μία, πάντα πᾶσι συμπαθέα, φύσις κοινή et Ioann. Philop. Περὶ ἀϊδιότητος κόσμου 283,19–20 εἴπερ καθ' Ἱπποκράτην «σύμπνοια μία, σύρροια μία, πάντα συμπαθέα» cum Greg. Naz. Εἰρηνικὸς Α΄ = Or. 6,15 στοιχείων δὲ μίξεις καὶ κράσεις, καὶ μελῶν συμμετρίαι καὶ συμφωνίαι; ζώων δὲ τροφαὶ, καὶ γενέσεις, καὶ οἰκήσεις μεμερισμέναι; … ταῦτα πάντα οὕτως ἔχοντα, καὶ κατὰ τὰς πρώτας αἰτίας τῆς ἁρμονίας, εἴτ' οὖν συῤῥοίας τε καὶ συμπνοίας et Π 500,6–7 ‖ **28–29** εἴτε¹ – ἐπέκεινα: cf. Psel. Περὶ θεολογίας καὶ διακρίσεως δογμάτων Ἑλληνικῶν = Phil. min. II 35 (120,5–7) τὸ δὲ λεχθὲν περὶ τοῦ ἐπέκεινα τοῦ νοῦ, ὅτι κατὰ μὲν νόησιν πολλὰ λέγεται, θεωρεῖται δὲ ἀνοησίᾳ κρείττονι νοήσεως, γνησιώτατον τοῖς ἡμετέροις ἐστὶ δόγμασι cum Porph. Ἀφορμαὶ πρὸς τὰ νοητά 25 (15,1–2); cf. etiam Psel. Ἐξήγησις τῶν Χαλδαϊκῶν ῥητῶν = Phil. min. II 38 (145,11–22) et Π 202,204–205

29 συμπαθῶς e¹ e² m² | ἀλλ' P S: ἀλλὰ M E e¹ e² m² ‖ **30** ἄλλα P S: καὶ ἄλλα M E e¹ e² m² ‖ **34** post πάθος: καὶ ὑπὸ τὴν πρώτην αἰτίαν scripsit et del. e¹ ἑλόμενος P S: πειρώμενος M E e¹ e² m² ‖ **37** ἑτοιμάσω P S: ἑτοιμάζω M E e¹ e² m² | σου P S: σοι M E e¹ e² m² | καινοπαθεῖν P S: κενοπαθεῖν M E e¹ e² m² **38** δραματουργούμενον : δημιουργούμενον S

Αὐτίκα ἡ μὲν Ἐπιμενίδειος ἄλιμος σύνθετόν τι πρᾶγμά ἐστιν ἐκ διαφόρων εἰδῶν τοῖς χρωμένοις φύσιν ὑπερτέραν διατηροῦσα 40 ὀρέξεως. Τὸ δ' αὖ νηπενθὲς λήθην ἐμποιεῖ τῷ πιόντι ὧν πέπονθε ἀλγεινῶν· καὶ Ὅμηρος δὲ οἶδε τὸ φάρμακον, καὶ τῇ Τυνδάρεω θυγατρί τοῦτο χαρίζεται. Ὥσπερ δὲ τὸ νηπενθὲς σβέννυσι τὴν μνήμην τῶν ἀνιαρῶν, οὕτω δή τι ἕτερόν ἐστι φάρμακον ἀνάμνησιν ἐμποιοῦν τῇ ψυχῇ τῶν χρηστῶν ἄτερ τῶν χαλεπῶν. Τὴν μέντοι 45 νάφθαν, τὸ τῆς Μηδείας φάρμακον, οὐδὲ αὐτὸς ἀγνοεῖς· οἶμαι γάρ σε πολλάκις τὸ ἐντεῦθεν ἐξαλλόμενον θεάσασθαι πῦρ.

39–41 αὐτίκα – ὀρέξεως: cf. Psel. Περὶ παραδόξων ἀκουσμάτων = Phil. min. I 32,2–6 ἴσθι τοιγαροῦν ὡς ἡ Ἐπιμενίδειος ἄλιμος μίγμα ἐστὶν ἀσφοδέλου ξηροῦ καὶ μαλάχης ῥίζης καὶ σησάμης πεπλυμένης μήκωνός τε λευκοῦ σκίλλης τε ὠμῆς τῆς ξανθῆς, καὶ ὁ λαμβάνων τοῦτο ἄσιτος ἐφ' ἡμέρας πολλὰς διημερεύσειεν ἀλυπότατος ‖ **41–43** τὸ δ' αὖ – χαρίζεται: Hom. Od. 4,221 νηπενθές τ' ἄχολόν τε, κακῶν ἐπίληθον ἁπάντων. cf. Psel. Περὶ παραδόξων ἀκουσμάτων = Phil. min. I 32,6–9 τὸ νηπενθὲς συγκείμενόν ἐστιν ἐξ ἱππομανοῦς τοῦ φυτοῦ καὶ ἁλίμου Κρητικοῦ καὶ ὑοσκυάμου καὶ μανδραγόρου· τοῦτο δ' εἴ τις ἐσθίει, νηπενθὲς ἔχει φάρμακον καὶ κακῶν ἐπίληθες ἁπάντων. cf. etiam Π 115,18–19 et Π 448a,26–27 ‖ **43–45** ὥσπερ – χαλεπῶν: cf. Psel. Περὶ παραδόξων ἀκουσμάτων = Phil. min. I 32,9–12 τὸ μνημονικὸν εὕρημά ἐστι Ζηναρίας τῆς Πυθαγορικῆς· συνιστᾷ δὲ τοῦτο βοτάνη λευκάνθεμος, πέπερι λευκόν, ἁλικάκαβον, μέλι, σμύρνα, κρόκος καὶ κύπερον, καὶ εἴ τις αὐτοῦ μεταλαμβάνοι, ἐπιλήσμων ἂν εἴη τῶν πονηρῶν, μνήμων δὲ τῶν ἀγαθῶν. ‖ **45–46** τὴν μέντοι – ἀγνοεῖς: cf. Suda φ 103 φάρμακον λέγεται, ὅπερ Μῆδοι μὲν νάφθαν καλοῦσιν, Ἕλληνες δὲ Μηδείας ἔλαιον cum ν 90; cf. etiam Paradox. Florent. 40 (ed. Giannini) τὸ κατὰ Σουσιανὴν ὕδωρ φασὶν εἶναι Μηδείας καὶ πεφαρμάχθαι καυστικοῖς φαρμάκοις ... ἔχει δὲ δύναμιν τοιαύτην ... τὰ γὰρ χρισθέντα ἢ βραχέντα ἐξ αὐτοῦ ... δειχθέντος μακρόθεν πυρὸς πρὸς αὐτὰ ἐπισπᾶται καὶ παραχρῆμα καίεται. καλεῖται δὲ νάφθα ‖ **46–47** οἶμαι – πῦρ: cf. Psel. Omn. doctr. 60 καὶ ὁ καλούμενος νάφθας δέχεται τοῦ πυρὸς τὴν δύναμιν τοῦ μεταξὺ ἀέρος μὴ πυρουμένου et Περὶ τοῦ πῶς ἡ ψυχὴ τοῦ σώματος εἰσκρίνεται καὶ πῶς διαλύεται = Phil. min. II 23 (89,28–90,1) ὥσπερ ὁ νάφθας ἐξάπτεται τῷ πυρὶ τοῦ μέσου πυρωθέντος ἀέρος

39 μὲν P S: om. M E e1 e2 m2 | ἐπιμενίδεις e2 m2 ‖ **40** τοῖς χρωμένοις P S: τὴν χρωμένην M E e1 e2 m2 | διατηροῦσα M E e1 e2 m2: διατηρούντων P S ‖ **41** δ' αὖ P S: δέ γε M E e1 e2 m2 ‖ **41–43** λήθην – νηπενθὲς in marg. suppl. P **42** ἀλγεινῶν : [.....]νῶν P ⟨δει⟩νῶν suppl. S ‖ **44** τι om. E e1 e2 m2 ‖ **46** νάφθαν P S: ἄφθαν M E e1 e2 m2 | οὐδὲ αὐτὸς P S: οὐδ' αὐτὸς M E e1 e2 m2

Τὸ δὲ τοῦ λαγωοῦ αἷμα συλληπτικὴν ἔχει δύναμιν ἄρρητον, καὶ τὸ τοῦ χηνὸς στέαρ, καὶ ἡ τερεβινθίνη, καὶ ἴσασί γε ταῦτα αἱ
50 τῶν γυναικῶν ἄγονοι, εἰ μὴ πάνυ τοῖς ἐπιθειάζουσι ταῦτα διημφισβήτηται. Τὸ δὲ ἀτόκιον, οὐ βατράχου ἐστὶν ἐγκέφαλος; Τὸ δὲ ὠκυτόκιον, οὐ λίθος Γαγάτης; Τὸ δὲ ἀσύλληπτον, οὐ στέαρ λεόντειον; Τὸ δὲ συλληπτικόν, οὐχὶ δάκρυόν ἐστι τοῖς θεαταῖς διεγνωσμένον τῆς φύσεως; Ἡ δ' ἐχενηῒς ὁ ἰχθῦς, οὐ ταῖς ὀλισθη-
55 ραῖς ὑστέραις κατοχὴν ἐμποιεῖ; Ὁ δ' αὐτὸς καὶ φερομένῃ νηῒ ἱστίοις ἅπασιν ἀντίσταθμός ἐστι τὴν πρώραν ὑποδραμών. Τὰ δ' αἱμαγωγά, τὰ δ' ἴσχαιμα, οὐ πόαι καὶ λίθοι δύνανται;

48–51 τὸ δὲ – διημφισβήτηται: cf. Κυρανίδες 2,24,38–41 ὡς δὲ Βαβυλώνιος ὁ Ἀφρικανός φησιν ὅτι εἰ θέλῃ παιδοποιῆσαι τις, πρὸ τῆς συνελεύσεως τῆς γυναικός, ἤγουν ὅταν μέλλῃ εἰς συνουσίαν ἐλθεῖν, ἐπιχρισάτω τὸ μόριον αὐτοῦ αἷμα λαγωοῦ, καὶ ποιήσει παῖδα ἄρρενα. εἰ δὲ χήνειον στέαρ ἐπιχρίσῃ, ποιήσει θῆλυ ‖ **56** ἱστίοις ἅπασιν: cf. Π 242,12 ὅλοις ἱστίοις et app. font. **55–56** ὁ δ' – ὑποδραμών: cf. Κυρανίδες 4,18,2–4 ἐχενηῒς ἰχθύς ἐστιν ἐναργής. οὗτος τοιαύτην φυσικὴν δύναμιν ἔχει. ἐὰν κολληθῇ πλοίῳ ἁρμενίζοντι φερομένῳ οὐρείᾳ, ἵστησιν αὐτό ‖ **48–57** τὸ δὲ – δύνανται: cf. Psel. Περὶ παραδόξων ἀκουσμάτων = Phil. min. I 32,13–24 σύλληψιν μὲν ἐργάζεται θεὸς καὶ φύσις, ὡς ἔγωγε πέπεισμαι, Ἀφρικανὸς [scil. Iulius Africanus, Κεστοί] δέ φησιν ὅτι καὶ τεχνική ἐστι γέννησις καὶ γεννηθήσεται τεχνικῶς, εἰ ὁ ἀνὴρ μέλλων εἰς συνουσίαν ἐλθεῖν ἐπιχρίσει τὸ μόριον αἵματι λαγωοῦ ἢ χηνείῳ στέατι· ἀλλ' ἐκείνως μὲν ἄρρεν, οὕτως δὲ θῆλυ. κατάγει δὲ ὁ ἀνὴρ οὗτος καὶ γάλα ἐκ τῶν μασθῶν τεχνικῇ μεθόδῳ καὶ σπαργῶντας μετὰ τὸν τοκετὸν σβεννύει κηρωτῇ κυπρίνῃ. ποιεῖ καὶ ἄτοκον γυναῖκα ἀτόκιον αὐτῇ περιάπτων· τοῦτο δέ ἐστι βατράχου ἐγκέφαλος ῥάκει περιειλημμένος λινῷ. καὶ ταῖς δυστοκούσαις Γαγάτην λίθον τῇ ἀριστερᾷ ἐγχειρίζων ὠκυτοκεῖν ταύτας ἐργάζεται. πεποίηται δὲ αὐτῷ καὶ συλληπτικὰ ἕτερα μίγματα καὶ τεχνάσματα καὶ παιδοποιητικὰ ἔμπλαστρα. ἔστι δὲ αὐτῷ ἴσχαιμόν τι ἐξ ἀκρεμόνων συκαμίνου συντεθειμένον τῶν φωστήρων ὑπὸ γῆν ὄντων περίαπτον

49 τερεβινθίνη M E: τερεβίνθη P S τερεβνιθίνη e[1] e[2] m[2] | γε P S: τε M E e[1] e[2] m[2] ‖ **50–51** διημφισβήτηται P S: διημφισβήτησαν M E e[1] e[2] m[2] ‖ **51** ἐστὶ e[1] e[2] m[2] ‖ **52** Γαγάτης M E e[1] e[2] m[2]: Γαλάτης P S ‖ **51–52** τὸ δὲ ὠκυτόκιον, οὐ λίθος Γαλάτης in marg. suppl. P ‖ **53** δὲ M E e[1] e[2] m[2]: om. P S ‖ **54** δ' P S: δὲ M E e[1] e[2] m[2] | ἰχθὺς E e[1] e[2] m[2] ‖ **55** ἐμποιεῖ M E e[1] e[2] m[2]: ποιεῖ P S ‖ **56** ἐστὶν e[1] e[2] m[2] | δ' P S: δὲ M E e[1] e[2] m[2] ‖ **57** δ' P S: δὲ M E e[1] e[2] m[2]

Γεωργίας δὲ πόσα παράδοξα; Καὶ εἰ μή γε ἀπάγεις τῶν πρασιῶν, σπαρτοὺς μύκητας ἕξεις, ἐὰν αἰγείρου καὶ λεύκης φλοιὸν συγκόψας, σπείρῃς ἐν πρασιᾷ. Μῆλα δὲ ἐρυθρότατα γενήσεταί σοι, ἐμβληθείσης κινναβάρεως τῷ πυρῆνι. 60

Εἶτα δὴ πῶς οὐχὶ καὶ τοῦτο θαυμάζεις, ὅτι ἕτερον εἶδος ζῴου ἐξ ἑτέρου δι' ἐπιτεχνήσεως γίνεται; Ἔστι μὲν γὰρ τούτων καὶ φυσικὸς λόγος ἀπόρρητος, καὶ θαυμασία ἡ μεταμόρφωσις. Τὸ δὲ καὶ ἡμᾶς δύνασθαι ἀναλύειν τοὺς ὅρους τῆς φύσεως, ποίαν οὐχ ὑπερβαίνει διάνοιαν; 65

Σχίνου μὲν γὰρ ἄνθη, καὶ ἑλενίου, καὶ κασίας, καὶ ἴρεως, καὶ ἄσσαρ, καὶ μίου, καὶ εἴ τι ἀρτεμόνιον δύναται καὶ εἴ τι μελίλωτον, εἰ ἀλλοιοῦσι τὰ ὑποκείμενα, ἤ (μᾶλλον εἰπεῖν) ἐπιτείνουσιν αὐτοῖς τὰς ποιότητας, οὐκ ἐν θαυμασίοις ἄγω. Εἰ δὲ μεταμείβουσι τὰ φυσικὰ εἴδη, τεχνικοῖς λόγοις παρ' ἡμῶν μιγνύμενά τε καὶ κεραννύμενα, τοῦτο τοῦ θαύματος. 70

58 γεωργίας – παράδοξα: cf. Psel. Περὶ παραδόξων ἀκουσμάτων = Phil. min. I 32,35 καὶ περὶ γεωργίας δὲ ὁ ἀνὴρ οὗτος [scil. Iulius Africanus] λέγει παράδοξα ‖ **67** σχίνου – ἄνθη: cf. Psel. Περὶ παραδόξων ἀκουσμάτων = Phil. min. I 32,41 τὸν δὲ σχίνου ἄνθει |ἴρεως: cf. Psel. Περὶ παραδόξων ἀκουσμάτων = Phil. min. I 32,26–27 ποιεῖ δὲ καὶ φωνασκικὸν ἐξ ἴρεως καὶ τραγακάνθου

58 γε M E e[1] e[2] m[2]: με P S ‖ **60** σπείρεις e[1] e[2] m[2] ‖ **61** πυρρῆνι P S ‖ **63** τούτων P S: τούτου M E e[1] e[2] m[2] ‖ **65** τῆς φύσεως P S: τῶν φύσεων M E e[1] e[2] m[2] **67** σχίνου M E e[1] e[2] m[2]: σχοίνου P S | ἑλενίου : λενίνου e[1] e[2] m[2] | ἴρεως M E e[1] e[2] m[2]: ἱέρεως P S ‖ **68** ἄσσαρ M E e[1] e[2] m[2]: ἄσαρος P S | ἀρτεμόνιον P S: ἀργεμόνιον M E e[1] e[2] m[2] | μελίλωτον M E e[1] e[2] m[2]: μελίδωτον P S e quo falsum LBG lemma ‖ **71** ἡμῶν P S: ἡμῖν M E e[1] e[2] m[2] ‖ **72** τοῦ θαύματος : lacunam indicavit P om. S

Ὁ λόγος δὲ οὗτος ποδαπός σοι φανεῖται; Ἡ ἐδώδιμος πόα, τὸ Γοργόνειον, βάσκανον ἔχει καὶ δραπέτιν τὴν δύναμιν. Οὐ βαθεῖα
75 μὲν γὰρ αὐτῆς ἡ ῥίζα, ἣν δέ τις περιορύττων ἐθέλῃ ταύτην ἰδεῖν, ἡ δὲ ὑπείσεισι τὸ βάθος τῆς γῆς, καὶ διαδύεται ἀπορρήτως, καὶ προλαμβάνει τὸ ὄρυγμα· ἁλίσκεται δὲ οὔτε σκαπάνῃ, οὔτε δικέλλῃ, οὔτε χειρί· εἰ δέ τις περὶ τὴν πόαν ἀσελγαίνειν ἐθέλοι, ἡ δὲ αὐτίκα ἀνατρέχει τῆς γῆς ὥσπερ ἐρῶσα τοῦ ἀσελγήματος· καὶ
80 τό γε παραδοξότερον: εἰς κόρης εἶδος ἡ ῥίζα ἀπεικονίζεται.

Ὀφθαλμῶν δὲ χρόας ἐπὶ τὸ ἄμεινον πόσαι πόαι δεδύνηνται μεταβαλεῖν; Τὸ δὲ ὀλισθηρὸν καὶ καλλιβλέφαρον, τὰ δὲ ἐποπτικά, τὸ δὲ παρθενικόν; ὁ δὲ δραπεταγωγός, ὁ δὲ κλεπτέλεγχος; οὐ τούτων, τὰ μὲν βοτᾶναί εἰσι, τὰ δὲ φωναί τινες, καὶ ἐπᾴσματα,

73–80 ἡ ἐδώδιμος – ἀπεικονίζεται: cf. Psel. Περὶ παραδόξων ἀκουσμάτων = Phil. min. I 32,53–64 λέγει [scil. Iulius Africanus] δὲ καὶ περὶ τοῦ Γοργονείου· πόα δέ ἐστι τοῦτο ὑπόγειος τὰ πολλά· λέγει οὖν ὡς, εἴ τις κόρη πλησίον αὐτῆς ὡς Ἀφροδίτης νόμος συμπλακείη, ἄνεισιν ἐπὶ τὴν θέαν ἡ πόα καὶ τὸ γινόμενον περιέργως ὁρᾷ. ποιεῖται δὲ καὶ καλλιβλέφαρα φάρμακα καὶ ἐποπτικά. ῥᾷστον δὲ αὐτῷ καὶ τὴν πολλοῖς ἐγκυλισθεῖσαν ἀνδράσι γυναῖκα παρθένον αὖθις ἐργάσασθαι. κοιμίζει δὲ καὶ παράσιτον καί ἐστιν αὐτῷ τὸ γινόμενον εὐθυμίας πηγή. ἐπέχει δὲ καὶ ὀνείρωξιν καὶ ῥᾷστα τὰ δευτέρια κατάγει καὶ γλαυκὰ μελαίνει ὄμματα. ἔστι δὲ αὐτῷ καὶ κλεὶς βρεφῶν ὀλισθήμασι καί τι ἄλλο νυκτιφαές. ἔρωτας δὲ καὶ ἀνάπτει καὶ σβέννυσι, καὶ τρίχας λευκὰς μελαίνει, λευκαίνει δὲ μελαίνας. καὶ ἄλλ' ἄττα τοιαῦτα ὁ ἀνὴρ οὗτος ἐν τοῖς Κεστοῖς αὐτοῦ τερατολογεῖ καὶ διέξεισι ‖ **83** τὸ – παρθενικόν: cf. Psel. Περὶ παραδόξων ἀκουσμάτων = Phil. min. I 32,56–58 ποιεῖται δὲ καὶ καλλιβλέφαρα φάρμακα καὶ ἐποπτικά. ῥᾷστον δὲ αὐτῷ καὶ τὴν πολλοῖς ἐγκυλισθεῖσαν ἀνδράσι γυναῖκα παρθένον αὖθις ἐργάσασθαι |ὁ[1] – κλεπτέλεγχος: cf. Psel. Περὶ παραδόξων ἀκουσμάτων = Phil. min. I 32,29–34 καί τινα ἔλεγχον ποιεῖται κλεπτῶν ἀφανῶν, γυρίνων βατράχων τὰς γλώσσας ἀποτέμνων καὶ ταριχεύων, εἶτα ἐπὶ τῆς χρείας ἀλφίτοις ἀναμιγνὺς καὶ τοῖς ἐν ὑπονοίᾳ τῆς ἀφαιρέσεως τοῦ ζητουμένου προδιδούς· καὶ ὁ ἀφελόμενος, φησί, τὸ φώριον ἐν ἐκστάσει ὥσπερ γενόμενος ἑαυτὸν ἀριδήλως δημοσιεύει· ὀνομάζει δὲ τὸ βρῶμα κλεπτέλεγχον

73 ὁ – σοι P S: ποταπὸς δέ σοι οὗτος ὁ λόγος M E e[1] e[2] m[2] ‖ **74** Γοργόνειον scripsi (cf. app. font.): ὀρίγανον P S ὄργιον M E e[1] e[2] m[2] | δραπέτην E e[1] e[2] m[2] ‖ **75** ἣν P S: εἰ M E e[1] e[2] m[2] | περιορύττων P S: παρορύττων M E e[1] e[2] m[2] ἐθέλῃ P S: ἐθέλοι M E e[1] e[2] m[2] ‖ **78** εἰ P S: ἢν M E e[1] e[2] m[2] | ἐθέλοι M E e[1] e[2] m[2]: ἐθέλει P S post ἐθέλοι ταύτην ἰδεῖν scripsit et del. e[1] ‖ **80** παραδοξότερον M E e[1] e[2] m[2]: παράδοξον P S ‖ **82** μεταβαλεῖν P S: om. M E e[1] e[2] m[2] | καὶ M E e[1] e[2] m[2]: om. P S

μείζους τῶν Πορφυρίου φωνῶν, ὅς δῆτα ταῖς Ἀριστοτέλους 85
κατηγορίαις ἀντιδιαταττόμενος ὑποδιπλάσιον μὲν τὸν ἀριθμὸν
ἐκείναις πεποίηκε, κἀν τῷ ὑφειμένῳ μέτρῳ τὸν κάλλιστον τῶν
λόγων τετηρηκώς, τὴν δὲ δευτέραν θέσιν τῶν ὀνομάτων ἐπιδεικνύ-
μενος, «φωνὰς» ταῦτα εἰρήκει; Τὰ γάρ τοι γένη καὶ τὰ εἴδη κυριο-
λογεῖται μὲν ἐπὶ τῶν πρώτων ἀρχῶν καὶ αἰτίων τῆς φύσεως· καὶ 90
εἴποις ἂν τὰς ἰδέας καὶ τοὺς καθόλου λόγους τὰς μὲν «γένη», τοὺς
δὲ «εἴδη», ἐφ' ἑαυτῶν μὲν ἑστηκότα, ποιοῦντα δὲ τὰ γινόμενα, ἐν
οἷς καὶ τὸ ὅλον κυρίως καὶ τὸ μέρος· τὰ δὲ παρὰ Πορφυρίῳ ἢ τοῖς
ἐκ περιπάτου λεγόμενα, εἰδωλικά τε εἰσὶ καὶ ὑστερογενῆ, καὶ ἐν
ἐπινοίᾳ κείμενα, καὶ φωναὶ ἄντικρυς, καὶ μιμήματα τῶν πρώτων 95

85–89 μείζους – εἰρήκει: cf. Psel. Σύνοψις τῶν πέντε φωνῶν καὶ τῶν δέκα κατηγοριῶν τῆς φιλοσοφίας = Phil. min. I 50 cum Περὶ τῶν πέντε φωνῶν = Phil. min. I 51 et Διδασκαλία σύντομος καὶ σαφεστάτη περὶ τῶν δέκα κατηγοριῶν καὶ τῶν προτάσεων καὶ τῶν συλλογισμῶν = Phil. min. I 52. cf. etiam Ioann. Ital. Ἀπορίαι καὶ λύσεις 29 Πῶς ὁ Πορφύριος πέντε φωνάς, ὁ δὲ Ἀριστοτέλης δέκα ‖ **85–89** μείζους – εἰρήκει: cf. Π 125,54–56 τῶν μὲν γὰρ τοῦ Πορφυρίου φωνῶν, καὶ τῶν Ἀριστοτέλους κατηγοριῶν ‖ **93–99** τὰ – καθέστη-κεν: cf. Psel. Περὶ ἀρχῶν καὶ περὶ ἑνώσεως ψυχῆς καὶ σώματος = Phil. min. II 14 (72,25–73,16) εἰ δέ τινά ἐστι γένη πρὸ τῶν καθέκαστα τῶν αἰσθητῶν αἴτια ἔν τε τοῖς λόγοις τῆς τῶν ὅλων φύσεως ἐνορώμενα καὶ ἐν τοῖς ὑπερτέροις εἴδεσι διαλάμποντα, ταῦτα φαίην ἂν δικαίως αἴτια τῶν τῇδε πραγμάτων. Ἕλληνες δὲ καὶ πρὸ τούτων καὶ ὑπὲρ ταῦτα τὰς δημιουργικὰς ἰδέας ἀρχὰς τίθενται, αἳ καὶ τῶν καθόλου λόγων ὑπερήπλωνται. ἐὰν μὲν οὖν τὰ κατ' ἐπίνοιαν ὑστερογενῆ λαμβάνωμεν γένη, τὰ μὲν προσεχέστερα ταῖς πρώταις λεγομέναις οὐσίαις ἔσονται μᾶλλον οὐσίαι καὶ διὰ τοῦτο μᾶλλον ἀρχαί, τὰ δὲ ἀπωτέρω ἀσάφειαν ἐξιτηλοτέραν τῇ τῶν αἰσθητῶν ἀποστάσει δέχεται. ἐὰν δὲ τὰ κυρίως καθόλου γένη καὶ τοὺς ποιητικοὺς τῶν καθέκαστα λόγους φυσικούς τε καὶ δημιουργικούς, πρόδηλον ὡς τὸ περιληπτικώτερον καὶ διατεῖνον ἐπὶ πλέον θειότερον ἐστὶν αἴτιον καὶ κυριώτερον. τὰ μὲν οὖν κατ' ἐπίνοιαν λεγόμενα γένη παρὰ τοῖς διαλεκτικοῖς εἰδωλικά εἰσι καὶ οὐ κυρίως ἀρχαὶ οὐδὲ αἴτια, οἱ δὲ φυσικοὶ λόγοι καὶ οἱ δημιουργικοὶ καὶ πρὸ πάντων αἱ τοῦ θείου δυνάμεις κυρίως τὴν τῶν ἀρχῶν καὶ αἰτίων ἀποφέρονται καὶ ὀνομασίαν καὶ ἔννοιαν. εἰ τοίνυν θείῃς τὸ κατά τινων λέγεσθαι ἐπὶ τῷ δημιουργεῖν, μεταβήσῃ ἀπὸ τῶν εἰδώλων ἐπὶ τὰ ἀληθῆ γένη καὶ εἴδη cum Syrian. In Metaph. 7,8–36

85–86 Ἀριστοτέλους κατηγορίαις M E e[1] e[2] m[2]: Ἀριστοτελείαις P S **86** ἀντιδιαταττόμενον e[1] e[2] m[2] | ὑποδιπλάσιον E e[1] e[2] m[2]: ὑπὸ διπλάσιον P M S | μὲν M E e[1] e[2] m[2]: om. P S ‖ **87** τὸν κάλλιστον : τὰ κάλλιστα E e[1] e[2] m[2] **91** τοὺς[1] : τοῦ e[1] e[2] m[2] | τὰς[2] M E e[1] e[2] m[2]: τὰ P S | τοὺς[2] M E e[1] e[2] m[2]: τὰ P S

γενῶν καὶ εἰδῶν· ἐν οἷς τὰ ἐγγὺς μὲν τῶν ἀτόμων οὐσιωδέστερα, ἐξιτηλότερα δὲ τὰ πορρωτέρω· ἀνάπαλιν δὲ ἐπὶ τῶν κυρίων ἔχει γενῶν· ἐκεῖ γὰρ τὰ πορρωτέρω ἀφεστηκότα αἰτιώτερα καὶ περιεκτικώτερα τῶν ἐγγυτέρω καθέστηκεν.

100 Ἀλλὰ γὰρ ἐμπέπτωκα εἰς λόγους ἐν οἷς ἐπιστημονικὴν μὲν τέχνην ἐνδείξασθαι δύναμαι, τὰ δὲ σὰ διέφθαρται θήρατρα· ἔοικας γάρ μοι μὴ γενναίαις εἶναι ἁλώσιμος φύσεσιν, ἀλλ' ὅσαις κάλλος ἐφιζάνει, ἢ ἔμφυτον ἢ ἐπιποίητον. Καὶ (νὴ τὴν ἱεράν σου ψυχήν!) τῆς αὐτῆς σοι κἀγὼ πάγης εἰμί· καὶ γοητεύομαι ἄνθεσί τε φαινο-
105 μένοις καὶ χάρισιν, εἴτε πόαις ταῦτα εἴτε λόγοις ἐγκάθηται. Καί με οὐ τοσοῦτον χειροῦται ὁ Παιανιεὺς Δημοσθένης, ἢ ὁ Λαοδικεὺς Ἀριστείδης, ἐν συστροφαῖς νοημάτων καὶ περιόδοις καὶ ταῖς ἀντιστρόφοις τῶν σχημάτων μεταβολαῖς, ὅσον ὁ Λήμνιος Φιλόστρατος, καὶ μάλιστα ἐν ταῖς τῶν ἀγαλμάτων ἐκφράσεσι,

101–103 ἔοικας – ἐπιποίητον: cf. Psel. Λόγος σχεδιασθεὶς πρὸς Πόθον βεστάρχην ... περὶ τοῦ θεολογικοῦ χαρακτῆρος 16 καὶ οἶδα ὡς περὶ τὸ αἰσθητὸν κάλλος ἐπτοημένος ἢ προμετωπίδιόν τινα κόσμον ἢ περιτραχήλιον ἢ στρεπτὸν ποθουμένῳ συνεξύφαγκας σώματι, Π 64,18–21 καὶ πᾶσαν φιλόκαλον ψυχὴν ἐπαινῶ, οὐ μόνον ἥτις νοητοῦ κάλλους ἐρᾷ, ἀλλὰ καὶ ἥτις χρωμάτων ἀνθηρῶν, καὶ τέχνης ἀκριβοῦς καὶ μαργαρίτου καὶ σαπφείρου καὶ ὑακίνθου ‖ **104–105** τῆς – ἐγκάθηται: cf. Psel. Λόγος σχεδιασθεὶς πρὸς Πόθον βεστάρχην ... περὶ τοῦ θεολογικοῦ χαρακτῆρος 6 ἔγωγ' οὖν ὁσάκις αὐτῷ ἐντυγχάνω, προσομιλῶ δὲ θαμά, προηγουμένως μὲν φιλοσοφίας ἕνεκα, παρεπομένως δὲ ψυχαγωγίας, ὥρας ἀμυθήτου πληροῦμαι καὶ χάριτος· καὶ καταλιμπάνω πολλάκις περὶ ὃ ἐσπούδακα καὶ τὸν νοῦν τῆς θεολογίας ἀφεὶς τῇ ῥοδωνιᾷ ἐνεαρίζω τῶν λέξεων καὶ κλέπτομαι ταῖς αἰσθήσεσι, Π 125,87–90 ἐρῶ γὰρ καὶ τῆς τοῦ λόγου ψυχῆς, περιέχομαι δὲ καὶ τοῦ σωματικοῦ κάλλους, et Π 459,20–24 τὴν δ' ἐμμελῆ τοῦ λόγου συνθήκην ὥσπερ αἱ μέλιτται τὰ κηρία ἔτι περιέπομέν τε καὶ περιϊπτάμεθα· καὶ ἠγαπήσαμεν ἂν εἰ ἀπὸ τοῦ τῶν σωμάτων κάλλους εἰς τοῦτο ἀναβάντες ἐλήξαμεν· ἀλλὰ δέδια μὴ αὖθις ἐπὶ τὴν αἴσθησιν καταρρέωμεν ‖ **108–109** ὁ – Φιλόστρατος: scil. Callistratus **109–111** καὶ – δάκρυα: cf. e.g. Callistr. Εἰς τὸ τοῦ Μέμνονος ἄγαλμα = Ἐκφράσεις 9,2 ἠπόρει δὲ οὐδὲ δακρύων ὁ λίθος

97 πορρωτέρω P S: πορρώτερα M E e[1] e[2] m[2] ‖ **98** πορρωτέρω P S: πόρρω M E e[1] e[2] m[2] ‖ **100** μὲν M E e[1] e[2] m[2]: om. P S ‖ **101** δύναμαι M E e[1] e[2] m[2]: βούλομαι P S | διέφθαρται P S: διέφθαρκα M E e[1] e[2] m[2] ‖ **102** φύσεσι e[1] e[2] m[2] **105** χάρισι e[1] e[2] m[2] | πόαις P S: ποίαις M E e[1] e[2] m[2] ‖ **106** Παιονιεὺς e[1] e[2] m[2] **108** μεταβολαῖς P S: καταβολαῖς M E e[1] e[2] m[2]

χαλῶν τὸν λίθον, καὶ τὸν χαλκὸν ἐξυγραίνων, καὶ τακερὸν τῶν σιδηρῶν ὀφθαλμῶν ἀπολείβων, καὶ ἐφελκόμενος δάκρυα. 110

Σὺ δὲ βούλει μὲν καὶ τοῦ παιδὸς εἵνεκα τοὺς ἐξ ἐπιστημῶν λόγους ἐπεισκυκλεῖν ταῖς ἐπιστολαῖς· βούλει δέ σοι καὶ τὸν τοῦ κάλλους ἐξάπτειν ἔρωτα ὑγρὰν τὴν λέξιν ποιούμενος, καὶ οἷον ἀρωματίζουσαν· βούλεται δὲ καὶ ὁ φυσικὸς πόθος καταπίμπλασθαι τῶν φυσικῶν ἀκροάσεων. Καὶ οὐκ οἶδα ἥντινα λέξιν ἁρμόσω τῇ τοσαύτῃ διαλλαγῇ τῶν ὑποθέσεων. 115

Ὅθεν ἢν τὰ πολλὰ αὐχμηρὸς δοκῶ, μή μοι γίνου μεμψίμοιρος· αὐτίκα γάρ σοι μεταμορφώσομαι· οὐ γάρ εἰμι χείρων τῶν ζώων ἐκείνων ὅσα ἐξ ἑτέρων ἕτερα τοῖς εἴδεσι γίνεται. 120

125. ⟨Τῷ μεγάλῳ δρουγγαρίῳ κῦρ Κωνσταντίνῳ, τῷ ἀνεψιῷ τοῦ πατριάρχου Μιχαήλ⟩

post Π 123 et Π 124

S 187 [P]

Ἆρ᾽ οὖν ταῦτα μόνα παράδοξα, φιλτάτη ψυχή, ὁπόσα ἐν ταῖς δυοῖν πρότερον ἀπηριθμησάμην ἐπιστολαῖς, ἢ πλείω τούτων ἥ τε φύσις ἐργάζεται, αἵ τε τέχναι καὶ αἱ ἐπιστῆμαι παραδοξολογοῦσιν;

Αὐτίκα οὐ θαυμάσιον τοῦτο, καὶ ὄντως ἀπόρρητον, ὅτι τῶν χορδῶν τεταμένων ἐν ὁποτερῳοῦν ὀργάνῳ μουσικῷ, εἴτε λύρᾳ, 5

112–113 τοὺς – ἐπιστολαῖς: cf. Procl. In Parm. 953,8–10 ἐπεισκυκλεῖν δὲ ὅμως εἰώθασι τοὺς περὶ προνοίας λόγους ταῖς περὶ τῶν εἰδῶν ταύταις ἀπορίαις. cf. etiam Syrian. In Hermog. Περὶ ἰδεῶν 144,9 τοὺς αὐτοὺς ἐπεισκυκλεῖν λόγους ‖ **1–2** ὁπόσα – ἐπιστολαῖς: ad Π 123 et Π 124 refert **4–9** τῶν – ὑπερβολαίαν: Synes. Cyren. Περὶ ἐνυπνίων 2,3,3–5 ὥσπερ ὁ τὴν ὑπάτην ψήλας οὐ τὴν παρ᾽ αὐτήν, τὴν ἐπόγδοον, ἀλλὰ τὴν ἐπιτρίτην καὶ τὴν νήτην ἐκίνησεν. cf. Arist. Προβλήματα 919b15–19 et 921b14–38. cf. Psel. Εἰς … Κωνσταντῖνον τὸν Μονομάχον. = Or. pan. 6,201 καὶ τῇ ὑπάτῃ συγκινήσεις τὴν νήτην et Εἰς τὸ ἐν Νικομηδείᾳ Ἠχεῖον = Phil. min. I 31,78–79 ἐπὶ τῆς συγκινουμένης τῇ ὑπάτῃ χορδῆς δεῖξαι τοῦτο τῷ πράγματι

111 σιδηρῶν M E e[1] e[2] m[2]: σιδήρων P S | δάκρυα P S: δάκρυον M E e[1] e[2] m[2] **113** ἐπεισκυκλεῖν M E e[1] e[2] m[2]: ἐπεισκυκλοῦν P S ‖ **114** ἐξάπτειν M E e[1] e[2] m[2]: ἐξαστράπτειν P S ‖ **115** φυσικὸς P S: φυσικώτατος M E e[1] e[2] m[2] **117** διαλλαγῇ M E e[1] e[2] m[2]: διαγωγῇ P S ‖ **118** αὐχμηρὸς P S: λαχμηρὸς M E e[1] e[2] m[2] ‖ **ep. 125** P 235r–v; tit. scripsi

εἴτε κιθάρᾳ, εἴ τέ τινι ἄλλῳ, ὁ τὴν ὑπάτην ψήλας τῇ κινηθείσῃ καὶ τὴν διῃρημένην ἐκίνησε, μὴ ψαύσας αὐ[τήν], μήτε τῷ λιχανῷ, μήτε τῷ ἀντίχειρι, καὶ ταῦτα οὐ τὴν μετὰ τὴν πρώτην εὐθὺς ἴσως, οὐδὲ τὴν μέσην, ἀλλ' ἐνίοτε [τὴν] ὑπερβολαίαν;

10 Πρὸ δέ γε τῆς γεωμετρικῆς ἀποδείξεως οὐ θαυμαστόν σοι δοκεῖ ὅτι ἐπὶ τῶν τετραγώνων σχημάτων ἀσύμμετρος τῇ πλευρᾷ ἡ διάμετρος;

Ἀλλ' ἔα τὰ τῶν ἐπιστημῶν οἷς καὶ λόγοι πολλάκις ἀποδεικτικοὶ προσ[ηρ]μόσθησαν. Αἰγύπτιος δέ τις λόγος μυστικὸς περὶ τῆς
15 διαμονῆς τῶν ἱερῶν ὑφηγήσατο, ὡς εἴ τις ἐθέλοι μ[α]κραίωνα βίον δοῦναι τοῖς ναοῖς, ἕν τι τῶν ἱερῶν ὄφεων γένος ἐν κοίλοις τοῖς θεμελίοις, ἢ ὑπὸ π[άντα] τὸν ναὸν καθείρξας μετὰ μυελοῦ πλείστου μοσχείου καὶ στέατος, ἕξει τὸν ναὸν ἀθάνατόν τε καὶ ἄ[φθαρτον]. Τῶν μὲν γὰρ οὐρανίων ἱερῶν, μεγαλοφυέστατε
20 πάντων ἀνδρῶν, ἀλύτους ὑπέστησε τοὺς δεσμοὺς ὁ γεννήσας πατήρ· [τὰ δὲ] ἐπὶ γῆς αὐτοὶ δημιουργοῦσιν οἷς ταῦτα μέλει σοφοῖς, ἀπὸ χρόνου τῆς θεώσεως ἀρχόμενοι.

10–12 πρὸ δέ – διάμετρος: Arist. Metaph. 983a12–21 ἄρχονται μὲν γάρ, ὥσπερ εἴπομεν, ἀπὸ τοῦ θαυμάζειν πάντες ... ἢ τὴν τῆς διαμέτρου ἀσυμμετρίαν (θαυμαστὸν γὰρ εἶναι δοκεῖ πᾶσι ⟨τοῖς μήπω τεθεωρηκόσι τὴν αἰτίαν⟩ εἴ τι τῷ ἐλαχίστῳ μὴ μετρεῖται) ... οὐθὲν γὰρ ἂν οὕτως θαυμάσειεν ἀνὴρ γεωμετρικὸς ὡς εἰ γένοιτο ἡ διάμετρος μετρητή. cf. Psel. Ἑρμηνεία περὶ τῶν εἰκοσιτεσσάρων στοιχείων ... πρὸς ... Ἰωάννην τὸν λιβελλίσιον = Phil. min. I 36,196–199 «ἄρχονται γὰρ πάντες ζητεῖν», ὥσπερ Ἀριστοτέλης ἐν τῇ πρώτῃ φιλοσοφίᾳ, «ἀπὸ τοῦ θαυμάζειν ἢ τὰς τοῦ ἡλίου τροπὰς ἢ τὴν τοῦ διαμέτρου ἀσυμμετρίαν» et Εἰς ... Κωνσταντῖνον τὸν Μονομάχον = Or. pan. 6,201–202 καὶ τὴν διάμετρον γνώσῃ ὅπῃ ἀσύμμετρός ἐστι τῇ πλευρᾷ **14–19** Αἰγύπτιος δέ ... ἄ[φθαρτον]: fontem non inveni. cf. Iambl. Περὶ τῶν αἰγυπτίων μυστηρίων 3,27,49–50 δεσμεῖν τε ἱερούς τινας δεσμοὺς καὶ λύειν τούτους

7 αὐτήν suppl. S ‖ **9** τὴν² suppl. S ‖ **14** προσηρμόσθησαν suppl. S **15** μακραίωνα suppl. S ‖ **17** πάντα suppl. Reinsch ‖ **19** ἄφθαρτον dubitanter supplevi ‖ **21** τὰ δὲ suppl. S

Ἀπὸ δὲ [τῆς] τελεστικῆς ἐπιστήμης, πόσα ἂν παραδοξότατα συμπορίσαιο; Ἐκείνη γὰρ τὰ κοῖλα τῶν ἀγαλμάτων ὕλης ἐμπιπλῶσα οἰκείας ταῖς ἐφεστηκυίαις δυνάμεσι, ζώων, φυτῶν, 25 λίθων, βοτανῶν, ῥιζῶν, σφραγίδων ἐγγραμμάτων, ἐνίοτε δὲ καὶ ἀρωμάτων συμπαθῶν, συγκαθιδρύουσα δὲ τούτοις καὶ κρατῆρας, καὶ σπονδεῖα, καὶ [θυ]μιατήρια, ἔμπνοα ποιεῖ τὰ εἴδωλα καὶ τῇ ἀπορρήτῳ δυνάμει κινεῖ. Καὶ τό γε θαυμασιώτερον, οἱ αὐτοὶ [κα]ιροὶ τοῖς μὲν οἰκεῖοι γίνονται πολλάκις, τοῖς δὲ ἀλλότριοι πρὸς 30 τὰς ἀπορρήτους ἐνεργείας. Εἶτα δὴ καὶ ὀνόματά τινα πρὸς τὴν παραδοξοποιΐαν δεδύνηνται, ὥσπερ τὸ «τρικάρηνον», καὶ τὸ «δρακοντόζωνον», καὶ τὸ «ξιφηφόρον», καὶ «μαστιγοφόρον», καὶ

23–29 ἀπὸ δὲ – κινεῖ: cf. Iambl. Περὶ τῶν αἰγυπτίων μυστηρίων 3,27,48–59 τὸ γὰρ λίθους καὶ βοτάνας φέρειν τοὺς καλουμένους … πάντα δὴ ταῦτα ἔξωθεν τὴν ἐπίπνοιαν γίγνεσθαι διασημαίνει· χρὴ δὲ οὐ τοῦτο μόνον προλαμβάνειν, ἀλλὰ καὶ τίς ἐπίπνοια θεία παραγενομένη τὴν θείαν μαντικὴν ἀπεργάζεται … ἴδιον αὐτῇ γνώρισμα καθάπερ τινὰ σφραγῖδα προσαρμόσωμεν cum 5,23,29–33 ἡ θεουργικὴ τέχνη … συμπλέκει πολλάκις λίθους βοτάνας ζῷα ἀρώματα ἄλλα τοιαῦτα ἱερὰ καὶ τέλεια καὶ θεοειδῆ et Procl. Περὶ τῆς καθ' Ἕλληνας ἱερατικῆς τέχνης 150,30–151,5 καὶ ἀγάλματα πολλάκις κατασκευάζουσι σύμμικτα καὶ θυμιάματα, φυράσαντες εἰς ἓν τὰ μερισθέντα συνθήματα … ἔστι δὲ ὅτε καὶ μία πόα καὶ λίθος εἷς ἀρκεῖ πρὸς τὸ ἔργον. cf. etiam Psel. Theol. I 47,43–45 Πρόκλος δὲ ὁ φιλόσοφος ἱστορεῖ ὅτι καί τινα τῶν τοιούτων ἀγαλμάτων ἐτύγχανον διοπετῆ, ἄνω που περὶ τὸν ἀέρα πηγνυμένης ὕλης ἀρρήτου καὶ αὖθις καταπεμπομένης εἰς γῆν ‖ **33–34** δρακοντόζωνον – τρίμορφον: cf. Psel. ⟨De meteorologicis⟩ = Phil. min. I 19,175–180 ἀλλ' ὁ τερατολόγος Πρόκλος, τὰς Χαλδαϊκὰς ὑποτυπώσεις ἐπεξηγούμενος, ἔφη τινὰς τῶν δαιμόνων καὶ κολακεύεσθαι· διὸ δὴ καὶ ὕμνους ἐπὶ τὴν Ἄρτεμιν συντέθεικε, καὶ παρεγγυᾶται τοῖς φαντασιουμένοις ταύτην ξιφηφόρον τε καλεῖν αὐτὴν καὶ σπειροδρακοντόζωνον καὶ λεοντοῦχον καὶ τρίμορφον· τούτοις γὰρ αὐτήν φησι τοῖς ὀνόμασιν ἕλκεσθαι καὶ οἷον ἐξαπατᾶσθαι καὶ γοητεύεσθαι cum Ἐπιτάφιος εἰς … Ἰωάννην τὸν Ξιφιλῖνον = Or. fun. I 3,24,2–12 σὺ δέ μοι λέγε τὴν σὴν βαρβαρικὴν ὑψηλολογίαν ἢ μᾶλλον κενολογίαν, τὴν ἴυγγα, καὶ τὸν τελετάρχην, καὶ τὸν ὑπεζωκότα, καὶ τὸν ἀμείλικτον, ἢ εἰ βούλει, τὸν δρακοντόζωνον καὶ τρικάρηνον, καὶ τὰς ἀγγελίδας, καὶ τὸν αἰθέριον συνοχέα, καὶ τοὺς πηγαίους πατέρας, καὶ τὴν μεταξὺ τῶν δυεῖν πατέρων ἑκάτην· εἶτά μοι καὶ διαζωγράφει ταύτην σωματικώτερον, χαίτας αὐτῇ καθιεὶς, καὶ ὠλένας συμπλάττων, εἰ δ' αἰσχύνοιο τούτοις, ἀλλὰ γνοίην ἄν σου τοὺς θαυμασιωτέρους καὶ σεμνοτέρους, τὴν καινὴν θεαγωγίαν, οὕτω γὰρ ὀνομάζεις τὰ πεπλανημένα φαντάσματα,

23 τῆς suppl. S ‖ **28** θυμιατήρια dubitanter suppl. S ‖ **30** καιροὶ suppl. S

«δᾳδοφόρον», καὶ «τρίμορφον»· καὶ εἰ μή τις ταῦτα ἐρεῖ καὶ
35 ὑποψέλλῳ τῇ γλώσσῃ, ἢ ἑτέρως [ὡ]ς ἡ τέχνη διατάττεται, οὐκ ἂν
τὸ καταβακχευόμενον ἐνεργήσειεν.

Εἶτα οὐ θαυμάζεις καὶ τοῦτο ὅτι δεδίττε[ται] ὁ ἀλεκτρυὼν τὸν
θῆρα τὸν λέοντα, καὶ ὁ χοιρογρύλλιος τὸν ἐλέφαντα;

Τὰ δὲ παρ' Αἰγυπτίοις εὑρημένα ἐγχρίσματα [τοῖς] βλεφά-
40 ροις ἐπιχριόμενα, αὐτοψίας καὶ ἐποπτείας ἀρρήτους χαρίζονται·
καὶ ἔστιν ὁ τῆς αὐτοψίας τρόπος, ὁπόταν [ὁ] μὲν νοῦς τοῦ κλήτο-
ρος εἰς τὴν θέαν ἀνεγείρεται τῶν ἀσωμάτων καὶ νοητῶν, τὰ δὲ

καὶ τὸν ἑκατικὸν στροφάλιγγα, καὶ τὰ ποικίλα μαντεύματα, καὶ τὰς καινοτέρας εἰσκρίσεις
37–38 δεδίττε[ται] – τὸν λέοντα: Procl. Περὶ τῆς καθ' Ἕλληνας ἱερατικῆς τέχνης 150,7 ὑποστέλλεται γὰρ ὁ λέων, φασί, τὸν ἀλεκτρυόνα cum Psel. Εἰς τὸ 'πῶς δὲ οὐκ ἐν τόπῳ πάντως' = Theol. I 51,38–40 διὰ τί, γάρ φησιν ὁ Πρόκλος, ὁ λέων τὸν ἀλεκτρυόνα ὑπέσταλται; εἶτα ἐπάγει, ὅτι κρείττονα ἐν ἐκείνῳ τὰ συνθήματα ἢ ἐν τῷ λέοντι, ὁ μὲν γὰρ ἡλιακός ἐστιν, ὁ δὲ σεληνιακός. cf. Psel. Ἕτεραι ἐπιλύσεις φυσικῶν ἀπορημάτων = Phil. min. I 16,239–240. cf. etiam Aelian. Περὶ ζῴων ἰδιότητος 5,50,15–16 ὁ δὲ ἀλεκτρυὼν ᾄσας φοβεῖ μὲν λέοντα et Aesop. Ὄνος, ἀλεκτρυὼν καὶ λέων = Fab. 84 ‖ **38** ὁ – ἐλέφαντα: cf. Aelian. Περὶ ζῴων ἰδιότητος 1,38,1–2 ὀρρωδεῖ ὁ ἐλέφας κεράστην κριὸν καὶ χοίρου βοήν et 16,36,11–13 οἱ ἐλέφαντες ἰδίᾳ μισοῦντες τὰς ὗς καὶ μυσαττόμενοι, εἴτε καὶ τῆς φωνῆς αὐτῶν τὸ ὀξὺ καὶ ἀπηχὲς πεφρικότες ἐκεῖνοι. cf. etiam Aesop. Κάμηλος, ἐλέφας καὶ πίθηκος = Fab. 246 ‖ **39–43** τὰ δὲ – ἀντιλαμβάνεται: cf. Psel. Εἰς τὸ 'ἐπλήσθησαν οἱ ἀπόστολοι …' = Theol. I 74,124–146 … Αἰγύπτιοι δὲ τοὺς ὀφθαλμούς, ὥς φασι, χρίοντες ἢ τῷ καλουμένῳ τάρρῳ ἢ τῷ τῆς λιβάνου ὀπῷ ἢ τῷ βδελλίῳ, αὐθωρὸν πρὸς τὰς ὀπτασίας ἀνέβλεψαν· Ἀσσύριοι δὲ χαίρειν εἰπόντες πόαις τε καὶ ὀποῖς καὶ ἐγχρίσμασι, συνθήκαις τισὶ καὶ ὀνόμασιν ἀρρήτοις καὶ γράμμασιν ἀπορρήτοις ἐν ἱερατικοῖς πετάλοις ἑαυτοὺς καθαγιάζοντες, τὸ ὑπεστρωμένον φῶς ταῖς ἀσωμάτοις δυνάμεσιν ἐθεάσαντο. ταῦτα δὴ Πορφύριος καὶ Ἰάμβλιχος καὶ ὁ τερατολόγος Πρόκλος ἐλήρησαν cum Procl. In Remp. II 117,3–4 τοῖς ὀφθαλμοῖς τινες χυλὸν ἐνιέντες στρύχνου καὶ ποῶν ἄλλων εἴδωλα ἄττα δαιμόνων ἐν ἀέρι καθορῶσιν et 186,12–13 τινες ἔχοντες τὸ σῶμα διά τινων ἐγχρισμάτων αὐτοπτοῦσιν, et Olympiod. In Phaed. 13,15 ἢ τέχνῃ τινί, οἵαν Οὔαρος διδάσκει διά τινων ἐγχρισμάτων τοὺς συνόντας ἀλλοίους ὁρᾶν· ἢ κατὰ ἐνθουσιασμὸν καὶ θεωρητικῶς, ἐνθουσιᾷ γάρ ποτε καὶ ἡ ὄψις, ὥσπερ περὶ Ἀπολλωνίου λέγεται ὅτι ἐν Ῥώμῃ ὢν ἑώρα τὰ ἐν Αἰγύπτῳ ἐπιτελούμενα

35 ὡς suppl. S ‖ **37** δεδίττεται suppl. S ‖ **39** τοῖς suppl. S ‖ **41** ὁ suppl. S

ὄμματα τοῦ προβεβλημένου φωτὸς [αὐτῆς] ἀντιλαμβάνεται. Τὰς δὲ «ἐνθεαστικὰς θεαγωγίας» (οὕτω γὰρ Ἕλληνες αὐτὰς ὀνομάζουσιν) οὐ πόαι [καὶ] λίθοι, καὶ ζῷα τεμνόμενα, περὶ τοὺς θεατὰς ἐνεργοῦσι; Τὸν δὲ ῥόμβον, καὶ τὴν ἴϋγγα, οὐχ ἡ διὰ τοῦ σμυρνομέ[λαν]ος περιελίττει γραφή; 45

Μὴ περαιτέρω τούτων, μηδὲ πλείω προσθείημεν τὰ παράδοξα, ἵνα μὴ τὸν καθ' ἡ[μᾶς] διαφθείρωμεν λόγον, ὅς γε τούτων μὲν ἀπέχεται καὶ τῆς ψιλῆς ἀκοῆς, ἕπεται δὲ τοῖς συνήθεσι καὶ νενομισμένοις· ἧς ἐγὼ δὴ καθέστηκα τάξεως. Τὸ μέντοι γε εἰδέναι ὡς οὐκ ἐν πᾶσι τοῖς γιγνομένοις ἀποχρῶσά ἐστιν ἡ Πλατωνικὴ ἀπόδειξις, ἀλλ' εἰσί τινα κρείττονα τῆς λογικωτέρας ἢ νοερωτέρας ἐπιβολῆς λυσιτελέστερα εἰς τὴν τῶν ὑπερφυῶν πραγματείαν. Τῶν μὲν γὰρ τοῦ Πορφυρίου φωνῶν, καὶ τῶν Ἀριστοτέλους κατηγοριῶν, οὐ δυσχερῶς ἂν ἀκούοιμεν, ἀλλ' ἀνεῴγασιν ἡμῖν πρὸς ταῦτα τὰ ὦτα. Τὸ δ' ὑπερφυὲς οὐ ῥᾳδίως διαστέλλει τὸν πόρον τῆς 50 55

44 ἐνθεαστικὰς θεαγωγίας: ἐνθεαστικός, vox Platonica (Νόμοι 682a3) in Proclo et in Psello saepe laudata; cf. etiam Iambl. Περὶ τῶν αἰγυπτίων μυστηρίων 2,10,40 τῇ θεαγωγίᾳ et 6,1,5 αἱ θεαγωγίαι cum Psel. Εἰς τὸ 'ἐπλήσθησαν οἱ ἀπόστολοι ...' = Theol. I 74,124–128 Ἑλλήνων δὲ παῖδες, ὧν δὴ τελευταῖος δᾳδοῦχος καὶ ἱεροφάντης ὁ Πρόκλος ἐγένετο, εἰς τρία δὴ ταῦτα τὴν θεαγωγίαν καταμερίζουσι, καὶ τὸ μὲν αὐτῆς αὐτοπτικόν φασι, τὸ δὲ ἐποπτικόν, τὸ δὲ ἐνθεαστικόν, ὡς εἶναι καὶ τοὺς ὁρῶντας αὐτόπτας καὶ ἐπόπτας καὶ ἐνθεαστάς cum Κατηγορία τοῦ ἀρχιερέως = Or. for. 1,309–310 καὶ μέτεισιν οὕτως ἐπὶ τὰς ἐνθεαστικὰς θεαγωγίας ‖ **43–46** τὰς δὲ ἐνθεαστικὰς – ἐνεργοῦσι: cf. Π 124,20–21 δυνάμεις τινὲς ἄρρητοι καὶ πάθη οὔπω τοῖς πολλοῖς ἐγνωσμένα, καὶ ζῴοις, καὶ λίθοις, καὶ πόαις ἐγκάθηνται **46–47** τὸν δὲ ῥόμβον – γραφή: fontem non inveni. cf. Κυρανίδες 2,2,23 ἐπιγράψεις τὸ ὄνομα τοῦτο διὰ σμυρνομέλανος ‖ **51–54** τὸ μέντοι γε – πραγματείαν: cf. Π 124,5–8 ἔστι δὲ τὰ πολλὰ ἡ φύσις τοιοῦτον, ἐν οἷς ἀπόδειξις μὲν οὔτε ἐξ ἐπαγωγῆς ἐστιν, οὔτε ἐκ πρώτων αἰτιῶν ἢ ἀρχῶν ἐγνωσμένων, τὸ δὲ ὁρώμενον ἀντὶ πάσης ἀρκεῖ τῆς διὰ τῶν λόγων ἐντέχνου πίστεως ‖ **54–56** τῶν μὲν – κατηγοριῶν: cf. Π 124,85–89 μείζους τῶν Πορφυρίου φωνῶν, ὅς δῆτα ταῖς Ἀριστοτέλους κατηγορίαις ἀντιδιαταττόμενος ὑποδιπλάσιον μὲν τὸν ἀριθμὸν ἐκείναις πεποίηκε, κἂν τῷ ὑφειμένῳ μέτρῳ τὸν κάλλιστον τῶν λόγων τετηρηκώς, τὴν δὲ δευτέραν θέσιν τῶν ὀνομάτων ἐπιδεικνύμενος, «φωνὰς» ταῦτα εἰρήκει

43 αὐτῆς dubitanter suppl. S ‖ **45** καὶ suppl. S ‖ **47** σμυρνομέλανος supplevi (cf. app. font.): σμυρνομένονος suppl. S ‖ **49** ἡμᾶς suppl. S

ἀκοῆς, οὐ[δ' αὐ]τίκα πρὸς τὴν μήνιγγα παραδύεται, ἀλλ' ἐοίκαμεν ἥδιον τῶν συνήθων ἀκούειν αὐλῶν, ἢ τῆς ἠχοῦς τῶν
60 [οὐρα]νίων περιφορῶν· μᾶλλον γὰρ βουλοίμεθα τὰς ἁρμονίας τῶν καθαπτῶν ὀργάνων ἐπίστασθαι, ἢ τὴν ἐμμέλειαν [τῶν] ὑπερφυῶν περιόδων.

Καὶ τὴν λογικὴν δὲ πραγματείαν εἴ τις μεταχειριεῖται φιλοσοφώτερον, πολλὰ ἐκ ταύτης ἀπώναιτο ἀγαθά· ἀπὸ τῶν
65 σαφεστέρων ἀρξάμενος:

ὅτι τῷ μὲν εἴδει διαφέρει ὅσα τῆς οὐσίας τῷ λόγῳ [ἀλλ]ήλων κεχώρισται, τῷ δὲ ἀριθμῷ διέστηκεν ὅσα συνδρομῇ συμβεβηκότων ἰδιότητος τῆς οἰκείας [ἀφ]ώρισται·

καὶ ὅτι τὸ λογικὸν οὐκ ἐστὶν ἁπλῶς ποιότης, ἀλλὰ ζῴου
70 διαφορά·

59–62 τῆς – περιόδων: cf. e.g. Simplic. In Arist. de caelo 468,21–22 οἱ δὲ Πυθαγόρειοι ἐναρμόνιον ἦχον ἀπὸ τῆς τῶν οὐρανίων σωμάτων κινήσεως ἔλεγον ἀποτελεῖσθαι et 469,4–6 ὅσον τὰ ἄφθαρτα τῶν φθαρτῶν καὶ τὰ οὐράνια τῶν ἐπιγείων, ἀληθὲς εἰπεῖν, ὅτι ὁ τῶν θείων σωμάτων ἦχος ταῖς ἐπικήροις ἀκοαῖς οὐκ ἔστιν ἀκουστός. cf. Psel. Συλλογαὶ διάφοροι καὶ ἀναγκαῖαι = Phil. min. I 55,86–87 φιλεῖ (scil. Πᾶν) τὴν Ἠχὼ διὰ τὴν ἐναρμόνιον κίνησιν τῆς οὐρανίας σφαίρας cum Alex. Aphrod. Προβλήματα 3,17,33–34 et etiam Psel. Βίος καὶ πολιτεία ... Αὐξεντίου ... = Or. hag. 1c,171–173 εἰ μὲν οὖν καὶ τὰ κατὰ τὸν οὐρανὸν κινούμενα καὶ ἀντικινούμενα μέλους τινὸς εἶεν ἐργαστικά, ἄλλοι λεγέτωσαν ‖ **63–64** καὶ τὴν – ἀγαθά: cf. Π 202,105–108 τὸ γὰρ συλλογίζεσθαι, ὡς οἶδας καὶ αὐτὸς ἀδελφέ, οὔτε δόγμα ἐστὶ τῆς ἐκκλησίας ἀλλότριον, οὔτε θέσις τις τῶν κατὰ φιλοσόφους παράδοξος, ἀλλ' ἢ μόνον ὄργανον ἀληθείας καὶ ζητουμένου πράγματος εὕρεσις **66–68** τῷ[1] – ἀφώρισται: Simplic. In Cat. 55,2–5 τῷ μὲν εἴδει διαφέρει, ὅσα τῷ λόγῳ τῆς οὐσίας ἀλλήλων κεχώρισται· τῷ δὲ ἀριθμῷ διέστηκεν, ὅσα συνδρομῇ συμβεβηκότων τὴν ἰδιότητα τῆς οἰκείας ὑποστάσεως ἀφωρίσατο. cf. Psel. Πρὸς τὸν λογοθέτην τοῦ δρόμου τὸν Ἀλωπὸν ἐρωτήσαντα· οἱ δύο Βασίλειοι ἢ οἱ δύο Γρηγόριοι ὁμώνυμοι ἢ συνώνυμοι; = Phil. min. I 6,79–81 **69–70** τὸ – διαφορά: cf. Simplic. In Cat. 59,5–9 (cf. 57,5–6 et 77,24–26) τοῦ ζῴου αἱ μέν εἰσιν διαιρετικαὶ διαφοραί, ὡς τοῦ ζῴου τὸ μὲν λογικόν, τὸ δὲ ἄλογον, καὶ θνητὸν καὶ ἀθάνατον, αἱ δὲ συστατικαί, ὡς τοῦ ζῴου τό τε αἰσθητικὸν καὶ τὸ ἀφ' ἑαυτοῦ κινητόν cum Ioann. Philop. In Cat. 40,8–10. cf. Psel. Περὶ τῶν πέντε φωνῶν = Phil. min. I 51,239–241 ζῴου μὲν συστατικαὶ

58 οὐδ' αὐτίκα suppl. S ‖ **60** οὐρανίων suppl. S ‖ **61** τῶν suppl. S **64** ἀπώναιτο corr. S: ἀπώσαιτο P ‖ **66** ἀλλήλων suppl. S ‖ **68** ἀφώρισται suppl. S ‖ **69–70** ζῴου διαφορά scripsi (cf. app. font.): ζωώδης P S

καὶ ὡς ἡ διαφορὰ μέρος τῆς οὐσίας· περὶ γὰρ τὴν οὐσίαν τὴν κεχωρισμένην ἰδιότητα ἀφορίζει·

καὶ ὅτι τῶν διαφορῶν, αἱ μὲν γενῶν εἰσιν, [αἱ] δὲ εἰδῶν· καὶ τοῦ μὲν γένους αἱ μὲν συστατικαί, ὅσαι κατὰ παντός, αἱ δὲ διαιρετικαί, ὅσαι διηρη[μένως] μὲν κατ' αὐτοῦ οὐ λέγονται, ὁμοῦ δὲ πᾶσαι· τοῦ δὲ εἴδους εἰσὶν αἱ εἰδοποιοὶ μόναι, ὧν ἑκάστη κατὰ [τὸ] ἀντιδιηρημένον πρὸς ἕκαστον τῶν εἰδῶν ἀφορίζεται, ἀλλ' οὐχ ἅμα πᾶσαι. 75

Σὺ δ' ἀλλ' ἐπὶ τούτοις οὐχ ὥσ[περ] φόρτον ἐπωμισάμενος, βούλει διασείσασθαι τοῦτον καὶ ἀποτινάξασθαι τῆς ψυχῆς; Τοιοῦτόν ἐστιν ἡ φιλοσοφία, μάλιστα ἡ λογικὴ πραγματεία· οὐ γὰρ ἔχει κάλλη τινὰ φυσικά, οὐδὲ οἷον ἄνθη καὶ ὡραϊσμούς, οὔτε λέξεων, οὔτε θεωριῶν. Διὰ ταῦτα δὴ δύο βιβλία ἐν χερσί μοι ἀεὶ περιφέρεται: τὸ μέν, ἀνθοῦν λέξεσι, τὸ δέ, [γέ]μον νοήσεων. Καὶ πολλάκις ἀπὸ τῆς ἑσπέρας (ἵνα συμβολικῶς εἴπω) πρὸς τὴν ἀκτῖνα μετατίθεμαι καὶ κ[ατὰ τ]ὸν ἀέρα, πρῶτον ἕσπερον, εἶτα ἑωσφόρον ὁρῶ. Ἐνίοτε δὲ ὥσπερ αἱ μέλισσαι τὰ ἄνθη τῆς τέχνης 80 85

διαφοραὶ τὸ ἔμψυχον καὶ αἰσθητικόν, διαιρετικαὶ δὲ τὸ λογικὸν καὶ ἄλογον, τὸ θνητὸν καὶ ἀθάνατον
71–72 ἡ – ἀφορίζει: Simplic. In Cat. 55,11–12 δεῖ δὲ τὴν διαφορὰν μέρος τῆς οὐσίας εἶναι· περὶ γὰρ τὴν οὐσίαν τὴν κεχωρισμένην ἰδιότητα ἀφορίζει **73–78** τῶν – πᾶσαι: Simplic. In Cat. 55,17–21 τοῦ μὲν οὖν γένους αἱ μὲν συστατικαί, ὅσαι κατὰ παντὸς λέγονται, αἱ δὲ διαιρετικαί, ὅσαι διηρημένως μὲν κατ' αὐτοῦ οὐ λέγονται, ὁμοῦ δὲ πᾶσαι· τοῦ δὲ εἴδους εἰσὶν αἱ εἰδοποιοὶ μόναι, ὧν ἑκάστη κατὰ τὸ ἀντιδιηρημένον πρὸς ἕκαστον τῶν εἰδῶν ἀφορίζεται, ἀλλ' οὐχ ἅμα πᾶσαι ‖ **85–86** πρὸς – ἀκτῖνα: cf. Suda π 2589 πρὸς ἀκτῖνα: ἀνατολήν ‖ **85–86** πρὸς – ἕσπερον: cf. Π 188,13–14 πρός τε ἀνίσχουσαν ἀκτῖνα καὶ πρὸς ἑσπέραν ‖ **87–90** ἐνίοτε δὲ – ποιῶ: cf. Psel. Περὶ χαρακτήρων συγγραμμάτων τινῶν 49,29–50,2 περὶ τὰ τοιαῦτα τῶν βιβλίων ἐφιπτάμην, ἀφ' ὧν δρόσος καὶ πίννα καὶ ἄνθος τὸ συλλεγόμενον καὶ κειρόμενον ἦν, Π 61,4–6 αὐτοὶ καθιοῦμεν ἀνθολογοῦντες ἀεὶ ὥσπερ αἱ μέλισσαι καὶ τὴν τοῦ μέλιτος ἐργασίαν ἐξεργαζόμενοι, Π 118,37–43 ἔπειτα δὲ οὐδὲ μελιττουργεῖταί μοι παρὰ τῇ γλώττῃ τανῦν οὔτε λέξεων ἡδονή, οὔτε συνθήκης εὐαρμοστία, ἵνα σε φιλοτίμως ἐφεστιάσω, καί σοι παραθείην ψυχῆς

72 ἰδιότητα scripsi (cf. app. font.): ἰδιότητος P S ‖ **73** αἱ suppl. S **75** διηρημένως scripsi (cf. app. font.): διηρημέναι suppl. S ‖ **76** τὸ supplevi: om. S ‖ **79** ὥσπερ supplevi: ὡς [πρός] dubitanter suppl. S ‖ **83** λέξεων corr. Reinsch: ἔξεων P S ‖ **84** γέμον suppl. S ‖ **86** κατὰ τὸν suppl. Reinsch: ἡ[... αὐτὸν?] ἀέρα S

περιπ[ετό]μενος καὶ περιβομβῶν ταῦτα καὶ κείρων τῆς μελιτουργοῦ πόας, οὕτω τοὺς σίμβλους ὑποδύομαι καὶ τὰ ἄνθη [μέ]λι
90 ποιῶ· ἐρῶ γὰρ καὶ τῆς τοῦ λόγου ψυχῆς, περιέχομαι δὲ καὶ τοῦ σωματικοῦ κάλλους. Καὶ ὅταν κατακορὴς τῆς ἐνδελεχείας [γέν]ωμαι, μετατίθεμαι πρὸς τὸ ῥητορικὸν εὐθὺς ζεῦ⟨γ⟩μα, καὶ τὴν ἀνάτασιν, καὶ τὴν διαγραφήν, καὶ τὴν ὑπόστασιν, [καὶ] περὶ τοὺς ἐν λέξει ῥυθμοὺς πραγματεύομαι, καὶ περὶ τὰ μέτρα, καὶ τί
95 τὸ ἐν ἑκάστῳ ἴδιον ἐπισκέπτομαι, καὶ τί [τὸ] κοινόν, καὶ τί τὸ διάφορον. Καὶ ὥσπερ ὁ Πλάτων τῇ φυσιολογίᾳ τὴν θεολογίαν

καρύκευμα τρόφιμον· αἱ γάρ μοι μέλισσαι, αἱ τῇ γλώττῃ τὰ κηρία συντιθεῖσαι τοῦ λόγου, καὶ (ποιητικῶς εἰπεῖν) «τιθαιβώσσουσαι», ἐπεὶ μηδὲν ἐνταῦθα ἄνθος κηρόχυτον, μηδὲ πόα καταμελιτοῦσα ψυχήν, ᾤχοντο ἀποπτάμεναι, et Π 459,15 τὴν δ' ἐμμελῆ τοῦ λόγου συνθήκην ὥσπερ αἱ μέλιτται τὰ κηρία ἔτι περιέπομέν τε καὶ περιϊπτάμεθα. cf. etiam Π 58,2–34, Π 247,19–22, et Π 376,68–71
90–91 ἐρῶ – κάλλους: cf. Psel. Λόγος σχεδιασθεὶς πρὸς Πόθον βεστάρχην ... περὶ τοῦ θεολογικοῦ χαρακτῆρος 6 ἔγωγ' οὖν ὁσάκις αὐτῷ ἐντυγχάνω, προσομιλῶ δὲ θαμά, προηγουμένως μὲν φιλοσοφίας ἕνεκα, παρεπομένως δὲ ψυχαγωγίας, ὥρας ἀμυθήτου πληροῦμαι καὶ χάριτος· καὶ καταλιμπάνω πολλάκις περὶ ὃ ἐσπούδακα καὶ τὸν νοῦν τῆς θεολογίας ἀφεὶς τῇ ῥοδωνιᾷ ἐνεαρίζω τῶν λέξεων καὶ κλέπτομαι ταῖς αἰσθήσεσι, Π 124,104–105 τῆς αὐτῆς σοι κἀγὼ πάγης εἰμί· καὶ γοητεύομαι ἄνθεσί τε φαινομένοις καὶ χάρισιν, εἴτε πόαις ταῦτα εἴτε λόγοις ἐγκάθηται, Π 459,20–24 τὴν δ' ἐμμελῆ τοῦ λόγου συνθήκην ὥσπερ αἱ μέλιτται τὰ κηρία ἔτι περιέπομέν τε καὶ περιϊπτάμεθα· καὶ ἠγαπήσαμεν ἂν εἰ ἀπὸ τοῦ τῶν σωμάτων κάλλους εἰς τοῦτο ἀναβάντες ἐλήξαμεν· ἀλλὰ δέδια μὴ αὖθις ἐπὶ τὴν αἴσθησιν καταρρέωμεν ‖ **92** ζεῦγμα: figura rhetorica; cf. Psel. Χρονογραφία VII,168 (=VIIc,4) μετὰ ῥητόρων εἰπέν τι περὶ ζεύγματος καὶ ἐμφάσεως ‖ **96–97** ὁ – σιλλογράφον: cf. Procl. In Tim. I 1,1 sqq... . ἔνθεν ἀφορμηθείς, ὁ Πλάτων τιμαιογραφεῖν ἐπιχειρεῖ κατὰ τὸν σιλλογράφον ... etc. cum Ioann. Philop. In Phys. 5,21–25 ἔστι γὰρ καὶ φυσιολογεῖν θεολογικῶς, ὡς ὁ Πλάτων ἐν τῷ Τιμαίῳ περὶ τῶν ἐξῃρημένων αἰτίων τῶν φυσικῶν πραγμάτων διαλεγόμενος, καὶ θεολογεῖν φυσικῶς, ὥσπερ ὁ Ἀριστοτέλης ἐν τῇ Μετὰ τὰ φυσικὰ ἐκ τῶν φυσικῶν πραγμάτων τὴν διδασκαλίαν τῶν θείων ποιούμενος. cf. Psel. Ἐκ τοῦ εἰς τὴν Πεντηκοστὴν θεολογικοῦ λόγου· 'οἶδε μὲν τρέφειν καὶ πέντε ἄρτοις' = Theol. I 78,100–101 διὰ ταῦτ' ἄρα καὶ Πλάτων 'Τιμαιογραφεῖν ἐπιχειρῶν' κατὰ τὸν σιλλογράφον. cf. etiam Psel. Εἰς τὸ παροιμιακὸν ... 'ἡ σοφία ᾠκοδόμησεν ...'

88 περιπετόμενος scripsi: περιπτυσσόμενος suppl. S ‖ **89–90** μέλι ποιῶ scripsi: μελιποιῶ suppl. S e quo falsum LBG lemma ‖ **92** γένωμαι suppl. S ζεῦγμα scripsi (cf. app. font.): ζεῦμα P S ‖ **93** καὶ suppl. S ‖ **95** τὸ suppl. S

μίγνυσι Τιμαιογραφῶν κατὰ τὸν σιλλογράφον, οὕτω δὴ κἀγὼ τῇ ῥητορικῇ τὴν φιλοσοφίαν συντίθημι, καὶ πρὸς ἀμφοτέρας δι' ἀμφοτέρων ἁρμόζομαι.

Οὕτω δή μοι καὶ σὺ τὸν παῖδα συμβίβαζε· καὶ τὸ καλὸν ἐν 100 προθύροις τοῦ ἀγαθοῦ [κ]είμενον, ἐν ῥήμασι πρῶτον καὶ ὀνόμασι δείκνυε καὶ τῇ τούτων συνθήκῃ, εἶτα δὴ δίδου καὶ τῶν Ἀριστοτελικῶν κρατήρων πιεῖν. Καὶ τῇ γλώττῃ μὲν ἐπίσης πρὸς ἀμφοτέρας τὰς μεθόδους ἡρμόσθω· γράφειν δὲ προελόμενος, ῥητορικώτερος γενέσθω μᾶλλον ἢ φιλοσοφώτερος. 105

= Theol. I 7,43–44 ἔστι δὲ ὅπῃ τῇ μὲν φυσιολογίᾳ θεολογικὰ ἐγκαταμίγνυσι (scil. Σολομὼν) δόγματα, τῇ δὲ θεολογίᾳ φυσικὰ θεωρήματα
97–99 οὕτω – ἁρμόζομαι: cf. Π 126,103–105 καὶ δίδου ἐξ ἑκατέρων κρατήρων παρὰ μέρος ἀρρύεσθαι, ἣν μὴ βούλῃ τοῦτον, ἢ νοῦν ἔχειν ἄγλωττον παρὰ μόνην φιλοσοφίαν, ἢ γλῶτταν ἄνουν παρὰ μόνην ῥητορικήν, Π 134,39–41 ἔστι δέ, ὦ λῷστε, καὶ φιλοσοφία ῥητορική, καὶ ῥητορεία φιλόσοφος, θάτερον δὲ μέρος πολιτικόν (φασιν οἱ πολλοί), Π 280,43–50 καὶ βουλοίμην ἂν τῇ φιλοσοφίᾳ παραρριπτεῖσθαι, ἢ ἐν σκηνώμασι τῆς ῥητορικῆς κατοικεῖν, ἀλλ' οὐκ οἶδ' ὅπως, θάτερον διώκων, ὑπὸ θατέρου κατείλημμαι καί, φιλοσοφίαν κοσμοῦντα, ἡ τέχνη κοσμεῖ. καὶ προκάθημαι μὲν τῶν δυεῖν τούτων κόσμων καὶ μεθόδων, ἀλλὰ πρὸς μὲν τὴν ἀφοσιοῦμαι, τὴν δὲ πρεσβεύω· καί, βαδίζοντι πρὸς τὴν ἐλαίαν καὶ τὴν συκῆν καὶ τὴν ἄμπελον, ἡ ἐρινεὸς καὶ βάτος μοι περιπέπλεκται· ἅτινα δὴ αἱ τῶν ἐμῶν λόγων εἰσὶν ἀδιήγητοι χάριτες. cf. etiam Papaioannou 2013,29–50 ‖ **100–101** τὸ – κείμενον: cf. Plat. **Φίληβος** 64c1 τοῦ ἀγαθοῦ νῦν ἤδη προθύροις cum Plot. V,9,2,25–26 et Procl. e.g. In Tim. II 267,20–21 et Psel. Ἐγκωμιαστικὸς εἰς … Μιχαὴλ τὸν Κηρουλλάριον = Or. fun. I 1,30,12–13, Ἐγκώμιον εἰς Ἰωάννην … Εὐχαΐτων … = Or. pan. 17,144–145, et **Περὶ τῶν ἰδεῶν ἃς ὁ Πλάτων λέγει** = Phil. min. II 33 (113,12) et Π 103,26–27 et Π 275,9

97 σιλλογράφον scripsi (cf. app. font.): σιλογράφον P S ‖ **101** κείμενον suppl. S

126. Τῷ αὐτῷ

⟨Τῷ μεγάλῳ δρουγγαρίῳ κῦρ Κωνσταντίνῳ, τῷ ἀνεψιῷ τοῦ πατριάρχου Μιχαήλ⟩

S 188 [P]

[Οὐ]δὲν μὲν τῶν ὄντων ἢ γινομένων ἀναίτιον, φιλτάτη ψυχή· εἰ γὰρ καὶ τῷ Πλάτωνι ἀγέννητος παραπεφιλοσόφηται ἡ ψυχή, [καὶ] τῷ Ἀριστοτέλει ἡ ὕλη, ἀλλ' ἄμφω γεννητὰ καὶ ἀπ' αἰτίας τὴν ἀρχὴν ἔχοντα. Ἐψεύσαντο γοῦν οἱ φιλόσοφοι, ἢ ἠγνοήκασι
5 τὰς αἰτίας αὐτῶν; Πολλοῦ γε καὶ δεῖ. Ἀλλ' ὁ μὲν Πλάτων ἀγέννητον τὴν ψυχὴν κατὰ λόγον τίθεται, ὁ δὲ οὕτω τὴν ὕλην, ὅτι οὐκ ἔστιν ἀναλύοντι ἐξ ἑτέρας ταύτην εὑρεθῆναι διαδοχῆς. Γεννᾷ

1 οὐδὲν – ἀναίτιον: cf. Max. Conf. Ambig. ad Ioann. 15,6,9–11 οὐδὲν γὰρ τῶν ὄντων παντελῶς ἐστιν αὐτενέργητον, ὅτι μηδὲ ἀναίτιον, τὸ δὲ μὴ ἀναίτιον, κινεῖται πάντως δι' αἰτίαν cum Psel. Εἰς τὸ 'οὐσία πρᾶγμα αὐθύπαρκτον' = Phil. min. I 7,167–168 οὐδὲν γὰρ τῶν ὄντων ⟨ἀν⟩αίτιον ‖ **2** τῷ – ψυχή: cf. infra ll. 5–9 cum Psel. Omn. doctr. 51 Πῶς ὁ Πλάτων γεννητὴν ὁμοῦ τὴν ψυχὴν καὶ ἀθάνατον ἀποφαίνεται et Κατηγορία τοῦ ἀρχιερέως = Or. for. 1,502–503 **3** τῷ – ὕλη: Arist. Phys. 192a28–29 ἄφθαρτον καὶ ἀγένητον ἀνάγκη αὐτὴν εἶναι et Metaph. 999b12–13 ἄφθαρτον καὶ ἀγένητον ἀνάγκη αὐτὴν εἶναι. cf. Psel. Κατηγορία τοῦ ἀρχιερέως = Or. for. 1,360 et Εἰς τὸ 'ἓν ἔτι μοι λῦσον …' = Theol. I 55,124–125 cum Greg. Naz. Λόγος θεολογικὸς τρίτος, περὶ Υἱοῦ = Or. 29,11 ‖ **1–9** εἰ – δημιουργόν: cf. Plat. Φαῖδρος 245c5–246a2 … ἐξ ἀνάγκης ἀγένητόν τε καὶ ἀθάνατον ψυχὴ ἂν εἴη cum Τίμαιος 34b10–36d9 … ἡ τῆς ψυχῆς σύστασις ἐγεγένητο cum e.g. Procl. In Tim. I 235,1–17 … εἰ δὲ πᾶν τὸ ὁπωσοῦν γενητόν … καὶ τὴν ψυχὴν τῶν γιγνομένων πρώτην … καὶ οὕτω κάτωθέν τε ἀνιόντες εἰς ψυχὴν ἀπολήξομεν ὡς πρώτην τῶν γενητῶν, καὶ ἄνωθεν κατιόντες εἰς αὐτὴν ἀποπαυσόμεθα πάλιν ὡς ἐσχάτην τῶν αἰωνίων … διὸ καὶ ὁ ἐν Φαίδρῳ Σωκράτης ἀγένητον αὐτὴν ἅμα καὶ αὐτοκίνητον ἔλεγεν … ἀγένητον ἄρα καὶ γενητὴν αἰώνιόν τε καὶ οὐκ αἰώνιον αὐτὴν λέγοντες ὀρθῶς ἐροῦμεν et II 124,27–125,2 ταύτῃ ἅμα καὶ ἀγένητός ἐστι καὶ γενητή, δι' ἣν μὲν ἀεὶ ἔχει οὐσίαν καὶ ζωήν, ἀείζωος οὖσα καὶ ἀεὶ οὖσα, δι' ἣν δὲ ἀεὶ δέχεται, γιγνομένη ἀεὶ καὶ οὐσία καὶ ζωή, διχόθεν οὖσα, καὶ ἀφ' ἑαυτῆς καὶ ἀπὸ τῶν πρὸ αὐτῆς, καὶ δι' ἑαυτὴν μὲν ἀεὶ οὖσα, διὰ δὲ τὰ πρὸ αὐτῆς ἀεὶ γιγνομένη, μᾶλλον δὲ διὰ τὰ πρὸ αὐτῆς ἄμφω ἔχουσα, καὶ εἶναι ὅ ἐστι καὶ γίνεσθαι, δι' ἑαυτὴν δὲ θάτερον μόνον. cf. etiam Psel. Omn. doctr. 51 Πῶς ὁ Πλάτων γεννητὴν ὁμοῦ τὴν ψυχὴν καὶ ἀθάνατον ἀποφαίνεται, Πρός τινα κάπηλον μεγάλαυχον καὶ φιλοσοφοῦντα διάκενα = Or. min. 13,77 et Π 400,21–23; cf. etiam Π 538,60

ep. 126 P 235v–236v; tit. P S ‖ **1** οὐδὲν suppl. S ‖ **3** καὶ suppl. S

γοῦν Πλάτων τὴν μὲν ψυχὴν ἐν Τιμαίῳ, τήν τε πηγαίαν ἀρχὴν αὐτῆς ἀνιχνεύων καὶ τὸν δημιουργόν· ἐν δὲ Φι[λή]βῳ τὴν ὕλην, τὴν ἀπειρίαν ἐκ τοῦ ἑνὸς προῆχθαι ἀποφαινόμενος. 10

Ἀναίτιον μὲν οὖν τῶν πάντων οὐδέν. Οὐ πάντων δὲ τὰς αἰτίας εὑρεῖν ἡμεῖς δεδυνήμεθα, ἀλλὰ διαφεύγει τὰ πλείω τὴν ἡμετέραν διάνοιαν. Ἔνθεν ἡ παραδοξοποιΐα ἔχει τὴν γένεσιν. Αὐτίκα οὐκ ἔχει φύσιν τὰ ἐναντία, εἰς ταὐτὸ συγκιρνάμενα, ἔχειν ἕκαστον τὴν οἰκείαν ἀνόθευτον δύναμιν. Τὰ δὲ ἁπλᾶ τῶν φαρμάκων τὰς 15 ἐναντιότητας πολλάκις ἐν ἑαυτοῖς ἀρρήτως ἐκτήσαντο, οἷον ἐκκριτικήν τε καὶ στα⟨λ⟩τικήν, ἀραιωτικήν τε καὶ πυκνωτικήν, θερμαντικήν τε καὶ ψυκτικήν, ξηραντικήν τε καὶ ὑγραντικήν. Οὐ παράδοξον οὖν εἴ τι τῶν πάντων δυνάμεις ἐναντίας ἐν ἑαυτῷ ἔσχηκε καὶ ἐνεργεῖ τὰ διάφορα. 20

10 τὴν – ἀποφαινόμενος: Procl. Περὶ τῆς τῶν κακῶν ὑποστάσεως 34,9–14 ἐν δὲ τῷ Φιλήβῳ (cf. Plat. Φίληβος 16c et 23c) καὶ αὐτὴν τὴν ὕλην καὶ πᾶσαν τὴν τοῦ ἀπείρου φύσιν ἐκ τοῦ ἑνὸς παράγων καὶ ὅλως πρὸ τῆς τοῦ πέρατος καὶ ἀπείρου διαστάσεως τὴν θείαν αἰτίαν ⟨τιθείς⟩, ἔνθεον αὐτὴν καὶ ἀγαθὸν διὰ τὴν τοῦ θεοῦ μετάληψιν καὶ τὴν ἀπὸ τοῦ θεοῦ γένεσιν εἶναι συγχωρεῖ καὶ οὐδαμῶς κακόν cum Psel. Omn. doctr. 100 Εἰ κακὸν ἡ ὕλη. Πλάτων ὁ φιλόσοφος ἐν μὲν τῷ Τιμαίῳ μητέρα καὶ τιθήνην τῆς τῶν καλῶν γενέσεως καὶ συναιτίαν τῆς τοῦ κόσμου δημιουργίας αὐτὴν ἀποφαίνεται· ἐν δὲ τοῖς τοῦ Ἐλεάτου ξένου λόγοις αἰτίαν αὐτὴν λέγει τῆς τοῦ παντὸς ἀταξίας· ἐν δὲ τῷ διαλόγῳ τῷ καλουμένῳ Φιλήβῳ ἀπὸ τοῦ θεοῦ καὶ ταύτην παράγων ἔνθεον αὐτὴν καὶ ἀγαθὸν διὰ τὴν ἀπὸ τοῦ θεοῦ γένεσιν ἀποφαίνεται. cf. etiam Procl. In Tim. I 385,30 sqq. ‖ **15–20** τὰ δὲ ἁπλᾶ – διάφορα: cf. Galen. Περὶ κράσεως καὶ δυνάμεως τῶν ἁπλῶν φαρμάκων 574,3–13 ἅπαντα τὰ φάρμακα, κἂν ἁπλᾶ πρὸς αἴσθησιν φαίνηται, τῇ φύσει γοῦν ὑπάρχει σύνθετα, καὶ πολλάκις γε καὶ τὰς ἐναντιωτάτας ἐν αὐτοῖς ἔχει δυνάμεις, οἷον ἐκκριτικήν τε καὶ σταλτικὴν, παχυντικήν τε καὶ λεπτυντικὴν, ἀραιωτικήν τε καὶ πυκνωτικὴν, ἐμπλαστικήν τε καὶ διαῤῥυπτικὴν, συντατικήν τε καὶ χαλαστικὴν, ἁπάσας τε τὰς ἄλλας ἀντιθέσεις, ὡς ἐν τῷ μετὰ ταῦτα λόγῳ δείξομεν. οὐδὲν δὲ θαυμαστὸν, εἰ ἐπὶ τῶν τοιούτων δυνάμεων ἑνὶ καὶ ταὐτῷ φαρμάκῳ θερμαντική τε καὶ ψυκτικὴ φαίνοιτο, ἢ ξηραντική τε καὶ ὑγραντικὴ, λεπτομερής τε καὶ παχυμερής

9 Φιλήβῳ scripsi: Φι[λοτ]ίμῳ suppl. S ‖ **17** σταλτικήν scripsi (cf. app. font.): στατικήν P S

Ἆρ’ οὖν καὶ ἀναίτιον τὸ γινόμενον; Πολλοῦ γε καὶ δεῖ. Ἀλλ’ ἡμῖν ἀφανὴς ἡ αἰτία· πάντα γὰρ ἄγεται φυσικαῖς ὁλκαῖς· καὶ τὰ μὲν τοῖς συγγενέσι προσκλίνεται, τὰ δὲ τοῖς ἀλλοτρίοις βιάζεται, διὰ τὴν ἐν τῷ παντὶ συμπάθειαν, καὶ τὸ τοῦ τόπου διάστημα οὐκ
25 ἐμποδίζει ταῖς διῃρημέναις πολλάκις ὕλαις πρὸς τὴν ἐνέργειαν.

Τὸ γοῦν χορίον τῷ κυουμένῳ βρέφει συνελθόν, εἶτα ὄξει καταρραινόμενον, σπασμοὺς ἐμποιεῖ ταῖς ἄρτι τεκούσαις τῶν γυναικῶν. Εἰκὼν δὲ καὶ τύπος διαβιβάζει τὴν ἐνέργειαν τῆς μαγείας πρὸς τὸ ἀρχέτυπον, καὶ συντελεῖ πρὸς τὸ δρώμενον, καὶ
30 σίδηρος σίζων, καὶ ἄψυχος ἦχος μελετηθείς. Καὶ πρὸς μὲν ἀγώγιμον πρᾶξιν αἴλουρος δύναται, πρὸς δὲ ἄγρυπνον ἡ νυκτερὶς καὶ ὁ νυκτικόραξ. Καὶ τοῖς μὲν ἐρωτικοῖς, τὰ τῷ τῆς Ἀφροδίτης ἀστέρι προσήκοντα λυσιτελέστατα· ἐπὶ δὲ διαιρέσεων χρησιμώτατα τὰ Ἀρεϊκά. Καὶ ἡ ἀρχαιοτέρα δὲ τῆς Ἀσσυρίων σοφίας ἐντεῦθεν
35 ἀγάλματα κατεσκεύαζεν ἀντιπαθῆ πρὸς τὰ ἐξ εἱμαρμένης ῥεύματα, ὡς ἐκείνη τῷ λόγῳ φησίν. Ἐξελέγοντο δὲ πρὸς τὴν κατασκευὴν τρίχρωμον γῆν, εἰς δὲ τὴν πλάσιν στέαρ ἀετοῦ καὶ κορώνης. Ἐπέπλαστο δὲ τὸ ἄγαλμα, τῇ μὲν δεξιᾷ, ἀετὸν ὑπερπετώμενον τῷ σχήματι ἔχον· τῇ δὲ λαιᾷ, δράκοντα· εἶτα δὴ ἐδείκνυ
40 τὴν ἀντιπάθειαν.

22–24 τὰ – συμπάθειαν: cf. Psel. Ἐγκώμιον εἰς τὸν ... Ἰωάννην τὸν Κρουστουλᾶν ἀναγνόντα ἐν τῇ Ἁγίᾳ Σορῷ = Or. min. 37,366–368 τὰ μέρη σύμπαντα τοῦ παντὸς ὁμονοεῖ πρὸς ἄλληλα κατὰ συμπάθειαν ἄρρητον καὶ αὖθις ἀντιπαθεῖ ὡς ἑνὸς ζῴου τοῦ κόσμου τυγχάνοντος cum e.g. Procl. In Tim. I 301,3–22 ... καθ’ ἃς ἡ ἐν τῷ κόσμῳ συμπάθεια καὶ ἀντιπάθεια τῶν μερῶν ὑφέστηκε ... ‖ **24–25** καὶ – ἐνέργειαν: cf. Π 26,12–13 τὸ δὲ μεταξὺ τοῦ τόπου διάστημα οὐκ ἂν διαιροίη ψυχὰς συνημμένας ἐκ διαθέσεως ‖ **26–28** τὸ γοῦν – γυναικῶν: fontem non inveni ‖ **30–32** πρὸς – νυκτικόραξ: fontem non inveni. cf. Papyr. Mag. 3,1 sqq. [λαβὼν αἴ]λουρον [ἐκποί]ησον et 12,376 sqq. ἀγρυπνητικόν. λαβὼν νυκτερίδαν ... etc. ‖ **35–36** τὰ – ῥεύματα: Synes. Cyren. Epist. 10,15 ‖ **34–40** ἡ – ἀντιπάθειαν: fontem non inveni

26 χορίον scripsi: χωρίον P S

Ταῦτα δέ, ἀπόρρητα μὲν τοῖς πολλοῖς καὶ παντάπασιν ἄγνωστα. Ἐμοὶ δὲ (νὴ τὴν ἱεράν σου ψυχήν!) οὐδὲν τῶν ἀρρήτων διὰ τὴν τῆς ψυχῆς πολυπραγμοσύνην ἠγνόηται· καὶ τὰς μὲν μεθόδους ἁπάντων συνέλεξα, οὐκ ἐχρησάμην δὲ οὐδεμιᾷ τῶν ἀρρητουργιῶν, ἀλλὰ καὶ τοῖς χρησαμένοις ἐπαρῶμαι, τοσοῦτον ἐκ τούτων συμπο- 45 ρισάμενος, ὥστε εἰδέναι ἔχειν ὡς ἐστὶ τῶν γινομένων ἔνια, ἀναίτιον τοῖς πολλοῖς τὴν δύναμιν ἔχοντα.

Καὶ ἵνα σοι τὰς τελεστικὰς δυνάμεις ἀφῶ, ὁ ἐχῖνος τὸ ζῶον βορείων καὶ νοτίων πνευμάτων πρόγνωσιν ἔχει παρὰ τῆς φύσεως, καὶ μεταβάλλει ἐντεῦθεν τὰς εἰσαγωγὰς τῶν πνευμάτων. Ἐν δὲ 50 Κυλήνῃ τῇ πόλει ὁ κόττυφος ἀστρολογεῖ τὴν σελήνην, κἀντεῦθεν τὰς ἐπ' αὐτὸν θήρας διδάσκεται καὶ διαδιδράσκει τὰ κυνηγέσια. Ἡ μέλιττα ἀντιπαθῶς ἔχει πρὸς τὰ ἀρώματα. Ὁ δὲ Κύπριος μῦς ἐσθίει τὸν σίδηρον. Τὸ δὲ θηρίον ὁ τάρανδος μεταβάλλει ὁπόταν

42–47 ἐμοὶ – ἔχοντα: cf. Psel. Περὶ παραδόξων ἀκουσμάτων = Phil. min. I 32,100–106 ἐγὼ δὲ οὐ περιεργασίας ἕνεκα, νὴ τὴν ἱεράν σου ψυχήν, ἀλλὰ φιλομαθείας τὰ πλείω τῶν μαθημάτων συνελεξάμην· ἐγένετο γάρ μοι ἡ φύσις ἀκόρεστος πρὸς ὁτιοῦν σπούδασμα καὶ οὐδὲν ἄν με βουλοίμην διαλαθεῖν, ἀλλ' ἀγαπῴην ἂν εἰ καὶ τὰ νέρθεν εἰδείην τῆς γῆς. καὶ οὐχ ὥσπερ οἱ πολλοὶ περὶ τοῦτο μὲν ἐσπούδακα, ἐκεῖνο δὲ ἀπωσάμην, ἀλλὰ καὶ τῶν φαύλων ἢ ἄλλως ἀποτροπαίων ἐπιγνῶναι τὰς μεθόδους ἐσπούδακα, ἵν' ἔχω ἐντεῦθεν ἀντιλέγειν τοῖς χρωμένοις αὐτοῖς. cf. etiam Π 285,18–19 τίς δὲ τῶν πάντων εἰς μίαν τὴν ἑαυτοῦ ψυχὴν πάντα συνέλεξε τὰ μαθήματα; ‖ **48–50** ὁ – πνευμάτων: cf. Arist. Περὶ θαυμασίων ἀκουσμάτων 831a15–18 τοὺς ἐν Βυζαντίῳ φασὶν ἐχίνους αἰσθάνεσθαι ὅτε βόρεια καὶ νότια πνεῖ πνεύματα, καὶ μεταβάλλειν εὐθὺς τὰς ὀπάς, καὶ ὅταν μὲν ᾖ νότια, ἐκ τοῦ ἐδάφους τὰς ὀπὰς ποιεῖσθαι, ὅταν δὲ βόρεια, ἐκ τῶν τοιχῶν ‖ **50–52** ἐν δὲ Κυλήνῃ – κυνηγέσια: cf. Arist. Περὶ θαυμασίων ἀκουσμάτων 831b14–17 ἐν Κυλλήνῃ φασὶ τῆς Ἀρκαδίας τοὺς κοσσύφους λευκοὺς γίνεσθαι, ἄλλοθι δ' οὐδαμῇ, καὶ φωνὰς ποικίλας προΐεσθαι, ἐκπορεύεσθαί τε πρὸς τὴν σελήνην. τὴν δ' ἡμέραν εἴ τις ἐπιχειροίη, σφόδρα δυσθηράτους εἶναι ‖ **53** ἡ μέλιττα – ἀρώματα: cf. Arist. Περὶ θαυμασίων ἀκουσμάτων 832a3–4 τὰς μελίττας λέγουσιν ὑπὸ μύρου καροῦσθαι καὶ οὐκ ἀνέχεσθαι τὴν ὀσμήν ‖ **53–54** ὁ δὲ – σίδηρον: cf. Arist. Περὶ θαυμασίων ἀκουσμάτων 832a22–23 ἐν Κύπρῳ τῇ νήσῳ λέγεται τοὺς μῦς τὸν σίδηρον ἐσθίειν ‖ **54–55** τὸ δὲ – σώματος: cf. Arist. Περὶ θαυμασίων ἀκουσμάτων 832b8–10 … τάρανδος [τάνανδρος mss. H P R]· λέγεται δὲ τοῦτο μεταβάλλειν τὰς χρόας τῆς τριχὸς καθ' ὃν ἂν καὶ τόπον ᾖ

52 διαδράσκει S ‖ **54** τάρανδος scripsi (cf. app. font.): πάνανδρος P S e quo falsum LBG lemma; an τάρανδρος scribendum? (cf. e.g. Ioann. Damasc. Ἱερὰ Παράλληλα PG 95,1584,18) τάνανδρος prop. Giacomelli (cf. app. font.)

55 βούληται τὸ χρῶμα τοῦ σώματος. Καὶ οὐκ ἂν ἔχοι τις οὐδὲ τῶν ἄγαν σοφῶν τὰς αἰτίας τῶν γινομένων εἰπεῖν.

Ὁ μὲν γραμματικὸς ἐφεύροι ἂν τὴν αἰτίαν τῆς τοῦ βῆτα καὶ γάμα καὶ δέλτα μεσότητος, καὶ πῶς τοῦ μὲν βῆτα πέριξ τὸ πῖ καὶ φῖ, τοῦ δὲ γάμα τὸ κάππα καὶ χῖ, τοῦ δὲ δέλτα τὸ θῆτα καὶ ταῦ·
60 συγγενὲς γὰρ τὸ βῆτα τῶν εἰρημένων στοιχείων, ἔκ τε τῆς κλίσεως τῶν ῥημάτων ὁμοίως καὶ τῶν ὀνομάτων· τὰ γάρ τοι ῥήματα διὰ τοῦ βῆτα, ἢ πῖ, ἢ φῖ ἐκφερόμενα, διὰ τοῦ ψῖ ποιοῦσι τὸν μέλλοντα (οἷον λείβω, λείψω· τέρπω, τέρψω· γράφω, γράψω), καὶ αὖθις τὰ εἰς ψῖ τῶν ὀνομάτων λήγοντα τὴν γενικὴν δι' ἑνὸς
65 τούτων ἐκφέρει (λίψ γὰρ λιβός· καὶ Πέλοψ, Πέλοπος· καὶ κίνυψ, κίνυφος). Οὕτω δὴ κἀπὶ τῶν ἄλλων δυεῖν στοιχείων ἡ συγγενὴς μεσότης εὑρίσκεται.

Ὁ μὲν οὖν γραμματικὸς οὕτως ἀποδώσει τὴν αἰτίαν. Ὡσαύτως δὲ καὶ ὁ γεωμέτρης δι' ἀποδείξεως γνωριεῖ πῶς αἱ τρεῖς τοῦ
70 τριγώνου γωνίαι δυεῖν ὀρθαῖν ἶσαί εἰσιν. Ὡς δὲ καὶ ὁ ἀστρολόγος εἴποι ἂν τὰς αἰτίας καὶ τῶν στηριζόντων ἀστέρων καὶ τῶν ὑποστηριζόντων, ἢ προποδιζόντων· καὶ τούτων, τὸ μὲν λήψεται ἐπὶ ταῖς πλαγίαις τῶν ὑποθέσεων, τὸ δὲ ἐπ' ἄλλῳ τῳ πρὸς ὃ τὴν ἐνέργειαν βούλεται. Καὶ ὁ λογικὸς φιλόσοφος εἰ ἐρωτηθείη,
75 πότερον τὰ γένη καὶ τὰ εἴδη ἐν ὑποστάσει εἰσίν, ἀντεπενέγκοι, ὡς τὰ μέν, ἐν ἐπινοίᾳ κείμενα, οὐκ ἔχει ὑπόστασιν, τὰ δέ, ἀφ' ὧν γινόμενα γίνεται, τὴν τελεωτάτην καὶ πρὸ τῶν πολλῶν γινομένην.

57–66 ὁ μὲν γραμματικὸς – κίνυφος: cf. e.g. Schol. in Dion. Thr. Art. Gram. 338,6 sqq. cum Psel. Σύνοψις διὰ στίχων σαφῶν καὶ πολιτικῶν περὶ πασῶν τῶν ἐπιστημῶν γενομένη πρὸς τὸν εὐσεβέστατον βασιλέα κῦριν Μιχαὴλ τὸν Δούκαν = Poem. 6,140–146 ‖ **69–70** καὶ – εἰσιν: cf. e.g. Procl. In Eucl. 377,9 sqq. ‖ **76** ἐν – κείμενα: cf. Psel. Omn. doctr. 102,7, Ἐπιτάφιος εἰς … Ἰωάννην τὸν Ξιφιλῖνον = Or. fun. I 3,23,45, et Εἰς τὸ τροπάριον τοῦ κανόνος τῆς Μεταμορφώσεως … = Theol. I 11,16–17 ‖ **74–78** ὁ – γινομένην: cf. e.g. Ammon. In Isag. 39,8 sqq. περὶ γενῶν τε καὶ εἰδῶν cum Psel. Περὶ ἀρχῶν καὶ περὶ ἑνώσεως ψυχῆς καὶ σώματος = Phil. min. II 14 (72,15–73,16)

76 ἐπινοίᾳ scripsi (cf. app. font.): ὑπονοίᾳ P S

Καὶ Ὅμηρος, ποιητὴς ὢν καὶ ὑπὸ παραπετάσματι περὶ τῶν ἀδήλων φιλοσοφῶν, τὴν γένεσιν τῶν ψυχῶν ὑπὸ τὸ ἐν Ἰθάκῃ 80 ἄντρον ποιεῖται, ἔνθα οἱ «περιμήκεις ἱστοί», καὶ τῶν νυμφῶν αἱ τὰ «ἁλιπόρφυρα» ὑφαίνουσαι «φάρεα»· αἰνίττεται γὰρ ἐντεῦθεν ὁ ποιητής, τὰς μὲν ψυχὰς τῷ ὀνόματι τῶν Νυμφῶν, τὰ δὲ σώματα τοῖς ἁλιπορφύροις εἵμασιν· ὁ γάρ τοι Ἑλληνικὸς λόγος, πάντων μὲν τῶν ὄντων καὶ γινομένων αἰτιᾶται τὸν δημιουργόν, πορρώτα- 85 τον δὲ τοῦτον τιθέμενος αἴτιον, τὰς ἐγγυτέρας αἰτίας ζητεῖ· ὅθεν νοῦν μὲν ἄλλοθεν προσεχῶς γεννᾷ, τοῦτον δὲ ποιητὴν ἐφίστησι τῆς ψυχῆς, καὶ τὴν ψυχὴν δημιουργὸν τῶν σωμάτων. Αὕτη γοῦν ἐστιν ἡ Νύμφη τῷ ποιητῇ ἡ τοὺς πορφυροῦς χιτῶνας ὑφαίνουσα.

Πᾶσα μὲν οὖν (ὥς μοι εἴρηται) καὶ ἐπιστήμη καὶ τέχνη αἰτίας 90 τῶν οἰκείων ὑποθέσεων ἀποδίδωσι. Τὰ δὲ τῆς φύσεως ἄρρητα ἢ καὶ ὅσα τὴν φύσιν ὑπερεφώνησαν, εἰ καὶ αἰτίαν ἔχει τῆς οἰκείας ὑπάρξεως, ἀλλ' ἡμῖν οὐκ ἔγνωσται αὕτη.

79–84 Ὅμηρος – εἵμασιν: cf. Hom. Od. 13,102–112 cum Porph. Περὶ τοῦ ἐν Ὀδυσσείᾳ τῶν νυμφῶν ἄντρου 12–16 et Psel. Ἀλληγορία τοῦ παρ' Ὁμήρῳ Ἰθακησίου ἄντρου = Phil. min. I 45,1–24 ‖ **92** ὅσα – ὑπερεφώνησαν: iunctura Pselliana (cf. Papaioannou 2013,66–67, 72, 75–76 et 126); cf. Psel. Λόγος σχεδιασθεὶς πρὸς Πόθον βεστάρχην ... περὶ τοῦ θεολογικοῦ χαρακτῆρος 5 τὴν φύσιν ὑπερεφώνησεν (scil. Greg. Naz.), Psel. Ἐγκώμιον εἰς ... Κωνσταντῖνον ... τὸν Λειχούδην = Or. fun. I 2,14,58–59 οὐκ ἐπαινῶ γὰρ ἐγὼ τοὺς τὴν φύσιν προηρημένους ὑπερφωνεῖν, Ἐπιτάφιος εἰς ... Ἰωάννην τὸν Ξιφιλῖνον = Or. fun. I 3,18,33–34 οἱ τὴν ἀρετὴν τελεώτατοι καὶ ὅσοι τὴν φύσιν ὑπερεφώνησαν, Psel. Μονῳδία ἐπὶ Ῥωμανῷ ῥαιφερενδαρίῳ = Or. fun. I 9,3,30 τὴν φύσιν ὑπερφωνήσαντα, Psel. Ἕτερος λόγος πρὸς ... Κωνσταντῖνον τὸν Μονομάχον = Or. pan. 4,547 σὺ δὲ τὴν μὲν φύσιν ὑπερεφώνησας, Psel. Εἰς τὸ παροιμιακὸν ... 'ἡ σοφία ᾠκοδόμησεν ...' = Theol. I 7,9 τὴν φύσιν εἶδεν ὑπερφωνήσαντα (scil. συγγράμματα Σολομῶντος), Psel. Εἰς τὸ 'καινοτομοῦνται φύσεις' = Theol. I 69,89 θεός, ὃς οὐ μόνον τὴν φύσιν ὑπερεφώνησεν, Psel. Εἰς τὸ 'αἰὼν γὰρ οὔτε χρόνος ...' = Theol. I 88,65 μηδὲ τὴν χρονικὴν φύσιν ὑπερεφωνήσαμεν, Psel. Εἰς τὸ 'νοῦς μὲν οὖν ἤδη καὶ αἴσθησις' = Theol. I 90,75–76 καὶ ἐν τῇ κοσμογονίᾳ ἔστιν οὗ τὴν φύσιν ὑπερφωνεῖ ὁ θεός, et II 167,29 τὴν φύσιν ὑπερπεφώνηκας et II 211,12 οὔπω τὴν φύσιν ὑπερπεφώνηκας. iunctura Pselliana in Nic. Chon. (Χρονικὴ Διήγησις 71,26, Or. 4 31,9, et 5 41,26), Georg. Torn. (Or. in hon. Georgii Xiphilini 2,185–186), et Greg. Ant. (Εἰς τὸν ... Βασίλειον τὸν Καματηρόν 431–432) laudata

80 τὸ corr. S: τῶν P ‖ **86** τιθέμενος corr. S: τιθεμένη P

Σὺ δέ μοι τέως τὸν παῖδα μὴ τοῖς ἀρρήτοις προβίβαζε, εἰ μὴ
95 ὅσον προσάγειν αὐτὸν ταῦτα, ὥστε τρανεστέραν αὐτῷ τὴν φύσιν
ἐργάσασθαι καὶ κινῆσαι πρὸς θαῦμα· «τὸ» γάρ τοι «θαυμάζειν»,
ὡς ὁ Πλάτων φησί, φιλοσοφίαν προὐβίβαζε. Καὶ ψυχὴν ἀρίστην
ἐντεῦθέν μοι διαγίνωσκε, ὁπόταν τούτοις ἐκπλήττηται καὶ θαμὰ
πρὸς τὰ ὑπερφυῆ ἐξανίσταται· ἡ δὲ ζητοῦσα τὰ πρόχειρα μόνον
100 ἀτεχνῶς τῇ ὕλῃ πεπέδηται.

Μέσον δὲ τοῦτον δυεῖν κάθιζε πηγῶν: ἐπιστήμης τε καὶ
τέχνης· τέχνη δὲ τῶν λόγων μία ἐστίν, ἡ καλουμένη ῥητορική.
Καὶ δίδου ἐξ ἑκατέρων κρατήρων παρὰ μέρος ἀρύεσθαι, ἢν μὴ
βούλῃ τοῦτον ἢ νοῦν ἔχειν ἄγλωττον παρὰ μόνην φιλοσοφίαν, ἢ
105 γλῶτταν ἄνουν παρὰ μόνην ῥητορικήν.

96–97 τὸ – προὐβίβαζε: cf. Plat. Θεαίτητος 155d2–4 μάλα γὰρ φιλοσόφου τοῦτο τὸ πάθος, τὸ θαυμάζειν· οὐ γὰρ ἄλλη ἀρχὴ φιλοσοφίας ἢ αὕτη. cf. Psel. Ἑρμηνεία περὶ τῶν εἰκοσιτεσσάρων στοιχείων ... πρὸς ... Ἰωάννην τὸν λιβελλίσιον = Phil. min. I 36,200–201 Πλάτων δὲ ἐν τῷ Θεαιτήτῳ ἀρχὴν φιλοσοφίας τὸ θαυμάζειν αἰνίττεται ‖ **103–105** καὶ δίδου – ῥητορικήν: cf. Π 125,97–99 οὕτω δὴ κἀγὼ τῇ ῥητορικῇ τὴν φιλοσοφίαν συντίθημι, καὶ πρὸς ἀμφοτέρας δι' ἀμφοτέρων ἁρμόζομαι, Π 134,39–41 ἔστι δέ, ὦ λῷστε, καὶ φιλοσοφία ῥητορική, καὶ ῥητορεία φιλόσοφος, θάτερον δὲ μέρος πολιτικόν (φασιν οἱ πολλοί), Π 280,43–50 καὶ βουλοίμην ἂν τῇ φιλοσοφίᾳ παραρριπτεῖσθαι, ἢ ἐν σκηνώμασι τῆς ῥητορικῆς κατοικεῖν, ἀλλ' οὐκ οἶδ' ὅπως, θάτερον διώκων, ὑπὸ θατέρου κατείλημμαι καί, φιλοσοφίαν κοσμοῦντα, ἡ τέχνη κοσμεῖ. καὶ προκάθημαι μὲν τῶν δυεῖν τούτων κόσμων καὶ μεθόδων, ἀλλὰ πρὸς μὲν τὴν ἀφοσιοῦμαι, τὴν δὲ πρεσβεύω· καί, βαδίζοντι πρὸς τὴν ἐλαίαν καὶ τὴν συκῆν καὶ τὴν ἄμπελον, ἡ ἐρινεὸς καὶ βάτος μοι περιπέπλεκται· ἅτινα δὴ αἱ τῶν ἐμῶν λόγων εἰσὶν ἀδιήγητοι χάριτες. cf. etiam Papaioannou 2013,29–50

103 ἀρύεσθαι scripsi: ἀρρύεσθαι P S

127. Εἰς τὸν ἐπὶ τῶν κρίσεων καὶ σεβαστόν, ⟨Κωνσταντῖνον⟩ τὸν ἀνεψιὸν τοῦ πατριάρχου κυροῦ Μιχαήλ

K-D 214 [K, B]

Ἀντίρροπά μοι ταυτί, αὐθέντα μου καὶ ἀνεψιέ, τοῖς μέχρι τοῦ νῦν ἀνιαροῖς, καὶ ὥσπερ ἐπὶ ζυγοῦ τὴν ἑτέραν κατενεγκόντα μοι πλάστιγγα· ἰχθὺς γάρ μοι τοιοῦτός τε καὶ τοσοῦτος, δώρημα τέλειον καὶ ἄνωθεν καταβεβηκός, μᾶλλον δὲ ἀπεσταλμένον παρὰ τῆς σῆς φιλτάτης (φημὶ) δεξιᾶς. 5

Ἔγωγ' οὖν καὶ ἐπιλέλησμαι εἴ γε ἔστι τι γένος τοιοῦτον ποτάμιον· οὕτω με ἡ μεγαλόπολις διατέθεικεν. Ἀλλὰ νῦν ἀθρόον τὰς Πλατωνικὰς ἀναμνήσεις εἰσδέδεγμαι· καὶ ἐντεθύμημαι, ὅτι μοι ταῦτα πολλὰ καὶ παρὰ τοῦ θείου, τοῦ μεγάλου ἀρχιερέως, ἐκκεχορήγητο. Καὶ εἰκότως ὁ ἀκριβὴς σὺ τῶν ἐκείνου κληρονόμος 10 τε καὶ διάδοχος οὐ τὰ τῆς ψυχῆς ἤθη μόνον, ἀλλὰ καὶ τὴν χεῖρα κεκληρονόμηκας.

Οὐκ οἶδα δὲ πότερον αὐτὸς ἐν ἀφθόνοις εἰμὶ καὶ καλλίοσι, τὴν βασιλίδα προστεταγμένος οἰκεῖν, ἢ αὐτὸς ἐν ἀνεπιφθόνοις καὶ κρείττοσι, μακράν που κατεσκηνωμένος τοῦ ἄστεος. Εἰ γοῦν τῶν 15 ἐνταῦθα καλῶν τὸ κεφάλαιον ἡ δεσπότις καὶ βασιλίς, ὥσπερ ἔστι τε καὶ λέγεται, παρὰ τοῦτο ⟨οὐχ⟩ ἡμεῖς (νὴ τὴν ἱεράν σου ψυχήν!)·

3–4 δώρημα – καταβεβηκός: Iac. 1,17 πᾶσα δόσις ἀγαθὴ καὶ πᾶν δώρημα τέλειον ἄνωθέν ἐστιν καταβαῖνον cum Liturg. Chrysost. 398,5–6 (ed. Brightman) πᾶν δώρημα τέλειον, ἄνωθέν ἐστι, καταβαῖνον ἐκ σοῦ τοῦ πατρὸς τῶν φώτων etc. cf. Psel. Ἐγκωμιαστικὸς εἰς ... Μιχαὴλ τὸν Κηρουλλάριον = Or. fun. I 1,61,118–119 et Π 110,1 ‖ **8** τὰς – ἀναμνήσεις: cf. Psel. Κατηγορία τοῦ ἀρχιερέως = Or. for. 1,597 τὰς Πλατωνικὰς ἀναμνήσεις

ep. 127 K 69r–70r, B 163r–v; tit. scripsi: εἰς τὸν μέγαν δρουγγάριον κῦρ Κωνσταντῖνον K τοῦ αὐτοῦ εἰς τὸν ἐπὶ τῶν κρίσεων καὶ σεβαστόν, τὸν ἀνεψιὸν τοῦ πατριάρχου κυροῦ Μιχαὴλ B {τοῦ αὐτοῦ} εἰς τὸν ἐπὶ τῶν κρίσεων καὶ σεβαστόν, τὸν ἀνεψιὸν τοῦ πατριάρχου κῦρ Μιχαὴλ K-D ‖ **1** μου B K-D: om. K ‖ **5** σῆς K: om. B K-D ‖ **6** γε K: om. B K-D | τι B K-D: om. K | τοιοῦτον B K-D: om. K ‖ **7** ποτάμιον K K-D: πολέμιον B ‖ **8** ἐντεθύμημαι B K-D: ἐνθύμημαι K ‖ **9** καὶ K: om. B K-D ‖ **10** ἐκκεχορήγητο K: ἐκκεχορήγηται B K-D | ὁ B K-D: ὅτι K ‖ **11** ἤθη K (cf. Psel. Omn. doctr. 63 τὰ τῆς ψυχῆς ἤθη): εἴδη B K-D ‖ **13** καλλίοσι B K-D: καλλίοις K ‖ **14** ἐν K K-D: om. B ‖ **17** οὐχ addidi

οὐδὲ γὰρ (οὐδ' ὡς διὰ κάπνης) τὸν ἥλιον αὐγαζόμεθα. Εἰ δὲ τῆς ὥρας ἀπολαύομεν ἐνταῦθα τῆς εἰαρινῆς, οἶμαι μὴ εἶναι τοῦτο
20 κλῆρον τῆς Πόλεως· ἀλλὰ καὶ παρ' ὑμῖν ἂν εἶεν καὶ ἀηδόνες καὶ χελιδόνες, εἰ μή που πλείω ταῦτα καὶ ᾠδικώτερα. Εἰ δ' ὅτι πλησίον τοῦ ζωηρρύτου ξύλου ἡμεῖς, ἐντεῦθέν μοι τὴν εὐκληρίαν ζυγοστατεῖς, φήσαιμ' ἄν σοι τὸ ἱστορούμενον: ὅτι τὸν Ἀδὰμ κατέναντι τοῦ παραδείσου κατῴκισεν ὁ θεός, παραβεβηκότα τὴν
25 ἐντολήν, οὐχ ἵνα παρηγοροῖτο τῷ γειτνιάματι, ἀλλ' ἵνα μᾶλλον ἀνιῷτο καὶ τρύχοιτο· εἶθ' ὕστερον ἐξομαλίζων τὴν τιμωρίαν τῷ γένει, πορρωτέρω μετήνεγκε. Παρὰ τοσοῦτον ἐγὼ μᾶλλον τῆς σῆς ἀνιῶμαι ψυχῆς, ὅτι ἐν γειτόνων τῷ παραδείσῳ οἰκῶν, οὔτε ἐγγυτέρω ἰέναι οὔτε δρέπεσθαι τῶν καρπῶν ἐπιτέταγμαι.

30 Τῷ γοῦν γενάρχῃ Ἀδὰμ κατὰ πρόγνωσιν ὁ θεὸς ἐκ τῆς πλευρᾶς τὴν γυναῖκα παρῳκοδόμησεν, ἵν' ἔχοι κἀν τῇ ὑπερορίᾳ τρυφᾶν. Οὕτω δὴ καὶ σοὶ τὰ φίλτατα παρεσκεύαστο ὁ κύριος, καὶ

18 οὐδ' – αὐγαζόμεθα: Greg. Naz. Epist. 4,4 τὸν ποθούμενον ἥλιον, ὃν ὡς διὰ κάπνης αὐγάζεσθε, ὦ ποντικοὶ Κιμμέριοι. cf. etiam Psel. Ἐπιτάφιος εἰς ⟨Ἀναστάσιον⟩ = Or. fun. I 8,4,48–51 ... πλέον ποθούμενον, ὅτε ζόφου λυθέντος προσεδοκᾶτο ἥλιος, τότε καὶ μᾶλλον βαθύτατον νέφος ὑποδραμόν ... Κιμμερίους ἐποίησεν ‖ **18–19** τῆς – εἰαρινῆς: cf. Hom. Il. 2,471, 16,643 etc. ὥρῃ ἐν εἰαρινῇ ‖ **20–21** καὶ[1] – ᾠδικώτερα: cf. Greg. Naz. Epist. 4,12 τούς τε ᾠδικοὺς ὄρνιθας? ‖ **22** τοῦ – ξύλου: Gen. 2,9 τὸ ξύλον τῆς ζωῆς ἐν μέσῳ τῷ παραδείσῳ etc., locus in Psello saepe laudatus; cf. e.g. Psel. Τί ἐστι τὸ ξύλον τῆς ζωῆς καὶ τὸ ξύλον τῆς γνώσεως; = Theol. II 20 et Π 3,15, Π 84,5, Π 154,3, Π 162,28 et Π 504,11–12 ‖ **23–24** τὸν – παραδείσου: cf. Greg. Naz. Epist. 4,5 πότερον Ἐδὲμ ὀνομάσω? ‖ **23–27** τὸν – μετήνεγκε: cf. Gen. 3,24 καὶ ἐξέβαλεν τὸν Αδαμ καὶ κατῴκισεν αὐτὸν ἀπέναντι τοῦ παραδείσου τῆς τρυφῆς cum e.g. Ioann. Chrys. In Genesim Hom. 18,3 (PG 53 152,26–30) τὸ ἀπέναντι τοῦ παραδείσου ἐγκατοικίσαι αὐτὸν, ἵνα ἀδιάλειπτον ὀδύνην ἔχῃ, καθ' ἑκάστην ἡμέραν ἀναλογιζόμενος, οἵων ἐκπεπτωκὼς εἰς οἵαν ἑαυτὸν κατάστασιν ἤγαγεν ‖ **30–31** τῷ γοῦν – παρῳκοδόμησεν: Gen. 2,21–22 ... καὶ ᾠκοδόμησεν κύριος ὁ θεὸς τὴν πλευράν, ἣν ἔλαβεν ἀπὸ τοῦ Αδαμ, εἰς γυναῖκα καὶ ἤγαγεν αὐτὴν πρὸς τὸν Αδαμ. cf. Psel. Theol. II 8,65–66

18 γὰρ K: om. B K-D | κάπνης K K-D: κάπνου B ‖ **19** ἐνταῦθα K: ἐνταυθοῖ B K-D ‖ **20** ἀλλὰ K K-D: om. B | ὑμῖν B K-D: ἡμῖν K ‖ **24** κατέναντι K: ἀπέναντι B K-D | τὴν B K-D: om. K ‖ **25** γειτνιάματι K K-D: αἰτιάματι B **27** πορρωτέρω B K-D: πορρωτάτω K ‖ **27–28** τῆς – ψυχῆς B K-D: ἀνιῶμαι τῆς σῆς ψυχῆς K ‖ **28** ὅτι B K-D: οὔτε K | ἐν γειτόνων corr. K-D: ἐγγειτόνων K ἐν γείτονι B ‖ **32** παρεσκεύαστο K-D: προκατεσκεύαστο K παρεσχ[.....]ο B | ὁ B K-D: om. κύριος K

νῦν οἶκός ἐστιν ἐν γῇ ἀλλοδαπῇ, πολυάνθρωπος καὶ βαθύς, ὁ νέος αὐτὸς Ἰακώβ, καὶ ἡ τοῦ Βενιαμὶν μήτηρ, ὡς δὴ καὶ τοῦ Ἰωσήφ, καὶ τῶν ἄλλων φιλτάτων υἱῶν τε καὶ καλῶν θυγατέρων, ἅβραι 35 πολλαί τε καὶ καλαί, ἡ ἐλευθέρα φύσις, οἱ ἀργυρώνητοι, αἱ σεμναὶ γράες, τὸ κάλλιστόν μοι χρῆμα ἡ Χαριστικαρέα, ἴσως δὲ καί τις ἑτέρα φορά, ἄρρην ἢ θήλεια, οἱ μὲν ᾄδοντες, αἱ δὲ ἀντᾴδουσαι, καὶ λαμπροτέραν σοι ποιοῦντες τὴν ἐπὶ ξένης σκηνήν.

Ἐγὼ δὲ παρὰ σύμπαντα ταῦτα καὶ μάτην ἀφῄρημαι τὴν 40 πλευράν· οὐ γὰρ ἔχω τρυφᾶν ἐπὶ τῷ τμήματι. Τῶν δὲ φιλτάτων, τὸ μὲν οἶδα οἷ γῆς κατορώρυκται, τὸ δὲ οὐκ ἔλαττον κατορωρυγμένον, μικροῦ δεῖν καὶ ἠγνόηκα. Λοιπὸς οὖν περὶ ἐμὲ χορός ὧν οὔτε ζώντων αἰσθάνομαι οὔτ' ἀποθανόντων (εἰπεῖν) ἀνιάσομαι.

Σοὶ δὲ οὐ ταῦτα μόνον, ἀλλὰ καὶ τὰ λοιπὰ τῶν καλῶν ἄφθονα· 45 ἐν γὰρ μεθορίοις γῆς τε καὶ θαλάσσης οἰκῶν, ἐν ταὐτῷ εἰ βούλει καὶ πόαν κερεῖς, καὶ ἀγρεύσεις ἰχθύν. Καὶ σοὶ παρὰ μέρος, νῦν μὲν ἡ αἰγιαλῖτις ψάμμος χρῆμα αἰδέσιμον καὶ ἐράσμιον, νῦν δὲ τὰ ἄνθη τῆς γῆς· τέως μὲν αἱ ἀναγαλλίδες, εἶθ' ὕστερον οἱ κρινῶνες, καὶ αἱ ῥοδωνιαί. Οἷον δέ σοι καὶ τὸ ἡμέρας μὲν βομβουσῶν 50 ἀκούειν τῶν μελιττῶν, μετὰ δὲ ταῦτα καὶ τοῦ τῶν τεττίγων αὐλοῦ, νυκτὸς δὲ τῆς ποιμενικῆς σύριγγος. Ἡλίκον δὲ πρᾶγμα εἰς ἡδονὴν θάλασσα ἠρέμα κυμαίνουσα, καὶ οἷον προσπαίζουσα ταῖς ἀκταῖς, καί σου προσαφρίζουσα τοῖς ποσί, καὶ κωφῷ ἐπεμβαίνουσα κύματι. Ὁποῖον σπαίρων ἐπὶ τοῦ ἁλιευτικοῦ καλάμου ἰχθὺς 55 καὶ ὑπεραλλόμενος, καὶ τὴν ὁρμιὰν πειρώμενος ἐκτεμεῖν. Ποδαπὴ

41 τῶν δὲ φιλτάτων: cf. Π 118,65 et 92, Π 128,45, Π 160,7, et Π 201,79 **41–43** τῶν δὲ – ἠγνόηκα: cf. Π 160,7–8 νοσεῖ γάρ μοι τὰ φίλτατα, καὶ τὸ μὲν παντάπασιν ἀπέγνωσται, τὸ δὲ ἐγγύς ἐστιν ἀπογνώσεως ‖ **54–55** κωφῷ – κύματι: Hom. Il. 14,16

33 γῇ K: τῇ B K-D ‖ **34** δὴ B K-D: δὲ K | καὶ² B K-D: om. K ‖ **35** υἱῶν – καὶ² K K-D: τε καὶ υἱῶν καὶ B | καλῶν B K-D: om. K | ἅβραι corr. K-D: αὖραι K B **36** ἐλευθέρα K K-D: αἰθερία B ‖ **36–37** αἱ – γράες K: αἱ σεμναὶ γράες om. B K-D ‖ **37** τὸ – Χαριστικαρέα B K-D: om. K ‖ **39** σοι ποιοῦντες K K-D: μοι ποιοῦνται B ‖ **41** τμήματι – φιλτάτων B K-D: πηδήματι τῶν φιλτάτων K **42** δὲ οὐκ K: δ' οὐδὲν B K-D ‖ **44** οὔτ' B K-D: οὔτε K ‖ **46** τε K: om. B K-D **47** καὶ¹ B K-D: om. K ‖ **48** αἰδέσιμον καὶ K: om. B K-D ‖ **50** σοι K: om. B K-D ἡμέρας B K-D: ἡμέρα K ‖ **52** σύριγγος B K-D: σάλπιγγος K ‖ **55** ἐπὶ B K-D: ὑπὲρ K ‖ **56** πειρώμενος ἐκτεμεῖν K K-D: ἐκπειρώμενος τεμεῖν B | ποδαπὴ B K-D: ποταπὴ K

δὲ χάρις ἄρνες μὲν τῶν μητρῴων οὐθάτων ἐκκρεμεῖς, αἶγες δὲ
βάσεσιν ἀκροβάμοσι, τὰς πλαγίους παραξέουσαι πέτρας καὶ τῶν
ὀρῶν ἐφικνούμεναι, καὶ τὰ προβάτια ἠρέμα ἐπισκιρτῶντα καὶ
60 ἀλλήλοις ἐπιγαννύμενα· εἰ γάρ σοι καὶ τὰ τῶν πραγμάτων
ὀνόματα ἠχώ τινα βάλλει περὶ τὴν ἀκοὴν μουσικήν, ποίαν οὐ
δίδωσι χάριν τὰ τοῖς ὀνόμασιν ὑποκείμενα, ὁ τῶν φιλτάτων χορός,
ἡ τῆς ὥρας χάρις, αἱ τῶν ὀρνίθων ᾠδαί, αἱ τῶν ἀνθέων χροιαί, οἱ
βρύοντες λειμῶνες τοῖς ἄνθεσι, λειοκυμονοῦσα θάλασσα καὶ
65 πορφύρουσα, τἆλλα ἃ ἐγὼ μὲν ἀπαριθμοῦμαι τῇ γλώττῃ, σὺ δὲ
ἔχεις τὰ μὲν ὁρᾶν, τὰ δ' ἀκούειν, τῶν δ' ἀπογεύεσθαι.

64 λειοκυμονοῦσα θάλασσα: Lucian. Ἀληθῆ διηγήματα 2,4 λειοκύμονος δὲ οὔσης τῆς θαλάττης et Σκύθης ἢ πρόξενος 11,28 λειοκύμων ἡ θάλαττα. cf. Psel. Χρονογραφία VII,33, Σελέντιον δημηγορηθὲν παρὰ βασιλέως κῦρ Μιχαὴλ τοῦ Δούκα = Or. min. 3,99–100, Ἕτερος λόγος πρὸς … Κωνσταντῖνον τὸν Μονομάχον = Or. pan. 4,197, Λόγος προσφωνηματικὸς πρὸς … Μιχαὴλ τὸν Δούκαν = Or. pan. 13,52, Εἰς τὸν σεισμὸν … = Phil. min. I 30,134, Εἰς τὸ εὐαγγελικὸν … 'πνεῦμα ὁ θεός …' = Theol. I 76,166, et Π 243,42. iunctura Pselliana in Ann. Comn. Ἀλεξιάς VII 8,10, Nic. Chon. Epist. 11 (217,13), Theod. Prodr. Τὰ κατὰ Ῥοδάνθην καὶ Δοσικλέα 4,284, et Nic. Eugen. Τὰ κατὰ Δροσσίλαν καὶ Χαρικλέα 4,2 laudata? ‖ **64–65** λειοκυμονοῦσα – πορφύρουσα: cf. Bas. Caes. Εἰς τὴν ἑξαήμερον 4,6 ἡδὺ μὲν γὰρ θέαμα, λευκαινομένη θάλασσα, γαλήνης αὐτὴν σταθερᾶς κατεχούσης· ἡδὺ δὲ καὶ ὅταν πραείαις αὔραις τραχυνομένη τὰ νῶτα, πορφύρουσαν χρόαν ἢ κυανῆν τοῖς ὁρῶσι προσβάλλῃ

58 παραξέουσαι B K-D: περιθέουσαι K ‖ **59** προβάτια B K-D: πρόβατα K **61** περὶ – μουσικήν K K-D: περὶ τὴν μουσικὴν ἀκοὴν B ‖ **62** φιλτάτων B K-D: φυλαττόντων K ‖ **63** ὥρας B K-D: χώρας K

128. Τῷ αὐτῷ, ὅτε ἐγεννήθη ὁ υἱὸς αὐτοῦ Ῥωμανός

Κωνσταντίνῳ, τῷ ἐπὶ τῶν κρίσεων καὶ σεβαστῷ, τῷ ἀνεψιῷ τοῦ πατριάρχου κῦρ Μιχαήλ

S 157 [P]

Ἄρρεν τὸ ἀρτίτοκον βρεφύλλιον· ἄρρεν, ὦ γῆ καὶ ἥλιε!

Ἆρ' οὖν αὐτίκα διολισθῆσαν τεθέασαι, ὥσπερ ἐκ πολέμου καὶ μάχης αἱμάτων πλῆρες καὶ λύθρῳ μεμολυσμένον; Ἢ τοσοῦτον διεκαρτέρησας ὡς προλαβεῖν σε τὴν ὀμφαλοτόμον, καὶ προκαθήρασθαι τοῦτο, καὶ τοῖς σπαργάνοις καταδεσμῆσαι; 5

Ἐγὼ μὲν οὖν ἄμφω φιλῶν (νὴ τὸν φίλιον!), καὶ τὸν πατέρα καὶ τὴν μητέρα, εἰ καὶ θῆλυ τὸ γεγεννημένον ἦν, ἡδέως ἂν τὴν εὐάγγελον ἐδεξάμην φωνήν· τί γὰρ εἰ οὕτως, ἢ ἐκείνως διατετύπωται, θηλύτερον, ἢ ἀρρενικώτερον; πάντως γὰρ ἐξ ἀμφοῖν τοῖν γονέοιν οὐσίωται. Ἀλλά με τὸ ἄρρεν εἰς ἡδονὴν μᾶλλον ἐκίνησεν. 10 Εἴη δὲ καὶ μητρῷζον, μάλιστα μὲν τὴν ψυχήν, εἰ καὶ τὸ σῶμα οὐδὲν ἔλαττον, καὶ ἔχοι ἂν κἀνταῦθα τὸ τέλειον (εἰ μὴ τὸ τῆς μητρὸς εἶδος ἀντιπίπτον ἐστί).

1 ὦ – ἥλιε: Dem. Περὶ στεφάνου = Or. 18,127. cf. e.g. Greg. Naz. Epist. 5,5 cum Π 112,95–96 Π 146,157–158, Π 157,8, Π 202,1–2, Π 284,18–19, et Π 285,17 ‖ **2–3** ὥσπερ – μεμολυσμένον: cf. e.g. Hom. Il. 11,169 Ἀτρεΐδης, λύθρῳ δὲ παλάσσετο χεῖρας ἀάπτους et 20,503 Πηλεΐδης, λύθρῳ δὲ παλάσσετο χεῖρας ἀάπτους. cf. etiam Π 51,7–8 ὥσπερ ἐκ πολέμου ἀριστέα περιπτυξάμενος πεφοινιγμένον τῷ αἵματι ‖ **6** νὴ – φίλιον: i.e. Zeus; cf. Plat. Ἀλκιβιάδης α΄ 109d *μὰ τὸν Φίλιον τὸν ἐμόν τε καὶ σόν* cum Synes. Cyren. Epist. 51,2–3, 59,9, 103,1, 129,11–12. cf. Π 9,68, Π 28,15, Π 121,79, et Π 213,19

ep. 128 K 70r–71v, P 224v–225r, B 163v–164v; tit. scripsi: πρὸς τὸν αὐτὸν (= τὸν μέγαν δρουγγάριον κῦρ Κωνσταντῖνον) K om. P τοῦ αὐτοῦ τῷ αὐτῷ (= τὸν ἐπὶ τῶν κρίσεων καὶ σεβαστὸν τὸν ἀνεψιὸν τοῦ πατριάρχου κῦρ Μιχαήλ), ὅτε ἐγεννήθη ὁ υἱὸς αὐτοῦ Ῥωμανός ⟨τῷ ἐπὶ τῶν κρίσεων⟩ S **2** αὐτίκα διολισθῆσαν P B S: διολισθὲν αὐτίκα K ‖ **4** προλαβεῖν P B S: παραλαβεῖν K ‖ **6** φίλιον P B S: ἥλιον K ‖ **7** *εἰ καὶ* P B S: *καὶ εἰ* K | τὸ P B S: om. K ‖ **8** εἰ K B (cf. Malt[4],27) Jou[1],291: ἢ P S ‖ **9** θηλύτερον K B: θηλυκώτερον P S ‖ **11** μητρῷζον P B S: πατρῷζον (an recte?) K Jou[1],291 | εἰ P B S: εἰ δὲ K **13** ἀντιπίπτ[..] B

Καὶ βούλομαι μὲν ἐπὶ πᾶσι φιλοσοφεῖν καὶ λόγοις καὶ
15 πράγμασιν, ἐλέγχει δέ με τὸ ἦθος ἀφιλοσόφως ἐπὶ τοῖς φυσικοῖς
διακείμενον πάθεσιν· ἢ καὶ τοῦτο ἴσως φιλόσοφον, θάτερον δὲ
μέρος Σκυθικόν καὶ ἀτέραμνον. Σκιρτῶ γοῦν (πῶς ἂν εἴπης;) ἐπὶ
τοῖς νεογενέσι βρέφεσι (καὶ μάλιστα εἰ φίλτατα εἴη, καὶ φιλτάτων
τοκέων), καὶ ἄντικρυς ἀγαλμάτων ἢ χαρίτων αὐτῶν.
20 Καὶ πάλαι μὲν οἱ Περσῶν βασιλεῖς οὐκ εὐθὺς ὑπ᾽ ὄψιν
ἐτίθεσαν τὰ νεογιλὰ τῶν βρεφῶν, οὐδ᾽ αὐτίκα τὰ γεννήματα τῶν
σπλάγχνων διηγκαλίζοντο· ἀλλ᾽ ἦν αὐτοῖς ὡρισμένος καιρὸς καθ᾽
ὃν ἔδει τὸν τόκον ἰδεῖν. Τί δὲ τοῦτο ἦν; Ἐδεδίεσαν περὶ τοῖς βρέφε-
σιν ὡς ἁπαλωτέροις μὴ πρὸς τῆς στερρότητος τῶν μελῶν ὑφέλῃ
25 ταῦτα ὁ θάνατος· καὶ διὰ ταῦτα εἰς ἀναβολὴν τὴν θέαν ἐτίθεντο,
ἵνα μὴ ἁλώσιμοι τῷ τῆς ἡδονῆς πάθει γεγονότες τοῖς ὀφθαλμοῖς,
τῶν βρεφῶν τελευτώντων, ἐποδύροιντο ἐμπαθέστατα. Ἐλάνθανον
δὲ ἄρα τὸ πᾶν τῶν χαρίτων ἑαυτῶν ἀφαιρούμενοι.

15–16 ἐλέγχει – πάθεσιν: Π 51,18–20 φύσεώς εἰμι τῆς ἁπαλῆς βλάστημα, καὶ τοῖς φυσικοῖς πάθεσι μαλθακίζομαι et Π 400,15–17 τῆς ἁπαλῆς φύσεως πέφυκα βλάστημα καὶ τοῖς φυσικοῖς πάθεσι μαλθακίζομαι. cf. etiam Papaioannou 2013,195-215 ‖ **17** Σκυθικόν – ἀτέραμνον: cf. Π 118,68–69 μὴ γάρ με συγκρίνῃς πρὸς τοὺς ἀδαμαντίνους καὶ ἀτεράμονας. cf. etiam Psel. Ἐγκώμιον εἰς τὴν ἀποτομὴν ... Ἰωάννου = Or. hag. 8,396–397 εἴτε τὸ τῶν ἐθνῶν ἀτέραμνον, οὐ πολλῷ τῆς λίθων ἀντιτυπίας μανώτερον cum Εἰς τὸ 'προέκοπτεν ὥσπερ ἡλικίᾳ ...' = Theol. I 81,99 τὰς ἀντιτύπους καρδίας καὶ ἀτεράμονας ‖ **20–27** πάλαι – ἐμπαθέστατα: Herod. 1,136 παιδεύουσι δὲ τοὺς παῖδας ἀπὸ πενταέτεος ἀρξάμενοι ... πρὶν δὲ ἢ πενταέτης γένηται, οὐκ ἀπικνέεται ἐς ὄψιν τῷ πατρί, ἀλλὰ παρὰ τῇσι γυναιξὶ δίαιταν ἔχει· τοῦδε ⟨δὲ⟩ εἵνεκα τοῦτο οὕτω ποιέεται, ἵνα, ἢν ἀποθάνῃ τρεφόμενος, μηδεμίαν ἄσην τῷ πατρὶ προσβάλῃ

15–16 ἀφιλοσόφως – φιλόσοφον P B S: ἀφιλόσοφον K ‖ **16** δὲ P B S: om. K **17** καὶ ἀτέραμνον K: om. P B S ‖ **18** νεογεν[...] B ‖ **19** τοκέων P B S: τοκήων K | αὐτῶν : [.....] B ‖ **20** Περσῶν P B S: τῶν Ἑλλήνων K ‖ **21** βρ[....] B **22** διηγκαλίζοντο P B S: διηγκαλίσαντο K ‖ **22–23** καιρὸς – ὃν : κα[ca. 9 litt.] B ‖ **23** τοῦτο ἦν K P S: ἦν τοῦτο B ‖ **24** πρὸς P B S: πρὸ K dubitanter prop. S **25** ταῦτα² P B S: ταῦτα τὴν K ‖ **26** μὴ P B S: μοι K | τῷ – πάθει P B S: πρὸς τὸ τῆς ἡδονῆς πάθος K ‖ **27** ἐποδύροιντο P B S: ἀποδύροιντο K | ἐμπαθέστατα P B S: συμπαθέστατα K ‖ **28** ἑαυτῶν K B: ἑαυτοὺς P S | ἀφαιρούμενοι K P S: ὑφαιρούμενοι B

Ἔγωγ' οὖν οὐκ ἀφιστάμην τῶν τοῦ βεστάρχου παιδίων, οὔτε λουομένων οὔτε σπαργανουμένων. Ἀλλ' ἦν μοι ἥδιστον θέαμα τὸ 30 βρέφος ἠρέμα ἐπὶ τοῦ ἀριστεροῦ τῆς μαίας κείμενον πήχεος, καὶ θατέρᾳ χειρὶ διαντλούμενον, νῦν μὲν πρηνές, νῦν δὲ ὕπτιον. Καί μοι μετέωρος ἦν ἡ ψυχή, καὶ μάλιστα παθαινομένη εἰ θερμότερον ἦν τὸ ὑδάτιον, ὥστε καὶ διελοιδορούμην τῇ βαλανευτρίᾳ (εἰρήσθω γὰρ οὕτως), ὁπηνίκα τὸ νεογνὸν ἐβόα κλαυθμυριζόμενον. Τὰ δέ 35 γε τῆς μαίας ἐπᾴσματα μᾶλλον ᾕρει καὶ ἔθελγεν, ἢ τὰ Ὀρφικὰ μέλη καὶ τὰ Σειρήνεια. Ὅτε δ' ἔμελλε τοῦτο σπαργανοῦν καὶ διαδεσμεῖν, καὶ τὰς μὲν χεῖρας κατησφαλίζετο, τὴν δὲ κεφαλὴν ἠρέμα διέπλαττε, καὶ τὸ σύμπαν σῶμα συνεῖχε καὶ συνεκάλυπτεν, ὥσπερ αὐτὸς ὁ δεσμούμενος ὤν, ἐταραττόμην, καὶ μικροῦ δεῖν τῷ 40 βρέφει συνέπασχον.

Καὶ εἰ μὲν θηλείας τοῦτο ψυχῆς, οὐ πάνυ τι οἶδα. Ἐμοὶ γοῦν τὸ ἦθος τέως οὕτω διατετύπωται, καὶ ἡ φύσις ὥσπερ τις κηρὸς ἁπαλὸς καὶ εὐτύπωτος καὶ τῶν μαθημάτων συνέσχε τὰ κάλλιστα, καὶ τὰς τῶν φιλτάτων χάριτας ἀναμάττεται. Καὶ τοὺς λεγομένους 45

29 τῶν – παιδίων: cf. Π 508,20–21 μέλει γάρ μοι περὶ τῶν τοῦ βεστάρχου παιδίων ‖ **36–37** τὰ – Σειρήνεια: cf. Hom. Od. 12,39–54 cum Psel. Ἐγκώμιον εἰς τὸν … Ἰωάννην τὸν Κρουστουλᾶν ἀναγνόντα ἐν τῇ Ἁγίᾳ Σορῷ = Or. min. 37,166–168, Π 30,11 et Π 76,49–50 ‖ **42–43** εἰ – φύσις: cf. etiam Π 51,12 πρὸς δὲ τὴν φύσιν θῆλύς εἰμι et Π 306,19–20 ἐπειδὴ καὶ τοιοῦτος ἐγὼ τὴν ψυχήν, θῆλυς ἀτεχνῶς καὶ εὐσυμπάθητος. cf. etiam Papaioannou 2013,195-215 **45** τῶν φιλτάτων: cf. Π 118,65 et 92, Π 127,41, Π 160,7, et Π 201,79 ‖ **43–45** ἡ – ἀναμάττεται: cf. Plat. Θεαίτητος 194c5–d3 ὁ κηρός του ἐν τῇ ψυχῇ … εἰσὶν οἱ τοιοῦτοι πρῶτον μὲν εὐμαθεῖς, ἔπειτα μνήμονες. cf. Π 118,65–66 οὐκ οἶσθα ὅτι μοι εὐτύπωτος ἡ ⟨ψυχὴ⟩ πρὸς τὰς τοιαύτας ἕξεις καθέστηκε cum Psel. Ὑπὲρ τοῦ νομοφύλακος κατὰ τοῦ Ὀφρυδᾶ = Or. for. 3,203–225 … ὅπερ παίζων ὁ Πλάτων φησίν, ὁ τῆς ψυχῆς κηρὸς αἴτιος· ἔστι γὰρ ἐν ἑκάστῳ κηρὸς ὥσπερ τύπους δεχόμενος τὰ μαθήματα … etc., Psel. Ἐπιτάφιος εἰς Νικήταν μαΐστωρα τῆς σχολῆς τοῦ ἁγίου Πέτρου = Or. fun. I 4,8,1–3 οὕτως εὐάγωγος ἦν τὴν ψυχὴν οἷόν τις κηρὸς εὔπλαστος καὶ εὐκίνητος, μήτε ἁπαλὸς ἄγαν καὶ διαρρέων μήτε σκληρὸς καὶ ἀντίτυπος, ἀλλὰ δικαιότατος τὴν τῶν ἠθῶν

29 οὐκ P B S: om. K | ἀφιστάμην K P S: ἀφίσταμαι B ‖ **30–31** τὸ – ἠρέμα P B S: ἠρέμα τὸ βρέφος K ‖ **31** τοῦ ἀριστεροῦ K P S: τῆς ἀριστερᾶς B ‖ **32** νῦν[1] P B S: καὶ νῦν K | δὲ P B S: δ' K ‖ **34** διελοιδορούμην P B S: διελοιδόρουν K ‖ **35** τὸ νεογνὸν P B S: om. K | ἐβόα : ἐ[.....] lacunam indicavit P S ‖ **37** δ' P B S: δὲ K σπαργανοῦν K B: διασπαργανοῦν P S ‖ **39** καὶ[2] P B S: ἢ K ‖ **43** τέως P B S: om. K ‖ **44** εὐτύπωτος K P S: εὔπλαστος B

ἀδαμαντίνους οὐ πάνυ ζηλῶ, εἴτε ὄρειοί τινες εἶεν εἴτε μετεωρότεροι. Ἀλλ' εἰ μὲν ἐπὶ τὸ θειότερον τὴν φύσιν ἠλλοιώθησαν διά τινος ἀγωγῆς κρείττονος, καὶ γεγόνασιν ἀντὶ ἀνθρώπων θεοί, τοῦτο δὴ ἢ εὐχῆς ἔργον, ἢ κρεῖττον εὐχῆς· εἰ δὲ ἀπεσκληκότως τοῦ ἤθους ἐκ
50 πρώτης γενέσεως ἔχουσι, καὶ γενομένοις εὐθὺς ἡ γνώμη ἀντίτυπος ἦν, τούτοις οὔτ' ἐπιτετήδευται τὸ φιλόσοφον οὔτ' ἐσχεδίασται, ἀλλ' οὔτε φιλόσοφοι ἂν λέγοιντο, ἀλλὰ λιθώδεις τε καὶ ἀπόκροτοι.

Ἐγὼ δὲ καὶ εὐξαίμην ἂν δεῆσαν καὶ πρὸς θεὸν ἀναβαίην ὁπόσον τὸ κρεῖττον καὶ ὁ καιρὸς δίδωσι. Καὶ συνδιασκέψομαι
55 φροντίδα φιλόσοφον· καὶ φίλοις συντεύξομαι ἱλαρᾷ τῇ γνώμῃ· καὶ

ἁρμονίαν, Psel. Ἐγκώμιον εἰς τὸν ... Ἰωάννην τὸν Κρουστουλᾶν ἀναγνόντα ἐν τῇ Ἁγίᾳ Σορῷ = Or. min. 37,126–127 τοῦτο δὲ πάντως ψυχῆς εὐτυπώτου πέφυκεν ἀποτέλεσμα καὶ γνώμης εὐείκτου πρὸς πάντα τὰ κάλλιστα, Psel. Εἰς ... Κωνσταντῖνον τὸν Μονομάχον = Or. pan. 6,203–207 ... σοι τὰ μαθήματα. οὕτω σοι τὴν φύσιν ἁπαλὴν ὁμοῦ καὶ στερέμνιον ὀξεῖ [.........] ἄτιμον ὅπλ[ισμα] ἐδημιούργησεν ἐκεῖνο διὰ τὸ τῶν προσαγομένων εὐτύπωτον, τοῦτο διὰ τὸ τῶν [........] μνημονικὸν καὶ κάτοχον. cf. etiam Π 492,59–20 et Papaioannou 2013,103 et 144 ‖ **45–46** τοὺς – ἀδαμαντίνους: cf. Synes. Cyren. Δίων 8,5 οἱ δὲ τὴν ἑτέραν ὁδὸν τὴν ἀξιουμένην ἀδαμαντίνην εἶναι βαδίσαντες cum Hes. Ἔργα καὶ ἡμέραι 143–147 ἄλλο γένος μερόπων ἀνθρώπων ... ἀδάμαντος ἔχον κρατερόφρονα θυμόν, Plat. Πολιτεία 360b5 οὕτως ἀδαμάντινος, et Greg. Naz. Ἀπολογητικός = Or. 2,63 τίς οὕτω τολμηρὸς καὶ τὴν ψυχὴν ἀδαμάντινος. cf. Π 118,68 et Π 202,30
49–50 ἀπεσκληκότως – ἔχουσι: Synes. Cyren. Epist. 139,22 ἀπεσκληκότως ἔχει. cf. Psel. Ἐπιτάφιος εἰς ... Ἰωάννην τὸν Ξιφιλῖνον = Or. fun. I 3,20,36–37, Εἰς τὸ 'ὅστις ἐρεῖ λόγον κατὰ τοῦ υἱοῦ ...' = Theol. I 84,18 et Π 23,56–57, Π 120,59, et Π 211,39 ‖ **52** λιθώδεις – ἀπόκροτοι: Philo Περὶ τοῦ βίου Μωυσέως 2,202 κατ' ἀνδρὸς λιθίνην καὶ ἀπόκροτον ψυχὴν ἔχοντος (cf. etiam Περὶ τῶν ἐν μέρει διαταγμάτων 2,169 ὅσα λιθώδη καὶ ἀπόκροτα et Περὶ βίου θεωρητικοῦ 62 λιθώδη καὶ ἀπόκροτα χωρία) cum Ioann. Sinait. Κλῖμαξ 8 (PG 88 829,10 sqq.) ὥσπερ λίθος ὀξύγωνος, καὶ ἀπόκροτος ... οὕτως καὶ ψυχὴ etc. cf. Π 10,15; iunctura Pselliana in Theod. Prodr. Epist. ad Michael. Ital. (ed. Browning) 26–27 = Epist. 24,27–28 (ed. Op de Coul) laudata καὶ εἴ τις ἑτέρα γῆ λιθώδης ἄντικρυς καὶ ἀπόκροτος? ‖ **55** συντεύξομαι: cf. Suda σ 1639

47 ἠλλοιώθησαν K: ἠλλοίωσαν P B S ‖ **48** ἀνθρώπων P S: τῶν ἀνθρώπων K [....] B ‖ **48–49** δὴ ἢ K: om. P S ἢ B ‖ **50** ἔχουσι P B S: ἔχει K | γενομένοις K: γενομένων P B S ‖ **51** οὔτ'[1] K: οὔτε P B S | οὔτ'[2] K: οὔτε P B S ‖ **53** καὶ[1] P B S: om. K ‖ **54** συνδιασκέψομαι P B S: διασκέψομαι K ‖ **55** συντεύξομαι P S: συνέσομαι K συνεύξομαι B

τῇ γλώττῃ ἐφήσω εἰς παιδιὰς καὶ χάριτας ἐμμελεῖς. Καὶ οὐδὲ τὴν γυναικωνίτιν ἀπαξιώσω εἴ τι καὶ ταύτῃ χαρίσαι βούλομαι· καὶ τὰ ἑτέροις φίλτατα ἐμὰ δι' ἐκείνους λογίσομαι. Καὶ τοῖς μέν, ἀπὸ τοῦ κρείττονος ὁμιλήσω· τοῖς δέ, ἀπὸ τοῦ ἴσου· τοῖς δέ, ἀπὸ τοῦ ἐλάττονος. Τά τε ἔκγονα μοι ἡδέως διαγκαλίσομαι, καὶ ὅλοις τοῖς 60 χείλεσι κατασπάσομαι. Καὶ τὰ μέν, πρὸς τὴν μαίαν ἐρῶ, ὅτι τάδε ποιητέον αὐτῇ, καὶ οὕτω βρεφῶν ἐπιμελητέον· τὰ δέ, πρὸς τὴν θηλάζουσαν, ὅτι οὕτως αὐτῇ τὸ γάλα δοκιμαστέον, καὶ τάδε μὲν βρωτέον, ἐκείνων δὲ ἀφεκτέον. Καὶ τὰ μέν, γελάσομαι· τὰ δέ, ἀνιάσομαι· τὰ δέ, φιλοσοφήσω· τὰ δέ, ἀποδύρωμαι. Καὶ τῶν 65 φιλτάτων τοῖς μέν, συγκλαύσομαι κλαίουσι, τοῖς δέ, συγχαρήσομαι χαίρουσι.

Καὶ (νὴ τὸν φίλτατόν μοι ἐπὶ τῶν κρίσεων!) ἀρῶ σοι πολλάκις ἐπὶ τῶν ὤμων τὸ παιδίον, καὶ μετεωρίσω, συμπαλαμησάμενος ἀκριβῶς ταῖς χερσί. Καὶ συνδιατεθήσομαι παιδικοῖς σχήμασι καὶ 70 μορφώμασι· διαπέπλασταί μοι γὰρ ἡ ψυχὴ πρὸς πᾶσαν ἰδέαν καὶ

58–60 τοῖς – ἐλάττονος: cf. Π 515,31–33 [καὶ τίσι μὲν] ἀπὸ τοῦ μείζονος, τίσι δὲ ἀπὸ τοῦ ἐλάττονος, τίσι δὲ ἀπὸ τοῦ ἴσου διαλέγεσθαι δεῖ ‖ **69** συμπαλαμησάμενος: vox Synesiana; cf. Synes. Cyren. Περὶ βασιλείας 18,16 συμπαλαμήσομαι. cf. Π 135,19 συμπαλαμήσασαι ‖ **71–74** διαπέπλασταί – γενναῖον: cf. Π 62,18–29 ἐγὼ δέ σοι εἰς μὲν θηριώδεις φύσεις οὐ μεταβήσομαι, οὐδὲ ἐκπλήξω τῇ τῶν φαντασμάτων καινότητι, ἀλλὰ τοὺς περὶ τὴν κιθάραν μιμήσομαι. τί δὲ οὗτοι δρῶσιν; ἐπειδὰν αἴσθωνται τοὺς ἀκούοντας κορεννυμένους τοῦ μέλους, μεταβάλλουσι τὰς χορδὰς στρέφοντες αὐτὰς τοῖς καλάμοις καὶ μεταστρέφοντες καὶ ποικίλας ἁρμονίας μεταχειρίζοντες, ἵνα, διὰ τῆς τοιαύτης μεταλλαγῆς τε καὶ μεταβάσεως, ἀκορέστους τῆς μουσικῆς ἡδονῆς τοὺς ἀκροατὰς ἔχωσιν. οὕτω γοῦν κἀγώ σοι μεταποιήσω τοὺς ἐμοὺς λόγους· καὶ νῦν μὲν ἱλαροὺς τούτους παρέξω σοι, νῦν δὲ συντόνους, καὶ νῦν μὲν ἀναβεβλημένους καὶ μαλακούς, νῦν δὲ γενναίους καὶ ἰσχυρούς, νῦν δὲ ἄλλην

56 ἐφήσω – παιδιὰς K B: εἰς παιδιὰς ἐφήσω P S ‖ **57** τι K: γε P B S ‖ **58** ἀπὸ K B: ὑπὸ P S ‖ **60** ἐλάττονος P B S: ἐλάσσονος K | ἔκγονα P B S: ἔγγονα K | μοι K: om. P B S | διαγκαλίσομαι K B: ἀγκαλίσομαι P S ‖ **61** καὶ P B S: om. K ἐ[.]ῶ B ‖ **62** αὐτῇ K B: αὐτῷ P S αὐτῇ αὐτῇ Malt[4],28 | βρεφῶν K: τῶν βρεφῶν P B S ‖ **63** ὅτι οὕτως : [.....]τως B | αὐτῇ K B: αὐτῷ P S ‖ **64** ἀφεκτέον K B: ἀφετέον P S | γελάσομαι K: γελάσω P S ποιήσω B ‖ **65** ἀνιάσ[....] B ἀποδύρωμαι K: ἀποδύρομαι P B S ‖ **66–67** συγχαρίσομαι K ‖ **68** μοι P B S: ἐμοὶ K | ἐπὶ P S: om. K τὸν ἐπὶ B | ἀρῶ : [..]ῶ B ‖ **69** ὤμων K: ἀγκαλῶν P B S **70** καὶ συνδιατεθήσομαι: [ca. 10 litt.]εθήσομαι B ‖ **71–72** ἰδέαν – καὶ[1] : [ca. 17 litt.] B

Μουσῶν καὶ Χαρίτων, καὶ οὐχ ὥσπερ αἱ χορδαὶ ἢ σύντονός εἰμι μόνον ἢ ἐναρμόνιος, ἀλλὰ παντοδαπὸν ἔχω τὸ μέλος, νῦν μὲν λιγυρὸν καὶ ἡδύφωνον, νῦν δὲ συντεταμένον τε καὶ γενναῖον.

75 Καὶ τὸ μὲν ἐμὸν τοιοῦτον. Σὺ δὲ εἴης πρῶτα μέν, ἐρρωμένως ἔχων τοῦ σώματος· ἔπειτα ἐφ' ἧς ἔχεις διαθέσεως, ἤτοι ἐρασμίως καὶ τῆς συνοίκου καὶ τῶν παίδων, καὶ τῷ νεογιλῷ συνατάλλοις ἀτάλλοντι νῦν καὶ συσκιρτῴης· ἔχοις δὲ ἀσφαλῶς ἀπρὶξ ταῖν χεροῖν ὁπότε μετεωρίζεις αὐτό (ὡς δέδια περὶ τούτῳ!).

129. Εἰς τὸν πρωτοπρόεδρον καὶ ἐπὶ τῶν κρίσεων ⟨Κωνσταντῖνον τὸν ἀνεψιὸν τοῦ πατριάρχου κυροῦ Μιχαήλ (?)⟩, φίλτατον μὲν αὐτῷ τυγχάνοντα, βραχὺ δέ τι παραβασκήναντα
Ἐπιστολή vel λόγος?

G 21 [L]

Ἐγὼ δέ σε τοσοῦτον ἀπέχω τοῦ ὀλισθήματος μέμψασθαι, ὥστε σε θαυμάζω τῆς ἀθρόας ἐπανορθώσεως.

Ἔδοξας γοῦν μηδ' αὐτὸ τοῦτο παρολισθῆναι, καὶ ταῦτα παθών τι ἀνθρώπινον πρὸς ἡμᾶς. Ὧι μὲν γὰρ βέβηκας, τῆς

μορφὴν ἔχοντας, Π 64,18 ἀλλὰ παντοδαπὸς πᾶσι γέγονα πράγμασι, Π 76,45–47 ἔστι δέ μοι καὶ μουσικὸν ἐν τῷ στήθει μαγάδιον, καὶ μέλος παντοδαπόν, οὐ σύντονον μόνον, ἀλλὰ καὶ ἐναρμόνιον, et Π 146,134–138 διδάσκαλος δὲ πᾶσι γινόμενος, κατὰ τὸ μέτρον ἑκάστου τοὺς λόγους ποιοῦμαι, καὶ πρὸς τὰς ἰδέας μεταμορφοῦμαι τῶν μαθητῶν· καὶ τοῖς μὲν ἴσως λεοντοπρόσωπος φαίνομαι, ὅσοις τὸ πρὸς τοὺς λόγους ὅρμημα λεόντειον πέφυκε, τοῖς δὲ κορυδαλλὶς λόφον ἔχουσα
ep. 129 Κωνσταντῖνον – Μιχαήλ (?): cf. Wassiliou-Seibt 2018

75 πρῶτα K P S: πρῶτον B ‖ **76** ἤτοι P B S: ἤτοι τοῦ σώματος K ‖ **77** καὶ[1] – συνοίκου K B: om. P S | καὶ[2] : [...] B | συνατάλλοις B: συναττάλοις K συναττάλεις P S ‖ **78** ἀτάλλοντι B: ἀττάλοντι K P S | συσκιρτῴης K B: συνσκιρτῴης P S | ἀπρὶξ P B S: om. K ‖ **79** ὁπότε μετεωρίζεις : [ca. 10 litt.]ρίζεις B | ὡς K: ὥσπερ γὰρ P B S | τούτῳ K P: τούτων B τοῦτο S
ep. 129 L 241v–243r; tit. scripsi: εἰς τὸν πρωτοπρόεδρον καὶ ἐπὶ τῶν κρίσεων φίλτατον μὲν αὐτῷ τυγχάνοντα, βραχὺ δέ τι παραβασκήναντα L G

ἀκριβεστέρας ἐστὶν ἕξεως. Ὧι δὲ παραβέβηκας, τοῦ καιροῦ· ἐχρῆν 5
γὰρ καὶ τὸν Ἄτλαντα, τοσοῦτον ἄχθος ἐπὶ τῷ μετώπῳ (τὸν
οὐρανόν φημι) φέροντα, βραχύ τι τοῖν ποδοῖν μεταβῆναι, καὶ τὴν
σὴν γενναίαν ψυχὴν ὀλίγον τι τοῦ φιλικοῦ μετακινηθῆναι
καθήκοντος (οὐδὲ γὰρ οὐδ' ἡμεῖς οὐκ ἐπιπεφορτίσμεθά σοι, δεῖ
γὰρ τἀληθὲς λέγειν, ὑπὲρ κεφαλῆς γεγονότες)· διὰ ταῦτα τὸν 10
φόρτον μὴ ἐνεγκών, μικρόν τι παρασεσάλευσαι.

Ἔγωγ' οὖν οὐχ ἧττόν σοι τῆς παραβάσεως, ἐμαυτὸν αἰτιῶμαι
τῆς ἀναβάσεως. Ἀλλ' ὥσπερ σοι τὸ πᾶν παρὰ τὸν καιρὸν συγκε-
χώρηται, οὕτω δὴ κἀγὼ παρὰ τοῦτον ἀφεῖμαι τοῦ ἐπὶ τῇ ἀνισό-
τητι αἰτιάματος. Ὁρᾷς ὅπως οὐ σὲ μᾶλλον ἰῶμαι ἢ ἐμαυτόν; Σοὶ 15
δ' ἂν καὶ συγγνοίην, εἰκότα παθόντι καὶ κατόπιν ἐμοῦ γεγονότι,
τὰ πρῶτα συντρέχοντι καὶ ἴσως προδραμόντι βραχύ. Ἀλλ' οὔτε
σοὶ δυνατὸν ἐμοὶ μεταδοῦναι τοῦ ἥττονος, οὔτ' ἐμοὶ τῇ σῇ φιλίᾳ
τοῦ κρείττονος· οὐ γὰρ ὥσπερ ὑπὸ τὸν αὐτὸν ἥλιον ἐπίσης οἱ ὑπὸ
τὸν αὐτὸν παράλληλον, οὕτω δὴ καὶ τῆς αὐτῆς τάξεως μετεῖναι 20
ἡμῖν δυνατόν· ἀλλ' εἰ καὶ ταὐτοῦ ὀνόματος οἱ πλείους μέτοχοι,
ἀλλ' οὐχὶ καὶ τῆς ἄλλης ἰσότητος· οἷς δὲ καὶ αἱ προσηγορίαι
διάφοροι, τούτων οὐχ ἥκιστα καὶ αἱ τάξεις διήρηνται.

Σὺ μὲν ἴσως οὐδὲ ἐβάσκηνας, ἀλλ' ἐζηλοτύπησας τὴν ἡμετέ-
ραν ἀνάβασιν· ἢ οὐδὲ ἤνεγκας τὴν περαιτέρω διάζευξιν· διὰ ταῦτα 25
γοῦν σοι ἡ μέμψις τοῦ παραφθέγματος. Ἐγὼ δὲ ἑαλώκειν μὲν
ἴσως καὶ πάθους τινός· τὸ γὰρ φιλότιμον ἐφιζάνει καὶ φιλοσόφοις
ψυχαῖς, ὥσπερ ἐναντίως ἔχει τὸ φιλοχρήματον. Οὐ μὴν δ' ᾠήθην
ἀφορμή σοι διὰ τοῦτο γενέσθαι προσκόμματος, ὥσπερ οὐδ' ὁ
ἥλιος, ἐφ' ὑψηλοτέρας ταχθεὶς σφαίρας, βασκῆναι ἂν ἐπὶ τούτῳ 30

5–7 ἐχρῆν – μεταβῆναι: cf. e.g. Suda α 4368 Ἄτλας· ὁ μυθευόμενος τὴν γῆν καὶ τὸν οὐρανὸν βαστάζειν ... καὶ παροιμία· Ἄτλας τὸν οὐρανόν cum CPG I 207 (nr. 67) et II 149 (nr. 57); cf. Π 159,10–11 et Π 262,7 ‖ **13** τῆς ἀναβάσεως: cf. Mich. Attal. Ἱστορία 296 Μιχαὴλ μοναχὸς ὁ ὑπέρτιμος, ὁ ἐπὶ τῶν πολιτικῶν πραγμάτων προστάς (a. 1078, dum Nicephorus Botaneiates imperator erat)?

11 παρασεσάλευσαι scripsi (cf. G p. 168, n.4): παρασεσάλευται L G

τὴν σελήνην ὑπέλαβεν· ἧς γε τοσοῦτον ὑπερἀναβέβηκεν, ὡς μεῖζον εἶναι τὸ ἐκείνου ἀπὸ ταύτης ἀπόστημα, ἢ τὸ ταύτης ἀπὸ τῆς γῆς. Εἰρήκει δ' ἂν βασκηνάσῃ, ὅτι:

«Ὦ φιλτάτη σελήνη, τί δὲ μὴ καὶ πρὸ τοῦ, ἀλλὰ νῦν πρώτως;
35 Τί δέ μοι καὶ βασκάνως ἔχεις, μείζονα μὲν ἔχοντι κύκλον τοῦ σοῦ, ἐκ παντὸς δὲ μέρους πεφωτισμένον καὶ τῆς ἡμέρας ἄρχειν λαχόντι; Καὶ τὸ μὲν ἐμὸν φῶς καθαρώτατόν τε καὶ διαυγέστατον. Τὸ δὲ σόν, ὁπόσον μὴ παρ' ἐμοῦ, ἀνθρακῶδες, ὁπόσον δ' ἐν τῷ μέρει λαμπρόν, παρὰ τῶν ἐμῶν ἀκτίνων ἔστι σοι. Ἐχρῆν γοῦν
40 παραχωρεῖν ἐμοὶ τῶν πρωτείων ἀεί, οὕτω τεταγμένῳ παρὰ θεοῦ. Καὶ σὺ μὲν ἐν μεθορίῳ οὐσίας τε καὶ γενέσεως, καὶ τοῦ αἰθέρος ἐσχάτη. Ἐγὼ δέ; Τὸ μεσαίτατον ἐπέχω τῆς καθαρᾶς φύσεως, ἐπίσης τοῖς τε ἄνω καὶ τοῖς κάτω ὑμῖν μεταδιδοὺς τοῦ οἰκείου φωτός».

45 Ταῦτα μὲν ἂν πρὸς τὴν σελήνην εἰρήκει ὁ ἥλιος παρενεχθεῖσαν αὐτὴν ἐπὶ τῷ ἑαυτοῦ ὕψει ἑωρακώς. Ἐγὼ δὲ τούτους μὲν τοὺς λόγους ἑτέροις ἀφίημι λέγειν· ἐρῶ δὲ πρὸς σὲ οὓς εἰώθειν ἀεί: ὅτι σε οὔτ' ἀναβαίνων ἀφίημι κάτω, οὔθ' ὑποβαίνων ἀτενίζω ὡς ἀναβαίνοντι. Ἀλλ' αἱ μὲν σχέσεις πρὸς ἀλλήλας ἐχέτωσαν ὡς
50 φύσεως ἔχουσιν. Ἐγὼ δὲ κἂν ἐν αἰθέρι γένωμαι, ἐκεῖ σε φαντάζομαι· κἂν ὑπὸ τὴν γένεσιν, οὐδ' οὕτως ἀφίσταμαί σου, κἂν αὐτὸς

31–33 ἧς – γῆς: Arist. Metaph. 345b2–5 τὸ τοῦ ἡλίου μέγεθος μεῖζόν ἐστιν ἢ τὸ τῆς γῆς καὶ τὸ διάστημα πολλαπλασίως μεῖζον τὸ τῶν ἄστρων πρὸς τὴν γῆν ἢ τὸ τοῦ ἡλίου, καθάπερ τὸ τοῦ ἡλίου πρὸς τὴν γῆν ἢ τὸ τῆς σελήνης cum Ioann. Philop. In Metaph. 104,3 sqq. et Olympiod. In Metaph. 72,4 sqq. **36** τῆς – ἄρχειν: Gen. 1,16–18 καὶ ἐποίησεν ὁ θεὸς τοὺς δύο φωστῆρας τοὺς μεγάλους, τὸν φωστῆρα τὸν μέγαν εἰς ἀρχὰς τῆς ἡμέρας καὶ τὸν φωστῆρα τὸν ἐλάσσω εἰς ἀρχὰς τῆς νυκτός ... ὥστε ... ἄρχειν τῆς ἡμέρας καὶ τῆς νυκτὸς ‖ **38–39** τὸ δὲ – σοι: cf. Plut. Περὶ τοῦ ἐμφαινομένου προσώπου τῷ κύκλῳ τῆς σελήνης 934a9–b1 τὸ γὰρ ἀνθρακῶδες ἐκεῖνο καὶ διακαὲς χρῶμα τῆς σελήνης, ὃ φῄς ἴδιον αὐτῆς εἶναι (cf. 934c4–5) cum Ioann. Philop. In Metaph. 30,37–40 ἐκ τῆς σελήνης τεκμαίρεσθαι μάλιστα δεῖ, ἥτις οὐδὲ τὸ φῶς ἴδιον ἔχει, ἀλλ' ἐξ ἡλίου πᾶν ἄλλοτε κατ' ἄλλο τι μέρος αὐτῆς ἐρανιζόμενον· τὸ γὰρ οἰκεῖον αὐτῆς καὶ οὐσιῶδες φῶς ἐν ταῖς ἐκλείψεσιν ὁρᾶται λίαν ἀμυδρόν τι καὶ ἀνθρακῶδες et Olympiod. In Metaph. 67,36–37 ταύτης γὰρ ἕτερον μὲν τὸ ἴδιον φῶς, ἕτερον δὲ τὸ ἀπὸ ἡλίου· τὸ γὰρ ἴδιον αὐτῆς φῶς ἀνθρακῶδές ἐστιν, ὡς δηλοῖ ἡμῖν ἡ ἔλλειψις αὐτῆς

45 πρὸς – σελήνην : om. G ‖ **50** ἐκεῖ σε L: ἐκεῖσε G

ὑψοῦ βέβηκας. Καὶ οὗ μὲν τὰ τῆς προαιρέσεως ἐπικρατεῖ, ἐπὶ τῆς αὐτῆς σοι τρυτάνης κἀν τῷ πράγματι βέβηκα. Οὗ δὲ τὰ τοῦ καιροῦ, διαλλάττει μὲν ἡμῖν τὰ ἐκτός, ἀπαράλλακτα δὲ τὰ τῶν ψυχικῶν χαρίτων ἐστί. 55

Δεῖ τῆς ἐπὶ λόγοις ἀλλήλοις κοινωνίας καὶ δεξιώσεως; Παραχωρήσω σοι πρώτως ἐρεῖν· καὶ θαυμάσομαι τῆς ὀξύτητος. Ἅμιλλά τις συνέσεως καὶ φρονήσεως; Ὑφήσω σοι τοῦ ἐμοῦ (ἐρεῖ τις ἕτερος) μείζονος. Οὐκ ἐπαποδύσομαί σοι οὔτε τὰ περὶ λόγους οὔτε τὰ τῆς λοιπῆς ἕξεως. Κἂν μὴ κατευστοχήσῃς τοῦ προκειμένου σκοποῦ, 60 ἐγώ σε ἢ πρὸς τοῦτον ἀπευθυνῶ, ἢ καινόν τινα λόγον ἐρῶ. Συνδιαστραφήσομαί σοι μᾶλλον, ἢ κατ' ἀντικρὺ καὶ πρὸς τὴν εὐθεῖαν χωρήσω. Τί μὴ λέγω τὰ μείζω; Παλαίειν ἴσως οὐ πέφυκας, οὐδὲ σταδιοδρομεῖν, οὐδ' ἐπίσης τῷ Ἀντιλόχῳ ἐλαύνειν τὸ ἅρμα. Ἀλλ' εἴ τις περὶ τούτων λόγος, ἐγώ σε καὶ παλαιστὴν καὶ δρομέα καὶ 65 ἡνίοχον ἀποδείξω—αἰνιττόμενος λέγω· τὸ δ' ἀληθές, καὶ ῥήτορα καὶ φιλόσοφον ἥντινα βούλει φιλοσοφίαν, τά τε ἄλλα, καὶ εἰδότα τι καὶ τοῦ γεωγραφικοῦ πίνακος· ἐμοὶ γὰρ τῷ μὲν σχήματι μέτεστιν οὐδενὸς τούτων, τῷ δὲ πράγματι πάντων καὶ ἀκριβέστατα· καὶ οὔτε με Ἰταλὸς ἀνὴρ περὶ τῆς νομικῆς μέμψαιτο, οὔθ' Ἕλλην περὶ 70 φιλοσοφίας αὐτῆς, οὔτε εἴ τις τὴν γλῶτταν στωμύλλεται καὶ στρογγυλίζει λογάρια, κάλλιον ἐμοῦ φθέγξαιτο ἢ σοφίσαιτο. Ταῦτα δὲ λέγω, τοῖς ζῶσιν ἐμαυτὸν παραβάλλων· ὧν δὴ καὶ αὐτὸς καταψηφίζοις ἐμοί τε κἀκείνοις τὴν κρίσιν λαχών.

Δεῦρο γοῦν, ὦ φιλτάτη καὶ γενναία μοι κεφαλή· καὶ εἰ βούλει, 75 ἐπὶ τῶν αὐτῶν ἐμοὶ θρόνων· εἰ δ' οὖν, ἐπὶ τῶν ὑψηλοτέρων ἐδράσθητι. Ἐγὼ δὲ «οὐδὲ γνώσομαί σοι δεξιὰν ἢ ἀριστερὰν» κατὰ τὸν προφητικὸν λόγον· ἀλλ' ἐκεῖ τὸ κρεῖττον οἰήσομαι, ἔνθ' ἂν αὐτὸς ἱδρυνθῇς. Εἰ δὲ καὶ αὐτὸς οὕτως ἔχεις περὶ ἡμᾶς καὶ ἀνταποδιδοίης τὰ ἶσα ἵνα μὴ χωλὸν ἡ φιλία ᾖ, γενήσεται ἡμῖν 80 κατὰ τοὺς μουσικοὺς λόγους: ἰσότης ἐξ ἀνισότητος.

64 ἐπίσης – ἅρμα: cf. Hom. Il. 23,301 Ἀντίλοχος δὲ τέταρτος ἐΰτριχας ὁπλίσαθ' ἵππους ‖ **68** τοῦ – πίνακος: cf. Psel. Περὶ τοῦ γεωγραφικοῦ πίνακος ‖ **77** οὐδὲ – ἀριστερὰν: Ionas 4,11 οἵτινες οὐκ ἔγνωσαν δεξιὰν αὐτῶν ἢ ἀριστερὰν αὐτῶν. cf. Psel. Σύντομοι ἀλληγορίαι τῶν παρὰ τοῖς Ἰουδαίοις νομίμων τε καὶ ἐθῶν = Theol. I 110,80–81

62 ἀντικρὺ G ‖ **77** οὐδὲ post corr. L: οὐδὲ οὐδὲ ante corr. L G

130. Τῷ σεβαστῷ Κωνσταντίνῳ καὶ ἀνεψιῷ τοῦ πατριάρχου, διὰ τὸν μοναχὸν Ἠλίαν τὸν Κρυσταλᾶν
versio altera [B²]; cf. Π 77 = versio prima [B¹]

K-D 212 [B¹, B²]

Θαυμάζουσιν Ἕλληνες τὰς Μούσας καὶ τὰς Χάριτας, τὰς μὲν ὡς περὶ τὸν Ἑλικῶνα χορευούσας καὶ τὸν σφέτερον πατέρα τὸν Δία ὑμνούσας, καὶ ὅλως μετὰ τῆς φιλοσόφου παρεστηκυίας σεμνότητος, τὰς δὲ ὡς τοῖς ἀνθρώποις αἰτίας τέρψεώς τε καὶ
5 ἡδονῆς. Κἀντεῦθεν καὶ τῶν ἀνθρώπων τοὺς μὲν σεμνοτέρους ταῖς Μούσαις εἰκάζουσι, τοὺς δὲ ἡδυτέρους ταῖς Χάρισιν· εἰ δέ τις ἀμφοτέρους ἔχει τοὺς χαρακτῆρας, καὶ τῆς τῶν Μουσῶν ἰδέας καὶ τῆς τῶν Χαρίτων, οὗτος αὐτοῖς ὁ τελεώτατός τε καὶ τὴν ἀρετὴν ἀκριβέστατος.
10 Τοιοῦτος ἐν τῇ καθ' ἡμᾶς γενεᾷ ὁ θαυμασιώτατος οὗτος μοναστὴς ἐγεγόνει. Καὶ τὴν μὲν μουσικὴν μεγαληγορίαν ἐνδείκνυται, ᾄδων τε πολλὰ καὶ ῥυθμοῖς χαίρων καὶ μελῳδήμασιν, οὐ μόνον οὐκ ἐν Πιερίᾳ καὶ Ἑλικῶνι, ἀλλ' ὅπῃ φίλον αὐτῷ (τοῦτο γὰρ κείσθω τέως ἀνώνυμον). Βλύζει δὲ Χαρίτων καὶ ἐπινάει τῶν
15 ἡδονῶν τὰς πηγάς, οἷς αὐτῷ μέλει (μηδὲ γὰρ οὗτοι ὀνομαστὶ τῷ γράμματι κείσθωσαν). Καὶ ἐν ἑκατέρᾳ ἰδέᾳ τοῖν βίοιν ἀμφοῖν (τῆς Μούσης φημὶ καὶ τῆς Χάριτος), ἐπίσημος εἴπερ τις ἄλλος δοκεῖ.

ep. 130 Ἠλίαν – Κρυσταλᾶν: cf. Psel. Ἐγκώμιον εἰς τὸν … Ἰωάννην τὸν Κρουστουλᾶν ἀναγνόντα ἐν τῇ Ἁγίᾳ Σορῷ = Or. min. 37? ‖ **10–11** ὁ – μοναστής: Elias, de eoque cf. Π 188,6, Π 219,2, Π 220,3, Π 253,1, Π 254,1, Π 288,1, Π 326,1, Π 327,1, et Π 450,1. cf. etiam Π 77,9–10. cf. etiam Π 543,1?

ep. 130 B 185v–186r (B²); B 138v–139r (B¹) = Π 77 (versio prima); tit. B²: τῷ αὐτῷ (= τῷ καίσαρι Ἰωάννῃ τῷ Δούκᾳ) Π 77 ⟨τῷ καίσαρι Ἰωάννῃ τῷ Δούκᾳ⟩ K-D διὰ τὸν κῦρ Ἠλίαν τὸν κρυσαλὰν, τὸν ἔμπορον καπηλοποιόν· ἔχει καὶ ἑτέραν ἐπιστολὴν εἰς τὸν αὐτὸν Ἡλίαν, παρασκῶπτον αὐτοῦ τὴν ἀνούστατον βιωτήν in marg. B¹ ‖ **2** χορευούσας B²: τε καὶ Π 77,1 K-D | περὶ B² K-D: παρὰ B¹ ‖ **3** μετὰ τῆς B²: τῆς Π 77,3 K-D | παρεστηκυίας B²: προεστηκυίας Π 77,3 K-D ‖ **8** τῆς – Χαρίτων B² K-D: τῶν Χαρίτων B¹ ‖ **10** τῇ – θαυμασιώτατος B²: τοῖς καθ' ἡμᾶς ὁ θαυμάσιος Π 77,9–10 K-D ‖ **12** τε B² K-D: τὰ Π 77,11 **13** μονονοὺκ corr. Diam 304 ‖ **14** κείσθω τέως B²: τέως κείσθω Π 77,13 K-D Χαρίτων B²: τὰ Χαρίτων Π 77,12–13 K-D ‖ **17** Μούσης B¹ K-D: μουσικῆς B² ἐπίσημος – τις B² K-D: εἴπερ τις ἐπίσημος Π 77,17

Εἰ μὲν οὖν μέλει σοι Μουσῶν, αὐτίκα σεμνοπρεπήσει κατὰ τὰς Ξενοκράτους εἰκόνας, καὶ ὑποκριθήσεται τοὺς σεμνοτέρους τῶν βίων: τὸν εὐαγγελιστήν, τὸν ἐπίσκοπον, καὶ εἴ τις ἕτερος τοῦ 20 αὐτοῦ τρόπου ἐχόμενος. Εἰ δὲ θύεις ταῖς Χάρισι καί σοι φροντὶς χαριεντίσασθαι καὶ ἡδὺ γελάσαι καὶ τὰ παικτὰ παῖξαι, θαυμάσεις ἐνταῦθα τὸν ἄνδρα τραγικὴν πηγνύμενον σκηνήν, καὶ ὅσαι ὧραι μεταμορφούμενον· καὶ νῦν μὲν Αἴαντα δοκοῦντα τὸν Τελαμώνιον, νῦν δὲ Μίθαικόν τε καὶ Πάταικον ἢ τὸν κάπηλον Σάραμβον· 25 παντοδαπὸς γὰρ ὁ ἀνὴρ τοῦ Πρωτέως οὐκ ἐλάττων τὴν μεταποίησιν.

Κἀγὼ πολλάκις τὸν ἄνδρα τεθαύμακα (νὴ τὴν ἱεράν σου ψυχήν!), καὶ ἔστερξα (πῶς ἂν εἴποις;) σφοδρῶς, ὅτι νῦν μέν μοι

18–21 κατὰ – Χάρισι: cf. Diog. Laert. 4,6 σεμνὸς δὲ τά τ' ἄλλα Ξενοκράτης καὶ σκυθρωπὸς ἀεί, ὥστε αὐτῷ λέγειν συνεχὲς τὸν Πλάτωνα, «Ξενόκρατες, θῦε ταῖς Χάρισι»; cf. Plut. Marius 2,3 ὥσπερ οὖν Ξενοκράτει τῷ φιλοσόφῳ σκυθρωποτέρῳ δοκοῦντι τὸ ἦθος εἶναι πολλάκις εἰώθει λέγειν ὁ Πλάτων· «ὦ μακάριε Ξενόκρατες, θῦε ταῖς Χάρισιν» cum Plut. Γαμικὰ παραγγέλματα 141f7–10 et Ἐρωτικός 769d2–6. cf. Psel. Χρονογραφία 7,47, Λόγος εἰς ... Κωνσταντῖνον τὸν Μονομάχον = Or. pan. 1,162–164. cf. Π 77,25–26 ‖ **25** **Μίθαικόν – Πάταικον**: ex libris grammaticis? cf. e.g. Theognost. Κανόνες 326 διὰ τῆς αι διφθόγγου γράφονται· οἷον, Φάλαικος· Πάταικος· Μίθαικος ὄνομα κύριον. cf. Π 77,18–21 | Μίθαικόν – Σάραμβον: Plat. Γοργίας 518b4–9 ἐμοῦ ἐρωτῶντος οἵτινες ἀγαθοὶ γεγόνασιν ἢ εἰσὶν σωμάτων θεραπευταί, ἔλεγές μοι πάνυ σπουδάζων, Θεαρίων ὁ ἀρτοκόπος καὶ Μίθαικος ὁ τὴν ὀψοποιίαν συγγεγραφὼς τὴν Σικελικὴν καὶ Σάραμβος ὁ κάπηλος, ὅτι οὗτοι θαυμάσιοι γεγόνασιν σωμάτων θεραπευταί, ὁ μὲν ἄρτους θαυμαστοὺς παρασκευάζων, ὁ δὲ ὄψον, ὁ δὲ οἶνον. cf. Psel. Πρὸς τοὺς βασκαίνοντας αὐτῷ = Or. min. 10,64–65, Εἴς τινα κάπηλον γενόμενον νομικόν = Or. min. 14,163, Πρὸς τὸν Σαββαΐτην = Poem. 21,232, et Π 131,38–39; cf. Π 77,25–26 **26–27** παντοδαπὸς – μεταποίησιν: locus communis (ex Hom. Od. 4,384–386); cf. Psel. Χρονογραφία VI,152, Ἐκ τοῦ περὶ τοῦ πνεύματος λόγου εἰς τὸ 'Σαδδουκαῖοι μὲν ...' = Theol. I 106,115–116, et Π 62,15–18, Π 254,39, et Π 288,29–30. cf. Π 77,26–27 et etiam Π 532,1–2

18 μέλει σοι B[2] K-D: σοι μέλει Π 77,18 | σεμνοπρεπήσει B[2] K-D: σεμνοπρεπεῖ Π 77,18 ‖ **21** τρόπου B[2]: χαρακτῆρος Π 77,21 K-D ‖ **23** ἐνταῦθα – πηγνύμενον B[2]: τὸν ἄνδρα τὴν τραγικὴν ἐνταῦθα πηγνύντα Π 77,23 ἐνταῦθα τὸν ἄνδρα τὴν τραγικὴν πηγνύντα K-D ‖ **25** ἢ B[2] K-D: καὶ Π 77,25 | Σάραμβον B[2] K-D: Σάρβαρον B[1] (cf. Suda ε 1367 ἐνθουσιώσας· Πισίδης· καὶ τὰς ἀθέσμους ἡδονὰς τοῦ Σαρβάρου ἐνθουσιώσας τῇ πυρώσει τῆς μέθης ἐπεξανῆπτον)

30 δεῆσαν ὑπηρέτησε ταῖς χερσὶ γράφων κάλλιστα καὶ ταχύτατα, καὶ αὖθις μεταβαλλόμενος εἰς ᾠδὰς καὶ ἐμμελεῖς φθόγγους ἐτρέπετο· εἶτα δὴ (ἀλλὰ πῶς ἂν τοῦτο οὐ λίαν θαυμάσαιμι;) περιδυσάμενος καὶ τὴν ἐσθῆτα καὶ τὸ χιτώνιον παντοδαπὸς ἐγεγόνει καὶ τοῖς σχήμασι καὶ τοῖς μιμήμασι. Νὴ τὴν ἱεράν σου ψυχήν! ἀξιώτατος ὁ
35 ἀνὴρ τῆς σῆς γνώμης καὶ χάριτος· ἐπειδὴ γὰρ πολύμορφος ἡμῶν ὁ βίος, καὶ κατὰ τὸν Εὐριπίδην «πρὸς τὰς τύχας τὰς φρένας φερόμεθα» καὶ νῦν μὲν γινόμεθα σκυθρωπέστεροι, νῦν δὲ χαριέστεροι, κατάλληλός σοι καὶ οὗτος φανεῖται πάσῃ ἰδέᾳ βίου καὶ περιστάσει, καὶ ὑπηρετήσει οὐ τὰ μέγιστα μόνον, ἀλλ' ἤδη καὶ τὰ
40 κάτω καὶ τὰ φαυλότατα· οὐ γὰρ γράψει μόνον ἑτοίμως ἀλλὰ καὶ λούσει καὶ στρωματοδεσμήσει καὶ ἵππῳ περιθήσει ἀστράβην καὶ περιαγάγῃ καὶ τἄλλα ποιήσει ὁπόσα τῷ δεσπότῃ ἀρέσκει.

Τοιοῦτός σοι ἀφίκετο ἄνθρωπος. Εἰ μὲν οὖν σκυθρωπάζοντα εὕροι, ἀντεπιδείξεταί σοι αὐτίκα τῆς ψυχῆς τὴν κατήφειαν· εἰ δὲ
45 καὶ γελῶντα καὶ χαριεντιζόμενον, γελάσει καὶ χαριεντίσεται. Συμμεταμορφώθητι οὖν καὶ αὐτὸς τῷ ἀνθρώπῳ, ποικιλλόμενος οἷς ἐκεῖνος ποικίλλεται· καὶ κατεύθυνον μὲν κατευθύνοντι, πλαγίασον δὲ πλαγιάζοντι. Εἰ δὲ μυστηριώδη σοι τὰ ῥήματα, καὶ ἐμφατικώτερα, μὴ θαυμάσῃς· συγκαλύψας γὰρ εἴρηκα· ἀνέῳγε γὰρ
50 ἀμφοτέρας τὰς ἀκοὰς ὁπηνίκα τὴν γραφὴν ὑπηγόρευον. Ἀλλ' ἐγὼ πρὸς Κρῆτα κρητίσας, ὁμοῦ τε τὴν περιπλοκὴν τῷ λόγῳ εἰργασάμην, καὶ τὸ βούλημα τῆς ἐμῆς γνώμης ἐδημοσίευσα.

36–37 κατὰ – φερόμεθα: Eurip. Ἱππόλυτος 701 πρὸς τὰς τύχας γὰρ τὰς φρένας κεκτήμεθα, cf. Π 91,4–5 et etiam Π 77,37–38 ‖ **51** πρὸς – κρητίσας: proverbium; CPG I 297 (nr. 65) et II 205 (nr. 35) et 628 (nr. 98). cf. Psel. 'Τοῦτο νῦν ὀστοῦν ἐκ τῶν ὀστῶν μου καὶ σὰρξ ἐκ τῆς σαρκός μου' = Theol. II 21,14 et Π 378,24; cf. Π 77,51

30 ὑπηρέτησε scripsi Π 77,30 K-D: ὑπηρετῆσαι B² ‖ **32** ἂν – θαυμάσαιμι B²: ἂν λίαν τοῦτο θαυμάσωμαι Π 77,32 K-D θαυμάσωμαι ex corr. B¹ ‖ **33** ἐγεγόνει B² K-D: ἐγίνετο Π 77,33 ‖ **35** γὰρ B² K-D: om. Π 77,36 ‖ **35–36** ἡμῶν – βίος B²: ὁ βίος ἡμῶν Π 77,36 K-D ‖ **37** φερόμεθα B²: κεκτήμεθα Π 77,37 K-D | γινόμεθα B² K-D: γεγενήμεθα Π 77,38 ‖ **38** κατάλληλός – φανεῖται B² K-D: καὶ κατάλληλός σοι φανεῖται οὗτος Π 77,38–39 | βίου B² K-D: om. Π 77 **39** περιστάσει B² K-D: παραστάσει Π 77,39 ‖ **45** καὶ¹ – χαριεντίσεται B² K-D: γελῶντα, γελάσει Π 77,46 ‖ **48** πλαγιάζοντι B² K-D: πλαγιάσαντι Π 77,48 μυστηριώδη σοι B² K-D: μυθώδη Π 77,48 ‖ **51–52** τῷ – εἰργασάμην B²: εἰργασάμην τῷ λόγῳ Π 77,52 K-D ‖ **52** γνώμης B²: γλώσσης Π 77,53 K-D

131. Τῷ πρωτοπροέδρῳ κῦρ Κωνσταντίνῳ, τῷ ἀνεψιῷ τοῦ πατριάρχου κῦρ Μιχαήλ

S 184 [P]

Μή ποτε οὐ καλῶς οὐδὲ ὡς παιδιὰν ἐδέξω τὸν νοῦν τῆς ἐπιστολῆς, φιλτάτη ψυχή; Ἐγὼ δὲ μικροῦ δεῖν καὶ ὠρχούμην ὅτε ταύτην ἐδημιούργουν· καὶ σέ γε ᾤμην συνορχήσασθαί μοι, καὶ μετασχεῖν τοῦ θεάτρου.

Οὐκ οἶσθα (πρὸς ἐρωτικὸν δὲ τὸν λόγον ποιοῦμαι) ὅτι τὰ τῶν 5 ἐρωμένων κνίσματα μᾶλλον δὴ τοὺς ἐρῶντας ὑποκινοῦσιν ἢ τὰ φιλήματα; Διὰ ταῦτά τοι καὶ ἡ φύσις τὸ ῥόδον μετὰ τῆς ἀκάνθης ἐξήνεγκεν, ἵν' ὑποκνίζοιτό τις ἐνταυτῷ καὶ ὀσφραίνοιτο. Οὕτω τοιγαροῦν καὶ τοῖς λόγοις χρηστέον ἡμῖν· ἀνήδυστον γὰρ θάτερον παρὰ θάτερον, καὶ τὸ ἐν εὐτραπελίᾳ καὶ χάριτι, εἰ μὴ καταμεμι- 10 γμένον ἔχοι καὶ τὸ δοκοῦν τέως τραχύ, χαῦνον ἄντικρυς καὶ οὐ κινοῦν γέλωτα.

Καὶ (νὴ τὴν ἱεράν σου ψυχήν!) οὐκ ἀσκόπως οὐδ' ὡς ἐξέπεσεν ἐγράφη τὰ ῥήματα, ἀλλ' ἵν' ἔχοις αὐτὸς μὴ τοῦ κάλυκος μόνον ἀλλὰ καὶ τῆς ἀκάνθης κατατρυφᾶν. Οὐχὶ δὲ καὶ κατὰ πρόσωπον 15 οὕτως ἀλλήλοις προσομιλοῦμεν, καὶ ἀντιπαίζομεν ἀλλήλοις τὰς ἡλικίας ἡμῶν; Ἀλλὰ τοσοῦτον ταῖς ἑκατέρων ἀμετρίαις οὐκ ἐπαισχυνόμεθα, ὅτι καὶ ἀντεπαγγελλόμεθα. Ἐγὼ δὲ μὴ τοσοῦτον μανείην εἰ ἄλλό τι τοῦ σοῦ θελήματος λέγειν ἢ πράττειν βουλη- θείην ποτέ! 20

2 μικροῦ – ὠρχούμην: cf. Π 63,3–4 ὥστε μικροῦ δεῖν ὑπὸ τοῦ σοῦ μέλους καὶ ὑπορχοῦμαι, Π 106,2 χορεύειν βούλομαι, Π 138,10 ἀτεχνῶς χορεύοντι ἔοικα, et Π 140,104 μικροῦ δεῖν καὶ ἐχόρευσα, Π 140,17–18 βούλομαι πολλάκις χορεύειν. cf. etiam Π 16,3 μικροῦ δεῖν ἐχορεύσατε ‖ **18–19** μὴ – μανείην: iunctura saepe in Luciano laudata, cf. e.g. Ἀναβιοῦντες ἢ Ἁλιεύς 37 et Ἑταιρικοὶ διάλογοι 2,4; cf. etiam e.g. Ael. Arist. Πρὸς Πλάτωνα ὑπὲρ τῶν τεττάρων 126,26 et Suda μ 145. cf. Psel. Κατηγορία τοῦ ἀρχιερέως = Or. for. 1,2768, Ἐγκώμιον εἰς ... Νικόλαον μοναχὸν ... = Or. fun. I 10,1,12, Ἐγκώμιον εἰς τὴν φθεῖρα = Or. min. 28,121, Εἰς τὸ 'νοῦς μὲν οὖν ἤδη καὶ αἴσθησις' = Theol. I 90,85, et Π 7,51, Π 55,12, Π 100,13, Π 139,62, Π 145,49, Π 209,3–4, Π 277,2, Π 291,31–32, et Π 454,105

ep. 131 L 69v–70r, P 234r–v; tit. P S: τῷ ἐπὶ τῶν δεήσεων L ‖ **11** οὐ L: om. P S ‖ **14** ἵν' P S: ἵνα L

«Εἶτα, ὦ καταγέλαστε», ἔφησεν ὁ Σωκράτης πρὸς τὸν φίλον Θεαίτητον «οὐκ οἶδας ὅτι μαίας υἱός εἰμι μάλα βλοσυρᾶς Φαιναρέτης;» ἀκούεις Σωκράτους, κάλλιστε πρόεδρε, καταγέλαστον τὸν Θεαίτητον εἰρηκότος, ὃν τὰ πρῶτα τῶν φιλτάτων λογίζεται, καὶ
25 ᾧ θαμὰ προσομιλεῖν βεβούληται; Τοιοῦτον οὖν καὶ τὸ ἐμὸν ἦθος, ὄμνυμί σου τὴν θαυμασίαν ψυχήν, καὶ ἀναπέφυκά πως ἐκ πρώτης γενέσεως πρὸς τὸν Πλατωνικὸν τοῦτον σοφόν.

Τί δ' ἂν εἴποιεν οἱ τοῦ Χριστοῦ μαθηταί, οὓς εἰς τοὺς νομάδας Σκύθας ἀπέρριψα; Οὐ συνῆκας δέ ὅτι παίζων πάντα γεγράφηκα
30 ὁπότε σοι καὶ τὴν ὅλην εἰκόνα διεκωμῴδησα; Καίτοι γε τὸ τῆς κειμένης σχῆμα ἀκριβῶς διασώζει τὸν προσήκοντα χαρακτῆρα, ἐν χρώμασιν, ἐν σχήμασιν, ἐν ἤθεσιν (εἴ τινα εἶεν καὶ παρὰ νεκροῖς ἤθη), ἀλλ' ἐγὼ οὐδὲν τούτων προσεποιησάμην, ἀλλὰ διὰ πάντων ὦσα τὸ ξίφος, ὥσπερ ὁ Βαγώας δι' ἀμφοτέρων. Τίνος ἕνεκα; ἵν'
35 ἔχοις αὐτὸς καὶ γελᾶν καὶ τρυφᾶν, καί με τῆς γλώττης ἐγκωμιάζειν.

21–23 εἶτα – Φαιναρέτης: Plat. Θεαίτητος 149a1–2 εἶτα, ὦ καταγέλαστε, οὐκ ἀκήκοας ὡς ἐγώ εἰμι ὑὸς μαίας μάλα γενναίας τε καὶ βλοσυρᾶς, Φαιναρέτης; cf. Psel. Πρὸς τὸν λοίδορον ῥίψαντα χάρτην = Or. min. 7,144–146 αὐτὸς δὲ ὁ φιλόσοφος οὐ χαρίεις; ὃν δὲ ὑποδύεται Σωκράτην οὐ τοιοῦτος; ὅς γε δὴ καὶ μαιεύειν τοὺς νέους χαριεντίζεται καὶ τοιαύτην εἶναι αὐτῷ καὶ τὴν μητέρα τίθεται τὴν βλοσυρὰν Φαιναρέτην ‖ **34** ὥσπερ – ἀμφοτέρων: Phinees (et non Bagoam) significat; cf. Num. 7–8 καὶ ἰδὼν Φινεες ... λαβὼν σειρομάστην ἐν τῇ χειρὶ εἰσῆλθεν ὀπίσω τοῦ ἀνθρώπου τοῦ Ισραηλίτου εἰς τὴν κάμινον καὶ ἀπεκέντησεν ἀμφοτέρους, τόν τε ἄνθρωπον τὸν Ισραηλίτην καὶ τὴν γυναῖκα διὰ τῆς μήτρας αὐτῆς. cf. etiam Psel. Πρὸς τὸν λοίδορον ῥίψαντα χάρτην = Or. min. 7,241–242 ἢ καθάπερ ὁ Φινεὲς δι' ἀμφοτέρων τὸν σειρομάστην διήλασα;

22 μαίας – εἰμι L: [ca. 10 litt.] εἰμι P (lacunam indicavit) [ἐγώ] εἰμι [υἱὸς] suppl. S ‖ **23** κάλλιστε πρόεδρε L: κάλλι[...] πρόεδρε P (lacunam indicavit) καλλιπρόεδρε S e quo falsum LBG lemma ‖ **26** ὄμνυμί – ψυχήν P S: om. L **32** ἐν[1] – ἤθεσιν P S: ἐν ἤθεσιν, ἐν σχήμασιν L ‖ **34** ἕνεκα P S: ἕνεκεν L **35** γελᾶν L S: γελᾶς P

Εἶτα εἰ μὲν ἴδοις τινὰ τῶν ἐν τοῖς θεάτροις, Περικλέα, ἢ Μιλτιάδην τυχόν, Μίθαικον τὸν ἀρτοποιόν ἢ Θεαρίωνα τὸν ὀψοποιὸν ὑποκρινόμενον, οὐ καταγελάσεις τῶν προσωπείων, ἀλλὰ καὶ θαυμάσεις τῆς ὑποκρίσεως καὶ ἀνακαγχάσεις ἡδέως. Εἰ δ' 40 ἐγώ φιλόσοφος ὢν ὑποκριτὴς γέγονα διὰ σέ, καὶ ἀφεὶς τὸ ἐπισκύνιον ἐξεγέλασα πλατὺ ἐπὶ τῆς ὀρχήστρας, οὐκ ἀποδέξῃ τὸ πλάσμα τῆς ἐξουσίας; Ἢ καὶ τοῦτο τραχύ; Καὶ πῶς ἑτέρως ἐρῶ; οὐ γὰρ ἂν ἄλλως γελάσειας.

Οὔ μοι βουλητὸν ἦν καλὴν εἶναι τὴν ἐπαγγελθεῖσαν εἰκόνα, 45 ἵν' ἔχω ὅ τι πρὸς σὲ εἴποιμι· καὶ ἰδών, ὡς ἕρμαιον ἡγησάμην τὴν ἀτεχνίαν, ἵν' ἔχω σκῶψαί σε καὶ προσπαῖξαί σοι, καὶ καλὴν δοῦναι ἐπιστολήν, τὰ σὰ παιδικά.

Μή ποτε οὖν τεχνικῶς ὑποκνίζοις με, ἵνα σοι πολλὰς ἀπὸ τῆς ἐμῆς σκηνῆς κόρας νυμφαγωγήσω; Μὴ τοίνυν φθονήσῃς μοι 50 ἀτέχνων εἰκόνων, ἵν' αὐτὸς λαμβάνῃς ἐντέχνους ἐπιστολάς. Ἀλλ' ἐνθυμοῦ, ποίας οὐκ ἄν σοι μορφώσας γε κόρας ἀποστελῶ.

38–39 Μίθαικον – ὑποκρινόμενον: cf. Plat. Γοργίας 518b4–7 ἐμοῦ ἐρωτῶντος οἵτινες ἀγαθοὶ γεγόνασιν ἢ εἰσὶν σωμάτων θεραπευταί, ἔλεγές μοι πάνυ σπουδάζων, Θεαρίων ὁ ἀρτοκόπος καὶ Μίθαικος ὁ τὴν ὀψοποιίαν συγγεγραφὼς τὴν Σικελικὴν cum Ael. Arist. Πρὸς Πλάτωνα περὶ ῥητορικῆς 86,8 κατὰ Μίθαικον τὸν ἀρτοποιὸν καὶ Θεαρίωνα τὸν ὀψοποιὸν (versio in Paris. gr. 2950 et Vatic. Urb. gr. 123; cf. Malt[5],254–255). cf. Psel. Εἴς τινα κάπηλον γενόμενον νομικόν = Or. min. 14,163, Πρὸς τὸν Σαββαΐτην = Poem. 21,232, et Π 77,25–26 = Π 130,25 ‖ **47–48** ἵν' – παιδικά: cf. Plat. Γοργίας 482a1–4 εἰ μή τις παύσει τὰ σὰ παιδικὰ τούτων τῶν λόγων … ἀλλὰ τὴν φιλοσοφίαν, τὰ ἐμὰ παιδικά et Synes. Cyren. Epist. 138,14–16 ἐπειδὴ γράφειν δύναμαι, θαμὰ τοῦτο ποιῶ … καὶ ἀπολαύω τῶν ἐμῶν παιδικῶν. cf. Psel. Εἴς τινα κάπηλον γενόμενον νομικόν = Or. min. 14,147 ἵνα μὴ περιττὸς δόξω τὰ σὰ παιδικὰ ὑφαρπάζων, Π 76,36 τὰ σὰ παιδικά, Π 105,17–18 τοιαῦτα τὰ ἐμὰ παιδικά, Π 112,84–85 τῶν ἐμῶν παιδικῶν (τοὺς λόγους φημί), Π 113,105–106 τὴν ἐμὴν πάλαι γλῶτταν … τῶν ἐμῶν … παιδικῶν, Π 117,21–22 τὴν ἐμὴν ἐνδείξαιμι γλῶτταν, καὶ ἢ λέξιν ἀποσμιλεύσω, ἢ συναρμόσω περίοδον, ἢ σχεδιάσω ῥητορικὴν μέθοδον, τὰ ἐμὰ παιδικά, Π 176,36–37 τὰ σὰ παιδικά, et Π 223,11–13 ἀπόλαυε τῶν σῶν· εἰ μὲν βούλει, τῶν ἀρχαίων παιδικῶν, ὧν δὴ τὰς ἀρχὰς παρὰ τῆς ἐμῆς γλώττης εἰλήφεις· εἰ δ' οὖν, τῶν νέων τρυφῶν

38 Θεαρίωνα L corr. Malt[5],253–254: Θεωρίωνα P Θεωρίωνα (sic) S **39** ὑποκρινόμενον post corr. L P S: ὑποκριναμένους ante corr. L ‖ **52** γε L: om. P S

Ἀλλὰ μή μου πρὸς τὴν δεσπότιν κατείποις εἰ ἀποστελεῖς τήν (ἀλλὰ πῶς ἄν σοι αὐτὴν γνωριῶ;), τὴν τοῦ ἑκυροῦ, τὴν ἐκ διαθή-
55 κης, τὴν ἐν ᾗ πολλὰ τὰ μορφώματα τὰ κολοσσιαῖα ἐν ὄνυχι; Ἀλλὰ τί ποτε πολλὰ περιπλέκω; Ἐρῶ προδήλως: τὴν δίθυρον· ὁ σὸς πρωτοπρόεδρος, φίλος, ἀδελφός, δοῦλος, διδάσκαλος.

132. [ca. 20 litt.?] Κωνσταντ[ίνῳ(?)...ca. 30/40 litt.]
<Τῷ μεγάλῳ δρουγγαρίῳ κῦρ Κωνσταντίνῳ, τῷ ἀνεψιῷ τοῦ πατριάρχου κῦρ Μιχαήλ?>

ined. [B]

[linea non legitur] / [ca. 7 litt.] περιπτύσσεσθαι ἀσφαλ[ca. 12 litt.] κατ' ἄρθρα [ca. 12 litt.] / [ca. 6 litt.]κ[ca. 5 litt.] τῇ ἀναπαύσει χρῶμαι καὶ [ca. 5 litt.]μὴν διαιρεῖν [ca. 15 litt.] / [ca. 15 litt.] ὑμεῖς δὲ ἀντιθέτου χρᾶσθαι [τοῖς?] γράμμασι [...]αρον[ca. 8 litt.] / [ca. 5
5 litt.]ποντ[...] τὰ διῃρημένα, εἶτα ἀναγινώσκειν χρεών, βαβαὶ τὸν συρφετὸν τῶν [ca. 10 litt.] / [ca. 5 litt. καὶ?] φωνῆς καὶ τῆς

53 τὴν δεσπότιν: uxor Constantini? ‖ **56–57** ὁ – πρωτοπρόεδρος: ad se ipsum refert; cf. Π 214,45–46 ‖ **2–3** κατ' – διαιρεῖν: cf. Psel. Πρὸς τοὺς βασκαίνοντας αὐτῷ = Or. min. 10,78–81 ἐγὼ δὲ ὁρῶ καὶ ἐνίους ὑμῶν, καθ' ὃν εἴωθα τύπον ἐγώ, οὕτω καὶ τὰς πολιτικὰς ὑποθέσεις μεταχειριζομένους, κατ' ἄρθρα μὲν διαιροῦντας καὶ τῶν μερῶν ἕκαστον πρὸς τὸ οἰκεῖον τῆς νομικῆς ἐπιστήμης ἀνάγοντας, ἀλλὰ μὴ ἀναμὶξ πάντα συγχέοντας cum Ἐγκώμιον εἰς τὸν ... Κωνσταντῖνον ... τὸν Λειχούδην = Or. fun. I 2,5,11–13 ἀπὸ τῆς τέχνης ἐπὶ τὴν τέχνην, τῆς ἑκατέρωθεν βαλλούσης τὴν ἐπὶ θάτερον μέρος φέρουσαν, τῆς κατ' ἄρθρα τὸν λόγον τεμνούσης τὴν δεομένην τῆς ἐκεῖθεν τομῆς et 14,5–7 παρεκόμισέ τι ἀγώγιμον ἀπὸ τοῦ πολιτικοῦ βίου πρὸς τὸν ἱερατικόν, τὸ βαθὺ τῆς γνώμης καὶ τὸ διαιρεῖν κατ' ἄρθρα ἕκαστα, et Ἐπιτάφιος εἰς ... Ἰωάννην τὸν Ξιφιλῖνον = Or. fun. I 3,9,9–11 ἐπήβολος δὲ παντοίας φιλοσοφίας ὥσπερ εἰρήκειν γενόμενος, τὰς διαιρέσεις κατ' ἄρθρα ἐποιεῖτο τῶν γνώσεων, ὁμοῦ τε λέγων καὶ σπουδάζων αὖθις περὶ τὰ συγγράμματα. cf. etiam Π 120,12–13

54 τοῦ ἑκυροῦ : τοῦ πενθεροῦ suprascr. L ‖ **55** ἐν ὄνυχι P S: «ἐν ο» cum signo adnotationis quae vacat L ‖ **56** περιπλέκω P S: παραπλέκω L ‖ **56–57** ὁ – διδάσκαλος P S: om. L ‖ **ep. 132** B 218v (text. mut.); tit. (manu post. in 218r): ὧδε ἔγραψε καὶ ἐπιστολὴν πρὸς τὸν δρουγγάριον [ca. 30/40 litt.?] / [...?] εἴτουν κριτὴν καὶ ἀρχιμανδρίτην (sic) τῶν ἀπ[ca. 30/40 litt.?] / [ca. 5 litt.?] δείνωσιν καὶ [διάν]οιαν καὶ τ[ca. 30/40 litt.?] / [...?] μάθημα καὶ [πάθ? ... ca. 30/40 litt.?] / [ἀνα]μάρτητος ἐστιν? [...?] ‖ **5** διῃρημένα dubitanter scripsi

συγχύσεως τῶν ἐννοιῶν· ὁ μὲν γάρ τις ὑμῶν, πρὸς [τι?..ἀνανευ?...] / [σύ]γγραμμα, ὁ δὲ ἀπαιωρεῖ τὴν διάνοιαν, ὁ δὲ ἐπεμβάλλει, ὁ δὲ αἰτιάσε[ται? ca. 6 litt.] / [....]μοι τὰ γράμματα τοῦ [μύθου?] ἔοικε [ca. 10 litt.]ὲ γὰρ κατὰ [.....διέστ?.........] / [ca. 6 litt.]σον ἐκείνῳ 10
μέν, κατ' ἄρθρα [δ?....ν?.....α?...], τὰ δὲ ἐμὰ συγγράμματα [....τ......] / [ca. 3 litt.]ις, στιγμάς, ἐμοὶ τοιγαροῦν κεκ[ca. 8 litt.]ει τὸ ὄνομα, πενθοῦ[ca. 10 litt.] / [σολο]ικισμόν, εἶτα με αἰτιᾶσθε [τὴν] τῶν ὅλων σύγχυ[σιν], ὅτι μὴ τὴν γλῶτταν ἐπέχω [ca. 6 litt.] / [....ἴαμα?] τοῦ λόγου ἀλλ' ὅλην ἐφίημι τὴν ἡνίαν· ἀλλ' εἰ παρὰ 15
τὴν ἐμὴν τῆς [ca. 10 litt.] / [.........τράν?] ἀμβλύτατα τῶν χειρῶν, ἡ τοῦ λόγου σύγχυσις γίνεται· οὐ γάρ μοι ἀ[ρ......σσ..] / [ca. 7 litt.]νται· οὐ γὰρ ὁμιλῶ τῷ [..γ....] ὥσπερ ἀναπνεῖν [ca. 5 litt.] ἀλλὰ κ[αὶ? ca. 6 litt.] / [...ριο..τ..μονὰς?] τὲ πιοῦμαι καὶ δ[ca. 8 litt.]· καὶ ὥσπερ [ca. 8 litt.] συγγράμματα [ca. 8 litt.] / πολλά τήν 20
γ[ε] ὀξυχειρίαν πρὸς τὰ γρα[ca. 7 litt.]σασι· παλιλλογοῦντος τὰ ὑπηγορ[ευμένα ....] / καὶ βρ[α]χὺ διαναπαυομένου τῷ διαστήματι, [ἀ]κριβῆ τὴν [διορισμ?..........] / [τ.τ..? γλυ]κύτης ὑφήρηται νῦν· οὕτω δὴ [........]πάλ[ca. 20 litt.] / [Καρνεά- vel Ἡρώ-]δου τοῦ Ἀθηναίου, καὶ Ἀλεξάνδρου τοῦ Πηλοπλάτωνος [σχε? ca. 20/30 25
litt.] / [.. ὁ]μιλίας ἐώντων, πανταχοῦ διεμηνύθη τὰ συγγράμματα διηκ[ca. 20 litt.] / [.... οὐδαμῶς?] ἀρτίτοκον ὦπται γέννημα· [ca.

15 τοῦ – ἡνίαν: cf. Psel. Κατηγορία τοῦ ἀρχιερέως = Or. for. 1,2459–2460 οὐ βούλομαι τὴν πᾶσαν αὐτῷ ἐφεῖναι ἡνίαν τοῦ λόγου. cf. etiam Philostr. Βίοι σοφιστῶν II,5 (570,25–26) τῇ τοῦ λόγου ἡνίᾳ ἐπιπρέποντες cum Psel. Πρὸς τὸν εἰπόντα μελῳδόν, ὅτι ⟨τὸ⟩ σῶμα κατ' εἰκόνα ... = Theol. II 5,158–159 οἵ τε δάκτυλοι οὐδέν τι τῶν Ἀλεξάνδρου τοῦ Πηλοπλάτωνος ἀποδέουσιν, οἳ δὴ ἀκριβῶς τῇ τοῦ λόγου ἡνίᾳ ἐπέπρεπον ‖ **24–25** [Καρνεά- vel Ἡρώ-]δου τοῦ Ἀθηναίου: cf. Philostr. Βίοι σοφιστῶν I,4 (Carneades) et II,1 (Herodes) cum Psel. Εἰς τὸ 'οὔτε τοῦ πατρὸς ἐκστάντος τῆς ἀγεννησίας' = Theol. I 68,55 (Carneades) et Εἰς τὸ 'ὧν γὰρ τοὺς ἐπαίνους ...' = Theol. I 98,18 (Herodes) **25** Ἀλεξάνδρου – Πηλοπλάτωνος: Philostr. Βίοι σοφιστῶν II,5 (570,9 sqq.) Ἀλεξάνδρῳ δέ, ὃν Πηλοπλάτωνα οἱ πολλοὶ ἐπωνόμαζον etc. cf. Psel. Πρὸς τὸν Σαββαΐτην = Poem. 21,91, Εἰς τὸ θεολογικὸν τὸ 'ταῦτα τοῖς αἰνιγματισταῖς ...' = Theol. I 16,25–26, et Πρὸς τὸν εἰπόντα μελῳδόν, ὅτι ⟨τὸ⟩ σῶμα κατ' εἰκόνα ... = Theol. II 5,158

24 [Καρνεά- vel Ἡρώ-]δου dubitanter scripsi (cf. app. font.)

30/40 litt.] / [ca. 10 litt.] αἱ δὲ μαῖαι ὑμεῖς, διασπαρ(άττετέ) μοι τὰ βρέφη καὶ διαξαίνε[τε..........] / [ca. 5 litt.] τῶν μαιῶν αἳ τὰ βρέφη
30 διασπαράττουσι [....ξ..]σαι τὸ αἷμα [τὸ? ca. 9 litt.] / -στὰς [ca. 6 litt. ἀ]ποτέμνετε, τῶν δὲ τ[ca. 5 litt.] ἐξαρθροῦτε καὶ [ca. 14 litt.] / καὶ τὸν [ca. 8 litt.] κατεσθίετε [ca. 12 litt.] ἐμῷ συγγράμματι, τυφ[ca. 8 litt.] / χω[...], εἶτα δὴ [...] τὴν δημι(ουργίαν) πικρῶς ἐξε[.....]τος, οἱ μὲν τὸν Ἰταλὸν Ἰω(άννην) ἐπαιτιῶνται [οἱ δὲ τὸ] / [Σμυρ]ναῖον
35 μειράκιον, καὶ ἄλλοι τὸν Βυζάντι[ον σο]φιστήν, καὶ τὸν ἐκτομίαν ἕτεροι, εἶτα κοιν[ῶς?.....] / [...δατε?] διομνύμενοι, καὶ παρὰ τοὺς ὑμετέρους ὅρκους, τὸ ἐμὸν διαλελώβηται σύγγρ[αμμα [ca. 6 litt.] / [....] ἐλάττων ἡ φροντίς, εἰ [.....] μεταλλάξαντος, ἴδοι τὸ γέννημα, εἶτα δὴ καὶ τ[ca. 7 litt.] / [...], ἐμὲ τὸν γεννήσαντα τὰ ἴδια, ἀλλ᾽
40 οὐχ ὑμᾶς τὴν μαίωσιν [...?] αἰτιάσεται [ca. 8 litt.] / [...] ταῖς μαίαις αἱ [ca. 6 litt.]κοι τῶν γυναικῶν· διασπαραττόμεναι γὰρ ὑπ᾽ ἐνίων [ca. 6 litt.] / [....νόμεναι?.........]ουσι τοῖν ποδοῖν.

28–29 διασπαράττετέ – διαξαίνετε: cf. Psel. Ἐπιτάφιος εἰς … Ἰωάννην τὸν Ξιφιλῖνον = Or. fun. I 3,6,34–36 ὡς οἱ πολλοί γε νῦν ... οὐ διαιροῦσι τοὺς νόμους, ἀλλὰ σπαράττουσιν, οὐδὲ τέμνουσιν ὡς δεῖ τέμνειν, ἀλλὰ διαξαίνουσι. cf. etiam Π 120,12–13 ‖ **34–35** Σμυρναῖον μειράκιον: cf. Τιμαρίων 589–590 (et passim) τὸν ἐκ Σμύρνης Θεόδωρον, τὸν λαμυρώτατον σοφιστήν? ‖ **35** τὸν[1] – σοφιστήν: cf. Τιμαρίων 1028 et 1123 ὁ Βυζάντιος σοφιστὴς (scil. Psellus)? cf. etiam Philostr. Βίοι σοφιστῶν I,24 (Marcus) et II,11 (Chrestus) |τὸν ἐκτομίαν: cf. Τιμαρίων 1085–1091 παρείπετο δὲ αὐτῷ (scil. Ioann. Ital.) καὶ ἀνδράριον ἡμιάνδριον, ἀνδράποδον δέ, εἰπεῖν οἰκειοτέρως, ἀστικόν, εὐτράπελον μάλα καὶ βωμολόχον, τοῖς συναντῶσιν ἅπασι λοιδορούμενον ἐμμέτρως μέντοι διὰ τῶν ἰάμβων, διάκενον τὴν φρόνησιν καὶ μεγάλα μὲν ὑπισχνούμενον, τὸν δ᾽ ἀμαθῆ ὄχλον ἐξαπατῶν· κἂν ἐντύχῃς αὐτῷ, εὑρήσεις οὐδὲν σοφὸν οὐδὲ χάριεν. ἔοικε δὲ τὸ τοῦ διδασκάλου ἀπομάξασθαι ἦθος?

34 **οἱ**[2] – **τὸ** suppl. Giacomelli | **[Σμυρ]ναῖον** dubitanter scripsi

XXXI. Νικηφόρος, ἀνεψιὸς τοῦ πατριάρχου

γενικός ⟨λογοθέτης⟩ (ca. a. 1065?),
δρουγγάριος τῆς βίγλας (ca. a. 1069?)
cf. etiam Π 107

133. ⟨Νικηφόρῳ⟩ τῷ γενικῷ, τῷ ἀνεψιῷ τοῦ πατριάρχου

S 117 [P]

Μηδὲ τοῦτο ἄνευ γραφῆς. Ἀλλ' ὑμεῖς ὁδῷ βαδίζοντες καὶ γράμμασί με ἀνθομιλεῖν ὑμῖν ἀναγκάζετε· κἂν ἁπλῶς προσφωνήσητε, ἔγγραφον ἀντεπιφώνημα ἀπαιτήσετε. Τοιαύτη τις λιχνεία κατέσχε τὴν ὑμετέραν ψυχὴν περὶ τὰς ἐμὰς ἐπιστολάς. Κἀγὼ δὲ ὥσπερ ὄφλημα ἀποδιδοὺς ἀπαραίτητον, ἑτοίμως 5 παρέχω τὸν λόγον, οὐ χάριν διδούς, ἀλλ' αὐτὸ τοῦτο «ὑπερήμερον χρέος» ἀποδιδούς· καὶ ὥσπερ τι ἐπίσημον γνώρισμα (καθάπερ ἐπὶ τῶν ἀσπίδων ὁ τελευταῖος κύκλος) τῆς ἐμῆς πρὸς ὑμᾶς ἀποστολῆς ἢ ἀφίξεως, ἡ ἐπιστολή· καὶ οὔ φατε γνωριεῖν, οὔτε ἐμὲ ἢν ἀφίξωμαι, οὔτε τινὰ τῶν ἐμῶν ἢν ἀποστελῶ, εἰ μὴ τὸ γράμμα 10 κομίσειε. Διὰ ταῦτα πράγματα ἔχω ἄλλους ἐπ' ἄλλοις λόγους προσυφαίνων ὑμῖν.

Οἱ γοῦν ἀληθεῖς φορολόγοι ὑμεῖς, οὓς ἄν τις εὐφυῶς ἀντιστρέψας καὶ λογοφόρους ἐρεῖ· ἀτεχνῶς γὰρ ἐπὶ πᾶσι τοὺς ἐμοὺς ἐπιφέ-

XXXI cf. Περὶ φιλίας πρὸς τοὺς ἀνεψιοὺς τοῦ πατριάρχου κῦρ Μιχαὴλ = Or. min. 31, et Π 107,20–21, Π 117,83, Π 118,61, Π 118,78–79, et Π 122,54–55. cf. etiam Wassiliou-Seibt 2011 | γενικός – βίγλας: cursus honorum in Wassiliou-Seibt 2011 ‖ **6–7** ὑπερήμερον χρέος: proverbium; cf. Plut. Περὶ τῶν ὑπὸ τοῦ θείου βραδέως τιμωρουμένων 548d11 ‖ **7–8** ἐπὶ – κύκλος: cf. Ael. Arist. Παναθηναϊκός 99,9–12 καὶ ὁ τελευταῖος ὅρος τῆς περὶ γῆν εὐκαιρίας· ὥσπερ γὰρ ἐπ' ἀσπίδος κύκλων εἰς ἀλλήλους ἐμβεβηκότων πέμπτος εἰς ὀμφαλὸν πληροῖ διὰ πάντων ὁ κάλλιστος. cf. Psel. Χρονογραφία VII,24 οὗτοι γὰρ οὖν τὸν κύκλον τῆς ἀσπίδος ἐπλήρουν

ep. 133 U 180r (inc. mut.), P 216v–217r; tit. scripsi: τῷ γενικῷ, τῷ ἀνεψιῷ τοῦ πατριάρχου P S ‖ **5** ab ὄφλημα inc. U ‖ **11** λόγους P S: λόγοις U ‖ **14** ἐρεῖ P S: ἐρῇ U ‖ **14–15** ἐπὶ – ἐπιφέρετε P S: τοὺς ἐμοὺς ἐπὶ πᾶσι φέρετε U

15 ρετε λόγους, ὥσπερ οἱ Πελοπῖδαι τὸν ἐπίσημον ὦμον τὸν ἐλεφάντινον.

Μή ποτε οὖν ὃ δυσχεραίνω φιλῶ, καὶ ὃ λέγω ἀκκισμὸς καὶ οὐ μέμψις ἐστί; Κἂν ψυχὰς εἶχον αἱ πηγαί, ᾔσθησαν ἂν ἐξαντλούμεναι· ὑπεκρίθησαν δὲ ἡδέως τῷ λόγῳ, ὅτι ἐπαχθῶς ἔχουσι τῷ
20 ἀρύεσθαι. Καὶ αὐτὸς γοῦν ἀσμένως τὰς λεκανίδας καὶ τὰς κάλπεις ὑμῶν ἀποδέχομαι· οὐ γὰρ δέδια μὴ ἐπιλείψῃ τὸ νᾶμα· τὸ γάρ τοι ἐμόν, ταῖς τῶν γυναικῶν ἔοικε θηλαῖς (καὶ μή μοι τὸ παράδειγμα ἐπιμέμψαιο· οὐδὲ γὰρ ἀπόβλητον ἔργον τῆς φύσεως).

Πῶς οὖν ἐκείναις αὐτὸ δὴ τὸ γάλα τὸ βλύζον ἐκεῖθεν; Οὐ
25 τοιοῦτόν ἐστιν ἐν ταῖς σαρξὶν ἀλλ' οὐδὲ τοσοῦτον· τὰ δὲ τῶν θηλαζόντων βρεφῶν στόματα ἐκπιέζοντα τὸν μασθὸν καὶ τὸν ἐμπρόσθιον μῦν ἐπιθλίβοντα, ἀνυγραίνουσι τὰς ἐγκατεσπαρμένας ἐν τῷ βάθει νοτίδας καὶ εἰς ῥεῦμα μεταποιοῦσι. Καὶ τεκμήριον ὅτι, ἂν ἐπιλίπῃ τὸ θηλάζον βρεφύλλιον, κατέψυκται ὁ μασθὸς καὶ
30 οὐδαμοῦ τὸ γάλα· φρεωρυχίᾳ γὰρ τὸ πᾶν ἔοικε· κἀκεῖσε γὰρ ἡ διωρυχὴ καὶ τὸ ὕδωρ ἐκθλίβει· οὐδὲ γὰρ ἀναφαίνει (ὥς τινες οἴονται) ἐντεθησαυρισμένον κάτω που τοῖς κοιλώμασιν· ἀλλ' αἱ νοτίδες συνθλιβόμεναι τοῖς ὀρύγμασι, τὰς ἐπιρροὰς ἐπιλείβουσιν.

15–16 οἱ – ἐλεφάντινον: Greg. Naz. Κατὰ Ἰουλιανοῦ στηλιτευτικὸς α´ = Or. 4,70 καὶ τὴν Πέλοπος κρεουργίαν, τὴν φιλόξενον, ἢ φιλόθεον, ἐξ ἧς ἐπίσημοι Πελοπίδαι παρὰ τῶν ὤμων καὶ τοῦ ἐλέφαντος. cf. Ps.-Nonnus Συναγωγὴ ... ἱστοριῶν ... in Greg. Naz. Or. 4, hist. 4 ἡ κατὰ τὴν Πέλοπος κρεουργίαν ... ἅπαν τὸ Πελοπιδῶν γένος ἐκ τούτου ἦν ἐπίσημον, ἐχόντων πάντων ἐν τοῖς ὤμοις τὸν ἐλεφάντινον τόπον (cf. in Greg. Naz. Or. 39, hist. 9) ‖ **18–20** κἂν ψυχὰς ... ἀρύεσθαι: cf. Π 76,15–17 οὐδὲ γὰρ ἡ πηγὴ λέγει τῷ ἐφεστηκότι «ἄνθρωπε πίε μου τῶν ναμάτων» ‖ **31–32** οὐδὲ – κοιλώμασιν: cf. Ioann. Damasc. Ἔκδοσις ὀρθοδόξου πίστεως 23,48–51 στενούμενον δὲ πολλάκις τὸ ὕδωρ καὶ βίᾳ ῥηγνύμενον θερμαίνεται, κἀντεῦθεν τὰ αὐτοφυῆ θερμὰ ἀνάγονται ὕδατα. τῷ οὖν θείῳ προστάγματι κοιλώματα ἐν τῇ γῇ γεγόνασι, καὶ οὕτως εἰς τὰς συναγωγὰς αὐτῶν συνήχθη τὰ ὕδατα ?

15–16 ἐλεφάντινον U: ἐλεφάντιον P S ‖ **17** καὶ^2 P S: ἀλλ' U ‖ **18** ᾔσθησαν U Malt^4,27: ἠσθένησαν P S ‖ **20** ἀρύεσθαι U: ἀρρύεσθαι P S ‖ **21** ἀποδέχομαι U: ὑποδέχομαι P S | οὐ γὰρ U: οὐδὲ γὰρ οὐ P S ‖ **24** ἐκείναις P S: ἐκεῖναι U **26** τὸν μασθὸν U: τοὺς μαστοὺς P S ‖ **27** ἐμπρόσθιον U: ἐμπροάδιον P S ἐγκατεσπαρμένας P S: ἐγκατασπαρμένας U ‖ **29** μασθὸς U: μαστὸς P S **31** διωρυχὴ P S: διορυχὴ U | τὸ om. S | οὐδὲ P S: οὐ U ‖ **33** νοτίδες P S: νοτίδαι U | ἐπιλείβουσιν U: ἐπιβάλλουσιν P S

Οὕτω γοῦν καὶ αὐτὸς τοῖς τῶν ἐμῶν ἐπιστολῶν φρεωρύχοις ὥσπερ τινὰς πίδακας ἀποθλίβω τοὺς λόγους· κἂν μὲν ὀρύττωμαι παρ' 35 ὑμῶν, ἀνυγραίνομαι· ἢν δὲ μή, κατέψυγμαι ἀτεχνῶς.

Ὀρύττετε οὖν οὐ λιθοτομίας, ἀλλὰ τὰ τῶν Φυλιστιαίων φρέατα· οὐ γὰρ ἐπιλείψει ποτὲ ἡ πηγὴ εἰ μὴ πρὸς τὴν διωρυχὴν ὑμεῖς ἀποκάμητε. Ἆρ' οὐκ ἄξια ταῦτα γραφῶν καὶ ὑπογραφῶν; Ναὶ νὴ τὸν γλυκὺν γενικόν! 40

134. ⟨Νικηφόρῳ⟩ τῷ γενικῷ, τῷ ἀνεψιῷ τοῦ πατριάρχου

S 174 [P]

Εἶτα βούλει με κρείττονα εἶναι τοῦ Πυθίου θεοῦ, ἢ Ἄμμωνος, ἢ Ἀμφιάρεω, ἢ τῶν ὅσοι ἀπὸ ταὐτομάτου ἀνέπνευσαν τοὺς χρησμούς; Καὶ μὴν ἐκεῖνοι ἀξύνετα τοῖς πολλοῖς ἔδοξαν φθέγγεσθαι· «καὶ Λοξίας ἐκεῖθεν ὁ Πυθοῖ χρησμῳδὸς» (ἔφησέ τις

34–36 οὕτω – ἀτεχνῶς: cf. Π 60,3–6 εἶτα δὴ ἀγνοεῖς ὅτι ἀκένωτον ἔχω τὸ ῥεῦμα, καὶ ὅσον ἂν ἐκθηλάζοι τις, τοσοῦτον τοὺς πόρους ἀναστομοῖ καὶ τὰς φλέβας εὐρύνει πρὸς τὴν ἐκ βάθους ἀπορροήν; et Papaioannou 2013,228–230 **37–38** τὰ – φρέατα: cf. Greg. Naz. Εἰς ἑαυτὸν = Or. 36,2 μὴ ὀρύσσοντας μόνον φρέατα ζῶντος ὕδατος, ἀλλὰ καὶ φρασσόμενα ὑπὸ τῶν Φυλιστιαίων ἀνακαθαίροντας et Gen. 26,14–18 ‖ **1–2** τοῦ – Ἀμφιάρεω: cf. Psel. Κατηγορία τοῦ ἀρχιερέως = Or. for. 1,425–426 καὶ οἱ μὲν ἐς Ἄμμωνος, οἱ δὲ ἐς Ἀμφιάρεω, οἱ δὲ ἐς Δελφοὺς ἐφοίτω. cf. etiam Π 533,1–2 ‖ **1–2** ἢ[1] – Ἀμφιάρεω: cf. Nic. Chon. Χρονικὴ Διήγησις 448,18 οἱ ἐς Ἄμμωνος πάλαι καὶ Ἀμφιάρεω ἀφικόμενοι ‖ **2–3** τῶν – χρησμούς: cf. Psel. Κατηγορία τοῦ ἀρχιερέως = Or. for. 1,315–317 καὶ ἄνθρωποι δὲ κάτοχοι γίνονται καὶ δέχονται πνεῦμα θεῖον, οἱ μὲν ἐκ ταὐτομάτου καθάπερ οἱ λεγόμενοι θεόληπτοι ‖ **3–4** ἐκεῖνοι – χρησμῳδὸς: Synes. Cyren. Περὶ ἐνυπνίων 3,3,8–9 οὐδὲ τὰ χρηστήρια πᾶσι συνετὰ φθέγγεται, καὶ Λοξίας ἐκεῖθεν ὁ Πυθοῖ χρησμῳδός. cf. Psel. Εἰς τὸ 'ἓν ἔτι μοι λῦσον τῶν αἰνιγμάτων' = Theol. I 55,2–6 αἰνίγματα ... τοιαῦτα γὰρ ἐχρησμῴδει καὶ ὁ Πυθοῖ χρησμῳδὸς λοξὰ πάντα καὶ ἀσαφῆ, ἀφ' οὗ δὴ καὶ τὴν τοῦ Λοξίου ἔσχε προσωνυμίαν

36 ἢν U: ἂν P S ‖ **37** Φυλιστιαίων scripsi: Φυλιστιέων U Φιλιστιέων P S **38** διωρυχὴν P S: διορυχὴν U ‖ **ep. 134** U 145r–v (inc. mut.), P 230r–v, A 46v–47r; tit. scripsi: τῷ γενικῷ, τῷ ἀνεψιῷ τοῦ πατριάρχου P S τῷ ἀνεψιῷ τοῦ πατριάρχου A ‖ **2** ἀπὸ ταὐτομάτου scripsi: ἀπὸ ταυτομάτου A ἀπ' αὐτομάτου P S ‖ **4** φθέγγεσθαι P S: φθεῖσθαι A | Λοξίας P S: Λοξίαν A

5 φιλόσοφος). Εἰ δὲ μὴ αὐτὸς κατειλήφεις τὸ ἐμὸν μάντευμα, κοινόν σοι πρὸς τοὺς Ἀθηναίους γέγονε τὸ ἀτύχημα· κἀκείνοις γὰρ τὸ ξύλινον τεῖχος πρὸς ὅ τι φέρει τὴν διάνοιαν ἀμφισβητήσιμον ἔδοξε· ναρθηκοφόροι γὰρ πολλοί, φίλτατε, βάκχοι δέ τε παῦροι· καὶ ἄφθονος μὲν ἡ νεβρίς, καὶ πολὺς ὁ κιττός, συγκορυβαντιῶσι δὲ 10 ὅσοι τὸ φρονεῖν ἐπὶ τὸ κρεῖττον ἠλλάξαντο.

Τί δὲ μὴ καταιτιᾷ καὶ τὸν Πλάτωνα; Ἐκεῖνος γὰρ τὴν τῆς ψυχῆς οὐσίαν ἑρμηνεῦσαι βουλόμενος, διφρείας τινὰς τῷ λόγῳ ἀνέπλασε, καὶ ἵππους τινὰς ὥσπερ ἐπὶ σκηνῆς δραματουργῆσαι οὐκ ὤκνησε. Τῶν δὲ ἵππων, ὁ μὲν αὐτῶν ἑτερόγναθός τε καὶ 15 λασιόκωφος, καὶ οὐ πάνυ θαρρῶν τὴν ἄνοδον, ὁ δὲ μετεωρίζων τὸν ἀναβάτην καὶ ὑψοῦ μάλα φερόμενος. Καὶ Φαῖδρος ὁ καλὸς οὐκ

5–7 εἰ δὲ μὴ – ἔδοξε: Synes. Cyren. Περὶ ἐνυπνίων 3,3,9–12 ὅ τι τὸ ξύλινον τεῖχος, ὃ τοῖς Ἀθηναίοις ὁ θεὸς ἐδίδου σωτήριον, μάτην ἂν ἤκουσεν ἐκκλησιάζων ὁ δῆμος, εἰ μὴ Θεμιστοκλῆς ἀνέγνω τοῦ χρησμοῦ τὴν διάνοιαν. cf. etiam Herod. 7,141–143 cum Plut. Them. 10 et Psel. Ἕτερος λόγος πρὸς … Κωνσταντῖνον τὸν Μονομάχον = Or. pan. 4,384–386, Λόγος ἐπὶ τῷ ἐν Βλαχέρναις γεγονότι θαύματι = Or. hag. 4,359–360, et Π 59,27–31 et Π 216,36–39 ‖ **8** ναρθηκοφόροι – παῦροι: Plat. Φαίδων 69c8–9 φασιν οἱ περὶ τὰς τελετάς, «ναρθηκοφόροι μὲν πολλοί, βάκχοι δέ τε παῦροι» ‖ **9** ἄφθονος – κιττός: cf. Eurip. Βάκχαι 24–25 νεβρίδ᾽ ἐξάψας χροὸς / θύρσον τε δοὺς ἐς χεῖρα, κίσσινον βέλος et Φοίνισσαι 791 οὐδ᾽ ὑπὸ θυρσομανεῖ νεβρίδων μέτα †δινεύεις cum Lucian. Διόνυσος 1,10–11 κιττῷ ἐστεμμέναι, νεβρίδας ἐνημμέναι; cf. etiam Suda ν 125 νεβρίς: κισσωτὴν στέρνοις νεβρίδ᾽ ἀναπτομένη et Π 122,37 | συγκορυβαντιῶσι: vox Platonica (Φαῖδρος 228b7 ἕξοι τὸν συγκορυβαντιῶντα); cf. Synes. Cyren. Epist. 139,23 (οὐκ ὄντος τοῦ συγκορυβαντιῶντος) et Suda σ 1297; cf. Psel. Κατηγορία τοῦ ἀρχιερέως = Or. for. 1,636 et Π 111,23 ‖ **14** ἑτερόγναθός: cf. CPG II 424 (nr. 3); cf. Psel. Χρονογραφία VII,58 et Ἐμβραδυνάντων τῶν μαθητῶν τῇ τῆς σχολῆς ξυνελεύσει = Or. min. 22,42–44 et Π 28,57, Π 59,22, Π 287,10, et Π 516,46 **16** Φαῖδρος – καλὸς: cf. Psel. Κατηγορία τοῦ ἀρχιερέως = Or. for. 1,243–244 ὁπόσα ἐκεῖνος τὸν καλὸν Φαῖδρον ἐσχηματίσατο et Λόγος εἰς … τὸν Μονομάχον = Or. pan. 2,21 οὐ τοῦ καλοῦ Φαίδρου τὰς ἐρωτικὰς ὁμιλίας. cf. etiam Herm. In Phaedr. 223,17–18 «καλλίπαιδα δέ»: ἢ αὐτὸν τὸν Φαῖδρον καλὸν παῖδα ⟨ὄντα⟩ ‖ **11–18** τὸν – προσείκαζε: cf. Plat. Φαῖδρος 245e3-4 ψυχῆς οὐσίαν τε καὶ λόγον τοῦτον αὐτόν τις λέγων οὐκ αἰσχυνεῖται, 246a6–b4 ἐοικέτω δὴ συμφύτῳ δυνάμει ὑποπτέρου ζεύγους τε καὶ ἡνιόχου …

7 τι A: ὃ P S ‖ **8** τε A: τοι P S ‖ **9** νεβρίς scripsi: νευρίς P A S | συγκορυβαντιῶσι P S: συγκορυβαντίουσι A ‖ **12** διφρείας P S: διφρίας A ‖ **16** ὁ καλὸς P S: καλῶς A

ἐδυσχέραινε τὴν ἐξήγησιν, ἀλλ' ἐδέχετο πράως τὸν λόγον, καὶ τὰς ὁμοιώσεις ταῖς ἀληθείαις προσείκαζε.

Τοιοῦτον γὰρ τὸ φιλόσοφον χρῆμα: ἢ ἐχέμυθον πάντη καὶ μυστηριῶδες, ἢ συμβολικὸν καὶ ὑπὸ φαύλοις παραπετάσμασί τε 20 καὶ σχήμασι τὰ τῆς σοφίας κρύπτον ἀπόρρητα. Διὰ ταῦτα τοῖς ἀρχαίοις φιλοσόφοις θεολογοῦσι, πατέρες, καὶ δυνάμεις, καὶ νοῖ, τριαδικαί τε ἴυγγες, καὶ τελετάρχαι, καὶ κοσμαγοὶ τῷ λόγῳ παρελαμβάνοντο. Ἀριστοτέλης δὲ ἄρα παρηνόμησεν εἰς τὴν

καὶ πρῶτον μὲν ἡμῶν ὁ ἄρχων συνωρίδος ἡνιοχεῖ, εἶτα τῶν ἵππων ὁ μὲν αὐτῷ καλός τε καὶ ἀγαθὸς καὶ ἐκ τοιούτων, ὁ δ' ἐξ ἐναντίων τε καὶ ἐναντίος, 253d1–254e9 … ὁ μὲν τοίνυν αὐτοῖν … τό τε εἶδος ὀρθὸς καὶ διηρθρωμένος, ὑψαύχην … κελεύσματι μόνον καὶ λόγῳ ἡνιοχεῖται … ὁ δ' αὖ περὶ ὦτα λάσιος, κωφός, μάστιγι μετὰ κέντρων μόγις ὑπείκων … τὸν μὲν ἑκόντα διὰ τὸ μὴ ἀντιτείνειν, τὸν δὲ ὑβριστὴν μάλ' ἄκοντα, et 257b6–c2 {ΦΑΙ.} … τὸν λόγον δέ σου πάλαι θαυμάσας ἔχω, ὅσῳ καλλίω τοῦ προτέρου ἀπηργάσω, cum Psel. Ἐξήγησις τῆς Πλατωνικῆς ἐν τῷ Φαίδρῳ διφρείας τῶν ψυχῶν καὶ στρατείας τῶν θεῶν = Phil. min. II 7, Πρὸς τοὺς λέγοντας μὴ εἶναι φύσει χρηστὸν τὸν ἄνθρωπον· ἐλέχθη δὲ ὁ τοιοῦτος λόγος αὐτοσχεδίως = Phil. min. II 17 (83,29–84,7), et etiam Χρονογραφία IV,36 et VI,13, et Π 23,17–20, Π 95,40–42, Π 116,28–29, Π 214,22–23, Π 474,19–22, et Π 492,65–66; cf. etiam Π 284,49
19–20 ἐχέμυθον – μυστηριῶδες: cf. e.g. Iambl. Προτρεπτικός 106,5–7 κατὰ τὴν νενομοθετημένην αὐτοῖς ὑπὸ Πυθαγόρου ἐχεμυθίαν μυστηρίων. cf. Π 121,41–42, Π 145,22, et Π 146,46 ‖ **21–24** τοῖς – παρελαμβάνοντο: cf. Psel. Ἔκθεσις … τῶν παρὰ Χαλδαίοις δογμάτων = Phil. min. II 39, Ὑποτύπωσις … τῶν παρὰ Χαλδαίοις ἀρχαίων δογμάτων = Phil. min. II 40, Ἔκθεσις … τῶν παρ' Ἀσσυρίοις δογμάτων = Phil. min. II 41, et Theol. I 23a (cum app. font.); cf. etiam Psel. Ἑρμηνεία περὶ τῶν εἰκοσιτεσσάρων στοιχείων … πρὸς … Ἰωάννην τὸν λιβελλίσιον = Phil. min. I 36,104–109, Ἐκ τοῦ πρώτου λόγου τοῦ Περὶ υἱοῦ, εἰς τὸ 'τρεῖς αἱ ἀνωτάτω δόξαι περὶ θεοῦ' = Theol. I 23,33–55, Εἰς τὸ 'πῶς δὲ οὐκ ἐν τόπῳ πάντως' = Theol. I 51,84–98, et Ἐπιτάφιος εἰς … Ἰωάννην τὸν Ξιφιλῖνον = Or. fun. I 3,24,3–14 ‖ **24–26** Ἀριστοτέλης – ἀσάφειαν: locus neoplatonicus communis; cf. e.g. Simplic. In Cat. 6,30–32 οὐ μὴν οὐδὲ μύθοις οὐδὲ συμβολικοῖς αἰνίγμασιν, ὡς τῶν πρὸ αὐτοῦ τινες, Ἀριστοτέλης ἐχρήσατο, ἀλλ' ἀντὶ παντὸς ἄλλου παραπετάσματος τὴν ἀσάφειαν προετίμησεν cum e.g. Olympiod. Εἰς τὰ προλεγόμενα τῆς λογικῆς 12,16–17, Elias, In Cat. 125,1–2, 126,27–28, et 127,1–2 etc. cf. Psel. Εἰς … Κωνσταντῖνον τὸν Ξιφιλῖνον, ἀξιώσαντα αὐτὸν μεταβαλεῖν τὸ … Ὄργανον ἀπὸ τοῦ ἀσαφοῦς ἐπὶ τὸ σαφές = Phil. min. I 5

17 ἐδυσχέραινε P S: ἐδυσφόρει A ‖ **18** προσείκαζε P S: προσῆκε A ‖ **22** καὶ νοῖ P S: κοιναί A ‖ **24** ab [πα]ρελαμβάνοντο inc. U | εἰς U A: ἐς P S

25 ἐπιστήμην, καὶ τῶν σχημάτων ἀφέμενος, προὐστήσατο τὴν ἀσάφειαν;

Οὐχ ὁρᾷς δὲ οἵα καὶ ἡ καθ' ἡμᾶς φιλοσοφία ἐστίν, εἴτε τὴν Ἑβραίων ἂν εἴποι τις, εἴτε τὴν παντελῶς ἡμετέραν; Ἐκεῖ μὲν γὰρ νεομηνίαι καὶ σάββατα, καὶ ὁ ἑπτὰ ἀριθμὸς πληθυνόμενος, 30 σποδός τε δαμάλεως καὶ τὸ πολὺ τοῦ αἵματος τῇ βάσει τοῦ θυσιαστηρίου ἐπιχεόμενον, χίμαρός τε ἀποπομπαῖος καὶ θυόμενος ἅτερος, κίδαρίς τε καὶ ταινία καὶ δήλωσις, καὶ τἆλλα ὅσα τὸν ἱερέα κοσμοῦσιν. Ἐνταῦθά τε λουτρὰ καὶ καινὰ θύματα, προσαγωγαί τε κατὰ λόγον καὶ τακτοὶ πρόοδοι· αἱ δὲ τῶν ἀοράτων εἰκόνες·

29 νεομηνίαι – σάββατα: IV Reg. 4,23, I Esdr. 5,52, Paralip. 23,31; cf. Psel. Ἐπιτάφιος εἰς … Ἰωάννην τὸν Ξιφιλῖνον = Or. fun. I 3,20,55 |ὁ – πληθυνόμενος: cf. e.g. Lev. 23,15–32 ‖ **28–29** ἐκεῖ μὲν – πληθυνόμενος: cf. Psel. Σύντομοι ἀλληγορίαι τῶν παρὰ τοῖς Ἰουδαίοις νομίμων τε καὶ ἐθῶν = Theol. I 110 **30** σποδός – δαμάλεως: Num. 19,9–10; cf. Psel. Πρὸς τοὺς ἐρωτήσαντας πόσα γένη τῶν φιλοσοφουμένων λόγων = Phil. min. I 3,188 ‖ **30–31** τὸ – ἐπιχεόμενον: Exod. 29,12; cf. Psel. Ἑρμηνεία περὶ τῶν εἰκοσιτεσσάρων στοιχείων … πρὸς … Ἰωάννην τὸν λιβελλίσιον = Phil. min. I 36,513, Theol. I 8a,39–40, ⟨Εἰ⟩ς τὰ ὑποκείμενα ῥητὰ τοῦ ἑπτακαιδεκάτου ψαλμοῦ = Theol. I 73,205 et 215 **31–32** χίμαρός – ἅτερος: Lev. 5–10 ‖ **32** κίδαρίς: Exod. 28,4 (cum 31 et 39) cum Zach. 3,4–5. cf. Psel. Ἀπολογητικὸς ὑπὲρ τοῦ Φιλιππουπόλεως Λαζάρου καθαιρεθέντος = Or. for. 2,579–580 et Περὶ τῆς κιβωτοῦ τοῦ μαρτυρίου … = Theol. I 109,46 et 50 et II 162,35–36 |δήλωσις: Exod. 28,30, Lev. 8,8, et I Esdr. 5,40 ‖ **32–33** κίδαρίς – κοσμοῦσιν: cf. Psel. Περὶ τῆς κιβωτοῦ τοῦ μαρτυρίου … = Theol. I 109,35–53 ‖ **33** λουτρὰ: cf. Tit. 3,5 διὰ λουτροῦ παλιγγενεσίας cum Psel. Εἰς τὸ ῥητὸν τοῦ Ἰὼβ … 'καὶ ὁ διάβολος παρέστη … = Theol. I 32,173 et II 185,40 |καινὰ θύματα: cf. e.g. Psel. Λόγος εἰς τὴν σταύρωσιν = Or. hag. 3a,601 et Εἰς τὴν τῆς Ἁγίας Σοφίας σύμπτωσιν = Or. min. 35,34 **33–34** προσαγωγαί – λόγον: cf. Rom. 5,2, Eph. 2,18 et 3,12 cum Psel. e.g. Χρονογραφία VI,159 τὴν δι' αἰνέσεως, λογικῆς τε προσαγωγῆς, καὶ ἐξομολογήσεως et Σύντομοι ἀλληγορίαι τῶν παρὰ τοῖς Ἰουδαίοις νομίμων τε καὶ ἐθῶν = Theol. I 110,40–41 θυσίας δὲ οἶδεν ὁ λόγος τὴν τῶν παθῶν σφαγὴν καὶ τὴν τῶν φυσικῶν δυνάμεων προσαγωγήν ‖ **34** τακτοὶ πρόοδοι: cf. Psel. Ἐπιτάφιος εἰς … Ἰωάννην τὸν Ξιφιλῖνον = Or. fun. I 3,20,61–62 τακταί τινες πρόοδοι ἐξάγουσι τοῦ μεγάλου τεμένους τὸν ἀρχιερέα

25 καὶ U P S: ὃς A ‖ **28** γὰρ U P S: om. A ‖ **30** τὸ U A: om. P S ‖ **31** χίμαρός P S: χείμαρός U A ‖ **33** κοσμοῦσι A ‖ **34** κατὰ : κατὰ τὸν prop. Ana[2],78

ἀλλὰ τούτων οἷα τὰ σύμβολα; μίτρα, καὶ σφαῖρα, καὶ πτέρωσις. 35
Εἶτα ἑτεροδοξεῖν αὐτὸς ἔμελλον καὶ ἐναντιοῦσθαι τοῖς ὑποδεί-
γμασι, καὶ ταῖς Ἑρμογενείαις τέχναις ὑπάγεσθαι;

Σὺ μὲν οὖν ἴσως φιλοσοφίαν ἐπίστασαι καὶ ῥητορικήν, τὸ δ' ἐξ
ἀμφοῖν σύνθετον ἀγνοεῖς. Ἔστι δέ, ὦ λῷστε, καὶ φιλοσοφία
ῥητορική, καὶ ῥητορεία φιλόσοφος, θάτερον δὲ μέρος πολιτικόν 40
(φασιν οἱ πολλοί). Καὶ πάλαι μὲν οὕτως εἶχεν ἡ μίξις, ὥσπερ δὴ
καὶ τὸ βασίλειον ἱεράτευμα· καὶ εὐδαίμονες οἱ τότε καιροί.

35 σφαῖρα: cf. Psel. Περὶ τοῦ διὰ τί εἰσιν οἱ ἄγγελοι πτερωτοὶ καὶ ἐστεμμένοι καὶ ἀνθρωπόμορφοι καὶ σφαῖραν ἐν ταῖς χερσὶ φέροντες = Theol. II 38 |πτέρωσις: cf. Psel. Ἐπιτάφιος εἰς … Ἰωάννην τὸν Ξιφιλῖνον = Or. fun. I 3,23,54 ἡ πολυειδὴς πτέρωσις ‖ **37** ταῖς – ὑπάγεσθαι: cf. Π 18,20–22 οὐκ ἀποδέχονται εἴ τι παρὰ ⟨τὴν⟩ τοῦ Ἑρμογένους τέχνην φθέγξομαι· βούλονται γάρ με ἕλκεσθαι τῆς ῥινός, ἀφ' ὧν οὗτος ἐποίησεν, καὶ αὐτοὺς ἐφέπεσθαι ‖ **39** ὦ λῷστε: cf. e.g. Plat. Γοργίας 467b11 etc.; iunctura saepe in Psello laudata ‖ **40** καὶ – φιλόσοφος: cf. Dion. Halicarn. Περὶ τῶν ἀρχαίων ῥητόρων 1,7–8 ἡ ἀρχαία καὶ φιλόσοφος ῥητορικὴ et Π 18,16 ‖ **40–41** καὶ – πολλοί: cf. e.g. Troilus Προλεγόμενα τῆς ῥητορικῆς Ἑρμογένους 47,10–29 … διαφέρει τοίνυν ἡ πολιτικὴ φιλοσοφία τῆς ῥητορικῆς … etc.; cf. Π 18,17 ῥητορικὴν … τὴν πολιτικὴν ‖ **39–41** ἔστι δέ – πολλοί: cf. Π 125,97–99 οὕτω δὴ κἀγὼ τῇ ῥητορικῇ τὴν φιλοσοφίαν συντίθημι, καὶ πρὸς ἀμφοτέρας δι' ἀμφοτέρων ἁρμόζομαι, Π 126,103–105 καὶ δίδου ἐξ ἑκατέρων κρατήρων παρὰ μέρος ἀρρύεσθαι, ἣν μὴ βούλῃ τοῦτον, ἢ νοῦν ἔχειν ἄγλωττον παρὰ μόνην φιλοσοφίαν, ἢ γλῶτταν ἄνουν παρὰ μόνην ῥητορικήν, Π 280,43–50 καὶ βουλοίμην ἂν τῇ φιλοσοφίᾳ παραρριπτεῖσθαι, ἢ ἐν σκηνώμασι τῆς ῥητορικῆς κατοικεῖν, ἀλλ' οὐκ οἶδ' ὅπως, θάτερον διώκων, ὑπὸ θατέρου κατείλημμαι καί, φιλοσοφίαν κοσμοῦντα, ἡ τέχνη κοσμεῖ. καὶ προκάθημαι μὲν τῶν δυεῖν τούτων κόσμων καὶ μεθόδων, ἀλλὰ πρὸς μὲν τὴν ἀφοσιοῦμαι, τὴν δὲ πρεσβεύω· καί, βαδίζοντι πρὸς τὴν ἐλαίαν καὶ τὴν συκῆν καὶ τὴν ἄμπελον, ἡ ἐρινεὸς καὶ βάτος μοι περιπέπλεκται· ἅτινα δὴ αἱ τῶν ἐμῶν λόγων εἰσὶν ἀδιήγητοι χάριτες. cf. etiam Papaioannou 2013,29–50 ‖ **42** βασίλειον ἱεράτευμα: Exod. 19,6 et 23,22 cum I Petr. 2,9; cf. Psel. Κατηγορία τοῦ ἀρχιερέως = Or. for. 1, 1537 et Λόγος εἰς τὴν σταύρωσιν = Or. hag. 3a,480–481

36 ἔμελον A ‖ **39** φιλοσοφία U A: φιλοσοφίας P S ‖ **40** ῥητορεία P S: ῥητορία U A

Ὄλοιντο δὲ Λυσίαι καὶ Πῶλοι καὶ Καλλικλεῖς! ἐκεῖθεν γὰρ διῳκίσθη τὰ γένη τῶν λόγων, καὶ τὸ μὲν περὶ νοῦν, τὸ δὲ περὶ γλῶσσαν
45 εὐδοκιμεῖ.

Ἐγὼ δέ, οὐκ οἶδα μὲν ὅστις εἰμί, εἴτε φιλόσοφος, εἴτε τι ἄλλο, ζῷον ἴσως Τυφῶνος πολυπλοκώτερον. Ἐργάζομαι δὲ οὐ τὴν πάνδημον ῥητορικήν, οὐδὲ τὴν θεατρικὴν καὶ ἀκόλαστον (μηδὲ γὰρ ἐξορχησαίμην ταύτῃ ποτὲ τὰ τῆς φιλοσοφίας ἀπόρρητα),
50 ἀλλὰ τὴν οἰκουρόν τε καὶ σώφρονα, ἥτις ἐπειδάν τι λάβῃ παρὰ τοῦ νοῦ, καταστέλλει τοῦτο (πῶς ἂν εἴποις;) κοσμίως ταῖς λέξεσι, τὰς μὲν προκαταστάσεις καὶ προδιοικήσεις τοῦ λόγου «ἰδέας»

43 ὄλοιντο δὲ Λυσίαι (vel Γοργίαι [cf. app. crit.]?) καὶ Πῶλοι καὶ Καλλικλεῖς: cf. Plat. Γοργίας cum Olympiod. In Gorg. passim. cf. etiam Psel. Εἰς τὸ ʻὧν γὰρ τοὺς ἐπαίνους …ʼ = Theol. I 98,15–16 οὐ γὰρ τοὺς περὶ Γοργίαν καὶ Πῶλον ἐζήλωκα et Π 146,24–25 οὐ Γοργιάζουσα, οὔτε μὴν Ἱππιάζουσα, οὔτε τὰ τοῦ Πώλου φρυαττομένη ‖ **46–47** ἐγὼ – πολυπλοκώτερον: Plat. Φαῖδρος 230a3–6 σκοπῶ οὐ ταῦτα ἀλλʼ ἐμαυτόν, εἴτε τι θηρίον ὂν τυγχάνω Τυφῶνος πολυπλοκώτερον καὶ μᾶλλον ἐπιτεθυμμένον, εἴτε ἡμερώτερόν τε καὶ ἁπλούστερον ζῷον, θείας τινὸς καὶ ἀτύφου μοίρας φύσει μετέχον cum e.g. Suda τ 1227. cf. Π 201,72–73 et Π 254,40; cf. etiam Papaioannou 2013,176–178 ‖ **47–48** τὴν – ῥητορικήν: Synes. Cyren. Epist. 1,3 (cf. etiam Περὶ βασιλείας 1,3); cf. etiam Psel. Ἐπιτάφιος εἰς … Ἰωάννην τὸν Ξιφιλῖνον = Or. fun. I 3,10,6 ‖ **47–50** ἐργάζομαι δὲ – σώφρονα: cf. Dion. Halicarn. Περὶ τῶν ἀρχαίων ῥητόρων 1 … ἡ μὲν ἀρχαία καὶ φιλόσοφος ῥητορικὴ … ἑτέρα δέ τις ἐπὶ τὴν ἐκείνης παρελθοῦσα τάξιν, ἀφόρητος ἀναιδείᾳ θεατρικῇ καὶ ἀνάγωγος καὶ οὔτε φιλοσοφίας οὔτε ἄλλου παιδεύματος οὐδενὸς μετειληφυῖα ἐλευθερίου … παραπλησίαν ἐποίησε γενέσθαι τὴν Ἑλλάδα ταῖς τῶν ἀσώτων καὶ κακοδαιμόνων οἰκίαις. ὥσπερ γὰρ ἐν ἐκείναις ἡ μὲν ἐλευθέρα καὶ σώφρων γαμετὴ κάθηται μηδενὸς οὖσα τῶν αὑτῆς κυρία, ἑταίρα δέ τις ἄφρων ἐπʼ ὀλέθρῳ τοῦ βίου παροῦσα πάσης ἀξιοῖ τῆς οὐσίας ἄρχειν, σκυβαλίζουσα καὶ δεδιττομένη τὴν ἑτέραν· τὸν αὐτὸν τρόπον … ἀπελάσασα τῶν κοινῶν … ἡ ἀμαθὴς τὴν φιλόσοφον καὶ ἡ μαινομένη τὴν σώφρονα. cf. Π 28,32–34 εἶτα οἴει τὸν τῆς δημώδους ταύτης ῥητορικῆς ἐπιστήμονα, τῆς πολυτελοῦς τε καὶ θεατρικῆς, τῆς ἀφελοῦς καὶ λιτῆς καὶ τῆς σεμνοτάτης κατισχύσειν φιλοσοφίας ‖ **52** προκαταστάσεις – προδιοικήσεις: cf. Ps.-Hermog. Περὶ εὑρέσεως 2,1,1 et passim cum Psel. Σύνοψις τῆς ῥητορικῆς … πρὸς τὸν αὐτὸν βασιλέα [scil. Mich. Duc.] = Poem. 7,129–139, cf. Π 236,20–22 et Π 376,48 ἰδέας: formas Hermogenis significat?

43 ὄλοιντο P S: ὄλλοιντο U ὤλλοντο A | Λυσίαι : an Γοργίαι scribendum? (cf. app. font. cum Jou[2]) ‖ **44** γλῶσσαν U A: γλῶτταν P S ‖ **49** ταύτῃ ποτὲ U A: ποτὲ ταύτῃ P S ‖ **51** εἴποις P S: εἴποις τοῦτο U A

καλοῦσα, τὴν ἔκθεσιν δὲ «δημιούργημα», καὶ ὃ μὴ θαρρεῖ «ἐποχήν».

Ἀλλ' ὁρᾷς ὅπως με πέπεικας ἀναπετᾶσαί σοι τὸ καταπέτασμα 55 καὶ κοινωνῆσαι τῆς τελετῆς; Ἀλλὰ μήπω τοῦτο, ἵνα σε μᾶλλον μυωπίσω πρὸς τὸ ποθούμενον· ἐπικεκαλύφθω γὰρ καὶ αὖθις ὁ πίθος ἵνα μὴ καὶ ἡ ἐλπὶς οἴχηται· οὐδὲ οἱ μάντεις τοὺς χρησμοὺς ἑρμηνεύουσιν, οὐδὲ τὸ μέτρον τῶν σφαιρῶν οἱ φωστῆρες. Οὐχ ὁρᾷς; καὶ τὸ πρῶτον αἰθέριον σῶμα κύκλος ἐστί. Τί δηλοῦντος τοῦ 60 σχήματος; ἵνα μένῃ ὁ τοῦ παντὸς λόγος τοῖς πολλοῖς ἀνεκφοίτητος.

53–54 ὃ – ἐποχήν: cf. Sext. Empir. Πυρρώνειαι ὑποτυπώσεις 1,10,5–6 'ἐποχὴ' δέ ἐστι στάσις διανοίας δι' ἣν οὔτε αἴρομέν τι οὔτε τίθεμεν. cf. Suda ε 2824 ἐποχή: πρῶτος Πύρρων ἀκαταληψίας καὶ ἐποχῆς εἶδος εἰσήγαγεν. cf. Π 72,23–24 ‖ **55** ἀναπετᾶσαί – καταπέτασμα: cf. Psel. Περὶ τῶν ψαλμῶν πρὸς τὸν … Μιχαὴλ τὸν Δούκαν … = Theol. II 1,17–18 ἔγωγ' οὖν ἀναπτύσσων ἤδη τὰ τέως ἐγκείμενα τοῖς πολλοῖς καὶ ἀναπεταννὺς τὰ καταπετάσματα **56–57** ἵνα – ποθούμενον: cf. Plat. Νόμοι 731e5–6 τυφλοῦται γὰρ περὶ τὸ φιλούμενον ὁ φιλῶν, cf. CPG II 777 (nr. 30) et Π 170,13–14; cf. etiam Plat. 255d4–6 οἷον ἀπ' ἄλλου ὀφθαλμίας ἀπολελαυκὼς πρόφασιν εἰπεῖν οὐκ ἔχει, ὥσπερ δὲ ἐν κατόπτρῳ ἐν τῷ ἐρῶντι ἑαυτὸν ὁρῶν λέληθεν et Π 58,45–46 εἶδες ἐν κατόπτρῳ τὸ σὸν πρόσωπον, Π 118,74–76 ὥσπερ οἱ τὰς ἀκτῖνας τῶν ὄψεων ἀσθενεῖς δο[κοῦ]σί τι πρόσωπον ἔξωθεν ὁρᾶν ἀτενές, ὁρῶσι δὲ οὐκ ἄλλό τι ἢ τὸ οἰκεῖον ἀνταnaκλώμενον, et Π 170,28–29 ὀφθαλμιῶν πρὸς ἡμᾶς ταῖς τῆς φιλίας ὑπερχύσεσιν ἢ προσχύσεσιν ‖ **57–58** ἐπικεκαλύφθω – οἴχηται: Hes. Ἔργα καὶ ἡμέραι 94–98 ἀλλὰ γυνὴ χείρεσσι πίθου μέγα πῶμ' ἀφελοῦσα / ἐσκέδασ', ἀνθρώποισι δ' ἐμήσατο κήδεα λυγρά. / μούνη δ' αὐτόθι Ἐλπὶς ἐν ἀρρήκτοισι δόμοισιν / ἔνδον ἔμεινε πίθου ὑπὸ χείλεσιν οὐδὲ θύραζε / ἐξέπτη. cf. Psel. Ἀλληγορία τοῦ παρ' Ὁμήρῳ Ἰθακησίου ἄντρου = Phil. min. I 45,54–61 et Π 117,27–28 et Π 269,52–53 ‖ **60–62** τὸ – ἀνεκφοίτητος: cf. Herm. In Phaedr. 117,10 πρῶτον μὲν τῶν σωμάτων τὸ αἰθέριον σῶμα et Ioann. Philop. Περὶ ἀϊδιότητος κόσμου 492,5-493,24 ποία δὲ ὅλως ἀνάγκη δι' αὐτὸ μόνον τὸ κύκλῳ κινεῖσθαι τὸν οὐρανὸν etc.

55 με U A: μοι P S ‖ **58** πίθος U: πόθος P S πῦθος A

Ἀπολλοφάνης δὲ ὁ φιλόσοφος ἐς Ἄμμωνος γεγονώς, κατὰ γῆς ἔδυ ἵν' εὕροι ὁποῖον τὸ τοῦ Σωκράτους δαιμόνιον. Σοὶ δ' οὐδέν τι
65 τοιοῦτον πέπρακται· ἀλλ' οὔπω τοι τὰ προσκήνια, οὐδὲ προήγνευσαι, οὐδὲ δᾳσὶ καὶ θείῳ τῶν καθαρσίων τετύχηκας. Εἶτα τοὺς τῆς σελήνης ἀναμετρεῖς φωτισμούς; Ἁγνεύθητι πρότερον, εἶτα μυήθητι· περιρραντίσθητι, καὶ οὕτως ἐντὸς τοῦ ἀδύτου γενοῦ. Τί δέ σοι καὶ ἡ λεγομένη περίοδος, καὶ τὸ πολυειδὲς τῶν σχημάτων,
70 καὶ τὸ κυκλίον τοῦ ἐνθυμήματος; Ὀρχήματα ταῦτα καὶ ὑπορχή-

63–64 Ἀπολλοφάνης – δαιμόνιον: fontem non inveni, sed cf. Plut. Περὶ τοῦ Σωκράτους δαιμονίου 590a–592f Τίμαρχος ... ποθῶν γνῶναι τὸ Σωκράτους δαιμόνιον ἣν ἔχει δύναμιν, ἅτε δὴ νέος οὐκ ἀγεννὴς ἄρτι γεγευμένος φιλοσοφίας, ἐμοὶ καὶ Κέβητι κοινωσάμενος μόνοις εἰς Τροφωνίου κατῆλθε δράσας τὰ νομιζόμενα περὶ τὸ μαντεῖον. ἐμμείνας δὲ δύο νύκτας κάτω καὶ μίαν ἡμέραν, τῶν πολλῶν ἀπεγνωκότων αὐτὸν ἤδη καὶ τῶν οἰκείων ὀδυρομένων, πρωὶ μάλα φαιδρὸς ἀνῆλθε· προσκυνήσας δὲ τὸν θεόν, ὡς πρῶτον διέφυγε τὸν ὄχλον, διηγεῖτο ἡμῖν θαυμάσια πολλὰ καὶ ἰδεῖν καὶ ἀκοῦσαι ... etc. ‖ **66** δᾳσὶ – τετύχηκας: Lucian. Φιλοψευδὴς ἢ ἀπιστῶν 12 θείῳ καὶ δᾳδὶ καθαγνίσας τὸν τόπον ‖ **66–67** τοὺς – φωτισμούς: cf. e.g. Geminus Astron. Εἰσαγωγὴ εἰς τὰ φαινόμενα 9 Περὶ σελήνης φωτισμῶν **67–68** ἁγνεύθητι – γενοῦ: cf. Philo Περὶ τῶν Χερουβίμ 95–96 ἄχρι τῶν ἀδύτων ... ἔξω περιρραντηρίων cum Greg. Nys. Εἰς τὴν προσευχήν, Λόγος γ´ 246,1–2 ἐπειδὰν εἰς τὸ ἄδυτον εἰσάγῃ προσευξόμενον τῷ θεῷ τὸν ἱερέα, πρῶτον μὲν καθαρσίοις τισὶ καὶ περιρραντισμοῖς ἀφαγνίζει τὸν εἰσιόντα et etiam Elias (olim David) In Cat. 121,8–9 τὰ μὲν περιρραντηρίοις καὶ θειώσεσιν ἔοικε, τὰ δὲ προτελείοις καὶ αὐταῖς ταῖς μυήσεσι. cf. Psel. Χρονογραφία VI,45 ἡ πρόδρομος χάρις τῆς γλώττης προτέλεια ἐκείνῳ καὶ περιρραντία τῶν ἐμῶν ἀδύτων ἐγένετο, Psel. Περὶ χαρακτήρων συγγραμμάτων τινῶν 49,21–23 ἐπὶ τῶν τελετῶν· ἐκεῖ μὲν γὰρ τὰ προτέλεια καὶ τὰ περιρραντήρια πρότερον, εἶτα τὸ ἐς τὰ ἄδυτα διαβῆναι, et Π 79,16–17 εἴσω τῶν περιρραντηρίων γενέσθαι, ἢ καὶ αὐτοῦ παρὰ τοῖς ἀδύτοις καταπετάσμασιν, et etiam Π 275,25–26 οὐδὲ περιρραντηρίων ἢ καθαρσίων ἠξίωται. cf. etiam Πρὸς τὸν πατριάρχην κῦρ Μιχαὴλ περὶ τοῦ ὅπως ποιητέον χρυσόν 32,19–21 ‖ **69–70** ἡ – ἐνθυμήματος: Dion. Halicarn. Isocr. 12,12–14 τῆς μέντοι ἀγωγῆς τῶν περιόδων τὸ κύκλιον καὶ τῶν σχηματισμῶν τῆς λέξεως τὸ μειρακιῶδες οὐκ ἐδοκίμαζον. cf. etiam Π 163,9–10 τὰ περινενοημένα σχήματα, καὶ αἱ περιτταὶ περίοδοι, καὶ τὸ κυκλίον τῶν ἐνθυμημάτων ‖ **69** τὸ – σχημάτων: Dion. Halicarn. Thuc. 24. cf. Π 185,2–3 ‖ **70–71** ὀρχήματα – ὑπορχήματα: cf. Psel. Χρονογραφία VI,138 οὐκ ὀρχήματα, οὐχ ὑπορχήματα

63 Ἄμμωνα A ‖ **64** εὕροι U A: εὕρῃ P S ‖ **65–66** οὐδὲ προήγνευσαι U A: om. P S ‖ **66** δασεῖ A ‖ **70** κυκλίον U: κυκλικὸν P S κύκλιον A ‖ **70–71** ὑπορχήματα U A: ὑπερορχήματα P S

ματα ἐπὶ πανδήμου ὀρχήστρας δεικνύμενα, ἀσπούδαστα πάντα καὶ παίγνια, καὶ γλώττης τρυφώσης χλιδαί.

Καὶ ταῦτα μὲν ἐς τοσοῦτον. Ὃν δὲ εἰργασάμην σοι λόγον, εἰ μέν τι καινὸν ἔχει καὶ τῷ ὄντι φιλόσοφον, ἀθέατον τοῦτο τοῖς πολλοῖς ἐφυλάξατο· ὃ δὲ προβάλλεται σχῆμα, κατάλληλόν ἐστι 75 τοῖς ἀκουσομένοις· εἰ δέ που καὶ γλαφυρὰν ποιεῖται διήγησιν, καὶ διανοίας ἅπτεται μείζονος, ἀλλὰ καὶ τοῦτο μετρίως παρανομεῖ. Εἰ δέ τίς ἐστι παρὰ τοῖς μονασταῖς κριτικὴ ἀκοὴ καὶ ἐλλόγιμος, βούλει δὲ καὶ αὐτός, μετεωρήσωμεν τὸν λόγον εἰς ὅσον εἰκός. Τοῦτο μὲν γὰρ ἴσως, ἡμέτερον· ὃ δὲ γεγράφαμεν τέως, ἀλλότριον. 80

135. Τῷ δρουγγαρίῳ καὶ αὐταδέλφῳ αὐτοῦ (scil. Κωνσταντίνου) κυρῷ Νικηφόρῳ

ex Cappadociae, aestate 1069, militiis ab Romano IV *Diogene inceptis; eodem tempore ut Π 118? ante Π 119? ante Π 23*

Malt 17 [B], Z-L 1 [B]

Περιττὴ μὲν ἴσως ἡ παροῦσα ἐπιστολή, δρουγγάριε μέγιστε καὶ ἀνεψιὲ φίλτατε, ἀρκούσης τῆς πρὸς τὸν ἀδελφὸν ἀμφοτέροις· ἵνα δὲ μὴδ' ἐκεῖνος τὸ πλέον ἔχοι, μηδὲ μεγαλαυχοίη τῷ ἐπιγράμματι, ὥσπερ δή σοι ταύτην ἐξιδιάζω, ἵν' ἔχοιτε τὰ παρ'

78 κριτικὴ – ἐλλόγιμος: cf. Psel. Ἐγκώμιον εἰς τὸν Μεταφραστὴν ... = Or. hag. 7,261–262 τῷ μὲν γὰρ ῥυθμῷ καὶ τῷ κάλλει τῆς λέξεως τὸν ἐλλόγιμον ἀκροατὴν ἐφειλκύσατο. cf. etiam Synes. Cyren. Epist. 74,1-2 ἡ κριτικωτάτη τῶν ἀκοῶν et Π 173,71–72 πληρῶ πᾶσαν ἀκοήν, ἐλλόγιμόν τε δῆμον καὶ ἄσοφον ‖ **79** μετεωρήσωμεν – λόγον: cf. Psel. Κατηγορία τοῦ ἀρχιερέως = Or. for. 1,1262–1263 οὐδὲ τὸν λόγον εἰς ὕψος ἐπῆρα, μετεωρίσας οἷς οἶδε μετεωρίζεσθαι. iunctura Pselliana in Eustath. Thess. Sermo 14 (229,6–7) μετεωρίσω τὸν λόγον εἰς τὸ Μωσαϊκὸν ὕψιστον τέλος et Mich. Chon. Epist. 173,102–103 καὶ πρὸς τὸ ἄναντες μετεωρίσας τὸν λόγον πλατωνικῶς laudata? ‖ **ep. 135** αὐτοῦ: τὸν ἐπὶ τῶν κρίσεων καὶ σεβαστὸν τὸν ἀνεψιὸν τοῦ πατριάρχου κῦρ Μιχαὴλ (Π 127,tit. et Π 128,tit.); cf. epistolarum Π 127, Π 128, et Π 135 ordinem in B

72 γλώσσης A ‖ **73** σοι U A: om. P S ‖ **79** μετεωρήσωμεν U A: μετεωρήσομεν P S ‖ **80** γεγράφαμεν P S: γράφαμεν U γράφομεν A ‖ **ep. 135** B 164v–165r; tit. scripsi: τοῦ αὐτοῦ τῷ δρουγγαρίῳ καὶ αὐταδέλφῳ αὐτοῦ κυρῷ Νικηφόρῳ B Z-L τῷ Νικηφόρῳ Κηρουλαρίῳ Malt ‖ **4** ταῦτα Malt

5 ἐμοῦ γράμματα κοινά τε ἀλλήλοις καὶ ἴδια καὶ παράλληλα.

Ἀλλὰ τίνα τὰ παρ' ἐμοῦ πρὸς ὑμᾶς; Πῶς ὑμῖν τὰ παρὰ τῶν κρατίστων βασιλέων μετὰ τὴν ἐμὴν ἀποδημίαν; Εἴη μὲν οὖν παντὸς εὐμενέστερα καὶ λαμπρότερα. Εἰ δ' οὖν, ἀλλ' ἐπὶ τοῦ αὐτοῦ σχήματος καὶ ἐπὶ τὸ ἔλαττον ἀναλλοίωτα· καὶ οἰστέον ὑμῖν
10 γενναίως, φίλοι, τὰ συμπτώματα, καὶ μηδὲν ὑμᾶς τῶν καθηκόντων μετακινοίη λόγων καὶ λογισμῶν. Ὅλῳ μὲν γὰρ καὶ παντί, οὐκ ἄν τις τῶν πάντων διευτυχήσειεν, ὡς τοῖς ξύμπασιν εὐτυχεῖν· ἀναμὶξ δὲ ἔχειν τὰ ἐναντία καὶ παρὰ μέρος τῆς ἀνθρωπίνης εὐτυχίας ἐστίν· ὅτῳ δὲ πλείω τὰ κάλλιστα καὶ τὰ μέγιστα,
15 ἐλάττω δὲ τὰ ἀντίθετα, οὗτος δὲ ὁ τῆς ἄκρας εὐτυχίας ἐπήβολος.

Ἐμοὶ γοῦν δοκεῖ οὕτως ἔχειν ὑμῖν τὰ πράγματα· καὶ αἱ τῆς τύχης χεῖρες εἰς ὕψος ὑμᾶς ἄρασαι, τοῖς μὲν ἀντίχειρσι δακτύλοις καὶ λι[χαν]οῖς καὶ μέσοις καὶ παραμέσοις περιεδράξαντο, καὶ ἑκατέρωθεν συμπαλαμήσασαι τῶν γλουτῶν, ῥᾳδίως ἡδράσαντο,
20 τοῖς δὲ μικροῖς καὶ τελευταίοις δακτύλοις οὐ πάνυ τι συμπεριέλαβον. Ὃ γοῦν καταπεφρονήκασιν ὑμῶν, τοῦτο καταπεφρόνησθε, ἵνα μὴ ἐν τοῖς ἀλλοτρίοις δακτύλοις ἀλλὰ κἀπὶ τοῖς οἰκείοις ποσὶν ἑδράζοισθε. Τοῦτο δὲ τί ἐστιν; ἵν' οἷς παρ' ἑτέρων οὐ συνέχοισθε οὐδὲ θαρσοίητε ἐφ' ἑτέραις δυνάμεσι, σύννοι ἐφ' ἑαυτῶν εἴητε, καὶ
25 τὴν οἰκείαν ἰσχὺν πρὸς ἀλλήλους συλλέγοιτε.

Ἀλλ' ὁρῶ τὸν χρυσοῦν μοι δρουγγάριον, ὑπέρασθμον γεγονότα τῷ γράμματι καὶ οἷον ἱδρῶτι ῥαινόμενον, καὶ δεόμενον ἐλευθερωτέρας ἀναπνοῆς. Διὰ ταῦτά μοι καὶ μεθαρμοστέον τὸν λόγον, καὶ τῇ ἐθάδι γλώττῃ ὁμιλητέον ὑμῖν.

30 Τίνα γοῦν ἐπιτραπέζια πρὸς ἀλλήλους ὑπομνήματά τε καὶ διηγήματα; Ποίων δὲ καὶ τῶν ἐμῶν λόγων μέμνησθε; Πότερον τῶν τῆς σπουδαιοτέρας μερίδος, ἢ ὅσα τῆς ἱλαρᾶς παιδιᾶς, ἢ παρὰ μέρος ἀμφοῖν; Καὶ τίνα μᾶλλον προχειριστέον ὑμῖν; Ὡς ἔγωγε

6–7 τῶν – βασιλέων: Michael VII Ducas (Π XIX) et frater eius Constantinus (cum Eudociae matre eorum) ‖ **19** συμπαλαμήσασαι: vox Synesiana; cf. Synes. Cyren. Περὶ βασιλείας 18,16 συμπαλαμήσομαι. cf. Π 128,69 συμπαλαμησάμενος

6 τίνα : τί Malt ‖ **14** ἐστίν : καὶ Z-L ‖ **18** λιχανοῖς suppl. Z-L Malt **19** ἡδράσαντο B Z-L: ἐδράξαντο corr. Malt ‖ **20** πάνυ Malt: †τάν† Z-L **20–21** συμπεριέλαβον corr. Z-L: συμπεριέλαβεν B Malt ‖ **21** ὑμῶν corr. Malt: ὑμῖν B Z-L ‖ **26** ὑπεράσθμιον Malt

βουλοίμην ἂν φιλοσοφεῖν μετ' ἀ[λλ]ήλων καὶ σὺν ἀλλήλοις! Εἰ δ' ὁ καιρὸς ἄλλως ἐπιτρέπει (συντείνει δὲ τοῦτον ὁ χρυσοῦς [Ἰα]σί- 35 της), καὶ φιλολογεῖν μᾶλλον ἢ [θεολο]γεῖν, καὶ εἰ σὺν τέχνῃ ταῦτα γίνοιτο, οὐ πόρρω ποιητι[κῆς] ἐστιν ἔξεω[ς]. Γυμναστέον δὲ τὸν λόγον μάλιστα [ca. 6 litt. εἶ]δος τῆς ὑποκρίσεως ἐπὶ ταῖς θεατρικωτέραις [ca. 5 litt.] καὶ τοῖς φαυλοτέροις πράγμασιν, ὅπως ἐν [τοῖς] ἐλάττοσιν ἐθισθέντες, ἀρκοῦσαν ἔχοι[τε τὴν] 40 παρ[α]σκευὴν ἐν τοῖς μείζοσιν.

Ὁ γοῦν ἐρεθιζόμενος Σκύθης καὶ ἡ ἐρεθίζουσα τοῦτον ἐπὶ [τὴν] πρᾶξιν δέσποινα, ἁπλῶς μὲν ἐννοῆσαι εὐτελὲς πρᾶγμα, καὶ ὃ ἄν τις αἰσχυνθείη εἰ[σάγειν]. Εἰ δ' ἠρέμα τις προαγάγοι τὴν ἐρωμένην ἐπὶ τὴν ἐξαγγελίαν τοῦ ἀπορρήτου [καὶ τὸν ἀργυρ]ώνη- 45 τον διευλαβούμενον στήσειε, κἀκείνην ἐπαγομένην αὐτὸν ἐπὶ τὴν

35–36 ὁ[2] – Ἰασίτης: (Leon?) Iasites (Π XXIII) ‖ **42–48** ὁ γοῦν ἐρεθιζόμενος – παίδευσιν: cf. Dion. Halicarn. Περὶ συνθέσεως ὀνομάτων 3,74–84 ἔστι δὴ παρὰ τῷ Ἡροδότῳ βασιλεύς τις Λυδῶν, ὃν ἐκεῖνος Κανδαύλην ⟨καλεῖ, Μυρσίλον δὲ⟩ καλεῖσθαί φησιν ὑφ' Ἑλλήνων, τῆς ἑαυτοῦ γυναικὸς ἐρῶν, ἔπειτα ἀξιῶν τινα τῶν ἑταίρων αὐτοῦ γυμνὴν τὴν ἄνθρωπον ἰδεῖν, ὃ δὲ ἀπομαχόμενος μὴ ἀναγκασθῆναι, ὡς δὲ οὐκ ἔπειθεν, ὑπομένων τε καὶ θεώμενος αὐτήν—πρᾶγμα οὐχ ὅτι σεμνὸν ἢ καλλιλογεῖσθαι ἐπιτήδειον, ἀλλὰ καὶ παιδικὸν καὶ ἐπικίνδυνον καὶ τοῦ αἰσχροῦ μᾶλλον ἢ τοῦ καλοῦ ἐγγυτέρῳ· ἀλλ' εἴρηται σφόδρα δεξιῶς, καὶ κρεῖττον γέγονεν ἀκουσθῆναι λεγόμενον ἢ ὀφθῆναι γινόμενον cum Z-L p. 28

34 ἀλλήλων suppl. Malt Z-L ‖ **35** ὁ[2] : [.] Z-L ‖ **35–36** [Ἰα]σίτης scripsi (cf. Π 283,19–20 ἐνθυμοῦμαι τὴν ἱλαρὰν τοῦ Ἰασίτου ψυχήν, τοὺς ἡδεῖς γέλωτας): [..]σίτας B [...]σιτ[...] Z-L Malt σύσσιτος dubitanter prop. Malt (in app. crit.) **36** θεολογεῖν dubitanter scripsi: [ca. 5/6 litt.]γεῖν B Malt [φιλοσοφ]εῖν suppl. Z-L γνωμολογεῖν prop. Malt (in app. crit.) | τέχναις Z-L ‖ **37** ποιητικῆς suppl. Malt: ποιητι[...] B ποιητ[...] Z-L ποιητ[ικ...] dubitanter prop. Z-L (in app. crit.) | ἕξεως suppl. Malt: ἐξευ[...] Z-L ἐξευ[ρεῖν] dubitanter prop. Z-L (in app. crit.) ‖ **38** καὶ τὸ εἶδος suppl. Malt (in app. crit.) ‖ **38–39** ταῖς θεατρικωτέραις B Malt: τοῖς θεατρικωτέροις dubitanter prop. Z-L (in app. crit.) **39** θεατρικωτέραις πλοκαῖς prop. Malt (in app. crit.) ‖ **40** τοῖς suppl. Z-L Malt ‖ **40–41** ἔχοιτε τὴν παρασκευὴν suppl. Malt: ἔχοι[τε] παρ[α]σκευὴν suppl. Z-L ‖ **42–43** ἐπὶ τὴν suppl. Malt: πρ[ὸς τὴν] suppl. Z-L ‖ **44** εἰσάγειν suppl. Malt (in app. crit.) : ε[ἰπεῖν] suppl. Z-L (in app. crit.) ‖ **45–46** καὶ τὸν ἀργυρώνητον suppl. Z-L prop. Malt (in app. crit.) ‖ **46** στήσειε scripsi: στήσει B Z-L Malt

τοῦ μύσους τελείω[σι]ν, [ἴσως] παιδιάν τινα ἐντεῦθεν σχοίη πρὸς τὴν ποιητικὴν παίδευσιν.

Τῷ γοῦν Λυσίᾳ ὁ λόγος [τὰ] μὲν ἄλλα οὐ πόρρω που τείνει
50 τῆς ἀφελείας, ἠθοπεποίηται δὲ ὡς οὐκ ἄλλος, καὶ τὸ τυχὸν αὐτῷ λο[γ]ίδιον [ἐνεψύ]χωται ἀτεχνῶς, καὶ τὸ λελυμένον τοῦ χαρακτῆρος δέδεται ἀκριβῶς. Διὰ ταῦτα γοῦν [μετὰ τὸν] Δημοσθένην εὐθὺς οἱ χαρακτηρίσαντες τὸν ἄνδρα ἐκεῖνον ἱστῶσιν.

Ἀλλ' ἐκεῖνος μὲν ἴσως [ψ]υχὴν ἐμοῦ μᾶλλον ἐκτίθησι τοῖς
55 ἰδίοις συγγράμμασιν. Ἐγὼ δὲ τὴν ζῶσαν ὁμιλίαν νοερωτέραν ἐκείνου ποιοῦμαι κατὰ πολύ. Κἂν δέῃ με τὸν †Σάσσον† θεατὴν τῆς ἱπποδρομίας ποιῆσαι, ἐμψύχως τοῦτον ἐπὶ τοῦ θεάτρου καθίσω, οὐδὲν δὲ ἧττον καὶ τὸν Κρινίτην ὑποκριθήσομαι, παρεγκλίνας τὴν κεφαλὴν καὶ τὴν ἁρμονίαν παραλύσας τοῦ σώματος.

60 Ἔστω οὖν ὑμῖν ταῦτα ὑπομνήματα μὲν τῆς ἐμῆς φιλίας, μετὰ δὲ τὴν γενναίαν φιλοσοφίαν καὶ τοὺς ἐκ ταύτης λόγους, ἐπιδείπνια καρυκεύματα.

136. Πρὸς τὸν αὐτόν

Τῷ δρουγγαρίῳ καὶ αὐταδέλφῳ αὐτοῦ κυρῷ Νικηφόρῳ

Malt 18 [B], Z-L 2 [B]

Ἀπέστειλά σοι ἰατρόν, ἠγαπημένε μοι ἄνθρωπε, φλεβοτομεῖν

49–52 τῷ γοῦν Λυσίᾳ – δέδεται ἀκριβῶς: Dion. Halicarn. De Lysia 8 ἀποδίδωμί τε οὖν αὐτῷ καὶ τὴν εὐπρεπεστάτην ἀρετήν, καλουμένην δὲ ὑπὸ πολλῶν ἠθοποιΐαν. ἁπλῶς γὰρ οὐδὲν εὑρεῖν δύναμαι παρὰ τῷ ῥήτορι τούτῳ πρόσωπον οὔτε ἀνηθοποίητον οὔτε ἄψυχον … . καὶ συντίθησί γε αὐτὴν (scil. τὴν λέξιν) ἀφελῶς πάνυ καὶ ἁπλῶς, … καὶ δέδεται τὸ λελυμένον cum Ἐπιτάφιος εἰς Νικήταν μαΐστωρα τῆς σχολῆς τοῦ ἁγίου Πέτρου = Or. fun. I 4,8,5–6 et Papaioannou 2013,109–113

47 τελείωσιν ἴσως παιδιάν suppl. Malt: τελείω[σι]ν [ματαιοσ]πουδίαν dubitanter suppl. Z-L ‖ **49** τὰ suppl. Z-L Malt ‖ **51** λογίδιον suppl. Z-L: λέ[ξε]σιν suppl. Malt | ἐνεψύχωται suppl. Malt (in app. crit.): [ἐψύ]χωται suppl. Z-L ‖ **52** δέδηται Malt | μετὰ τὸν suppl. Z-L: ὑπὲρ τὸν suppl. Malt (in app. crit.) ‖ **54** ψυχὴν suppl. Z-L Malt ‖ **56** †Σάσσον† scripsi: †Σώσσον† Z-L Σᾴνσον Malt; an Βάσσον scribendum? ‖ **57** τῆς ἱπποδρομίας dubitanter prop. Z-L (in app. crit.): τῆς ἱπποδρόμου B Z-L τοῦ ἱπποδρόμου dubitanter prop. Z-L (in app. crit.) Malt ‖ **ep. 136** B 165r; tit. B Z-L: τῷ αὐτῷ Malt

δυνάμενον οὐκ ἀνθρώπους μόνον, ἀλλὰ καὶ κτήνη καὶ ξύλα, καὶ μάλιστα ταῦτα διότι ἀφόβως ἐπιχειρεῖ, καὶ ὑποβάλλει τὸ τῆς φλεβοτομίας ὄργανον. Τοῦτο δέ σοι προλέγω καὶ διαμαρτύρομαι: μὴ φλεβοτομηθείης ποτὲ παρ' αὐτοῦ, μήτε ἄλλως ἰατρευθείης· 5 τοσαύτην γὰρ ἔχει δύναμιν ἡ ἐπιβολὴ τῆς χειρὸς αὐτοῦ, ὥστε ἀναιρεῖν αὐτίκα τὸν ἰατρευόμενον· καὶ τὸ δὴ θαυμασιώτερον: ὅτι καὶ δρῦν ἐὰν πειραθῇ τεμεῖν αὐτίκα ψυγήσεται.

Περὶ τίνα οὖν ὠφέλιμός ἐστι καὶ περὶ ἃ μάλιστα ἐσπούδασε; μεσι[τεῦσαι] Βάραγγον, ἐξελᾶσαι χωρία, ἀπαιτῆσαι διπλοῦν τὸν 10 κανόνα, συκοφαντῆσαι, ἱεροσυλῆσαι. Τὰ μ[ὲν] τοῦ ἰατροῦ τοιαῦτα. Σὺ δὲ ἀντίθες τὰ ἐναντία: ἐλέησον, ὠφέλησον, εἰ μὲν δυνατόν, μονοκάβαλλον, εἰ δὲ μή, πεζὸν καὶ ἀνυπόδετον, ἐμοὶ διδοὺς τὴν χάριν.

XXXII. ⟨Ἰσαάκιος⟩ Κομνηνός (ca. a. 1007 – a. 1060) βασιλεύς (1.IX.1057 – 22.XI.1059)

137. Πρὸς τὸν βασιλέα ⟨Ἰσαάκιον⟩ τὸν Κομνηνόν

a. 1057 – a. 1059

K-D 215 [B, P-K²], P-K² 1 [Y]

Φιλανθρωπότατε δέσποτά μου καὶ βασιλεῦ, προφητικώτατά μοι διέλυσας τὸ ἀπορούμενον τῆς ψυχῆς, καὶ τὴν ἀποχρῶσαν καὶ

XXXII cf. Psel. Χρονογραφία VII,4–92, Πρὸς τὸν βασιλέα τὸν Κομνηνὸν κῦρ Ἰσαάκιον περὶ καλανδῶν, νόννων καὶ εἰδῶν = Poem. 18, Στίχοι τοῦ Ψελλοῦ εἰς τὸν Κομνηνὸν λεγόντων τινῶν, ὡς ἐν τῷ Αὐγούστῳ μηνὶ τελευτᾷ = Poem. 19, Τοῦ Ψελλοῦ εἰς τὸν τάφον τοῦ Κομνηνοῦ τοῦ βασιλέως = Poem. 20, et Π 1,14, Π 40,31, Π 41,tit., Π 41,9, Π 111,107, Π 116,53–54, Π 143,17–18, Π 157,67, Π 177,31, Π 210,123, Π 364a,11–12, Π 365,6–7, Π 368,20, Π 375,15, Π 389,8, Π 390,tit., Π 390,28, et Π 391,tit. cf. etiam Varzos 1984,41–47

10 μεσιτεῦσαι suppl. Malt | χωρία B Z-L: χωρίων corr. Malt **13** μονοκάβαλλον Malt: μονοκάβαλον B Z-L ‖ **ep. 137** Y 118r–v, B 184r–v; tit. scripsi: πρὸς τὸν βασιλέα τὸν Κομνηνόν· τοῦ αὐτοῦ B πρὸς τὸν βασιλέα τὸν Κομνηνὸν [τοῦ αὐτοῦ] K-D τοῦ αὐτοῦ [scil. Pselli] Y P-K² ‖ **1** προφητικώτατε P-K²

ἀληθεστάτην παραμυθίαν εἰσήνεγκας, τὰ περικεχυμένα σοι
πράγματα αἰτιασάμενος τῆς πρὸς μὲ σιγῆς· ἐθαύμαζον γὰρ
5 πολλάκις κατ' ἐμαυτόν, τί ποτέ μοι σιγᾷ τὸ ἔνθεον κράτος σου, τί
μὴ τῆς διὰ γραμμάτων ὁμιλίας καταξιοῖ, ἐπεὶ τῆς κατὰ
πρόσωπον καὶ ἀμέσου ἐστέρημαι· μή που ἠθέτημαι; μή που
μεμίσημαι; μή που καταπεφρόνημαι, ὁ μὴ δούς ποτε πρόφασιν ἢ
μίσους ἢ ἀθετήσεως ἢ καταφρονήσεως; καὶ οἶδε θεὸς καὶ μετὰ θεὸν
10 σύ, ὁ κριτικώτατος ἐνθυμήσεως, καὶ εἰς βάθη καρδίας ὁρῶν.

Τί δὲ οἴει, δέσποτά μου καὶ βασιλεῦ; Ἀπαθῶς ἤνεγκα τὴν
γραφήν, τὴν ὄντως μελισταγῆ καὶ μελίρρυτον, καὶ ἣν ἂν δάκτυλος
θεοῦ μόνος ὑπερενέγκοιτο; οὔμενουν· ἀλλὰ τῷ πλήθει διαχυθεὶς
τῆς χαρᾶς, οὐκ εἶχον τὰ δάκρυα κατασχεῖν. Πεφιλημένος ἐγώ σοι
15 τῷ θεοπροβλήτῳ καὶ θεοκυβερνήτῳ βασιλεῖ, ὁ «ὀδωδὼς κύων»,
ἵνα τὰ τοῦ Δαυῒδ φθέγξωμαι ῥήματα. Ἀλλὰ καὶ μελισταγής σοι ἡ
ἐμὴ γλῶττα λελόγισται, ἡ ἁλμυρά τε καὶ ἄποτος, καὶ τῆς σῆς
δεομένη χειρός, ὥστε γλυκύτητος μετασχεῖν. Καὶ ὁ πεποθημένος

9–10 καὶ[1] – ὁρῶν: Hebr. 4,12 ὁ λόγος τοῦ θεοῦ ... κριτικὸς ἐνθυμήσεων καὶ ἐννοιῶν καρδίας ‖ **12–13** δάκτυλος θεοῦ: cf. Exod. 31,18 ἔδωκεν Μωυσεῖ ... πλάκας λιθίνας γεγραμμένας τῷ δακτύλῳ τοῦ θεοῦ, locus saepe laudatus, cf. Greg. Naz. Εἰς τὸ ἅγιον βάπτισμα = Or. 40,45, et Psel. Λόγος εἰς ... τὸν Μονομάχον = Or. pan. 2,791 et Περὶ τῆς κιβωτοῦ τοῦ μαρτυρίου ... = Theol. I 109,67–69 ‖ **15–16** ὁ – ῥήματα: cf. Prov. 26,11 ὥσπερ κύων ὅταν ἐπέλθῃ ἐπὶ τὸν ἑαυτοῦ ἔμετον καὶ μισητὸς γένηται et etiam II Reg. 9,8 καὶ προσεκύνησεν Μεμφιβοσθε καὶ εἶπεν [scil. ad David] «Τίς εἰμι ὁ δοῦλός σου, ὅτι ἐπέβλεψας ἐπὶ τὸν κύνα τὸν τεθνηκότα τὸν ὅμοιον ἐμοί;»? cf. Π 38,69–70 ‖ **16–18** ἡ – μετασχεῖν: Exod. 15,23–25 ἦλθον δὲ εἰς Μερρα καὶ οὐκ ἠδύναντο πιεῖν ἐκ Μερρας, πικρὸν γὰρ ἦν· ... ἐβόησεν δὲ Μωυσῆς πρὸς κύριον· καὶ ἔδειξεν αὐτῷ κύριος ξύλον, καὶ ἐνέβαλεν αὐτὸ εἰς τὸ ὕδωρ, καὶ ἐγλυκάνθη τὸ ὕδωρ. cf. Psel. Ἐγκώμιον εἰς ... Νικόλαον μοναχὸν ... = Or. fun. I 10,13,3–5, Λόγος τοῦ ὑπερτίμου ὃς ἐπικέκληται σελέντιος = Or. min. 4,160, Πρὸς τοὺς ἐρωτήσαντας πόσα γένη τῶν φιλοσοφουμένων λόγων = Phil. min. I 3,164–166, Ἑρμηνεία περὶ τῶν εἰκοσιτεσσάρων στοιχείων ... πρὸς ... Ἰωάννην τὸν λιβελλίσιον = Phil. min. I 36,552–553, Π 13a,12–13, et Π 390,39–40. cf. etiam Psel. Ἀλληγορία τοῦ 'οἱ δὲ θεοὶ πὰρ Ζηνὶ ...' = Phil. min. I 42,3–15; cf. etiam Π 13b,18–19

5 σιγᾷ Y P-K[2] K-D: σιωπᾷ B ‖ **6** διὰ γραμμάτων Y P-K[2] K-D: διὰ τῶν γραμμάτων B ‖ **12** ἂν B K-D: om. Y P-K[2] ‖ **13** οὐμενοῦν K-D ‖ **15** τῷ – βασιλεῖ B K-D: om. Y P-K[2] | κυρίου P-K[2]

σὺ τῷ θεῷ τοὺς ἐμοὺς λόγους ποθεῖς, καὶ ὁ ὑπὲρ πᾶσαν ἀνθρωπί-
νην φύσιν καὶ χωρὶς τοῦ βασιλικοῦ ἀξιώματος διὰ τὴν ἀγχίνοιαν 20
καὶ τὴν σύνεσιν ἐν λόγῳ καὶ φροντίδι καὶ τὴν ἐμὴν βραχεῖαν
γνῶσιν πεποίησαι. Καὶ τοσοῦτόν μοι καταβαίνεις ἀπὸ τῆς ὑψηλο-
τάτης ἀκρότητος, ὥστε μὴδ' ἔχειν μετρῆσαι τῆς καταβάσεως τὸ
διάστημα.

Τίνα σοι ἀντὶ τούτων ἐγὼ προσενέγκοιμι; Ποίαν εὐφημίαν 25
ἀρκοῦσαν; Ποῖα ἀποχρῶντα ἐγκώμια, ὁ μόνος ἐγὼ τῶν πάντων
ἀνδρῶν εὐτυχέστερος, τῷ τῆς σῆς προσπαθείας τυχεῖν, καὶ
πάντων δὲ (εἰπεῖν) ἀτυχέστερος, τῷ μὴ λόγον ἔχειν ἀρκοῦντα
πρὸς ἀντιμέτρησιν; Τὸ μέντοι γράμμα τοῦ κράτους σου οὐκ ἐν
στήθεσι μόνον ἕξω, ὥσπερ ἐκέλευσας, ἀλλὰ καὶ ἐν ψυχῇ καὶ ἐν 30
αὐτῇ σορῷ ᾗπερ ταφήσομαι. Ὑπὲρ ἐλπίδας καὶ προσδοκίας
ἁπάσας τοιαῦτα τὰ παρὰ τοῦ κράτους σου πρός με. Εἰ δὲ καὶ
μέχρι τῆς ἐμῆς τελευταίας πνοῆς τοιαῦτά μοι διαφυλάξεις, ἢ καὶ
μετὰ τὸν ἐμὸν θάνατον ἐν τοῖς ἐμοῖς διατηρήσεις τὴν εὔνοιαν, καί
μου τὴν μνήμην ἕξεις ἐν τῇ ψυχῇ, καὶ τοῦτο τύχης δῶρον καὶ 35
κρεῖττον εὐχῆς. Εὐχὴν δέ σοι εὔξασθαι βούλομαι, ἀδύνατον μέν,
ἀλλὰ φιλτάτην ἐμοὶ καὶ ἀναγκαίαν τῷ κόσμῳ: μὴ ἀποθάνοις
ποτέ, ἀλλὰ βασιλεύοις ἀεί.

19–20 ἀνθρωπίνην B P-K² K-D: ἀνθρωπίνη Y ‖ **20** ἀγχίνοιαν P-K² K-D: ἀχίνοιαν Y B ‖ **21–22** τὴν² – γνῶσιν Y K-D P-K²: τὴν ἐμὴν γνῶσιν τὴν βραχεῖαν B ‖ **26–27** τῶν – εὐτυχέστερος Y K-D P-K²: καὶ πάντων ἀνδρῶν δυστυχέστερος B ‖ **28** ἀτυχέστερος Y K-D P-K²: ἀτυχέστατος B | ἔχειν Y K-D P-K²: om. B ‖ **29** κράτουσου Y ‖ **32** τοιαῦτα Y K-D P-K²: om. B ‖ **33** τελευταίας B K-D: om. Y P-K² | πνοῆς – διαφυλάξεις Y P-K² K-D: ἀναπνοῆς ταῦτά μοι διαφυλάξειας B ‖ **34** διατηρήσεις Y P-K² K-D: διατηρήσαις B ‖ **35** ψυχῇ Y P-K² K-D: ψυχῇ σου B ‖ **38** βασιλεύοις B P-K² K-D: βασιλεύεις Y

138. ⟨Ἰσαακίῳ⟩ τῷ Κομνηνῷ, στρατεύσαντι κατὰ τῶν Πατζινάκων

Aug.–Sept. 1059; ante Π 139 [vid. epistolarum ordinem in L]; eodem tempore ut Π 17, Π 140, Π 141, et Π 390

K-D 156 [L]

Δέσποτά μου φιλάγαθε καὶ βασιλεῦ κραταιότατε, ὁ μὲν ἄρρητος πόθος, ὃν ἐκ πρώτης ἀρχῆς περὶ τὸ σὸν κράτος ἀνείληφα, παρακελεύεταί μοι πολλάκις γράφειν πρὸς τὴν θεοκυβέρνητον βασιλείαν σου. Ὁ δὲ συνεζευγμένος τούτῳ φόβος, καὶ τὸ
5 ὑποστέλλεσθαι τὸ σὸν μεγαλεῖον, καὶ τὸ δειλιᾶν ἀναφανδόν τε ὁρᾶν καὶ τεθαρρηκότως γράφειν, ἀνθέλκει καὶ ἀποστρέφει με, καὶ τήν τε γλῶτταν τοῦ λέγειν ἐπέχει, καὶ τὴν χεῖρα τοῦ γράφειν. Ὅθεν ἀκούων τῆς ἡμέρας πολλάκις ὁπόσα δή σοι αὐτόθι κατώρθωται, καὶ ὡς ἀπείρῳ τῷ ῥεύματι ἐπιρρεῖ σοι θεὸς τὰ θεῖα
10 δωρήματα, χαίρω μὲν καὶ κροτῶ, καὶ ἀτεχνῶς χορεύοντι ἔοικα. Λέγειν δὲ καὶ γράφειν πρὸς τὸ σὸν κράτος ὀκνῶ· εἰ γὰρ καὶ ᾠκείωμαι παρὰ τῆς σῆς θεοειδεστάτης ψυχῆς, καὶ τοῦ γράφειν προτροπὴν παρὰ τοῦ κράτους σου εἴληφα, ἀλλὰ καὶ οὕτως δέδοικα μή πού τι ῥῆμα τῶν ἐμῶν ἀφήσω χειλέων, οὔτε τοῖς
15 κατορθουμένοις παρὰ σοῦ ἰσοστάσιον, οὔτ᾽ ἴσως κατάλληλον τῇ σῇ βαθυγνώμονι καὶ μεγαλεπηβόλῳ ψυχῇ.

10 ἀτεχνῶς – ἔοικα: cf. Π 63,3–4 ὥστε μικροῦ δεῖν ὑπὸ τοῦ σοῦ μέλους καὶ ὑπορχοῦμαι, Π 106,2 χορεύειν βούλομαι, Π 131,2 μικροῦ δεῖν καὶ ὠρχούμην, Π 140,104 μικροῦ δεῖν καὶ ἐχόρευσα, et Π 140,17–18 βούλομαι πολλάκις χορεύειν. cf. etiam Π 16,3 μικροῦ δεῖν ἐχορεύσατε ‖ **15–16** τῇ – ψυχῇ: cf. Π 140,22 ψυχήν, τὴν ὄντως μεγαλεπήβολόν τε καὶ βαθύγνωμον (scil. Isaacii) et Psel. Ἐγκώμιον εἰς … Κωνσταντῖνον … τὸν Λειχούδην = Or. fun. I 2,12,3–5 ὁ θαυμάσιος Ἰσαάκιος … ἀκμάζων μὲν ἅπασι τῷ μεγαλεπηβόλῳ τῆς φύσεως. cf. etiam Π 282a,19–20 et Π 282b,21–22 μεγαλεπήβολον καὶ βαθύγνωμον

ep. 138 L 76v–78r, U 150v/172r (mut.), A 47v (des. mut.); tit. scripsi: τῷ Κομνηνῷ, στρατεύσαντι κατὰ τῶν Πατζινάκων L K-D πρὸς τὸν βασιλέα τὸν Κομνηνὸν U A ‖ **1** μου L A K-D: om. U ‖ **3** πολλάκις γράφειν L K-D: πολλάκις γράψαι U γράψαι πολλάκις A | θεοκυβέρνητον U A Malt[4],29: om. L K-D **6** γράφειν L K-D: γράψαι U A

Πῶς οὖν καὶ τὸν πόθον ἐνδείξομαι καὶ πρὸς τὸ γράφειν κινήσω τὴν χεῖρα, καὶ τὸν φόβον ἀφοσιώσομαι; Αἰτήσομαι πρότερον παρὰ τῆς βασιλικωτάτης σου γνώμης μηδέν τι τῶν παρ' ἐμοῦ γραφομένων πολυπραγμονεῖν ἢ περιεργάζεσθαι, ἀλλὰ πᾶν, ὅ τι ἂν ᾖ, δέχεσθαι, ὡς παρὰ ψυχῆς ἀγαθῆς καὶ εὐγνώμονος, εἰ δὲ ἴσως μὴ προσαρμόζει τοῖς πράγμασι, συγγνώμην ἔχειν ἐμοὶ τῷ γράφοντι, πόρρω τε τῶν πραγμάτων ὄντι, καὶ οὐκ εἰδότι τὸ ἀκριβές. 20

Ἡ μὲν οὖν τῶν πλειόνων βαρβάρων ὑποταγὴ πρὸς τὸ θεόστεπτον κράτος σου καὶ τὸ κατὰ μέρη προσιέναι τούτους καὶ τῶν σῶν ποδῶν τὰς ἑαυτῶν ἐξαρτᾶν κεφαλὰς κατάλληλόν μοι δοκεῖ καὶ τῷ πλήθει τοῦ σου στρατεύματος καὶ τῷ γενναίῳ τοῦ βασιλικοῦ σου φρονήματος. Εἰ γὰρ καὶ μὴ τοιοῦτος ὑπῆρχες, οἷον αἱ φῆμαι βοῶσι, περιεσκεμμένος, γενναῖος, βαθὺς τὸ φρόνημα, ὑψηλὸς τὴν γνώμην, ἀλλ' ἤρκει καὶ μόνον τὸ σὸν στρατόπεδον ἐκφοβῆσαι τούτους, καὶ πρὸς τὸ δειλιᾶν συνελάσαι· κἂν εἰ τὸ στράτευμά σου βραχύτατον ἦν, ἐξεφόβησεν ἂν τούτους τὸ ἀνδρεῖόν σου τῆς ψυχῆς. Ἐπεὶ δὲ ἄμφω συνῆλθον, πολυπληθὲς στράτευμα καὶ βασιλεὺς γενναιότατος, πάντας εἰκὸς ἐκπλήττεσθαί τε καὶ τοῖς σοῖς ποσὶν ὑποστρώννυσθαι. Καὶ οὐ θαυμάζω τοὺς προσεληλυθότας σοι, βασιλεῦ. 25 30 35

Ἔπεισι δέ μοι διαπορεῖν, καὶ διὰ ταῦτα πολλοῖς καταμερίζομαι λογισμοῖς: ἐπὶ τίσι θαρρῶν ὁ Σιλτὲ οὐ κατηκολούθησε τοῖς πολλοῖς, οὐδ' εὐθύς σοι προσπέφευγε, καταπλαγεὶς (εἰ μή τι ἄλλο) τὸ μέγα σου περὶ τὰ πράγματα φρόνημα, καὶ τὴν στρατηγικὴν σύνταξιν, καὶ τὸ μηδὲν προπετῶς ἢ ὀλιγώρως ποιεῖν; Ἐπὶ τούτῳ διαπορῶν, πολλοὺς καὶ διαφόρους λαμβάνω τοὺς λογισμούς: ἢ γὰρ ὅτι πεφόβηταί σε καὶ οὐ θαρρεῖ τὴν καταφυγήν· 40

18 τὸν – ἀφοσιώσομαι: cf. Greg. Naz. Εἰς τὸν μέγαν Ἀθανάσιον = Or. 21,5 ἵνα τόν τε ἡμέτερον ἀφοσιωσώμεθα πόθον et Εἰς τὸν μέγαν Βασίλειον ... = Or. 43,25 τὸν τῶν πολλῶν πόθον ἀφοσιώσασθαι. cf. Psel. Ἐπιτάφιος εἰς τὴν ἑαυτοῦ μητέρα 1535–1536 εἴ πως οὕτως τὸν πόθον ἀφοσιώσομαι ‖ **39** ὁ Σιλτέ: scil. Σελτέ, cf. Ioann. Scyl. Σύνοψις Ἱστοριῶν 460–461 (Const. Monomach. 18), Mich. Attal. Ἱστορία 66–67, et Contin. Scyl. 107,1 sqq.

18 φόβον (cf. supra 1.4: ὁ δὲ συνεζευγμένος τούτῳ φόβος) U A: πόθον L K-D αἰτήσομαι L U K-D: ἀλλ' ἥττημαι A ‖ **19** παρὰ L U K-D: περὶ A ‖ **28** post βασιλικοῦ des. A ‖ **34** post πολυ-[πληθὲς] folium cecidit in U

45 ἢ ὅτι καθείρξας ἑαυτὸν καὶ περιφράξας ἀπολέμητος οἴεται διαμεῖ-
ναι· ἢ βουλόμενος τῶν ἄλλων μαρτύρων χωρὶς τὰς παρ' ἑαυτοῦ
ἀξιώσεις ποιεῖν· ἢ ὅτι ἀπεγνωκὼς τὰς τῆς σωτηρίας ἐλπίδας,
τεθάρρηκε τῇ τοῦ πολέμου ῥοπῇ, ὡς ἢ κατορθώσων ἐν τούτῳ ἢ
τεθνηξόμενος.

50 Τούτους καὶ ἑτέρους ἑλίττων λογισμούς, δέσποτά μου καὶ
βασιλεῦ, καὶ ἕτερόν τι ἀντιποιοῦμαι ἐνθύμημα, οὐκ ἀληθὲς μέν,
ἀλλ' ἐμὲ ἡ καινότης τοῦ πράγματος καὶ εἰς ἀτοπίαν ἐξήνεγκε:
δέδοικα γάρ, μήπως δεινὸς ὢν οὗτος ὁ βάρβαρος, δεξιῶς τοῖς
πράγμασι κέχρηται· καὶ ὑπεκρίθη μὲν διάστασιν ἀπὸ τοῦ λοιποῦ
55 γένους, σύνεστι δὲ ταῖς γνώμαις μετ' αὐτῶν λανθανόντως, καὶ
τοὺς μὲν εἰς δολερὰν ἀφῆκεν ὑποταγήν, αὐτὸς δὲ ἐνεδρεύει, καὶ
διαμηχανᾶταί τι μετ' ἐκείνων ἀπόρρητον, ἵνα πολέμους κατὰ σοῦ
συγκροτήσωσιν. Ἄτοπος μὲν ἴσως ὁ λογισμός, ἀλλ' ἐμέ, θειότατε
βασιλεῦ, ταράττει δεινῶς. Διὰ ταῦτα, προσδέχεσθαι μὲν χρεὼν
60 τοὺς τῷ σῷ κράτει προσφεύγοντας καὶ μὴ ἀνείργειν τὴν πρόοδον,
δοκιμάζειν δὲ αὐτῶν τὰ φρονήματα, μὴ μόνον ἐν λόγοις, ἀλλ' εἴ
τις εἴη δοκιμασία διὰ τῶν πράξεων, καὶ συγκρούειν ἀλλήλοις τοὺς
ἀπ' ἀλλήλων διαμερισθέντας, καὶ τηνικαῦτα ἐπὶ τῶν πραγμάτων
βασανισθέντας, καὶ δοκίμους εὑρεθέντας καὶ ἀληθεῖς, μετὰ τῶν
65 οἰκείων τάττειν, καὶ μηδὲ τότε τὰ πάντα πιστεύειν, ἀλλὰ στρατη-
γικώτερον χρῆσθαι τοῖς πράγμασι.

Περὶ δὲ τοῦ πολέμου, οὐ δύναμαι τὴν ἐμὴν πεῖσαι ψυχήν, ὡς
δεῖ τοῦτον τὸ σὸν κράτος πρὸ τῆς εἰρήνης ἰδεῖν· εἰ γὰρ καὶ τὸ
πλέον τοῦ βαρβαρικοῦ διεσχίσθη στρατοῦ, καὶ τὸ καταλελειμμένον
70 ἶσον ἢ καὶ βραχύτερον, ἀλλ' ἐγὼ πλέον τοῦ πλείονος δέδοικα.
Πρὸς μὲν γὰρ ἰσόμετρον στράτευμα, συντεταγμένως ὁ στρατιωτι-
κὸς ὄχλος χωρεῖ, καὶ περιεσκεμμένως· τοῦ δὲ βραχυτάτου
καταφρονῶν, ἔσθ' ὅτε περιπίπτει ταῖς ἐναντίαις ῥοπαῖς· οὐ γὰρ τὸ

50 τούτους – λογισμούς: cf. Synes. Cyren. Epist. 5,137 τούτους ἑλίττων τοὺς λογισμούς. cf. Psel. Χρονογραφία I,26, Πρὸς τὸν λογοθέτην τοῦ δρόμου τὸν Ἀλωπὸν ἐρωτήσαντα· οἱ δύο Βασίλειοι ἢ οἱ δύο Γρηγόριοι ὁμώνυμοι ἢ συνώνυμοι; = Phil. min. I 6,14–15, II 16,51–52, et II 202,34. iunctura (Pselliana?) in Ann. Comn. Ἀλεξιάς II 6,5,9, V 2,2,6, XIII 4,9,6, Mich. Chon. Epist. 112,70, et Nic. Chon. Χρονικὴ διήγησις 228,7 laudata?

52 καινότης corr. K-D: καινήτης L

πλῆθος τὴν τροπὴν ἀεὶ ποιεῖν εἴωθε, ἀλλ' ἔστιν ὅτε καὶ βραχὺ στράτευμα παρατάξεις μεγάλας ἐσκέδασεν. 75

Ὥσπερ οὖν τὰ πλείω σοι τῶν κατορθωμάτων εἰρηνικῶς μέχρι τοῦ νῦν διαπράττεται, τοιουτότροπά σοι γενέσθω καὶ τὰ λειπόμενα. Οἶδα παρὰ πολλῶν ἀκούων, ὡς λεόντειον τὴν ὁρμὴν τὸ θεοσύλλεκτόν σου κέκτηται στράτευμα, καὶ ὡς ἀκατασχέτως ἐρᾷ βαρβαρικῶν σαρκῶν ἀπογεύσασθαι· καὶ ἐπαινῶ τούτους τῆς 80 γενναίας ψυχῆς, καὶ τοῦ συντεταγμένου φρονήματος, καὶ τοῦ ζήλου τῆς ἀριστείας. Ἀλλά μοι πρὸς θεὸν διηνεκὴς εὐχὴ πέφυκε μηδένα ἐν πολέμῳ πεσεῖν τῶν ὑπὸ σοὶ τεταγμένων· πόσαις γὰρ ἀντιμετρήσαις βαρβαρικαῖς κεφαλαῖς μίαν Ῥωμαϊκήν, κἂν ἀκοντιστὴς εἴη, κἂν λιθοβόλος, κἂν στρατοκῆρυξ, κἂν σαλπιγκτής; πόσῳ δὲ κάλλιον, μηδενὸς τῶν ἡμετέρων ἐν πολέμῳ πεσόντος, τοὺς βαρβάρους πάντας εἰρηνικοῖς καταστρατηγηθῆναι τοῖς σκέμμασι; Μόνον, θειότατε βασιλεῦ, ἡ διὰ τῆς εἰρήνης πρᾶξις ἔμφασιν ἐχέτω πολεμικοῦ ἀγωνίσματος· ὑποτετάχθωσαν γὰρ καὶ διαιρείσθωσαν· καὶ τοῖς σοῖς ἐν πᾶσι βουλήμασιν ὑποκείσθωσαν· 90 κἂν εἰς πόλεμον δέῃ πεμφθῆναι τούτους, μὴ ἀνθιστάσθωσαν· κἂν εἰς ἄλλο τι κατά τινα χρείαν ἐπίκαιρον, ὑπεικέτωσαν ἐν πᾶσιν ὡς δοῦλοι, οὐ χρήμασιν ἐξωνηθέντες, ἀλλὰ τῷ βουλευθῆναί σε ἔργον τούτους γενέσθαι πολέμου καὶ πανωλεθρίᾳ περιπεσεῖν.

Ἐγὼ μὲν οὖν ἴσως, πλέον τι δοκῶν ὁρᾶν τῶν πολλῶν, ἢ καὶ 95 δειλὸς ἴσως καὶ φιλόψυχος ὤν, τοιούτους λόγους τῇ βασιλείᾳ σου ὑποτίθημι. Αὐτὸς δὲ ὁ ἀκριβέστατος βουληφόρος, πρὸς αὐτοῖς τοῖς πράγμασιν ὤν, καὶ εἰς τὸ ἀκριβὲς τὰ τῶν βαρβάρων μεμαθηκώς, κάλλιον ἂν πάντων καὶ σκέψαιο καὶ βουλεύσαιο, καὶ μάλιστα καὶ τὰ πρῶτα τῶν στρατηγῶν καὶ στρατιωτῶν φρονήματα τῷ σῷ 100 κράτει συνειληφώς, οἳ δὴ πολλάκις τοιούτοις περιτετυχηκότες πράγμασι, καὶ ἐκ περιπτώσεως τὰ μὲν παθόντες τὰ δὲ ποιήσαντες, εἰδεῖεν περὶ πάντων ἐμοῦ τελεώτερον.

Τὰ μὲν οὖν αὐτόθι τοιαῦτά τε εἴη καὶ κρείττονα γένοιτο. Ἡ δέ γε Πόλις ἄλλα ἐπ' ἄλλοις καθ' ἑκάστην (ὡς εἰπεῖν) τῶν σῶν 105

96 δειλὸς – ὤν: cf. Eurip. Φοίνισσαι 597 δειλὸν δ' ὁ πλοῦτος καὶ φιλόψυχον κακόν ‖ **97** ὁ – βουληφόρος: Hom. Il. 2,24 βουληφόρον ἄνδρα, cf. Psel. Χρονογραφία VI,175

98 τὸ ἀκριβὲς resumitur U (f. 172r) ‖ **99** καὶ[1] U: om. L K-D

κατορθωμάτων, τὰ μὲν ἀκούοντες, τὰ δὲ καὶ αὐτοὶ προστιθέντες τῷ τῆς ψυχῆς ἔρωτι, μετέωροι σύμπαντες ἵστανται, τὴν σὴν τελεωτάτην προσδοκῶντες τοῦ ἀριστεύματος ἀκοήν.

Ἐξιόντος μὲν οὖν σοῦ, ὦ θειότατε βασιλεῦ, λύπη τούτοις
110 προσῆν· εἶτα δὲ προϊόντος, εὐχή. Νῦν δὲ πρὸς αὐτὸς τοὺς ἀγῶνας κεχωρηκότος, καὶ τὰ μὲν κατορθοῦντος τὰ δὲ ἐλπίζοντος, δέησις πρὸς θεὸν χαρᾷ συμμιγής· νῦν γάρ σου μᾶλλον ἐρῶσι, καὶ νῦν τὸ σὸν ποθοῦσι θεοειδὲς πρόσωπον, καὶ νῦν αὐτοῖς φαίνῃ θαυμασιώτερος· οὕτως γὰρ αὐτῶν ἐκράτησας, καὶ τοσοῦτον αὐτοῖς πόθον
115 τῆς σῆς ψυχῆς ἐγκατέσπειρας, ὡς ἀντὶ πάντων καὶ τῶν ἀναγκαιοτάτων αὐτοῖς τοὺς σοὺς ἀγῶνας μόνους διὰ γλώττης ἔχειν, καὶ τούτους ἀνυμνεῖν τε καὶ ἐκθειάζειν.

Ἐκεῖνοι μὲν οὕτως· ἐγὼ δὲ ἥδομαι μὲν ἐπὶ τούτοις, ἀλγύνομαι δὲ τὴν ψυχήν, ὅτι μὴ σέ, τὸ ἐμὸν φῶς, τοῖς ἐμοῖς ὁρῶ ὀφθαλμοῖς.
120 Καὶ εἰ μή με ἡ ἐμὴ δεσπότις καὶ βασιλὶς παρεμυθεῖτο καὶ ἀνεκτᾶτο, ὁρῶσά τε εὐμενῶς, καὶ ὁμιλοῦσα προσηνῶς, καὶ μὴ ἀπαξιοῦσα ἐν μηδενί, ἀλλὰ συμπαθῶς προσιεμένη, καὶ πάσης ἀξιοῦσα χάριτος, οὐκ ἂν ἐν τοῖς ζῶσιν ἦν, τοιούτου δεσπότου καὶ βασιλέως ἐστερημένος.

125 Ἀλλὰ πότε σε ἴδοιμι; Πότε δέ σου περιλείξω τὰς χεῖρας, καὶ καταφιλήσω τοὺς πόδας, καὶ τῆς συνήθους ὁμιλίας ἀκούσομαι; Τοῦτο οὖν τῷ σῷ θεῷ ἀνατίθημι· καὶ γένοιτό μοι, τῶν ὅλων παμβασιλεῦ, τάχιστα τὸν διὰ σοῦ βεβασιλευκότα ἰδεῖν, καὶ ἀντὶ δεσπότου καὶ βασιλέως εἰς τάξιν ἐμοὶ (εἰ καὶ τολμηρὸν εἰπεῖν)
130 γεγονότα πατρός.

120 ἡ – βασιλὶς: Aecaterina (Π I), uxor Isaacii

107 σύμπαντες L K-D: πάντες U | σὴν L K-D: om. U ‖ **109** ὦ U: om. L K-D **114** ἐκράτησας L K-D: ἐκράτησε U ‖ **116** μόνους U: om. L K-D ‖ **118** μὲν[2] L K-D: om. U ‖ **127** μοι L K-D: om. U ‖ **128** παμβασιλεῦ U: βασιλεῦ L K-D τάχιστα L K-D: τάχιστα με U

139. Τῷ αὐτῷ

⟨Ἰσαακίῳ⟩ τῷ Κομνηνῷ, στρατεύσαντι κατὰ τῶν Πατζινάκων. Aug.–Sept. 1059; post Π 138 [vid. epistolarum ordinem in L]; eodem tempore ut Π 17 [vid. epistolarum ordinem in U] et etiam Π 140, Π 141, et Π 390

S 161 [P]

Τολμήσας καὶ αὖθις ὁ ἀνάξιός σου δοῦλος ἐγώ, καὶ πάντων ἀνθρώπων εὐτελέστατος καὶ οἰκτρότατος, μᾶλλον δὲ θαρρήσας ἐπὶ τῷ πρός με ἀφάτῳ ἐλέει σου, καὶ ταύτην τὴν γραφὴν χαράττω τῷ κράτει σου, ἀλγῶν μὲν καὶ ὀδυνώμενος, ὅτι τῆς κατὰ πρόσωπον ὁμιλίας ἐστέρημαι, καὶ τῆς συνήθους ἀπελήλαμαι παρρησίας, 5 χρώμενος δὲ ὅμως ἀντὶ λόγου ζῶντος τῷ γράμματι, καὶ τούτῳ παραμυθούμενος ἐμαυτόν.

Πρῶτα μὲν οὖν θειότατε βασιλεῦ, τὴν δυνατὴν εἰσῆγον συμβουλίαν τῷ κράτει σου, καὶ γνώμην ἀπέφαινον περὶ τῶν πραγμάτων τὴν δόξασαν, οὐχ ὡς πλέον εἰδὼς τῆς σῆς ὑπερφυοῦς 10 καὶ ἀνικήτου ψυχῆς, ἀλλ' ὡς σοῦ μετριοφρονοῦντος καὶ πρὸς τοῦτό με παροτρύνοντος, ὅπερ ἀεὶ ποιεῖν εἴωθας. Νῦν δὲ οὐ συμβουλῆς ὁ καιρός, ἀλλ' ἐπαίνων καὶ ἀριστείων, καὶ τῆς ἐφ' οἷς κατώρθωκας εὐφημίας· εἰ γὰρ καὶ μήπω τὸ τέλος τῶν πολλῶν σου καὶ μεγάλων ἀγώνων ἀκήκοα, μηδὲ τὸ μέγα τῆς σῆς στρατηγίας 15 κεφάλαιον ἔγνωκα, ἀλλ' ὡς ἤδη νενικηκότα καὶ κατωρθωκότα τὸ πᾶν λογίζομαι.

Καὶ ἔτι καθ' ὑπερβολὴν ἐρῶ, ὡς εἰ καὶ μηδὲν πέρας αἴσιον τοῖς σοῖς ἀπήντηκεν ἀγωνίσμασιν, ἀλλ' ἕνεκά γε τῆς προθυμίας καὶ τοῦ καταθαρσῆσαι τοσοῦτον κίνδυνον, πάντων ἀποτρεπόντων τὴν 20 ἀπὸ τῆς Πόλεως ἔξοδον, στρατόπεδόν τε τοσοῦτον ἀθροῖσαι καὶ οἰκονομῆσαι, βουλὰς τὰς τοσαύτας ἐνθυμηθῆναι, καὶ τέχνας στρατηγικὰς μηχανήσασθαι, κατὰ τάξιν τε προϊέναι, καὶ συντεταγμένως βαδίζειν, καὶ μόνῳ νεύματι τοσοῦτον λαὸν ἐξαρτᾶν, καὶ

ep. 139 L 78r–79v, U 173v–175r, P 226r–v, p[1] 158; tit. L: πρὸς τὸν βασιλέα τὸν Κομνηνόν U P πρὸς τὸν βασιλέα ⟨Ἰσαάκιον⟩ τὸν Κομνηνόν S ‖ **1** ἀνάξιός – δοῦλος U P S: ἀνάξιος δοῦλος σου L ‖ **5** παρρησίας L U (cf. Malt[4],28): σωτηρίας P S ‖ **6** τούτῳ L U: om. P S ‖ **10** εἰδὼς L U (cf. Malt[4],28): om. P S | σῆς ὑπερφυοῦς U P S: ὑπερφυοῦς σου L ‖ **12** παροτρύνοντος U P S: παροτρύναντος L | ὅπερ U P S: ὅπερ ἂν L ‖ **13** κατώρθωκας L P S: κατώρθωσας U ‖ **16** ἔγνωκα U P S: om. L ‖ **20** καταθαρσῆσαι L U: καταθαρρῆσαι P S ‖ **23** στρατηγικὰς μηχανήσασθαι U P S: μηχανήσασθαι στρατηγικὰς L

25 ἐπὶ τῇ τῆς σῆς κεφαλῆς στροφῇ καὶ μεταστροφῇ, ἱστᾶν τε τὰς φάλαγγας καὶ αὖθις κινεῖν, καὶ δεδιότας θαρσύνειν, καὶ θρασυνομένους ἀναστέλλειν, τάς τε ἀναγκαίας αὐτοῖς τροφὰς πάντοθεν συμπορίζειν, καὶ τὰ τούτων κρείττω καὶ ὑψηλότερα, κατατεμεῖν τὴν βάρβαρον στρατιάν, καὶ τοὺς προσδοκωμένους συμμάχους
30 ἐπισχεῖν, καὶ πρὸς ἑαυτὸν μεταστήσασθαι, καὶ αὐτὸν δὲ τὸν πολέμιον εἰς βάραθρόν τι συνωθῆσαι ἀδιεξόδευτον, καὶ ἵνα μὴ τὰ πλείω καθεξῆς ἐρῶ, ταῦτα δὴ καὶ μόνα ἀρκοῦσιν εἰς μέγα στρατηγίας ἐγκώμιον. Καὶ μεῖζον τῆς σῆς μεγαλοψυχίας ὑπόδειγμα, ὅτι ἑτέρων ἡμαρτηκότων αὐτοκρατόρων, προκινδυνεύεις αὐτός· κἀκεί-
35 νοις μὲν οὐκ ἐμέλησεν ὧν δεδράκασι, σὺ δὲ τούτοις τε ἀπεκρύψω τὰ ἐλαττώματα, καὶ τῇ βασιλείᾳ περιέτρεψας τὴν αἰσχύνην εἰς εὐδοξίαν.

Ταῦτα μὲν οὕτως· κἂν μηδείς τις ὑπὲρ τούτων ἐρεῖ, οἱ λίθοι κεκράξονται, καὶ φωνὴν ἄνωθεν ἀφήσει ὁ οὐρανός, καὶ αὐτὰ δὴ τὰ
40 ἄψυχα τὴν σὴν ἀποσαλπίσουσιν ἀρετήν. Ἐγὼ δὲ ὃν μετὰ τῶν ἐλλογίμων αὐτὸς ἠρίθμηκας, καὶ ὃν διατελεῖς ἐπαινῶν, καὶ οὗ τὴν γλῶτταν θαυμάζεις φιλοσοφοῦσαν ἢ ῥητορεύουσαν, μετὰ πάντων καὶ τοῦτο προστίθημι. Εἰ μὲν ἤδη τὸ πᾶν ἤνυσας, ὦ βασιλεῦ, καὶ κατώρθωκας, οὐκέτι λόγος οὐδείς· εἰ δὲ ἔτι τὸ τοῦ πολέμου τέλος
45 ἠώρηται, τρεῖς σεαυτῷ τάξεις τῶν κατορθωμάτων ἀνάπλασον, μείζονα, καὶ μέσην, καὶ τελευταίαν. Καὶ ἔστω μείζων μὲν ὁ παντελὴς τῶν βαρβάρων ἀφανισμός, μέση ἡ πρὸς ἕτερον τόπον μετασκήνωσις αὐτῶν καὶ μετάθεσις, ἣν ἐγὼ καὶ πρώτην καλῶ, τρίτη καὶ τελευταία ἡ τούτων ὑποταγή, ἀληθεύουσα καὶ τοῖς
50 σχήμασι καὶ τοῖς πράγμασι, καὶ μέχρι παντὸς τὸν φόβον καὶ τὴν ὑπόκλισιν ἔχουσα· ἵνα εἰ μὲν τοῦ μείζονος τύχῃς, μεγίστην χάριν ἕξεις θεῷ, τῷ πάντα μεταποιοῦντι πρὸς τὸ συμφέρον καὶ μεταβάλ-

38–39 κἂν – κεκράξονται: Luc. 19,40 λέγω ὑμῖν, ἐὰν οὗτοι σιωπήσουσιν, οἱ λίθοι κράξουσιν (locus saepe laudatus); cf. Π 389,22–23

26 θαρσύνειν U P S: θρασύνειν L ‖ **34** ἡμαρτηκότων αὐτοκρατόρων L P S: αὐτοκρατόρων ἡμαρτηκότων U ‖ **35** τούτοις τε L U: τούτοις P S ‖ **36** βασιλείᾳ L P S: βασιλίδι U ‖ **38** οὕτως L U: οὖν P S ‖ **40** ὃν L P S: ὧν U ‖ **41** ἠρίθμηκας U P: ἠρίθμησας L ἀρίθμηκας S ‖ **42** γλῶτταν U P S: γλῶσσαν L ‖ **46** καὶ μέσην U P S: μέσην L ‖ **51** ὑπόκλισιν P S: ὑπόκτισιν L ὑπόκλησιν U

λοντι, εἰ δὲ τῆς δευτέρας ἢ καὶ τῆς τρίτης, καὶ οὕτως ἐπασμενίσῃς τῷ πράγματι, καὶ ἀποχρῶν ἡγήσῃ τὸ πεπραγμένον κατόρθωμα.

Περὶ μὲν τούτων, οὕτως ἔχε. Νενικηκὼς δὲ (σὺν θεῷ φάναι), 55 θειότατε βασιλεῦ, τότε μοι ὡς ἀληθῶς φιλοσόφησον, καὶ μὴ ἐπαρθῇς τῷ κατορθώματι, μηδὲ μέγα φρονήσῃς ἐπὶ τῷ τροπαίῳ, ἀλλὰ τηνικαῦτα μᾶλλον καὶ περὶ σεαυτὸν ἀσφαλέστερος γενοῦ καὶ περὶ τὸ σὸν στράτευμα· εἰώθαμεν γάρ πως οἱ ἄνθρωποι, ἐν μὲν ταῖς ἀδήλοις ἐκβάσεσι τοῦ σκοποῦ, σωφρονεῖν τε καὶ καταστέλλε- 60 σθαι, εὐτυχήσαντες δέ, πρὸς ἀλαζονείαν ἐπαίρεσθαι. Λέγω δὲ οὐ περὶ σοῦ ταῦτα (μὴ τοσοῦτον μανείην!), ὃν οἶδα κανόνα μεγαλοφροσύνης ἅμα καὶ μετριότητος, ἀλλὰ περὶ τῶν στρατευομένων ἐν τοῖς τάγμασι, καὶ οὐδὲ περὶ τῶν ἡγεμόνων τῆς στρατιᾶς, ἀλλὰ περὶ τῶν ὑποτεταγμένων αὐτοῖς. Ἀγησίλαος γοῦν, ὁ μέγας 65 ἐκεῖνος καὶ ὀνομαστότατος βασιλεύς, τὴν μετὰ τὸν πόλεμον εἰρήνην ἐδεδίει μᾶλλον, ἢ τὸν πρὸ τῆς εἰρήνης πόλεμον· ὅθεν μαχόμενος μέν, εὐθαρσὴς τοῖς πᾶσι καὶ ἀνειμένος ἐφαίνετο, τροπαιοφόρος δὲ γεγονώς, ἐσκυθρώπαζε τὰ πολλά, καὶ περιεβλέπετο τὸ στρατόπεδον, καὶ τὸ θράσος αὐτοῖς κατέστελλε, καὶ τὴν 70 ἀπὸ τῆς εἰρήνης διάχυσιν εἰς εὐφροσύνην μετέστελλεν.

Ἀλλὰ τί μάτην ληρῶ; Πρὸς τίνα δὲ αὐτοκράτορα τοὺς λόγους ποιοῦμαι, οὗ τὰ μὲν στρατηγήματα οὐδὲν ἐλάττονα τῶν τοῦ Μακεδόνος καθέστηκεν, αἱ δὲ γνῶμαι καὶ τὰ βουλεύματα ἀσύγ-

62 *μὴ – μανείην*: iunctura saepe in Luciano laudata, cf. e.g. Ἀναβιοῦντες ἢ Ἁλιεύς 37 et Ἑταιρικοὶ διάλογοι 2,4; cf. etiam e.g. Ael. Arist. Πρὸς Πλάτωνα ὑπὲρ τῶν τεττάρων 126,26 et Suda μ 145. cf. Psel. Κατηγορία τοῦ ἀρχιερέως = Or. for. 1,2768, Ἐγκώμιον εἰς … Νικόλαον μοναχὸν … = Or. fun. I 10,1,12, Ἐγκώμιον εἰς τὴν φθεῖρα = Or. min. 28,121, Εἰς τὸ 'νοῦς μὲν οὖν ἤδη καὶ αἴσθησις' = Theol. I 90,85, et Π 7,51, Π 55,12, Π 100,13, Π 131,18–19, Π 145,49, Π 209,3–4, Π 277,2, Π 291,31–32, et Π 454,105 ‖ **65–71** Ἀγησίλαος – *μετέστελλεν*: ad Xen. Ἀγησίλαος 11,10 ἔν γε μὴν ταῖς εὐπραξίαις σωφρονεῖν ἐπιστάμενος ἐν τοῖς δεινοῖς εὐθαρσὴς ἐδύνατο εἶναι alludit?

53 τῆς δευτέρας L U: καὶ τῆς δευτέρας P S | καὶ[1] – τρίτης L U: καὶ τρίτης P S **55** ἔχε L U: ἔχει P S ‖ **58** περὶ σεαυτὸν L U: περὶ σεαυτοῦ P S ‖ **59** στράτευμα L U: στρατόπεδον P S ‖ **63** περὶ L U: καὶ περὶ P S ‖ **64** τάγμασι P S: πράγμασι L U ‖ **65** γοῦν U: γὰρ L οὖν P S ‖ **66** τὸν πόλεμον L U: πόλεμον P S ‖ **68** καὶ ἀνειμένος U P S: om. L ‖ **70** θράσος L P S: θάρσος U | κατέστελλε U P S: κατέστελλεν L ‖ **73–74** τῶν – Μακεδόνος L U: τῶν Μακεδόνων P S τοῦ Μακεδόνος Malt[4],28 ‖ **74** καὶ – βουλεύματα U P S: τὰ δὲ βουλεύματα L

75 κριτα πάντα καὶ ἀπαράμιλλα, ἡ δὲ αἰδώς, τὸ δὲ ἥμερον βλέμμα, ἡ δὲ παιδιᾶς ἀνάμεστος γλῶσσα, καὶ τὸ ἐπὶ τοῖς λόγοις μέτρον, καὶ τὸ μέχρι καὶ τῶν ὀφρύων ἐγκαθήμενον φρόνημα, καὶ τἆλλα, ἡρωϊκῆς πάντα καὶ γενναίας ψυχῆς; Ἀλλ' ἀνέχου τῆς ἐμῆς ἀδολεσχίας· σὺ γάρ μοι τὸ λέγειν προτρέπεις καὶ τὴν γραφὴν ἐπιτρέ-
80 πεις, οὐκ οἶδ' ὅπως τῆς ἐμῆς ἡττημένος γλώττης, καὶ τῆς ἐμῆς ἀγαπῶν ἀκούειν φωνῆς.

Ἀλλ' ἐπανέλθοις ἡμῖν τάχιον, θεοειδέστατε αὐτοκράτορ, ποθοῦσι ποθούμενος· ἕστηκεν ἡ σὴ Πόλις ἐπὶ τῇ σῇ ἀνατολῇ, καὶ τῇ πρὸς αὐτὴν ἀφίξει μετέωρος, πάλαι μὲν δακρύουσα ἀπολιπόν-
85 τος αὐτήν, νῦν δὲ γηθομένη, λαμπρότερον ταύτῃ ἐπανατέλλοντος.

Πλὴν μὴ οἴου, θειότατε βασιλεῦ, μόνος κατορθωκέναι τὸν πόλεμον· συνδιηγωνίσατο γάρ σοι τοῦτον καὶ ἡ βασιλίς, τὸ μέγα τοῦ γυναικείου γένους ἄγαλμα καὶ καλλώπισμα. Καὶ οὐ θωπεύων λέγω ἐπὶ θεῷ μάρτυρι, ἀλλὰ μηδὲ αὐτὴν καθαρὰν τὴν ἀλήθειαν
90 παραδεικνῦναι δυνάμενος· αὕτη γάρ σοι τὴν θεομήτορα συνεξέπεμψε, πρεσβεύουσα, ἱκετεύσουσα, ποῖα οὐκ ἀφιεῖσα δάκρυα, ἢ πόσον μέρος ἀποκαθεύδουσα τῆς νυκτός, μετά γε τῆς θυγατρός; Κοινὸς οὖν ἀμφοῖν ὁ ἀγών, κοινὸν καὶ τὸ τρόπαιον.

Καὶ περὶ μὲν ὑμῶν λόγος πολύς, κἀγὼ τὸ μέγα ὑμῖν
95 ἀναγράψω ἐγκώμιον· οὐ μακρὰν δὲ τῶν ἀξίων ἐπαίνων καὶ οἱ ἐφεστηκότες σύνδουλοί μου τοῖς πράγμασιν, ἡμέρως καὶ προσηνῶς, δικαίως τε καὶ ἐπιεικῶς, τὰ κοινὰ διεξάγοντες, καὶ ὡς οὐκ ἄν τις ᾠήθη καὶ προσεδόκησεν. Εὖ οὖν ἴσθι, φιλανθρωπότατε βασιλεῦ, ὅτι τὴν εὐτυχίαν καὶ τὴν εὐδοξίαν ἐν πᾶσι τοῖς σοῖς
100 ἀπεκλήρωσεν ὁ θεός, ἐν πατράσιν, ἐν γυναικί, ἐν θυγατρί, ἐν ἀνεψιοῖς, ἐν φίλοις, ἐν ὑποχειρίοις αὐτοῖς.

77 τὸ – φρόνημα: cf. Psel. Ἐπιτάφιος εἰς τὴν ἑαυτοῦ μητέρα 419–420 ἦθος ὀφρύων καὶ φρόνημα, πάσαις αἰσθήσεσιν ἐγκαθήμενον ‖ **87** ἡ βασιλίς: Aecaterina (Π I), uxor Isaacii ‖ **92** τῆς θυγατρός: Maria Comnena (ca. a. 1034 –?) ‖ **101** ἀνεψιοῖς: Michael Contostephanus (Π XXXIII) et Theodorus Doceianus (Π XV)

75 τὸ – ἥμερον U: τὸ ἥμερον L P S ‖ **79** προτρέπεις L P S: προτρέπῃ U **82** θεοειδέστατε L U: θειότατε P S ‖ **84** αὐτὴν U P S: αὐτὸν L ‖ **85** λαμπρότερον U P S: λαμπροτέρου L ‖ **87** συνδιηγωνίσατο L U: συνηγωνίσατο P S ‖ **91** ποῖα L U: τίνα P S ‖ **98** φιλανθρωπότατε U P S: om. L

Ὡς δοῦλος ἀνάξιος τολμήσας ἔγραψα.

140. Τῷ αὐτῷ

⟨Ἰσαακίῳ⟩ τῷ Κομνηνῷ, στρατεύσαντι κατὰ τῶν Πατζινάκων. Aug.–Sept. 1059; eodem tempore ut Π 17, Π 138, Π 139, Π 141, Π 390

S 69 [P]

Δέσποτα μου ἅγιε, σύ με οὐκ ἐᾷς εὐθυμεῖν καὶ σκιρτᾷν ἐπὶ τοσούτοις καὶ τοιούτοις στρατηγήμασί τε καὶ κατορθώμασι· σύ μου καὶ τὴν γλῶτταν ἐπέχεις καὶ τὴν φωνὴν οὐ συγχωρεῖς τοσοῦτον ὑπερηχῆσαι, ὁπόσον βεβούλημαι.

Ὅταν μὲν γὰρ πρὸς τὰς σὰς οἰκονομίας ἀπίδω καὶ στρατη- 5 γίας, ὁπόσα τε πρὸ τοῦ πολέμου ἐμηχανήσω, καὶ ὅσα ἐν τῷ πολέμῳ πεποίηκας, ὅπως τε τοὺς στρατηγικοὺς νόμους ἐφύλαξας πάντας, καὶ τακτικὰς εὐβουλίας ἐμπράκτους ἀπέδειξας, ἐν τοῖς καταλλήλοις καιροῖς τὰς εἰσβολὰς τῆς μάχης ταμιευόμενος, καὶ μεγαλοψυχῶν ἐν τοῖς φαινομένοις δεινοῖς, καὶ πρὸς τοὺς θερμοτέ- 10 ρους τῶν λόγων μήτε παροξυνόμενος, μήτε βραχύ τι παρακινούμενος, ὅπως τε εἰς γῆν κειμένην τὴν τῶν Ῥωμαίων βασιλείαν ἀνέστησας, καὶ τὸ ἀρχαῖον αὐτῇ ἐπανέσωσας κάλλος καὶ μέγεθος, καὶ τοῦ τελευταίου ταύτην ὀνείδους ἀπήλλαξας, ὑφ' οὗ μικροῦ δεῖν ᾤχετο ὑποβρύχιος ἂν καὶ ἀπώλετο, ὅτε ταῦτα πάντα τῷ λογισμῷ 15 περιλάβω καὶ τὴν ἐσχάτην ταύτην βοήθειαν ἀνελίξω τοῖς ἐνθυμή-

12–13 ὅπως – ἀνέστησας: cf. Π 42,54–55 τὴν βασιλείαν Ῥωμαίων θανοῦσαν ἐψύχωσας

102 ὡς – ἔγραψα U: om. L P S ‖ **ep. 140** U 179r–v (des. mut.), P 204v–205r, p[1]2–144 (= P); tit. scripsi: πρὸς τὸν βασιλέα τὸν Κομνηνόν U τῷ βασιλεῖ τῷ Κομνηνῷ ἐν ταξειδίῳ ὄντι P τῷ βασιλεῖ ⟨Ἰσαακίῳ⟩ τῷ Κομνηνῷ ἐν ταξειδίῳ ὄντι S ‖ **1** δέσποτα – ἐᾷς U: ⟨σ⟩ύ με οὐκ ἐᾷς δέσποτα P S ‖ **6** πρὸ P S: πρὸς U **11** μήτε[1] U: μὴ P S ‖ **14** τοῦ P S: om. U ‖ **15** ἂν U: om. P S

μασιν, ἔνθους ὑφ' ἡδονῆς γίνομαι, καὶ βούλομαι πολλάκις χορεύειν, καὶ τοῖς γιγνομένοις ἐπισκιρτᾶν, καὶ τἆλλα ποιεῖν ὁπόσα ψυχή, θυμηδίας ἀθρόον ἐμπλησθεῖσα, διαπράττεσθαι εἴωθε, καὶ
20 θυμηδίας, πάσας τὰς ἀπ' αἰῶνος νικώσης ἀρετάς τε καὶ χάριτας.

Ὅταν δὲ πάλιν ἐπὶ λογισμὸν λάβω τὴν ἡρωϊκήν σου καὶ θείαν ψυχήν, τὴν ὄντως μεγαλεπήβολόν τε καὶ βαθύγνωμον, τὴν ἰσχυράν τε καὶ ἀκατάσειστον, ὅπως ἐπί τοσούτοις καὶ ἀνυπερβλήτοις καλοῖς ἄτρεπτος καὶ ἀμετακίνητος ἔμεινεν, ὥσπερ μηδενὸς
25 καινοῦ γεγονότος, καὶ οὔτε ἐπήρθη ταῖς νίκαις, οὔτε ἐμεγαληγόρησε τὸ στρατήγημα, οὔτε ἐν ταῖς πρὸς ἡμᾶς ἐπιστολαῖς ἐκόμπασε τήν τε σύνταξιν τοῦ στρατοῦ, καὶ τὴν φυγὴν τοῦ ἐχθροῦ, καὶ τὴν τῶν βαρβάρων ἀναίρεσιν, τηνικαῦτα ἐκπληττόμενός σου τὸ ἑδραῖον τῆς γνώμης καὶ τῆς ψυχῆς τὸ εὐέδραστον, τοῦ σκιρτᾶν
30 καὶ πανηγυρίζειν ἐπιλαθόμενος, ὅλος τοῦ περὶ σὲ θάμβους καὶ τῆς ἐκπλήξεως γίνομαι, καὶ μόνον σὲ τὸν πάντων ἀνθρώπων καὶ βασιλικῶν πραγμάτων αὐτοκράτορα καὶ στρατηγὸν γενναῖον καὶ σύμβουλον οἷος οὐκ ἄλλος, καὶ πύργον ἀρραγῆ καὶ ὀχύρωμα κραταιὸν καὶ τεῖχος ἄσειστον ἥγημαι.

35 Καὶ θαυμάζω μέν σε ἐφ' οἷς ἀγωνιζόμενος κατορθοῖς· καὶ ταῖς ἐκ τῶν λόγων εὐφημίαις καταγεραίρω· καὶ ἀκηράτου στέμματος καὶ θείας ἀξιῶ ἀναρρήσεως. Ἐπὶ δὲ τῷ ἀκατασείστῳ τοῦ φρονή-

17 ἔνθους – γίνομαι: Greg. Naz. Κατὰ Ἰουλιανοῦ στηλιτευτικὸς α´ = Or. 4,17 et Εἰς τὸν ἅγιον ἱερομάρτυρα Κυπριανόν = Or. 24,5 ὥσπερ ἔνθους ὑφ' ἡδονῆς γίνομαι, cf. Psel. Βίος καὶ πολιτεία … Αὐξεντίου … = Or. hag. 1c,682–683 et Π 38,23 et Π 123,29–30. cf. etiam Χρονογραφία VII,39 ἔμπνους τε γίνομαι τὴν ψυχὴν et infra Π 541,31 ‖ **17–18** βούλομαι – χορεύειν: cf. Π 63,3–4 ὥστε μικροῦ δεῖν ὑπὸ τοῦ σοῦ μέλους καὶ ὑπορχοῦμαι, Π 106,2 χορεύειν βούλομαι, Π 131,2 μικροῦ δεῖν καὶ ὠρχούμην, Π 138,10 ἀτεχνῶς χορεύοντι ἔοικα, et Π 140,17–18 μικροῦ δεῖν καὶ ἐχόρευσα. cf. etiam Π 16,3 μικροῦ δεῖν ἐχορεύσατε **22** ψυχήν – βαθύγνωμον: cf. Π 138,15-16 τῇ σῇ (scil. Isaacii) βαθυγνώμονι καὶ μεγαλεπηβόλῳ ψυχῇ et Psel. Ἐγκώμιον εἰς … Κωνσταντῖνον … τὸν Λειχούδην = Or. fun. I 2,12,3–5 ὁ θαυμάσιος Ἰσαάκιος … ἀκμάζων μὲν ἅπασι τῷ μεγαλεπηβόλῳ τῆς φύσεως. cf. etiam Π 282a,19–20 et Π 282b,21–22 μεγαλεπήβολον καὶ βαθύγνωμον

18 γιγνομένοις U: γινομένοις P S ‖ **19** διαπράττεσθαι U: διαπράττειν P S **17–20** ἔνθους – χάριτας : ὡρ⟨αῖον⟩ in marg. U ‖ **21** πάλιν U: om. P S λογισμὸν U: λογισμῶν P S ‖ **22** βαθύγνωμον U: βαθυνομένην P S **27** ἐκόμπασε U: ἐκόμπασας P S ‖ **31** μόνον U: om. P S

ματος καὶ τῷ ἀτρέπτῳ τοῦ λογισμοῦ, καὶ τῷ κρείττονα φαίνεσθαι καὶ τροπαίου καὶ νίκης, καὶ τῆς ἀπὸ τῶν κατωρθωμένων εὐκλείας, ὑπερεκπέπληγμαι, καὶ ὑπὲρ ἄνθρωπον εἶναι φιλαλήθως καὶ 40 θαρρούντως σε ἀποφαίνομαι.

Καὶ σὺ μέν, ὦ μέγα Ῥωμαίων ὄφελος, νῦν πρώτως οἴει νενικηκέναι, ὅτε, προσβαλόντα τὸν βάρβαρον, πᾶσι μέρεσι τοῦ στρατεύματος ἀπώσω καὶ ἀπεκρούσω, καὶ φυγάδα εἰργάσω τὸν τέως ἀήττητον δόξαντα, οὐδεμίαν ὑπενεγκόντα σὴν οὔτε στρατη- 45 γίαν, οὔτε φωνήν, ἀλλ' ὡσανεὶ λέοντα βρυχησάμενον, ᾗ ποδῶν εἶχεν ἀποδράντα καὶ διασπαρέντα ἐν ταῖς λόχμαις ἢ ἐν τοῖς ἕλεσιν. Ἐγὼ δέ σοι πολλὰς νίκας ἐπιψηφίζομαι, καὶ ὁπόσας ἀνὴρ ἀγαθὸς καὶ ἀβάσκανον ἔχων ψυχὴν ἀριθμῆσαι δύναται. Πρώτη γὰρ νίκη κατεστεφάνωσαι, ὅτε πάντας ἡμᾶς νενίκηκας τοὺς 50 μικροψύχους, ἢ φιλοψύχους, καὶ τὸν ὑπὲρ ἁπάντων ἀράμενος κίνδυνον τῆς Πόλεως ἐξεδήμησας. Δευτέραν αὖθις νίκην κατώρθωσας κρείττω τῆς προτέρας παρὰ πολύ, κατὰ τῆς τοῦ στρατοπέδου πλεονεξίας ἄρας τὰ νικητήρια, καὶ πείσας ἅπαντας εὐσεβεῖν, καὶ τοῖς ἰδίοις ὀψωνίοις ἀρκεῖσθαι, ἀλλὰ μὴ τοὺς γεωργοῦντας 55 πένητας ἀδικεῖν. Τρίτην ἐπὶ ταύταις νίκην ἤρω, εἰς μίαν γνώμην τὸ στρατόπεδον συναρμόσας, καὶ πᾶσαν ἔριν καὶ μικροψυχίαν ἀπὸ παντὸς ἀφελών, καὶ τῶν λοιδόρων γραμματίων ὑπεριδὼν καὶ τῶν διαβαλλόντων καταφρονήσας, καὶ τῶν καταπτοούντων τὴν σὴν ψυχὴν καταγελάσας, καὶ ταῦτα ἐν μέσοις ξίφεσιν ἑστηκὼς ἐπὶ 60 ταῖς αἰχμαῖς αὐταῖς, ἐπὶ τῶν τοξοτῶν καὶ ὁπλιτῶν. Τετάρτην αὖθις ἀρίθμει νίκην, ὅπως πρὸ τοῦ πολέμου κατηγωνίσω τὸ βάρβαρον, ὡς κατεσοφίσω, ὡς κατεστρατήγησας, ὡς διεῖλες τοὺς ἐναντίους, ὡς τοὺς μὲν ᾠκειώσω, τοὺς δέ ἀπώσω.

Καὶ ἵνα μὴ προσκορὴς γένωμαι, εἴ τις ἐπὶ τούτοις καταστέ- 65 φειν καὶ εὐφημεῖν βούλοιτο, ποίων οὐκ ἀξιώσει βραβείων, ποίους οὐχ ὑπερβαλεῖται αὐτοκράτορας ἐν πολέμοις ὀνομαστούς; Ἀλλ'

42 μέγα – ὄφελος: cf. Π 37,21, Π 38,21–22, Π 160,21–22 ‖ **65** ἵνα – γένωμαι: cf. Psel. Ἀπόδειξις ... τῆς τοῦ κυρίου ἐνσωματώσεως ... πρὸς τὸν σουλτᾶνον ἀπὸ τοῦ βασιλέως = Theol. II 3,264–265 πλὴν ἵνα μὴ π[ροσκορὲς] τὸ σύγγραμμα γένηται

38 κρείττονα U: κρείττω P S ‖ **39** κατωρθωμένων U: κατορθουμένων P S **40** post φιλαλήθως folia ceciderunt, itaque epistulae finis deest in U ‖ **64** ὡς : καὶ S

αὐτός, ἡ ἄπληστος τῶν καλῶν ψυχὴ καὶ ἀκόρεστος, ὥσπερ μηδέν τι κατωρθωκώς, ἀλλὰ νῦν πρώτως τῆς στρατηγίας ἀρξάμενος, ἐπὶ
70 μείζω νίκην καὶ τελεώτερα παραγέγονας τρόπαια. Ἀλλὰ τίς οὐ θαυμάσει σου τὴν περίοδον, τῆς ὁδοῦ τὸν κύκλον, τὸ στρατηγικὸν βλέμμα, τὴν ἐν στενοῖς δίοδον ὡς ἐβάδισας, πλατύνων καὶ κρατύνων τὸ στράτευμα, ὡς ἐκαρτέρησας; Τίς οὐκ ἐκπλαγεῖ σου τοὺς ἄθλους, τὰς ἀγρυπνίας, τὰς ἐν μέσῳ φροντίδας, τὴν δαπάνην τῆς
75 ψυχῆς, τὸ ἄτρεπτον τοῦ φρονήματος;

Ἀλλ' ἐπειδὴ ἀθρόον ἐφάνησαν οἱ πολέμιοι, καὶ τὴν βαρεῖαν ἐκείνην ἠλάλαξαν ὑλακήν, οὐκ ἐπτοήθης πρὸς τὴν φωνήν, ἀλλ' ἀντεμβαλὼν αὐτοῖς τὴν σιωπὴν καὶ τὴν τοῦ στρατεύματος ἡσυχίαν, κρείττων ἐφάνης σιγῶν, ἢ ὑλακτοῦντες οἱ βάρβαροι· καὶ
80 πυργώσαντές σοι κύκλῳ τὸ στράτευμα προσβαλόντες καὶ ὠθοῦντες, ἀντωθοῦντο μᾶλλον ἢ διερρήγνυον. Τὴν δὲ τῆς νυκτὸς φυγήν, τὴν δὲ τῶν βαρβάρων βοήν, ὡς τοῖς ἐναντίοις διεκρούσω τὰ ἐναντία, τὸ δὲ ἀπτόητον τῆς ψυχῆς, τίς μὴ θαυμάσειεν;

Ἔγωγ' οὖν, θειότατε βασιλεῦ, στρατηγίας καὶ νίκας τῶν
85 πάλαι βασιλέων ἀναγινώσκων, τὸν μέν, ὅτι συμβουλὴν μόνην ἀρίστην εἰσήνεγκεν ὁρῶ στεφανούμενον, τὸν δέ, ὅτι κινδυνεύειν μόνον προείλετο, καὶ ἄλλον, ὅτι τῶν ἐναντίων τὸ πλῆθος κατέτεμε, καὶ αὖθις ἕτερον, ὅτι προσβαλόντων τῶν πολεμίων ἀκλόνητος ἔμεινε, τὸν δὲ Μακεδόνα μόνον ἐξαίρουσιν, ὅτι τῶν
90 πολεμίων τοὺς μὲν ἀνήρει, τοὺς δὲ φυγάδας ἐδείκνυ, τῶν δὲ τοῦ χάρακος ἐγίνετο ἐγκρατής· ἅπερ δὴ μόνῳ μετ' ἐκεῖνον τὸν ἄνδρα τῷ σῷ κράτει συνεληλύθασιν. Ἀλλὰ σὺ ὁ πρὸς πάντα ἄθελκτος καὶ ἀκίνητος, καὶ μόνος τῶν πάντων κρείττων καὶ θυμηδίας καὶ ἡδονῆς, οὐδὲ κατελέπτυνας ἡμῖν τὴν διήγησιν· οὐδὲ ἐφ' οἷς
95 κατώρθωκας ἐσεμνύνω, ὦ πάντων ἐπέκεινα καὶ σωμάτων καὶ ψυχῶν, καὶ ἠθῶν καὶ λογισμῶν, καὶ βασιλέων καὶ στρατηγῶν, (καὶ ἵνα τολμήσας εἴπω) καὶ φύσεων ἀσωμάτων.

Εἶτα δὴ πυνθάνῃ μου, πῶς τὸ στρατήγημα ἔδοξε· συντόμως ἀποκρινοῦμαί σοι, ὡς τοῦ δευτέρου κόσμου ποίησις, ἢ τοῦ παλαιοῦ

84–97 ἔγωγ' – ἀσωμάτων: cf. Π 143,56-57 στρατηγικώτατος γεγονὼς ὑπὲρ πάντας τοὺς ᾀδομένους ἐν στρατηγήμασι ‖ **99** τοῦ[1] – ποίησις: cf. Greg. Naz. Εἰς τὰ Θεοφάνια = Or. 38,11 οἷόν τινα κόσμον δεύτερον. cf. etiam Or. 38,10, Εἰς τὸ ἅγιον Πάσχα = Or. 45,6, Εἰς τὸν μέγαν Βασίλειον ... = Or. 43,70, et Ἐπιτάφιος εἰς τὸν πατέρα ... = Or. 18,17

πρὸς τὸ καινότερον μεταποίησις· οὕτως γάρ μοι ἔδοξεν, ὡς μηδὲ 100
εἰπεῖν δύνασθαι. Εἰ δέ με εἶδες ὅτε μοι πρῶτα ἡ περὶ τὴν νίκην
φήμη τὴν ἀκοὴν διεβόμβησε, τότε ἂν ἔγνως ὅπως τὴν στρατηγίαν
ἐλογισάμην· ὑψώσας γὰρ εὐθὺς τὰς χεῖρας, ἡλίκον ἐκρότησα,
μικροῦ δεῖν καὶ ἐχόρευσα· εἶτα δὴ ἐμμανῶς ἀναστὰς περιέθεον τὴν
οἰκίαν βοῶν μέγα καὶ διαρρηγνύμενος, καὶ ὡς εἶχον ἀπαρασκεύως 105
ἐφιππασάμενος πρὸς τὴν βασιλίδα τε γίνομαι, καὶ τῆς χαρμονῆς
αὐτῇ ἐκοινώνησα· εἶτα δὴ καὶ τοῖς πλήθεσιν ἐπὶ τῆς ἀγορᾶς γεγο-
νώς, τὴν στρατηγίαν ἐξήγγελλον, ἅμα τε καὶ τὴν σὴν γνώμην
τούτοις ἐξακριβούμενος, καὶ ἀπολογίαν ταύτην ποιούμενος τοῦ μὴ
γεγραφέναι σε πρὸς αὐτούς. Οἱ δὲ πρώην τὰ μὲν ἐσκυθρώπασαν, 110
εἶτα δὴ μαθόντες σου τὸ ἀκόμπαστον, ἀντὶ τοῦ σκυθρωπάζειν
ἐξεθαμβήθησαν· ἔστω γὰρ εἰδυῖα ἡ βασιλεία σου ὅτι καὶ τὰς
ψυχὰς αὐτῶν ἐκχέουσιν ἐπὶ σὲ σύμπαντες, καὶ τῆς σῆς ἐρῶσι
ψυχῆς, οὐ λογικὴ φύσις μόνον, ἀλλὰ καὶ λίθειος, καὶ σιδήρειος.

Ἆρ' ἐθέλχθης τοῖς ἐμοῖς λόγοις ὁ μόνος ἐν τοῖς θελγήτροις 115
ἀπτόητος, ἢ καὶ τούτων καταπεφρόνηκας; Ἔδει γοῦν σε πρὸς πᾶν
αἰσθητικὸν κάλλος ἐνστατικῶς ἔχοντα, πρὸς τὰς ἐμὰς καταθελ-
χθῆναι λειότητάς τε καὶ χάριτας· καὶ τίς ἐμοῦ τοῦ πάντων μακα-
ριστότερος, ὅτι μου τοῖς λόγοις θέλγεται βασιλεὺς ὁ πᾶσαν ἡδονὴν
ἀτιμάσας, καὶ πρὸς πᾶν θέλγητρον στερρότατος δόξας καὶ 120
ἀδαμάντινος;

Τὸ μὲν οὖν σὸν κράτος εἰ θέλγοιτο τοῖς ἐμοῖς λόγοις, καινὸν
ὡς ἀληθῶς καὶ παράδοξον. Ἐμοὶ δὲ τὰ σὰ γράμματα οὐκ εἰς
ἡδονὴν μόνον καὶ χαρὰν ἀρκεῖ, ἀλλ' εἰς ὑστεροφημίαν καὶ δόξαν
καὶ εὔκλειαν, καὶ καλλωπίσεταί μου τὸ γένος ἐπὶ ταῖς τοιαύταις 125
βασιλείοις ἐπιστολαῖς, ἐμοὶ δὲ ἀθάνατος ἡ δόξα γενήσεται. Ἀντὶ
δὲ τῶν πρὸς ἐμέ σου γραμμάτων γράψαιτο τὸ σὸν ὄνομα θεὸς ἐν
ταῖς τῶν ζώντων βίβλοις καὶ τοῖς ἀποστόλοις συναριθμήσειεν.

104 μικροῦ – ἐχόρευσα: cf. Π 63,3–4 ὥστε μικροῦ δεῖν ὑπὸ τοῦ σοῦ μέλους καὶ ὑπορχοῦμαι, Π 106,2 χορεύειν βούλομαι, Π 131,2 μικροῦ δεῖν καὶ ὠρχούμην, Π 138,10 ἀτεχνῶς χορεύοντι ἔοικα, et Π 140,17–18 βούλομαι πολλάκις χορεύειν. cf. etiam Π 16,3 μικροῦ δεῖν ἐχορεύσατε ‖ **106** τὴν βασιλίδα: Aecaterina (Π I), uxor Isaacii ‖ **127–128** ἐν – βίβλοις: cf. Ps. 68,29 ἐξαλειφθήτωσαν ἐκ βίβλου ζώντων

141. Τῷ βασιλεῖ ⟨Ἰσαακίῳ⟩ τῷ Κομνηνῷ ὅτε κατὰ τῶν βαρβάρων ἐξῆλθε

Ἐπιστολή vel λόγος? Aug.–Sept. 1059; eodem tempore ut Π 17, Π 138, Π 139, Π 140, Π 390

S 81 [P]

«Βασιλεῦ, εἰς τὸν αἰῶνα ζῆθι». Ἀλλ᾽ ὁ μὲν Δανιὴλ τοσοῦτον εἰρήκει, οὐκ ἀγαθῷ διαλεγόμενος βασιλεῖ· ἐγὼ δέ, ἐπιγείῳ θεῷ (ἵνα καὶ τοῦτο θαρρούντως εἴποιμι) διὰ γράμματος ὁμιλῶν, καὶ τἆλλα προστίθημι: βασιλεῦ ἐπιεικέστατε, πρᾳότατε, καὶ
5 φιλανθρωπότατε, ζῆθι καὶ εἰς τὸν παρόντα αἰῶνα μέχρι πολλοῦ, καὶ εἰς τὸν μέλλοντα αἰωνίως, τὴν ἐν θεῷ κεκρυμμένην ζωήν· τοῦτο γὰρ ἐμοὶ περὶ σοῦ καὶ εὐχή, καὶ ἐλπίς, τὸ μὲν εἰς σωτηρίαν πολλῶν καὶ ἀνάπαυσιν, τὸ δὲ εἰς ἀνταμοιβὴν τῶν ἐνταῦθά σου πράξεων καὶ διηνεκῆ ἀγαλλίασιν.
10 Ἐγὼ δὲ τῆς μὲν ἀποκληρωθησομένης σοι ἐν τῷ μέλλοντι αἰῶνι ζωῆς μακρὰν ἴσως ἔσομαι, μὴ τὸν ὅμοιόν σοι βίον ζηλώσας, μηδ᾽ ἐφικόμενός σου τῶν ἀρετῶν. Ἐνταῦθα δέ, διατί σου ἀφίσταμαι; Λέγω δέ, οὐχ ἵνα ἐγὼ μεταναστεύσω ὥσπερ στρουθίον εἰς τὰς σὰς οὐρανομήκεις περιωπάς, ἀλλ᾽ ἵν᾽ αὐτὸς ἐπανέλθῃς, καὶ
15 συγκατέλθῃς ἡμῖν, καὶ τὴν μεθ᾽ ἡμῶν ἀγαπήσῃς ζωήν· οὕτω γὰρ καὶ θεός, ἐξ οὐρανοῦ καταβεβηκώς, τὴν Παλαιστίνην κατῴκησεν· οὐ χείρων δὲ ἡ μητρόπολις αὕτη τῶν πόλεων τῆς παλαιᾶς Ἱερου-

1 βασιλεῦ – ζῆθι: Dan. 2,27–28 ἐκφωνήσας δὲ ὁ Δανιηλ ἐπὶ τοῦ βασιλέως εἶπεν ... βασιλεῦ, εἰς τὸν αἰῶνα ζῆθι ‖ **13** μεταναστεύσω – στρουθίον: Ps. 10,1 μεταναστεύου ἐπὶ τὰ ὄρη ὡς στρουθίον ‖ **13–14** εἰς – περιωπάς: cf. Psel. Βίος καὶ πολιτεία ... Αὐξεντίου ... = Or. hag. 1a,464–467 ὁ μὲν οὖν μακάριος καὶ τῷ ὄντι ἄνθρωπος τοῦ θεοῦ ἐν τῇ ἀκροτάτῃ τοῦ ὄρους περιωπῇ ὥσπερ ἐπὶ τῆς τῶν ἀρετῶν ἀκρότητος καὶ ὑψηλοτάτης βάσεως ἑστηκώς et Εἰς τὸ 'ἀπ' ἄρτι ὄψεσθε ...' = Theol. I 28,95–98 ἐπειδὰν γάρ τις ἀγγελικὴ τάξις ἢ ἀρχαγγελικὴ καταστραφθεῖσα τὴν φύσιν ταῖς ἄνωθεν θεωρίαις συνεπεκτανθῇ μέχρι πολλοῦ πρὸς τὸ ὕψος τῆς ἀκροτάτης περιωπῆς, αὐτῆς φημι τῆς τριαδικῆς ἑνώσεως καὶ μιᾶς ἀρχῆς. cf. etiam Π 13a,39–40, Π 15,10–11, Π 86,25, Π 206,49, et Π 515,15

ep. 141 L 5r–6r, P 206v–207r, p[1] 145 (= P); tit. S: τῷ βασιλεῖ τῷ Κομνηνῷ ὅτε κατὰ τῶν βαρβάρων ἐξῆλθε P πρὸς τὸν βασιλέα κῦρ Κωνσταντῖνον τὸν Δούκαν L ‖ **4** καὶ L: om. P S ‖ **12** μηδ᾽ P S: μὴ δὲ L ‖ **14–15** ἐπανέλθῃς ... συγκατέλθῃς: P S: ἐπανέλθοις ... συγκατέλθοις L

σαλήμ, ἣν ἐτίμησας, ἐν ᾗ τετίμησαι, ἣν βασιλίδα τῷ μεγέθει πεποίηκας, ἐν ᾗ βεβασίλευκας. Ὥσπερ γὰρ σὺ ὁ θειότατος βασιλεύς, καὶ αὐτῶν τῶν φιλτάτων καταφρονήσας, καὶ συγγενι- 20 κῆς ἁπάσης ἀναγκαιότητος, τὸν ὑπὲρ τῆς τῶν ὅλων σωτηρίας προείλου κίνδυνον, οὕτω δὴ καὶ αὐτὴ σοῦ προκινδυνεύειν αἱρεῖται· μᾶλλον δὲ τοῦ ἐραστοῦ ταύτης νῦν μᾶλλον ἐρᾷ σφοδρότερον, ἢ τὸ πρότερον, καὶ σὲ τῆς προθυμίας ἐκθειάζει, καὶ ὡς στεφανίτην ἤδη ἀνακηρύττει, καὶ στεφάνοις ἀγάλλει πολλοῖς, καὶ ὡς ἀναίμακτον 25 στεφανίτην ἀνακαλεῖται.

Ὃ γὰρ ἐχρῆν ποιῆσαι πεποίηκας, βασιλεῦ, καὶ τὸ περαιτέρω προβαίνειν οὐκ ἀσφαλές· οὐ γὰρ δεξιὸν τὸ τοῦ δεξιοῦ δεξιώτερον. Καὶ τὸ μὲν μέχρι τούτου, θάρσους ἐστὶ καὶ ἀσφαλοῦς προμηθείας· τὸ δ' ἐπὶ πλέον, φοβοῦμαι μή τις εἴπῃ θρασύτητος. Ἐγὼ δὲ οὐχ 30 ὥσπερ τοῖς ποσὶν ἀστράτευτος, οὕτω δὴ καὶ τῇ κεφαλῇ· καὶ εἰ ἐβουλόμην μακρηγορεῖν, πολλοὺς ἂν ὑπανέγνων σοι νόμους στρατηγικοὺς διδάσκοντας, πότε, καὶ μέχρι τίνος, καὶ ὅπως χρεὼν στρατεύειν τὸν αὐτοκράτορα. Ἔδει θροηθῆναι τὸν βάρβαρον· τεθρόηται. Ἔδει θαρρῆσαι τὸ ὑποχείριον· τεθάρρηκε. Τοῦ δὲ 35 καὶ ἀπολαιμωθῆναι τὸ ἀντίπαλον ἔθνος, οὔπω καιρός. Μὴ τοίνυν προεξαναστῇς τοῦ καιροῦ, μή ποτέ σοι ἄλλο τι ἀπαντήσοι τῶν ἀνελπίστων (γράφω δὲ πεπαρρησιασμένως πρὸς ἐννομώτατον βασιλέα, ὃν οὐ πεφόβημαι λέγων τεθαρρηκώς, ἀλλ' οὐ μᾶλλον κολακευτικῶς). 40

Τὰ μὲν οὖν αὐτόθι θεὸς ἄγοι πρὸς τὸ βέλτιστον· τὰ δὲ ἐνταῦθα εἰρηνικώτερα μᾶλλον καὶ ὁμαλώτερα, ἢ τὸ πρότερον. Οὕτως ἡμᾶς ἐξεπαίδευσας· οὕτω τὸ ἵππειον θράσος κατήρτυσας· τοσοῦτον

25–26 ὡς – στεφανίτην: cf. Psel. Ἐγκωμιαστικὸς εἰς ... Μιχαὴλ τὸν Κηρουλλάριον = Or. fun. I 1,10,7–8 ἐπεὶ δὲ ἔδει τέλειον αὐτὸν ἀθλητὴν γεγονέναι καὶ στεφανίτην ἀναίμακτον ‖ **28** οὐ – δεξιώτερον: Greg. Naz. Περὶ τῆς ἐν διαλέξεσιν εὐταξίας = Or. 32,6 τοῦ δεξιοῦ ποιουμένη τι δεξιώτερον. cf. Π 263,21 ‖ **43** τὸ – θράσος: Suda ι 534

25–26 καὶ[1] – ἀνακαλεῖται L: om. P S ‖ **29** καὶ τὸ μὲν L: τὸ μὲν P S ‖ **30** εἴπῃ P S: εἴποι L ‖ **33** διδάσκοντας P S: om. L ‖ **36** ἀπολαιμωθῆναι P S: καταπολεμηθῆναι L ‖ **39** λέγων L: λέγω P S | ἀλλ' οὐ P S: ἀλλὰ L **41** βέλτιστον L: βέλτιον P S ‖ **43** θράσος κατήρτυσας L: κατήρτυσας θράσος P S

δύναται βασιλεὺς τὴν βασιλικὴν ἡνιοχείαν εἰδώς. Ἀλλ' ἐπίβηθι
45 καὶ πάλιν ἡμῶν· μᾶλλον γὰρ ἡδόμεθα ἡνιοχοῦντά σε ἐπὶ τῶν
κεφαλῶν ἡμῶν φέροντες, ἢ ἀποβεβηκότα σε θεώμενοι τοῦ ὀχήματος.

142. Πρὸς τὸν βασιλέα ⟨Ἰσαάκιον⟩ τὸν Κομνηνὸν ⟨ἐν ταξειδίῳ ὄντα⟩

ante 22.XI.1059, fortasse Oct.–Nov. 1059; eodem tempore ut Π 1, Π 41, et Π 251 [vid. epistolarum ordinem in L] et etiam Π 389 et Π 391

S 6 [P]

Δέσποτά μου ἅγιε, καὶ βασιλεῦ πάντων βασιλέων ὑπέρτερε, τί
τοσοῦτον ἡμεῖς ἠδικήσαμεν οἱ Βυζάντιοι, ἢ τί σοι τῷ μεγάλῳ καὶ
θείῳ προσκεκρούκαμεν ἡλίῳ καὶ βασιλεῖ, ὅτι τηλικαύτην
κατεκρίθημεν νύκτα πολυήμερον, καὶ πάντη ἀλαμπῆ καὶ
5 ἀφώτιστον, ἐστερημένοι καὶ τῶν ἀπὸ τῆς σελήνης αὐγῶν; Ἀλλ' εἰ
μὲν καὶ ἕτερός τις οὕτως οἴεται, αὐτόθεν ἔχει τὸν ἔπαινον· ἐγὼ δὲ
οὐκ ἔχω τίς ἂν γενοίμην ἢ ποίαν εὑρήσω παραμυθίαν, τῆς σῆς
πόρρω καθεστὼς μαρμαρυγῆς καὶ λαμπρότητος, καὶ οὔτε σου τὸ
τηλαυγὲς ὁρῶν πρόσωπον, οὐ τῆς γλώττης ἀκούων, οὐ τοῖς
10 λόγοις θελγόμενος, ἀλλ' οὐδὲ ἄλλο τι τῶν σῶν θαυμασίων ὁρῶν,
τὴν τάξιν, τοὺς τῶν οἰκονομιῶν τρόπους, τὸ βασιλικὸν βῆμα, τὸ

44 τὴν – ἡνιοχείαν: cf. Plat. Πολιτικός 266e9–10 τὸν πολιτικὸν καὶ βασιλικὸν οἷον ἡνίοχον εἰς αὐτὴν ἐνστήσαντα et Psel. Σελέντιον δημηγορηθὲν παρὰ βασιλέως κῦρ Μιχαὴλ τοῦ Δούκα = Or. min. 3,91–92 τῆς βασιλικῆς ἡνιοχήσεως ἅπτομαι ‖ **5** τῆς σελήνης: Aecaterinam (Π I), uxorem Isaacii, significat

ep. 142 L 81v–82v, U 187v (des. mut.), P 192v, p[1]2–144 (= P); tit. scripsi: πρὸς τὸν αὐτὸν Κομνηνὸν τὸν βασιλέα L πρὸς τὸν βασιλέα τὸν Κομνηνόν U τῷ αὐτῷ [scil. Ἀλέξιος Κομνηνός, sic] ἐν ταξειδίῳ ὄντι P p[1] τῷ αὐτῷ [⟨scil. Ῥωμανός Διογένης⟩] ἐν ταξειδίῳ ὄντι S ‖ **1** δέσποτά μου – ὑπέρτερε U: om. L P S ‖ **2** ἢ τί U P S: ὅτι L ‖ **2–3** μεγάλῳ – θείῳ U P S: θείῳ καὶ μεγάλῳ L **3** προσκεκρούκαμεν L U: προσεκρούσαμεν P S | ἡλίῳ – βασιλεῖ L U: βασιλεῖ καὶ ἡλίῳ P S ‖ **5** τῶν – τῆς U P S: ἀπὸ τῶν τῆς L ‖ **6** καὶ ἕτερός L U: ἕτερός P S | οὕτως U P S: om. L | ἔχει L P S: ἔχειν U ‖ **7** οὐκ ἔχω L U: om. P S | τίς L U: τί P S ‖ **9** οὐ[2] ... οὐ U L: οὔτε ... οὔτε P S ‖ **11–12** τοὺς – ὑποθέσεων L U: om. P S

φρίκης γέμον καὶ ἡδονῆς, τὰς ἐπιχειρήσεις τῶν ὑποθέσεων, τῶν νοημάτων τὴν εὕρεσιν, τῶν ἐνθυμημάτων τὸ κάλλος, τὴν μεγαλόνοιαν, τὴν ἄφατον ἐπιείκειαν, τὸ ἀπρόσιτον ὁμοῦ καὶ εὐπρόσιτον. Ὦ πόσων ἀπελήλαμαι ἀγαθῶν! Οἵας τρυφῆς 15 ἀπεστέρημαι! καὶ ταῦτα ἀδικήσας οὐδέν, ἀλλὰ τὴν ἐμήν σοι ψυχὴν συνεισενεγκὼν καὶ ἐξαρτήσας αὐτὴν τῆς σῆς ζωῆς καὶ πνοῆς.

Οὐκ ἔχω πῶς ἐνέγκω τὴν ἀθυμίαν· ἐπιλείπει μοι πρὸς τὴν συμφορὰν καὶ τὰ δάκρυα. Οὔπω μοι τὸ πρώην πέπαυται πάθος 20 ἐπὶ τῇ ἀφ' ἡμῶν διαστάσει τοῦ κράτους σου, καὶ νῦν ἕτερον ἐπεγήγερται, πολὺ τοῦ προτέρου βαρύτερον· ὅτι ἔχων, οὐκ ἔχω σε, καὶ ζητῶν, οὐχ εὑρίσκω σε, καὶ ἐν χερσὶ σε περιφέρων, ὁρᾷν οὐ δύναμαι. Ὦ τῆς ἐμῆς τῶν ὀμμάτων ἀχλύος! Εἰς ἀνατολὰς ὁ φωστήρ, κἀγὼ γνόφου καὶ θυέλλης μεστός· ἡ τῶν ἀκτίνων σου 25 λάμψις ἁπανταχοῦ, κἀμὲ σκότος ἔχει διηνεκές, καὶ τῆς σῆς καθέστηκα αἴγλης ἀθέατος.

Εἰ μὲν οὖν κολάζεις ἡμαρτηκότα, ἑτέραν πληγὴν ἐπινόησον· οὐ παραιτοῦμαι ξίφους ἀκμήν· κἂν εἰς θάλασσαν ῥίψαι θελήσῃς, οὐκ ἀποφεύξομαι· κἂν εἰς πῦρ ἐμβάλῃς, καὶ τοῦτο ἡδέως δέξομαι· 30 ἔσομαι γὰρ μηδὲν εἰδὼς τῶν σῶν, μηδὲ αἰσθανόμενος, καὶ οἴσω μετρίως τὴν συμφοράν. Εἰ δ' εὐμενῶς ἔχεις (καὶ τοῦτο τεθαρρηκότως πεπίστευκα), τίς ἡ ὀλιγωρία, τίς ἡ παρόρασις;

Καὶ μή με οἴου θειότατε βασιλεῦ, ὅτι δόξης ἐλάττων εἰμὶ καὶ τῆς παρὰ βασιλεῖ συνουσίας, καὶ δέομαι λαμπροτέρας δορυφορίας· 35 μὴ τοσοῦτον ἀπολαύσαιμι τοῦ θεοῦ, μηδὲ τοῦ τρυχίνου ἐνδύματος,

20–21 τὸ – διαστάσει: ad aestivam Isaacii (aestas 1059) refert ‖ **25** κἀγὼ – μεστός: Exod. 10,22 ἐξέτεινεν δὲ Μωυσῆς τὴν χεῖρα εἰς τὸν οὐρανόν, καὶ ἐγένετο σκότος γνόφος θύελλα ἐπὶ πᾶσαν γῆν Αἰγύπτου. cf. Psel. Εἰς τὸ τροπάριον τοῦ κανόνος τῆς Μεταμορφώσεως ... = Theol. I 11,54, Εἰς τὸ 'πέρας τοῦ μυστηρίου ...' = Theol. I 93,60, et Εἰς τὸ λεῖπον τοῦ 'λαμπρότητα θεοῦ καὶ ἰδεῖν καὶ παθεῖν' = Theol. I 94,3

12–13 τῶν[2] – εὕρεσιν L U: τὰς εὑρέσεις τῶν νοημάτων P S ‖ **15** οἵας L U: ποίας P S ‖ **16** ἀπεστέρημαι U P S: ἐστέρημαι L ‖ **17** συνεισενεγκὼν L U: προσενεγκὼν P S ‖ **17–18** ζωῆς – πνοῆς U: πνοῆς καὶ ζωῆς L P S ‖ **21** κράτους L U: πάθους P S ‖ **23** σε περιφέρων L U: περιφέρων σε P S ‖ **24** δύναμαι L: δεδύνημαι U P S | post ὀμμάτων folia ceciderunt, itaque epistulae finis deest in U ‖ **25** ἡ L: καὶ ἡ P S ‖ **26** ἔχει L: κατέχει P S ‖ **31** μηδὲν – σῶν L: τι τῶν σῶν μηδὲν εἰδώς P S ‖ **35** λαμπροτέρας L: λαμπροτάτης P S

οὗ δι' ἐκεῖνον ἠξίωμαι, καὶ δι' ὃν πᾶσαν τὴν λεγομένην εὐδαιμονίαν ἐβδελλυξάμην τε καὶ ἀπέπτυσα. Τί οὖν ἐστὶν ὃ ζητῶ, καὶ πλέον τῶν ἄλλων; Ἐρῶ: ἡ σὴ ψυχή, βασιλεῦ, τὸ σὸν ἀπόρρητον
40 καὶ ἀπόθετον κάλλος, ὁ σὸς ἀειφεγγὴς νοῦς, ἡ τῶν ἠθῶν σου χάρις, ἡ ἔμφυτος ἡδονή, ἡ γαληνότης, ἡ ἐν τῷ μετρίῳ ὕψωσις, ἡ ἐν τῷ μετεώρῳ ταπείνωσις, ἡ εὐθύτης, ἡ σταθηρότης, ἡ πρὸς πάντα κατάλληλος ἁρμονία, τὸ γλυκύ σου μειδίαμα, ἡ ἐπιτερπής σου προσλαλιά, τὸ ἱλαρὸν τῶν ὀμμάτων, ἡ τῶν ὀφρύων διάλυσις.
45 Ταῦτά με ἕλκει· ταῦτά με ὥσπερ ἰχθὺν ἀπὸ τοῦ τῆς φιλοσοφίας βυθοῦ τεθήρακεν καὶ ἀνέσπασε· διὰ ταῦτά σοι πρόσειμι, βασιλεῦ, καὶ οὐκ αἰσχύνομαι, φιλόσοφος ὤν, ἐν τοῖς πολλοῖς μέσος ὁρώμενος· ὁρῶ γὰρ καὶ τὴν σὴν βασιλείαν καὶ λόγου καὶ κάλλους ἐρῶσαν, καὶ τέχνης καὶ ἐπιστήμης, καὶ γνώμης μεστῆς οὔσης
50 συνέσεως· διὰ τοῦτό σοι τὴν συνουσίαν θαρρῶ, καὶ οὐ φεύγω τὴν ὁμιλίαν.

Κἀγὼ μέν σε πάντοτε θηρῶν, οὔπω τεθήρακα· οὐ γὰρ κορέννυμαι τοῦ θηράματος, ἀλλ' ὅσον ἂν σε θηράσω, τοσοῦτον μᾶλλον ἐπιθυμῶ· οὐ γὰρ ὅλον ζωγρεῖν δεδύνημαι· ἄπλετος γὰρ εἶ τὸ
55 μέγεθος καὶ ψυχῆς καὶ τοῦ σώματος· καὶ οὔτε σε ἐν τοῖς ὄμμασιν ὅλον καταλαβεῖν δεδύνημαι, οὔτε συμπεριείληφα τῇ ψυχῇ. Σὺ δὲ κράτιστε βασιλεῦ, οἰόμενος ὥσπερ εὐθήρατον εἶναι ζωγρῆσαι φιλόσοφον, ἐφ' ἑτέραν ἐτράπης θήραν. Καὶ γένοιτό σοι καὶ ταύτης τυχεῖν· καὶ μήτε σῦς ἄγριος ὑπὸ λόχμην κρυβεὶς λάθοι σε, μήτ'
60 ἔλαφος καταλαβὼν τὰ μετέωρα· ἰχνηλατοίη δὲ σοι καλῶς καὶ ἡ

60–61 ἡ – κύων: cf. Suda λ 47 Λάκαινα κύων: Σοφοκλῆς· «κυνὸς Λακαίνης ὥς τις εὔρινος βάσις» (Soph. Αἴας 8) et Psel. Εἰς τὸν Λογγίβαρδον Ἰωάννην καταναγκάζοντα αὐτὸν εἰς τὸ ἑρμηνεῦσαι τάχιον τὰ μαθήματα = Or. min. 18,6 et Π 54,11 et Π 391,30

37 οὗ – ἠξίωμαι L: ὃ ... περίκειμαι P S ‖ **39–40** ἀπόρρητον – ἀπόθετον L: ἀπόθετον καὶ ἀπόρρητον P S ‖ **40** ἀειφεγγὴς L: ἀειφανὴς P S ‖ **41–42** ἡ[3] – ταπείνωσις P S: ἡ ἐν τῷ μετεώρῳ ταπείνωσις, τὸ ἐν τῷ μετρίῳ ἦθος L **44** διάλυσις L P: διάχυσις S ‖ **45** με[2] L: om. P S ‖ **46** τεθήρακεν – ἀνέσπασε L: τεθήρακε P S ‖ **47** ἐν – μέσος P S: ἐν πολλοῖς μέσοις L ‖ **50** διὰ – σοι L: διὰ ταῦτα P S ‖ **54** γὰρ[2] L: om. P S ‖ **55–56** ἐν – ὅλον L: τοῖς ὄμμασι P S **56** δεδύνημαι L: δύναμαι P S | συμπεριείληφα – ψυχῇ L: τῇ τύχῃ συμπεριείληφα P S ‖ **56–57** σὺ δὲ – βασιλεῦ L: om. P S ‖ **57** οἰόμενος L: οἰόμενος δὲ P S ‖ **58** ἐτράπης θήραν L: θήραν ἐτράπης P S

Λάκαινα κύων· καταλαμβάνοιεν δὲ θᾶττον καὶ οἱ θηρευταί· καὶ μηδέν σοι σκῶλον εἴη θηρολετοῦντι, μηδὲ ἐμποδών· ἀλλὰ τέρποιο καὶ ἀγάλλοιο, καὶ τῆς θηροφονίας καταπολαύοις εὔστοχα βάλλων, καὶ ἀκοντίζων, καὶ διώκων, καὶ ἱππαζόμενος. Τεθαύμακα δέ σε κράτιστε βασιλεῦ, ὅπως καὶ τῇ παιδιᾷ καταμιγνύεις σπουδήν· καὶ 65 συνάπτεις τὰ διεστῶτα: θηρατικὴν σύνοδον καὶ σεκρετικὴν συλλογήν, θηράματα ὄρεια καὶ πολιτικὰ ζητήματα, δικῶν ῥοπὰς καὶ ἀκοντίων βολάς.

Ταῦτα μὲν οὖν πλείονος λόγου καὶ μακροτέρων δεῖται ἐγκωμίων· ἐγὼ δὲ μὴ φέρων σου τὴν διάστασιν, ἀνακαλοῦμαι τῷ 70 γράμματι. Ἔλθοις εἰς ἡμᾶς θᾶττον, θειότατε βασιλεῦ, ὡς οὐρανοῦ τάχος, ὡς ἡλίου δρόμος· ἔλθοις μετὰ τῆς σελήνης ὁ ἥλιος τῆς παμφαοῦς βασιλίδος, μετὰ τοῦ εὐγενοῦς ἄστρου, ὥσπερ ἀνδροκτασίας ἀπὸ τῆς ἑσπέρας, οὕτω δὴ καὶ θηροφονίας ἀπὸ τῆς ἀνατολῆς κομίζων ἡμῖν. 75

62 μηδέν – εἴη: Greg. Naz. Συντακτήριος = Or. 42,9 μηδὲν ᾖ σκῶλον **72–73** ἔλθοις – βασιλίδος: cf. Ioann. Tzetz. Epist. 94 (137,1–2) μόνῃ τῇ ζώσῃ σελήνῃ περιλαμπόμενον τῇ παμφαεῖ βασιλίδι μου ‖ **72** τῆς σελήνης: Aecaterinam (Π I), uxorem Isaacii, significat; cf. supra l. 5

61 καταλαμβάνοιεν – θηρευταί P S: καταλαμβάνοι δὲ θᾶττον καὶ ἡ θηραταί **62** μηδὲ ἐμποδών L: om. P S ‖ **63** θηροφονίας L: θηροφονείας P S καταπολαύοις L: καταπαύοις P S ‖ **64** καὶ[1] – ἱππαζόμενος L: ἀκοντίζων, ἱππαζόμενος P S ‖ **65** καταμιγνύεις L: παραμιγνύεις P S ‖ **67** πολιτικὰ L: σεκρετικὰ P S ‖ **68** βολάς L: περιβολάς P S ‖ **69** δεῖται L: om. P S ‖ **71** εἰς L: ἐφ᾽ P S | θᾶττον – βασιλεῦ L: θειότατε βασιλεῦ, θᾶττον P S | οὐρανοῦ L: νοῦ P S **72** μετὰ – σελήνης L: μετὰ γαλήνης P S ‖ **73** βασιλίδος L: Βυζαντίδος P S μετὰ τοῦ P S: μετὰ L ‖ **74** δὴ P S: om. L | θηροφονίας L: θηροφονείας P S

XXXIII. ⟨Μιχαὴλ⟩ Κοντοστέφανος, ἀνεψιὸς τοῦ βασιλέως ⟨Ἰσαακίου τοῦ Κομνηνοῦ⟩

κουροπαλάτης (et etiam μάγιστρος) καὶ δούξ ⟨Ἀντιοχείας⟩

143. Τῷ ἀνεψιῷ τοῦ βασιλέως ⟨Ἰσαακίου τοῦ Κομνηνοῦ, Μιχαὴλ⟩ τῷ Κοντοστεφάνῳ

ad Antiochiam; ca. a. 1057 – a. 1059

S 170 [P]

Ἐγώ, κάλλιστε πάντων ἀνδρῶν καὶ μεγαλοπρεπέστατε, (εἰ δὲ βούλει) καὶ ἀδελφὲ περιπόθητε, καὶ πρότερον ἐπεχείρουν γράμμασι φιλικοῖς τὴν σὴν φιλτάτην μοι κεφαλὴν κατασπάζεσθαι, ἐπεῖχον δὲ τὴν ἐπιχείρησιν, ἵνα μὴ φορτικὸς ἴσως
5 δόξω, παρὰ τὸ σὸν ἦθος ποιῶν. Ἀλλ' ὅ γε βέλτιστος οὗτος ἀνήρ, ὁ λογιώτατος Ἰωσήφ, ὁ πάλαι μοι συνήθης καὶ οἰκειότατος, καὶ τῶν σῶν ἀρετῶν μεγαλοφωνότατος ἐπαινέτης, παρεσκεύασέ με θαρρεῖν, καὶ περὶ τὸ γράφειν καὶ ἐπιστέλλειν πρὸς σὲ λόγοις πολλοῖς ἀνεπτέρωσε, κατάλογον ποιούμενος τῶν χαρίτων τοῦ
10 ἤθους σου, καὶ ὡς ἀνὰ στόμα φέρεις ἡμᾶς, καὶ ἐν πολλοῖς καὶ μεγάλοις συνεδρίοις, τὴν ἡμετέραν κηρύττεις γλῶτταν, καὶ τελευταῖον ὡς βούλει καὶ γράμματα ἡμέτερα δέχεσθαι, καὶ ἡδέως ἔχεις τὸν ἐπιστολιμαῖον τοῦτον προσίεσθαι ἀσπασμόν. Διὰ ταῦτα, θαρρούντως γράφω πρὸς σὲ τὸν εὐγενέστατον ἐμοὶ καὶ
15 λαμπρότατον, πρᾳότατον δὲ τῷ ἤθει καὶ μετριώτατον, πρακτικώτατον δὲ ἐν τοῖς ἀνὰ χεῖρα πράγμασι καὶ ἀκριβέστατον·

XXXIII cf. Cheynet 2013,415–416 ‖ **6** Ἰωσήφ: de quo cf. Π 14,59, Π 15,56, et Π 16,68; cf. etiam Π 12,6?

ep. 143 L 80v–81v, U 147r–148v, P 228v–229r; tit. scripsi: τῷ Κοντοστεφάνῳ L τῷ ἀνεψιῷ τοῦ βασιλέως τῷ Κοντοστεφάνῳ U τῷ ἀνεψιῷ τοῦ βασιλέως P τῷ ἀνεψιῷ τοῦ βασιλέως ⟨Ἰσαακίου τοῦ Κομνηνοῦ⟩ S ‖ **3–4** τὴν – δὲ L P S: om. U ‖ **5–6** ὁ – Ἰωσήφ U P S: ὁ δεῖνα L ‖ **11** γλῶτταν L U: γλῶσσαν P S **13** ἐπιστολιμαῖον L P S: ἀποστολιμαῖον U ‖ **14** ἐμοὶ L P S: ἐμὸν U **15** πρᾳότατον – μετριώτατον U P S: om. L

ὁσάκις γάρ σου ἐντύχω γράμμασιν ἀναγινωσκομένοις παρὰ τῷ μεγάλῳ ἡμῶν αὐτοκράτορι, θαυμάζω σου τὸ ὀξὺ τῆς φρονήσεως, καὶ τῆς συνέσεως τὴν ἀγχίνοιαν, καὶ τὸ διεσπουδασμένον καὶ ἄγρυπνον τοῦ φρονήματος, καὶ μακαρίζω τὸ γένος ὅλον ὑμῶν, ὅτι 20 ἀπὸ μιᾶς ὁρμηθέντες πηγῆς καλλίστης καὶ ποτιμωτάτης (τῆς τοῦ βασιλέως φημὶ ψυχῆς), ὅμοιοι κατὰ τὴν φύσιν ἀπεμερίσθητε ποταμοί, πάντες γλυκεῖς, πάντες διειδεῖς, πάντες πότιμοι.

Ἐγὼ μέν οὖν, λαμπρότατε κύριέ μου, καὶ ἀπὸ ψιλῆς θέας, ὕστερον δὲ καὶ ἀπὸ βραχείας τῆς ὁμιλίας, ἐχαρακτήρισά σου τὸ 25 φρόνημα· καὶ πολλάκις πρός τινας εἶπον, ὡς οἷον ἄνθος ἡ Ῥωμαίων ἐβλάστησε γῆ. Νῦν δὲ μᾶλλον ἔγνων τε καὶ κατείληφα, καὶ ἠκρίβωσά σου τὴν ἕξιν τῆς φύσεως· καὶ ἄγαμαί σε καὶ τοῦ ἤθους καὶ τοῦ φρονήματος, καὶ τῆς ἀκριβείας τοῦ νοῦ, καὶ τῆς σταθηρότητος τοῦ λογισμοῦ. Καὶ ὅτι μὲν πάντες ὑμεῖς τοῦ βασιλι- 30 κοῦ φρονήματος ἥττησθε, καὶ κάτω ποι φέρεσθε, καὶ ὑμεῖς ἂν ὁμολογήσητε καὶ τὴν ἧτταν ἡδέως ἂν ἀποδέξησθε. Ὅτι δὲ καὶ οὕτως ἔχοντες, ἐμφέρειάν τινα πρὸς τὸ πρωτότυπον ἔχετε καὶ ὁμοίωσιν, δῆλον ἐξ ὧν ποιεῖτε καὶ λέγετε, σύ τε ὁ ὑπέρλαμπρος κουροπαλάτης καὶ μέγιστος δούξ, καὶ ὁ τὴν τύχην ἶσος καὶ τὴν 35 φρόνησιν ὅμοιος (οἶδ' ὅτι ἔγνωκας ὡς τὸν θαυμασιώτατον Δοκειανὸν εἴρηκα). Καὶ χαίρω ὅτι τοιαῦτα προπύργια τῷ θείῳ ἡμῶν κατεσκευάσθητε αὐτοκράτορι, ὁ μὲν ἐγγὺς ἱστάμενος καὶ οἷον προασπίζων, σὺ δὲ πόρρωθεν ἀναστέλλων τὰς τῶν ἐναντίων ὁρμάς. Διὰ ταῦτα καὶ ὁ βασιλεὺς γέγηθε καὶ ἐπιγάννυται τοῖς 40

17–18 τῷ – αὐτοκράτορι: Isaacius Comnenus (imperator: 1.IX.1057 – 22.XI.1059) (Π XXXII) ‖ **36–37** τὸν – Δοκειανὸν: Theodorus Doceianus, curopalates, nepos Isaacii (Π XV)

17–18 παρὰ – αὐτοκράτορι L U: παρὰ τοῦ μεγάλου ἡμῶν αὐτοκράτορος P S **19** διεσπουδασμένον L P S: ἐσπουδασμένον U ‖ **20** καὶ L P S: om. U | ὅλον L P S: ὅλων U ‖ **21** πηγῆς L P S: ψυχῆς U ‖ **24** οὖν L U: om. P S | κύριέ L P S: κύριοί U | λαμπρότατε – μου U P S: om. L | ψιλῆς L P S: τῆς ψιλῆς U ‖ **26** ὡς οἷον U P S: οἷον L ‖ **30** σταθηρότητος – λογισμοῦ L U: τοῦ λογισμοῦ σταθηρότητος P S ‖ **32** ὁμολογήσητε U P S: ἀνομολογήσητε L ‖ **32–33** ἡδέως – πρωτότυπον : ἡδέως ἀποδέξησθε. ὅτι δέ, καὶ οὕτως ἔχοντες, ἐμφέρειάν τινα πρὸς τὸ πρωτότυπον in marg. add. L ‖ **33–34** καὶ ὁμοίωσιν U P S: om. L **34–35** ὑπέρλαμπρος κουροπαλάτης L: λαμπρότατος μάγιστρος U P S **40** καὶ[1] – βασιλεὺς L U: om. P S | γέγηθε L U: γέγηθέ τε P S

προμάχοις ὑμῖν, καὶ μετὰ θεὸν ἐπὶ ταῖς συμμαχίαις ὑμῶν τεθάρρηκε.

Πλὴν καὶ ὑμῶν προπολεμούντων αὐτοῦ, ἄγρυπνον καὶ αὐτὸς τὸ ὄμμα τηρεῖ· καὶ οὐδεὶς τῶν πάντων ὑμῶν ἐθεάσατο τοῦτον ἐν
45 ὅλῳ τῷ χρόνῳ τῆς βασιλείας κατατρυφήσαντα, ἢ λαμπρῶς ἑστιασάμενον, ἢ φαιδρῶς πανηγυρίσαντα, ἢ ἐν ὕπνοις ἀναπαυσάμενον, ἢ ἐν πόνοις τοῦ οἰκείου φεισάμενον σώματος· ἀλλ' ὥσπερ στρατιωτικὸν αὖθις διαζῶν βίον, ἐν φροντίσιν ἑαυτὸν καταδαπανᾷ, μεριμνῶν ὅπως ἂν εὕρῃ τῶν κακῶν λύσιν, καὶ ἀναστήσῃ κείμενον
50 τὸ Ῥωμαίων ἀξίωμα.

Καὶ μή τοι με νομίσῃς, ἀδελφὲ περιπόθητε, ὅτι ἐξ ἐπίτηδες ταῦτα φθέγγομαι· αὐτὸς γάρ μοι μαρτυρεῖ ὁ θεός, ὡς παρὰ πάσας τὰς ἡμέρας συνδιάγων αὐτῷ, οὐδέποτε ἀπῆλθον μὴ θαυμάσας τὸν ἄνδρα καὶ ἐκπλαγεὶς τὴν ἐκείνου ψυχήν· βούλεται γὰρ μυριάκις
55 ἀποθανεῖν ὑπὲρ τοῦ μεγεθῦναι τὴν τῶν Ῥωμαίων ἀρχήν, καὶ τό γε θαυμασιώτερον, ὅτι στρατηγικώτατος γεγονὼς ὑπὲρ πάντας τοὺς ᾀδομένους ἐν στρατηγήμασι, καὶ τὰ πολιτικὰ ἄκρως μεταχειρίζεται πράγματα, καὶ οὐδενὸς ἡμῶν δεῖται, οὔτε ἐν διαλύσεσιν ἀμφισβητήσεων, οὔτε ἐν τῷ ἀκριβεῖ τῆς τῶν φόρων
60 εἰσπράξεως, οὔτε ἐν τῇ καταστάσει τῆς πολιτικῆς διαθέσεως, ἀλλὰ δι' ὑπερβάλλουσαν εὐφυΐαν, πάντα ἀθρόον καὶ συνέγνωκε, καὶ μεταχειρίζεται εὐφυῶς. Τοιοῦτόν σου τὸν θεῖον ἐπίστασο· καὶ τοιούτοις λόγοις ἁπανταχοῦ κήρυττε.

Ἡμεῖς δέ σοι τὸ γράμμα τοῦτο νῦν πρῶτον διδόαμεν, ὥσπερ
65 δάνειον, καὶ ἀπαιτοῦμεν τὸ χρέος τὴν ἴσην ἀντίδοσιν. Γράφε οὖν ἐμφύτως, ἀφελῶς, καὶ στρατιωτικῶς, ἵνα σου τὸν χαρακτῆρα γινώσκω, καὶ ὡς παρόντι προσομιλῶ. Ἀλλὰ τίνος ἂν εἴη ἄξιος ὁ συναλλάξας ἡμᾶς ταῖς ἐπιστολαῖς καὶ τοὺς διεστηκότας συνάψας τοῖς γράμμασιν; Οὐ προσπαθείας τῆς παρὰ σοῦ; Οὐ τῆς πρὸς σὲ

56–57 στρατηγικώτατος – στρατηγήμασι: cf. Π 140,84–97 … στρατηγίας καὶ νίκας τῶν πάλαι βασιλέων ἀναγινώσκων … ἅπερ δὴ μόνῳ μετ' ἐκεῖνον τὸν ἄνδρα τῷ σῷ κράτει συνεληλύθασιν … ὦ πάντων ἐπέκεινα … καὶ βασιλέων καὶ στρατηγῶν etc. ‖ **67–69** ὁ – γράμμασιν: Ioseph (cf. supra l. 6)

41 ἐπὶ ταῖς U P S: ταῖς L ‖ **43** καὶ αὐτὸς L: οὗτος U P S ‖ **46** ἢ[1] – ἀναπαυσάμενον U P S: om. L ‖ **48** ἑαυτὸν L U: αὑτὸν P S ‖ **49** μεριμνῶν L U: om. P S ‖ **51** μή – με U: μή τι με L μή γε με P μή γε S ‖ **55** μεγεθῆναι U **63** ἁπανταχοῦ L U: ἁπανταχῇ P S ‖ **64–65** ὥσπερ δάνειον L U: om. P S

οἰκειώσεως; Τοῦτο οὖν αὐτὸ καὶ ἐγὼ ἀξιῶ. Ὀφείλεις δὲ πᾶν αὐτῷ 70
χαρίσασθαι, ὅτι τε τὰ σὰ ἐπαίρει καὶ μεγαλύνει, καὶ ὅτι τῆς ἡμετέρας φυτείας περὶ τοὺς λόγους ἐστίν.

Εἰ οὖν ἐμὲ ἀγαπᾷς, ὥσπερ δὴ εὐφήμῳ στόματι ἐν πᾶσι τοῦτο βοᾷς, χρεών ἐστι καὶ τὸν ἐμὲ ἀγαπῶντα οἰκειοῦσθαί τε καὶ ἀσπάζεσθαι, ἢ μᾶλλον ἀντιποιεῖσθαι καὶ ἐλεεῖν· ἔστι γὰρ καὶ τὴν γλῶτ- 75
ταν πολύς, καὶ τὸ ἦθος ἄριστος, καὶ τὴν ψυχὴν φρονιμώτατος. Διὰ πάντα οὖν ταῦτα καὶ τὸ ὑπὲρ ταῦτα δι' ἐμέ, ἐν μερίδι σοι τῶν οἰκειοτάτων ἔστω, καὶ ὅσα δεῖ ποιεῖν ἄνδρα οἷος σὺ περὶ τοιοῦτον λογιώτατον καὶ συνετώτατον, μηδενὸς φείσῃ. Κεκράξεται μὲν γὰρ καὶ οὗτος, εὐεργεσίας ἴσως τυχών, καὶ ἀπολαμπρυνεῖ τὰ σά· κἀγὼ 80
δέ σοι χάριτας ὁμολογήσω, ἀνθ' ὧν εὖ πεποίηκας περὶ ὃν ἐγὼ οἰκειότατα διατίθεμαι.

70 οὖν U P S: οὖν σοι L | πᾶν αὐτῷ L U: αὐτῷ πᾶν P S ‖ **71** χαρίσασθαι L U: χαρίζεσθαι P S ‖ **77** πάντα – ταῦτα[1] L U: ταῦτα οὖν πάντα P S ‖ **78** περὶ τοιοῦτον ἄνδρα S ‖ **80** καὶ[1] bis U

XXXIV. Κυρίτζης

κριτὴς ἐπὶ τοῦ ἱπποδρόμου

144. * Τοῦ κριτοῦ ἐπὶ τοῦ ἱπποδρόμου τοῦ Κυρίτζη, πρὸς τὸν Ψελλόν

K-D 209 [O]

Οἶδα μὲν ὅτι σφηκίαν ἐγείρω κατ' ἐμαυτοῦ, τὰ χείλη διαίρων τε καὶ φθεγγόμενος πρὸς τὸν ἐμὸν καὶ πάντων διδάσκαλον (εἰ μή που καὶ τοῦτο ῥᾳδίως, ὥσπερ δὴ τὸ «αὐθέντης» ἐπιφώνημα καὶ τὸ «ἅγιος», ἀποβάλοιτο), καὶ τῆς τοῦ ἐπιστολίου στενότητος
5 ὑπεραπολογούμενος. Πλὴν εἰ καὶ παρὰ πολὺ τοῖς λόγοις ἡττῶμαι

XXXIV cf. scholiasten in Basilicorum libros (41,1,11,15; ed. Holwerda and H. J. Scheltema) et patricium et kriten in Actu Nicolai Serbliae (a. 1062; Acta Monasterii Iviron 15 πρὸς τ(ο)ῦ π(ατ)ρι(κίου) καὶ κριτ(οῦ) τοῦ Κυρίτζη, ed. Kravari, Lefort, Métrévéli, Oikonomidès, et Papachryssanthou) ‖ **1** σφηκίαν ἐγείρω: proverbium; CPG I 69–70 (nr. 53) σφηκιὰν ἐκίνησας et II 213 (nr. 94) σφηκιὰν ἠρέθισας cum Greg. Naz. Λόγος θεολογικὸς πρῶτος πρὸς Εὐνομιανούς = Or. 27,9 τί σφηκιὰς ἐγείρεις κατὰ τῆς πίστεως. cf. Π 144,1 et Π 145,5 ‖ **1–2** ἐμαυτοῦ ... ἐμὸν: cf. Π 146,177–178 ἡ δὲ ἀλαζὼν ἀντωνυμία ‖ **1** τὰ – διαίρων: cf. Π 146,147–155 τὸ δὲ «διαίρων», ὦ βέλτιστε, τίνα τρόπον σοι τέθειται, ἀφεικότι τὸ «διαιρῶν»; τὸ μὲν γὰρ αἴρειν, ἀνατάσεως σύμβολον καὶ τῆς πρὸς τὸ ἄνω κουφότητος· τὸ δὲ διαιρεῖν, αὐτὸ τοῦτο διαίρεσίς ἐστι συνεπτυγμένων μερῶν. συμπεφυκόσι τοίνυν χείλεσι, ποία τῶν λέξεών ἐστι κατάλληλος: ἡ διαιροῦσα, ἢ ἡ διαίρουσα; ἡ μὲν γὰρ διαιροῦσα διαστέλλει τὴν πτύξιν ἐπίσης ὁμοῦ, ἡ δὲ διαίρουσα τὸ μὲν ἄνω χεῖλος κουφίζει ἀνοιγομένου τοῦ στόματος, τὸ δὲ κάτω μᾶλλον χαλᾷ, μᾶλλον δὲ οὐδ' ἐκεῖνο διαιρεῖ· ἀκίνητοι γὰρ τὴν ἄνω γένυν ἐσμέν. cf. etiam Π 197,10 διαστέλλω τὰ χείλη et Π 209,49–50 οὔτε χείλη διᾶραί μοι δυνατόν ‖ **2** πρὸς – διδάσκαλον: cf. Π 146,121–123 ὁ πάντων διδάσκαλος (τὸ γὰρ σὸν ὡς ἐξῃρημένον ἀφείσθω· καὶ γὰρ καὶ τοῦτο τετόλμηκας), ὁ τοίνυν τῶν πάντων διδάσκαλος ‖ **3–4** ὥσπερ – ἅγιος: cf. Π 146,191–194 τὸ ἐπιφώνημα πῶς οὐχὶ καὶ ἀπὸ τῶν ἀψύχων ἔλεγχον ἐκκαλέσεται; ἐπιφώνημα: ὦ λόγοι, καὶ γνῶσις, καὶ παιδεία· ἐπιφώνημα: ἄκουε, οὐρανέ, ἄνωθεν καὶ ἐνωτίζου, γῆ· ἐπιφώνημα: τὸ πρῶτον ῥῆμα τοῦ γράμματος

ep. 144 O 289r–v, A 37v–38r; tit. scripsi: τοῦ Κυρίτζη πρὸς τὸν Ψελλόν O K-D ἀντίγραμμα πρὸς ἐπιστολὴν τοῦ κριτοῦ ἐπὶ τῶν ἱπποδρομίων τοῦ Κυρίτζη, περιέχουσαν οὕτως A ‖ **3** δὴ A: om. O K-D ‖ **4** ἀποβάλοιτο O K-D: ἐπιβάλλοιτο A

τοῦ διδασκάλου, ἀλλ᾽ ἐμαυτῷ γε πρὸς τὰ γραφέντα συνηγορῶν, ὅλῳ πήχει τοῦτον βασιλικῷ ὑπερβάλοιμι.

Μερικὰς μὲν οὖν οὐ παρατηρῶν καὶ περιεκτικὰς σημασίας, ἴσως οὐ πάνυ τοι πρὸς τὰ τοιαῦτα λελεπτολογημένος, ὑπό τινα δὲ λόγον ἀναμφίλεκτον τὸ ἐμὸν τιθέμενος μήνυμα, καί σου τὸ ῥεῦμα 10 τῆς γλώττης ὡς ὑπὸ μικρᾶς τούτου ψηφῖδος ἐπέχων, καὶ τὴν ἔννοιαν τοῦ ἐπιστολίου ὡς ἀπαραλόγιστος ἐναργῶς παριστῶν, ἐζήτησα πᾶν τὸ δέκατον τῶν νομίμων βιβλίον. Ἐζήτησα δὲ οὐχ ὡς περὶ ἄλλο καὶ ἄλλο καταγινόμενον, ἀλλὰ διὰ πολλῶν τε καὶ μακροτέρων τῶν περιόδων, πρὸς ἕν τι συντεῖνον, τὴν παρὰ τοῖς 15 νομικοῖς (φημι) λεγομένην «ἀποκατάστασιν»· ἥτις πολυειδὴς μέντοι ὡς μάλιστα τυγχάνει τε, καὶ ἐν πλείοσι θεωρουμένη τοῖς τρόποις, ἐμοὶ δ᾽ ἐν τοῖς μετὰ χεῖρα ζητητέα τὰ μάλιστα, ἡ τοῖς καθ᾽ ἡλικίαν διδομένη νέοις· ἧς δὴ τὸ πραγμάτευμα, μέρος καὶ τοῦτο τοῦ βιβλίου τυγχάνον, ἐν βραχεῖ τινι καιρῷ ῥᾷστον διαλα- 20 βεῖν· βραχὺν δὲ καιρὸν καὶ τὸν ἀριθμὸν οἱ νομικοὶ τῶν τριῶν ὁρίζονται ἡμερῶν.

Πῶς οὖν οὐκ ἐγώ σοι, σοφώτατε, ἱκανὸς διὰ τοσούτου καιροῦ τό γέ μοι εἰς γυμνασίαν ἧκον ἤδη περιελθεῖν τε καὶ ὡς ὑπὸ σπάρτην τὴν ἐμπεσοῦσαν ἀγαγεῖν ὑπόθεσιν, ἢ τέως συναγαγεῖν 25 σποράδην (ὡς οἶσθα) κείμενα τὰ κεφάλαια (τὰς τούτων ἐννοίας φημὶ) καὶ ἐκ πολλῶν συγκροτῆσαι; Προσέθηκα δὲ τὸ «ταῦτα» καὶ

7 ὅλῳ – βασιλικῷ: Lucian. Κατάπλους ἢ τύραννος 16 ὑψηλότερος ὅλῳ πήχει βασιλικῷ. cf. etiam Π 145,10 ‖ **8** περιεκτικὰς σημασίας: iunctura grammatica, cf. e.g. Ael. Herodian. Περὶ καθολικῆς προσῳδίας 159,17; cf. etiam infra l. 33 **13** τὸ – βιβλίον: scil. Basilicorum liber Περὶ ἀποκαταστάσεως ‖ **15–16** τὴν – ἀποκατάστασιν: cf. Π 145,15–16 τῷ τῆς «ἀποκαταστάσεώς» σου ὀνόματι **16** ἀποκατάστασιν: cf. e.g. Basilica passim cum scholiis cum Psel. Σύνοψις τῶν νόμων ... = Poem. 8,591, 720, et 1128 ‖ **21–22** βραχὺν – ἡμερῶν: cf. e.g. Schol. in Basilicorum libros 8,1(V),42,4,9 ἐκ τοῦ παραχρῆμα, τουτέστιν ἐντὸς τριῶν ἡμερῶν. cf. etiam Π 145,18–19 et 27 πρὸς δὲ τὸν βραχὺν καὶ ἀσύμμετρον χρόνον, τίς ἡ τριὰς αὕτη καὶ ὁ νόμος; ... τὸν τρία ἀντιτάξας τῷ ἀορίστῳ;

8 οὖν δὴ A: om. O K-D ‖ **9** τοι A: τι O K-D | λελεπτολογημένος O K-D: λεπτολογημένος A ‖ **13** βιβλίον O K-D: βιβλίων A ‖ **15** παρὰ O K-D: περὶ A **18** τὰ O K-D: om. A ‖ **19** ἧς A: οἷς O K-D ‖ **21** βραχὺν A: βραχὺ O βραχὺ⟨ν⟩ corr. K-D ‖ **23** σοφώτατε A: σοφωτάτῳ O K-D ‖ **24** ἧκον O K-D: om. A **24–25** σπάρτην : σπάρτον A ‖ **27** πολλῶν A: πολλῶν ἐμαυτὸν O K-D

μάλα καιρίως· οὐ γὰρ ἐν ὀκτὼ τὸ βιβλίον, ἀλλ' ἐν πολλαῖς διφθέραις συγγέγραπται, λέγει δὲ τὰ αὐτὰ πολλάκις καὶ μακρηγορεῖ,
30 καὶ ὥσπερ διά τινος εὐρυχώρου κύκλου τὴν αὐτὴν ἑλίττει χορείαν. Καὶ οὐχ οἷόν τε ἦν ἀριθμὸν ταῖς βραχείαις ἐκείναις συλλαβαῖς σημήνασθαι, ἢ τόπον ὁρίσασθαι, ἀλλ' ἀνάγκη ἐπετέθειτο πᾶσα, σύμπαν αἰτῆσαι τὸ βιβλίον, καὶ τῇ περιεκτικῇ χρήσασθαι σημασίᾳ.

35 Αὐτὸς δέ μοι, μεγαλεπήβολε, μερικοὺς τάττε χρόνους, καὶ ἄγε τούτους πρὸς τὸ ἀσύμμετρον, μεγεθύνων (οὐκ οἶδ' ὅπως) τὸ πρᾶγμα, καί με τῇ μεγαληγορίᾳ παραλογιζόμενος, καὶ «ἐκ πρώτης» (φασί) καταπλήττων «γραμμῆς», ἐν ἀρχῇ τε τοῦ ἀντιγράφου τὸ «δοῦλε» προτάττων «καὶ ἁμαρτωλέ». Εἶτα κατὰ
40 μικρὸν ὑποβαίνοντι τῷ λόγῳ, τοῦ μηνύματος κατορχούμενος, καὶ πρὸς τὸ ἀπίθανον τουτὶ περιάγων, καὶ σπουδαιολογεῖσθαι φάσκων πρὸς τοῦτο, καὶ τῷ ἐμῷ εἰς γῆν τε κλινομένῳ καὶ συμπατουμένῳ λόγῳ, τὸν ὑψηλόν τε σὸν καὶ αἰθέριον, ὥς τινα μέγαν ἀντιπεριϊστῶν γίγαντα, καὶ διὰ πάντων σιωπῆσαί με μηχανώμε-
45 νος, καὶ μηδὲ τὸ γρῦ τεχνώμενος ἀντιφθέγξασθαι.

Ἀλλὰ θάρρει, διδάσκαλε, ὡς ἔγωγε, εἰ καὶ μὴ κατὰ ῥυθμόν, ἀλλ' ὅμως ᾄδω ἀγλευκεῖ τινι καὶ ξηρῷ καὶ ἀπογεγαιωμένῳ πρὸς λόγον μαθήματι τῇ νομικῇ προσανέχων. Καὶ ὑποστρουθίζω τῷ

37–38 ἐκ – γραμμῆς: proverbium, CPG I 210 (nr. 83a) et II 145 (nr. 18) ἀπὸ γραμμῆς. cf. Psel. Ἀπολογητικὸς ὑπὲρ τοῦ Φιλιππουπόλεως Λαζάρου καθαιρεθέντος = Or. for. 2,120, Ἐπιτάφιος εἰς … Ἰωάννην τὸν Ξιφιλῖνον = Or. fun. I 3,14,37, Βίος καὶ πολιτεία … Αὐξεντίου … = Or. hag. 1c,286, et Π 146,2–3 et Π 195,6; cf. etiam Π 34,27–28, Π 242,5, et Π 287,4 ‖ **45** μηδὲ – ἀντιφθέγξασθαι: proverbium, cf. Suda γ 461 … Ἀριστοφάνης Πλούτῳ· καὶ ταῦτ' ἀποκρινομένου τοπαράπαν οὐδὲ γρῦ, ο 779 οὐδὲ γρὺ λόγων ἁψάμενος … Ἰουλιανός, τ 730 τὸ Δίωνος γρῦ. cf. Π 24,1, Π 281,1, et Π 437,5 ‖ **46–47** εἰ – ᾄδω: cf. Π 145,28 πῶς γὰρ ᾄδεις μέν, οὐ κατὰ ῥυθμὸν δέ ‖ **47–48** ξηρῷ … μαθήματι: cf. Π 145,33 μαθήματι … ξηρῷ ‖ **48–49** ὑποστρουθίζω – τερετισμῷ: cf. Π 145,33-34 εἶτα δὴ πρὸς «τὸν ἐμὸν ὑποστρουθίζεις τερετισμόν»

29 δὲ A: τε O K-D | μακρηγορεῖ O K-D: μακρολογεῖ A ‖ **32** σημήνασθαι A: σημήνας O σημῆναι corr. K-D ‖ **35** τάττε : τέττατε A ‖ **39** κατὰ A: om. O K-D ‖ **40** ὑποβαίνοντι corr. K-D: ὑποβαίνοντα O A ‖ **46** κατὰ ῥυθμόν O K-D: κατ' ἀριθμόν A ‖ **47** ἀπογεγαιωμένῳ corr. K-D: ἀπογεγιωμένω O ἀπογεωμένῳ A

σῷ τορωτάτῳ τερετισμῷ· καὶ μιμοῦμαι νεοττὸν ἄρτι, τήν τε πτῆσιν ἅμα καὶ τὴν ᾠδὴν διδασκόμενον· καὶ τὰ πολλὰ σχεδιάζω, 50 τοῦτό μοι χαριζομένης τῆς φύσεως.

145. Τοῦ Ψελλοῦ ἀντίγραμμα πρὸς αὐτόν

Πρὸς τὸν Κυρίτζην

K-D 210 [B, O]

Πολλάκις σου τὴν ἐπιστολὴν ἀνελίξας καὶ ποικίλως βασανίσας τοῖς λογισμοῖς, νομικώτατε (τοῦτο γὰρ τέως βεβούλησαι διὰ τὴν περὶ τοῦ χρόνου διάταξιν ἵν' ἐκεῖθεν ἐκφύγῃς τὸ ἔγκλημα), οὐδ' ὅσον ἴχνος ἐννοίας συνηρμοσμένης κατείληφα. Ἀβάλε δέ σοι, ὅτι μὴ τῶν σῶν ἐπήβολος γίνομαι, «σφηκίαν ἐγείρειν» ἤλπισας· εἶτα 5 δὴ καὶ κατὰ σοῦ τὸν βόμβον ἐκίνησας, προγνοὺς τὴν πάλην καὶ ἑλόμενος. Διδάσκαλον ὡμολόγησας, καὶ τὰ μαθητῶν οὐ πεποίηκας, ἀλλ' ἀπὸ τοῦ μείζονος πρὸς μὲ πεποίηκας τὴν ἀντίρρησιν. Ἡττώμενος, ὑπερβάλλειν τεθάρρηκας, παρ' οὗ τὴν ἧτταν ὑφίστασαι. Τῷ «βασιλικῷ σου πήχει» (τούτῳ δὴ τῷ παρ' 10 ὑμῶν δεδημευμένῳ καὶ μυριολέκτῳ), τὴν μικρὰν ψηφίδα ἀντέθηκας, ὥσπερ δὴ καὶ τῷ ἐμῷ ῥεύματι. Βαβαὶ τῆς ἀγνοίας! Εἶτα δὴ—ἀλλὰ πῶς δὴ τοσοῦτον πρὸς μὲ ἀπηναισχύντηκας, ᾧ γε καὶ ἡ διωμαλισμένη αἰδὼς τῶν πολλῶν ὑποπτεύεται; τὸν γὰρ

50–51 τὰ – φύσεως: cf. Π 145,42–43 τί δὲ πρὸς ταῦτα τὸ σχεδιάζειν, καὶ ἡ μεγαλόδωρος φύσις; ‖ **5** σφηκίαν ἐγείρειν: proverbium; CPG I 69–70 (nr. 53) σφηκιὰν ἐκίνησας et II 213 (nr. 94) σφηκιὰν ἠρέθισας cum Greg. Naz. Λόγος θεολογικὸς πρῶτος πρὸς Εὐνομιανούς = Or. 27,9 τί σφηκιὰς ἐγείρεις κατὰ τῆς πίστεως. cf. Π 144,1 οἶδα μὲν ὅτι σφηκίαν ἐγείρω et etiam Π 146,42–43 **10** τῷ βασιλικῷ – πήχει: Lucian. Κατάπλους ἢ τύραννος 16 ὑψηλότερος ὅλῳ πήχει βασιλικῷ. cf. Π 144,7 ὅλῳ πήχει τοῦτον βασιλικῷ ὑπερβάλοιμι

49 τορωτάτῳ corr. K-D: ταρωτάτω O τορετάτῳ A | τερετισμῷ O K-D: τερεντισμῷ A ‖ **ep. 145** B 148r–v, O 289v; tit. O K-D: om. B ‖ **3** ἐκφύγῃς O K-D: φύγῃς B ‖ **4** ἐννοίας O K-D: εὐνοίας B | ἀβάλε B K-D: ἄβαλε O | ὅτι O K-D: ὅτε B ‖ **5** σῶν O K-D: σῶν ἐγὼ B | γίνομαι O B: γίνωμαι K-D γένωμαι corr. Diam 304 ‖ **6** βόμβον O K-D: βόθρον B ‖ **7** ἑλόμενος O K-D: ἑλκόμενος B τὰ O K-D: τὰ τῶν B ‖ **12** βαβαὶ τῆς ἀγνοίας B: om. O K-D ‖ **14** αἰδὼς O K-D: ὁδὸς B

15 πολλοστὸν νῦν ἀριθμὸν τῶν διφθερῶν ὡμολόγησας, τῷ τῆς «ἀποκαταστάσεώς» σου ὀνόματι, εἰδὼς ὡς μέρος τοῦτο τῶν ἐν αὐτῷ εἰσηγήσεών τε καὶ διατάξεων.

Πρὸς δὲ τὸν βραχὺν καὶ ἀσύμμετρον χρόνον, τίς ἡ τριὰς αὕτη καὶ ὁ νόμος; Τίς ἡ πλάσις; Τίς ἡ σκηνή; Πρὸς τίνα τοὺς λόγους 20 πεποίησαι; Διατί δὲ μὴ ἐπιστέλλων, τὸν νομικὸν εὐθὺς πρῶτον ὁμολογεῖς, ἵν᾽ ἐλεγχόμενος πρὸς τὸν νέον ἡμῖν ἐπιστρέφῃς Πυθαγόραν, ἢ καὶ σιωπᾷς ὡς τὴν ἱεροφαντικὴν ἐχεμυθίαν τελούμενος;

Ἐγὼ δὲ οἶδα μὲν καὶ νόμων διαστολάς, τοὺς λόγους δὲ οὐ πρός τι ποιοῦμαι, ἀλλ᾽ ἐφ᾽ ἑαυτόν. Ἀλλὰ πῶς ἀναιρῶν τοὺς 25 μερικοὺς ἡμῖν χρόνους, καὶ φιλοσόφοις ἀντιδιαταττόμενος λόγοις, τοὺς σοὺς ἐλέγχους ἠγνόησας, καὶ μερικωτέρους λαθὼν ἀντεισήνεγκας, τὸν τρία ἀντιτάξας τῷ ἀορίστῳ;

Τὰ δ᾽ ἄλλα οὐαί σοι. Πῶς γὰρ ᾄδεις μέν, οὐ κατὰ ῥυθμὸν δέ; ἡ γὰρ ᾠδὴ φθόγγος ἐστὶν ἐμμελής, τὸ δ᾽ ἐμμελὲς λόγοις ἁρμονικοῖς 30 ἥρμοσται· τοῦτο δὲ καὶ χρόνῳ διῄρηται, ὥστε καὶ ἐρρύθμισται. Τὸ

15–16 τῷ – ὀνόματι: cf. Π 144,15–16 τὴν παρὰ τοῖς νομικοῖς (φημι) λεγομένην «ἀποκατάστασιν» ‖ **18–19** πρὸς δὲ – νόμος: cf. Π 144,21–22 βραχὺν δὲ καιρὸν καὶ τὸν ἀριθμὸν οἱ νομικοὶ τῶν τριῶν ὁρίζονται ἡμερῶν et infra l. 27 τὸν τρία ἀντιτάξας τῷ ἀορίστῳ cum e.g. Schol. in Basilicorum libros 8,1(V),42,4,9 ἐκ τοῦ παραχρῆμα, τουτέστιν ἐντὸς τριῶν ἡμερῶν ‖ **22** τὴν – ἐχεμυθίαν: Eunap. Βίοι φιλοσόφων καὶ σοφιστῶν 6,1,5,5–6 πρὸς μυστηριώδη τινὰ σιωπὴν καὶ ἱεροφαντικὴν ἐχεμυθίαν. cf. Π 121,41–42 et Π 146,46. cf. etiam Iambl. Προτρεπτικός 106,5–7 κατὰ τὴν νενομοθετημένην αὐτοῖς ὑπὸ Πυθαγόρου ἐχεμυθίαν μυστηρίων et Π 134,19–20 ‖ **21–22** πρὸς – τελούμενος: cf. e.g. Suda σ 469 Σιωπή· παροιμία· καὶ σιωπηλότερος ἔσομαι καὶ τῶν Πυθαγόρᾳ τελεσθέντων. ἐπὶ τῶν πάνυ σιγώντων· παρόσον οἱ Πυθαγόρου φοιτηταὶ παράγγελμα εἶχον σιγὴν ἀσκεῖν πενταετῆ χρόνον. cf. Psel. Ἐγκώμιον εἰς τὴν ἀποτομὴν ... Ἰωάννου = Or. hag. 8,325–327 et Π 183,29–30; cf. etiam Π 201,6–7 ‖ **27** τὸν – ἀορίστῳ: cf. supra ll. 18–19 ‖ **28** πῶς – δέ: cf. Π 144,46–47 εἰ καὶ μὴ κατὰ ῥυθμόν, ἀλλ᾽ ὅμως ᾄδω ‖ **29** φθόγγος – ἐμμελής: Porph. Εἰς τὰ ἁρμονικὰ Πτολεμαίου ὑπόμνημα 87,18 εἰ γὰρ ἐμμελὴς λέγεται φθόγγος

19 τίνα B K-D: τίνας O ‖ **21** ἡμῖν ἐπιστρέφῃς O K-D: εὐθὺς ὑποστρέφῃς B **25** ἀντιδιαταττόμενος O K-D: ἀντιταττόμενος B ‖ **26** σοὺς O K-D: μὲν B μερικωτέρους O K-D: μερικώτατα B ‖ **27** τὸν : τὸ corr. Dölger | ἀντιτάξας O K-D: ἀντεισάξας B

δ' «ἐναντιοφανές», ὦ βέλτιστε, πῶς οὐχὶ κἂν ἀπὸ τῶν σῶν νόμων μεμάθηκας; Φεύγεις μὲν γὰρ τὸ κάλλος τοῦ λόγου, ὡς προσανέχων τῇ νομικῇ, ἀκαλλεῖ «μαθήματι» καὶ «ξηρῷ»· εἶτα δὴ πρὸς «τὸν ἐμὸν ὑποστρουθίζεις τερετισμόν» (τὰ σὰ ταῦτα· μὴ γὰρ ἂν ἐμὰ εἴη). Καὶ ἄνω μὲν τῆς ἐπιστολῆς, πτῆσιν ἐπηγγείλω ἡμῖν 35 οὐράνιον ἢ ἀέριον, ὑπερβαλέσθαι τὸν διδάσκαλον ἐρυγγάνας μετὰ τῶν σεμνῶν σου (ὡς δοκεῖς) ὀνομάτων, κάτω δὲ νεοττὸν ἀπέφηνας τὸν πολιὸν ἀετόν, ἄρτι ᾄδειν τε καὶ πτερύττεσθαι διδασκόμενον. Καὶ μὴν οἱ ἀετιδεῖς τὴν πτῆσιν (ἵν' οὕτως εἴπω) παρὰ τῶν πατέρων μυούμενοι, αὐτομαθῶς χρῶνται τῷ πνεύματι πρὸς ᾠδήν· 40 σὺ δ' (οὐκ οἶδ' ὅπως) ἐξ ἀναρμόστων τὸν λόγον ποιούμενος, λανθάνειν ὑποπτεύεις ἡμᾶς. Τί δὲ πρὸς ταῦτα τὸ σχεδιάζειν, καὶ ἡ μεγαλόδωρος φύσις; Ἀπῳδὰ πάντα καὶ ἐκμελῆ (νὴ τὸν ἐμόν, ὡς ὁμολογεῖς, μαθητήν!). Καθάπτομαι δέ σου ὅτι, φύσεως τετυχηκὼς δεξιᾶς, ἐπὶ τὴν ἀγυρτικὴν τῶν λεξειδίων λέσχην δεδράμηκας, 45 τὰ κοινὰ καὶ συνήθη τῶν ὀνομάτων παραιτησάμενος, δι' ὧν ὁ πολιτικὸς ὑφαίνεται λόγος.

Ἐγὼ δέ σοι ταῦτα γεγράφηκα οὐχ ἁμιλλώμενος, οὐδὲ τοῖς ἐμοῖς σπλάγχνοις ἐπαποδυόμενος (μὴ οὕτω μανείην!), ἀλλὰ τὴν

31 ἐναντιοφανές: terminus in libris iurisprudentiae saepe laudatus; cf. etiam ODB 107–108 | ὦ βέλτιστε: iunctura Platonica (cf. e.g. Plat. Ἀπολογία Σωκράτους 24e1); cf. Π 95,86, Π 146,2, 84, 147, et 160, Π 319,8, et Π 407,32 **33** μαθήματι ... ξηρῷ: cf. Π 144,47–48 ξηρῷ ... μαθήματι ‖ **33–34** πρὸς – τερετισμόν: cf. Π 144,48–49 ὑποστρουθίζω τῷ σῷ τορωτάτῳ τερετισμῷ **39–40** οἱ – ᾠδήν: cf. Π 24,24–25 ὥσπερ οἱ νεοττιδεῖς τοῦ γένους τοῖς τῶν πατέρων ἀναπτερύσσῃ πτεροῖς ‖ **42–43** τί δὲ – φύσις: cf. Π 144,50–51 τὰ πολλὰ σχεδιάζω, τοῦτό μοι χαριζομένης τῆς φύσεως ‖ **49** μὴ – μανείην: iunctura saepe in Luciano laudata, cf. e.g. Ἀναβιοῦντες ἢ Ἁλιεύς 37 et Ἑταιρικοὶ διάλογοι 2,4; cf. etiam e.g. Ael. Arist. Πρὸς Πλάτωνα ὑπὲρ τῶν τεττάρων 126,26 et Suda μ 145. cf. Psel. Κατηγορία τοῦ ἀρχιερέως = Or. for. 1,2768, Ἐγκώμιον εἰς ... Νικόλαον μοναχὸν ... = Or. fun. I 10,1,12, Ἐγκώμιον εἰς τὴν φθεῖρα = Or. min. 28,121, Εἰς τὸ 'νοῦς μὲν οὖν ἤδη καὶ αἴσθησις' = Theol. I 90,85, et Π 7,51, Π 55,12, Π 100,13, Π 131,18–19, Π 139,62, Π 209,3–4, Π 277,2, Π 291,31–32, et Π 454,105

33 τῇ νομικῇ O K-D: τῷ νομικῷ B ‖ **36** οὐράνιον – ἀέριον O K-D: ἀέριον ἢ οὐράνιον B ‖ **37** ἀπέφηνας corr. K-D (Maas): ἀποφήνας B O ‖ **38** πτερύττεσθαι O K-D: πτερύσσεσθαι B ‖ **40** πατέρων B K-D: πατρώων O | πρὸς ᾠδήν O K-D: προσωδεῖν B ‖ **43** ὡς B K-D: om. O ‖ **49** ἐπαποδυόμενος O K-D: ἀποδυόμενος B

50 ὁδὸν ἀποφράττων, ἥτις σε πόρρω τοῦ καθήκοντος ἀποφέρει, ἵνα τὴν ἑτέραν ἕλῃς τὴν πρὸς ἡμᾶς, καὶ τὴν τοῦ εὖ λέγειν τέχνην προσάγουσαν. Ἅμα δὲ καὶ τετίμηκα τοσοῦτον σοὶ καταβάς, καὶ τοῖς ῥήμασί σου διώξας σε, καὶ τὴν τέχνην σε διδάξας τῆς ἀντιρρήσεως. Πλὴν οὐκ ἐκακούργησά σοι τοὺς λόγους, οὐδὲ τὸ δόξαν
55 ἐρρέθη, ἀλλὰ τὸ φανθὲν ἐδοξάσθη.

146. Περὶ τοῦ πῶς δεῖ ἀντιλέγειν, τὸν λογικῶς ἀντιλέγοντα
Πρὸς τὸν Κυρίτζην. Ἐπιστολὴ vel λόγος?

K-D 27 et K-D 28 [L]

Τοὺς γραφικοὺς τὴν τέχνην πρὸς τοὺς λόγους ἐγὼ μεμίμημαι, βέλτιστε· οὐ γὰρ εὐθὺς τέλεον ἱστορῶ τὸ λογικὸν εἶδος, οὐδ' «ἀπὸ πρώτης» (ὅ φασι) «γραμμῆς» τὴν διδασκαλίαν ἀπεικονίζω ἢ τὴν ἀντίρρησιν· ἀλλ' ὁλοσχερῶς πρῶτον τὴν τέχνην ὑποτυπούμενος,
5 καὶ τὴν σκιὰν (ὡς ἄν τις εἴποι) λεπτολογούμενος, οὕτως ἐπάγω τοῦ λόγου τὰ χρώματα, καὶ πρὸς τὸν ἰνδαλλόμενον προσάγω τὸ ἀφομοίωμα. Τοῦτο δὲ οὐ παρὰ τοῖς γραφικοῖς πρῶτον ἀνείλημμαι, ἀλλὰ καὶ παρὰ φιλοσοφίας πεπόρισμαι· καὶ γὰρ παρ' ἐκείνῃ μάλιστα προτέλειά τε τῆς ἐπιστήμης καὶ προεισόδια, καὶ
10 ὑποτυπωτικαὶ τῶν ῥηθησομένων σκιαί, εἶθ' οὕτως αἱ τελειότητες.
Μὴ οὖν οἴου τῆς ἀντιλογίας εἰληφέναι τὸ τέλειον, μηδὲ τοσοῦτον εὐθυνθῆναι τὴν σὴν ἐπιστολὴν ὅσον ἤδη γεγράφηκα· εἰ γὰρ ὁ

2 βέλτιστε: iunctura Platonica (cf. e.g. Plat. Ἀπολογία Σωκράτους 24e1); cf. Π 95,86, Π 145,31, Π 319,8, Π 407,32, et infra l. 84, 147, et 160 ‖ **2–3** ἀπὸ – γραμμῆς: proverbium, CPG I 210 (nr. 83a) et II 145 (nr. 18) ἀπὸ γραμμῆς. cf. Psel. Ἀπολογητικὸς ὑπὲρ τοῦ Φιλιππουπόλεως Λαζάρου καθαιρεθέντος = Or. for. 2,120, Ἐπιτάφιος εἰς … Ἰωάννην τὸν Ξιφιλῖνον = Or. fun. I 3,14,37, Βίος καὶ πολιτεία … Αὐξεντίου … = Or. hag. 1c,286, et Π 144,37–38 et Π 195,6; cf. etiam Π 34,27–28, Π 242,5, et Π 287,4 ‖ **12–14** εἰ – ἀπελήλαται: ad Aeschin. Κατὰ Τιμάρχου refert. cf. e.g. Suda τ 595 s.v. Τίμαρχος

51 ἕλῃς O K-D: ἕλῃ B ‖ **54** σοι O K-D: σου B ‖ **ep. 146** L 6v–7r (K-D 27) et 7r–9v (K-D 28), P 98v–99v, A 38r–40r; tit. P: om. L ἀντίρρησις A ⟨μαθητῇ τινι⟩ K-D (27 et 28) ‖ **3** φασι L P K-D: φησι A ‖ **7** τοῖς γραφικοῖς L P K-D: τῶν γραφικῶν A ‖ **9** τε ante corr. L P K-D: τις post corr. L om. A ‖ **12** γεγράφηκα L P K-D: γέγραφας A

Τίμαρχος παρανομήσας ἐς τὸ δημηγορεῖν, ὅτι διέφθαρτο, μακρῷ λόγῳ τοῦ ῥήτορος Αἰσχίνου, τῶν δικαστηρίων εὐθὺς ἀπελήλαται, πῶς οὐκ ἂν αὐτὸς μείζοσι λόγοις καταβληθείης, οὐ σαυτὸν 15 διαφθείρας, ἀλλὰ τοῖς λόγοις ἐπιχειρῶν, καὶ πρὸς φιλοσοφίαν ἀντιβλέπειν τολμῶν, καὶ πρὸς ἐμὲ τὸν ταύτης μυσταγωγὸν ἀναιδῶς οὕτως ἐναντιούμενος; Οὐ φιλοσοφίαν δὲ μόνον ἀνελεῖν ἐπεχείρησας, ἀλλὰ καὶ ῥητορικοῖς λόγοις ἀπηναντίωσαι, καὶ τὴν νομικὴν αὐτήν, ἀφ' ἧς ὡς ἐξ ἀκροπόλεως ὥρμησαι καθ' ἡμῶν, 20 πρῶτος αὐτὸς καταβέβληκας.

Τίνα οὖν σοι τῶν τριῶν πρώτην ἀντιστήσομαι διαλεξομένην περὶ ὧν εἰς αὐτὴν παρηνόμηκας; Βούλει σοι τὴν ῥητορικήν; Καὶ δὴ πάρεστιν αὕτη, οὐ Γοργιάζουσα οὔτε μὴν Ἱππιάζουσα, οὔτε τὰ τοῦ Πώλου φρυαττομένη, ἀλλὰ Δημοσθενικῶς σεμνυνομένη, καὶ 25 τὸ ὅλον πολιτικῶς. Ἐπεὶ δὲ οὐ πάνυ τῆς φωνῆς ἐκείνης ᾔσθησαι (ὑπεραττικίζει γὰρ τὴν γλῶτταν, καὶ τὰ πολλὰ τῆς συνήθους ἀποβέβηκε διαλέξεως), αὐτὸς ἐγώ σοι διερμηνεύσω ἅπερ ἐκείνη δυσήχως σοι μάλα καὶ δυσηκόως προσεπιφθέγγεται:

17 πρὸς – μυσταγωγὸν: cf. Πρὸς τὸν πατριάρχην κῦρ Μιχαὴλ περὶ τοῦ ὅπως ποιητέον χρυσόν 40,10–11 τῷ πρώτῳ σοι καὶ θείῳ μυσταγωγῷ ἄλλος αὐτὸς μυσταγωγὸς κάθημαι ‖ **20** ὡς – ἡμῶν: cf. e.g. Greg Naz. Εἰς τὸν μέγαν Βασίλειον … = Or. 43,68 ὡς ἔκ τινος ἀκροπόλεως cum Psel. e.g. Κατηγορία τοῦ ἀρχιερέως = Or. for. 1,718–719 et 1460–1462, Ἐγκωμιαστικὸς εἰς … Μιχαὴλ τὸν Κηρουλλάριον = Or. fun. I 1,15,15–16, Πρὸς τὸν λοίδορον ῥίψαντα χάρτην = Or. min. 7,44–46, et Εἰς τὸ 'ἐθεώρουν τὸν σατανᾶν' = Theol. II 18,84–85; cf. etiam Π 53,4–5 et Π 109,53–54 ‖ **24–25** οὐ – φρυαττομένη: Philostr. Βίοι σοφιστῶν II,21 (604,15–16) ὅτε δὲ ὁρμήσειεν ἐς διάλεξιν, ἱππιάζοντί τε ἐῴκει καὶ γοργιάζοντι. cf. Hermog. Περὶ ἰδεῶν 2,9,34 φαίνεται δὲ λόγος δεινὸς οὐκ ὢν τοιοῦτος, ὃ δὴ καὶ τρίτον ἔφην δεινότητος εἶδος εἶναι, ὁ τῶν σοφιστῶν, λέγω τῶν περὶ Πῶλον καὶ Γοργίαν καὶ Μένωνα, καὶ τῶν καθ' ἡμᾶς δὲ οὐκ ὀλίγων. cf. Psel. Εἰς τὸ 'ὧν γὰρ τοὺς ἐπαίνους οἶδα …' = Theol. I 98,15–16 οὐ γὰρ τοὺς περὶ Γοργίαν καὶ Πῶλον ἐζήλωκα et Π 134,43 ὄλοιντο δὲ Λυσίαι καὶ Πῶλοι καὶ Καλλικλεῖς

13 ἐς L P K-D: εἰς A ‖ **16** τοῖς λόγοις corr. Diam 303: τοὺς λόγους L P A K-D **20** αὐτήν P A: om. L K-D ‖ **21** πρῶτος P A: πρώτως L K-D ‖ **23** παρηνόμηκας P A: παρηνόμησας L K-D ‖ **24** οὔτε[2] P A: καὶ L K-D ‖ **28** ἅπερ L K-D: ἅττα P A ‖ **29** μάλα L P K-D: ἅμα A | προσεπιφθέγγεται des. epist. prima in L (7r) = K-D 27

30 Ἡ τοῦ ἀντιλέγειν τέχνη, ὦ μακάριε σύ, οὐ παντός ἐστι τοῦ δυναμένου συνείρειν ὀνόματα, ἀλλὰ τοῦ οἰκονομεῖν εἰδότος, καὶ τὸ μὲν σιωπᾶν, τὰ δὲ ἐπισταμένου παρρησιάζεσθαι, καί πρὸς τὸ τῶν ἐντυγχανόντων εἶδος τοὺς λόγους μεταμορφοῦντος, καὶ προσώπων στοχαζομένου καὶ καιρῶν ὅτι μάλιστα, καὶ λειότητά τινα ἐπιτη-
35 δεύοντος προεισόδιον, χἔνθα καὶ μᾶλλον ὁ ἀκροατὴς ὑπερῆρται, καὶ ὁ λέγων διευλαβεῖται τὴν ἀμφισβήτησιν. Οὕτω Λυσίας, οὕτω Δημοσθένης ποιεῖ· ταῦτα Λογγῖνοι, καὶ Πρίσκοι, καὶ Νικαγόραι, οἱ τὰς τέχνας τοῦ λέγειν συστησάμενοι, εἰσηγησάμενοι φαίνονται. Σὺ δὲ διδασκάλου κατατολμῆσαι προθυμηθεὶς μετὰ πολλῶν
40 ἄλλων καὶ εἰς τὴν σὴν ψυχὴν κατασπείραντος, καὶ τούτῳ τῷ λόγῳ θέμενος, ἀφ' οἵων ἐπεισοδίων εὐθύς με προήρπακας, ἵνα μὴ δυσχεράνω τὴν ἀντιλογίαν τοῦ μαθητοῦ, «οἶδα», φήσας, «ὅτι σφηκίαν ἐγείρω κατ' ἐμαυτοῦ».

Ἐγώ σοι σφηκίας, ὁ μελίττης τρόπον τὰ τῶν λόγων ἄνθη
45 ὥσπερ ἐν σίμβλοις τοῖς τῆς ἐμῆς ψυχῆς ταμιείοις ἐναποθέμενος; Ἐγώ σοι σφηκίας, ὁ τὴν μυστηριώδη ἐζηλωκὼς σιωπήν, καὶ τὰ μὲν εἰπών, τὰ δὲ σιγήσας, ἐν καιρῷ ἄμφω, καὶ τοσοῦτον τοῦ λέγειν φειδόμενος, ὡς καὶ συλλόγους ἐκτρέπεσθαι, καὶ πρὸς ἐμαυτὸν ἐπιστρέφειν, καὶ ἀνθυποστρέφειν πρὸς νοῦν, καὶ ἐν τῷ

42–43 σφηκίαν ἐγείρω: proverbium; CPG I 69–70 (nr. 53) σφηκιὰν ἐκίνησας et II 213 (nr. 94) σφηκιὰν ἠρέθισας cum Greg. Naz. Λόγος θεολογικὸς πρῶτος πρὸς Εὐνομιανούς = Or. 27,9 τί σφηκιὰς ἐγείρεις κατὰ τῆς πίστεως. cf. Π 145,5 et Π 146,42–43 ‖ **42–43** οἶδα – ἐμαυτοῦ: Π 144,1 οἶδα μὲν ὅτι σφηκίαν ἐγείρω κατ' ἐμαυτοῦ ‖ **46** τὴν – σιωπήν: cf. Π 145,22 ἢ καὶ σιωπᾷς ὡς τὴν ἱεροφαντικὴν ἐχεμυθίαν τελούμενος. cf. Iambl. Προτρεπτικός 106,5–7 κατὰ τὴν νενομοθετημένην αὐτοῖς ὑπὸ Πυθαγόρου ἐχεμυθίαν μυστηρίων et Eunap. Βίοι φιλοσόφων καὶ σοφιστῶν 6,1,5,5–6 πρὸς μυστηριώδη τινὰ σιωπὴν καὶ ἱεροφαντικὴν ἐχεμυθίαν, et Π 121,41–42, Π 134,19–20, et Π 145,22

30 ἡ τοῦ ἀντιλέγειν: inc. epist. altera in L (7r) = K-D 28 ‖ **31** ὀνόματα P A corr. K-D: ὀνόματος L | τὸ L P K-D: τὰ A ‖ **32** ἐπισταμένου L P K-D: ἐπισταμένως A ‖ **32–33** ἐπισταμένου – λόγους in marg. add. L ‖ **40** ἄλλων καὶ P A: καὶ ἄλλων L K-D ‖ **41** post θέμενος lacunam perperam indic. K-D (= Maas); cf. Malt[5],247–249 ‖ **42** φήσας P A: φήσεις L K-D ‖ **44** σφηκίας L P K-D: σφηκίαν A ‖ **45** σίμβλοις L P K-D: συμβόλοις A ‖ **46** σφηκίας L P K-D: σφηκίαν A ‖ **49** ἐπιστρέφειν L A K-D: ἀντιστρέφειν P

ἀρρήτῳ τοὺς λόγους συγκλείσας τῶν λεγομένων, καὶ πάντα κατὰ 50
προβολὰς ἔχων κρυφίους, καὶ τὴν ἄφθεγκτον γνῶσιν ἠγαπηκώς;

Εἰ δὲ σφηκίας, πῶς καὶ διδάσκαλος; Καὶ πῶς διττὸν ἔργον καὶ ἐναντίον κατὰ τῆς σῆς ψυχῆς ἐμπεφύτευκα, τὰ μὲν ὡς σφηκίας περιβομβῶν, καὶ κατασείων μόνα τὰ ὦτα, ἢ καὶ τὴν καρδίαν σπαράττων τῷ τῆς κινήσεως ῥοίζῳ, τὰ δὲ ὡς τοῦ λόγου καθηγη- 55
τής, τὰ μαθήματα συμβιβάζων, καὶ τὰς τέχνας εἰσάγων καὶ ἐμβαθύνων τὰς ἐπιστήμας;

Ἀλλ' ἀναμεινάτω σοι ὁ φιλόσοφος λόγος· τῆς δὲ τέχνης καὶ ταῦτα:

Οὐκ ἄριστος οἰκονόμος τῆς τοῦ λόγου διοικήσεως πέφυκας, 60
οὐδὲ μετρεῖς ἑκάστῳ κατὰ λόγον τὸ σιτομέτριον, οὐδ' ἀπεικονισμένους πρὸς τὴν τέχνην τοὺς λόγους γεννᾷς, ἀλλὰ διασπᾷς τὸ λογικὸν ζῷον, μᾶλλον δὲ μορφοῖς ἀκαταλλήλως τοῖς μέρεσι· δέον γὰρ τὴν σφηκίαν κάτω που προσερρῖφθαι τοῦ ἐπιστολίου, εἴ γε καὶ τοῦτο ποιεῖν ἐντεθύμησο μετὰ τὴν τεχνικὴν ἐπιείκειαν (ἐκεῖθεν 65
γὰρ ὁ λόγος κατὰ βραχὺ πρὸς τὸ τραχὺ διεγειρόμενος, οὐκ ἀτέχνως ἴσως καὶ ταύτῃ τῇ προσηγορίᾳ ἡμᾶς καθύβρισε)· σὺ δὲ πρὶν ἢ τῷ ξύλῳ προσαγαγεῖν, ταῖν χεροῖν ἀπηγχόνισας, καὶ ταῦτα ἐπὶ σεαυτὸν διεγείρων, καὶ δύο ποιούμενος ἄτοπα: ἐμέ τε μεταμορφῶν εἰς σφηκίαν, καὶ κατὰ σαυτοῦ τὴν πλάσιν ποιούμε- 70

61 οὐδὲ – σιτομέτριον: Greg. Naz. Ἀπολογητικός = Or. 2,45 αὐτὴν δὲ τὴν τοῦ λόγου διανομήν, ... ἐμοὶ δ' οὖν πρᾶγμα φαίνεται οὐ τῶν φαυλοτάτων ... διδόναι κατὰ καιρὸν ἑκάστῳ τοῦ λόγου τὸ σιτομέτριον, καὶ οἰκονομεῖν ἐν κρίσει τὴν ἀλήθειαν τῶν ἡμετέρων δογμάτων cum Luc. 12,41 τίς ἄρα ἐστὶν ὁ πιστὸς οἰκονόμος ὁ φρόνιμος, ὃν καταστήσει ὁ κύριος ἐπὶ τῆς θεραπείας αὐτοῦ τοῦ διδόναι ἐν καιρῷ τὸ σιτομέτριον; ‖ **65** τὴν – ἐπιείκειαν: Hermog. Περὶ ἰδεῶν 2,6 Περὶ ἐπιεικείας (cf. e.g. 2,6,18 εὕροις δ' ἂν οὐκ ὀλίγα παραδείγματα τῆς τοιαύτης μεθόδου, καθ' ἣν τὰ κατὰ τῶν ὑποκειμένων προσώπων ῥηθέντα ἂν ἐλαττώσειέ τις)

51 προβολὰς L P K-D: προσβολὰς A ‖ **53** σφηκίας L P K-D: σφηκίαν A ‖ **54** ἢ καὶ τὴν bis A ‖ **58** post τῆς δὲ τέχνης lacunam indic. perperam K-D **61** σιτομέτριον P A: σιμέτριον L συμμέτριον corr. K-D **61–62** ἀπεικονισμένους P A corr. K-D: ἀπεικονισμοὺς L ‖ **64** τὴν L P A: τὸν corr. K-D ‖ **65** μετὰ L: κατὰ corr. K-D | τὴν – ἐπιείκειαν L P K-D: τεχνικῆς ἐπιείκειας A ‖ **67** ἀτέχνως L P K-D: ἀτεχνῶς A | ταύτῃ P A corr. K-D: ταῦτα L ‖ **68** πρὶν ἢ L A K-D: πρινὴ P | τῷ ξύλῳ L A K-D: τὸ ξῦλον P ‖ **69** σεαυτὸν P A: σαυτὸν L K-D

νος. Καὶ εἰ μὲν ὡς ὁ Προμηθεὺς ἠγνόεις τὸ ἐσόμενον ἐκ τοῦ κλέμματος, τάχ᾽ ἂν ἀπηλλάγης ἐγκλήσεως· ἐπεὶ δὲ οἶδας ὅτι σφηκίαν ἐγείρεις κατὰ σαυτοῦ, τρία σοι τὰ μέγιστα διημάρτηται: ἡ πρόγνωσις, ἐπὶ κακῷ σοι λυσιτελήσασα· ἡ πλάσις, τὸν φίλον
75 ὑβρίσασα· ἡ ἐκ τῆς πλάσεως συμφορά, τὴν σὴν ψυχὴν τυραννήσασα.

Εἰ τοίνυν οἶδας ὅτι σφηκίας ἔργον γενήσῃ, ἄνελε διὰ τὴν πρόγνωσιν τὴν ἀναίρεσιν· οὐ γὰρ ἐλαύνῃ δρόμοις ἀστέρων, οὐδὲ εἱμαρμένης σε καταναγκάζει φορά, οὐδὲ τὴν πρόγνωσιν ὡρισμέ-
80 νην ἔχεις ὡς ἐσομένου τοῦ πράγματος· ἀοριστaίνει γάρ σοι τὸ ἀποβησόμενον. Εἰ μὲν γὰρ ἐρεῖς, ἤγειρας τὸν σφηκίαν· εἰ δ᾽ οὖν, οὐ πέπρακταί σοι ἡ μεταμόρφωσις.

Ἀλλὰ καὶ ταῦτα φιλόσοφα. Ἐπαναχτέον οὖν πρὸς τὴν τέχνην· τὸν γάρ τοι σφηκίαν, ὦ βέλτιστε, ἡ διὰ τῶν ἐπιχειρημάτων
85 ἀπόδειξις ποιεῖν εἴωθεν· ἔστι γὰρ τοῦτο ὡς ἀποδεικνύμενον, ὥσπερ ἡ τυραννὶς παρὰ τοῖς δικανικοῖς λόγοις, ἢ τὸ ἱεροσυλῆσαι. Δέον οὖν πρῶτον ἐπεξεργάζεσθαι, καὶ οὕτως τὸ ἀποδεικτικὸν ἔχειν, σὺ δὲ προὔλαβες τὴν ἀπόδειξιν, καὶ οἷον ἐξ ἐφόδου τὸ πᾶν ἡμῖν τῆς ὕβρεως συνεκεφαλαίωσας. Ἀλλ᾽ ὡς κεφάλαιον εἰσῆκταί
90 σοι τοὔνομα; Δεῖ οὖν τὰς πίστεις εἰσάγειν· αἱ δὲ οὐδαμοῦ πάρεισι, οὕτως σοῦ τοῦ ῥήτορος τὸν λόγον οἰκονομήσαντος.

Εἶτα δὴ καὶ δικαστὴς τυγχάνεις ὤν, καὶ τάχα τοὺς περὶ ὕβρεως νόμους ἠγνόηκας, καὶ ὅτι πολυμερὲς ἐν ἐκείνοις τὸ ὄνομα, καὶ διὰ πολλῶν ἀφορμῶν περαινόμενον, καὶ διὰ τοῦ ἀκολούθου
95 πρὸς τὸν ἡγούμενον δεσπότην μετατιθέμενον; Εἰ δὲ παρ᾽ ἐκείνοις καὶ ἡ εὐμέθοδος ὕβρις οὐ πάνυ τι ἀνέγκλητος, ὁ ἀθυροστομήσας

84 ὦ βέλτιστε: iunctura Platonica (cf. e.g. Plat. Ἀπολογία Σωκράτους 24e1); cf. Π 95,86, Π 145,31, Π 319,8, Π 407,32, et supra l. 2 et infra 147 et 160 **96** καὶ – ἀνέγκλητος: cf. e.g. Basilica 60,21 Περὶ ὕβρεων καὶ φλυαριῶν χάρτου cum scholiis etc.

71 μὲν P A: μέλλον L K-D | ὁ L A K-D: om. P ‖ **72** ἐγκλήσεως L P K-D: ἐγκλήσεων A ‖ **73** ἐγείρεις P A corr. K-D: ἐγείρω L ‖ **77** οἶδας L P K-D: οἶσθ᾽ A | σφηκίου corr. Diam 303 ‖ **79** σε καταναγκάζει L P K-D: συγκαταναγκάζει A ‖ **81** ἀποβησόμενον L K-D: ἐπιβησόμενον P A ‖ **82** πέπρακταί L A K-D: πέπλεκταί P ‖ **84** τὸν L P K-D: τὴν A ‖ **87** οὖν L A K-D: γοῦν P ἐπεξεργάζεσθαι P A: ἐπεξεργάσασθαι L K-D | ἀποδεικτικὸν P A: ἀποδεκτὸν L ἀποδεικτὸν corr. K-D ‖ **94** περαινόμενον P A corr. K-D: περαινούμενον L **95** παρ᾽ P A: καὶ παρ᾽ L K-D ‖ **96** ἀμέθοδος K-D | ὁ P A: καὶ ὁ L K-D

οὕτω κατὰ τοῦ κρείττονος, καὶ σφηκίαν καλέσας τὴν αἰθεροβάμονα μέλισσαν, καὶ κατὰ τοῦ διδασκάλου γυμνῇ χωρήσας τῇ κεφαλῇ, τίσιν ἂν καὶ πόσοις ἐπιτιμίοις σωφρονισθήσεται;

Ταῦτα καὶ πλείονά σοι τούτων παρὰ τῆς τέχνης ἔστι τε καὶ προσέσται, οὐδὲν δὲ ἧττον καὶ τῆς σῆς δικαστικῆς. 100

Τὰ δὲ παρὰ τῆς φιλοσοφίας ὑπέρτερα μὲν ἢ κατὰ τὴν σὴν τῆς διανοίας περίληψιν, εἰρήσεται δὲ ὅμως:

Τοσοῦτον δὲ δεῖ προειπεῖν εἰς ἀναίρεσιν ὧν ἴσως ἐπιχειρήσεις ἐρεῖν, ὅτι ὁ τῷ ὀνόματι τούτῳ χρησάμενος (τί δεῖ λέγειν τοὔνομα;) οἰκείως τοῖς πρὸς ὃν ὁ λόγος καὶ κατὰ λόγον ἐχρήσατο: «τί» γάρ (φησι) «σφηκίαν ἐγείρεις κατὰ τῆς πίστεως»· ὁρᾷς ὅπως ὅλον τοῦ θυμοῦ τὸ πνεῦμα κατὰ τῶν ἐναντίων ἐξήνεγκεν, οἷς ἡ πίστις ἐπειράζετο; Τοὺς δέ γε οἰκειοτάτους, «ἐμβροντήτους» μὲν «καὶ πολυτρόπους» ἐνιαχοῦ τῶν λόγων καλεῖ, σφηκίας δὲ οὐδαμοῦ· ᾔδει γὰρ ἐκεῖνος τὴν τοῦ ὀνόματος δύναμιν. Σὺ δὲ τοιοῦτον πεποίηκας οἷον οἱ παλαιοὶ ῥήτορες, τὸ Θουκυδίδειον ζηλοῦντες προοίμιον: Νικάνωρ Λυδὸς Ἀντισθένους παῖς ξυνέγραψε τὸν πόλεμον· μέχρι τοσούτου ἡ μίμησις. Τὰ δ' ἄλλα οὐχ ὥσπερ ἐπὶ τῶν Ἱππο- 105 110

105 ὁ – χρησάμενος: Gregorius Nazianzenus ‖ **107** σφηκίαν ἐγείρεις: Greg. Naz. Λόγος θεολογικὸς πρῶτος πρὸς Εὐνομιανούς = Or. 27,9 τί σφηκιὰς ἐγείρεις κατὰ τῆς πίστεως ‖ **109–110** ἐμβροντήτους – καλεῖ: Greg. Naz. Εἰρηνικὸς β′ = Or. 22,5 ἐμβρόντητε καὶ πολύτροπε, εἴποι τις ἂν **112–113** οἷον – πόλεμον: cf. Lucian. Πῶς δεῖ ἱστορίαν συγγράφειν 15 ἕτερος δὲ Θουκυδίδου ζηλωτὴς ἄκρος, οἷος εὖ μάλα τῷ ἀρχετύπῳ εἰκασμένος, καὶ τὴν ἀρχὴν ὡς ἐκεῖνος σὺν τῷ ἑαυτοῦ ὀνόματι ἤρξατο, χαριεστάτην ἀρχῶν ἁπασῶν καὶ θύμου τοῦ Ἀττικοῦ ἀποπνέουσαν cum Thuc. 1,1,1 Θουκυδίδης Ἀθηναῖος ξυνέγραψε τὸν πόλεμον ‖ **114–115** ἐπὶ – ἐκκέχυται: cf. Φυσιολόγος (redactio prima) 13 καὶ τὸ μὲν ἥμισυ μέρος ἕως τοῦ ὀμφαλοῦ ἀνθρώπου ἔχουσι (scil. αἱ σειρῆνες) μορφήν, τὸ δὲ ἥμισυ ἕως ἔξω χηνός. ὁμοίως καὶ οἱ ἱπποκένταυροι τὸ μὲν ἥμισυ μέρος ἀνθρώπου ἔχουσι, τὸ δὲ ἥμισυ ἀπὸ τοῦ στήθους ἕως ἔξω ἵππου

97–98 αἰθεροβάμονα P A: αἰθεροβάμβαιναν L αἰθεροβόμβαιναν corr. K-D e quo falsum LBG lemma ‖ **101** προσέσται L P A corr. Diam 303: πρόεσται K-D ‖ **106** τοῖς P A: τῷ L K-D ‖ **107** πίστεως L P K-D: φύσεως A **109** ἐπειράζετο P A: ἐπηρεάζετο L K-D | ἐμβροντήτους P A corr. K-D: ἐμβροτήτους L ‖ **110** καλεῖ L P K-D: ἀποκαλεῖ A ‖ **112** Θουκυδίδειον P A corr. K-D: Θουκύδείον L ‖ **113** Νικάνωρ – Ἀντισθένους P A: Νικάνωρι δὲ Ἀντισθένης L K-D Νικάνωρ Ἀντισθένους corr. Diam 303 | ξυνέγραψε A: ξυνεγράψατο L K-D ξυνέπραττε P

115 κενταύρων ἐξ ὀμφαλοῦ τἀνδρὸς ὁ ἵππος ἐκκέχυται, ἀλλ' ἀπὸ τῆς κόρσης εὐθὺς ὁ ἡμίονος, ἢ μᾶλλον ὁ σφηκίας ὁ σός· καὶ σὺ γὰρ τὸν μέγαν ἐν λόγοις ζηλοῦν ἐθελήσας, ἐξ ἑνὸς ὀνόματος τὴν μίμησιν ᾠήθης ἑλεῖν, καὶ τοσοῦτόν σοι τὰ τῆς δυστυχίας (ἵνα μὴ λέγω τῆς ἀτεχνίας), ὅτι μηδὲ τοῦτό σοι συγκατώρθωται, χωλόπουν εἰρηκότι
120 τὸν ποδώκη τε καὶ ἀρτίποδα.

Ἀλλ' ὁ πάντων διδάσκαλος (τὸ γὰρ σὸν ὡς ἐξῃρημένον ἀφείσθω· καὶ γὰρ καὶ τοῦτο τετόλμηκας), ὁ τοίνυν τῶν πάντων διδάσκαλος, αὐτῷ τούτῳ δὴ τῷ σεμνῷ καὶ μεγίστῳ ὀνόματι, κρείττων τῶν προσφοιτώντων ἐστίν, ἢ ἐλάττων ἐν τοῖς λόγοις
125 εὑρίσκεται; Εἰ μὲν γὰρ κρείττων, ἕψονται πάντως τοῖς ἐκείνου διδάγμασιν οἱ ὁμιληταί, καὶ τὸ παρ' ἑαυτῶν μέρος οὐκ ἀντιπεσεῖται τοῖς ἐκείνου λόγοις τε καὶ διδάγμασιν· εἰ δὲ χείρων, πῶς ἠξίωται τοῦ ὀνόματος;

Σὺ δ' οὖν ἐμοὶ πῶς τυγχάνεις χρώμενος; Ὡς ἐλάττονι; καὶ τὸν
130 διδάσκαλον ἔξελε. Ἀλλ' ὡς κρείττονι; καὶ διατί δῆτα κατεξανίστασαι, καὶ τὸ μὲν μαθητιᾷς, τὸ δὲ διδάσκειν με προθυμῇ, καὶ ἐπανορθοῦσθαι ὅπῃ πρὸς τοὺς λόγους ἡμάρτηκα; Καὶ νομικὸς ὤν, παραδύῃ λεληθότως ἐς τὴν τῆς φιλοσοφίας πυλίδα· καὶ τὸ μὲν βρενθύῃ, τὸ δ' ὑποκρίνῃ. Διδάσκαλος δὲ πᾶσι γινόμενος, κατὰ τὸ

121–123 ὁ – διδάσκαλος: cf. Π 144,2 πρὸς τὸν ἐμὸν καὶ πάντων διδάσκαλον **133** παραδύῃ – πυλίδα: cf. Psel. Εἰς τὸ 'ἔστι τοίνυν ἐξετάσαι πρᾶγμα καὶ δόγμα' = Theol. I 100,70–71 πυλίδα τινὰ τῷ τείχει λεληθότως ἀνέῳξε καὶ πάροδον ἐκεῖθεν ἐφ' ἑαυτὸν δέδωκε τῷ ἐχθρῷ, Π 53,3–4 εἴ που εὕροις ἀνεῳγυῖαν πυλίδα, ὡς ἂν λάθῃς εἰσεληλυθώς, et Π 355a,8 τὴν πυλίδα παρήνοιξας ‖ **134–138** διδάσκαλος δὲ – ἔχουσα: cf. Π 62,18–29 ἐγὼ δέ σοι εἰς μὲν θηριώδεις φύσεις οὐ μεταβήσομαι, οὐδὲ ἐκπλήξω τῇ τῶν φαντασμάτων καινότητι, ἀλλὰ τοὺς περὶ τὴν κιθάραν μιμήσομαι. τί δὲ οὗτοι δρῶσιν; ἐπειδὰν αἴσθωνται τοὺς ἀκούοντας κορεννυμένους τοῦ μέλους, μεταβάλλουσι τὰς χορδὰς στρέφοντες αὐτὰς τοῖς καλάμοις καὶ μεταστρέφοντες καὶ ποικίλας ἁρμονίας μεταχειρίζοντες, ἵνα, διὰ τῆς τοιαύτης μεταλλαγῆς τε καὶ μεταβάσεως, ἀκορέστους τῆς μουσικῆς ἡδονῆς τοὺς ἀκροατὰς ἔχωσιν. οὕτω γοῦν κἀγώ σοι μεταποιήσω τοὺς ἐμοὺς λόγους· καὶ νῦν μὲν ἱλαροὺς τούτους παρέξω σοι, νῦν δὲ συντόνους, καὶ νῦν μὲν ἀναβεβλημένους καὶ μαλακούς, νῦν δὲ γενναίους καὶ ἰσχυρούς, νῦν δὲ ἄλλην μορφὴν ἔχοντας, Π 64,18 ἀλλὰ παντοδαπὸς πᾶσι γέγονα πράγμασι, Π 76,45–47 ἔστι δέ μοι καὶ μουσικὸν ἐν

115 ἐκκέχυται L A K-D: συντέθειται P ‖ **123** τούτῳ δὴ L P K-D: δὴ τούτῳ A **125** γὰρ L P K-D: om. A ‖ **132** ὅπῃ P: ὅπως L K-D ὅπου A ‖ **134** δὲ L P K-D: om. A

μέτρον ἑκάστου τοὺς λόγους ποιοῦμαι, καὶ πρὸς τὰς ἰδέας 135
μεταμορφοῦμαι τῶν μαθητῶν· καὶ τοῖς μὲν ἴσως λεοντοπρόσωπος
φαίνομαι, ὅσοις τὸ πρὸς τοὺς λόγους ὅρμημα λεόντειον πέφυκε,
τοῖς δὲ κορυδαλλὶς λόφον ἔχουσα.

Μήποτ' οὖν καὶ σὺ διδάσκειν ἐμὲ προθυμούμενος, σφηκίαν ἐμὲ
ᾠήθης εἶναι, τὸ σὸν ἐμοὶ φαντασθείς; Ἐγὼ δέ σε οὐκ ἐπὶ ταύτης 140
κατείληφα τῆς μορφῆς· ἀλλ' ἐπὶ τίνος; ἀλλ' οὐκ ἐρῶ νῦν, μέχρις
ἄν σου τοὺς λόγους ἀκριβῶς διελέγξω, πᾶσάν σε μορφὴν λόγου
ἀποδυσάμενος.

Πῶς δὲ καὶ σφηκίαν ἐγείρεις «τὰ χείλη διαίρων τε καὶ
φθεγγόμενος»; οὐ γὰρ οὕτως σφηκίας ἐγείρεται, οὐδ' εἴ τις ἄρη 145
τὰς γένυς εὐθὺς ἐκεῖνος βομβεῖ, ἀλλ' ἕτερος ὁ τρόπος ἐκείνῳ τοῦ τε
ῥοίζου καὶ τῆς κινήσεως. Τὸ δὲ «διαίρων», ὦ βέλτιστε, τίνα
τρόπον σοι τέθειται, ἀφεικότι τὸ «διαιρῶν»; Τὸ μὲν γὰρ αἴρειν,
ἀνατάσεως σύμβολον καὶ τῆς πρὸς τὸ ἄνω κουφότητος· τὸ δὲ
διαιρεῖν, αὐτὸ τοῦτο διαίρεσίς ἐστι συνεπτυγμένων μερῶν. Συμπε- 150
φυκόσι τοίνυν χείλεσι, ποία τῶν λέξεών ἐστι κατάλληλος: ἡ
διαιροῦσα, ἢ ἡ διαίρουσα; Ἡ μὲν γὰρ διαιροῦσα διαστέλλει τὴν
πτύξιν ἐπίσης ὁμοῦ, ἡ δὲ διαίρουσα τὸ μὲν ἄνω χεῖλος κουφίζει
ἀνοιγομένου τοῦ στόματος, τὸ δὲ κάτω μᾶλλον χαλᾷ, μᾶλλον δὲ
οὐδ' ἐκεῖνο διαίρει· ἀκίνητοι γὰρ τὴν ἄνω γένυν ἐσμέν. 155

τῷ στήθει μαγάδιον, καὶ μέλος παντοδαπόν, οὐ σύντονον μόνον, ἀλλὰ καὶ ἐναρμόνιον, Π 128,70–74 διαπέπλασταί μοι γὰρ ἡ ψυχὴ πρὸς πᾶσαν ἰδέαν καὶ Μουσῶν καὶ Χαρίτων, καὶ οὐχ ὥσπερ αἱ χορδαὶ ἢ σύντονός εἰμι μόνον ἢ ἐναρμόνιος, ἀλλὰ παντοδαπὸν ἔχω τὸ μέλος, νῦν μὲν λιγυρὸν καὶ ἡδύφωνον, νῦν δὲ συντεταμένον τε καὶ γενναῖον
138 κορυδαλλὶς – ἔχουσα: cf. Eunap. Βίοι φιλοσόφων καὶ σοφιστῶν 21,1,5,1–2 οὐδὲ κορυδαλλίς, ἡ παροιμία φησίν, ἄνευ λόφου cum Simonid. Frgm. 33 (ed. Page) χρὴ κορυδαλλίσι / πάσῃσιν ἐμφῦναι λόφον ‖ **144–145** τὰ – φθεγγόμενος: cf. Π 144,1–2 ‖ **147–155** τὸ δὲ «διαίρων» – ἐσμέν: cf. Π 144,1 τὰ χείλη διαίρων. cf. etiam Π 197,10 διαστέλλω τὰ χείλη et Π 209,49–50 οὔτε χείλη διᾶραί μοι δυνατόν ‖ **147** ὦ βέλτιστε: iunctura Platonica (cf. e.g. Plat. Ἀπολογία Σωκράτους 24e1); cf. Π 95,86, Π 145,31, Π 319,8, Π 407,32, et supra l. 2 et 84 et infra l. 160

138 κορυδαλλὶς corr. K-D: κορυδαλὴς L κορυδαλὶς P A ‖ **147** διαίρων L A K-D: διαῖρον P ‖ **147–148** ὦ – σοι P A: τίνα τρόπον σοι, ὦ βέλτιστε L K-D **150** συνεπτυγμένων P A: συ[.....]γμένων L συντεταγμένων suppl. K-D **152** διαιροῦσα[1] – διαίρουσα L P K-D: διαίρουσα ... διαιροῦσα A

Ἀλλὰ τί δεῖ σοι πολυπραγμονεῖν τὰς λέξεις, κατ' ἐξουσίαν ἅπαντα πλάττοντι; ὁπότε γὰρ ἡμᾶς σφηκίαις ἀπείκασας (ὦ γῆ καὶ ἥλιε!), καὶ αὖθις ἐξ ἐναντίων ἥρμοσας τῶν μερῶν, λογιωτάτην ἕξιν ἀλογίᾳ συνάψας, καὶ ζῷον πλασάμενος διφυές, τί χρὴ περὶ
160 τῶν ἄλλων οἴεσθαι; Μήποτε οὖν, ὦ βέλτιστε, οὐ καλῶς εἰκάζω, ὡς ὑπὲρ σφηκίου ἐμαυτοῦ ἀπολογούμενος; Λέγω δὲ τοῦτο, τῇ συνθήκῃ τοῦ λόγου σου τεκμαιρόμενος· εἴρηκας γὰρ ὅτι σφηκίαν ἐγείρεις, πρὸς τὸν σὸν διδάσκαλον τοὺς λόγους ποιούμενος. Οὐ τοίνυν ὁ διδάσκαλός σοι σφηκίας γενήσεται, ἀλλ' ἕτερος ὑπὲρ τοῦ
165 διδασκάλου καταβομβήσει σου; Ἀλλὰ τοῦτο μὲν ἴσως διημαρτημένης συνθήκης ἐστί, ὁ δέ γε νοῦς τῆς ἐπιστολῆς καθ' ἡμῶν ὅλος ἐκκέχυται.

Πότερον οὖν σοι ὡς σφηκίαι διεγηγέρμεθα, ἢ ὡς ἐπιστήμονες, καὶ τῆς ἀκριβοῦς περὶ λόγους ἕξεως τὸ γράμμα σου βασανίζομεν;
170 Ὢ καινοῦ λόγου! Ὢ παραδόξου συνθέσεως! Σφηκίας ὁ αὐτὸς καὶ διδάσκαλος, οὐ πρὸς ἄλλο καὶ ἄλλο, οὐ κατ' ἄλλο καὶ ἄλλο, οὐχ ὡς ἑτέρως, ἀλλὰ κατὰ ταὐτό, καὶ πρὸς τὸ αὐτό, καὶ ὡσαύτως, ὥσπερ ὁ αὐτὸς ὅλος τε λευκὸς καὶ οὕτω μέλας, ὅλος τε μέγας καὶ οὕτω μικρός, ὅλος δὲ ταχὺς καὶ οὕτω βραδύς, καὶ προσκείσθω ταῖς
175 ἐναντιώσεσι, σφηκίας τε καὶ διδάσκαλος· ὅπερ ἐστὶ λόγος καὶ ἄλογος.

Τὸ δὲ ὡρισμένον σοι τῆς προγνώσεως, ἡ δὲ ἀλαζὼν ἀντωνυμία; Εἰ δὲ μὴ ἀντεῖπον, οὐκ ἂν ἀνήρητό σοι ἡ πρόγνωσις. Πῶς οὖν οἶδας τὸ ἐπ' ἐμοὶ κείμενον; οὐ γὰρ ἠνάγκασμαι ἀλλὰ προῄρη-
180 μαι, ἢ καὶ τοῦτο κατηνάγκασταί μοι, τῆς σῆς ταῦτα σοφίας. Ἀλλ'

157–158 ὦ – ἥλιε: Dem. Περὶ στεφάνου = Or. 18,127. cf. e.g. Greg. Naz. Epist. 5,5 cum Π 112,95–96, Π 128,1, Π 157,8, Π 202,1–2, Π 284,25–26, et Π 285,17 **160** ὦ βέλτιστε: iunctura Platonica (cf. e.g. Plat. Ἀπολογία Σωκράτους 24e1); cf. Π 95,86, Π 145,31, Π 319,8, Π 407,32, et supra l. 2, 84, et 147 ‖ **171–172** οὐ[1] – ὡσαύτως: cf. e.g. Psel. Σύντομος παράδοσις τῶν δεκατριῶν παραλογισμῶν = Phil. min. I 14,113–119 etc. ‖ **177–188** τὸ δὲ ὡρισμένον – προρρήσεως: cf. Π 144,1 οἶδα μὲν ὅτι σφηκίαν ἐγείρω κατ' ἐμαυτοῦ ‖ **177–178** ἡ – ἀντωνυμία: cf. Π 144,1–2 ἐμαυτοῦ … ἐμὸν

157 ἡμᾶς σφηκίαις L P K-D: σφηκίᾳ A ‖ **159** ἀλογίᾳ L P K-D: ἀπολογίᾳ A **160** μήποτε L A K-D: τί ποτε P ‖ **163** οὐ P A: om. L K-D ‖ **166–167** ὁ – ἐκκέχυται P: om. L K-D ὁ δέ γε νοῦς τῆς ἐπιστολῆς καθ' ἡμῶν ὅλος κέχυται A ‖ **168** οὖν P A: δέ L K-D ‖ **169** περὶ λόγους L A K-D: τοῦ λόγου P ‖ **177** σοι L A K-D: σου P

ὅρα τὸν σφηκίαν ἐμὲ ὅπως οὐχ ὡς εἴρηκας ἀλλ' ὡς λέων σοι ἐπεγήγερμαι, ὥστε καὶ αὖθις ἐψεύσω τὴν πρόγνωσιν. Σὺ μὲν γὰρ σφηκίαν ᾠήθης ἐγερεῖν κατὰ σοῦ· λέων δέ σοι ἀντεπανέστη, τοσοῦτον βρυχήσας, ὅσον ἐκ μιᾶς λέξεως τὸ πᾶν ἀναιρεῖν σοι τοῦ σχεδιάσματος. Λοξὸν οὖν σοι τὸ χρηστήριον ἀναπέφανται. Τάχα 185 που οὐ καλῶς τὸν τριπόδειον προσήρμοσας λέβητα· καὶ διὰ ταῦτά σοι ὁ σφηκίας μεταπεποίηται· καὶ λελόξωταί σοι τὰ τῆς προρρήσεως.

Ἀλλ' ἀρκεῖ ταῦτα· εἰ γὰρ ὁ σφηκίας τοσούτους ἡμῖν λόγους ἐκίνησε, καὶ ταῦτα οὐ πάνυ τι χορηγὸς ὢν φιλοσόφων καὶ τεχνι- 190 κῶν ἐννοιῶν, τὸ ἐπιφώνημα πῶς οὐχὶ καὶ ἀπὸ τῶν ἀψύχων ἔλεγχον ἐκκαλέσεται; Ἐπιφώνημα: Ὦ λόγοι, καὶ γνῶσις, καὶ παιδεία· ἐπιφώνημα: ἄκουε, οὐρανέ, ἄνωθεν καὶ ἐνωτίζου, γῆ· ἐπιφώνημα: τὸ πρῶτον ῥῆμα τοῦ γράμματος!

186 τριπόδειον ... λέβητα: cf. e.g. Hom. Il. 23,259 ... λέβητάς τε τρίποδάς τε. cf. Psel. Κατηγορία τοῦ ἀρχιερέως = Or. for. 1,122, Εἰς τὸν αὐτοῦ ἔκγονον ἔτι νήπιον ὄντα = Or. min. 38,26, Ἕτερος λόγος πρὸς ... Κωνσταντῖνον τὸν Μονομάχον = Or. pan. 4,399–400, Εἰς τὸ 'ἐπλήσθησαν οἱ ἀπόστολοι ...' = Theol. I 74,79, Τίς ἡ διάκρισις τῶν συγγραμμάτων, ὧν τῷ μὲν Χαρίκλεια, τῷ δὲ Λευκίππη ὑποθέσεις καθεστήκατον; 42, et Π 192,64–65 ‖ **191–194** τὸ – γράμματος: cf. Π 144,3–4 ὥσπερ δὴ τὸ «αὐθέντης» ἐπιφώνημα καὶ τὸ «ἅγιος» ‖ **192–194** ἐπιφώνημα – γράμματος: cf. Ps.-Hermog. Περὶ εὑρέσεως 4,9 cum Psel. Σύνοψις τῆς ῥητορικῆς ... πρὸς τὸν αὐτὸν βασιλέα [scil. Mich. Duc.] = Poem. 7,317–337 et Π 378,3–4 τὸ ἐπιφώνημα λόγος ἐστὶν ἐπὶ τῷ πράγματι ἔξωθεν παρ' ἡμῶν λεγόμενος ‖ **192–193** ὦ λόγοι – παιδεία: cf. Greg. Naz. Epist. 46,2 ὦ λόγοι καὶ Ἀθῆναι καὶ ἀρεταὶ καὶ λόγων ἱδρῶτες **193** ἄκουε – γῆ: Is. 1,2 ἄκουε, οὐρανέ, καὶ ἐνωτίζου, γῆ. cf. Greg. Naz. Κατὰ Ἰουλιανοῦ στηλιτευτικὸς α´ = Or. 4,72 ἄκουε, οὐρανὲ, καὶ ἐνωτίζου, γῆ· καιρὸς γάρ μοι τὰ αὐτὰ τῷ μεγαλοφωνοτάτῳ τῶν προφητῶν Ἡσαΐᾳ συμφθέγξασθαι. cf. Π 157,39

182–183 σὺ μὲν – σφηκίαν P A: σφηκίαν μὲν γὰρ σὺ L K-D ‖ **184** μιᾶς L P K-D: μιᾶς σου A ‖ **185** σχεδιάσματος P A: σχήματος L K-D | οὖν P A: γοῦν L K-D | ἀναπέφανται L A K-D: διαπέφανται P ‖ **190** ὢν L P K-D: ὦ A

XXXV. Κωνσταντῖνος Λειχούδης
(ca. a. 1000 – 9/10.VIII.1063)
πρόεδρος καὶ πρωτοβεστιάριος (ante 2.II.1059),
πατριάρχης (2.II.1059 – 9/10.VIII.1063)
cf. Π 399

147. Τῷ προέδρῳ καὶ πρωτοβεστιαρίῳ τῷ Λειχούδῃ
ca. a. 1057 – a. 1058? ante 2.II.1059

S 28 [P]

Ἅγιέ μου αὐθέντα, καὶ ὁ πτωχὸς οὗτος τολμηρόν τι πρᾶγμα ἐποίησεν, αὐτὴν τὴν πρώτην ἡμέραν τῆς τεσσαρακοστῆς ἐλθὼν πρὸς ἐμέ, κἀγὼ ἴσως παράνομον, ἐκκόψας τὸ συνεχὲς τῆς πρὸς θεὸν σχολῆς· ἀλλ' οὐκ ἦν τοῦτον ἀπώσασθαι πρὸς τῷ πυλῶνί μου
5 κείμενον καὶ μέγα στενάζοντα καὶ ἀπολοφυρόμενον.

Ὡς δ' οὖν εἶδον ποτὲ καταβιβασθείς, τοῦτό με καὶ μόνον ἠτήσατο, συλλαβὰς ὀλίγας χαράξαι πρὸς τὸν αὐθέντην μου περὶ αὐτοῦ. Τίνα μὲν ἑαυτῷ τύχην ἐντεῦθεν μαντευόμενος, οὐκ οἶδα· πλὴν ἀντ' ἄλλης τινὸς θειοτέρας μεσιτείας τὴν ἐμὴν πρὸς σὲ τὸν
10 αὐθέντην μου περὶ αὐτοῦ παράκλησιν ἥγηται. Ἐγὼ δὲ οὐκ ἂν τοῦτο ἐτόλμησα (μαινοίμην γὰρ ἂν εἰ, πρὸς ἄνδρα τοιοῦτον οὗ πᾶσα γλῶσσα καὶ φρόνησις ἥττηται, ἑτοίμως οὕτω διελέχθην ἐν γράμμασιν), ἀλλὰ τοσούτοις με ὅρκοις πρὸς τοῦτο κατεβιάσατο, ὅσους οὐκ ἦν οὐδὲ λίθινον φύσιν ὑπενεγκεῖν.

15 Πρῶτα μὲν οὖν τοῦτο αἰτοῦμαι, συγχωρῆσαί μοι τὸ τόλμημα· δεύτερον δὲ μὴ ἀτυχῆσαι τῆς παρακλήσεως. Τοῦτο δὲ βούλομαι,

XXXV cf. Psel. Ἐγκώμιον εἰς τὸν ὁσιώτατον κῦρ Κωνσταντῖνον πατριάρχην Κωνσταντινουπόλεως τὸν Λειχούδην = Or. fun. I 2. cf. Π 101,26, Π 102,21, Π 117,80, Π 365,13–14, et Π 401,8

ep. 147 P 197v, A 46v; tit. scripsi: τῷ πρωτοβεστιαρίῳ τῷ Λειχούδῃ P τῷ προέδρῳ καὶ πρωτοβεστιάρῃ τῷ Λειχούδῃ A ‖ **3** συνεχὲς P S: συνεχὲς οἰώμην A ‖ **4** πρὸς – πυλῶνί P S: πρὸ τῶν πυλῶν A ‖ **6** καταβιβασθείς P S: καταβιασθείς A ‖ **7** μου P S: om. A ‖ **8** μὲν P S: μὲν οὖν A | ἑαυτῷ τύχην P S: τύχην ἑαυτῷ A ‖ **10** περὶ αὐτοῦ A: om. P S ‖ **13** γράμμασιν P S: γράμματι A πρὸς A: εἰς P S

οὐ τοσοῦτον ἕνεκεν τούτου, ἀλλ' ἐμοῦ τὸ πλέον· ἐγὼ γὰρ βούλομαι τὴν σὴν ἔχειν εὐμένειαν, ἢ πᾶσαν τὴν ἐν ἀνθρώποις εὐδαιμονίαν, καὶ κατάδηλος εἶναι πᾶσιν, ὅτι με φιλανθρωπίας ἀξιοῖς. Οὗτος δὲ δημόσιος ὢν ἄνθρωπος, δυοῖν θάτερον δράσει: ἢ γὰρ τυχὼν διὰ 20 πάσης τῆς πόλεως τοῦτο βοήσεται καὶ τιμήσει με, ἢ μὴ τυχὼν αὐτὸ τοῦτο ἀποκλαύσεται καὶ μονῳδήσει, θρηνῶν ἴσως καὶ τὴν ἐμὴν ἀτυχίαν.

148. Τῷ πατριάρχῃ κυρῷ Κωνσταντίνῳ τῷ Λειχούδῃ

S 68 [P]

Τῷ ἁγίῳ καὶ σεβασμίῳ δεσπότῃ μου, ὁ εὐνοϊκώτατός σου οἰκέτης καὶ δοῦλος οὐκ ἀνάξιος, ἀλλ' ἄξιος τῆς σῆς ἁγιότητος, πέπομφα ἄρτον μὲν ὡς γονίμῳ καὶ καρποφόρῳ ψυχῇ, οἴνου δὲ μεγαρικὰ τρία, ὡς εὐθαλεῖ ἀμπέλῳ καὶ νοητῷ βότρυϊ, καὶ τῆς τριάδος θεραπευτῇ, καὶ ὀπώρας ὡς μυστικῷ παραδείσῳ καὶ εὐανθῆ, τῷ 5 ἀπείρῳ καὶ ὑπερμεγέθει τὴν ἀρετήν, ἐλάχιστα καὶ βραχύτατα. Διατί; οὐχ ὅτι πένης ἐγὼ τὴν χεῖρα, ἀλλ' ὅτι σὺ πτωχὸς τῷ πνεύματι, τὸν διὰ σὲ πτωχεύσαντα ζηλῶν καὶ μιμούμενος.

Ὁ δὲ οἶνος εἴη μὲν ἄν σοι ἀπὸ τῆς ζωηρρύτου ἀμπέλου, καὶ γένοιτό σοι τὸ πόμα, εἰς ἡδονὴν καρδίας καὶ πνεύματος. 10 Κἀνταῦθα δὲ πατρίδα τὸν Κουζηνᾶν ἐπιγράφεται, αἰδέσιμον δὲ τὸ ὄνομα τοῦτο (νὴ τὴν ἱεράν σου καὶ θείαν κεφαλήν!), ἢ πάλαι τὸ

7–8 πτωχὸς – πνεύματι: Mt. 5,3 μακάριοι οἱ πτωχοὶ τῷ πνεύματι ‖ **9** τῆς – ἀμπέλου: cf. Ioann. 15,1 sqq. ἐγώ εἰμι ἡ ἄμπελος ἡ ἀληθινὴ etc. cum Osee 10,1 ἄμπελος εὐκληματοῦσα Ισραηλ, ὁ καρπὸς αὐτῆς εὐθηνῶν. cf. Π 80,1 et Π 156,6 ‖ **9–11** οἶνος – ἐπιγράφεται: vinum ex Kouzena, de quo cf. Schol. in Lucianum 43,1 Σίπυλον: ὄρος Λυδίας περὶ τὴν Σμύρναν, ἐν ᾧ ἡ Νιόβη ἐκ λίθου πεποίηται, ὃ Κουζηνᾶς ἐπιχωρίως καλεῖται. cf. etiam lemma falsum in ODB 500

21 καὶ – με A: om. P | μὴ τυχὼν P S: ἀτυχήσας A ‖ **ep. 148** U 173v, P 204r–v, O 287r; tit. U: τῷ πατριάρχῃ τῷ Λειχούδῃ P O S ‖ **1** σου P O S: om. U **5** εὐανθῆ U O (cf. Malt[2],191): εὐθαλεῖ P S ‖ **6** ἐλάχιστα U P S: τὰ μικρὰ O ‖ **7** σὺ πτωχὸς U O: πτωχὸς σὺ P S ‖ **10** καὶ πνεύματος U P S: om. O ‖ **11** δὲ πατρίδα U: πατρίδα O δέ σοι πατρίδα P S ‖ **11–12** τὸ – τοῦτο U: μοι τοῦτο τὸ ὄνομα P S μοι τὸ ὄνομα τοῦτο O

τῆς Ἐδέμ· εἴτε οὖν ἐκεῖθεν, ὡς ἐκεῖθεν αὐτοῦ ἐμφορήθητι, εἴτε μὴ ἐκεῖθεν, ἀλλ᾽ ὅτι ἔδοξε.

15 Σὺ δέ μοι, τὸ ἐμὸν ἄγαλμα καὶ καλλώπισμα, εἴης κἀνταῦθά τε τῶν κρειττόνων μεταδιδούς, κἀκεῖσε τῶν ὑψηλοτέρων μεταλαμβάνων· καὶ ἡμῶν δὲ ἀεὶ μνημονεύοις, ἐν δὲ ταῖς εὐχαῖς σου μάλιστα.

149. Τῷ πατριάρχῃ τῷ Λειχούδῃ

K-D 245 [Taf[1]], Taf[1] 63 [P], PG[2] 63 [Taf[1]]

Ἀνεμνήσθην ἰδὼν τὸν ἰχθύν, θεοτίμητε δέσποτα.

Ἀνεμνήσθην τίνος; τοῦ πάλαι μὲν ἐνστερνισαμένου με, νῦν δὲ (οὐκ οἶδ᾽ ὅπως εἴπω) ἀπωσαμένου με. Ἀνεμνήσθην ἀπὸ τῆς αἰσθητῆς ταύτης τροφῆς καὶ καταγλυκαινούσης τὴν φάρυγγα, τῆς 5 ψυχοτρόφου καὶ νοητῆς (τῆς τῶν σῶν λόγων ἀμβροσίας φημί). Ἀνεμνήσθην μέν, ἀλλὰ μόλις, ὥσπερ ἐπιλαθόμενος καὶ τῆς εἰκόνος καὶ τοῦ παραδείγματος.

Τοῦτο ἐκεῖνο τὸ περισπούδαστον, ὁ ἐπιπόθητος ὄντως οὗτος ἰχθύς, ὁ ποταμοῖς ἐμφιλοχωρῶν καὶ θαλάσσαις, καὶ ἀμφοτέρους 10 τοὺς κλήρους κληρωσάμενος οἰκητήρια, ὁ καὶ ἐκ μέρους καλὸς καὶ ὅλος περικαλλής, ὁ πρὸς τοὺς λοιποὺς τῶν ἰχθύων ὁμώνυμος, ὑπερκείμενος δὲ ὁμοίως καὶ πτηνῶν καὶ πλωτῶν. Εἰ δὲ ὁ ἰχθὺς τοιοῦτος, ὁποῖος ὁ πεπομφώς; Εἰ τὸ αἰσθητὸν ὑπερφυές, τὸ νοητὸν κάλλος σὺ πρὸς ὃν ἡ ἀνάμνησις, τίνι παρεικασθήσῃ; Οὗτος μὲν 15 γὰρ ἐπιχωριάζει τοῖς ὕδασι, καὶ μέρος τοῦ παντὸς ἀπείληφεν ἐνδιαίτημα. Σὺ δὲ δεσπόζεις τῆς κτίσεως, μὴ συγχυθεὶς τὴν κατ᾽ εἰκόνα μορφήν, ἀλλ᾽ ἀταπείνωτον τετηρηκὼς τὸ ἀξίωμα· μᾶλλον δὲ ὁ νοητὸς σὺ τυγχάνεις παράδεισος. Ἀλλὰ πῶς δὴ ἀποδύρωμαι;

1–7 ἀνεμνήσθην – παραδείγματος: cf. Π 109,2–3 σὺ μὲν τὸ ἀρχέτυπον, καὶ τὸ σύμβολον ὁ ἰχθῦς ‖ **13–14** εἰ τὸ – ἀνάμνησις: cf. Plat. Φαῖδρος 249d5–6 τὸ τῇδέ τις ὁρῶν κάλλος, τοῦ ἀληθοῦς ἀναμιμνησκόμενος cum Π 120,35–37 et Π 200,63–64

17 δὲ[1] – μνημονεύοις U: ἡμῶν ἀεὶ διαμνημονεύοις P S ἀεὶ μνημονεύοις O μάλιστα U O: καὶ μάλιστα P S ‖ **ep. 149** U 185v et 187r, P 256v; tit. P Taf[1] K-D: τῷ πατριάρχῃ (an recte?) U ‖ **8** οὗτος ὄντως U: ὄντως οὗτος P Taf[1] K-D **16** ἐνδιαίτημα : ἐν διαίτῃ Taf[1] K-D

Πῶς δὲ τὴν ἐμὴν τύχην ἀπολοφύρωμαι; ἔνδον γὰρ πάλαι τυγχάνων τῆς σῆς ὡραιότητος, νῦν ἀπελήλαμαι. 20

Πάλιν οὖν ὄφις, καὶ πάλιν πλάσματα, καὶ πολὺς ὁ ἰός, καὶ ἡ κατήγορος γλῶσσα σφοδρά, οὐ τὰ στήθη παίουσα, βάλλουσα δὲ τὰ μετάφρενα. Διὰ ταῦτα ἀπῶσμαι, καὶ καταδεδίκασμαι ἐρήμην κατακρινόμενος. Ἀλλὰ ταῦτα μὲν πάλαι τε ἀπωδυράμην, καὶ μετὰ ταῦτα κλαύσομαι. Τὰ δὲ νῦν, αἰθρία, πανήγυρις, παιάνες, 25 λαμπρότητες, καὶ τῶν ἀπευκτῶν ἀθρόον μετάμειψις.

Εἰ τοίνυν ἰδὼν τὸν ἰχθύν, οὕτως ὀξέως μετήνεγκα πρὸς σὲ τὴν ψυχήν, καὶ ἀκάθεκτος εἰμι τὴν ὁρμήν, εἰ ἀπογεύσομαι, εἰ γλυκανθήσομαι, ἐνθουσιάσω πάντως εὐθὺς καὶ πετασθήσομαι καὶ καταπαύσω πρὸς σέ. Οὐδέν μοι τὸ τοῦ φθόνου μεσότοιχον, σαθρὸν 30 τῆς βασκανίας τὸ διατείχισμα. Εἰ δὲ καὶ καρτερὰ τὰ ἐρύματα, ἀλλὰ ψυχικαῖς προθυμίαις καὶ νοεροῖς δρόμοις ὑποχωρεῖ πάντα καὶ ὑποστέλλεται. Οὕτως ἐγώ σου ἀπλήστως ἔχομαι τῆς ψυχῆς. Ἀλλ᾽ ὁ δράκων τὴν πτέρναν τηρεῖ καὶ ἀνείργει τὴν προόδον; Ἀλλ᾽ ἐπιβήσομαί ποτε καὶ καταπατήσω τὸν θῆρα, κἂν λέων ἐστὶν 35 ὠρυόμενος, κἂν ἄρκτος ἀπορουμένη, κἂν βασιλίσκος, κἂν ἄλλο τι

22–23 βάλλουσα – μετάφρενα: cf. Hom. Il. e.g. 8,95 μή τίς τοι φεύγοντι μεταφρένῳ ἐν δόρυ πήξῃ ‖ **27–28** οὕτως – ὁρμήν: cf. Psel. Ἐπιτάφιος εἰς … Ἰωάννην τὸν Ξιφιλῖνον = Or. fun. I 3,15,15–16 τὸν μετασχηματισμὸν εὐθὺς ἐζήτουν τοῦ βίου καὶ ἀκάθεκτος τὴν ὁρμὴν ἦν et Λόγος εἰς … Κωνσταντῖνον τὸν Μονομάχον = Or. pan. 1,339–340 τὴν γνώμην ἠλλοίωμαι, καὶ οὐκ οἶδ᾽ ὅπως εἴπω, θεοφοροῦμαι καὶ ἀκάθεκτός εἰμι τὴν ὁρμήν, Π 174,4–6 ἠλλοίωμαι ὅλος καὶ μεταβέβλημαι· καὶ κατὰ τοὺς ἐνθουσιῶντας, ἀκάθεκτός εἰμι καὶ τὸ σῶμα καὶ τὴν ψυχήν, et Π 252,25–26 ἐνθουσιᾷς· κἀγὼ σέ που ἰδών, αὐτίκα κορυβαντιῶ· καὶ ἀκάθεκτοι γινόμεθα ταῖς ὁρμαῖς ‖ **29–30** πετασθήσομαι – καταπαύσω: Ps. 54,7 τίς δώσει μοι πτέρυγας ὡσεὶ περιστερᾶς καὶ πετασθήσομαι καὶ καταπαύσω; cf. Π 507,35–36; cf. etiam Π 246,14 ‖ **34** ὁ – τηρεῖ: Gen. 3,14–15 εἶπεν κύριος ὁ θεὸς τῷ ὄφει … καὶ σὺ τηρήσεις αὐτοῦ πτέρναν. cf. Π 186,9–10 et Π 488,57; cf. etiam Π 42,23–24 ‖ **35–36** λέων – ὠρυόμενος: I Petr. 5,8 ὁ ἀντίδικος ὑμῶν διάβολος ὡς λέων ὠρυόμενος (cf. Ps. 21,14). cf. Psel. Κατηγορία τοῦ ἀρχιερέως = Or. for. 1,698 ‖ **36** κἂν[1] – ἀπορουμένη: cf. Osee 13,8 ἀπαντήσομαι αὐτοῖς ὡς ἄρκτος ἀπορουμένη et Π 76,41–42 | κἂν βασιλίσκος: Ps. 90,13 ἐπ᾽ ἀσπίδα καὶ βασιλίσκον ἐπιβήσῃ. cf. etiam Π 42,37

24 ἀπωδυράμην U: ἀπωδυρόμην P Taf[1] K-D ‖ **26** ἀθρόων Taf[1] K-D ‖ **29** καὶ πετασθήσομαι : [ca. 15 litt.] U ‖ **30** μεσότοιχον σαθρὸν : [ca. 16 litt.] U **31** καὶ – ἐρύματα : [ca. 19 litt.] U ‖ **36** ἐπορουομένη corr. K-D

τῶν δεινοτέρων καὶ ἀποβλήτων. Τί μοι λάθρα προσυλακτοῦσιν οἱ κύνες; Τί με κρύβδην οἱ θῆρες διασπαράττουσι; Σός εἰμι καὶ ἀπορρηγνύμενος, μερὶς τῆς σῆς προνοίας, καὶ διασχιζόμενος. Ἅπαξ
40 τούτοις ἀντιβρυχήσομαι· καὶ τότε γνώσῃ οἷα μὲν λεόντων ὁρμήματα, οἷα δὲ πιθήκων μιμήματα.

XXXVI. Λέων († Aug. 1071, Manzikert), ὁ τοῦ Πατρῶν πατρίκιος, ἐπὶ τῶν δεήσεων

cf. Π 23 ⟨Τῷ Ἀριστηνῷ τῷ πρωτασηκρῆτις, (Ἰωάννῃ?) τῷ λιβελλισίῳ, καὶ Λέοντι τῷ ἐπὶ τῶν δεήσεων⟩

150. Τῷ πατρικίῳ κῦρ Λέοντι, τῷ τοῦ Πατρῶν

ca. a. 1055/1056? eodem tempore ut Psel. Λόγος χαρακτηρίζων τὴν τοῦ πρωτοσυγκέλλου ἀρετήν = Or. pan. 15? post Π 207 [vid. epistolarum ordinem in A] et ante Π 208

S 10 [P]

Ἐκίνησά τινα χορδὴν ὡς συνεβούλευσάς μοι διὰ τοῦ Λίζικος, λογιωτάτη φύσις, πρὸς τὴν τοῦ πρωτοσυγκέλλου ψυχήν. Ἡ δὲ

40–41 οἷα – μιμήματα: proverbium; cf. Greg. Pard. In Hermog. περὶ μεθόδου δεινότητος 1228,25–1229,1 ἔστι δὲ καὶ ἕτερον πάρισον τὸ λεγόμενον οὕτω πάρισον καθόλου, ὡς παρὰ τῷ θεολόγῳ [sic]· ἄλλα μὲν λεόντων ὁρμήματα, ἄλλα δὲ πιθήκων μιμήματα et fortasse Greg. Naz. Κατὰ Ἰουλιανοῦ στηλιτευτικὸς α´ = Or. 4,112 ἐδείχθη γὰρ ἂν τίνα μὲν ἀνθρώπων κινήματα, τίνα δὲ πιθήκων μιμήματα, cf. Ioann. Maurop. Λόγος εἰς ... Βασίλειον τὸν μέγαν, Γρηγόριον τὸν θεολόγον, καὶ Ἰωάννην Χρυσόστομον 116,30–117,1, Nic. Chon. Epist. 8 (212,15–16); cf. Π 78,25–26, Π 108,8–9, et Π 288,30–32 **XXXVI** cf. Mich. Attal. Ἱστορία 167. cf. etiam Π XCV? ‖ **1** ἐκίνησά τινα χορδὴν: ad Π 207 alludit |τοῦ Λίζικος: Anastasius Lizix († ca. a. 1060 [Sideras 1994,135–136]; ca. a. 1070 prop. Gautier 1978,86–91]), nepos Nicolai Scleri (Π LVII), πατρίκιος et βεστάρχης, de quo Psel. Ἐπιτάφιος εἰς ⟨Ἀναστάσιον⟩ = Or. fun. I 8, et Π 36,1, Π 85,5–6, Π 207,24, Π 261,16, et Π 272,90 ‖ **2** τοῦ πρωτοσυγκέλλου: Leon Paraspondylus († post a. 1057), μοναχός, πρωτοσύγκελλος (ca. a. 1055 – a. 1057) (Π LI)

ep. 150 P 194v, A 44r (Λεόντ. πατρικ.); tit. scripsi (cf. infra Π 151): deest P S Πρὸς τὸν πατρίκιον κῦρ Λεόντιον, τὸν τοῦ Πατρῶν A ‖ **2** τὴν τοῦ P S: τὴν A

χορδὴ τῶν μέσων· ἔστι γάρ τι διάστημα μουσικὸν μέσον ὀνομαζόμενον, μετὰ τὸ ὑπατοειδὲς εὐθὺς κείμενον. Λέγω δὲ οὐκ ἀκαίρως φιλοτιμούμενος, οὐδὲ θηρώμενος ὀνομάτων καινότητας, 5 ἀλλ' ὅτι ὁ ἀνήρ, τὰς ἀκρότητας φεύγων, ἐξ ἀμφοτέρων συγκέκραται· καὶ τὸ μὲν σεμνός, τὸ δὲ χαρίεις ἐστί.

Μεμίμηται οὖν αὐτῷ τὸ ἦθος ὁ λόγος, φιλόσοφον μέν ὑποβεβλημένος ὑπόθεσιν, ἀπαγγέλλων δὲ τεχνικῶς. Οὐκ ἄκαιρον δὲ καὶ τὸ ἐρώτημα, ὥς γέ μοι φαίνεται· τὸ γὰρ περὶ τοῖν δυοῖν 10 ἀμφιβάλλειν με βίοιν δίδωσιν ἐννοεῖν ὡς οὐδὲ τὸ ἕτερον μέρος ὃ αὐτὸς διέξεισι τῷ λόγῳ ἀπόστροφον.

Οἶδα μὲν οὖν ὅτι εὐθὺς ἀκούσας ἀποστραφήσεται· τοῦτο γὰρ αὐτῷ σύνηθες ἐπὶ παντὸς λόγου καὶ πράξεως τὸ προοίμιον. Ἀλλ' αὐτὸς μάγον τινά μοι τέχνην μεταχειρισάμενος, κατάγαγε τὴν 15 σελήνην, ἢ συνάγαγέ μοι τὸν κύκλον ἐκείνης πρὸς τὸ τοῦ γράμματος ἄγγος. Εἰ δὲ μὴ ὁ καιρὸς ἐπεῖχε, καὶ ἐπῳδὴν ἄν σοι ἀπεστομάτισα, βαρβάροις ἐκτεθειμένην φωναῖς.

Ἀλλὰ ταῦτα μέν ὕστερόν ποτε μαθήσῃ. Νῦν δέ μοι ἡ τοῦ σολεμνίου γενέσθω μετάθεσις· τὸ δὲ πιττάκιον ὅμοιον ἔστω ᾧ τῷ 20 πατρικίῳ τῷ Λίζικι αὐτὸς ὑπηγόρευσα.

3–4 ἔστι – κείμενον: cf. Psel. Ἐγκώμιον εἰς τὸν ... Ἰωάννην τὸν Κρουστουλᾶν ἀναγνόντα ἐν τῇ Ἁγίᾳ Σορῷ = Or. min. 37,267–270 ἡ δέ γε ὑπάτη ἡ πρώτη καὶ μεγίστη τῶν ἐν τῇ κιθάρᾳ χορδῶν, ἡ μέση δὲ καὶ αὐτὸ τοῦτο μέση· τέταται γὰρ οἱονεὶ κέντρου λόγον ἐπέχουσα ταῖς τε ὑπάταις καὶ ταῖς ὁμωνύμως λεγομέναις μέσαις ταῖς τε νήταις καὶ ταῖς ὑπερβολαῖς αὐταῖς **9–12** οὐκ ἄκαιρον – ἀπόστροφον: cf. Π 207,17–19 ἐρωτῶ οὖν βραχύ τι ἐρώτημα, πρὸς ὃ σφόδρα διαμφισβητῶν, οὐκ ἔχω μαθεῖν ποτέραν τῶν ἀρετῶν αἱρετέον, τὴν ἐντεῦθεν πάντῃ ἀπάγουσαν ἢ ἥτις καὶ τὰ τῇδε κοσμεῖν δύναται et Π 208,18-19 οὐ φιλοσόφως σὲ ἠρωτήκαμεν; οὐ περὶ φιλοσόφου πράγματος;

16 ἐκείνης P S: ἐκείνου A ‖ **17** σοι P S: σε A ‖ **18** ἐκτεθειμένην P S: ἐκτεθηγμένην A ‖ **20** σολεμνίου A: σελεμνίου P S

151. Τῷ ἐπὶ τῶν δεήσεων κῦρ Λέοντι, τῷ τοῦ Πατρῶν

a. 1068, militiis ab Romano IV Diogene inceptis; eodem tempore ut Π 24 et Συντακτήριος πρὸς τὸν βασιλέα = Or. pan. 21 [vid. epistolarum ordinem in P] et etiam Π 25, Π 281, Π 21, Π 152, Π 282a = Π 282b, Π 22, et Π 283; cf. etiam Π 292 et Π 504?

S 89 [P]

Καὶ ὁ ἐπὶ τῶν δεήσεων μέχρι τοσούτου μοι σιωπᾷ· οὐδὲ τί μοι μέρος τῶν δεδανεισμένων ἀποδίδωσι λόγων, οὐδὲ τὴν παρακαταθήκην ἀποδίδωσι φέρων· ἀλλὰ τοῖς ἐμοῖς ἐπεντρυφῶν ἀγαθοῖς, οὐδέν μοι τούτων ἐθέλεις μεταδιδόναι. Ἀλλ' ἔστω μήτε
5 δάνειον, μήτε παρακαταθήκη, μήτ' ἄλλο τι τῶν ἐπαναστρεφόντων ὃ παρ' ἐμοῦ εἴληφας, ἀλλὰ φιλοτιμία τις καὶ διδασκαλία.

Τί οὖν ἐμοὶ ἐφ' οἷς πεφιλοτίμησαι μὴ εὐγνωμονῇς; Τί μὴ τὴν γλῶτταν ἐν καιρῷ δίδως; Πάσης ἐπιθυμοῦμεν Ἑλλήνων φωνῆς. Οὐχ ὁρᾷς τὸν ἀέρα ὅτι, θέρους πολλάκις ἀτμίδας ἀπὸ τῆς γῆς
10 ἀνενεγκών, χειμῶνος μέρος τι τῶν ἀνενεχθέντων ἀντικατήνεγκεν, οὐ τοιοῦτον ἀποδιδοὺς οἷον εἰλήφει, ἀλλὰ πήξας καὶ μεταβαλών, καὶ ὕδωρ πεποιηκὼς τὴν ἀναφοράν; Σὲ δὲ οὔτε μεταβολὴν τῶν λόγων ἀπαιτοῦμεν καλλίονα, οὔτε τινὰ ἐργασίαν μετέωρον· ἀλλ' ἂν ἀποδῷς οἷον προείληφας, αὐτὸ δὴ τοῦτο ἔχειν τῶν νενομισμέ-
15 νων οἰόμεθα.

Ἀλλά μοι πρὸς τοὺς ἐμοὺς λόγους πεπόνθατε, οἷόν τι πρὸς τὰς ἐπιστημονικὰς φωνὰς οἱ νεώτεροι· φρίττουσι γὰρ ἀτεχνῶς τὰ ξένα τῶν ὀνομάτων ἀκούοντες, τὸν «τόμον», τὰ «περίσωτα», ἐπειδὰν δ' αὖθις κατατολμήσωσι τῶν φωνῶν καὶ θαμὰ τοῖς ἐπιστήμοσι
20 προσεγγίσωσι καὶ φωνὴν ἐθισθῶσι διδόναι τε καὶ λαμβάνειν, ἀντὶ τοῦ ἐκπλήττεσθαι, καὶ καταφρονοῦσιν· ὥσπερ καὶ αὐτὸς πέπονθα, ὡρῶν ἐστιν ⟨ὅτε⟩ ἀκούων ἀσύμμετρον μέγεθος, εἶτα δὴ εὑρηκώς, ἐπιθαυμάζειν ἑαυτοῦ κατεγίνωσκον.

Τοιοῦτον δή σοι καὶ τὸ ἐμόν ἐστι. Καί μοι οἴεσθε, ξένας μὲν
25 ἐνθυμήσεις ἀπὸ τῆς ψυχῆς προϊέναι, καινὰ δὲ καὶ ἀλλόκοτα περὶ τῆς γλώττης ὀνόματα, καὶ δεδοίκατε τὰς ἐμὰς φωνὰς ὡς βροντάς· ταῖς δὲ οὔτε τις βόμβος περιηχεῖ, οὔτε σαλπίγγων ἦχος, ἀλλ'

18 τὰ περίσωτα: vox ignota; cf. LBG s.v.

ep. 151 P 210r; tit. P S ‖ **22** ὅτε addidi ‖ **25** ἐνθυμήσεις scripsi: ἐπιθυμήσεις P S

εἰσὶν ἀπὸ τῆς ὁμοίας ἡμῖν αὔλακος μετὰ τῆς συνήθους καλάμης καὶ τῆς ζώνης καὶ τοῦ ἐνδύματος.

Καὶ τὴν ἐν τῷ μύθῳ Σεμέλην κατέφλεξεν ὁ Ζεύς, πρῶτα μὲν ἐξανθρωπίσας ἑαυτόν, εἶτα δὴ θειώσας. Ἐγὼ δὲ ὑμῖν οὐδὲν παραδείκνυμι τοιοῦτον, ἀλλὰ τοσοῦτόν μοι τὸ ἐξαλλάττον τοῦ φθέγματος, ὅσον μὴ κολοιῶν ἀκούειν ἡμᾶς, ἀλλὰ τεττίγων Ἀττικῶν. 30

Ὁ δὲ ταῦτά σοι γράφων βέστης τὴν συνήθη σοι πόρρω ποιοῦμαι προσκύνησιν. 35

152. Τῷ ἐπὶ τῶν δεήσεων ⟨κῦρ Λέοντι⟩

1068, militiis ab Romano IV Diogene inceptis; eodem tempore ut Π 25, Π 281, et Π 21 [vid. epistolarum ordinem in L] et etiam Π 24, Π 151, Π 282a = Π 282b, Π 22, et Π 283; cf. etiam Π 292 et Π 504?

K-D 149 [L]

Σὺ μὲν φεύγεις καὶ πόρρω γίνῃ ἢ ὥστε ἁλίσκεσθαι παρ' ἡμῶν· ἐγὼ δέ σε διώκω, οὐ τῷ σώματι, ἀλλὰ τῷ γράμματι. Καὶ διώκω, οὐχ ἵνα σε ἄξω εἰς δικαστήριον, ἀλλ' ἵνα σοι περὶ φίλου διαπρεσβεύσωμαι· ὁ γὰρ Γορδιασοῦ, πολλὰς ἡμῖν φιλίας προσκαταβαλλόμενος, χάριτας εἰσπράττεται νῦν τοὺς μισθούς· 5 τίνας τούτους; τὴν παρ' ὑμῶν εὐμένειαν καὶ ἀντίληψιν.

Οὐκ ἀπαιτῶ οὖν σε ὃ μὴ βεβούλησαι, ἀλλ' ὃ δεδύνησαι. Εἰ δὲ καὶ ὃ μὴ βεβούλησαι δεδύνησαι, μετὰ τῆς δυνάμεως οὗτός σε ἢ τοῦ μὴ βούλεσθαι γνωρισάτω· μόνον γὰρ ἀμετάθετον τὸ μὴ δεδυνῆσθαι· τὸ δὲ δεδυνῆσθαι καὶ βεβουλῆσθαι, ἢ δεδυνῆσθαι μὲν μὴ 10 βεβουλῆσθαι δέ, οὐκ ἀξιόλογα πρὸς παραίτησιν φιλικῆς ἀξιώσεως, καὶ μάλιστα τό γε τελευταῖον καὶ μὴ εὔλογον ἔχον τὸ μὴ βεβουλῆσθαι.

30–31 τὴν – θειώσας: cf. Ps.-Nonnus Συναγωγὴ … ἱστοριῶν … in Greg. Naz. Or. 5, hist. 20 περὶ Σεμέλης καὶ τοῦ κεραυνοῦ. cf. Psel. Ἐγκώμιον εἰς τὸν οἶνον = Or. min. 30,153–154 καὶ τὸν Διὸς καὶ Σεμέλης ἀνευφημῶν ‖ **34–35** ὁ δὲ – προσκύνησιν: scribam anonymum, non Psellum ipsum significat; cf. Π 24,35–36 ἐγὼ δὲ ὁ τούτων γραφεὺς ὁ βέστης τὴν συνήθη σοι πόρρω ποιοῦμαι προσκύνησιν ‖ **4** ὁ – Γορδιασοῦ: episcopus (vel abbas?) in Gordiason (TIB 2 183–4), de quo cf. etiam Π 21,11, Π 25,28, Π 281,9, et Π 292,4

ep. 152 L 72r; tit. scripsi: τῷ ἐπὶ τῶν δεήσεων L K-D

XXXVII. Εὐδοκία ⟨Μακρεμβολίτισσα⟩ († post a. 1081)

δέσποινα (23/24.XI.1059 – 22/23.V.1067, uxor Const. Ducae; 22/23.V.1067 – 31.XII.1067; et 1.I.1068 – X.1072, uxor Rom. IV Diog.)

153. Τῇ δεσποίνῃ ⟨Εὐδοκίᾳ⟩

eodem tempore ut Π 82 [vid. epistolarum ordinem in codd. L, P, et H]?

S 53 [P], Cre 28 [H], Mai 26 [v[1]]

Ὁ Χριστός σοι ταῦτα τῇ βασιλίδι: τὴν μὲν ὀπώραν, ὡς ἄνθους κάλλει καὶ χάριτι· τὸν δὲ οἶνον, ὡς νοητῇ εὐφροσύνῃ· τὸν δὲ ἄρτον, ὡς πολλὰς πενήτων στηριζούσῃ ψυχάς· ὦ πᾶν τὸ θῆλυ γένος νικήσασα, καὶ σωματικοῖς κάλλεσι καὶ ψυχικαῖς χάρισι!

154. ⟨Τῇ δεσποίνῃ Εὐδοκίᾳ⟩

S 132 [P]

Ἔδει μὲν ἐκ τοῦ παραδείσου ὀπώραν τρυγήσαντα, καὶ οἶνον ἐκθλίψαντα, καὶ ἄρτον φυράσαντα, τῷ νοητῷ σοι προσαγαγεῖν παραδείσῳ. Μᾶλλον δὲ ἔπρεπεν αὐτὸ τὸ ξύλον τῆς ζωῆς ἐκεῖθεν πρὸς σὲ μετενέγκασθαι· τοῦτο γὰρ καὶ μόνον κατάλληλος τροφὴ
5 καὶ τρυφὴ τῇ σῇ τυγχάνει καλλίστῃ ψυχῇ. Ἐπεὶ δὲ τοῦτο τῶν

XXXVII cf. Psel. Ἐγκώμιον εἰς τὴν δέσποιναν = Or. pan. 11, Τῇ αὐτῇ (scil. Eudociae Macremb.) ἐγκώμιον = Or. pan. 12, et Π 37,21, Π 38,21, Π 76,54, Π 83,10, Π 96,17–18, et Π 117,79 ‖ **3** τὸ – ζωῆς: Gen. 2,9 τὸ ξύλον τῆς ζωῆς ἐν μέσῳ τῷ παραδείσῳ etc., locus in Psello saepe laudatus; cf. e.g. Psel. Τί ἐστι τὸ ξύλον τῆς ζωῆς καὶ τὸ ξύλον τῆς γνώσεως; = Theol. II 20 et Π 3,15, Π 84,5, Π 127,22, Π 162,28 et Π 504,11–12

ep. 153 L 53v, P 201r, Y 118r, H 50v, v[1] 95r (in collectione epistolarum selectarum), r fasc. 20 (= H); tit. scripsi: τῇ δεσποίνῃ L om. P Y H v[1] Cre ⟨τῇ βασιλίσσῃ Εὐδοκίᾳ?⟩ S deest in Mai (anepigrapha in collectione epistolarum Nicetae Paneuphemi magistri) ‖ **1** σοι L P Y H S Cre: μὲν v[1] Mai | ἄνθους L P H v[1] S Cre Mai: ἄνθος Y ‖ **2** νοητὴ εὐφροσύνη v[1] Mai ‖ **3** στηριζούσῃ L P Y H S Cre: στηρίζων v[1] Mai ‖ **4** χάρισι : χάρισι διήχουσα Mai ‖ **ep. 154** P 219r; tit. scripsi: ⟨τῇ βασιλίσσῃ Εὐδοκίᾳ?⟩ S

ἀδυνάτων ἐστί, τὰ ὡραῖά σοι τῶν καθ' ἡμᾶς προσφέρω ἀνθῶν, τῇ ὑπὲρ πᾶσαν φύσιν γυναικείαν καὶ ἄρρενα ὁ εὐγνωμονέστατός σοι δοῦλος καὶ γνησιώτατος.

155. Τῇ δεσποίνῃ ⟨Εὐδοκίᾳ⟩

eodem tempore ut Π 156 et Π 84 [vid. epistolarum ordinem in H]?

K-D 271 [B, Cre], Cre 20 [H]

Τί σοι τῶν πάντων ἐπάξιον, ἁγία μου δέσποινα καὶ παντὸς τοῦ κόσμου βασίλισσα; Οὐ γράφω κολακεύων, οὐ γράφω σοφιστεύων, ἀλλά με ἡ ὑπερβάλλουσα καλλονή, ἡ ὑπεράπειρος σύνεσις, ἡ ὑπεροχὴ τῆς φρονήσεως οὕτω πέπεικεν ὑπολαμβάνειν περὶ σοῦ, ὡς περὶ θείας καὶ κρείττονος φύσεως. 5

Τί οὖν σοι τῶν πάντων ἐπάξιον; Μιᾶς σου ἀρετῆς, οὐ τιμᾶται τὰ ἐπὶ γῆς ἀγαθά. Εἰ δέ σοι ἄρτον ἐγὼ καὶ οἶνον καὶ ὀπώρας ἀπέσταλκα, μὴ θαυμάσῃς μηδὲ καταφρονήσῃς τοῦ πράγματος, μηδὲ ὕβριν λογίσῃ τὴν τῶν ἀπεσταλμένων εὐτέλειαν, ἀλλὰ γνῶθι ὅτι φιλοσόφου τὸ δῶρον, ἐν συμβόλοις ὑποδεικνύντος τὰ κρείττονα. 10

Δέξαι οὖν τὸν μὲν ἄρτον, ἀντὶ τοῦ τῆς ζωῆς ἄρτου· τὸν δὲ οἶνον, ἀντ' εὐφροσύνης πνευματικῆς· τὴν δὲ ὀπώραν, ἀντὶ χάριτος καὶ ὡραιότητος μυστικῆς· ὦ πασῶν ὡραιοτέρα τῶν ἀπ' αἰῶνος γυναικῶν, καὶ τῷ κόσμῳ τοῦ σώματος, καὶ τῷ τρόπῳ τοῦ πνεύματος! 15

11 ἀντὶ – ἄρτου: Ioann. 6,35 εἶπεν αὐτοῖς ὁ Ἰησοῦς, Ἐγώ εἰμι ὁ ἄρτος τῆς ζωῆς. cf. Psel. Σελέντιον ἐκφωνηθὲν ἐπὶ τῶν ἡμερῶν τῆς βασιλίσσης κυρᾶς Θεοδώρας = Or. min. 1,17 et ⟨Explicatio trium locorum novi testamenti (Ioann. 21,7; Mt. 3,4; Ioann. 21,9)⟩ = Theol. I 17,45 et Π 82,1

ep. 155 B 176v–177r, H 47r, r fasc. 20 (= H); tit. scripsi: τῇ δεσποίνῃ B om. H Cre τῇ δεσποίνῃ ⟨Εὐδοκίᾳ?⟩ K-D ‖ **1–2** καὶ – κόσμου : [ca. 18 litt.] B ‖ **2** οὐ γράφω: [ca. 7 litt.] B ‖ **3** ἡ^{2} : καὶ ἡ Cre K-D | σύνεσις ἡ H: [ca. 8 litt.] B σύνεσις καὶ ἡ Cre K-D ‖ **6** τιμᾶται H Cre K-D: τιμῶμαι B ‖ **9** μηδὲ ὕβριν H Cre K-D: μηδ' ὕβριν B ‖ **11** τοῦ τῆς : [.....]ς B ‖ **12** ἀντ' H Cre K-D: ἀντὶ B

156. ⟨Τῇ δεσποίνῃ Εὐδοκίᾳ⟩
eodem tempore ut Π 155 et Π 84 [vid. epistolarum ordinem in H]?

K-D 272 [Cre], Cre 21 [H]

Δέσποινά μου ἁγία, τί τῶν ὄντων ἐπάξιον τῆς σῆς θεοειδεστάτης καὶ βασιλικῆς τῷ ὄντι ψυχῆς; Οὐδ' ὁ σύμπας κόσμος ἰσοστάσιος, τῇ σῇ ἀρετῇ καὶ ὑπερφυεῖ καλλονῇ.
Ἔστωσαν οὖν τὰ σταλέντα, ὡς σύμβολα τῶν σῶν ἀρετῶν. Καὶ
5 δέξαιο τὸν μὲν ἄρτον, ὡς καρποφόρος ἐνθέων πράξεων ἄρουρα· τὸν δὲ οἶνον, ὡς ζωήρρυτος ἄμπελος· τὰς δὲ ὀπώρας, ὡς ὡρῶν τρυφή, ὡς χαρίτων πηγή, ὡς ἀκόρεστος καὶ νοερὰ ἡδονή. Καὶ βούλομαί τι πλέον ἐρεῖν, ἀλλ' εὐλαβοῦμαι σου τὸ ἀκολάκευτον· ἢ μᾶλλον οὐ δεδύνημαι τοσοῦτον εἰπεῖν ὁπόσον βεβούλημαι. Καὶ οὐκ ἐκ
10 χειλέων ὁ λόγος ψιλῶν (μάρτυς ὁ κύριος), ἀλλ' ἐκ μέσης αὐτῆς τῆς ψυχῆς.

157. Τῇ δεσποίνῃ κυρᾷ Εὐδοκίᾳ αἰτιασαμένῃ αὐτὸν ὡς ἀγνώμονα
ca. a. 1068 – a. 1069; ante Psel. Τῇ αὐτῇ (scil. Eudociae Macremb.) ἐγκώμιον = Or. pan. 12 [B 187v–188r]

G 35 [B], Malt 20 [B], Wei[2] 272–275 [B]; cf. Gautier 1975,329

Τὸ μὲν εἰς χρήματα ζημιοῦσθαί με ἔλαττον ἐμοὶ κακόν· τὸ δὲ χρηστὸς ὢν φαῦλος νομίζεσθαι μετὰ τῶν ἀφορήτων τίθεμαι, ὢ

6 ζωήρρυτος ἄμπελος: cf. Osee 10,1 ἄμπελος εὐκληματοῦσα Ισραηλ, ὁ καρπὸς αὐτῆς εὐθηνῶν. cf. Psel. Ἐγκωμιαστικὸς εἰς ... Μιχαὴλ τὸν Κηρουλλάριον = Or. fun. I 1,14,9–10, Ἀπόδειξις ... τῆς τοῦ κυρίου ἐνσωματώσεως ... πρὸς τὸν σουλτᾶνον ἀπὸ τοῦ βασιλέως = Theol. II 3,27, et Π 80,1 et Π 148,9. cf. etiam ⟨Τῷ ... Κομνηνῷ⟩ = Or. pan. 10,48–50 καὶ «εὐκληματοῦσα» μέν σου «ἡ ἄμπελος» (Eudociam significat?), οἱ δὲ βότρυες ὡραῖοι ξύμπαντες καὶ οἱ ὄμφακες καὶ οἱ περκάζοντες

ep. 156 H 47r–v, c[1] 291r, r fasc. 20 (= H); tit. scripsi: om. H Cre τοῦ αὐτοῦ (= τοῦ ὑπερτίμου προέδρου τῶν φιλοσόφων κῦρ Μιχαὴλ τοὺ Ψελλοῦ) c[1] ⟨τῇ αὐτῇ (= τῇ δεσποίνῃ Εὐδοκίᾳ?)⟩ K-D ‖ **2** καὶ om. c[1] ‖ **3** ὑπερφυῆ c[1] ‖ **5** ἐν θέων Cre ‖ **8** σου c[1]: om. H Cre K-D ‖ **8–9** οὐ δεδύνημαι c[1]: οὐδὲ δύναμαι H Cre K-D ‖ **10** κύριος : κόσμος Cre K-D ‖ **ep. 157** B 187r–v; tit. B G Wei[2]: τῇ βασιλίδι Εὐδοκίᾳ Malt

πασῶν ὑπερτέρα γυναικῶν καὶ κάλλει καὶ ἀρετῇ καὶ φρονήματι. Ἀγνώμων ἐγὼ περὶ σέ, ὁ πᾶν εἶδος εὐγνωμοσύνης πεποιηκὼς ῥητόν τε καὶ ἄρρητον; Ἀγνώμων ἐγώ, ὁ πᾶσαν τὴν κτίσιν (ἵν' 5 οὕτως εἴπω) τῶν σῶν ἐπαίνων πεπληρωκώς; Ἀγνώμων ἐγώ, ὁ πᾶσιν ἀνθρώποις τὰς σὰς ἐξεικονίσας ἔν τε λόγοις ἁπλῶς καὶ συγγράμμασιν ἀρετάς; Ἀγνώμων ἐγώ (ὦ γῆ καὶ ἥλιε!) ὁ εἰς θαῦμα κινήσας πᾶσαν ψυχὴν τοῦ σοῦ φρονήματος καὶ τῆς σταθηρότητος; Ἀγνώμων ἐγώ, ὁ καὶ νεύματος φιλανθρώπου εὐθὺς 10 τὰς ἀν[ca. 7 litt.] ἀντιδιδοὺς καὶ λόγου μετρίου πεποιημένος τὰς ἀμοιβάς; Ἀγνώμων ἐγώ, ὁ πάντα τὰ [σὰ] ἐκθει[ά]ζων μεγάλα τε καὶ μικρὰ καὶ ψυχικὰ καὶ σωματικά, καὶ ἐφ' ἑκάστῳ τῶν πάντων ἐσπουδασμένον ποιούμενος σύγγρα[μ]μα;

Καίτοι εἰ μὲν μόνος ἐγὼ τῶν σῶν ἀπολέλαυκα εὐεργεσιῶν, ἢ 15 μειζόνων παρὰ τοὺς ἄλλους [τε]τύχηκα, ἀρκούσας τὰς ἀντιδόσεις εἰσήνεγκα. Εἰ δὲ εἰσί τινες ἴσως οἱ πλείω ἐμοῦ παρὰ τῆς σῆς εἰληφότες ἁγίας χειρός, ἐγὼ καὶ τούτους ὑπερεβαλόμην ταῖς εὐφημίαις, (εἰ δὲ βούλει) καὶ ταῖς ὑπηρεσίαις. Καὶ (ἵνα μηδὲν ἐρῶ ὑπερήφανον καὶ μεγάλαυχον) πολλοὶ μὲν οὖν εἰσιν οἱ εὐγνωμο- 20 νοῦντες τῇ βασιλείᾳ σου, οὐδενὸς δὲ τῶν πάντων ἐγὼ δεύτερος· οὐδέ τις ἐμοῦ γλῶσσαν μείζονα πρὸς τὸ μέτρον τῆς εὐχαριστίας ἐκτήσατο. Καὶ τῷ θεῷ μὲν τῷ πάντων ποιητῇ καὶ δεσπότῃ, οὐ πάντες ἐν πᾶσι καιροῖς καὶ πράγμασι τὸ ἀκριβὲς τῆς πίστεως ἐνεδείξαντο· ἀλλὰ καὶ Πέτρος ἠρνήσατο, καὶ Παῦλος τὴν ἐκκλη- 25 σίαν ἐδίωξε, καὶ οἱ πλείους ἐκ μετανοίας ἐσώθησαν. Ἐγὼ δὲ (ἐπὶ θεῷ λέγω μάρτυρι) οὐδέποτέ σοι τὸ τῆς ἐμῆς γνώμης ἀκριβὲς παρεχάραξα. Τί φημι «παρεχάραξα» (αἰσχύνομαι γὰρ οὕτω λέγειν); ἀλλ' οὐδέποτέ σοι καὶ ἐπαίνους ἠλάττωσα, οὐδὲ καθυφῆκα τῆς πίστεως. Εἰ δ' ἔχεις εἰπεῖν, ἔλεγξον καὶ κατάκρινε, 30

8 ὦ – ἥλιε: Dem. Περὶ στεφάνου = Or. 18,127. cf. e.g. Greg. Naz. Epist. 5,5 cum Π 112,95–96, Π 146,157–158, Π 128,1, Π 202,1, Π 284,17, et Π 285,17 **25** Πέτρος ἠρνήσατο: Mt. 26,69–75, Marc. 14,66–72, Luc. 22,56–62, Ioann. 18,15–27 ‖ **25–26** Παῦλος – ἐδίωξε: Act. 8,1–3 et 9,1 sqq.

4 ὁ : καὶ Wei² | ἀγνωμοσύνης Wei² ‖ **8** συγγράμμασιν : ἐν γράμμασιν Wei² **9** πᾶσαν : πᾶσι Malt | τῆς om. Wei² ‖ **11** ἀν[ca. 7 litt.] B: ἀπ[οκρίσεις] Wei² ἀ[... ... ...] G ἀ[ca. 7 litt.] Malt ‖ **12** τὰ σὰ suppl. Malt: τὰ [..] B ἴ[σα] Wei² ι[...] G ‖ **14** ἐσπουδασμένων Wei² ‖ **22** τὸ μέτρον : τὰ μέτρα G ‖ **29** οὐδέποτέ Malt in app. crit. dubitanter prop. G: οὐδὲ τότε Wei² G

τὴν γλῶτταν τέμνε, ἀφελοῦ τὴν κεφαλήν· ἀλλ' οὐδ' ἂν εἴποις τοῦτό ποτε οὐδ' ἐνδείξαιο ἡ ἐν πολλοῖς καιροῖς πιστεύσασά μοι τὰ τιμιώτατα, καὶ ἐπ' ἐμοὶ θαρρήσασα ἢ τῇ οἰκείᾳ ψυχῇ καὶ πληροφορηθεῖσα καὶ πληροφορήσασα, εἰ καὶ νῦν ἀθρόως ἐκβέβλημαι τῆς
35 σῆς ἁγίας ψυχῆς, καὶ ἐν ἀγνώμονος μοίρᾳ λελόγισμαι.

Ἀγνώμων ἐγὼ περὶ τὸ κράτος τῆς βασιλείας σου, ὁ τὰ σὰ ἐπὶ πᾶσαν βροντήσας ἀκοὴν καὶ καταβροντήσας πᾶσαν ψυχὴν καὶ ἀστραπὰς ἀκοντίσας λόγων, καὶ πάντα καταφλέξας ἀγνώμονα; Ἄκουε, οὐρανέ, καὶ ἐνωτίζου ἡ γῆ! Εἰ ἀγνώμων γεγένημαι περὶ
40 σέ, εἰ ἐποίησα τοῦτο, εἰ ἔστιν ἀνομία ἐν γλώσσῃ μου, ἀποπέσοιμι ἄρα ἀπὸ τοῦ θεοῦ κενός· μᾶλλον, εἴ τινος τῶν μεγίστων ὑστέρηκα, καὶ οὐχὶ καὶ τὴν ψυχὴν αὐτὴν ἐξέχεα ἐπὶ σοὶ καὶ τὴν γλῶσσαν ἠκόνησα ὑπὲρ σοῦ, ἀκονηθείησαν ἐπ' ἐμὲ γλῶσσαι πονηραί τε καὶ βάσκανοι. Εἰ δὲ οἰκειότατος ἐγεγενήμην τῷ κράτει σου καί με τῶν
45 ἄλλων προέκρινεν ἡ βασιλεία σου, θαυμαστὸν οὐδέν· οὐ γὰρ χθές που καὶ πρώην τὴν εἰς τὸ σὸν γένος ἐπεδειξάμην φιλοτιμίαν τε καὶ εὐμένειαν, ἀλλά σοι καὶ τῷ πατρὶ φίλτατος ὡς οὐκ ἄλλ[ος] τῶν πάντων γέγονα, καὶ ἐ[....]κ[..] καὶ βεβοήθηκα (ἵνα μηδέν τι πλέον ἐρῶ), καὶ κατὰ πνεῦμα γέγονα αὐτῷ ἀδελφὸς καί σοι
50 [πνε]υ[ματι]κὸς θεῖός εἰμι, ὃ τῆς κατὰ σάρκα συγγενείας ὑψηλότε-

39 ἄκουε – γῆ: Is. 1,2 ἄκουε, οὐρανέ, καὶ ἐνωτίζου, γῆ. cf. Π 146,193 **40–41** εἰ² – κενός: cf. Ps. 7,4–5 εἰ ἔστιν ἀδικία ἐν χερσίν μου, / … ἀποπέσοιμι ἄρα ἀπὸ τῶν ἐχθρῶν μου κενός ‖ **43–44** ἀκονηθείησαν – βάσκανοι: cf. Ps. 63,3–4 … ἀπὸ συστροφῆς πονηρευομένων, ἀπὸ πλήθους ἐργαζομένων τὴν ἀνομίαν, / οἵτινες ἠκόνησαν ὡς ῥομφαίαν τὰς γλώσσας αὐτῶν et 139,3–4 οἵτινες ἐλογίσαντο ἀδικίας ἐν καρδίᾳ, ὅλην τὴν ἡμέραν παρετάσσοντο πολέμους· / ἠκόνησαν γλῶσσαν αὐτῶν ὡσεὶ ὄφεως ‖ **47** τῷ πατρὶ: Ioannes Macrembolites ‖ **50–52** θεῖός – ἄλλων: cf. Psel. Χρονογραφία VII,125 (= VIIb,4) ἐγὼ γὰρ ταῦτα συγγράφων ἦν δὲ ἀδελφὸς τοῦ ἐκείνης [scil. Eudociae] πατρὸς ἐκ πνευματικῆς διαθέσεως, καί με ὑπὲρ πάντας ἐθείαζέ τε καὶ ἐξεθείαζεν et Π 83,12

32 ἡ : ἢ Wei² ‖ **33** μᾶλλον ante θαρρήσασα add. Wei² | καὶ² om. Malt ‖ **40** εἰ ἔστιν : εἴτ' Wei² | μου : μόνον Wei² ‖ **41** ὑστέρησα Wei² Malt ‖ **42** οὐχὶ καὶ B G: ἔχις Wei² οὐχὶ Malt Kamb,139 ‖ **48** ἐ.[..].κ.. καὶ Malt: α[ὐτῷ] μόνος κα[λῶς] suppl. Wei² ἀ[.........] καὶ G | τι om. Wei² ‖ **49–50** γέγονα – θεῖός dubitanter prop. Malt (app. crit.): [...]θιος Wei² γέγον[α ...ca. 11 litt.]υ[ca. 4 litt.]κ.. θεῖός Malt γεγεν[......] θεῖός G [... φίλος ἐπιστή]θιος prop. Kamb,139

ρον καὶ αἰδεσιμώτερον. Καὶ σύ με πολλάκις τῷ ὀνό[ματι] τούτῳ
ἐσέμνους, καὶ ἐξαίρετον εἶχες τῶν ἄλλων, οὐ τῆς ἐμῆς ἕνεκεν
ἀρετῆς, ἀλλὰ τῆς σῆς καλοκαγαθίας [καὶ] ἐμφύτου χρηστότητος·
εἰ γὰρ καὶ τὴν βασιλείαν παρὰ θεοῦ εἴληφας καὶ τῶν ἄλλων ἄρχειν
κεκλήρωσαι εὐγενείας τε ἕνεκα καὶ σεμνότητος, ἀλλ' οὐ τῆς 55
ἀνθρωπείας [γ]έγονας ἐπέκεινα φύσεως. Καὶ τῶν πρὸ τοῦ σοῦ
κράτους βασιλευσάντων, οἵ γε [π]λείους καὶ μετριώτεροι τοὺς
λογίους πρὸ τῶν ἄλλων ἐτίμησαν, καὶ πάσης εὐμενείας τούτοις
μετέδοσαν, καὶ χαρίτων μυρίων ἠξίωσαν, καὶ φιλτάτους ἀνθ'
ὑπηκόων ὠνόμαζον. Καὶ (ἵνα τοὺς ἄλλους ἐάσω) ὁ πρὸ μικροῦ 60
τεθνηκὼς βασιλεύς, ὁ πάντας βασιλεῖς νικήσας τῇ καλοκαγαθίᾳ
καὶ τῇ πρᾳότητι, τίνι τῶν ἄλλων ἐπίστευσε πλέον ἐμοῦ; Πρὸς τίνα
δ' ἄλλων τεθάρρηκεν; Οὐχὶ πάντων με συγγενῶν καὶ φίλων
ἐπίτρ[οπο]ν εἶχε, καὶ βασιλεύσας, εὐθὺς τῆς αὐτῆς τραπέζης
κοινωνὸν ἐποιήσατο; Οὐ μέχρι [τ]ῆς ἐ[σχά]τ[ης] ἀναπνοῆς ἔνδον 65
εἶχε τῆς οἰκείας ψυχῆς, οὐχὶ πατέρα καὶ θεῖον ἁπανταχοῦ καὶ ἐν
[ca. 8 litt. ὠνό]μαζεν; Οὐχ οὕτως ὁ Κομνηνὸς ἢ καὶ πλέον; Οὐχ
οὕτως αἱ πορφυρογέννητοι βα[σι]λίδες; Οὐχ οὕτως ὁ Μονομάχος;
ὃς δή με μόνον οὐκ ἐκ πηλοῦ ἄνθρωπον ἐποίησε, πᾶσι δὲ τοῖς
ἄλλοις ἐμόρφω[σεν]; Οὐχὶ τῶν συγγενῶν αὐτοῦ πάντων ὑπέρτε- 70

60–61 ὁ – βασιλεύς: Constantinus X Ducas (imperator: 23/24.XI.1059 – 22/23.V.1067) (Π XVIII) ‖ **67** ὁ Κομνηνὸς: Isaacius Comnenus (imperator: 1.IX.1057 – 22.XI.1059) (Π XXXII) ‖ **68** αἱ – βασιλίδες: Zoe (ca. a. 978 – a. 1050; imperatrix: a. 1042) et Theodora (post a. 980 – 31.VIII.1056; imperatrix: 11.I.1055 – 31.VIII.1056) | Μονομάχος: Constantinus IX Monomachus (imperator: 12.VI.1042 – 11.I.1055) (Π XLIV) ‖ **69–70** ἐκ – ἐμόρφωσεν: cf. Gen. 2,7 καὶ ἔπλασεν ὁ θεὸς τὸν ἄνθρωπον χοῦν ἀπὸ τῆς γῆς καὶ ἐνεφύσησεν εἰς τὸ πρόσωπον αὐτοῦ πνοὴν ζωῆς, καὶ ἐγένετο ὁ ἄνθρωπος εἰς ψυχὴν ζῶσαν. cf. Psel. e.g. Εἰς τὸ 'τρισσὴν γέννησιν οἶδεν ὁ λόγος' = Theol. I 25,64 etc. cf. etiam Π 184,9–10 (ad Monomachum) ἡμᾶς τοὺς κάτω καὶ ταπεινοὺς οὓς αὐτὸς ἔπλασας καὶ ἐζώωσας καὶ τῷ σῷ ἐψύχωσας ἐμφυσήματι

51 ὀνόματι suppl. G suppl. Malt: ὀνό[....] B νό[μῳ] Wei² ‖ **52** ἐσέμνους : ἀσέμν[ους] G | ἕνεκα Wei² ‖ **57** πλείους suppl. G suppl. Malt: [.]λείους B μείους suppl. Wei² ‖ **63** με : ⟨ἐ⟩μὲ Wei²' ‖ **65** μέχρι – ἐσχάτης suppl. Malt: μέχρι [θανάτου] ἐ[μὲ με]τ' Wei² μέχρι [...ε...] G μέχρι⟨ς ἐσχάτης⟩ α⟨ὐτοῦ⟩ prop. Kamb,140 ‖ **67** [ca. 8 litt. ὠνό]μαζεν Malt: [...ἐκάλεσε]ν Wei² [... ... ...]ν G ‖ **68** αἱ : οἱ Wei²' ‖ **70** ἐμόρφωσεν suppl. Wei² suppl. G suppl. Malt

ρον ἐποιήσατο; Οὐχὶ φίλον με προσηγ[όρευ]σε καὶ διδάσκαλον καὶ τῆς οἰκείας ψυχῆς ἀντιλήπτορα; Καὶ τοῦτο δῆλον ἐκ τῶν πρὸς ἐμὲ γραμμάτων καὶ συγγραμμάτων αὐτοῦ. Ὁ δὲ νῦν τὸ κράτος παρὰ θεοῦ εἰληφώς, ὁ πᾶσι βασιλεῦσιν ἀνθάμιλλος ἢ ἀπαράμιλ-
75 λος, ποίας ὑπὲρ ἐμοῦ φωνὰς οὐκ ἀφίησι; Τίνος τιμῆς οὐκ ἀξιοῖ; Ποίαις οὐ χρῆται πρὸς τὸ σὸν κράτος ὑπὲρ ἐμοῦ μεσιτείαις; Ποίας οὐ ποιεῖται τὰς ἀξιώσεις; οἶδε γὰρ ὑπὲρ τίνος καὶ πρὸς τίνα παρακαλεῖ.

Ἀλλ' οἱ μὲν βασιλεῖς οὕτως. Ὁ δὲ νῦν τῆς ἀρχιερωσύνης
80 ἠξιωμένος; Οὐχὶ τῶν ἄλλων προκρίνει καὶ ὑπὲρ τοὺς ἄλλους ἡγεῖται καὶ ἐν ἀδελφοῦ τάξει λογίζεται; Πότερον διὰ τὴν γνῶσιν μόνην ἢ τὴν φιλοσοφίαν ἢ τὴν διδασκαλίαν; Ἴσως ἐρεῖ τις καὶ περὶ ἐμοῦ λέγων ὡς καὶ περὶ τοὺς λόγους ἐσπούδακα, καὶ οὐδὲν ἧττον τὴν γνώμην ἠκρίβωκα· αἰδῶ τε γὰρ πρὸς φιλοσόφους καὶ
85 πίστιν πρὸς δεσπότας ἐτήρησα, καὶ οὐκ ἔστιν ἐμὸν πολίτευμα οὔτε βάσκανον οὔτε κακόηθες.

Πότε οὖν πονηρὸς καὶ ἀγνώμων, ὦ φιλάγαθε δέσποινα, γέγονα; Ἢ τοῦτο μόνον ἐπεδειξάμην ἀχάριστον ὅτι τὴν σὴν ἐζήτησα δωρεὰν καὶ τὴν ἔγγραφον ἡρμήνευσα πρόσταξιν, ἵνα μὴ
90 καθ' ἑκάστην αἰσχύνωμαι προσαιτῶν; Εἰ διὰ ταῦτα ἀγνώμων ὠνόμασμαι, μή μοι τόσα ἢ τόσα, ἀλλὰ καὶ αὐτοὺς τοὺς δακτύλους ἀπόκοψον. Ἓν αἰτῶ παρὰ σοῦ τῆς φιλανθρώπου ψυχῆς: μή με ἀγνώμονα κατονόμαζε, μηδὲ κακὸν ὑπολάμβανε, ἀλλὰ καὶ εὐγνώμονα καὶ αἰδήμονα καὶ τῆς σῆς ἐξηρτημένον ψυχῆς.
95 Ἀναμνήσθητι λόγων τῶν περὶ σοῦ· ἀναμνήσθητι ὁμιλιῶν, δημηγοριῶν ἡμερινῶν τε καὶ νυκτερινῶν συγγραφῶν, ὑπὲρ ὧν ταύτην σε μόνην αἰτοῦμαι χάριν: μὴ ἀπώσῃ με ἀπὸ τοῦ προσώπου σου,

73–74 ὁ δὲ – εἰληφώς: Romanus IV Diogenes (imperator: 1.I.1068 – a. 1071) (Π XIV) ‖ **73–78** ὁ δὲ – παρακαλεῖ: cf. Π 38,67 ἀλλὰ καὶ τὴν δέσποιναν ὑπὲρ ἐμοῦ ἀξιοῖς cum De Vries-Van der Velden 1997,292 ‖ **79–80** ὁ δὲ – ἠξιωμένος: Ioannes Xiphilinus (patriarcha: 1.I.1064 – 2.VIII.1075) (Π L) ‖ **97** μὴ – σου: Ps. 118,10 μὴ ἀπώσῃ με ἀπὸ τῶν ἐντολῶν σου et 50,13 μὴ ἀπορρίψῃς με ἀπὸ τοῦ προσώπου σου

71 προσηγόρευσε suppl. G suppl. Malt: προσε[κάλε]σε Wei[2] ‖ **74** ἀνθάμιλλος : ἀπαράλληλος Wei[2] ‖ **80** προκρίνει ⟨με⟩ add. Wei[2] Malt ‖ **82** καὶ om. Wei[2]
91 ἢ : καὶ Wei[2] | αὐτοὺς : αὐτὴ G

μηδέ με τῆς σῆς [ἀρ]ρήτου ὁμιλίας καὶ [χ]ά[ρ]ιτος· μὴ πρὸς τῆ[ς] σῆς ψυχῆς, μὴ πρὸς τῆς τοῦ βασιλέως, μὴ πρὸς [τ]ῆς θεοτόκου αὐτῆς, μὴ πρὸς θεοῦ! 100

XXXVIII. ⟨Βασίλειος⟩ Μαλέσης († post a. 1072)

κριτὴς τῶν Κατωτικῶν, ⟨κριτὴς τῶν Ἀρμενιακῶν (?)⟩, πρωτοβέστης

158. Τῷ κριτῇ τῶν Κατωτικῶν ⟨τῷ Μαλέσῃ⟩

K-D 76 [L]

Δεῖταί σου καὶ οὗτος Πελοποννήσιος ὤν· καὶ πῶς γὰρ οὐκ εἰκὸς δεῖσθαι τὰ λοιπὰ μέρη τῆς κεφαλῆς; Δεῖταί σου τοιγαροῦν ἐν πράγμασιν ὤν. Καὶ τὰ μὲν ἄλλον γραφόμενος, τὰ δ' ὑφ' ἑτέρου γραφόμενος· καὶ ὁ αὐτὸς ἐν μέρει καὶ διώκων, καὶ φεύγων. Οὐκ ἐν τούτοις δὲ μόνον τῆς σῆς ἐστιν ἐπιδεὴς ὀρθῆς καὶ ἀπαρεγκλίτου 5 κρίσεως, ἀλλ' οὐκ οἴδαμεν εἴ τινας ἀπογράφῃ σύ· δεῖται δέ σου οὗτος φιλανθρωπότερον ἀπογράφεσθαι. Πρὸς τούτοις ἐκλιπαρεῖ, καὶ νεῦμα ἔχειν εὐμενὲς παρὰ σοῦ, καὶ εἰ μὴ τῆς δεξιᾶς ἀεί, ἀλλὰ τῆς ὑψηλοτέρας ἀξιοῦσθαι· εἰ δὲ καὶ τῆς αὐτῆς ἀξιώσεις τραπέζης, τοῦτο ὡς ὑπερβολικὸν ἡμῖν χαριῇ. 10

Ὁρᾷς, ὅπῃ σε ἡ τύχη, Μαλέση, ἀνήνεγκεν, ὥστε θεῖόν τι πρᾶγμα ἐνίους οἴεσθαι εἰ ἀπὸ τῆς αὐτῆς ἑστιάσονται; Ἀλλά σε φοβείτω τὸ τοῦ πλουσίου παράδειγμα, καὶ ἡ τῶν ψιχίων φειδώ, καὶ τὸ ἐστηριγμένον χάσμα ὅ τι ποτὲ τοῦτό ἐστι, καὶ ἡ κατεψυγμένη γλῶττα καὶ ἐπιδεὴς τοῦ δροσίζοντος. Ἢν δὲ ἁδρότερον 15 θρέψῃς τὸν Λάζαρον, οὐκ ἐπονειδιεῖ σοι ὁ Ἀβραάμ· ἢν δὲ καὶ

XXXVIII κριτὴς[1] – Κατωτικῶν: ca. a. 1060 – a. 1063 ut Duyé 1972 vel ca. a. 1061/1062 – a. 1069 ut De Vries-Van der Velden 1996? ‖ **13–16** τὸ – Ἀβραάμ: Luc. 16,19–31; cf. Π 467,5–6

98 ἀρρήτου suppl. Wei[2] G: [..].ρήτου Malt [εὐα]ρήτου dubitanter prop. Malt (app. crit.) | ὁμιλίας : φιλίας G | καὶ χάριτος suppl. G suppl. Malt: [ἀπ]αιτοῦ Wei[2] | τῆς suppl. Wei[2] suppl. G suppl. Malt ‖ **99** τῆς suppl. Wei[2] suppl. G suppl. Malt ‖ **ep. 158** L 39v; tit. scripsi: τῷ κριτῇ τῶν Κατωτικῶν L K-D

τιμήσῃς, τάχα σοι καὶ χαρίτων ἀπομνημονεύσει, καὶ πρὸ ἐκείνου ἐγώ.

159. Τῷ Μαλέσῃ

⟨Τῷ κριτῇ τῶν Ἀρμενιακῶν (?)⟩

K-D 132 [L]

Τίς σου μακαριώτερος, Μαλέσῃ, δεχομένου παρ᾽ ἐμοῦ αἰτήσεις καὶ ἀξιώσεις; Ὅπερ οὐδ᾽ εἰς ὄναρ ποτὲ προσεδόκησας.

Εἰ μὲν οὖν ἐγέλασας, ἐπέγνως τῆς φιλίας τὸν χαρακτῆρα. Εἰ δὲ ἐστύγνασας ὡς ὑβριοπαθήσας, ἐγὼ πάλιν ἰῶμαι τοὐμόν· χαίρω 5 γὰρ ἀξιῶν τὸν κάλλιστόν μου κριτήν, τὸν λογιώτατον, τὸν ἐμὸν ἐπαινέτην, τὸν μετὰ Τέρπανδρον ἀοιδόν (ὅντινα τοῦτον ὑποληπτέον· ἀλλὰ σὺ αὐτίκα ἐμὲ ἐνενόησας).

Τίς οὖν ἡ ἀξίωσις; Ὁ πτωχὸς οὗτος στρατιώτης, στρατιᾶς ὑποκείμενος βάρει κατεγράφη καὶ εἰς ἀλλαγὴν ὑπ᾽ ἐνδείκτου 10 τινός, καὶ τὸ δεινότερον, οὐδὲ χηρεύουσαν· ἔτι γὰρ ζῇ ὁ τῆς περιφορᾶς Ἄτλας. Οἶδε τοῦτον καὶ ὁ τῆς ἀλλαγῆς μειζότερος, καὶ ἐποίησεν ἀσφάλειαν ἔγγραφον, ἦ μὴν ἐξ ἐκείνου τὸ τέλος εἰσπράττειν. Ἐδεήθη καὶ βασιλέως ὁ ἄνθρωπος, οὐ νῦν μόνον, ἀλλὰ καὶ πρὸ τούτου, ὁπηνίκα τὸν Ἀρμενιακὸν ὁ ὁμώνυμός σοι βεστάρχης ὁ 15 Σπληνάριος ταῖς κρίσεσιν ἴθυνεν.

Εἴ τις οὖν σοι φροντίς, καὶ τῶν προῳκονομημένων καὶ αὐτοῦ τοῦ δικαίου, καὶ τοῦ πένητος στρατιώτου, καὶ τῆς ἐμῆς φιλίας, ἐλεύθερον τὸν στρατιώτην ἀπέργασαι, καὶ ἐλευθέρῳ ποδὶ πεῖσον ἀπιέναι εἰς τὸ ταξείδιον. Ἐγὼ δὲ οὔπω σοι περὶ τοῦ προτέρου 20 ἀπελογισάμην γράμματος· οἶσθα δὲ τὸ ἔνορκον ἐκεῖνο γραμμάτιον τὸ πληροφοροῦν μὴ ἐνδοιάσασάν ποτε ψυχὴν περὶ σοῦ.

4 ἐγὼ – τοὐμόν: cf. proverbium ὁ τρώσας καὶ ἰάσεται (CPG II 763; nr. 28) et Π 10,48 ‖ **6** μετὰ – ἀοιδόν: cf. proverbium μετὰ Λέσβιον ᾠδόν (scil. Τέρπανδρον), CPG I 118 (nr. 9) et II 522 (nr. 27) ‖ **10–11** ὁ – Ἄτλας: cf. e.g. Suda α 4368 Ἄτλας: ὁ μυθευόμενος τὴν γῆν καὶ τὸν οὐρανὸν βαστάζειν ... καὶ παροιμία· Ἄτλας τὸν οὐρανόν cum CPG I 207 (nr. 67) et II 149 (nr. 57); cf. Π 129,5–7 et Π 262,7

ep. 159 L 63r; tit. L K-D

Εἰ μὲν οὖν ἀρκεῖ ὁ βραχὺς οὗτος ἀπόλογος, καὶ δὴ πεπληροφόρησαι· εἰ δ' οὖν, ἀντομόσομαί σοι κἀγώ. Ναὶ μὰ τόδε—τὸ δὲ λοιπόν, Ἀγαμέμνονι μὲν ἥρμοζεν, ἐμοὶ δὲ οὔ.

160. ⟨Τῷ πρωτοβέστη τῷ Μαλέσῃ⟩
a. 1068, militiis ab Romano IV Diogene inceptis?

S 177 [P]

Αὐθέντα μου πρωτοβέστα, συνήλγησα μὲν τῷ καλῷ Ἠσαΐᾳ ἐξερχομένῳ τῆς Πόλεως ὡς μέλλοντι κακοπαθήσειν πολλά, συνήσθην δὲ ἀφικνουμένῳ πρὸς σὲ ὑφ' οὗ σκεπασθήσεται.

Οὗτος μὲν οὖν, τὰ μὲν ἀνιαθήσεται, τὰ δὲ παραμυθίας τῆς παρὰ σοῦ τεύξεται. Ἐμοὶ δὲ ἐλπίζοντι εὐροήσειν ἐνταῦθα, πρῶτον 5 μὲν ἡ ἀπὸ σοῦ διάστασις μέγα τι κακὸν δοκεῖ, ἔπειτα καὶ ἄλλα δεινὰ συμβεβηκότα· νοσεῖ γάρ μοι τὰ φίλτατα, καὶ τὸ μὲν παντάπασιν ἀπέγνωσται, τὸ δὲ ἐγγύς ἐστιν ἀπογνώσεως. Ἐγὼ δὲ σοφὸς μὲν ἴσως ἢ φιλόσοφος ὀνομάζομαι, ἐν δέ γε τοῖς προσπίπτουσιν ἀβουλήτοις, οὔτε φιλοσοφεῖν δεδύνημαι, οὔτε μεγαλοψυ- 10 χεῖν.

Πρὸς τίνα δὲ καὶ ἐξαγορεύσω μετὰ σὲ τὰ ἐν τῇ ψυχῇ πάθη; Τίνι θαρρούντως τὰς ἐμὰς ἀποδύρωμαι συμφοράς; εἰ μή που λέγοις τὸν παρακοιμώμενον, τὸν χαρακτῆρα τῆς ἱερᾶς σου ψυχῆς, πρὸς ὃν δὴ καὶ ἀφικνοῦμαι καὶ ἐφ' ᾧ ἐπαναπαύομαι, παρ' οὗ 15 μυρίας παραμυθίας κομίζομαι. Σκοπῶ δὲ ἀμφότερα τῆς πρὸς ἀλλήλους ὁμιλίας σοι, τὸ μέγα τῆς ἀρετῆς ὄνομα, καὶ ὅπως ἂν εὐδοξήσῃς καὶ εὐροήσῃς καὶ προϊὼν καὶ ἐπανιών. Οἴδαμεν δὲ οὐδὲν τῶν αὐτόθι, εἰ μὴ ὅσον φήμαις ἄλλων ἄλλαις ἑπόμενοι.

23 ναὶ μὰ τόδε: Hom. Il. 1,234 ναὶ μὰ τόδε σκῆπτρον ‖ **ep. 160** πρωτοβέστῃ: cf. Mich. Attal. Ἱστορία 166 ὁ πρωτοβέστης Βασίλειος ὁ Μαλέσης, Scyl. Cont. 152,2–3 ὁ πρωτοβεστιάριος Βασίλειος ὁ Μαλέσης, et Seibt 1976[2],84 **1** τῷ – Ἠσαΐᾳ: cf. Π 94? ‖ **7** τὰ φίλτατα: cf. Π 118,65 et 92, Π 127,41, Π 128,45, et Π 201,79 ‖ **7–8** νοσεῖ – ἀπογνώσεως: cf. Π 127,41–43 τῶν δὲ φιλτάτων, τὸ μὲν οἶδα οἱ γῆς κατορώρυκται, τὸ δέ, οὐκ ἔλαττον κατορωρυγμένον, μικροῦ δεῖν καὶ ἠγνόηκα

ep. 160 P 232r–v; tit. scripsi (cf. app. font.): ⟨τῷ πρωτοβεστιαρίῳ⟩ S **1** πρωτοβέστα scripsi (cf. app. font.): πρωτοβεστιάριε P S

20 Καὶ εἴη νικᾷν τε καλλίονας, καὶ ὑμᾶς ἐπὶ χρηστοτέραις ἐλπίσι προϊέναι πορρωτέρω ἡμῶν, καί μοι ὑγιαίνοις, τὸ μέγα Ῥωμαίων ὄφελος, ἡ ἐμὴ παραμυθία, καὶ πνοὴ καὶ ζωή. Καὶ προσειρήσθωσάν σοι πάντες παρ' ἐμοῦ, καὶ μάλιστα οἷς μέλει τὸ παρὰ τῆς ἐμῆς γλώττης προσαγορεύεσθαι.

XXXIX. Ἰωάννης ⟨Μαυρόπους⟩
(ca. a. 990/1000 – post a. 1075)

σύγκελλος, μητροπολίτης Εὐχαΐτων (ca. a. 1050/1052 – ca. a. 1075)
cf. Π 498 et Π 516

161. Τῷ μητροπολίτῃ Εὐχαΐτων ⟨Ἰωάννῃ⟩

K-D 33 [L]

Ἐχρῆν μὲν οὐχ οὕτως, θεοτίμητε δέσποτά μου, μηδ' ἐπὶ ῥητοῖς τὴν ἐπιστολήν, καὶ ὁμιλεῖν ταύτην ἀλλὰ μὴ μετρεῖν. Ἐπεὶ δὲ «χαλεπὰ τὰ καλά» (προσθήσω δὲ αὐτὸς τῇ παροιμίᾳ: καὶ σπάνια), ἀποχρῶν ἡμῖν καὶ τὸ τῆς σῆς γλώττης βραχὺ καὶ τὸ διὰ 5 πολλοῦ, καὶ τὸ μηδ' ἐν περιόδοις ἀλλ' ἀορίστως. Λύω γοῦν κἀγώ σοι τὴν γλῶτταν ὥσπερ ἐπὶ σοὶ δεδεμένην, οὐχ ὥστε πηγὰς λόγων ἀφεῖναι, ἀλλ' ὥστε μέτριον ἀντηχῆσαι τῇ μεγάλῃ σου σάλπιγγι.

Πέπονθα γάρ τι πάθος παρὰ τὴν σὴν σιωπήν, ἀφηγήματος 10 καὶ θαύματος ἄξιον. Ἐγίγνετο γάρ μοι τὸ πρὸ τοῦ τὰ σὰ γράμματα, οἷον σκαλίδες τινὲς τῶν ἐμῶν ἐν βάθει φλεβῶν, καὶ ἀνωρυτ-

21–22 τὸ – ὄφελος: cf. Π 37,21, Π 38,21–22 et Π 140,42 ‖ **23–24** πάντες – προσαγορεύεσθαι: cf. Π 23 ⟨τῷ Ἀριστηνῷ τῷ πρωτασηκρῆτις, (Ἰωάννῃ?) τῷ λιβελλισίῳ, καὶ Λέοντι τῷ ἐπὶ τῶν δεήσεων⟩? ‖ **XXXIX** cf. Psel. Ἐγκώμιον εἰς Ἰωάννην τὸν θεοσεβέστατον μητροπολίτην Εὐχαΐτων καὶ πρωτοσύγκελλον = Or. pan. 17, et Π 422,5–6. cf. etiam Karpozilos 1990,9–27
3 χαλεπὰ – καλά: proverbium; CPG I 172 (nr. 38) et 462 (nr. 22) et II 89 (nr. 30) et 717 (nr. 7) cum Karath. 66. cf. Psel. Χρονογραφία VI,74 et Π 161,3 et Π 107,12

20 ἡμᾶς S ‖ **21** ἡμῶν scripsi: ὑμῶν P S ‖ **ep. 161** L 16r–17r; tit. scripsi: τῷ μητροπολίτῃ Εὐχαΐτων L K-D

τόμην τρόπον τινά· ἐπεὶ δὲ αὐτὸς τοῦ ὀρύττειν ἐπέπαυσο, ἐπέμυσαν κἀμοὶ τῶν λόγων οἱ πόροι, τοσοῦτον, ὥστε ἀποτυλωθῆναι τὰ ῥήγματα· εἶτα δὴ κἂν μέ τις διέλῃ, μένω ἐπὶ τῆς αὐτῆς φύσεως, καὶ παντάπασιν ἐκπεπώρωμαι. Ἐρανισάμενος δέ τι παρὰ φιλοσοφίας, οὕτω τὸ πάθος διερμηνεύω, ὅτι ὁ νοῦς ἀφ' οὗ τὰ νοήματα, εἰ μὲν καθ' ἑαυτὸν ᾖ ἀμιγὴς σώματος, οὐκ ἔχει ᾧ ἐμφραγήσεται· εἰ δὲ σώματι δεσμηθῇ, ἀναχωννύμενος μέν, προβάλλει τὰ ἐνθυμήματα, μὴ καθαιρόμενος δέ, ἔνδον τοῦ προβλήματος μένει· κἂν τις διὰ πολλοῦ διασείσῃ τὸ πρόβλημα, ὁ δὲ ναρκῶν τέ ἐστι, καὶ οὐ πολὺς τὴν ἐπιρροήν. 15 20

Σὺ δὲ ῥεύματά τινα ἐδεδίεις, καὶ ποταμούς τινας αὐτίκα σοι ἐκχυθησομένους, καὶ τἆλλα τῆς σῆς περὶ ἡμᾶς ὑπολήψεως. Ἐμοὶ δέ, πάλαι μὲν ἴσως ἡ ψυχὴ λόγων ἐπήγαζε χάριτας, ἐποίει δὲ τοῦτο ἡ τέχνη καὶ τὰ μαθήματα. Νῦν δὲ ὁ τόκος ἀμβλύς, ὅτι τὰ παρὰ τῶν λόγων ἀσύλληπτα· ἔστι δὲ καὶ τὸ συλλαμβάνειν καὶ μὴ καὶ ἡ εὐγονία καὶ ἡ ἀτοκία οὐ παρὰ τὴν φύσιν ἀεί, ἔστι δ' ὅτε καὶ παρὰ τὸν καιρόν· καὶ παραπολαύει πως ὁ ἡμέτερος νοῦς ὥσπερ τῶν ὡρῶν, οὕτω δὴ καὶ τῶν τοῦ βίου ἰδεῶν, καθάπερ δὴ νῦν οἱ τῶν πραγμάτων χειμῶνες τὰς φύσεις ἡμῖν ἀπεκρυστάλλωσαν (οὕτως εἰπεῖν). 25 30

Ἀλλ' (ὃ ἐβουλόμην πρὸ πάντων ἐρεῖν) τί δή μοι μεταποιεῖς τὴν γνώμην πολλάκις, καὶ νῦν μὲν (ὡς εἴωθας) ῥεῖς, αὖθις δὲ ἐπέχεις τὴν γλῶτταν μηδεμιᾶς οὔσης προφάσεως; Μὴ γὰρ δὴ καὶ ἡμεῖς ταῖς τύχαις καὶ τοῖς πράγμασι μεταπίπτωμεν, μηδὲ τοὺς λόγους τούτοις ὁρίζωμεν, μηδὲ τὰς φιλίας παραμετρῶμεν οἷς εἰώθασιν οἱ πολλοί· ἀλλ' ἐκεῖνα μὲν ἔξωθεν ἡμᾶς περιρρείτωσαν, 35

16–18 ὁ νοῦς … ἀναχωννύμενος: Synes. Cyren. Δίων 10,3 παιδείαν μὲν ἅπασαν ἠτιμάκασιν, ὑφ' ἧς ὁ νοῦς ἀναχώννυται. cf. Psel. Ἐπιτάφιος εἰς ⟨Ἀναστάσιον⟩ = Or. fun. I 8,2,22–24 ἀμφοτέρων δὲ καὶ τῶν ἕξεων ἐχόμενος ἐπιμελῶς, ὅση τε τὸν ἐν ἡμῖν ἀναχωννύει νοῦν καὶ ὅση τὴν γλῶτταν εἰς λόγους ἐπαίρει et Εἰς τὸ 'νοῦς μὲν οὖν ἤδη καὶ αἴσθησις' = Theol. I 90,3–4 μετὰ Σωκρατικῆς ἐπιστήμης τὸν ἐγκείμενον τούτοις ἀναχωννύειν νοῦν. cf. Π 386,25 ἀναχωννύων τὸν ἡμέτερον νοῦν ‖ **29–30** οἱ – χειμῶνες: cf. e.g. Philo Περὶ τῶν ἐν μέρει διαταγμάτων 4,58 τοὺς χειμῶνας τῶν πραγμάτων ἐξευδιάζων ‖ **29–30** οἱ – ἀπεκρυστάλλωσαν: cf. Mich. Ital. Epist. 27 (182,14–15) ὁ ταυτησὶ τῆς συμφορᾶς χειμὼν ἐνάρκησέ σου καὶ τὸν νοῦν καὶ τὴν δεξιὰν καὶ τοὺς λόγους ὥσπερ ἀπεκρυστάλλωσεν

πεπήχθω δὲ ὁ λόγος (ὥσπερ δὴ ἀλλήλοις ὡμολογήσαμεν), τὰ δὲ δυσχερῆ οἰστέον ἡμῖν, ὁποῖα ποτ' ἂν ᾖ, πιέζοντα μέν, ἀλλὰ τοῦ
40 σώματος ἐκπυρηνίζοντα τὴν ψυχήν, ἐπεί τοι καὶ φιλοσόφου τινὸς ἀκήκοα, τὸν κατ' ἔκλυσιν φύσεως ἀποδοκιμάζοντος θάνατον, ὡς οὐκ εὐθὺς ἀποπαλλομένης εἰς οὐρανὸν τῆς ψυχῆς, ἀλλ' ἐν διηριθμημένῳ προϊούσης κινήματι.

Τοῦτο δή τοι τὸ πῦρ καὶ τῷ σῷ ἀδελφῷ τὴν ῥέουσαν ὕλην τοῦ
45 σώματος ἐξανάλωσε, καὶ τὴν ψυχὴν ὅλην (εἰ χρὴ οὕτως εἰπεῖν) ἐξηνθράκωσεν. Ὅτι μὲν γὰρ ὑπερφυές τι χρῆμα τὸ ἀρωματίζειν τὰ κεκμηκότα σώματα, παρὰ τῆς ἀληθείας ἔχω λαβών, τοῦτο δὴ καὶ παρὰ τῆς φιλοσοφίας ὠφέλημαι, ὅτι μὴ τῶν γεηρῶν μόνον

38 ὥσπερ – ὡμολογήσαμεν: cf. Greg. Naz. Εἰς τὸν μέγαν Βασίλειον ... = Or. 43,19 ὡς δὲ προϊόντος τοῦ χρόνου τὸν πόθον ἀλλήλοις καθωμολογήσαμεν, καὶ φιλοσοφίαν εἶναι τὸ σπουδαζόμενον ‖ **38–40** τὰ – ψυχήν: cf. etiam Π 549,13–14 ἐκπυρηνίζων ὥσπερ τὸν νοῦν, διὰ τοῦ περισφιγμοῦ καὶ ὑποπιεσμοῦ τῆς σαρκός ‖ **40–43** ἐπεί – κινήματι: cf. Synes. Cyren. Δίων 7,1 ἤδη δὲ ἐγὼ κατενόησα καὶ βαρβάρους ἀνθρώπους ἐξ ἀμφοῖν τῶν ἀρίστων γενῶν, θεωρίαν μὲν ὑπεσχημένους, καὶ κατὰ τοῦτο ἀπολιτεύτους τε καὶ ἀκοινωνήτους ἀνθρώποις, ἅτε ἀΐξαντας ἑαυτοὺς ἐκλῦσαι τῆς φύσεως cum 9,1 ... ὁ ἡμεδαπὸς φιλόσοφος ... ὁδὸν γὰρ παρεσκευάσατο καὶ κλιμακηδὸν ἄνεισιν ‖ **44–46** τοῦτο δή – ἐξηνθράκωσεν: cf. Ἐγκώμιον εἰς Ἰωάννην ... Εὐχαΐτων ... = Or. pan. 17,75–95 ὑπὸ τοιούτοις οὗτος καθηγηταῖς καὶ πρὸς γνῶσιν καὶ πρὸς ἀρετὴν ἐκπαιδεύεται, οὐ μόνος πρὸς τὰ κρείττω παιδοτριβούμενος, ἀλλὰ καὶ ἀδελφὸς αὐτοῦ ἑταῖρος, θεῖος ἐκ πρώτης τριχὸς καὶ τὴν φύσιν καὶ τὴν ψυχήν, ὑπὸ τὸν αὐτὸν τούτῳ ἐπωλοδαμνεῖτο ζυγόν· καὶ ἤστην ἄμφω κατωμαδὸν ἀραμένω τὴν παίδευσιν καὶ ἀροτριῶντε τὸν λόγον, καὶ οὐ πολλοστῷ μηνὶ τῶν σπερμάτων, ἀλλὰ παραυτίκα κομιζομένω τὸ θέρος· καὶ ἵνα τὸ τοῦ εὐαγγελίου εἴποιμι, ἔτρεχον μὲν οἱ δύο ὁμοῦ, τὸ δ' ἐφεξῆς ὀκνεῖ μὲν ὁ λόγος ἐρεῖν, εἰρήσεται δ' οὖν· προέλαβεν ἐκεῖνος τὸν συνοδοιπόρον καὶ σύννομον, καὶ εἰσῆλθε πρῶτος εἰς τὸ μνημεῖον· ὢ τῆς ὁμονοίας τῶν ἀδελφῶν καὶ τῆς ἀδιαιρέτου συζυγίας τὸ πρότερον· ὢ τῆς τελευταίας διαζεύξεως καὶ οἱονεὶ τομῆς ἑνὸς σώματος καὶ μιᾶς φύσεως. ἀλλ' ὁ μέν, ὁπόσον ἐδόκει τῷ λόγῳ παραβιώσας ἐνταῦθα, οὕτω γὰρ δέον ἐρεῖν, ἐπεὶ καὶ τοῖς πράγμασι παραχρώμενος ἦν, τὸν κεκληρωμένον αἰῶνα καταλελυκὼς ἐν νέῳ τῷ σώματι, πρὸς τὴν ἀγήρω μετετέθη ζωήν. ὁ δ' ἀπερρωγὼς τοῦ ξυμφυοῦς, ἐκείνῳ μὲν ἀπετέτμητο, ὅλος δὲ τοῖς σύμπασιν ἦν, τῇ τε προτέρᾳ δυνάμει προσθεὶς καὶ ὅλον τὸν τῆς ἀρετῆς ἀναδεδεγμένος ζυγόν. cf. etiam Π 334

40 ἐκπυρηνίζοντα K-D: ἐκπυρρηνίζοντα L ‖ **41** ἀποδοκιμάζοντος corr. Malt[5],249: ἀποδοκιμάζοντα L K-D

μερῶν τῆς στοιχειώδους φύσεως τὰ ἡμέτερα μετέχει σώματα, ἀλλὰ καὶ τῶν ἀκροτήτων· οἷς δὲ τὸ νοερὸν ἐντρέφεται πῦρ, τούτοις 50 ἐκκέκαυται μὲν τὸ γεῶδες, μένει δὲ τὸ αἰθερῶδες, τοῖς θείοις ἀρώμασι μυρεψούμενον. Κἂν μὴ παντάπασιν εὐανθὴς οὗτος ὁ λόγος, ἀλλ' ἡ μετὰ σώματος τέως ψυχή, τοῦ θείου μύρου τὴν ἐπιρροὴν δεξαμένη, μεταδίδωσι τούτου καὶ τῷ συμφυεῖ σώματι· τὸ δ' ἐμπλησθὲν εὐωδίας, καὶ μετὰ τὴν ἔξοδον τῆς ψυχῆς, μένει 55 πληρούμενον τῆς ποιότητος.

Ἐγὼ δὲ τὰ μὲν πολλὰ τῶν τοῦ ἀδελφοῦ κρυφίων οὐκ ἐγνώκειν, τοῖς δέ γε φαινομένοις, κατεστοχαζόμην τῶν ἀφανῶν. Χορεύουσαν εἶχε τὴν ψυχὴν ἐν τῷ σώματι, καὶ οἷον ἐλευθέραν καὶ ἄδεσμον· αἱ γὰρ ἀδιήγητοι τοῦ ἤθους αὐτῷ χάριτες τοὺς τῆς 60 ψυχῆς χαρακτῆρας ἐγνώριζον· οὔτε γὰρ ὕπουλον αὐτῷ τι καὶ ὑποκαθειμένον ἦν, οὔτε ὑπὸ τῷ νεύματι τῆς ὀφρύος ἐκυμαίνετο τὰ νοήματα, ἀλλ' εὐθεῖά τις ἦν τὸ σύμπαν γραμμή, ἔμφυτος τέ τις αὐτὸν χρηστότης ἐχαρακτήριζε, καὶ κάλλος ψυχῆς οἷον ἀμήχανον. Ἔδει δ' αὐτῷ πρὸς τὴν τῆς ἁγιωσύνης ἀκρότητα, καὶ πειρατη- 65 ρίων τινῶν, πρὸς ἃ γενναίως ἀντηγωνίσατο. Ὧι γοῦν τοὺς ἀγῶνας διήθλησε, τούτῳ δὴ ἐπίδηλον τὴν ἀρετὴν ἡμῖν ἀπειργάσατο. Καί σοι φθονῶ καὶ τῶν ἄλλων μέν, μᾶλλον δὲ τοῦ συγγενοῦς ῥεύματος, καὶ τοῦ ὁμοφυοῦς τούτου ἀρώματος· οἶδα γὰρ ὅτι καὶ τὸ σὸν σωμάτιον ἐκ τῶν αὐτῶν εἴη μετάλλων καὶ τῶν ἔργων 70 τῶν ἀργυρείων, ἃ μὴ δαπανᾷ σκώληξ, ὧν σῆψις οὐχ ἅπτεται.

Ἀλλ' ἔχω τι κἀγὼ διὰ σοῦ παρ' αὐτοῦ, καὶ σαφὴς ὁ συλλογισμός.

59 χορεύουσαν – ψυχὴν: Plot. I,8,2,24 χορεύουσα ψυχὴ cum Psel. Πρὸς τοὺς λέγοντας μὴ εἶναι φύσει χρηστὸν τὸν ἄνθρωπον· ἐλέχθη δὲ ὁ τοιοῦτος λόγος αὐτοσχεδίως = Phil. min. II 17 (84,10), Πρὸς τὸν οἰκεῖον γραμματικόν = Or. min. 17,95–96, et Περὶ φιλίας πρὸς τοὺς ἀνεψιοὺς τοῦ πατριάρχου κῦρ Μιχαὴλ = Or. min. 31,232 ‖ **71** ἃ – σκώληξ: cf. Psel. Ἐκ τοῦ Εἰς τὰ φῶτα δευτέρου λόγου, εἰς τὸ 'οἶδα καὶ πῦρ ...' = Theol. I 70,182–184 προσέσται δὲ τούτοις κατὰ προσθήκην καὶ ὁ σκώληξ ὁ δαπανῶν. τίς δὲ οὗτός ἐστιν; ἡ συνείδησις ὧν εἰργάσαντο πράξεων, etc.

162. Τῷ αὐτῷ

Τῷ μητροπολίτῃ Εὐχαΐτων ⟨Ἰωάννῃ⟩

K-D 34 [L]

Ἐγὼ βουλοίμην σέ, ὑπέρτιμε δέσποτα, τοιούτοις ἀεὶ κακοῖς συμπιέζεσθαι, ὥσπερ δὴ τὸν Τυφῶνα ὁ μῦθος ἔχει, ἵν' ἔχοις ἡμῖν, τῷ ἄχθει στενοχωρούμενος, τοιαύτας ἀπαστράπτειν φλόγας καὶ ῥημάτων καὶ νοημάτων· συγκρίνων γάρ σου τὴν στενοχωρίαν 5 πρὸς τὴν εὐρυχωρίαν, εὑρίσκω ταύτῃ μᾶλλον τὸ περὶ λόγους ἐλευθερούμενόν τε καὶ πλατυνόμενον· καὶ τὸ μὲν ἄχθος ὡς αὐτὸς ὑπολαμβάνεις, Τυφώνειον, οἱ δὲ κεραυνοί, τοῦ Ὀλυμπίου καὶ νεφεληγερέτου Διός.

Ἐμβρόντητος γοῦν μικροῦ δεῖν ἐγεγόνειν, τῷ ἤχῳ καταβρον-10 τηθεὶς τὰ ὦτα τῶν λέξεων. Σὺ δὲ ἄρα ἐλάνθανες καὶ τὰ φαυλότατα δεδιὼς τῶν πραγμάτων, τὸν Πόντον καὶ τὴν Προποντίδα, ὡς τὸν Ἀδρίαν καὶ τὸ Ἰνδικὸν πέλαγος. Ἔστι δὲ τό γε ἀληθές, οὐ πτοία τὸ πρᾶγμα ψυχῆς, ἀλλὰ δύναμις λόγου, καὶ χάρις γλώττης, καὶ προσποίησις ἀτεχνῶς, καὶ τέχνης ἰσχὺς μεταμορφούσης καὶ τὰ 15 ὀνόματα καὶ τὰ πράγματα, ὥσπερ ἂν εἴ τις ἐν αὐτῷ οἰκῶν τῷ αἰθέρι, καὶ τὰ ὑπερφυῆ κάλλη θεώμενος, ἔπειτα τοῖς ἐν ᾄδου φθονοίη τῆς κατοικίας, ὅτι ἄνω μὲν πολὺ τὸ οὐράνιον πῦρ, καὶ φρικώδη τὰ τῶν ἀστέρων δείματα, καὶ ἡ τοῦ οὐρανοῦ περιφορά, ἀτεχνῶς τὸν θεατὴν ἐκταράττουσα, καὶ ἡ τῶν ἀπλανῶν ἀντίθεσις 20 πρὸς τοὺς πλάνητας, δεινῶς ἐκδειματοῦσα τὰς τῶν ὁρώντων ψυχάς, ὁ δέ γε ᾄδης ἑστὼς καὶ ἀκίνητος, καὶ εἴ τι δεινὸν ἐν αὐτῷ τῷ ζόφῳ κρυπτόμενον, καὶ τοιαῦτα ἄττα περιττολογοίη τε καὶ τεχνάζοιτο.

Ἀλλ' ὦ μακάριε καὶ τρισόλβιε σύ, αὐτὴν λέληθας ἔχων τὴν 25 θρυλλουμένην εὐδαιμονίαν, εἰ βούλει τὰ σὰ παραβάλλειν πρὸς τὰ ἡμέτερα. Ἐνταῦθα μὲν γὰρ οὐδὲν ἑστώς, οὐ μόνιμον, ἀλλὰ πάντα κινεῖται καὶ μεταβάλλεται· καὶ ποικίλαι μὲν αἱ τροπαί, πολύτρο-

2–7 τὸν – Τυφώνειον: cf. e.g. Suda τ 1224–1228 ‖ **8** νεφεληγερέτου Διός: cf. e.g. Hom. Il. 1,511 etc. cum Π 215,4

ep. 162 L 17r–18v; tit. L K-D ‖ **1** τοιούτοις corr. K-D: τοιούτοις σε L **9** ἐμβρόντητος corr. K-D: ἐμβρότητος L

ποι δὲ αἱ γενέσεις, κἂν ὅ τι που ζωήρρυτον ξύλον πεφύτευται, ἀπείργουσιν ἡμᾶς αἱ ῥομφαῖαι τῆς πρὸς αὐτὸ παρόδου· τὰ δὲ ὑμέτερα, χωρία μὲν ἴσως ἀγροικικά, ἐν καλῷ δὲ γῆς καὶ ἀέρος, 30 καὶ ἀτρεμοῦντα, καὶ μὴ εἰδότα μεταβολήν, παραπολαύοντα δὲ καὶ αὐτὰ βραχύ τι τῶν κακῶν τῆς γενέσεως.

Καὶ εἰ βούλει, λογιώτατε πάντων ἀνδρῶν, διαμειψώμεθα τοὺς κλήρους ἀλλήλοις· καὶ σὺ μὲν λάχε τὰ ἀνάκτορα, ἐγὼ δὲ τὰ Εὐχάϊτα. Τί δέ μοι τὸν μυκτῆρα; Τί δὲ σεσηρὼς ἐμειδίασας; Ἔχε καὶ 35 τὸν ποδήρη καὶ τὴν κίδαριν· οὐ γὰρ διαλλάττομαί σοι ταυτί, ἀλλὰ τὰ χωρία μόνα τῆς ἱερᾶς ἄνευ στολῆς.

Ἐγὼ μὲν οὖν οὐκ οἶδα εἴ ποτε αὐτόθι διαβὰς ἔτυχον, ἵνα ἔχω εἰδέναι ὅπως διετέθην κατασκηνώσας. Σὺ δὲ τῆς ἐνταῦθα Ἐδὲμ οὐ πρὸ πολλοῦ πειραθείς, εἰ μὴ θᾶττον ἀπήλλαξαι, ἐτεθνήκεις ἂν ὑπὸ 40 τῷ ζωηρρύτῳ φυτῷ, καὶ τῶν ἐνταῦθά σε παρεμυθεῖτο οὐδέν, καὶ ταῦτα οὔτε ὄφεώς σοί τινος προσερπύσαντος, οὔτ' ἄλλου τινὸς προσβαλόντος δήγματος· ἀλλ' ἀπεδίδρασκες ὡς ἄλλο τι δεινὸν τὸν παράδεισον. Εἰ δὲ ταῦτα λῆρος, βασκαίνεις δὲ ἡμῖν τῶν ἐνταῦθα καλῶν, ἀνέῳκταί σοι ὁ θεῖος λειμών, καὶ τὸ διαβεβοημέ- 45

28 ζωήρρυτον ξύλον: Gen. 2,9 τὸ ξύλον τῆς ζωῆς ἐν μέσῳ τῷ παραδείσῳ etc., locus in Psello saepe laudatus; cf. e.g. Psel. Τί ἐστι τὸ ξύλον τῆς ζωῆς καὶ τὸ ξύλον τῆς γνώσεως; = Theol. II 20 et Π 3,15, Π 84,5, Π 127,22, Π 154,3, Π 504,11–12 ‖ **28–29** κἂν – παρόδου: Gen. 3,24 καὶ ἐξέβαλεν τὸν Αδαμ καὶ κατῴκισεν αὐτὸν ἀπέναντι τοῦ παραδείσου τῆς τρυφῆς καὶ ἔταξεν τὰ χερουβιμ καὶ τὴν φλογίνην ῥομφαίαν τὴν στρεφομένην φυλάσσειν τὴν ὁδὸν τοῦ ξύλου τῆς ζωῆς. cf. Psel. Ἐξήγησις τῶν Χαλδαϊκῶν ῥητῶν = Phil. min. II 38 (138,2–6) et Τίς ὁ παράδεισος, τί τὸ τῆς ζωῆς ξύλον καὶ τί τὸ ξύλον τῆς γνώσεως; = Theol. II 9,46–50 ‖ **35** **τί**[1] – ἐμειδίασας: cf. Ann. Comn. Ἀλεξιάς II 12,6 μετά τινος μυκτῆρος καὶ σεσηρότος ἤθους ‖ **35–36** καὶ – κίδαριν: cf. Exod. 28,4 (cum 31 et 39) καὶ αὗται αἱ στολαί, ἃς ποιήσουσιν... καὶ τὸν ποδήρη ... καὶ κίδαριν ... cum Zach. 3,4–5 ... καὶ ἐνδύσατε αὐτὸν ποδήρη καὶ ἐπίθετε κίδαριν καθαρὰν ἐπὶ τὴν κεφαλὴν αὐτοῦ. cf. Psel. Ἀπολογητικὸς ὑπὲρ τοῦ Φιλιππουπόλεως Λαζάρου καθαιρεθέντος = Or. for. 2,579–580 et Περὶ τῆς κιβωτοῦ τοῦ μαρτυρίου ... = Theol. I 109,46 et 50 et Π 134,31–32 ‖ **41** **τῷ** – φυτῷ: cf. supra l. 28 ‖ **45–46** **τὸ** – Ἠλύσιον: cf. Hom. Od. 4,563 ἐς Ἠλύσιον πεδίον καὶ πείρατα γαίης cum Psel. ⟨De servitute a secretis⟩ = Or. min. 11,5–6 et Π 378,55

30 ὑμέτερα corr. K-D: ἡμέτερα L ‖ **35** σεσηρὼς scripsi: σεσηρῶς L σεσηρὸς corr. K-D ‖ **40** ἀπήλλαξο corr. Diam 303–304 ‖ **43** δήγματος (corr. ex δείγματος) L: δείματος dubitanter prop. K-D

νον Ἠλύσιον, καὶ ταῦτα κάλλιον νῦν ἢ τὸ πρότερον· οὕτως γὰρ τὰ καθ' ἡμᾶς ἀρρήτοις εὐδόκηται κρίμασι, καὶ νῦν ἀτεχνῶς ὑπὸ σελήνην καὶ ἡλίους ἐσμέν, καὶ ἡ τάξις παρὰ πολὺ διαλλάττουσα· οὐ γὰρ τὴν ἑβδόμην ἡ παρ' ἡμῖν σελήνη ζώνην, ἀλλὰ τὴν πρώτην
50 ἀμφέπει, καὶ ὑποκάθηνταί γε αὐτῇ ἡ ἡλιῶσα καὶ τηλαυγὴς συζυγία, ἐκεῖθεν τὸ φῶς ἐπιχορηγούμενοι, καὶ ἠρέμα ἡμῖν ἐπεγχέοντες. Καὶ (νὴ τὴν ἱεράν σου ψυχήν!) ἄξιον ἡ προκαθημένη ὀφθαλμῶν θέαμα, ἔτι μὲν ἐν ἠμελημένῳ τῷ σχήματι, διασχίζουσα δὲ τῇ ἀκτῖνι τὸ νέφος, καὶ τὸ ἀπόθετον κάλλος ἑαυτῆς παρεμφαί-
55 νουσα. Σεμνύνει δὲ τὴν μὲν παρρησίαν αἰδοῖ, παρρησίᾳ δὲ τὴν αἰδῶ· καὶ οὔτε τὸ φθέγμα λάλον αὐτῆς, οὔτε τὸ σιωπηλὸν ἄγροικον. Πρόεισι δὲ ταύτῃ ὁ λόγος, ἐν μέτρῳ· καὶ ποθήσαις ἀκοῦσαί τι πλέον τῶν εἰρημένων, ἡ δὲ ἐπέχει τὴν γλῶτταν ἀποχρῶσαν καὶ λόγῳ καὶ σιωπῇ. Τὸ δὲ σχῆμα, οἷον οὐ γλώττης, ἀλλ' ὀφθαλμῶν·
60 ἐπιπρέπει δὲ αὐτῇ καὶ τὸ κάλλος καὶ ἡ νεότης, καὶ τὰ ἄνθη τῆς φύσεως. Καὶ κέκραται μὲν ἐκ πασῶν αὕτη τῶν ἀρετῶν, ἄλλαι δὲ μᾶλλον τῶν ἄλλων προλάμπουσιν. Καὶ τὸ βαθύτερον τῆς γνώμης αὐτῇ, μεταβαλεῖν μὲν εἰς τὸ κρεῖττον τὰ πράγματα, μὴ δόξαι δὲ τοῦτο ποιεῖν αἰδοῖ τοῦ ἀνδρός, τοσοῦτον αὐτῇ μέλον καὶ τῆς περὶ
65 ἐκεῖνον ὑπολήψεως, καὶ τῆς περὶ τὰ πράγματα κατορθώσεως. Ἄλλοτε γοῦν ἄλλό τι τῶν τραχυνθέντων, λειοῖ· καὶ τῶν εἰς τὸ χεῖρον ἐκβεβηκότων, μειοῖ.

Καὶ τί μοι τῇ γλώττῃ, ἀλλὰ μὴ τοῖς σοῖς ὀφθαλμοῖς τὴν πίστιν λαμβάνεις τῶν γιγνομένων; Εἴ ποτε γοῦν σε ἔρως ἔσχεν
70 ἡδίστου θεάματος, οἵου μή πω τεθέασαι, αὐτὸ δὴ τοῦτό σοι ὁ βίος ἐκαινοτόμησε. Γενοῦ τοιγαροῦν ἐντὸς τῆς Ἐδέμ, καὶ κατατρύφησον τῶν βασκαινομένων σοι καὶ καρπῶν καὶ πηγῶν. Καὶ εἰ μὲν αὐτάρκη πρὸς εὐδαιμονίαν σοι τὰ ἐνταῦθα καλά, μή μοι πάλιν ἐνθυμηθῇς τὰ Εὐχάϊτα. Εἰ δ' οὖν, σοὶ μὲν ἡ μεταβολὴ ῥᾴστη, καὶ
75 πάντα σά, καὶ τὰ βόρεια καὶ τὰ νότια. Ἐμοὶ δὲ ἡ παροικία ἐστενο-

49–50 οὐ – ἀμφέπει: cf. e.g. Horae astrologicae 125,13–17 (ed. Zuretti) αἱ ζῶναι τῶν ἑπτὰ πλανητῶν ἀστέρων. πρώτην ζώνην ἐπέχει κρόνος … τετάρτην ζώνην ἐπέχει ἥλιος … ἑβδόμην ζώνην ἐπέχει σελήνη

46 Ἠλύσιον παρὰ τοῖς Ἕλλησι ὁ παράδεισος λέγεται διὰ τὸ τὰ σώματα ἄλυτα τηρεῖν in marg. L (cf. Scholia in Hesiod. 169,13–16 [ed. Gaisford] et Etym. Gud. 241,53–55)

χώρηται, καί μοι ταὐτόν ἐστι τὸ ἐντεῦθεν ἀπιέναι τῷ μηδαμοῦ εἶναι, εἰ ⟨μὴ⟩ σύ με ἴσως στήσεις πλανώμενον.

Τὰ δὲ ἡμέτερα οὕτως. Ὁ δέ γε ἀνεψιὸς (οὐδὲ τοῦτο ἴσως ἀλλότριον) πλήρης ἐστὶν ἤδη καὶ τεχνῶν καὶ ἐπιστημῶν, καὶ περιχειλὴς τὴν σοφίαν, ἐκ πασῶν μὲν πηγῶν ἀρυόμενος, τὴν δὲ 80 ἐμὴν πρὸ τῶν ἄλλων μεγαλαυχῶν (πέπεισται γὰρ ὡς καλλίων τῶν ἄλλων)· καί μου οὐ τῶν ῥευμάτων ἔχεται μόνον, ἀλλά μου καὶ τῶν ψηφίδων αὐτῶν (δοκεῖ γὰρ κἀντεῦθεν μαργαρίτας ἐκλέγεσθαι).

163. Τῷ Εὐχαΐτων κῦρ Ἰωάννῃ

eodem tempore ut Psel. Ἐγκώμιον εἰς Ἰωάννην τὸν θεοσεβέστατον μητροπολίτην Εὐχαΐτων καὶ πρωτοσύγκελλον = Or. pan. 17 [cf. Karpozilos 1990,24]?

K-D 45 [L]

Ἐπαινῶ μέν, ὑπέρτιμε δέσποτά μου καὶ ἰσόψυχε ἀδελφέ, τὸν τῶν ἐπιστολῶν νόμον, καὶ τὴν διὰ γραμμάτων ἐπινοηθεῖσαν ὁμιλίαν τοῖς ἀποδημοῦσι τῶν φίλων· ἕνωσις γάρ ἐστιν ἄρρητος διεστηκότων σωμάτων καὶ συνδιαιρεθεισῶν τούτοις ψυχῶν. Ὅτι δὲ οὐχ ἁπλῆ τίς ἐστιν ἡ ἐντεῦθεν συνουσία, οὐδὲ οἵα ἡ εὐθὺς ἀπὸ 5 γλώττης καὶ ἄμεσος, ἀλλὰ κατάτεχνός ἐστι, καὶ ποικίλλεται, καὶ φεύγει μὲν τὸν σολοικισμόν, ἐξεπίτηδες δὲ καλλιρρημονεῖ, καὶ οὐ μιμεῖται τὴν ἔμφυτον καὶ ἀπανούργητον γλῶτταν, οὐ πάνυ τι φιλεῖν προῄρημαι· ὥσπερ γὰρ τὰ περινενοημένα σχήματα, καὶ αἱ

78 ὁ – ἀνεψιός: Theodorus? cf. Ioann. Maurop. Epist. 71 cum Karpozilos 1990,253; cf. etiam Mercati 1948 ‖ **1** ἰσόψυχε: Ps. 54,14 ἄνθρωπε ἰσόψυχε. cf. Psel. Λόγος εἰς τὴν σταύρωσιν = Or. hag. 3a,794, Π 53,26, Π 92,1, Π 100,1, Π 209,1–2, Π 304,2, Π 462,2, Π 494,1, Π 508,1, Π 551,1, et Π 553,1 ‖ **9–10** τὰ – ἐνθυμημάτων: Dion. Halicarn. Isocr. 12,12–14 τῆς μέντοι ἀγωγῆς τῶν περιόδων τὸ κύκλιον καὶ τῶν σχηματισμῶν τῆς λέξεως τὸ μειρακιῶδες οὐκ ἐδοκίμαζον. cf. etiam Π 134,69–70 ἡ λεγομένη περίοδος, καὶ τὸ πολυειδὲς τῶν σχημάτων, καὶ τὸ κυκλίον τοῦ ἐνθυμήματος

77 εἰ – με scripsi: εἰ σύ με L εἰ σὺ μὴ corr. K-D ‖ **ep. 163** L 26r–27r; tit. L K-D **8** ἀπανούργητον corr. K-D: ἀπανούργατον L

10 περιτταὶ περίοδοι, καὶ τὸ κυκλίον τῶν ἐνθυμημάτων τὴν ἐνδιάθετον ἰδέαν εἴωθεν ἀφανίζειν, καὶ τῷ ἀληθινῷ λόγῳ λυμαίνεται, οὕτω δὴ καὶ ἡ ἐξεπίτηδες ἁρμονία τῶν τοῦ λόγου μορίων, καὶ ἡ θήρα τῶν γλαφυρῶν λέξεων εὑρήματα κατὰ τῆς ἀπλάστου φιλίας ἐστίν.

15 Εἶτα οὐ μέμηνα ἄντικρυς εἰ, ἐξὸν καὶ δέον οὕτω ποιεῖν, οὐ τὴν εὐθεῖαν περαίνω, τοῦ δὲ σκολιοῦ γίνομαι· ὥσπερ γὰρ εἰ δρομικώτατόν με τῶν πολλῶν ᾔδεις, εἶτα δὴ ἀνειμένῃ πορείᾳ ἑώρακας χρώμενον, οὐκ ἄν μοι χωλείαν προσενεκάλεις, ἀλλ' οὗ μὲν ἔδει καὶ καιρὸς ἦν, ἐπῄνεις τὸν δρόμον, οὗ δὲ μηδὲν κατηνάγκαζε, τὸ 20 τεταγμένον κίνημά τε καὶ βάδισμα, οὕτω δή μοι τὴν ἐπὶ τοῖς λόγοις ὀξυκινησίαν ἐν τοῖς ἀγῶσιν εἰδώς, οὐκ ἂν νῦν ἠρέμα βαδίζοντι μέμφοιο.

Ὅρα γοῦν ὅπως, ἁπλῷ καὶ ἀληθινῷ λόγῳ, ἐκεῖνα δή σου πυνθάνομαι, ὁπόσα δὴ καὶ παρόντος, καὶ διὰ τῶν λόγων συνου-25 σίαν πληροῦντος ἡμῖν. Πῶς οὖν ἔχοις, ὁ ἐμὸς ἀδελφὸς καὶ δεσπότης, ὁ τῶν καθ' ἡμᾶς λόγων πατήρ, ὁ καὶ διομαλίσας μοι τὴν ψυχήν, καὶ ἐμφυτεύσας τὰς πρώτας τῶν λόγων ῥίζας, ἢ συνεγκεντρίσας ἡμῖν τὰς σὰς ἀποσπάδας, καὶ τοῖς φυσικοῖς ἡμῶν βλαστήμασι τὰ σὰ συνουσιώσας καλά; Ἆρά σοι καὶ τὰ τοῦ σώματος καὶ 30 τὰ τῆς ψυχῆς καλῶς ἔχοι; Λέγω δὲ οὐ περὶ τῶν ἀρετῶν ἐνταῦθα (τοῦτο γὰρ οἶδα προειληφώς), ἀλλὰ περὶ τοῦ εὐθυμεῖν, ἢ ἀθυμεῖν. Βουλοίμην μὲν οὖν ἀμφότερα εὖ ἔχειν. Εἰ δέ σοι τοῦ σώματος ἐρρωμένου καθεστηκότος, καὶ τῆς ψυχῆς τὴν οἰκείαν ἕξιν ἐχούσης, οὐ πᾶσι τοῖς κατὰ βούλησιν εὐροεῖς, μὴ πάνυ τοῦτο εἰς συμφορὰν 35 τίθεσο· ἀλλά σοι τὰ παρὰ πᾶσιν ἑστῶτα παραδείγματα εἰς εὐθυμίαν ἀρκείτωσαν.

Ἐρωτῶ δὲ καὶ τοῦτο: ἔχει τινά σοι ὁ θρόνος ἀλυπίας ὑπόθεσιν, ἢ αὐτὸ δὴ τοῦτο πρῶτον λυπεῖ, τὸ προκαθῆσθαι τῶν ἄλλων καὶ τὸ

10–11 τὴν – λόγῳ: ad formam Hermogenis ἐνδιάθετος καὶ ἀληθὴς καὶ οἷον ἔμψυχος λόγος refert; cf. Hermog. Περὶ ἰδεῶν 2,7. cf. etiam Π 14,62–63 et Π 15,63–64 ‖ **26** ὁ[1] – πατήρ: cf. Π 175,46 τῶν ἐν ἐμοὶ λόγων πατήρ. cf. etiam Psel. Ἐκ τοῦ 'πάλιν Ἰησοῦς ὁ ἐμός', εἰς τὸ 'πατὴρ ὁ πατὴρ ...' = Theol. I 105,56–57 ὥσπερ δήπου φαμὲν καὶ λόγων πατέρας τινὰς καὶ ἐπιστημῶν καὶ παιδεύσεων

25 ἔχοις L: ἔχεις K-D ‖ **27–28** συνεγκεντρίσας corr. K-D: συνεγκετρίσας L **30** ἔχοι L: ἔχει K-D

δημοσίᾳ φιλοσοφεῖν, δέον ἰδιοπραγμονεῖν καὶ τῶν οἰκείων ἠθῶν ἔχεσθαι; Τὸ μὲν οὖν σὸν οἶδα, ὅτι βούλει ἐν τῷ ἀφανεῖ κεκρύφθαι· 40 ἐγὼ δὲ οὔποτ' ἂν τοῦτο εἰσηγησαίμην σοι, ὅτι σοι παρασκευαὶ καὶ παρὰ τῆς φύσεως, καὶ παρὰ τῆς παιδεύσεως, πρὸς τὸ προστατεῖν, καὶ ἄρχειν καὶ ψυχῶν καὶ σωμάτων, πεφύκασι. Σὺ δ' ἂν προσέταξάς ποτε ἀπιέναι τοῦ σταδίου σταδιοδρόμον, ἢ ἀπεσπάσθαι τῆς φάλαγγος τὸν ταύτην ἀκριβῶς συνασπίζοντα; Ἀλλὰ δή τοι καὶ τῷ 45 δρομεῖ, καὶ τῷ ὁπλίτῃ, πράγματα, τὰ μὲν εἰσὶ τὰ δὲ φύεται· ἀλλ' οὐ παρὰ τοῦτο ἀποστατέον αὐτοὺς τῶν ἐφ' οἷς ἐτάχθησαν, καὶ πρὸς ἃ ἐπιδεξίως πεφύκασι. Τοῦτο δὲ ἐξεπίτηδες γράφω, πρός τινα φήμην ἀγωνιζόμενος.

Ἀλλ' ἐπὶ τὴν ἁπλῆν ἐπάνειμί σοι διάλεξιν· μᾶλλον δὲ διειλε- 50 γμένος τὸ ἀποχρῶν, εὐχῇ τὴν ὁμιλίαν συμπερανῶ: μὴ θάνοις ἐν ὠμῷ γήρει, ἀλλὰ μηδὲ ἐν ἀκμάζοντι (εἰ οὕτως εἰπεῖν χρή), μηδὲ ὀγδοηκοντούτης, ἀλλὰ φθάσαις ἐπὶ τὸ τελευταῖον μέτρον τῆς ἀνθρωπίνης ζωῆς, ἐφ' ᾧ τὰς χιλιετηρίδας κατέκλεισεν ὁ θεός· εἰ δὲ βούλει, ἐπὶ τὸ Πλατωνικόν, «τὸ ἐκ τῶν δυεῖν ἐπιπέδων, καὶ τῶν 55 δυεῖν τετραγώνων, καὶ τῶν δυεῖν κύβων», οὐ τῶν ἐλαχίστων ἀλλὰ τῶν μετὰ τούτους· καί σε οὕτως ἔχοντα ἴδοιμι, ἵνα δή τι καὶ αὐτὸς συναπολαύσαιμι τῆς εὐχῆς.

51–52 ἐν – γήρει: Hom. Od. 15,357 ἤκαχ' ἀποφθιμένη καὶ ἐν ὠμῷ γήραϊ θῆκεν. cf. Psel. Εἰς τὸ εὐαγγελικὸν … 'γρηγορεῖτε, ὅτι … = Theol. I 101,83–83 ὀγδόη (scil. ὥρα), ὅταν μήπω πέπειρος ἡμῖν ὁ βλαστὸς τῆς λευκῆς τριχός, καθ' ἣν δὴ καὶ ὠμογέροντες ὀνομαζόμεθα et Π 76,71 ‖ **52–53** μηδὲ ὀγδοηκοντούτης: cf. Ps. 89,10 αἱ ἡμέραι τῶν ἐτῶν ἡμῶν, ἐν αὐτοῖς ἑβδομήκοντα ἔτη, ἐὰν δὲ ἐν δυναστείαις, ὀγδοήκοντα ἔτη ‖ **53–54** τὸ – θεός: cf. Ps. 89,4 ὅτι χίλια ἔτη ἐν ὀφθαλμοῖς σου ὡς ἡ ἡμέρα ἡ ἐχθές cum Apoc. 20,4 καὶ ἔζησαν καὶ ἐβασίλευσαν μετὰ τοῦ Χριστοῦ χίλια ἔτη ‖ **55–57** τὸ[1] – τούτους: Plut. Περὶ τῶν ἐκλελοιπότων χρηστηρίων 415e6–10 τὰ γὰρ πεντήκοντα καὶ τέσσαρα μεσούσης ὅρον ἀνθρωπίνης ζωῆς εἶναι, συγκείμενον ἔκ τε τῆς ἀρχῆς καὶ τῶν πρώτων δυεῖν ἐπιπέδων, καὶ τῶν δυεῖν τετραγώνων, καὶ τῶν δυεῖν κύβων, οὓς καὶ Πλάτων ἀριθμοὺς ἔλαβεν ἐν τῇ ψυχογονίᾳ

45 ταύτην corr. K-D: ταύτης L ‖ **47** αὐτοὺς post corr. L K-D ‖ **48** ἃ post corr. L K-D ‖ **50–51** διειλεγμένος post corr. L K-D

164. Τῷ αὐτῷ

Τῷ Εὐχαΐτων κῦρ Ἰωάννῃ

K-D 46 [L]

Τοιοῦτός ἐστι ἀληθῶς ἅπας ἀγαθὸς ἄνθρωπος ὁποῖον δὴ ἑαυτὸν ἐχαρακτήρισας ἐν τῷ πρὸς ἡμᾶς γράμματι, ὁσιώτατε δέσποτα, οὐκ ἐκ τῶν ἀποτελεσμάτων τὴν φιλίαν τεκμηριώσας, ἀλλ' ἀπὸ τῆς οἰκείας φύσεως. Εἰ μὲν γὰρ πρὸς τῷ φιλεῖν καὶ τὸ ἀποτελεῖν
5 τὸ τῆς φιλίας μέτρον ὁ ἀγαπῶν δύναται, δεῖ καὶ τοῦτο συνεισάγειν αὐτόν, οἷς φιλεῖν ἐπαγγέλλεται· εἰ δὲ τὸ μὲν ἐξ ἀγαθοῦ ἀναβλαστάνει φύσεως, πρὸς ἐκεῖνο δὲ παρὰ τοὺς συμπίπτοντας ἐξατονεῖ καιρούς, οὐκ ἂν εἰκότως κριθείη παρὰ τὸ ἐνδέον κακός, ἀλλὰ παρὰ τὸ πλεονάζειν ἀγαθὸς λογισθήσεται.

10 Ἡμεῖς δὲ οὔτε τῶν ἄγαν δυναμένων ἐσμέν (ὥς γε τὸ ἀληθὲς ἔχει), οὔτε τῶν παντάπασιν ἐξασθενούντων ἔργον φιλικὸν ἐπιδείκνυσθαι, ἀλλὰ μέσοι τῶν ἄκρων ἐσμέν. Ὅθεν τὰ μέν σοι διδόαμεν, καὶ δώσομεν περιόντες τῷ βίῳ· ὑπὲρ τῶν δέ, ἔφθασας αὐτὸς ἀπολογησάμενος.

15 Καὶ τοῦτο δὲ οἴου ὅτι τῶν ἄλλων πλείω ἴσως δεδυνήμεθα. Ἀλλ' οὐκ εἴ τις ἀξίνην εὖ τεθηγμένην ἔχει, παρὰ τοῦτο καὶ πᾶσαν τεμεῖν ὕλην δεδύνηται. Οἶδα γοῦν ἐγὼ καὶ τῶν δένδρων ἔνια, ἀνένδοτα τοῖς ἑτεροστόμοις τούτοις ξίφεσιν ὄντα, ὁποῖα δὴ οἱ περὶ τὸν Ταῦρον Σκῦθαι ἀπὸ θατέρου τῶν ὤμων κραδαίνουσι· κἀμοὶ
20 γὰρ ἠκόνηται μὲν ἡ γλῶσσα καὶ ὁ βραχίων τυχὸν εὐσθενής, ἀλλ' ἴσως στερρότερον τὸ πληττόμενον. Διὰ ταῦτά μοι, φίλτατε ἀδελφέ, ἀσθενοῦντι συγγίνωσκε πρὸς τὰ σὰ προστάγματα. Κἄν,

18–19 τοῖς – κραδαίνουσι: cf. Π 190,26–28 καὶ τὰς ἀμφιστόμους ῥομφαίας ἀπὸ τοῦ δεξιοῦ ὤμου κραδαίνοντες. iunctura Pselliana in Ann. Comn. Ἀλεξιάς II 9,4,10–11 οἱ δέ γε ἐπὶ τῶν ὤμων τὰ ξίφη κραδαίνοντες, II 12,4,7 τοὺς ἐπὶ τῶν ὤμων τὰ ξίφη κραδαίνοντας, et XII 6,3,15–16 βαρβάρους θεασάμενος ἐπὶ τῶν ὤμων τὰ ἑτερόστομα ξίφη κραδαίνοντας laudata

ep. 164 L 27r–v; tit. τῷ αὐτῷ corr. K-D: τοῦ αὐτοῦ L ‖ **13** τῶν δέ scripsi: δὲ τῶν L K-D ‖ **14** ἀπολογησάμενος post corr. L K-D: ἀπολογισάμενος ante corr. L ‖ **20** εὐσθενής corr. K-D (Maas): εὐμενής L

ὡς ᾠήθης, ὁ καιρὸς τοῦ δύνασθαι παραγένοιτο, ὅλον εἰσοικίσω τὸν αὐτοκράτορα, ἐπεὶ καὶ οὗτος ἐνδίδωσι πολλάκις αὐτοῦ ἐπαφήν· κἂν τις κατὰ καιρὸν αὐτοῦ ἅψηται, αἰσθήσεται καὶ ἁπαλοῦ, καὶ 25 ὑπείκοντος· κἂν οὕτως εὑρήσω ποτὲ τὴν ἐκείνου ψυχήν, ἐντυπώσω ταύτῃ τὴν περὶ σοῦ σφραγῖδα, καὶ μέχρι βάθους ἐνσημανῶ.

165. Τῷ Εὐχαΐτων ⟨Ἰωάννῃ⟩

ca. a. 1059? eodem tempore ut Π 380 et Π 373 [vid. epistolarum ordinem in L] et etiam Π 166 et Π 374 [cf. De Vries-Van der Velden 1996,119–120]

K-D 54 [L]

Οὕτως ἀκούω καὶ τὴν ψυχὴν ἑνουμένην τῷ σώματι, ὑπέρτιμε δέσποτα· καί με πεπείκασιν οἱ σοφοί, διὰ μέσης ἑτέρας ζωῆς ταύτην ἐνδεδέσθαι τῷ χείρονι.

Τοιοῦτόν τι χρῆμα μέσος ἀμφοῖν ἕστηκεν ὁ κριτής. Καὶ τούτῳ μὲν κείσθω ὄνομα (εἴ γε σὺ προστάττεις καὶ βούλοιο) «ἐντελέχεια»· 5

23–24 τὸν αὐτοκράτορα: Constantinus X Ducas (imperator: 23/24.XI.1059 – 22/23.V.1067) (Π XVIII)? ‖ **4** ὁ κριτής: de quo cf. Π 166,39, Π 373,3, Π 374,5, Π 375,33–34 et Π 380,9. Basilius Maleses (Π XXXVIII) (ut De Vries-Van der Velden 1996)? ‖ **5–6** ὄνομα – κρείττων: cf. e.g. Psel. Συλλογαὶ διάφοροι καὶ ποικίλαι = Phil. min. II 13 (44,22–23) ἡ ἐντελέχεια διττή· τὸ τοῦ σώματος ἀχώριστον εἶδος καὶ τὸ κεχωρισμένον ὡς ὁ πλωτὴρ τοῦ πλοίου ex Ioann. Philop. In De an. 193,27–194,8 ‖ **1–11** οὕτως – ἐμφάσεως: cf. Psel. Περὶ ἀρχῶν καὶ περὶ ἑνώσεως ψυχῆς καὶ σώματος = Phil. min. II 14 (74,1–26) ἠρώτησας καὶ τὸ πολυθρύλλητον τοῦτο ἐρώτημα, ὃ δὴ Πλωτῖνος πρῶτος ὡς οἶμαι ἐτόλμησε. 'τὸ ζῷον' γάρ φησιν 'ἢ τὸ σῶμα δεῖ λέγειν τὸ τοιόνδε ἢ τὸ κοινὸν ἢ ἕτερόν τι τρίτον ἐξ ἀμφοῖν γεγενημένον'. ὅταν μὲν οὖν λέγῃ 'τὸ ζῷον ἢ τὸ σῶμα δεῖ λέγειν τὸ τοιόνδε', τὸ φυσικόν φησι καὶ ὀργανικὸν τὸ δυνάμει ζωὴν ἔχον· ὅταν δὲ εἴπῃ 'τὸ κοινόν', τὸ ἐξ αὐτῆς φησι τῆς ψυχῆς καὶ τοῦ σώματος σύνθετον· ὅταν δὲ 'ἢ ἕτερόν τι τρίτον ἐξ ἀμφοῖν γεγενημένον', τοῦτο δὴ τὸ ἄπορον καὶ ἀπόρρητον, τὸ ἐκ τῆς δευτέρας φησὶ ζωῆς καὶ τοῦ σώματος. ὁ γὰρ ἀνὴρ οὗτος οὐκ αὐτὴν ἀμέσως τὴν νοερὰν ψυχὴν τῷ σώματι μίγνυσιν, ἀλλ' ἐκείνην μὲν ἑαυτῆς εἶναι τίθεται, κἂν ἐν σώματι γένηται, τὴν δὲ ἐξ αὐτῆς προϊοῦσαν ἔλλαμψιν, ἣν καὶ ἴνδαλμα ψυχῆς ὀνομάζει, τῷ σώματι

23 εἰσοικίσω L K-D: εἰσοικειώσω dubitanter prop. K-D ‖ **25** τις post corr. L K-D: τὸ ante corr. L ‖ **ep. 165** L 30r–v; tit. scripsi: τῷ Εὐχαΐτων L K-D **5** προστάττεις L: προστάττοις corr. K-D

ἡμῶν δέ, ἐγὼ μὲν ἡ χείρων φύσις, σὺ δὲ ἡ κρείττων. Ὅπως δ’ ἂν τῶν ὀνομάτων ἔχοιμεν ἢ τῆς φύσεως, ἰδοὺ διὰ τῆς ἐντελεχείας οἱ διεστηκότες συνήφθημεν: ἡ μὲν οὖν δευτέρα ζωή, τῆς πρώτης ψυχῆς. Ἔστω δὲ τὸ δόγμα οὐ κεκυρωμένον ἡμῖν, ἀλλὰ πρὸς τὴν
10 ὑπόθεσιν ἀποχρῶν. Εἰ μὲν οὖν ἐκείνη πρὸς τὴν ὑπερτέραν ἀκριβῶς ἀπεικόνισται, οὔ με πεπληροφόρηκεν ὁ ἐξηγητὴς τῆς ἐμφάσεως· ὁ δέ γε κριτὴς ὅλον με ἀπομαξάμενος, αὔτανδρόν σοι προσάγει, ἵνα ἔχοις αὐτὸν ὁρῶν, ἐμὲ καθορᾶν.

Ἆρα γοῦν εἰ αὐτὸς ἐγὼ ἀφικόμην σοι, καὶ εἶδες ὃν πρὸ πολλοῦ
15 ἐπόθεις ἰδεῖν, τί οὐκ ἂν εἶπας; Τί οὐκ ἂν ἐποίησας; Ποίους οὐκ ἂν ἀφῆκας λόγους; Ἢ ποίαν παραμυθίαν οὐ συνεισήνεγκας; Ὁπότε δὲ παρὰ βραχὺ ὁ αὐτός σοι παρεγενόμην, ἀλλοιότερος ἂν φανῇς, καὶ σωμάτων διαφοραῖς τὰ τῆς φιλίας παραταλαντεύσεις ζυγά (ἐπεὶ τοῖς γε ἤθεσιν ἀδιάφοροί σοι ἀμφότεροι τυγχάνομεν); Εἶτα
20 ἐν ὕπνοις σε πολλάκις ἐγὼ καθεωρακὼς ἡδέως τε εἶδον καὶ κατησπασάμην, καὶ ὡς ὑπόστασιν τὴν φαντασίαν ἐνόμισα. Τὸ δ’ αὐτὸ οἶμαι καὶ σὲ παθεῖν, εἴ ποτέ με οὕτω πεφάντασαι. Πότερον οὖν ὑποστατικώτερος ἐγώ σοι ἐν ὕπνῳ ἀνειδωλοποιηθείς, ἢ οὗτος οἷόν τι ἄγαλμα τῆς ἐμῆς ἰδέας ὀφθείς;

25 Ἀλλ’ ἴσως οὐ καθορᾷς τὸ ἐμὸν πάθος, ἢ τάχα οὐδ’ ἐννοεῖς, ἄσχετος ἀπὸ πρώτης γενέσεως γεγονώς, καὶ μὴ καταβὰς ἐς τοσοῦτον τῆς φύσεως ἐφ’ ὅσον ἐγώ. Ἴσθι γοῦν μοι τὴν ψυχὴν τἆλλα μὲν ἴσως φιλοσοφοῦσαν, καί τι τῶν πολλῶν ὁρῶσαν βαθύτερον, ταῖς δὲ φυσικαῖς ἀνάγκαις ἁλώσιμον γεγονυῖαν παρὰ τοὺς
30 τῆς φιλοσοφίας θεσμούς. Καταπέπομαι γοῦν ἄντικρυς, ὑπὸ τῆς τοῦ ἀνδρὸς τοῦδε σχέσεως, καὶ βούλομαι τοῦτον μικροῦ δεῖν μήτε διὰ θαλάσσης πλεῦσαι, κύματα ἐχούσης καὶ σύρροιαν, μήτε δι’ ἠπείρου βαδίσαι, φάραγγας ἐχούσης, καὶ ὄρη ἀπότομα, μήτε πράγμασιν ἐντυχεῖν. Νῦν δὲ καὶ τὰ ἀκύμαντα κυμαίνει, καὶ ἡ
35 πεδιὰς ὄρθιος· καὶ δέδοικα περὶ τῷ σπλάγχνῳ, μή που σκοπέλοις

συγκεράννυσθαι etc. ex Procl. In Plot. Enn. I 1,5; cf. etiam Psel. Omn. doctr. 36 et Ἐπιτάφιος εἰς τὴν ἑαυτοῦ μητέρα 1758–1760
12–13 ἵνα – καθορᾶν: cf. Π 373,5–6 τοιοῦτος γοῦν τῷ ἀνδρὶ φάνηθι, ὁποῖος ἂν εἰ ἐμὲ εἶδες, πρὸς σὲ παραγενόμενον ‖ **23–24** οὗτος – ἰδέας: cf. Π 380,4–5 τὸ ἔμψυχον τῆς ἐμῆς φύσεως ἄγαλμα

33 φάραγγας corr. K-D: φάλαγγας L

ἐντύχῃ ἢ κρημνοῖς, ἢ πολυπληθέσι λιμέσι, καὶ δυοῖν θάτερον, ἢ ναυαγήσει ἢ συντριβήσεται.

Εἴ τις οὖν σοι φροντὶς ἐμὲ κακῶν ἀπηλλάχθαι, ἐς τοῦτόν μοι κατανάλωσον τὴν φροντίδα. Κἀμὲ ἔα πίπτειν ἢ ἀπερρῖφθαι εἰς θάλασσαν· ὀρθωθήσομαι γὰρ καὶ αὖθις, καὶ πρὸς αἰγιαλοὺς 40 ἀπονήξομαι. Τοῦτον δέ μοι κυβέρνησον ἄρτι καὶ ταῖς τρικυμίαις ἐμπεπτωκότα, καὶ ἀφεικότα κατὰ μεγάλου πελάγους. Νὴ τὴν ἱεράν σου ψυχήν (ἵνα τὸ περιττῶς λέγειν ἐάσω), τῇ ἐπιστήμῃ τεθαρρηκώς, τοῦτον ἐπὶ τῆς πρύμνης ἐκάθισα, ὅπως ἂν ὑπὸ σοῦ κυβερνῷτό τε καὶ ἰθύνοιτο· εἰ γὰρ καὶ αὐτὸς τέχνην τινά, τὴν μὲν 45 ἐκ φύσεως, τὴν δὲ μεμάθηκε παρ' ἐμοῦ, τοῦ ἐπιστημόνως πλεῖν, καὶ πόρρω τοῦ πελάγους καὶ πρὸς ταῖς ἀκταῖς, ἀλλ' οἶδε πεπεῖσθαι τῷ κρείττονι· καί σοι τῶν πηδαλίων ἡδέως παραχωρήσει. Μόνον ἰθύνοιτό γε παρὰ σοῦ δεξιῶς, τοῦ σοφοῦ καὶ τὰ ἀνθρώπινα.

166. Τῷ μητροπολίτῃ Εὐχαΐτων ⟨Ἰωάννῃ⟩

ca. a. 1059? eodem tempore ut Π 165, Π 373, Π 374, et Π 380 [cf. De Vries-Van der Velden 1996,119–120]

S 80 [P]

Προσαγορεύω σε τὴν ἱερὰν κεφαλήν, ἱερὰ τῷ ὄντι καὶ θεία μοι ψυχή· εἰ γὰρ μὴ καὶ ἐμοὶ προσήκει ἡ τοιαύτη προσφώνησις, ἀλλὰ σοὶ μάλιστα τὸν τοῦ θεοῦ λόγον βροντήσαντι, καὶ θείας λαμπρότητος καὶ τοὺς ἐγγὺς καὶ τοὺς πόρρω πληρώσαντι.

Προσαγορεύω οὖν σε οὐχ ἅπαξ, ἀλλὰ καὶ πολλάκις· καὶ 5 περιπτύσσομαι ψυχικώτερόν τε καὶ νοερώτερον. Εἶτα δή σοι καὶ αὐτὰ καταγγέλλω τὰ γεγονότα. Οὐκ οἶδα δὲ εἴτε ἡμεῖς εἴτε οἱ καθ' ἡμῶν παραπολαύουσι τοῦ καιροῦ· διττὴ γὰρ ἡ τῆς λέξεως ἔμφασις, κατὰ δὲ τὴν προβεβλημένην ἔννοιαν, οἱ ἐκ τῶν Εὐχαΐτων τούτου παραπολελαύκασι. Πλὴν οὐ τοσοῦτον ὅσον ἐβούλοντο· 10

1–2 ἱερὰ – ψυχή: cf. Greg. Naz. Εἰς τὸν μέγαν Βασίλειον ... = Or. 43,82 ὦ θεία καὶ ἱερὰ κεφαλή. cf. Psel. Ἐγκώμιον εἰς ... Νικόλαον μοναχὸν ... = Or. fun. I 10,33,1 et Π 3,17 et Π 250,1

ep. 166 L 52r–53r, P 206v; tit. scripsi: τῷ μητροπολίτῃ Εὐχαΐτων L τῷ Εὐχαΐτων P S ‖ **1–2** ἱερὰ – ψυχή P S: om. L

λύκοι γὰρ χανόντες γεγόνασιν· ἐλύττησαν μὲν γάρ, καὶ τὰς γλώσσας αὐτῶν ἐπὶ τὰς σάρκας ἐξέχεον, ἀλλ' οὐδὲν ἧττον τῶν περὶ τὸν Δανιὴλ λεόντων πεπόνθασιν. Ἐγὼ δέ σοι (εἰ βούλει) ὁ Ἀμβακούμ, οὐκ αἰθέριος, ἀλλ' ὡς εἴωθα, ἀπεχαλίνωσα τούτοις τὰ
15 στόματα, ὥστε θαυμάζειν καὶ τὸν βασιλέα εἰ, οὕτως ὀξὺ βοήσαντες καὶ πόρρωθεν βρυχησάμενοι, ταχὺ τῆς θηριωδίας ἔληξαν.

Ἀλλ' οὐ τοῦτό σοι μόνον διυπηρέτηκα, δέσποτά μου ὡς ἀληθῶς τιμιώτατε, ἀλλὰ καὶ τὴν τοῦ κρατοῦντος δόξαν μετεποίησα σοι, καὶ ἀντὶ τοῦ πείθεσθαι τοῖς κατηγόροις, καὶ κατηγορεῖν
20 ἀναγκάζεσθαι, εὐφημίας ἀφῆκε περὶ σοῦ μεστὰ ῥήματα. Τὴν δέ γε ἐπιστολήν σου, τὴν καλὴν ὁμοῦ καὶ σοφήν, πολλάκις διεξελήλυθε, καὶ πρὸς τοὺς ἀρχαίους λόγους συνέκρινε· κἀγώ σοι τὸ ὑπερέχον ἐμνηστευσάμην.

Οὕτω μὲν οὖν σοι ἐκ περιτροπῆς τῶν δυσχερῶν, τὰ ἐναντία
25 περιελήλυθε. Βούλομαι δὲ κατ' εὐθεῖάν σοι ταῦτα φέρεσθαι, καὶ μὴ ὥσπερ ἐκ μηχανῆς. Κἀνταῦθα μέν, οὐδέν σοι περὶ τούτου γέγραπται, οὐδὲ διηρμήνευταί σοι τὸ καθ' ὅν τινα τρόπον. Ἣν δὲ κομιοῦσί σοι οἱ τῆς πολιτείας ἐπιστολήν (ἐπηγγειλάμην γὰρ αὐτοῖς δοῦναι πολλάκις αἰτησαμένοις) ἑρμηνεύσει σοι τὰς αἰτίας
30 τῆς κρείττονος διοικήσεως. Διατί γὰρ ὁ κορυφαιότατος σὺ τῆς ἱερᾶς συνόδου, καὶ ὁ πᾶσιν ἀπαράμιλλος, οὐ τοῖς καθ' ἡμᾶς μόνον, ἀλλὰ καὶ τοῖς ᾀδομένοις κατὰ τὸν ἄνω βίον ἀνδράσι, μῶμόν τινα καὶ μέχρις αὐτῆς προσδέξαιο ὑπολήψεως, ὁπηνίκα πρὸς τὸν ἐν προφορᾷ λόγον, ἀλλ' οὐ πρὸς τὸν ἐνδιάθετον ἡ ἐφεστῶσα κρίσις
35 δοκιμάζει τὰ πράγματα, καὶ οὐχ ὅτι ἡμῖν πράττεται, ἀλλ' ὅτι

11 λύκοι – χανόντες: proverbium; CPG I 273 (nr. 20) ‖ **12–13** οὐδὲν – πεπόνθασιν: cf. Dan. 6,15–24 et Bel et Draco 31–32 et 40–42 ‖ **13–14** ὁ – αἰθέριος: cf. Bel et Draco 34–36; cf. Psel. Ἐπιτάφιος εἰς τὴν ἑαυτοῦ μητέρα 1484 **26** ὥσπερ – μηχανῆς: proverbium; CPG I 210 (nr. 84) et II 12 (nr. 78) et 297 (nr. 41), cf. Psel. Χρονογραφία VI,171, Χρυσόβουλλος = Or. for. 7,65, Λόγος εἰς … Κωνσταντῖνον τὸν Μονομάχον = Or. pan. 1,219 et 280, Ἕτερος λόγος πρὸς … Κωνσταντῖνον τὸν Μονομάχον = Or. pan. 4,405–406, Ἐκ τοῦ περὶ υἱοῦ λόγου, τὸ 'καὶ πολλούς, ὃ φρίττω λέγων, Χριστοὺς ἀνθ' ἑνὸς' ἢ μετὰ θάρσους θερμότης πεποίηκεν = Theol. I 44,44, Εἰς τὸ 'ᾗ βούλεται μοῖραν …' = Theol. I 62,102, et Π 175,11, Π 248,11, Π 288,2, Π 319,8, et Π 467,2–3

11 χανόντες L: τυγχάνοντες P S ‖ **17–18** δέσποτά – τιμιώτατε P S: om. L **20** μεστὰ ῥήματα L: ῥήματα μεστά P S

καθ’ ἡμῶν λέγεται; Ἀλλά σοι κατ’ ἐξαίρετον ὁ θειότατος ἡμῶν βασιλεὺς τὸ ἰδιαίτατον ἐκείνου ἀφείλετο;

Ἀλλ’ ἐξελαθόμην, παρενεχθεὶς ὑπὸ τῆς τοῦ λόγου ῥύμης. Πῶς ὁ κριτής; Ἆρ’ οἷον εὐχόμεθά τε καὶ ὑπειλήφαμεν; Πότερον, σώζει τοὺς χαρακτῆρας τῆς ἡμετέρας παιδεύσεως; Ἔχει τινὰ τὸ ἦθος 40 αὐτοῦ πρὸς τὸ ἡμέτερον μίμησιν; Ἢ τοὺς δοθέντας ὅρους ἐκβέβηκεν; Εἰ μὲν οὖν ἔχει, τίμησον· εἰ δ’ οὖν, μάστιξον. Εἰ δὲ φείδῃ τοῦ σώματος, γένοιο τούτῳ ἀντ’ ἐμοῦ· καὶ ἐντύπωσον αὐτοῦ τῇ ψυχῇ τὴν σὴν καλλίστην ἰδέαν, καὶ τοῦ ἤθους, καὶ τῆς γνώμης, καὶ τῆς ἁπλότητος· καὶ δεξαίμην αὐτὸν ἀπὸ σοῦ μάλιστα μεμορφωμένον, 45 ἢ τοὺς ἐμοὺς χαρακτῆρας φυλάξαντα.

167. Τῷ μητροπολίτῃ Εὐχαΐτων ⟨Ἰωάννῃ⟩

responsum ad Ioann. Maurop. Epist. 1 [cf. Karpozilos 1990,199–200]?

K-D 105 [L]

Αὐτὸ δὴ τοῦτο ἐζήτουν. Καὶ κατὰ τὸ νοούμενον, λέλυκάς μοι τὴν ἀπορίαν· κατὰ δέ γε τὸ προβεβλημένον τῆς λέξεως, μένει ἐφ’ ἑαυτῷ πάλιν τὸ ἄπορον· οὐ γὰρ δὴ σύ, ἡ ἀπόγειος φύσις, ἢ (οὕτως εἰπεῖν) ὑπέργειος, περὶ ἅλω πεπραγματευμένος καὶ δράγματα, τῆς προηκούσης σοι φιλοσοφίας καταπεφρόνηκας· οὐδ’ ἄν σοι 5 πεισθείην ποτέ, ὅτι ἄμητόν τινα καὶ καρπῶν κομιδὴν τοῦ καθ’ ἡμᾶς λόγου προκέκρικας· καὶ δέον ὁμιλεῖν τῷ πρώτῳ τῶν φίλων καὶ διαλέγεσθαι, θερισταῖς καὶ καλαμίστραις (εἰ οὕτως ἐρεῖν δεῖ) ἐντυγχάνων, ἐκάθησο, τοὺς μετρητὰς ἢ τοὺς μεδίμνους διαριθμούμενος, καὶ εἰ ἀνάλογον τὸ θέρος τῷ σπόρῳ 10 διακριβούμενος.

39 ὁ κριτής: de quo cf. Π 165,4, Π 373,3, Π 374,5, Π 375,33–34, et Π 380,9. Basilius Maleses (Π XXXVIII) (ut De Vries-Van der Velden 1996)?

43 ἀντ’ ἐμοῦ L: ἀνθ’ ἡμῶν P S ‖ **46** φυλάξαντα L: φυλάττοντα P S ‖ **ep. 167** L 50r–51r; tit. scripsi: τῷ μητροπολίτῃ Εὐχαΐτων L K-D ‖ **6** κομιδὴν post corr. L K-D

Τί ποτ' οὖν; Εἰ μὴ οὕτω ταῦτα, γραφὴν παρ' ἡμῶν ψευδολογίας ἀποίσῃ; Μὴ οὕτω· μήτ' αὐτὸς ἐκσταίην φρενῶν, μήτε σὺ τὴν ἀλήθειαν παραβαίης! Ἀλλ' ἐπειδὴ τὸ πρόσωπον τῆς κατὰ σὲ γῆς
15 ἐξωμάλισας, καὶ πολλάκις ταύτην ἐνέωσας, εἶτα δὴ καὶ τὸν πρακτικὸν σπόρον κατέσπειρας, ἐπήνθησέ σοι τὸ χρυσοῦν λήϊον· καὶ ἀνέτειλέ σοι τῆς αὔλακος ὁ τῆς θεωρίας στάχυς, περὶ ὃν καὶ ἠσχόλησαι, καὶ πεπόνησαι· καὶ τῶν πόνων τῶν καρπῶν σου κατατετρύφηκας. Ἐντεῦθέν σοι καὶ τὸ ὑπὲρ τὸν ἥλιον εἶναι καὶ τὰ
20 γεηρὰ πνεύματα, καὶ τὸ καταφρονεῖν ἐπίσης, τῆς τε τούτων βίας καὶ τῆς ἐκείνου φλογώσεως.

Εἶτα δὴ πρὸς ἐμὲ εἰρωνεύῃ, ἀκριβῶς εἰδότα διαστεῖλαι εἰρωνείαν τε καὶ ἀλήθειαν; Καὶ φυσικῶν μνημονεύεις θελγήτρων, καὶ ὡς ἁλώσιμος τούτοις καὶ ἀνάλωτος γέγονας; Ἐγὼ δὲ οἶμαι
25 μὴ χθὲς καὶ τρίτην ἡμέραν, μηδ' ὅσα ἀφ' ἥβης γέγονας, ἢ πρὸ ταύτης, ἐνδόσιμον τοῖς φυσικοῖς γεγονέναι σε πάθεσιν, ἀλλά σου τὴν ψυχὴν ἐμπεσεῖν εἰς τὸ σῶμα, ὥσπερ δὴ καὶ καθ' ὕδατος οἱ φελλοί· ἀκρόπλους γοῦν καὶ ἄχρι τῆς ἐπιφανείας ἡ ἔμπτωσις. Καὶ μόνος σὺ τῶν πάντων ἢ μετ' ὀλίγων τὴν φύσιν ὑπερπεφώνηκας.

13 μήτ' – φρενῶν: cf. Psel. Ὑπὲρ τοῦ νομοφύλακος κατὰ τοῦ Ὀφρυδᾶ = Or. for. 3,129, Μονῳδία ἐπὶ Ῥωμανῷ ῥαιφερενδαρίῳ = Or. fun. I 9,2,34–35, Εἰς τὸ παροιμιακὸν … 'ἡ σοφία ᾠκοδόμησεν …' = Theol. I 7,97 et Π 113,13, Π 251,27, Π 275,6–7, et Π 503,1–2 ‖ **14–15** τὸ – ἐνέωσας: Is. 28,25 οὐχ ὅταν ὁμαλίσῃ αὐτῆς (scil. τῆς γῆς) τὸ πρόσωπον cum 65,17 ἔσται γὰρ ὁ οὐρανὸς καινὸς καὶ ἡ γῆ καινή ‖ **19–20** τὰ – πνεύματα: cf. Εἰς τὸ 'πῶς δὲ οὐκ ἐν τόπῳ πάντως' = Theol. I 51,85–87 ἀγγέλους δὲ τίθενται (scil. Ἕλληνες) μόνους τοῖς κάτω σώμασι προσεχεῖς ὑφιστάνοντες καὶ τούτους ὀχήματά τινα γεηρά ‖ **25** μὴ – ἡμέραν: Gen. 31,2 καὶ ἰδοὺ οὐκ ἦν πρὸς αὐτὸν ὡς ἐχθὲς καὶ τρίτην ἡμέραν. cf. Π 55,10 ‖ **27–28** τὴν – ἔμπτωσις: Plut. Περὶ τοῦ Σωκράτους δαιμονίου 591e1–2 οἷον ἀκρόπλουν ἐπιψαῦον ἐκ κεφαλῆς τοῦ ἀνθρώπου καθάπερ ἐν βυθῷ δεδυκότος et 592a1–2 ὥσπερ τοὺς τὰ δίκτυα διασημαίνοντας ἐν τῇ θαλάσσῃ φελλοὺς ὁρῶμεν ἐπιφερομένους. cf. Psel. Χρονογραφία 197,20–22, Ἐπιτάφιος εἰς τὴν ἑαυτοῦ μητέρα 1075–1077, et Π 189,28–29 ‖ **29** τὴν – ὑπερπεφώνηκας: iunctura Pselliana (cf. Papaioannou 2013,66–67, 72, 75–76 et 126); cf. Psel. Λόγος σχεδιασθεὶς πρὸς Πόθον βεστάρχην … περὶ τοῦ θεολογικοῦ χαρακτῆρος 5 τὴν φύσιν ὑπερεφώνησεν (scil. Greg. Naz.), Psel. Ἐγκώμιον εἰς … Κωνσταντῖνον … τὸν Λειχούδην = Or. fun. I 2,14,58–59 οὐκ ἐπαινῶ γὰρ ἐγὼ τοὺς τὴν φύσιν προηρημένους ὑπερφωνεῖν, Ἐπιτάφιος εἰς … Ἰωάννην τὸν Ξιφιλῖνον = Or. fun. I 3,18,33–34 οἱ τὴν ἀρετὴν τελεώτατοι καὶ ὅσοι τὴν φύσιν ὑπερεφώνησαν, Psel. Μονῳδία ἐπὶ Ῥωμανῷ ῥαιφερενδαρίῳ = Or. fun. I 9,3,30 τὴν φύσιν ὑπερφωνήσαντα, Psel. Ἕτερος λόγος πρὸς …

Τοσοῦτον δέ σοι αὕτη τῆς κηλίδος προσαπεμόρξατο, ὅσον θαυμάσαι τοῦ λόγου τὸ κάλλος, καὶ τὴν ἁρμονίαν καὶ τῆς ἐμμελοῦς συνθήκης· καὶ τοῦτο ἵν' ἐντεῦθεν ἀναπεμφθείης πρὸς τὸ χωριστὸν εἶδος, καὶ τὴν νοουμένην ἐμμέλειαν· οὐ γάρ ἐστιν, ὦ φιλότης, χωριστὴ τοῦ παντοδαποῦ κάλλους ἰδέα, ἡ μὲν ἐν ψυχῇ, ἡ δ' ἐν 30

Κωνσταντῖνον τὸν Μονομάχον = Or. pan. 4,547 σὺ δὲ τὴν μὲν φύσιν ὑπερεφώνησας, Psel. Εἰς τὸ παροιμιακὸν ... 'ἡ σοφία ᾠκοδόμησεν ...' = Theol. I 7,9 τὴν φύσιν εἶδεν ὑπερφωνήσαντα (scil. συγγράμματα Σολομῶντος), Psel. Εἰς τὸ 'καινοτομοῦνται φύσεις' = Theol. I 69,89 θεός, ὃς οὐ μόνον τὴν φύσιν ὑπερεφώνησεν, Psel. Εἰς τὸ 'αἰὼν γὰρ οὔτε χρόνος ...' = Theol. I 88,65 μηδὲ τὴν χρονικὴν φύσιν ὑπερεφωνήσαμεν, Psel. Εἰς τὸ 'νοῦς μὲν οὖν ἤδη καὶ αἴσθησις' = Theol. I 90,75–76 καὶ ἐν τῇ κοσμογονίᾳ ἔστιν οὗ τὴν φύσιν ὑπερφωνεῖ ὁ θεός, et Π 126,92 ὅσα τὴν φύσιν ὑπερεφώνησαν et Π 211,12 οὔπω τὴν φύσιν ὑπερπεφώνηκας. iunctura Pselli in Nic. Chon. (Χρονικὴ διήγησις 71,26, Or. 4 31,9, et 5 41,26), Georg. Torn. (Or. in hon. Georgii Xiphilini 2,185–186), et Greg. Ant. (Εἰς τὸν ... Βασίλειον τὸν Καματηρόν 431–432) laudata
33 τὴν – ἐμμέλειαν: cf. Π 459,15 τὴν ἄρρητον ἐκείνην ἔχων ἐμμέλειαν
30–33 τοσοῦτον – ἐμμέλειαν: cf. Synes. Cyren. Δίων 6,4 εἰ δὲ καὶ ποικίλον ἡ φύσις ἡμῶν, καμεῖται δήπου πρὸς τὴν ἐν θεωρίᾳ ζωήν· ὥστε ὑφήσει τοῦ μεγέθους καὶ καταβήσεται· οὐ γάρ ἐσμεν ὁ ἀκήρατος νοῦς, ἀλλὰ νοῦς ἐν ζῴου ψυχῇ. καὶ ἡμῶν οὖν αὐτῶν ἕνεκα μετιτέον τοὺς ἀνθρωπινωτέρους τῶν λόγων, ὑποδοχήν τινα μηχανωμένους κατιούσῃ τῇ φύσει cum 6,5 τοιοῦτον οὖν τὸ ἐν λόγοις κάλλος· οὐ βαθύνεται πρὸς ὕλην, οὐδὲ ἐμβαπτίζει τὸν νοῦν ταῖς ἐσχάταις δυνάμεσιν, ἀλλὰ δίδωσιν ἀνανεῦσαι δι' ἐλαχίστου, καὶ εἰς οὐσίαν ἀναδραμεῖν et 8,2–3 λείπεται δή τι τῶν ἐν μέσῳ, τί δ' ἂν εἴη πρὸ τῆς ἐν λόγοις τε καὶ περὶ λόγους διατριβῆς; τίς ἡδονὴ καθαρωτέρα; τίς ἀπαθεστέρα προσπάθεια; τίς ἧττον ἐν ὕλῃ; τίς μᾶλλον ἀμόλυντος; ταύτῃ δὴ πάλιν τὸν Ἕλληνα τοῦ βαρβάρου πρῶτον ἄγω, καὶ σοφώτερον τίθημι, ὅτι κατιέναι δεῆσαν, ὁ μὲν ἐν γειτόνων ἔστη τὴν πρώτην· εἰς ἐπιστήμην γὰρ ἔστη. ἐπιστήμη δὲ νοῦ διέξοδος· κᾆτα εἰς λόγον ἦλθεν ἄλλον ἀπ' ἄλλου, δι' ὧν καὶ προῆλθε. τί δ' ἂν εἴη λόγου νῷ συγγενέστερον; τί δὲ πορθμεῖον ἐπὶ νοῦν οἰκειότερον; ὡς ὅπου λόγος, ἐκεῖ που καὶ νοῦς· εἰ δὲ μή, πάντως τις εἴδησις, ἐν ὑστέροις νόησις οὖσα. καὶ γὰρ ἐνθάδε καλοῦνταί τινες θεωρίαι καὶ θεωρήματα ἔργα ἐλάττονος νοῦ, ῥητορικά τε καὶ ποιητικά, καὶ ἐν φύσει καὶ ἐν μαθήμασιν· ἀλλά τοι πάντα ταῦτα κοσμεῖ τὸ ὄμμα ἐκεῖνο, καὶ ἀφαιρεῖ τὴν λήμην, καὶ διεγείρει κατὰ βραχὺ προσεθίζοντα τοῖς ὁράμασιν, ὥστε θαρσῆσαί ποτε καὶ πρεσβύτερον θέαμα, καὶ μὴ ταχὺ σκαρδαμύξαι πρὸς ἥλιον ἀτενίσαντα. cf. etiam Π 64,23–24, Π 200,69–75, Π 201,30–34, et Π 202,215–217

30 προσαπεμόρξατο scripsi (cf. LBG s.v. προσαπομόργνυμαι): προσεπεμόρξατο L K-D

35 ἀρεταῖς, ἡ δὲ περὶ τὸν οὐσιώδη νοῦν καὶ παντέλειον· τὰ γὰρ ἐνταῦθα καλὰ ἀπόρροιαι τοῦ πρώτου πεφύκασι, καὶ ὅσῳ δὴ τὸ καταβαῖνον ἐκεῖθεν βαθύνεται, τοσούτῳ τῆς ἐναντίας ἀναπέπλησται φύσεως.

Τὸ γοῦν ἔνυλον κάλλος ὑποκρίνεται τὴν ἀλήθειαν, οὐ τοῦτο 40 τυγχάνον ὃ τὸν ὁρῶντα οἴεσθαι πείθει, ἀλλὰ τοὐναντίον. Ἀλλ' ὅ γε ὀφθαλμός, ἄχρι τῆς ἐπιφανείας δυνάμενος καὶ τοῦ χρώματος, ἀθέατός ἐστι τοῦ ὑποκειμένου αἴσχους· τῷ δὲ νῷ οὐδὲ⟨ν⟩ κρύφιον. Διὰ ταῦτα μόνος ὁ νοερὸς ἄνθρωπος, ὁποῖος εἶ σύ, τοῦ ἀσωμάτου κάλλους ἐρᾷ· καὶ τῆς ἐκεῖθεν ἐκκρέμαται χρυσῆς ὄντως σειρᾶς· καὶ 45 τῶν θελγήτρων, ὥσπερ δὴ καθιεμένων ἁλύσεων, ἀπρὶξ ἔχεται ταῖν χεροῖν. Ὅθεν ἀγαίμην ἄν, εἰ σὺ τοῖς ἐμοῖς καταγεγοήτευσαι λόγοις, βραχύ τι κάλλος ἰνδαλλομένοις, ἐξὸν αὐτῆς ἔχεσθαί σε τῆς οὐσίας τοῦ πράγματος. Ἀλλ' ἴσως ἐπειδὴ οὐ παντάπασιν ἀτρύτως ἔχεις πρὸς τὴν διηνεκῆ τοῦ καλοῦ κατανόησιν, κάμνοντός σοι τοῦ 50 νοῦ διὰ τὴν τοῦ σώματος παρεμπλοκήν, ἐκεῖθεν καταβαίνων, εἶτα

35 τὸν – νοῦν: iunctura neoplatonica; cf. e.g. Psel. Omn. doctr. 32 Περὶ νοῦ καὶ ψυχῆς ‖ **35–36** τὰ – πεφύκασι: cf. Herm. In Phaedr. 78,1–2 ἀπόρροια οὖν τούτου τοῦ νοητοῦ κάλλους ἐνδέδοται τῇ ὕλῃ cum Psel. Περὶ αἰῶνος = Theol. II 32,21–22 τὰ γὰρ ἐνταῦθα οὐκ οἶδα εἴτε ἀπορροαὶ τῶν ἐκεῖσε εἴτε μετοχαὶ εἴθ' ὁμοιώσεις. cf. Π 64,35–36 ‖ **39** τὸ … ἔνυλον κάλλος: iunctura Procliana; cf. e.g. In Alc. 33,19–20; cf. etiam Herm. In Phaedr. 41,9 et passim ‖ **39–40** τὸ γοῦν – τοὐναντίον: cf. Psel. Εἰς τὸ 'τίς οὐσία θεοῦ;' = Theol. I 56,28–33 τίς οὖν οὐσία ὕλης; πότερον δὲ ὄν ἐστιν αὕτη ἢ τῶν οὐκ ὄντων; εἰ μὲν γὰρ ὄν, πῶς ἀνείδεος; γνώρισμα γὰρ τῶν ὄντων τὸ εἶδος. εἰ δὲ οὐκ ὄν, πῶς ὡς ὂν παρὰ τοῖς φιλοσόφοις ὁρίζεται; ἀζῴαν γὰρ ταύτην καὶ ἀσώματόν φασι καὶ φάντασμα ὑποστάσεως, καὶ μηδὲν μὲν οὖσαν, πάντα δὲ ὑποκρινομένην, παίγνιον ὑπάρξεως, εἴδωλον καὶ σκιὰν φεύγουσαν ἀεὶ καὶ εἰς τὸ μὴ ὂν ἀνατρέχουσαν ‖ **44** τῆς – σειρᾶς: cf. Hom. Il. 8,19 σειρὴν χρυσείην ἐξ οὐρανόθεν κρεμάσαντες cum Psel. Περὶ τῆς χρυσῆς ἁλύσεως = Phil. min. I 46. cf. etiam Psel. Χρυσόβουλλος = Or. for. 7,14, Χρυσόβουλλον … σταλὲν πρὸς τόν Ῥόμπερτον παρὰ τοῦ βασιλέως κυροῦ Μιχαὴλ τοῦ Δούκα = Or. for. 8,23–25, Ἐγκώμιον εἰς … Κωνσταντῖνον … τὸν Λειχούδην = Or. fun. I 2,6,60–61, Ἐπιτάφιος εἰς Νικήταν μαΐστωρα τῆς σχολῆς τοῦ ἁγίου Πέτρου = Or. fun. I 4,6,8–10, Πρὸς τὸν λοίδορον ῥίψαντα χάρτην = Or. min. 7,49, Εἰς τὸν … Κωνσταντῖνον τὸν Μονομάχον = Or. pan. 6,69, Ἐγκώμιον εἰς τὴν δέσποιναν = Or. pan. 11,60 et Π 51,10–11 et Π 206,47

40 τὸν corr. K-D: τῶν L ‖ **42** οὐδὲ⟨ν⟩ corr. K-D: οὐδὲ L

δὴ ὥσπερ ἐν λειμῶνι ταῖς ἐμαῖς διαναπαύῃ ἐπιστολαῖς, ὅτι σοι καὶ ἡ καθ' ἡμᾶς ἀηδὼν ἐμμελῶς (ὡς ἔφης) ὑποψελλίζει τὸ μέλος, καὶ καταφωνεῖ τὸ ἄλσος, τοσοῦτόν σοι τῆς ᾠδῆς ἐπιχέουσα, ὁπόσον σὺ πρὸς ταύτην ἀνοίγεις τὴν ἀκοήν.

Τί δέ σοι δεῖ τῶν ἐν γῇ ἢ συμπάσης αὐτῆς, ἑστίαν ἤδη τὸν οὐρανὸν ἔχοντι, ἢ καὶ τὴν ἐξωτάτω ὑπερβεβηκότι περιοχήν; Ἐγὼ γοῦν θαυμάζω, εἴπερ σοι καὶ δρακὸς ἀλεύρου μέλει, καὶ περὶ πολλοῦ τὸν τοῦ ἐλαίου καμψάκην ἡγῇ, τῶν ἄνωθεν πηγῶν ἐμφορούμενος, καὶ μόνῳ προσανέχων θεῷ, καὶ πάντῃ κατολιγωρήσας τῆς φύσεως· ἃ γάρ σοι πρότερον προσωνείδιζον, ταῦτά μοι νῦν εἰς ἀφορμὰς ἐγκωμίων ἀπόχρη. Καὶ διαιτῶ οὕτω παρ' 55 60

51 ὥσπερ – ἐπιστολαῖς: cf. Π 50,10 τῷ τοῦ λόγου λειμῶνι, Π 202,199–200 ἐπὶ τοὺς λειμῶνας βαδιοῦμαι τῶν λόγων, et Π 459,31–32 τὰ ἐμὰ γράμματα, ὥσπερ κῆποί τινες ἢ λειμῶνες. cf. etiam Liban. Πρὸς τοὺς Ἀντιοχέας ὑπὲρ τῶν ῥητόρων = Or. 31,18,10 τὸν λειμῶνα τῶν λόγων ‖ **51–54** καὶ – ἀκοήν: cf. Ioann. Maurop. Epist. 1,3–6 πόθεν οὖν νυνὶ πρὸς ἡμᾶς ἐαρινὴ ἀηδών; οὐκ ἀπ' ἄλσους ποθὲν οὐδ' ἐκ δρυμοῦ φωνοῦσα μακρόθεν, ἀλλ' ἐν τούτῳ τὸ πλέον ἔχει τοῦ θαύματος, ὅτι πρὸς αὐτὰς πετασθεῖσα τὰς χεῖρας τὰς ἡμετέρας κἀκεῖθεν ἡμῖν ἐαρινὰ κελαδοῦσα τῷ τῆς μουσικῆς ἡδυφώνῳ τὰς ἀκοὰς ἐγγύθεν κατακηλεῖ ‖ **52** ἡ καθ' ἡμᾶς ἀηδὼν ἐμμελῶς … ὑποψελλίζει τὸ μέλος: cf. Π 38,15–16 ἡ ἐμὴ ψελλίζουσα … ἐξαρκέσει φωνή, Π 38,52–53 ὑπεψιθύρισα … παραψελλίζων, Π 53,36 ἐγὼ … ψελλίζων, et Π 96,8–10 εἰ γὰρ καὶ σύμψελλοι καὶ ὁμόγλωσσοι, ἀλλὰ κρείττων ἡ ἐμὴ γλῶττα τῆς σῆς. cf. Psel. Omn. doctr. 8 ἐγὼ μὲν εἰμὶ …ὑπόψελλος ‖ **56** τὴν – περιοχήν: cf. Cleom. Μετέωρα 2,3,48–49 ἐν τῇ ἐξωτάτῃ τοῦ οὐρανοῦ περιοχῇ cum Simplic. In Cat. 150,3–4 διὸ τὸν ἐξωτάτω οὐρανὸν οὐδέ φησιν εἶναι ἐν τόπῳ. cf. Psel. Ἀλληγορία τοῦ 'οἱ δὲ θεοὶ πὰρ Ζηνὶ …' = Phil. min. I 42,67–68 τὸν ἐξώτατον καλεῖν οὐρανὸν εἴτε πᾶσαν τὴν αἰθέριον οὐσίαν καὶ φύσιν εἴτε τὴν νοερὰν αὐτῶν περιοχήν et etiam Ἐκ τοῦ περὶ θεολογίας δευτέρου λόγου, εἰς τὸ 'τί ποτέ' ἐστι 'τὸ θεῖον' = Theol. I 49,148–149 et Ἐξήγησις τῶν Χαλδαϊκῶν ῥητῶν = Phil. min. II 38 (135,1–7). cf. Π 478,12 ‖ **57–58** εἴπερ – ἡγῇ: III Reg. 17,12–16 δρὰξ ἀλεύρου ἐν τῇ ὑδρίᾳ καὶ ὀλίγον ἔλαιον ἐν τῷ καψάκῃ· … τάδε λέγει κύριος Ἡ ὑδρία τοῦ ἀλεύρου οὐκ ἐκλείψει καὶ ὁ καψάκης τοῦ ἐλαίου οὐκ ἐλαττονήσει … καὶ ἡ ὑδρία τοῦ ἀλεύρου οὐκ ἐξέλιπεν καὶ ὁ καψάκης τοῦ ἐλαίου οὐκ ἐλαττονώθη κατὰ τὸ ῥῆμα κυρίου, ὃ ἐλάλησεν ἐν χειρὶ Ηλιου. cf. Psel. Εἰς … Κωνσταντῖνον τὸν Ξιφιλῖνον, ἀξιώσαντα αὐτὸν μεταβαλεῖν τὸ … Ὄργανον ἀπὸ τοῦ ἀσαφοῦς ἐπὶ τὸ σαφές = Phil. min. I 5,45–46 et Σύνοψις διὰ στίχων σαφῶν καὶ πολιτικῶν περὶ πασῶν τῶν ἐπιστημῶν γενομένη πρὸς τὸν εὐσεβέστατον βασιλέα κῦριν Μιχαὴλ τὸν Δούκαν = Poem. 6,320 et Π 272,84, Π 327,13-16, et Π 372,9-10

53 τῆς corr. K-D: τῶ L

ἐμαυτῷ, ὅτι τῆς καθ' ἡμᾶς φύσεως, οἷον ἐξ οὐρανοῦ ῥυείσης ἄχρι τῶν περιγείων γραμμῆς, οἱ μὲν ἐπὶ τῶν τελευταίων ταύτης μερῶν ἑστήκασιν, ὁπόσοι περὶ τὴν αἴσθησιν μόνην εἰώθασι στρέφεσθαι, οἱ
65 δὲ τὸ μεσαίτατον ταύτης ἔχουσιν, οἷς τὸ μὲν ἄνω, τὸ δὲ κάτω τῆς γνώμης ἐστίν, οἱ δὲ ἐπὶ τῆς κεφαλίδος βεβήκασι. Καὶ τούτοις μόνοις οὐδὲν καταβέβηκε τῆς οὐσίας, ἀλλὰ καὶ σκηνὴ καὶ τρυφὴ καὶ ἑστίασις τὰ θεῖα τυγχάνουσι θεάματα. Ἧστινος δὴ μερίδος αὐτὸς ὤν, τῆς ὅλης καταπεφρόνηκας γῆς. Ὥσπερ δὲ ἀφοσιούμε-
70 νος, τοσοῦτον δὴ ἐπιβαίνειν ἐνταῦθα βεβούλησαι, ὁπόσον σοι τὸ σῶμα ἀρκεῖ. Εἰ δ' ὅσον καὶ τῇ πρὸς ἡμᾶς ὁμιλίᾳ ἀποχρῶν οἴει, καὶ τοῦτο δή σοι μετὰ τῶν ἄλλων θαυμάσιον.

168. Τῷ μητροπολίτῃ Εὐχαΐτων ⟨Ἰωάννῃ⟩ τῷ λογιωτάτῳ

K-D 229 [P-K²], P-K² 16 [Y]

Οὐκ οἶδα πότερον αὐτὸς ἐμαυτῷ γίνομαι αἴτιος, τοῦ δέχεσθαι παρὰ σοῦ τῆς ἱερᾶς ἐμοὶ κεφαλῆς τοιαύτας ἐπιστολάς, ἢ σὺ καὶ τὸ σὸν ἦθος ὑπὸ τῶν πραγμάτων μεταβληθέν· συμμεταβέβλημαι γάρ τι καὶ αὐτὸς πρὸς τὴν τῶν πραγμάτων ἰδέαν, οὐκ ὀλίγα
5 πρώην ἐν τοῖς πρὸς σέ μου εἰρωνευσάμενος γράμμασιν, ὁποῖος ἐγώ, πολλάκις ἐν σχήματι διερεθίζων τοὺς φίλους πρὸς ἀκριβεστέραν διάθεσιν.

Εἰ μὲν οὖν αὐτὸς σὺ μὴ γνοὺς τὸν νοῦν τῶν ἐπιστολῶν, πρὸς ἔπος ἀνταποκρίνῃ (οὐδὲ γὰρ πρὸς τὴν διάνοιαν), ἄμφω γεγόνα-
10 μεν τῆς ἀλλοιώσεως αἴτιοι, ἐγώ τε γράφων καὶ σὺ τῷ γράμματι προσκαθήμενος. Εἰ δ' ἐπέγνως μὲν (τίς γὰρ ἄλλος εἰ μὴ σὺ ὁ τἀμὰ εἰδὼς ἀκριβῶς;), οὐ βούλει δὲ τὴν ἴσην ἀντεπιδείκνυσθαί μοι διάθεσιν, σὺ μόνος αἴτιος, τὰ σαυτοῦ μεταβάλλων καὶ φθείρων ἐφ' ἑαυτοῦ· οὐδενὶ γὰρ πώποτε τῶν πάντων ἀνδρῶν ἐγὼ ἐντετύχηκα,

ep. 168 U 152v (des. mut.; cum scholiis Allatii [ex B?])–152α (f. 152α scripsit All = manucriptum B), Y 121v–122r, A 41v (des. mut.); tit. scripsi: τῷ μητροπολίτῃ Εὐχαΐτων ⟨κῦρ Ἰωάννῃ⟩ τῷ λογιωτάτῳ U τῷ μητροπολίτῃ Εὐχαΐτων Y K-D P-K² τῷ μητροπολίτι Εὐχαΐτων τῷ λογιωτάτῳ A ‖ **4** τι U A: om. Y K-D P-K² ‖ **8** οὖν A in marg. All (= B?) Y K-D P-K²: om. U | σὺ U A: om. Y K-D P-K² ‖ **11** εἰ – σὺ U A: om. Y K-D P-K² ‖ **12** βούλῃ A | ἀντεπιδεικνῦσθαι A ‖ **14** πώποτε – ἀνδρῶν U A Y K-D P-K²: τῶν πώποτε ἀνδρῶν in marg. All (= B?)

καὶ μάλιστα τῶν φιλοσοφεῖν ἐσπουδακότων, οἷος δὴ σὺ τὸ ἦθος, 15
σεμνὸς ὁμοῦ καὶ Σωκρατικός, καὶ οὔτε κοινὸς ἄγαν, οὔτε μόνως
εἰρωνικός, ἀλλ' ἀμφοτέρωθεν κεκραμένος, καὶ τὴν ἁρμονίαν τῆς
ψυχῆς δικαιότατος.

Πῶς οὖν ὁ πολλάκις διαχεόμενος καὶ τὰς ὁμιλίας μετὰ
χαρίτων ἐπιδεικνύμενος νῦν στρυφνὸς καὶ τὰς ὀφρῦς συνηγμένος, 20
καὶ πάντα μᾶλλον δυσχεραίνων, ἢ τὸ πρότερον πρὸς πάντα
μεταβαλλόμενος; Οἶδα ὅ τι ἐρεῖς καὶ δεῖ με μὴ ἀποδοῦναι ἐν
λέξεσι τὴν ἀντίθεσιν. Τί δὲ οὐκ ἐξαρκεῖς αὐτὸς πρὸς τὴν τῶν τοιού-
των φοράν, ἢ γίγνῃ τοῦ παρασύροντος; Οὐκ οἶσθα ὅτι βραχὺ μὲν
τὸ ἁλμυρὸν ὕδωρ ᾧ δή σοι προσκλύζεται ἡ ψυχὴ καὶ ᾧ προσομι- 25
λῶν αὐτὸς ἀνιᾷ, πολὺ δὲ τὸ πότιμον νᾶμα καὶ ἀλυπότατον, οὗ δὴ
καὶ πέπωκας; Καὶ αὖθις ἰδού σοι κρατὴρ τούτου γέμων ἡτοίμα-
σται. Τίς οὗτος; ὁ γλυκύτατος ἡμῶν βασιλεύς· οὐκ ἔστιν ὁπότε μὴ
τὰ σὰ λέγων καὶ διὰ θαύματος ἄγων, καὶ πολλῶν ἐνίοτε σοφιστῶν
τε καὶ φιλοσόφων καταμωκώμενος διὰ σέ, ὅτι σου κατόπιν παρὰ 30
πολὺ θέουσι τῶν ἐν τοῖς λόγοις κινημάτων ἀπολειπόμενοι. Ὃς δὴ
καὶ βουλόμενός σε ἀπὸ τῶν κυμάτων ἐπὶ τὴν γαλήνην μεταγα-
γεῖν καὶ ἀποδοῦναι, ἑαυτῷ καὶ σαυτῷ, ἐπὶ τὴν ἔχουσαν αὐτὸν
Πόλιν μετακαλεῖται, μεθ' ὅσης (εἴποις ἂν) τῆς ἐπιθυμίας καὶ μεθ'

16 σεμνὸς – Σωκρατικός: Plut. Πῶς ἄν τις ὑπ' ἐχθρῶν ὠφελοῖτο 90d2–3 ἐν δὲ λοιδορίαις σεμνὸν καὶ Σωκρατικόν ‖ **28** ὁ – βασιλεύς: Constantinus X Ducas (imperator: 23/24.XI.1059 – 22/23.V.1067) (Π XVIII)? ‖ **32–33** ἀπὸ – μεταγαγεῖν: cf. proverbium ἐκ κυμάτων γὰρ αὖθις γαλήνην ὁρῶ, CPG II 389 (nr. 88d). cf. Psel. Ἐγκώμιον εἰς ... Κωνσταντῖνον ... τὸν Λειχούδην = Or. fun. I 2,16,12 et Π 53,31–32 et Π 107,4

15 οἷος – σὺ Y K-D P-K²: οἷς δὴ σὺ U οἷς δὴ σὺ μὴ A ‖ **16** μόνως U Y K-D P-K²: μόνος A μὴν ante μόνως suppl. in marg. All (= B?) ‖ **20** ἐπιδεικνύμενος : ἐπιδεῖ U (post ἐπιδεῖ des. epist.) ἐπιδεικνύμενος νῦν supplevit All (= B?) ἐπιδεικνύμενος A (post ἐπιδεικνύμενος des. epist.) | ὀφρὺς All (= B?) **23** ἐξαρκεῖς αὐτὸς Y K-D P-K²: ἐξαρκεῖ ἑαυτὸς All (= B?) ‖ **25** προσκλύζεται : π......ζεται All (= B?) ‖ **26** νᾶμα Y K-D P-K²: ἅμα All (= B?) | ἀλυπότατον : ἀ[ca. 9 litt.] All (= B?) ‖ **27** πέποκας All (= B?) | αὖθις – τούτου Y K-D P-K²: ἰδού ὅτι κρατὴρ τοῦτον All (= B?) ‖ **27–28** γέμων – γλυκύτατος : γέμε[ca. 25 litt.]τατος All (= B?) ‖ **28** ὁπότε Y K-D P-K²: ὅπως τε All (= B?) ‖ **29** διὰ – πολλῶν : δια[ca. 20 litt.]τατος All (= B?) ‖ **30** τε Y K-D P-K²: om. All (= B?) καταμωκώμενος corr. K-D All (= B?): καταμωκόμενος Y P-K² ‖ **31** δὴ Y K-D P-K²: om. All (= B?)

35 οἴου τοῦ ἔρωτος. Οἴεται δὲ ἐντεύξεσθαί σοι μείζονι, ἢ πάλαι τεθέαται, ὅτι καὶ πᾶν χρόνου μόριον προσθήκην σοί τινα φέρον οἴεται.

Σὺ δὲ εἰσεληλυθὼς ἐνταῦθα καὶ τοῦ βήματος γεγονώς, δέσμησον τὰς ὀφρῦς καὶ τὸ ἦθος ἀλλοίωσον, καὶ ὑποθέσεις τοῖς λόγοις ὑπόβαλε: τὰ τῶν ἐπηρειῶν, τὰ τῶν ἀπαιτήσεων, ὡς ἠνίασαι, καὶ
40 ἕτοιμος φυγεῖν τὴν μητρόπολιν. Ἀλλὰ μή, πρὸς Χαρίτων αὐτῶν, ἐπεὶ διαφθερεῖς σαυτόν τε καὶ ἡμᾶς! Ἀλλὰ πρὸς βραχὺ τὰς Χάριτας ἀνταλλαξάμενος τῶν Μουσῶν, ἡδονῆς αὐτὸν εὐθὺς ὀφθεὶς πλήρωσον. Ὁρᾷς ὅπως πόρρω σε τῆς σκηνῆς ὁ τραγῳδὸς ἐγὼ σχηματίζω καὶ διαπλάττω, φοβούμενος μήπως ἀνυπόκριτος
45 ἔλθῃς, ἢ διαφθείρῃς φανεὶς τὴν ὑπόκρισιν;

Πλὴν ὅπως ἂν ἐθέλοις ἔσο· ἐγὼ γάρ σε καὶ ἐπὶ τῶν θυρῶν λαβών, μεταθήσομαι καὶ προσβιβάσω τῷ δράματι, ὁποῖον δεῖ τὸν ὑποκρινόμενον εἶναι. Τὰ μὲν γὰρ πρὸς ἡμᾶς σοι, ὁποῖα ποτ' ἂν ᾖ, φίλα πέφυκε καὶ προσήγορα· τὰ δὲ πρὸς τὸν βασιλέα, εἰ μὴ ἐν
50 καιρῷ καὶ κατὰ καιρὸν γένοιντο, τὰ παρὰ τὸν καιρὸν ἀντιδώσει. Διὰ τοῦτο ταῖς προβόλοις ἡμῖν πέτραις οἷα δή τι σφοδρὸν κῦμα περιρρηγνύμενος, τῷ πορρωτέρῳ ἡμῶν αὐτοκράτορι, εὔλυτος ὥσπερ καὶ εὐπρόσιτος φαίνου προσομιλῶν.

51 ταῖς – πέτραις: cf. Psel. Λόγος εἰς τὰ θαύματα τοῦ ἀρχιστρατήγου Μιχαήλ = Or. hag. 5,170–171 ὥσπερ τις πρόβολος πέτρα τοῖς ἐμπίπτουσιν ἀτίνακτος κύμασι. cf. etiam Suda π 2353 πρόβολοι: αἱ εἰς θάλασσαν προκείμεναι πέτραι, καὶ οἷον ἀκταί τινες. Δημοσθένης ἐν Φιλιππικοῖς cum Ps.-Dem. Philip. 4,63

37–38 δέσμησον : δίσμεσον All (= B?) ‖ **38** ὀφρὺς All (= B?) | τὸ Y K-D P-K²: τι All (= B?) ‖ **39** ὑπόβαλε Y K-D P-K² : ὑπόβαλλε All (= B?) ⟨μὴ⟩ ὑπόβαλε K-D ὡς Y K-D P-K²: om. All (= B?) ‖ **41** διαφθαρεῖς All (= B?) ‖ **42** ἀνταλλαξάμενος τῶν Y K-D P-K²: ἀλλαξάμενος All (= B?) ‖ **43** ἐγὼ Y K-D P-K²: αὐτὸς All (= B?) ‖ **45** ἢ διαφθείρῃς : [....] φθείρῃς All (= B?) ‖ **46** ἐθέλῃς corr. Diam 304 **46–47** θυρῶν λαβών : [.......]βὴν All (= B?) ‖ **47** ὁποῖον Y P-K² K-D: ὁπόσον All (= B?) | δεῖ All (= B?) corr. K-D: δὴ Y P-K² ‖ **48** τὰ μὲν γάρ: [........] All (= B?) ‖ **50** ἀντιδώσει Y K-D P-K²: ἀντιδώσουσιν All (= B?) ‖ **52** ἔβλυτος All (= B?)

169. * Τοῦ Εὐχαΐτων ⟨Ἰωάννου⟩
Ioannes Mauropous ad Psellum

S 202 [P]

Συνουσίαν λέγεις μακάρων ἢ φωστήρων σύνοδον ἄλλων οἷς ἡ κρείττων ὄψις ἀνάπτεται, ἐπὰν ἀτενῶς καὶ καθαρῶς ἐπιβάλοι· τοῦτο γὰρ ἡμῖν ἄντικρυς ἡ τοῦ σοφοῦ πρὸς τὸν ἅγιον, ἡ τοῦ ἄμφω πρὸς τὸν ἀμφότερα, συνδρομὴ καὶ συνέλευσις. Ζηλωτὸς μὲν οὖν ἑκάτερος ἔμοιγε καὶ αὐτὸς ⟨ἀφ'⟩ ἑαυτοῦ, ζηλωτότεροι δ' ἔτι δι' 5 ἀλλήλους ἀμφότεροι. Καὶ ἀτεχνῶς μὲν μακάριος ὁ τῶν ἀπὸ τοῦ σωφρονοῦντος στόματος προϊόντων λόγων ἐπήκοος, δι' οὗ θεὸς φθέγγεται καὶ πνεῦμα σοφίας ἐπιχορηγεῖται καὶ γνώσεως· μακάριος δὲ καὶ ὁ τῶν πρώτων πηγῶν τῆς ἀνωτάτω μετέχων φιλοσοφίας καὶ τῶν ἀποθέτων ἐκείνης καὶ κρυφίων ἀντλῶν. 10

«Οὐρανῷ δὲ μιγνύειν» (ὅ φασι) «γῆν», καὶ χοΐ φύρειν νοῦν, μὴ καὶ ἄτοπον εἴη, καὶ τῶν παρ' ὑμῖν κρινομένων ἀσυμπεράστων. Ὅπερ ἔγωγε τίθεμαι τὸ καὶ ἡμῶν τινα λόγον τοὺς ὑπὲρ ἡμᾶς ὑμᾶς τίθεσθαι, ὡς αὐτὸς γράφων πείθεις. Ἀλλ' ἐπείπερ ἀμήχανον

1 φωστήρων σύνοδον: cf. Π 170,27-28 τῶν φωστήρων, οὓς αὐτὸς τῷ λόγῳ ἐδημιούργησας ‖ **3–4** ἡ[1] – ἀμφότερα: cf. Ioann. Maurop. Epist. 70 (ad Ioannem Xiphilinum? ad Psellum?) 1–2 φιλοτιμίᾳ τῆς θείας ἄντικρυς χάριτος, ὅτι τὸν πρὸ τοῦ σοφὸν φίλον νῦν καὶ ἅγιον ἔχομεν ‖ **3** τοῦ σοφοῦ: ad Psellum refert? |τὸν ἅγιον: ad Ioannem Xiphilinum (Π L) refert? ‖ **6–7** μακάριος – ἐπήκοος: Plat. Νόμοι 711e6–7 μακάριοι δὲ οἱ συνήκοοι τῶν ἐκ τοῦ σωφρονοῦντος στόματος ἰόντων λόγων ‖ **8** πνεῦμα – γνώσεως: cf. e.g. Greg. Naz. Λόγος θεολογικὸς πέμπτος, περὶ τοῦ Ἁγίου Πνεύματος = Or. 31,29 πνεῦμα σοφίας, συνέσεως, βουλῆς, ἰσχύος, γνώσεως ‖ **9–10** τῆς – φιλοσοφίας: Greg. Naz. Περὶ δόγματος καὶ καταστάσεως ἐπισκόπων = Or. 20,1 ποθῶ τὴν ἀνωτάτω φιλοσοφίαν ‖ **11** οὐρανῷ – γῆν: cf. CPG II 20 (nr. 14) **14–15** ἀμήχανον οὐδὲν: Opp. Ἁλιευτικά 5,2 οὐδὲν μερόπεσσιν ἀμήχανον

ep. 169 U 178r, P 238v; tit. scripsi: πρὸς τὴν ἐπιστολὴν τοῦ μητροπολίτου Εὐχαΐτων U τοῦ Εὐχαΐτων P τοῦ Εὐχαΐτων ⟨ἐπιστολὴ πρὸς Ψελλόν⟩ S **2** ἀτενῶς U: ἀτεχνῶς P S ‖ **3** ἡ[2] U: ἢ P S ‖ **4** ἀμφότερα U: ἀμφότερον P S **5** ⟨ἀφ'⟩ supplevi | δ' ἔτι U: δὲ καὶ P S ‖ **12** ἀσυμπεράστων U: ἀσυμπεράτων P S ‖ **13** τὸ καὶ U: τὸ δὲ P S | ἡμᾶς : ἡμῶν S

15 οὐδὲν δοκεῖ τοῖς σοφοῖς, δεδόσθω καὶ δεδόχθω καὶ τοῦτο, ὡς οὐδὲν ἐμοὶ τῶν ἁπάντων μεῖζον εὐτύχημα (κατὰ ἄνθρωπον λέγω) τῆσδε τῆς εὐκληρίας· ᾗ καὶ θαυμαστῶς ὑπερχαίρω, καὶ πολλὴν οἶδα χάριν τῶν κρειττόνων τούτων τοῖς κρείττοσιν. Οὕτως οὖν διὰ τέλους ἔχοιτέ μοι καὶ ἕξοιτε, καὶ τοιαῦτα πολλάκις καὶ ἐπὶ τοιού-
20 τοις συγγίνοισθε, θεοῦ τὴν ἀρίστην ὁμιλίαν ἐπευλογοῦντος καὶ εἰς πέρας αἴσιον ἄγοντος οὐ τὴν κοινολογίαν μόνον ὑμῖν, ἀλλὰ καὶ τὴν κοινοπραγίαν, εἴ τις παρέποιτο.

Ἐνάπλια σοι ἐστάλησαν καὶ ὁρτάριον ζυγὸν δύο.

170. Τὸ ἀντίγραμμα, τῷ λογιωτάτῳ δεσπότῃ καὶ ὄντως ἀρχιερεῖ, τῷ σεβασμιωτάτῳ μητροπολίτῃ Εὐχαΐτων καὶ συγκέλλῳ ⟨Ἰωάννῃ⟩
responsum ad Π 169

Spa [U P S], S 203 [P]

Εἰ μὲν τῆς σοφιστικῆς προΐστασο τέχνης, σοφώτατε καὶ θειότατε πάντων ἀνδρῶν, καὶ ἐμοὶ τιμαλφέστατον ἀρετῆς ἄγαλμα, ἐκεῖθεν ἄν σοι ᾠήθην τὴν πρὸς ἐμὲ κεχρῶσθαι ἐπιστολήν, μετὰ συμπάσης τεχνικωτάτης καὶ πιθανωτάτης δυνάμεως· ἐκ διαμέτρου γὰρ πρὸς
5 τὴν ἀλήθειαν τοὺς λόγους ποιούμενος, ὅμως ἄφατόν τινα πειθὼ τοῖς λεγομένοις καθίδρυσας. Εἰ μὲν οὖν οὕτως εἶχες παρασκευῆς,

15 δεδόχθω: cf. Ioann. Maurop. Epist. 35,3 πλὴν τὸ μὲν ἐπιτήδευμα τοιοῦτον δεδόχθω ‖ **15–20** οὐδὲν² – ὁμιλίαν: cf. Ioann. Maurop. Ὅτε πρῶτον ἐγνωρίσθη τοῖς βασιλεῦσιν = Poem. 54,85–87 πειράσομαι δὴ καὶ πάλιν καὶ πολλάκις / σοί τε προσελθεῖν καὶ τυχεῖν ὁμιλίας, / εἴ πως λάβοιμι τήνδε τὴν εὐκληρίαν

15 καὶ τοῦτο U: τοῦτο P S ‖ **16** μεῖζον U: om. P S ‖ **19** τοιαῦτα πολλάκις U: πολλάκις τοιαῦτα P S ‖ **19–20** τοιούτοις P S: τούτοις U ‖ **21** ὑμῖν U: ἡμῖν P S **22** εἴ τις U: ἥτις P S ‖ **23** ἐνάπλια scripsi: ἐναπλίτα corr. ex ἐναπλίτους P ἐναπλίτα S | ἐνάπλια – δύο P S: om. U ‖ **ep. 170** U 178r–179r, P 238v (mut.); tit. scripsi: τὸ ἀντίγραμμα τοῦ πρωτοπροέδρου U (f. 178r), τῷ λογιωτάτῳ δεσπότῃ καὶ ὄντως ἀρχιερεῖ, τῷ σεβασμιωτάτῳ μητροπολίτῃ Εὐχαΐτων καὶ συγκέλλῳ U (f. 178v), τὸ πρὸς αὐτὸν ἀντίγραμμα τοῦ Ψελλοῦ P S Spa **1** τῆς – τέχνης P S Spa: τὴν σοφιστικὴν ... τέχνην U | σοφώτατε U Spa: om. P S ‖ **3** ᾠήθην U P: ᾠήθη S Spa ‖ **6** εἶχες U: εἶχε P S Spa

τοῦτ᾽ ἄν σοι τῶν πάντων ᾐτιασάμην· ἐπεὶ δέ σοι φιλοσοφία τὸ πρεσβευόμενον, ἑτέρᾳ ὑπερτέρᾳ σοφίᾳ (λέγω δὴ τῇ καθ᾽ ἡμᾶς θεωρητικῇ) κοσμουμένη καὶ τὸ σεμνὸν ἔχουσα, ἧς ἔργον ἡ ἐν τοῖς λόγοις ἀλήθεια, ἐκείνης μέν σε τῆς αἰτίας ἀπάγω, ἑτέρας δὲ 10 γράφομαι, ἣν ὁ μὴ φεύγων ἀλγεῖ, εἰ μή τις κοινοπαθής ἐστι καὶ φιλάνθρωπος.

Τίς οὖν αὕτη; Τυφλώττεις, ἀδελφέ, περὶ τὸ φιλούμενον λίαν φιλῶν καὶ τοσοῦτον ὁρῶν, ὅσον μὴ συμμέτρως ἔχειν πρὸς τὸ ὁρώμενον, ἀλλ᾽ ὑπερβαίνων τὸ προδεικνύμενον, καὶ τοὔλαττον 15 ἔχων τοῦ θεατοῦ τῇ ὑπερβολῇ τῆς ὁράσεως. Οἷον γάρ σου τὸ περὶ ἡμᾶς τόλμημα, τῶν μὲν τῆς φιλίας κρατήρων ὑπερχυθέν, πρὸς δὲ τὴν ἀλήθειαν, πλείστην ὅσην φέρον τὴν ἐναντίωσιν! Δυοῖν γὰρ φωστήρων, μείζονος καὶ ἐλάττονος, τοῦ τε κρείττονος καὶ τῆς σῆς ἀρετῆς τε καὶ φύσεως, τὴν ἐμὴν σκιὰν μέσην παρεμβαλών, ὁμοῦ 20 τε ταύτην εἰς αἴγλην ἀνῆψας καὶ ἐν ἴσῳ τέθεικας τῷ πρώτῳ φωτί, καὶ πρὸ τῆς πλάσεως τοῦ μεγίστου τῶν ὀνομάτων ἠξίωσας· τὴν δὲ σὴν ἀκήρατον τῷ ὄντι μαρμαρυγήν, εἰς τὸ ἐναντίον μετήμειψας, καὶ τὸ ἐμὸν τοῦτο ὑπεκρίθης αὐτός· εἶτα τοσαύτην τὴν σύγχυσιν ἐργασάμενος καὶ διαστὰς ταῖς ἐννοίαις, οὕτω τὴν πλάσιν κατήλ- 25 λαξας, καὶ τὸν κύκλον τῶν ἐνθυμημάτων εὐαγῶς ἐτόρευσας, ὡς μηδὲν ἀποδεῖν ταύτην τὴν σφαῖραν τῆς τῶν φωστήρων, οὓς αὐτὸς

8–9 τῇ – θεωρητικῇ: cf. e.g. Iambl. Προτρεπτικός 20,3 et 36,10 et Marin. Πρόκλος ἢ περὶ εὐδαιμονίας 584 cum Psel. Ἐπιτάφιος εἰς τὴν ἑαυτοῦ μητέρα 1868–1869 διὰ ταῦτα καὶ σοφίας τῆς θύραθεν ἅπτομαι, οὐχ ὅση θεωρητικὴ μόνον ‖ **11–12** κοινοπαθής – φιλάνθρωπος: Dion. Halicarn. Ῥωμαϊκὴ ἀρχαιολογία I 41,1 βίων ἔθη φιλάνθρωπα καὶ κοινοπαθῆ. cf. Psel. Χρονογραφία VII,156 (= VIIb,35), Ὡς ἀπὸ προσώπου τοῦ βασιλέως = Or. for. 5,14, Ἐγκωμιαστικὸς εἰς ... Μιχαὴλ τὸν Κηρουλλάριον = Or. fun. I 1,15,33–34, et Π 9,6, Π 31,17–18, Π 207,12–13, et Π 456,3 ‖ **13–14** τυφλώττεις – φιλῶν: Plat. Νόμοι 731e5–6 τυφλοῦται γὰρ περὶ τὸ φιλούμενον ὁ φιλῶν, cf. CPG II 777 (nr. 30) et Ioann. Maurop. Epist. 51,29–31 ad Psellum (Karpozilos 1990,239) ‖ **27–28** τῶν – ἐδημιούργησας: cf. Π 169,1 φωστήρων σύνοδον

7 τοῦτ᾽ ἄν U: τούτων ἂν P S Spa ‖ **8** ἑτέρα S Spa ‖ **15** τοὔλαττον U: οὐκ ἔλαττον P S Spa ‖ **20** μέσην P S Spa: μέσων U ‖ **23** post ὄντι folia ceciderunt, itaque epistulae finis deest in P (et S)

τῷ λόγῳ ἐδημιούργησας· καὶ ὀφθαλμιῶν πρὸς ἡμᾶς ταῖς τῆς φιλίας ὑπερχύσεσιν ἢ προσχύσεσιν, οὕτως ὑγιῶς καὶ διωρθωμένην
30 τὴν τοῦ νοήματος διαγραφὴν περιώδευσας, ὡς μηδὲν ἀποδεῖν σεραφικοῦ ὄμματος ὀξύ τε βλέποντος καὶ εἰς κύκλον τὴν ὅρασιν ἀπαρτίζοντος. Οὕτω σου καὶ τὸ τυφλὸν ἀτενὲς ὁρᾷ, καὶ οὐ σκαρδαμύττει πρὸς τὰς αὐγάς· ἀλλά σοι καὶ αἱ τῶν ὄντων ἀποπτώσεις οὐσιῶνται, καὶ αἱ τοῦ ἀληθοῦς ἀποπλανήσεις εἰς
35 τεχνικὴν ἀπορριπτοῦνται εὐθύτητα. Ἐγὼ γοῦν ὠνάμην σου μᾶλλον τοῦ ἐλαττώματος, ἢ τοῦ κατορθώματος ἕτεροι. Καὶ τυφλώττοις οὕτω περὶ ἡμᾶς· οἱ γάρ σε πολλοὶ οὐδὲ συνήσουσιν οὕτως ἔχοντα. Κἀντεῦθεν ἐμοὶ περιγίνεται τὸ καὶ φωστῆρα εἶναι δοκεῖν καὶ πρὸς τὴν σὴν ὡς σκιὰν ἀντιμετρεῖσθαι ψυχήν, ἧς οὐδὲν
40 τῶν ὄντων διαφεγγέστερον.

Σὺ μὲν οὖν, σοφωτάτη ψυχή, τοσοῦτον ὑπεριδών, ἀνάλογον ἐποιήσω τὴν πλάσιν τοῦ ψεύδους. Ἐγὼ δέ σε ὀξύ τε βλέπων καὶ ἀπλανῶς, κρείττονα καὶ φωστῆρα ἥγημαι, καὶ εἴ τις ἄλλη φύσις κινοῦσα πλέον τὴν αἴσθησιν, καὶ ἥλιον μὲν οὐδὲν ἧττον ἢ ὑπὲρ
45 ἥλιον πᾶσι τοῖς τῆς ψυχῆς ἀπαυγάζοντα μέρεσι καὶ πρὸς [...ca. 5 litt.]τα τὸ φῶς, ἀφ᾽ οὗ δὴ τούτου μετέσχηκας, σελήνην δὲ καὶ μάλιστα τῷ πρὸς ἡμᾶς μέρει διακονοῦντα πᾶσι τὰς πρώτας αὐγάς, μὴ μέντοι ἀπολελειμμένον τῶν ἄνω· ὃ δὴ ταῖς θειοτέραις ψυχαῖς μόναις ἐμπέφυκεν, ἵν᾽ ὁμοῦ καὶ θεωροῖεν καὶ προνοοῖντο.

50 Τοιοῦτον τὸ σὸν καὶ τὸ πλέον ἀφῆκεν ὁ λόγος εἰπεῖν ἴσως μὴ δυνηθείς. Ἐπεὶ δέ σοι καὶ τὸ καθ᾽ ἡμᾶς εὐδοκίμηται καὶ βούλει σου τὴν μακαρίαν ψυχὴν καὶ τῷ τῶν ἡμετέρων λόγῳ κεχρῶσθαι χρώματι, ταμιεύσομαί σοι ταυτηνὶ τὴν γλῶτταν, ἣν ἐν τοῖς

28–29 καὶ – προσχύσεσιν: cf. Plat. 255d4–6 οἷον ἀπ᾽ ἄλλου ὀφθαλμίας ἀπολελαυκὼς πρόφασιν εἰπεῖν οὐκ ἔχει, ὥσπερ δὲ ἐν κατόπτρῳ ἐν τῷ ἐρῶντι ἑαυτὸν ὁρῶν λέληθεν. cf. Π 58,45–46 εἶδες ἐν κατόπτρῳ τὸ σὸν πρόσωπον et Π 134,56–57 ἵνα σε μᾶλλον μυωπίσω πρὸς τὸ ποθούμενον. cf. etiam Π 118,74–76 ὥσπερ οἱ τὰς ἀκτῖνας τῶν ὄψεων ἀσθενεῖς δο[κοῦ]σί τι πρόσωπον ἔξωθεν ὁρᾶν ἀτενές, ὁρῶσι δὲ οὐκ ἄλλό τι ἢ τὸ οἰκεῖον ἀντανακλώμενον

28 ὀφθαλμιῶν scripsi: ὀφθαλμῶν U Spa ‖ **40** διαφεγγέστερον corr. Spa (cf. Psel. Εἰς τὸ ἀποστολικὸν ῥητὸν τὸ φάσκον, ‘ἑκάστου τὸ ἔργον, ὁποῖόν ἐστι, τὸ πῦρ δοκιμάσει’ = Theol. II 7,55): διαφθεγγέστερον U ‖ **50** εἰπεῖν corr. Spa: ἰπεῖν U

λόγοις ὁρᾷς ἐν ταῖς τῶν καθ' ἡμᾶς ἱστορίαις πραγμάτων, οὐ τοῦτο μὲν ὑποθέμενος, ἐκπλήξας δὲ τῇ καινοτομίᾳ τῆς εἰσβολῆς, ὥσπερ 55 ἐν τοῖς δράμασι ἐποίουν οἱ σχηματιζόμενοι τὸν Ἀπόλλω, καὶ τομὴν ἐμποιήσω τῷ λόγῳ· εἶτα δὴ τὸν περί σε καταγαγὼν θρίαμβον, αὖθις ἀποδώσω τὸ τμῆμα τῷ λελειμμένῳ τῆς ὑποθέσεως. Εἰσάξω δέ σε οὐ κατ' ἄνδρα οὐδ' ὡς σήμερον ἔχεις, ἀλλά σοι τοὺς φωστῆρας προσεισαγαγών, ἐκεῖθεν τέ σου τὴν γένεσιν ποιησάμε- 60 νος, οὕτω σε θεωρήσω ἀφ' οὗ προσῆλθεν ἐφ' ὃ παραγέγονας, πάντα σοι τελέως ἀπακριβούμενος, τὸν λόγον, τὸ ἦθος, τὴν πάντα δυνηθεῖσαν φύσιν, τὴν πρὸς τὸ προκείμενον κατάλληλον πλάσιν, καὶ τἆλλα ὁπόσα σύ τε ἔχεις καὶ ὁ λόγος δεδύνηται. Εἰ δὲ τὰ ἴσα καὶ αὐτὸς ἀνταποδοίης ἡμῖν, οὐχ οὕτω ταῦτα λογίσομαι, ἀλλὰ 65 κρείττονα τῷ διαφόρῳ τοῦ ἀντειρηκότος παραμετρήσας.

Τοῦ χειμῶνος εὖ ἔξω διὰ τὰ σταλέντα.

171. Τῷ Εὐχαΐτων ⟨Ἰωάννῃ⟩

S 40 [P]

Τῷ πάντων ἐμοὶ σοφῶν λογιωτάτῳ καὶ ἀρχιερέων ἁγιωτάτῳ· εἶτα τί μετὰ τοσοῦτον ὄγκον τῆς ἀληθοῦς εὐφημίας, ἀξίωσις περὶ πτωχοῦ καὶ γέροντος; Καὶ ταῦτα οὐχ ἵνα τῆς χαλαρᾶς ἀπαλλάξῃς ῥυτίδος, οὐχ ἵνα πλούσιον ποιήσῃς ἐκ πένητος, ἀλλὰ τί; ἵνα ἐλεῇς. Εἰ δὲ μὴ τοῦτο ἠξίωσα, οὐ σὺ ἂν ἐμίσησας; Πολλοῦ γε καὶ δεῖ. 5 Ἀλλ' οὗτος (οἶμαι) παραπαίει.

54 ἐν – πραγμάτων: ad Pselli Chronographiam alludit? cf. Π 177 ad Machetarium ‖ **55–56** ὥσπερ – Ἀπόλλω: cf. e.g. Olympiod. In Alc. 44,3–7 ζήλῳ τραγικῷ τοῦτο πεποίηκεν ὁ Σωκράτης· ζηλωτὴς γὰρ τούτων ἐστίν. ὥσπερ οὖν ἐκεῖνοι πολλάκις ἀπὸ μηχανῆς εἰσάγουσι θεὸν ἐπὶ λύσει τῶν συμφορῶν, καθάπερ ἐν τῇ Ἀλκήστιδι Εὐριπίδης τὸν Ἀπόλλω πεποίηκεν ἐν τῇ Ἀδμήτου οἰκίᾳ, οὕτω κἀνταῦθα ὁ Σωκράτης θεὸν εἰσήγαγεν ‖ **67** διὰ – σταλέντα: cf. Π 169,23 ἐναπλίτα σοι ἐστάλησαν καὶ ὀρταρίων ζυγὸν δύο ‖ **2–3** περὶ – γέροντος: cf. Π 172,1 τοῦ παρόντος γέροντος? ‖ **3–4** χαλαρᾶς – ῥυτίδος: Synes. Cyren. Epist. 3,35 ὑπὸ χαλαρᾷ ῥυτίδι. cf. Psel. Χρονογραφία VI,6, Ἐγκώμιον εἰς τοὺς κόρεις = Or. min. 29,83 et Π 123,14. iunctura Synesiana (vel Pselliana?) saepe in Nic. Chon. laudata (e.g. Or. 7 [57,6])

59 εἰσάξω U: εἰσάξων Spa ‖ **61** ἐφ' : ὑφ' Spa ‖ **ep. 171** P 199r–v; tit. scripsi: τῷ Εὐχαΐτων P S

Ὡς γοῦν ἐνέκειτο πολλάκις με περὶ τούτου παρακαλῶν, ἐγὼ μὲν ἐγέλων, ὁ δὲ ἠρώτα τὴν αἰτίαν τοῦ γέλωτος. Ἐπεὶ δὲ ἀπεκάλυψα τὸ μέτρον εἰπὼν τῆς αἰτήσεως μέτριον, ἔφησε σεμνώσας τὸ
10 πρόσωπον, ἡμέρου βλέμματος (τοῦ σοῦ δὴ λέγω) τυχεῖν καὶ ὁμιλίας, καὶ χειρὸς ἐπαφῆς, ὃ δὴ ἄντικρυς θεία τις ἐστὶν ἐπισκίασις.

Ἠγάμην οὖν εἰπόντα τὸν ἄνθρωπον, καὶ τὸ σὸν ἐμακάρισα (πῶς ἂν εἴποιμι;) εὐτυχές. Ἔγωγ' οὖν πολλὰ μὲν (ὡς οἶσθα)
15 φιλοσοφήσας, πλεῖστα δὲ ὠφελήσας πολλούς, οὐδέπω τοιούτων ἠξιώθην φωνῶν.

Τί οὖν ἐπὶ τούτοις ποιήσεις τῷ γέροντι; οἶδ' ὅτι χρηστὰ πολλά. Ἀλλὰ δὴ θᾶττον· ἐπ' ὀλίγαις γὰρ οἶμαι τοῦτον ζῆν ἀναπνοαῖς. Ἐνθυμοῦμαι δὲ τί ἐρεῖ τυχών, ὁπότε μὴ τυχὼν πᾶσαν
20 ὑπερῆρεν ὑπερβολήν· ἀλλὰ φοβοῦμαι μή ποτε τὸ κύκνειον ᾄσας διαφωνήσῃ εὐθύς, ὅλον δὴ τὸ πνεῦμα ἀποφυσήσας τοῦ πνεύμονος.

172. Τῷ μητροπολίτῃ Εὐχαΐτων ⟨Ἰωάννῃ⟩

S 173 [P]

Ἐδεξάμην τοῦ παρόντος γέροντος τὴν παράκλησιν, πάντων ἐμοὶ ἀνδρῶν λογιώτατε καὶ ἀρχιερέων ἁγιώτατε, οὐχ ὡς αὐτῷ τι συμβαλούμενος ἀξιῶ σε περὶ αὐτοῦ, ἀλλ' ὡς ἀφορμὴν εἰληφὼς τοῦ ἀποστεῖλαι πρὸς σέ. Ὁ μὲν γὰρ αἰτούμενος τῆς σῆς εὐμενείας
5 τυχεῖν, τεύξεται πάντως, τῆς τε ἡμετέρας αὐτὸ τοῦτο κατορθούσης βουλήσεως, καὶ τῆς σῆς ὑπερκάλου καὶ ἀγαθῆς βραβευούσης φύσεως· τί γὰρ δεῖ πρὸς σὲ περί τινος ἀξιοῦντα πολλοὺς περὶ τῶν αὐτῶν ποιεῖσθαι λόγους, ἀλλὰ μὴ ἅπαξ ἐνδειξάμενον τὸ πᾶν δοκεῖν ἔχειν ἀπηρτισμένον;

20 τὸ – ᾄσας: proverbium, CPG I 258 (nr. 37) et II 118 (nr. 84) et 490 (nr. 18); cf. Psel. Ὑπόμνημα ἕτερον = Or. for. 6,215–216, cum Plat. Φαίδων 84e4–85b3, Psel. Λόγος σχεδιασθεὶς πρὸς Πόθον βεστάρχην … περὶ τοῦ θεολογικοῦ χαρακτῆρος 5, et Π 23,86–89 ‖ **1** τοῦ – γέροντος: cf. Π 171,2–3 περὶ πτωχοῦ καὶ γέροντος?

14 ἦσθα S ‖ **ep. 172** P 229v–230r; tit. scripsi: τῷ μητροπολίτῃ Εὐχαΐτων P S **3** ἀξιῶ P: ἀξιῶν S

Οὗτος μὲν οὖν ἕξει ὃ δὴ καὶ βεβούληται. Ἐγὼ δέ σοι τοσοῦτον 10
ἐρῶ περὶ ἐμαυτοῦ καὶ σοῦ: σὺ μὲν δυστυχεῖς, ἀλλὰ καὶ εὐτυχεῖς·
ἐγὼ δὲ εὐτυχῶ, ἀλλὰ καὶ δυστυχῶ. Ἔστι δὲ ὁ λόγος χρησμῷ μὲν
ἐοικώς, οὐδαμῇ δὲ λοξός· δυστυχῶν γὰρ αὐτὸς τῶν ὧν ἴσμεν,
ὑπεροψίαν καὶ περιφρόνησιν, εὐτυχεῖς τὴν τῆς λαχούσης σε
προεδρίαν τε ἅμα καὶ προσεδρείαν· εὐτυχῶν δ' ἐγὼ τὸ τὴν 15
ἐνεγκοῦσαν ἔχειν, ἀτυχῶ τὸ ἐν τῇ πατρίδι (κατὰ τὸν ὑμέτερον
λόγον) τὴν ἀτιμίαν ὑφίστασθαι.

173. Τῷ μητροπολίτῃ Εὐχαΐτων ⟨Ἰωάννῃ⟩

eodem tempore ut Π 174?

S 182 [P]

Πολλῶν με πολλάκις ἐπὶ λόγοις μακαριζόντων, καὶ τὸ τῆς
φιλοσοφίας κράτος προσμαρτυρούντων, ὁ αὐτός εἰμι καὶ τοῖς
ἐπαίνοις οὐ μεταβάλλομαι. Ἀλλὰ τοῦτο μὲν πρὸς τὸ τῆς φύσεως
βλέπων ἐπίκηρον, τοῦτο δὲ πρὸς τοὺς θεσπεσίους ἐκείνους
φιλοσόφους καὶ ῥήτορας, ὧν κλέος οἶον ἀκούομεν, ἕνα τῶν πολλῶν 5
ἐμαυτὸν ἥγημαι, καὶ τοῖς ἄλλοις ἐπίσης τῆς τῶν λόγων
ἀπολελειμμένον ἀκρότητος. Ὅταν δὲ ταῖς σαῖς μαρτυρίαις περὶ
τῆς ἐμῆς ἐντύχω παιδεύσεως, τὸ κατὰ πάντων κράτος ἔχειν δοκῶ,

16–17 τὸ – ὑφίστασθαι: Mt. 13,57 οὐκ ἔστιν προφήτης ἄτιμος εἰ μὴ ἐν τῇ πατρίδι καὶ ἐν τῇ οἰκίᾳ αὐτοῦ (cf. Marc. 6,4, Luc. 4,24, et Ioann. 4,44) **1–9** πολλῶν – λέγομαι: cf. Π 174,24–28 καίτοι πολλῶν με μαρτυρησάντων πολλάκις ἐφ' ἅπασι τοῖς μαθήμασιν, οὐκ ἔστιν ὁπότε ἐχαυνώθην ἐγώ. ὑπὸ δὲ τῶν σῶν ἐπαίνων ἀθρόον ⟨πρὸ⟩ τοῦ τῆς βασιλείας μεγέθους καὶ ὕψους ἐθέλχθην τε ὡς ἥδιστα, καὶ θαυμάζειν ἑαυτὸν ἔοικα, ὅτι τοιοῦτος ἐλάνθανον ὤν ‖ **3–4** τὸ – ἐπίκηρον: locus communis; cf. Psel. Χρονογραφία VI,220 (= VIa,17), Theol. I 8a,44–5, Εἰς τὸ 'ὅτι πνεῦμα διῆλθεν ...' = Theol. I 34,5–6, Εἰς τὸ 'καὶ ἡμῖν μὲν βρωθήσεται ...' = Theol. I 99,21 et Π 31,33, Π 63,39–40, Π 174,17–18, et Π 200,72–73 ‖ **5** κλέος – ἀκούομεν: Hom. Il. 2,486 ἡμεῖς δὲ κλέος οἶον ἀκούομεν, cf. Π 218,9

14 ὑπεροψίαν P: ὑπερορίαν S ‖ **16** ὑμέτερον scripsi: ἡμέτερον P S ‖ **ep. 173** P 233v–234r, B 136r–137r; tit. scripsi: τῷ μητροπολίτῃ Εὐχαΐτων P S τοῦ αὐτοῦ πρὸς Νικόλαον τὸν Σκληρόν B ‖ **2** φιλοσοφίας P S: σοφίας B ‖ **4** ἐκείνους P S: ἀποβλέπων B ‖ **7** περὶ P S: παρὰ B

καὶ τότε μόνον ἔχω εἰδέναι ὃ παρὰ τῶν πολλῶν λέγομαι.

10 Καὶ πῶς γὰρ οὐ σοφώτερος τῶν ἄλλων ἐγώ, καὶ τῶν ἀπ' αἰῶνος ἐπὶ λόγοις εὐδοκιμησάντων ἐλλογιμώτερος; Πλάτωνα μὲν γὰρ Ἀριστοτέλης ἐπῄνεσε, καὶ τοῦτον Θεόφραστος, καὶ Πυθαγόραν Ἀρχύτας ὁ Ταραντῖνος, ἄνδρες φιλόσοφοι μὲν καὶ γενναῖοι τὴν γλῶτταν, οὐκ ἐν πάσαις δὲ ταῖς ἀρεταῖς ἀκριβῆ τὴν 15 πεῖραν παρεσχηκότες. Σὺ δὲ τῆς μὲν παρ' ἐκείνοις παιδεύσεως, ἴσως ἔχεις τὰ δευτερεῖα, τῷ δ' ἐν πάσαις πραγμάτων ἰδέαις ὑπερτερεῖν καταλλήλως, πλείονι μέτρῳ ἐκείνων ὑπέρκεισαι. Εἰ δὲ οἷς ἐκεῖνοι τὴν παίδευσιν ἐμαρτύρησαν διὰ τὴν ἐκείνων γλῶτταν μακάριοι, πῶς οὐχὶ μᾶλλον αὐτὸς ζηλωτότερος τῶν σῶν εὐφημιῶν 20 ὁσημέραι καταπολαύων, οὐχὶ ἁπλῶς οὕτω καὶ διὰ τῆς γλώττης, ἀλλὰ καὶ ἐν στήλαις χαλκαῖς (τοῖς σοῖς φημι γράμμασι);

Καὶ Φωκίων μέν (ἦν δὲ οὗτος Ἀθηναῖος ἀνὴρ καὶ τὸν τρόπον θαυμάσιος, καὶ μέγα τῆς Ἀττικῆς ὄφελος, καὶ τῆς Δημοσθένους

21 ἀλλὰ – γράμμασι: cf. Π 174,35–40 ὄφελον ἐν χαλκοῖς γραμματίοις ταῦ[τα] γεγράφθαι· ὄφελον [..........]αις ὕλαις, ἐν πύλαις σιδηραῖς τε καὶ χα[λ]κοδέτοις, ἵνα μηδὲν τούτων κατισχύ[σειεν .... μὴ ἰ]ὸς μὴ σηπεδών. οὐδὲν μὲν οὖν ἔλαττον καὶ τὸ βρ[α]χὺ τοῦτο ἐπιστολίδιον ἰσχύσει **23–24** τῆς[2] – κοπίς: Plut. Phoc. 5,9 ὁ δὲ Δημοσθένης τῶν μὲν ἄλλων κατεφρόνει πολὺ ῥητόρων, ἀνισταμένου δὲ Φωκίωνος εἰώθει λέγειν ἀτρέμα πρὸς τοὺς φίλους: «ἡ τῶν ἐμῶν λόγων κοπὶς πάρεστιν» (cf. Plut. Dem. 10,4); cf. Psel. Ὑπὲρ τοῦ νομοφύλακος κατὰ τοῦ Ὀφρυδᾶ = Or. for. 3,116–118

9 τότε B: τοῦτο P S | ἔχω scripsi: ἔχειν B om. P S ‖ **11** ἐπὶ P S: ἐν B **13** Πυθαγόραν dubitanter scripsi (cf. Psel. Ἱστορία σύντομος 95,5–9 σοφίας … οὐ μόνον τῆς κοινῆς ταύτης καὶ νενομισμένης, ἣν Πλάτων ἐξῆρε καὶ Ἀριστοτέλης … ἀλλὰ καὶ τῆς ἀπορρητοτέρας, ἧς Πυθαγόρας ἦρξε καὶ Ἀρχύτας ἐζήλωσε): τοῦτον P B S | μὲν P S: om. B ‖ **14** γλῶτταν P S: γλῶσσαν B ‖ **14–15** τὴν πεῖραν P S: γνῶσιν B ‖ **16** δευτερεῖα B: δεύτερα P S | τῷ P S: τὸ B | πραγμάτων P S: γραμμάτων B ‖ **17** ὑπερτερεῖν καταλλήλως P S: καταλλήλως ὑπερτερεῖν B ‖ **18** γλῶτταν P S: γλῶσσαν B ‖ **20** γλώττης P S: γλώσσης B ‖ **22–23** Ἀθηναῖος – θαυμάσιος P S: ἀνὴρ καὶ θαυμάσιος Ἀθηναῖος τὸ γένος B ‖ **23** Δημοσθένους P S: Δημοσθενικῆς B

γλώττης ὡς ἐκεῖνος ἔφη «κοπίς»), οὗτος τοιγαροῦν τὰς Ἀλεξάν-
δρου τοῦ Μακεδόνος προσρήσεις δεχόμενος, ἀντὶ θείου τινὸς 25
μαρτυρίου, καινότερόν τι ἐφρόνει ταῖς προσφωνήσεσιν· ὁ γὰρ
Μακεδὼν ἐκεῖνος Ἀλέξανδρος, ἐπειδὴ τὸν Πῶρον ἐνίκησε τὸν
Ἰνδόν, ἐν οὐδεμιᾷ τῶν ἐπιστολῶν τό «χαῖρε» προσέγραφεν, ἢ
ὁπότε ἐπέστελλε πρὸς Φωκίωνα.

Εἰ δὲ Ἀττικὸς ἀνὴρ τὴν περὶ τὰ πράγματα στερρότητα μαρτυ- 30
ρούμενος διὰ τὴν τοῦ Ἀλεξάνδρου προσφώνησιν ἠλλοιοῦτο καὶ
μετεβέβλητο, πῶς οὐκ ἂν αὐτός, σοῦ μοι θαμὰ προσομιλοῦντος
τοῖς γράμμασι, παρὰ τοὺς πολλοὺς ὀφθείην, καὶ οὐκ ἐπ' ἄκρων
μὲν βαδίσω δακτύλων, σοβαρὰν δὲ τὴν ὀφρὺν ἐπιτοξεύσω τοῖς
ὀφθαλμοῖς, καὶ τὸν μὲν αὐχένα μετεωρίσω ἐπὶ τὸ ἄναντες, τοῖς δὲ 35
πολλοῖς δόξω θεσπιῳδεῖν ὥσπερ ἀπὸ χρηστηρίου φθεγγόμενος, ἢ
ἀπὸ σκήπτρου ἱεροῦ θεμιστεύων, καὶ τοῖς προσιοῦσιν ἐν συμβόλοις
προσομιλῶν;

24–29 οὗτος – Φωκίωνα: Plut. Phoc. 17,9–10 ἰδίᾳ δὲ τὸν Φωκίωνα ποιησάμενος (scil. Ἀλέξανδρος) αὐτοῦ φίλον καὶ ξένον, εἰς τοσαύτην ἔθετο τιμὴν ὅσην εἶχον ὀλίγοι τῶν ἀεὶ συνόντων. ὁ γοῦν Δοῦρις εἴρηκεν, ὡς μέγας γενόμενος καὶ Δαρείου κρατήσας ἀφεῖλε τῶν ἐπιστολῶν τὸ χαίρειν, πλὴν ἐν ὅσαις ἔγραφε Φωκίωνι· τοῦτον δὲ μόνον ὥσπερ Ἀντίπατρον μετὰ τοῦ χαίρειν προσηγόρευε. τοῦτο δὲ καὶ Χάρης ἱστόρηκε ‖ **27–28** ἐπειδὴ – Ἰνδόν: cf. Plut. Alex. 60 ‖ **30–32** Ἀττικὸς – μετεβέβλητο: cf. Π 174,4–5 ἐγὼ ... ἠλλοίωμαι ὅλος καὶ μεταβέβλημαι ‖ **33–34** ἐπ' – δακτύλων: cf. Soph. Αἴας 1230 ὑψήλ' ἐφρόνεις κἀπ' ἄκρων ὡδοιπόρεις. cf. Π 58,11, Π 174,7, Π 189,47–48, et Π 190,30 ‖ **33–35** καὶ – ἄναντες: cf. Π 58,10–11 ὅθεν ἀθρόον σοβαρὸς γέγονα καὶ ἔσπακα τὴν ὀφρῦν καὶ ἐπ' ἄκρων βαδίζω δακτύλων, Π 174,7 διὸ δὴ σοβαρόν τε βαδίζω καὶ ἐπ' ἄκρων δακτύλων, Π 189,47–49 ἐπ' ἄκρων δακτύλων εἱστήκειν· καὶ ὃ μηδέποτε ἐπεποιήκειν, ὤρθωσά τε σοβαρώτερον τὸν αὐχένα, et Π 190,29–32 ἀνέσπασα τὴν ὀφρῦν ἀκούσας εὐθύς, ἢ ἐπ' ἄκρων δακτύλων ἐβάδισα, καὶ τῆς ἐμῆς ἀνέμνησα μαρτυρίας τὸν αὐτοκράτορα καὶ ἐκόμπασα (πῶς ἂν εἴποις;) μέγα καὶ σοβαρόν

24 γλώττης P S: γλώσσης B ‖ **26** καινότερόν P S: καινόν B | ἐφρόνει P S: ἐφώνει B | ταῖς προσφωνήσεσιν : [.....]ροσφωνήσεσιν B ‖ **26–27** ὁ – Μακεδὼν : ὁ γὰρ [.......] Μακεδὼν B ‖ **28** Ἰνδόν : [......] B | τῶν : [..]ν B | προσέγραφεν P S: προέγραφεν B ‖ **29** ἐπέστελλε : ἐ[........] B ‖ **30** εἰ δὲ: [....] B **30–31** μαρτυ[...]μενος B ‖ **31** τὴν om. S ‖ **32** προσομ[.....]ος B ‖ **33** παρὰ P S: κατὰ B | καὶ οὐκ scripsi: καὶ P S [...] οὐκ B ‖ **34** δακτύλων : δακτ[....] B

Εἶτά με τὴν ἴσην ἀπαιτεῖς ὁμολογίαν ἐν γράμμασιν, ὥσπερ
40 ἂν εἰ καὶ θεὸς ἀπαιτοίη καταβροντῶν τὸν ἶσον ἦχον ἀντιψοφεῖν τὸν ἐμβρόντητον· τί γὰρ ἂν καὶ φθεγξαίμην πρὸς σὲ ὅς γε, μετὰ τὸ πᾶσαν τὴν ἐπιστολὴν διελθεῖν, ἐπὶ πολλαῖς ἡμέραις ἔνηχον ἔχω τὸ οὖς, ὡς ὑπό τινος ἠχοῦς κατάκροτος γεγονὼς καὶ μὴ ἐφιστάνων τοῖς λογισμοῖς; Ἀλλ’ οὐδὲ χρηστηριάζων ὁ Φοῖβος,
45 τοὺς ἴσους χρησμοὺς παρὰ τῶν οἷς ἐχρᾶτο ἀπήτει. Οὔτε μὴν τῷ Μωϋσῇ χρηματίζων ὁ τῶν ὅλων θεὸς μετὰ νεφῶν τε καὶ λαίλαπος, τὴν αὐτὴν ἐζήτει παρ’ ἐκείνου ἠχώ, ἀλλὰ καὶ σιωπῶντι τῷ θεράποντι, ὡς ὁμιλοῦντι προσεῖχε· καὶ «Τί βοᾷς;» ἔφασκε τῷ σιγῶντι· τὴν γὰρ ἀλάλητον ἠχὼ τῆς ψυχῆς μεγαλοφωνοτέραν
50 ἡγεῖτο γλώσσης βροντώσης.

Σιγῶ τοιγαροῦν καὶ αὐτός, καὶ τὴν ἴσην οὐκ ἀποδίδωμί σοι φωνὴν ὅτι σοι ὡς κρείττονι φύσει προσέχω· καὶ ὅταν σου τοῖς ἐν τῷ γράμματι λόγοις προσομιλήσω, ὥσπερ δέλτοις προσκείμενος ἱεροῖς, ἢ πετάλοις ἱερατικοῖς, αἰδοῖ καὶ φόβῳ συστέλλομαι, καὶ τό
55 τε πνεῦμα ἐπέχω καὶ τὴν γλῶτταν καταδεσμῶ· καὶ ὥσπερ ἐν θείοις μυστηρίοις τελούμενος, ἄφωνος τὰ πολλὰ γίνομαι· καὶ βροντώσης οἷον ἠχοῦς αἰσθανόμενος, οὐκ ἔχω ὅ τι γένωμαι, ἢ ποῖ τράπωμαι, ἢ ὅπως ἂν ἐμαυτὸν ἀνακινήσω πρὸς τὸ θαρραλεώτερον καὶ ἀποστήσω τοῦ δέους.

43 ὡς – γεγονὼς: cf. Heliod. Αἰθιοπικά 1,30,2,5–6 ἐπὶ δὲ τὴν ἀκοὴν ἠχὴ κατάκροτος ἐπεφέρετο ‖ **45–50** οὔτε – βροντώσης: cf. Π 174,1–3 ὅ τι μὲν ὁ θειότατος Μωυσῆς πέπονθεν ὁπότε κατὰ πρόσωπον ὡμίλησε τῷ θεῷ καὶ τὰς θεοχαράκτους πλάκας ἐδέξατο, εἰκάζειν μὲν ἔχω, οὔπω δὲ ἀκριβῶς οἶδα **46–47** μετὰ – λαίλαπος: Job 38,1 εἶπεν ὁ κύριος τῷ Ιωβ διὰ λαίλαπος καὶ νεφῶν ‖ **48–49** τί βοᾷς – σιγῶντι: Exod. 14,15 εἶπεν δὲ κύριος πρὸς Μωυσῆν «Τί βοᾷς πρός με;» ‖ **54** πετάλοις ἱερατικοῖς: cf. Psel. Ἐκ τοῦ Περὶ υἱοῦ = Theol. I 20,38 et Εἰς τὸ ‘ἐπλήσθησαν οἱ ἀπόστολοι …’ = Theol. I 74,142–143 **57–58** ποῖ τράπωμαι: iunctura saepisime laudata (cf. Eurip. Ἑκάβη 1099 et Βάκχαι 1366 cum Aphth. Περὶ ἠθοποιίας = Προγυμνάσματα 11,6, et Greg. Naz. Εἰς τὸν μέγαν Βασίλειον … = Or. 43,14); cf. Psel. Ἀπολογητικὸς ὑπὲρ τοῦ Φιλιππουπόλεως Λαζάρου καθαιρεθέντος = Or. for. 2,178 et Π 61,15

39 ὁμολογίαν P S: ὁμιλίαν B ‖ **42** ἐπὶ – ἡμέραις P S: ἐπιστολαῖς ἡμετέραις B **43** ὡς P S: ὥσπερ B | ἠχοῦς B: ἤχου P S ‖ **48–49** τῷ σιγῶντι P S: τὸν σιγῶντα B ‖ **52** σοι P S: om. B ‖ **53–54** προσκείμενος ἱεροῖς P S: ἱεραῖς προσκείμενος B **55** τε P S: om. B | γλῶτταν P B: γλῶσσαν S

Τοῖς μὲν γὰρ ἄλλοις, θειοτάτη ψυχή, βραχύ τι δοκεῖς τῶν 60
πολλῶν διαφέρειν. Ἐγὼ δὲ φιλόσοφος (ὡς οἶσθα) τυγχάνων, καὶ
τὴν κρίσιν ἀπαραλόγιστος, «ἐκ κεφαλῆς» (ὅ φασιν) «ἐς πόδας»
κατανενόηκά σε. Μεμάθηκα δέ σοι καὶ τὰ τῶν στέρνων ἐντός, καὶ
τὸ χρῆμά σοι τῆς ψυχῆς οὐκ ἠγνόηκα. Τοιοῦτόν ἐστι φιλόσοφος
ὀφθαλμός, οὐ τοῖς σχήμασι καὶ ταῖς ἐπιφανείαις προσέχει, ἀλλ' 65
ἐμβαθύνει τοῖς βάθεσι. Διὰ ταῦτα καὶ πέφρικα καὶ ἀσπάζομαι, τὸ
μέν, διὰ τὸ ὑπερέχον τῆς φύσεως, τὸ δέ, διὰ τὴν ἄρρητον τοῦ ἤθους
καλλονήν. Καὶ ὅταν μὲν ἐπιστρέψω πρὸς σὲ τὴν ψυχήν, ἄφωνός
εἰμι καὶ ψοφοδεής. Ὅταν δὲ πρὸς τοὺς ἄλλους τὸν ὑπὲρ σοῦ λόγον
ἐθελήσω ποιεῖν, πεπαρρησιασμένῃ φθέγγομαι τῇ φωνῇ, καὶ 70
σύντονον ᾠδὴν ἐπὶ τῆς γλώττης ἁρμόζομαι, καὶ πληρῶ πᾶσαν
ἀκοήν, ἐλλόγιμόν τε δῆμον καὶ ἄσοφον, θέατρά τε καὶ πανηγύ-

60 θειοτάτη ψυχή: cf. Π 176,2 ‖ **61–66** ἐγὼ – βάθεσι: cf. Psel. Εἰς τὸν αὐτοῦ ἔκγονον ἔτι νήπιον ὄντα = Or. min. 38,17–20 ἐπεὶ καὶ γνωματεύειν ἐγὼ δεινός, εἴπερ τις ἄλλος, καὶ διὰ τῶν αἰσθήσεων ὥσπερ θυρίδων τινῶν προκύπτειν εἰς τὴν ψυχήν, μᾶλλον δὲ αὐτὴν ὀφρύσι καὶ ὀφθαλμοῖς ἐγκαθημένην κατανοεῖν, Π 9,46–50 δεινὸς δὲ εἰ καί τις ἄλλος ἐγὼ ψυχὴν κατοπτεῦσαι δι' ἐναργῶν τινῶν συμβόλων καὶ χαρακτήρων (ἢ γὰρ μάτην ἂν εἴην ἀνεγνωκὼς φυσιογνωμικὴν τέχνην, εἰκῇ δέ μοι καὶ ὁ χρόνος τῆς περὶ ταῦτα πείρας ἀνάλωται· ἀλλ' οὐκ ἔστι ταῦτα), Π 10,55–56 δεινὸς γὰρ εἰ καί τις ἄλλος, ὥσπερ δι' ὑμένος λεπτοῦ τοῦ σώματος, καὶ καρδίαν καὶ ἧπαρ ἰδεῖν, Π 375,25–29 ἐγωγ' οὖν (ἵνα τί σοι καὶ τῶν ἐμῶν ἀπορρήτων εἴπω), καὶ ὃν οὔπω καθεώρακα ἅπαξ ἰδών, ἀπὸ τῶν ὀφθαλμῶν ἐγνωμάτευσα· σοῦ δὲ καὶ … εἰς τὴν ψυχὴν διὰ πάντων παρέκυψα, et Π 451,3–4 ἔστι γάρ μοι τέχνη περὶ τοὺς χαρακτῆρας τοῦ σώματος, δι' ὧν [ἀκριβ]ῶς ἐγκύπτω εἰς τὴν ψυχήν ‖ **62** ἐκ – πόδας: proverbium? cf. Aphth. Ὅρος ἐκφράσεως = Προγυμνάσματα 12,1,11–13 ἐκφράζειν δὲ δεῖ πρόσωπα μὲν ἀπὸ τῶν πρώτων ἐπὶ τὰ τελευταῖα ἰέναι, τουτέστιν ἀπὸ κεφαλῆς ἐπὶ πόδας ‖ **71–72** πληρῶ – ἄσοφον: cf. Psel. Ἐγκώμιον εἰς τὸν Μεταφραστὴν … = Or. hag. 7,260–265 καὶ ἤρκεσέ γε κατὰ ταὐτὸν ἀμφοτέροις τοῖς γένεσι· τῷ μὲν γὰρ ῥυθμῷ καὶ τῷ κάλλει τῆς λέξεως τὸν ἐλλόγιμον ἀκροατὴν ἐφειλκύσατο καὶ ἔθελξεν ἱκανῶς τοῖς τῶν χαρίτων θηράτροις, τῷ δέ γε σαφεῖ καὶ ποτίμῳ τὰς ἰδιώτιδας ἀκοὰς τῆς ἑαυτοῦ φωνῆς ἀνηρτήσατο· ἀμφοτέρους τε αὖ ὑπηγάγετο τῷ συντόμῳ καὶ πιθανῷ. cf. Π 134,78 κριτικὴ ἀκοὴ καὶ ἐλλόγιμος

60–61 τῶν – διαφέρειν P S: διαφέρειν τῶν πολλῶν B ‖ **63** κατανενόηκά σε B Malt[4],28: κατανενόηκα P S ‖ **64** ἠγνόηκα P S: ἠγνόησα B ‖ **65** προσέχει P S: γινώσκει B ‖ **70** φω[..] B ‖ **71** σύντονον P S: τὴν σύντονον B **72–73** ἐλλόγιμόν – πανηγύρεις P S: καὶ θέατρά τε καὶ πανηγύρεις, ἐλλόγιμόν τε δῆμον καὶ ἄσοφον B

ρεις, τῶν σῶν ἐγκωμίων, μηδὲ τὰ βασιλέως ὦτα ἀνήκοα τῶν σῶν ἐπαίνων ποιούμενος· τότε γὰρ καὶ ἐμαυτὸν ἐπιγινώσκω ὅτι καὶ
75 τὴν ῥητορικὴν εἰς ἄκρον ἤσκησα τέχνην, σχεδίων λόγων πηγὰς ὑπερβλύζων τῆς γλώττης, καὶ σχήμασι μετρικοῖς τὴν εὐφημίαν κατακοσμῶν, καὶ μηδὲ τῆς τοῦ Γρηγορίου μεγαλοφωνίας φθεγγόμενος ἔλαττον.

Ἐγὼ μὲν οὕτως, καὶ καινὸν οὐδέν. Σὺ δὲ ὥσπερ κρείττων
80 φύσις ἐξ οὐρανοῦ ὁμιλῶν, οὐκ ἀνεκτὸν ἡγῇ εἰ μὴ καί τι προσθήσεις ταῖς θεοφανείαις, ἀλλὰ καὶ τὰ μείζω διδούς, ἐλάττω οἴει διδόναι. Εἶτα σὺ μὲν ἴσως ἀγνοεῖς· ἐγὼ δέ σοι τὸ τοῦ ἐμοῦ δόγματος ἀνακαλύψω ἀπόρρητον: τὴν Πυθαγόρειον φιλοσοφίαν ἐζήλωκα,

75–76 σχεδίων – γλώττης: Philostr. Βίοι σοφιστῶν I,1 (481,22–482,1) σχεδίων δὲ πηγὰς λόγων οἱ μὲν ἐκ Περικλέους ῥυῆναι πρώτου φασίν **77** τῆς – μεγαλοφωνίας: cf. Psel. Εἰς τὸ 'οὔτε τοῦ πατρὸς ἐκστάντος τῆς ἀγεννησίας' = Theol. I 68,129–131 τοιαύτη μὲν ὡς ἐν τύπῳ περιλαβεῖν ἡ τῶν τοῦ μεγάλου πατρὸς ῥημάτων ἐξήγησις, ἐλάττων μὲν τῆς ἐκείνων μεγαλοφωνίας, οὐ παρὰ πολὺ δὲ δευτέρα τῆς Ὀλυμπιακῆς σάλπιγγος **82–83** ἐγὼ – ἀπόρρητον: cf. Greg. Naz. Epist. 48,8 ἀνακαλύπτειν τὸ τῆς γνώμης ἀπόρρητον. cf. Π 455,6–7. cf. etiam Π 375,26 ‖ **83–86** τὴν – συμπεπλήρωται: Pythag. Χρυσᾶ ἔπη 47–48 ναὶ μὰ τὸν ἀμετέραι ψυχᾶι παραδόντα τετρακτύν, / παγὰν ἀενάου φύσεως et David Phil. Προλεγόμενα τῆς φιλοσοφίας 48,24–49,5 ὁ τέσσαρα ἀριθμὸς πάνυ ἦν τίμιος παρὰ τοῖς Πυθαγορείοις, ὡς καὶ αὐτοὶ ὀμνύοντες εἰς τὸν Πυθαγόραν δηλοῦσι λέγοντες 'ναὶ μὰ τὸν ἁμετέραις ψυχαῖς παραδόντα τετρακτὺν παγὰν ἀεννάου φύσεως' … πηγὴν δὲ τῆς ἀεννάου φύσεως ἐκάλεσε τὸν τέσσαρα ἀριθμόν, ἐπειδὴ ἐκ τῶν τεσσάρων στοιχείων συνίσταται τὰ ἡμέτερα σώματα … ἢ ἐπειδὴ καὶ τέσσαρά εἰσι τὰ στοιχεῖα, οἷον γῆ ὕδωρ ἀὴρ πῦρ, ἢ ἐπειδὴ καὶ τέσσαρές εἰσιν αἱ ἀρεταὶ τῆς ψυχῆς, οἷον ἀνδρία δικαιοσύνη σωφροσύνη φρόνησις, ἢ ἐπειδὴ ὁ τέσσαρα ἀριθμὸς συντιθέμενος μετὰ τῶν πρὸ αὐτοῦ ἀποτελεῖ τὸν δέκα ἀριθμόν … etc. cf. etiam e.g. Procl. In Remp. II 69,29–70,5. cf. Π 112,25–27 **83–88** τὴν – δόγματι: cf. Π 174,42–46 ἆρ' οὐχὶ φιλοσοφώτερος αὐτὸς τοῦ Πυθαγόρου τυγχάνεις ᾧ δὴ οἱ προσωμιληκότες καί τι τῶν ἐκείνου

73 βασιλέως : [........] B | ἀνή[..]α B ‖ **74** καὶ[1] P S: om. B | ἐπιγινώσκω P S: ἔγνων B ‖ **75** ῥητορικὴν εἰς : ῥητο[.........] B ‖ **76** γλώσ[...] B | σχήμασι μετρικοῖς : σχήμασ[.........] B ‖ **77** Γρηγορίου B: Γοργίου (an recte) P S **77–78** φθεγγόμενος ἔλαττον : φθεγγόμ[.........] B ‖ **79–80** κρείττων φύσις B: κρείττονι φύσει P S ‖ **80** οὐκ ἀνεκτὸν : [..........] B ‖ **81** [..]οφανείαις B | ἐλάττω οἴει : ἐλ[........] B ‖ **82** ἴσως P S: om. B | σοι P S: om. B | ἐμοῦ P S: om. B **83** Πυθαγόρειον : [......]ρειον B ‖ **83–84** ἐζήλωκα – τετίμηκα P S: τετίμηκα ... ἐζήλωκα B

καὶ τὸν τέσσαρα τετίμηκα ἀριθμόν, τοῦτο μὲν ὡς πηγὴν ἀεννάου φύσεως τυγχάνοντα, τοῦτο δὲ ὅτι καὶ τὸ πᾶν τούτῳ τῷ ἀριθμῷ 85 συμπεπλήρωται. Διὰ ταῦτα τοιγαροῦν, ὡς τὸ πᾶν εἰληφέναι παρὰ σοῦ δόξας, διὰ τοῦδε τοῦ ἀριθμοῦ φιλοσόφως σεμνύνομαι, καὶ τῷ Πυθαγορείῳ περισκιρτῶ δόγματι. Καὶ εἴης οὕτω συμβολικῶς τὴν ἡμετέραν φιλοσοφίαν πιστούμενος, καὶ διδοὺς τοσαῦτα ὁπόσα βουλόμεθα. 90

174. Τῷ αὐτῷ

Τῷ μητροπολίτῃ Εὐχαΐτων ⟨Ἰωάννῃ⟩. eodem tempore ut Π 173?

G 33 [B], Malt 12 [B]

Ὅ τι μὲν ὁ θειότατος Μωυσῆς πέπονθεν ὁπότε κατὰ πρόσωπον ὡμίλησε τῷ θεῷ καὶ τὰς θεοχαράκτους πλάκας ἐδέξατο, εἰκάζειν μὲν ἔχω, οὔπω δὲ ἀκριβῶς οἶδα. Ἐγὼ δ' οὖν θειοτέρας ἀξιωθεὶς

δογμάτων προσφέροντες, ἐπειδὰν τὸν ἐπὶ τούτοις λόγον ἐζήτουν ἀποροῦντες ὃ ἀποκρίνοιντο, τὸ «αὐτὸς ἔφα» ἀντ' ἄλλης τινὸς αἰτίας καὶ ἀποδείξεως προὔφερον
84–86 τὸν – συμπεπλήρωται: cf. Psel. Ἀλληγορία περὶ τῆς Σφιγγός = Phil. min. I 44,91–95 οἱ ἀριθμοὶ κατὰ τοὺς Πυθαγορείους τῶν πραγμάτων εἰσὶ δηλωτικοί ... δύναται οὖν αὐτοῖς ὁ τέσσαρα ἀριθμὸς ὡς μὲν τετράγωνος τὴν θείαν φύσιν, διότι προσέοικε τῇ μονάδι ‖ **1–3** ὅ τι –οἶδα: cf. Π 173,45–50 οὔτε μὴν τῷ Μωϋσῇ χρηματίζων ὁ τῶν ὅλων θεὸς μετὰ νεφῶν τε καὶ λαίλαπος, τὴν αὐτὴν ἐζήτει παρ' ἐκείνου ἠχώ, ἀλλὰ καὶ σιωπῶντι τῷ θεράποντι, ὡς ὁμιλοῦντι προσεῖχε· καὶ «τί βοᾷς;» ἔφασκε τῷ σιγῶντι· τὴν γὰρ ἀλάλητον ἠχὼ τῆς ψυχῆς μεγαλοφωνοτέραν ἡγεῖτο γλώσσης βροντώσης ‖ **1–2** ὅ τι – ἐδέξατο: Exod. 19–31, locus in Psello saepe laudatus; cf. Π 202,155–164 et Π 275,70–72

84 ἀεννάου : ἀ[.....] B ‖ **85** τυγχάνοντα B: om. P S ‖ **88** οὕτω B: οὕτως P S
ep. 174 B 137r–v; tit. scripsi: ἑτέρα πρὸς τὸν αὐτόν (i.e. Νικόλαον τὸν Σκληρόν, sed cf. epigraphen epistulae praecedentis [Π 173: B 136r–137r], quae autem in P 233v–234r τῷ μητροπολίτῃ Εὐχαΐτων recte inscripta est)

ὄψεώς τε καὶ ἀκοῆς (τοῦ σοῦ φημι γράμματος), ἠλλοίωμαι ὅλος
5 καὶ μεταβέβλημαι· καὶ κατὰ τοὺς ἐνθουσιῶντας, ἀκάθεκτός εἰμι
καὶ τὸ σῶμα καὶ τὴν ψυχήν. Ὅθεν δὴ τὰ πολλά, αὐτὸς ἑαυτὸν
ἀγνοεῖν ἔοικα· διὸ δὴ σοβαρόν τε βαδίζω καὶ ἐπ' ἄκρων δακτύλων,
ὥσπερ ὑπὸ θείας φωνῆς (τῆς σῆς φημι μαρτυρίας) τὰ κατὰ
πάντων λαβὼν νικητήρια. Σωκράτης μὲν γὰρ ὁ φιλόσοφος, ἐπειδὴ
10 τῆς Πυθίας ἤκουσε χρησμῳδησάσης ὅτι «Σωκράτης ἀνδρῶν
ἁπάντων σοφώτερος», ἠπίστησέ τε τῷ χρησμῷ, καὶ τοῦ θειασμοῦ
κατεψεύδετο, ἀφιλόσοφόν τι πρὸς τὸν ἑαυτοῦ θεὸν πεπονθώς. Ἐγὼ
δὲ ἀληθέστερόν σε τοῦ Πυθίου εἰδὼς καὶ τῶν ἐκείνου χρηστηρίων
μηνυτὴν ἀκριβέστερον, πείθομαί σου τῇ μαρτυρίᾳ· καὶ νῦν ἔγνων
15 εἶναι ὃ παρὰ πάντων λέγομαι.

Ὁρᾷς ὅπως διέθηκας ἑνὶ καὶ ταῦτα χρησμῷ (τῷ σῷ φημι
γράμματι), ὥστε τὰ κρείττω φαντάζεσθαι, καὶ τῆς ἐπικήρου καὶ

4–5 ἠλλοίωμαι – μεταβέβλημαι: cf. Π 173,30–32 Ἀττικὸς ἀνὴρ ... ἠλλοιοῦτο καὶ μετεβέβλητο ‖ **4–6** ἠλλοίωμαι – ψυχήν: cf. Psel. Ἐπιτάφιος εἰς … Ἰωάννην τὸν Ξιφιλῖνον = Or. fun. I 3,15,15–16 τὸν μετασχηματισμὸν εὐθὺς ἐζήτουν τοῦ βίου καὶ ἀκάθεκτος τὴν ὁρμὴν ἦν et Λόγος εἰς … Κωνσταντῖνον τὸν Μονομάχον = Or. pan. 1,339–340 τὴν γνώμην ἠλλοίωμαι, καὶ οὐκ οἶδ' ὅπως εἴπω, θεοφοροῦμαι καὶ ἀκάθεκτός εἰμι τὴν ὁρμήν, Π 149,27–28 οὕτως ὀξέως μετήνεγκα πρὸς σὲ τὴν ψυχήν, καὶ ἀκάθεκτος εἰμι τὴν ὁρμήν, et Π 252,25–26 ἐνθουσιᾷς· κἀγὼ σέ που ἰδών, αὐτίκα κορυβαντιῶ· καὶ ἀκάθεκτοι γινόμεθα ταῖς ὁρμαῖς ‖ **6–7** ὅθεν δὴ – ἔοικα: cf. Π 59,3, 24, et 31 ἐμαυτὸν ἀγνοῶ ... κἀγὼ τὰ πολλὰ τῶν ἐμῶν ἀγνοῶ ... . κἀγὼ μὲν τοὺς ἐμοὺς χρησμοὺς ἀγνοῶ ‖ 7 ἐπ' – δακτύλων: cf. Soph. Αἴας 1230 ὑψήλ' ἐφρόνεις κἀπ' ἄκρων ὡδοιπόρεις. cf. Π 58,11, Π 173,33–34, Π 189,47–48, et Π 190,30 | διὸ – δακτύλων: cf. Π 58,10–11 ὅθεν ἀθρόον σοβαρὸς γέγονα καὶ ἔσπακα τὴν ὀφρῦν καὶ ἐπ' ἄκρων βαδίζω δακτύλων, Π 173,33–35 καὶ ἐπ' ἄκρων μὲν βαδίσω δακτύλων, σοβαρὰν δὲ τὴν ὀφρὺν ἐπιτοξεύσω τοῖς ὀφθαλμοῖς, καὶ τὸν μὲν αὐχένα μετεωρίσω ἐπὶ τὸ ἄναντες, Π 189,47–49 ἐπ' ἄκρων δακτύλων εἱστήκειν· καὶ ὃ μηδέποτε ἐπεποιήκειν, ὤρθωσά τε σοβαρώτερον τὸν αὐχένα, et Π 190,29–32 ἀνέσπασα τὴν ὀφρῦν ἀκούσας εὐθύς, ἢ ἐπ' ἄκρων δακτύλων ἐβάδισα, καὶ τῆς ἐμῆς ἀνέμνησα μαρτυρίας τὸν αὐτοκράτορα καὶ ἐκόμπασα (πῶς ἂν εἴποις;) μέγα καὶ σοβαρόν ‖ **10–12** Σωκράτης – πεπονθώς: Diog. Laert. 2,37 πρὸς τῆς Πυθίας ἐμαρτυρήθη … ἀνδρῶν ἁπάντων Σωκράτης σοφώτατος; cf. Plat. Ἀπολογία Σωκράτους 21a cum scholiis Arethae **17–18** τῆς – φύσεως: locus communis; cf. Psel. Χρονογραφία VI,220 (= VIa,17), Theol. I 8a,44–5, Εἰς τὸ 'ὅτι πνεῦμα διῆλθεν …' = Theol. I 34,5–6, Εἰς τὸ 'καὶ ἡμῖν μὲν βρωθήσεται …' = Theol. I 99,21 et Π 31,33, Π 63,39–40, Π 173,3–4, et Π 200,72–73

θνητῆς ἐπιλελῆσθαί με φύσεως; Τί δ' ἂν πάθοιμι εἰ προσθήσεις τοῖς ἐπαίνοις ἐπαίνους καὶ τοῖς ἐγκωμίοις ἐγκώμια; Ὅθεν ἐγὼ τοῦτο εἰδὼς ἵνα μή τι τῶν ἀτόπων ὑποσταίην καὶ τὰς φρένας 20 ἀλλοιωθείην, παρεσκευασάμην θαρραλεώτερον καὶ ἐφραξάμην τοῖς λογισμοῖς ἵνα, εἰ καὶ δεύτερον ἐπέλθοι γράμμα καὶ τρίτον, ἀνάλωτος γένωμαι καὶ ἀήττητος, καὶ μὴ πρὸς τοὺς ἐπαίνους ἐνδόσιμος.

Καίτοι πολλῶν με μαρτυρησάντων πολλάκις ἐφ' ἅπασι τοῖς μαθήμασιν, οὐκ ἔστιν ὁπότε ἐχαυνώθην ἐγώ. Ὑπὸ δὲ τῶν σῶν 25 ἐπαίνων ἀθρόον ⟨πρὸ⟩ τοῦ τῆς βασιλείας μεγέθους καὶ ὕψους ἐθέλχθην τε ὡς ἥδιστα, καὶ θαυμάζειν ἑαυτὸν ἔοικα, ὅτι τοιοῦτος ἐλάνθανον ὤν· εἰ γὰρ λαμπρὸς μὲν ἦσθα τὸ γένος οὐ μεγαλοπρεπὴς δὲ τὸ φρόνημα, ἢ ἀμφότερα μὲν ταῦτα οὐκ εὐσύνετος δέ, ἢ εὐσύνετος μὲν ἀγχίνο[υς] δ' οὔ, ἢ μὴ κρῖναι [ἱκανὸς εὐμο]υσίαν 30 [καὶ] ἀμουσί[αν], οὐδ' [ἂν] εἰς ταύτην ἀθρόον μετεβλήθην ἕξιν ἐπὶ τ[οῖς] ἐπαί[νοις· ἀλλ' ἐπε]ὶ πάντα σοι κ[αλ]ῷ σπέρματι συνῆλθεν,

22–23 ἀνάλωτος – ἀήττητος: Greg. Naz. Κατὰ Ἰουλιανοῦ στηλιτευτικὸς αʹ = Or. 4,90 τὸ τοῦ ἀνδρὸς ἀνάλωτον καὶ ἀήττητον et Εἰς τὸν ἅγιον ἱερομάρτυρα Κυπριανόν = Or. 24,15 τὸ τῆς ψυχῆς ἀνάλωτον καὶ ἀήττητον ‖ **24–28** καίτοι – ὤν: cf. Π 173,1–9 πολλῶν με πολλάκις ἐπὶ λόγοις μακαριζόντων, καὶ τὸ τῆς φιλοσοφίας κράτος προσμαρτυρούντων, ὁ αὐτός εἰμι καὶ τοῖς ἐπαίνοις οὐ μεταβάλλομαι. ἀλλὰ τοῦτο μὲν πρὸς τὸ τῆς φύσεως βλέπων ἐπίκηρον, τοῦτο δὲ πρὸς τοὺς θεσπεσίους ἐκείνους φιλοσόφους καὶ ῥήτορας, ὧν κλέος οἷον ἀκούομεν, ἕνα τῶν πολλῶν ἐμαυτὸν ἥγημαι, καὶ τοῖς ἄλλοις ἐπίσης τῆς τῶν λόγων ἀπολελειμμένον ἀκρότητος. ὅταν δὲ ταῖς σαῖς μαρτυρίαις περὶ τῆς ἐμῆς ἐντύχω παιδεύσεως, τὸ κατὰ πάντων κράτος ἔχειν δοκῶ, καὶ τότε μόνον ἔχω εἰδέναι ὃ παρὰ τῶν πολλῶν λέγομαι ‖ **26** τοῦ – ὕψους: cf. Psel. Λόγος προσφωνηματικὸς πρὸς … Μιχαὴλ τὸν Δούκαν = Or. pan. 13,23–25 σὺ μόνος, θειότατε βασιλεῦ, ὑπὲρ φύσιν καὶ λόγον δύο ἐναντία συνήνωσας πράγματα, βασίλειον ὕψος καὶ μέγεθος καὶ μέτριον ὡς ἀληθῶς φρόνημα et Π 84,11 βασιλείας μὲν ὕψει καὶ μεγέθει

22 ἐπέλθοις corr. G | γράμμα scripsi: γράψαι B G Malt ‖ **25** ὑπὸ: ἀπὸ Wei[1],28 ‖ **26** πρὸ dubitanter addidi ‖ **30** ἀγχίνο[υς] B suppl. G: ἀγχίνο[ος δ'οὐ]δαμοῦ Malt ‖ **30–31** ἱκανὸς – εἰς dubitanter scripsi: ....σια......... G [± 9]..υσίᾳ [.].μουσι. ọụδạ....... Malt [δυνατ(ὸς) ἀπαιδε]υσίạ [κ(αὶ)] ἀμουσί(ạ), ọụδ' ἄṿ ẹἰṣ prop. Malt (in app. crit.) ‖ **31** μετεβλήθην B: μετεβλήθης G μετεβλ̣ήθ̣η Malt μετεβλ̣ήθηṿ prop. Malt (in app. crit.) ‖ **31–32** ἐπὶ – ἐπεὶ scripsi: εἰ π............... G ἐπὶ τ. ἐ̣.....[± 9]. Malt ἐπὶ τ(ọἶς) ἐ̣πạἰ(ṿọι̣ς) [ἀλλ' ἐπειδ]ῆ̣ prop. Malt (in app. crit.) ‖ **32** κ[αλ]ῷ σπέρματι B suppl. Malt: κακῶς παθόντι G

ὁ τοῦ γένους ὄγκος, τὸ τῆς ψυ[χῆς] ἀξίωμα, [........] φρονήσ[εως], ἡ σύνεσις, ἡ ἀγχίνοια, διατί μὴ τὸ ἐντεῦθεν κριτ[ήρι]ον ἀληθέστε-
35 ρον [......μαρ]τυρίᾳ ἡγήσομαι; Ὄφελον ἐν χαλκοῖς γραμματίοις ταῦ[τα] γεγράφθαι· ὄφελον [..........]αις ὕλαις, ἐν πύλαις σιδηραῖς τε καὶ χα[λ]κοδέτοις, ἵνα μηδὲν τούτων κατισχύ[σειεν .... μὴ ἰ]ὸς μὴ σηπεδών.

Οὐδὲν μὲν οὖν ἔλαττον καὶ τὸ βρ[α]χὺ τοῦτο ἐπιστολίδιον
40 ἰσχύσει [......], ὅπερ δὴ ἐγκόλπιον ἐπὶ τῶν στέρνων ἐπερείσομαι· καὶ τοῖς ἀνακρίνουσι ὁποῖός [εἰμ]ι τὴν σοφίαν, οὐκ ἀπολογήσομαι μέν, τὴν δὲ ψῆφον δείξας, ἐπιστομιῶ. Ἆρ᾽ οὐχὶ φιλοσοφώτερος αὐτὸς τοῦ Πυθαγόρου τυγχάνεις ᾧ δὴ οἱ προσωμιληκότες καί τι τῶν ἐκείνου δογμάτων προσφέροντες, ἐπειδὰν τὸν ἐπὶ τούτοις
45 λόγον ἐζήτουν ἀποροῦντες ὃ ἀποκρίνοιντο, τὸ «αὐτὸς ἔφα» ἀντ᾽ ἄλλης τινὸς αἰτίας καὶ ἀποδείξεως προὔφερον; Κἀγὼ γοῦν ἐρωτώ-

33 ὁ – ὄγκος: cf. Plat. Ἀλκιβιάδης α´ 121b4 τοῦ τε γένους ὄγκῳ **35–40** ὄφελον – ἰσχύσει: cf. Π 173,20–21 ἀλλὰ καὶ ἐν στήλαις χαλκαῖς (τοῖς σοῖς φημι γράμμασι) ‖ **36–37** ἐν – χαλκοδέτοις: cf. Eurip. Φοίνισσαι 114 ἆρα †πύλαι κλῄθροις χαλκόδετά τ᾽ ἔμβολα† ‖ **35–38** χαλκοῖς – σηπεδών: cf. Ps.-Longin. Περὶ μνήμης 55–56 καθάπερ ἐν χαλκοῖς γραμματείοις σηπεδόνος κεχωρισμένοις ‖ **42–46** ἆρ᾽ – προὔφερον: cf. Π 173,83–88 τὴν Πυθαγόρειον φιλοσοφίαν ἐζήλωκα, καὶ τὸν τέσσαρα τετίμηκα ἀριθμόν, τοῦτο μὲν ὡς πηγὴν ἀεννάουφύσεως τυγχάνοντα, τοῦτο δὲ ὅτι καὶ τὸ πᾶν τούτῳ τῷ ἀριθμῷ συμπεπλήρωται. διὰ ταῦτα τοιγαροῦν, ὡς τὸ πᾶν εἰληφέναι παρὰ σοῦ δόξας, διὰ τοῦδε τοῦ ἀριθμοῦ φιλοσόφως σεμνύνομαι, καὶ τῷ Πυθαγορείῳ περισκιρτῶ δόγματι ‖ **45** αὐτὸς ἔφα: cf. Diog. Laert. 8,46 ἐφ᾽ οὗ [scil. Pythagorae] καὶ τὸ «Αὐτὸς ἔφα» παροιμιακὸν εἰς τὸν βίον ἦλθεν et Suda s. v. Αὐτὸς ἔφα

33 ψυχῆς suppl. G. Malt | [........] φρονήσεως suppl. Malt: an [μέγεθος] φρονήσ[εως] vel [τὸ βάθος τῆς] φρονήσ[εως] scribendum? ....φρονή...... G [τὸ ὕψος τῆ]ς φρονήσ[εως] prop. Malt (in app. crit.) [ἡ τοῦ πρέποντος (vel μεγέθους)] φρόνησ[ις] prop. Anastasi (in app. crit. in Malt) ‖ **34** ἡ[1] om. G κριτήριον suppl. G suppl. Malt ‖ **35** [......μαρ]τυρίᾳ scripsi: ....ρια G [± 9].ṭυρία Malt ‖ **36** ταῦτα suppl. G suppl. Malt | [ἐν ἀδαμαντίν]αις ὕλαις prop. Malt (in app. crit.): .... ὕλαις G ‖ **37** χαλκοδέτοις suppl. Malt: χ[αλκ]οδέτοις suppl. G | κατισχύ[σειεν .... μὴ ἰ]ὸς scripsi: κατισχυ....... G κατισχύ[± 6]ṿạ Malt κατισχύ[ση πῦρ ἵ]να prop. Malt (in app. crit.) ‖ **38** μὴ B Malt: μὲ G ‖ **39** βραχὺ suppl. G suppl. Malt ‖ **40** [πείθειν] prop. Malt (in app. crit.) ‖ **41** εἰμι suppl. Malt: [εἰμι] G ‖ **42** φιλοσοφώτερος corr. G Malt: φιλοσοφώτατος B ‖ **45** ἀποκρίνοιντο dubitander prop. G (in app. crit.) et Malt (in app. crit.): ἀποκρίνοιτο B Malt | ἔφη G Malt

μενος τίς σε κατέστησεν ἄρχοντα καὶ δικαστὴν ἐφ’ ἡμᾶς, ἢ ποίαν σοφίαν αὐχῶν ἐπὶ τὸν τῆς φιλοσοφίας ἀναβέβηκας θρόνον, ἄλλο μὲν οὐδὲν φθέγξομαι, τὴν σὴν δὲ προενεγκὼν ἐπιδείξω ἐπιστολήν, ὥσπέρ τινα κρίσιν καὶ ψῆφον ἀπαραλόγιστον. 50

Ταῦτα μὲν οὖν οὕτως. Ὁ δὲ νοτάριος τὸ ὅμοιον ἐμοὶ πάσχειν ἔοικε· καὶ αὐτὸς γὰρ τῆς σῆς εὐμενείας τετύχηκε, καὶ τὴν εὐτυχίαν οὐχ οἷός τε ὢν ὑπενεγκεῖν, μέγα πόρρωθεν κέκραγε κατὰ τοὺς κορυβαντιῶντας τὰ ἐξ αὐτοῦ ἐξαγγέλλων πάθη καὶ διηγούμενος, οἵῳ δεσπότῃ παρ’ ἐλπίδας δι’ ἐμοῦ μεσάζοντος προσωμίλησε. 55

Τί οὖν αἰτήσομαι τούτῳ προσθεῖναι τὴν εὔνοιαν; μὴ γὰρ οὐχὶ ποιήσεις τοῦτο, κἂν αὐτὸς σιωπήσωμαι;

175. Τῷ αὐτῷ

Τῷ μητροπολίτῃ Εὐχαΐτων ⟨Ἰωάννῃ⟩

S 183 [P]

Εἰ μὲν ὡς ἀληθῶς τοῖς γράμμασιν ἡμῶν μόνοις προσέχων τὸν νοῦν οὐκ ἀπεστοχάζου τῆς διαθέσεως ἀφ’ ἧς ταῦτα ἐγράφετο, κἂν πολλάκις ἐπὶ τούτοις σχετλιάζῃς, εἰκότως ἂν δόξῃς ποιεῖν. Εἰ δὲ τὸ ἦθος ἡμῶν εἰδὼς εἰρωνεύῃ, ἐφ’ οἷς χαλεπαίνων φαίνῃ, διδάσκεις ἡμᾶς ὅπως ἐπεγκαλεῖν δεῖ τοῖς φίλοις ἐν οἷς οὐ 5 διαμαρτάνουσιν. Ἐγὼ γάρ, ἄριστε πάντων φίλων καὶ φιλοσόφων, οὔτε ἰδιάζων, οὔτε ἐν ταῖς τῶν φίλων συνουσίαις, οὔτε μὴν πρὸς βασιλέα διαλεγόμενος, οὔτ’ ἄλλο τι δρῶν, τῆς σῆς φιλίας καὶ ἀρετῆς ἐπιλέλησμαι· ἀλλὰ κἂν λόγος τοῦ λόγου πρόφασις γένηται, κἂν εἶδος φιλίας, κἂν γλώττης χάρις, κἂν ἦθος ἀστεῖον, 10

48 ἐπὶ – θρόνον: dum Psellus πρόεδρος/ὕπατος τῶν φιλοσόφων erat (1047–); cf. Π 185,44, Π 196,38–45, et Π 498,9–10; cf. etiam 111,134, 280,20 et 47, Π 388,11, et 455,34–35? ‖ **51** ὁ δὲ νοτάριος: Καλλίψυχος (cf. Π 175,53)?

49 φθέγξομαι scripsi: φθέγγομαι B G Malt ‖ **ep. 175** P 234r; tit. P S

κἂν ἀρετῆς ὕψος, αὐτόν σε μόνον οὐχ ὥσπερ ἐκ μηχανῆς (ἵνα μὴ καταπλήττειν δόξω), ἀλλ' εὐφυῶς τε καὶ προσφυῶς ἐπεισάγω τῷ διηγήματι· καὶ λόγους δὲ συντιθεὶς οἷς ἡ πρόφασις πόρρω τοῦ μεμνῆσθαι τῆς σῆς ἀρετῆς, ἀλλ' ὅμως ἐγὼ τὰς ἐννοίας βιάζομαι
15 καὶ τυραννῶν τὸν λόγον ἀπάγω πρός σέ. Τοῦτο δὲ οὐ τέχνης μόνον, ἀλλὰ καὶ γνώμης (αὐτὸς εἰπὲ θαρρούντως) χρηστῆς.

Εἶτα ἐν τούτοις τὰ φιλίας ἀπακριβούμενος καὶ κατορθῶν ὡς οὐκ ἄλλος ὅτι μὴ πρὸς χάριν μηδ' ἵν' ἀκούοι ἐπαινούμενος τοὺς λόγους ποιοῦμαι, ἐν οἷς ἐπιστέλλω πρὸς σὲ ἠλλοίωμαι καὶ
20 ἀντέστραμμαι καὶ τὰ δόξαντά μοι περὶ σοῦ ἀθετῶ; Πολλοῦ γε καὶ δεῖ. Εἶτα ἐρεῖς καὶ τί δή ποτε οὕτως ποιῶ, καὶ τὰς προφάσεις σοι τοῦ ἀλγεῖν δίδωμι, ἐξὸν κατὰ τὰς ἐγκειμένας ἐννοίας γράφειν, ἀλλὰ μὴ τὴν γλῶτταν ἐᾶν φθέγγεσθαι ὅπερ ἂν μὴ διδοῖ ἡ ψυχή; ὅτι ὡς παρόντι σοι διαλέγομαι, καὶ τοῦ οἰκείου ἤθους οὐκ ἐπιλέλη-
25 σμαι.

Οἶδα δὲ ὅτι σε ταῖς τοιαύταις ἀεὶ κατέπληττον χάρισι, νῦν μὲν τὰς ὀφρῦς συνάγων ἐπὶ σέ, νῦν δὲ λόγους πλάττων, οὓς τέως δυσχεραίνων, αὐτίκα ἐπαινεῖν ἔμελλες. Τί οὖν καινόν, εἰ καὶ τὰς ἐπιστολὰς τοῖς διαλόγοις ἀφομοιῶ, καὶ τοιοῦτος κἀν ταύταις
30 φαίνομαι, ὁποῖος κἀν ταῖς κοιναῖς ὁμιλίαις; Ἀλλά σε ἔδει μὴ ἐκπεπλῆχθαι, μηδὲ δοκεῖν ἀλλοιοῦσθαι ἐν οἷς ἡμεῖς τὴν γνώμην οὐκ ἠλλοιώμεθα. Διατί δὲ καὶ τῆς φιλίας τὰς χάριτας οὐκ ἀναιρεῖς, αἳ δὴ τὸ σεμνὸν αὐτῆς μετριάζουσαι, συγκεκραμμένην δεικνύουσι καὶ μουσικῶς ἡρμοσμένην;

35 Ἀλλὰ τί ἔδει με ποιεῖν, ἐφ' οἷς αὐτὸς αὐτόθεν βαρυθυμεῖς καὶ οὐ φέρεις τὰ δρώμενα; σκυθρωπάζειν ἐν ταῖς ἐπιστολαῖς καὶ ἀμειδὲς φθέγγεσθαι; Εἶτα τοῦτο φιλοσόφου ἢ ῥήτορος καιρὸν τῶν πραγμάτων εἰδότος; Αὐτὸ γοῦν τοῦτο ἐποίουν ὅπερ ἡ τῶν λόγων

11 ὥσπερ – μηχανῆς: proverbium; CPG I 210 (nr. 84) et II 12 (nr. 78) et 297 (nr. 41), cf. Psel. Χρονογραφία VI,171, Χρυσόβουλλος = Or. for. 7,65, Λόγος εἰς … Κωνσταντῖνον τὸν Μονομάχον = Or. pan. 1,219 et 280, Ἕτερος λόγος πρὸς … Κωνσταντῖνον τὸν Μονομάχον = Or. pan. 4,405–406, Ἐκ τοῦ περὶ υἱοῦ λόγου, τὸ 'καὶ πολλούς, ὃ φρίττω λέγων, Χριστοὺς ἀνθ' ἑνὸς' ἡ μετὰ θάρσους θερμότης πεποίηκεν = Theol. I 44,44, Εἰς τὸ 'ἢ βούλεται μοῖραν …' = Theol. I 62,102, et Π 166,26, Π 248,11, Π 288,2, Π 319,8, et Π 467,2–3 ‖ **32–33** τῆς φιλίας τὰς χάριτας … αἳ δὴ τὸ σεμνὸν αὐτῆς μετριάζουσαι, συγκεκραμμένην δεικνύουσι: cf. Π 13a,44–45 αἱ τοῦ ἔτους ὧραι ἠρέμα πως μετριάζουσαι, τοῖς σώμασιν εὐκρασίαν διδόασι

ἀπῄτει ὑπόθεσις. Κἀγὼ μὲν ἅπαξ ποτὲ τὴν τοιαύτην χάριν ἐπιδειξάμενος, οὕτως σοι ἐν αἰτίαις εἰμί. Σὺ δὲ καὶ ἐν οἷς αἰτιᾷ 40 αὐτὸ τοῦτο ποιῶν ἐκφεύξῃ τὸ σὸν δικαστήριον; Ἢ βούλει σὲ μὲν οὕτως γράφειν, ἐμὲ δ' οὕτως; τοῦτο δὲ νομοθετοῦντος, ἀλλ' οὐ φιλοσοφοῦντος.

Ἀλλ' ἵνα μὴ πάλιν πλήττειν δόξω, ἐπέχω τὸν λόγον, καὶ ὡς βούλει συντίθημι τὰς ἐπιστολάς. Ἴσθι τοιγαροῦν ὡς σύ μοι μόνος 45 καὶ τῶν ἐν ἐμοὶ λόγων πατὴρ καὶ παιδαγωγὸς εἴ τις ἐν ἡμῖν ἀρετή, καὶ τῶν θειοτέρων μυσταγωγός, καὶ οὐδέν σοι τούτων ἐπιλήσομαι· οὔτε μὴν ἐλάττων δόξω περὶ τὰς ἀμοιβάς, διδοὺς οὐ χρήματα, ἀλλὰ τοὺς ἐμοὺς λόγους, τοὺς μὲν ἀπὸ γλώττης καὶ σὺν εὐροίᾳ, τοὺς δὲ ἐν γράμμασί τε καὶ κατὰ τέχνην. Μόνον ἱλήκοις 50 ἡμῖν, καὶ μεταβάλοις τὴν γνώμην, μετάγων τοῦ ἀπαραιτήτου τε καὶ σφοδροῦ.

Ἡ δὲ καλλίστη ψυχή, ὁ Καλλίψυχος, ἔτι καλλίων ἐφάνη ἡμῖν τὴν σὴν ἐξεικονίζων ψυχήν, καὶ λόγῳ βραχεῖ τὰ κεφάλαια τῶν σῶν συνείρων ἡμῖν ἀρετῶν. 55

176. ⟨Τῷ μητροπολίτῃ Εὐχαΐτων Ἰωάννῃ⟩

K-D 190 [O]

Τῆς σῆς ἄρα τοῦτο σοφίας, σοφὲ τῷ ὄντι καὶ κάλλιστε πάντων ἀνθρώπων καὶ ἐμοὶ θειοτάτη ψυχή, φιλοσοφεῖν μὲν ἄλλοις ἐπιτάττειν (εἴ γε φιλοσοφίας εἶδος τὸ μέγιστον, μὴ ἐφεῖναι τῇ γλώττῃ, μηδὲ τρυφᾶν ἐν λόγοις), ὥσπερ δέ τινα νομοθέτην τῆς τῶν οἰκείων νόμων ἀνάγκης ἀφεῖσθαι, καὶ ἀτεχνῶς ἀπαστράπτειν 5 τοῖς τῶν ἐπιστολῶν κάλλεσιν.

Ἀλλ' οἵ γε σοφοὶ τὴν ἀρχαιοτέραν καὶ πρώτην σοφίαν τὰς κεφαλὰς τῶν σειρῶν (εἴποιμι δ' ἂν αὐτὸς τῶν τάξεων τὰς ἀρχάς)

46 τῶν – πατὴρ: cf. Π 163,26 ὁ τῶν καθ' ἡμᾶς λόγων πατήρ. cf. etiam Psel. Ἐκ τοῦ 'πάλιν Ἰησοῦς ὁ ἐμός', εἰς τὸ 'πατὴρ ὁ πατὴρ ...' = Theol. I 105,56–57 ὥσπερ δήπου φαμὲν καὶ λόγων πατέρας τινὰς καὶ ἐπιστημῶν καὶ παιδεύσεων ‖ **53** Καλλίψυχος: notarius? (cf. Π 174,51) ‖ **2** θειοτάτη ψυχή: cf. Π 173,60

ep. 176 O 197r–198r; tit. scripsi: ⟨Ἰωάννῃ τῷ Εὐχαΐτων⟩ K-D ‖ **8** σειρῶν corr. K-D: σιρῶν O

πρώτας δεῖν ⟨φασιν⟩ διακοσμεῖσθαι τοῖς ἰδιώμασι: τῷ αὐθυπο-
10 στάτῳ, τῷ αὐτοκινήτῳ, καὶ τῷ ὄντι, καὶ τῷ ἑνί. Ἀλλὰ σοὶ μόνῳ
ἄρα τοῦτο οὐ δέδοται, ὡς τῆς πρὸς ἡμᾶς ἀφειμένῳ συγγενείας καὶ
σχέσεως· αὐτίκα γὰρ οἱ ἐκεῖνο φιλοσοφήσαντες, τὴν πρόνοιαν καὶ
τὴν εἱμαρμένην, τὴν μὲν τοῦ κλωστῆρος, τὴν δὲ τῆς οἰκείας
⟨προαιρέσεως⟩, καὶ ὧν διδόασιν, οὐκ ἀναγκάζουσι μετασχεῖν.
15 Τοιοῦτον δὴ καὶ τὸ σόν ἐστιν, ὥσπερ τις νόμος κεφάλαιον ἀνυπό-
θετον· οὐ γὰρ ὥσπερ ὁ Πλατωνικὸς δημιουργὸς πρὸς τὸ παραδει-
γματικὸν αἴτιον ἀφορῶν δημιουργεῖς καὶ πλάττεις ἡμᾶς, ἀλλὰ
πρὸς τὴν οἰκείαν φύσιν ἐπεστραμμένος· ἢ μηδὲ τοῦτο, ἀλλὰ κατὰ
θειοτέραν τινὰ δύναμιν νομοθετεῖς ἡμῖν τὰ κρείττω καὶ ὑψηλότερα.
20 Ἡ μὲν γὰρ ἐπιστροφή, τοῦ νοεροῦ ἰδιώματος, ἡ δὲ ὑπὲρ ἐκείνην

9–10 τῷ – ἑνί: cf. Psel. Εἰς τὸ 'θέλω τὸν πατέρα μείζω εἰπεῖν' = Theol. I 71,71–74 ὥς που δὴ καὶ τῶν Ἑλλήνων οἱ θεολογικώτατοι ἀπὸ μὲν τοῦ ἑνὸς τὸ ὂν ὑποστῆναί φασιν, ἀπὸ δὲ τούτου τὸ αὐθυπόστατον καὶ ἀπὸ τούτου τὸ αὐτοκίνητον καὶ αὖθις τὸ κινητὸν καὶ διαστατόν et Εἰς τὸ 'οὐσία πρᾶγμα αὐθύπαρκτον' = Phil. min. I 7 ‖ **12–14** αὐτίκα – μετασχεῖν: cf. Procl. De prov. et fato? cf. e.g. 13,6–12 πᾶσιν ἐφεστῶσαν νοητοῖς τε καὶ αἰσθητοῖς ὑπερτέραν εἶναι τῆς εἱμαρμένης· καὶ τὰ μὲν ὑπὸ τὴν εἱμαρμένην ὄντα, καὶ ὑπὸ τὴν πρόνοιαν τελεῖν, τὸ μὲν συμπλέκεσθαι παρὰ τῆς εἱμαρμένης ἴσχοντα, τὸ δὲ ἀγαθύνεσθαι παρὰ τῆς προνοίας, ἵνα καὶ ἡ συμπλοκὴ τέλος ἔχῃ τὸ ἀγαθὸν καὶ τῆς εἱμαρμένης ἐφετὸν ᾖ ἡ πρόνοια· τὰ δὲ αὖ ὑπὸ τὴν πρόνοιαν οὐκέτι πάντα δεῖσθαι καὶ τῆς εἱμαρμένης, ἀλλ' ἐξῃρῆσθαι ταύτης τὰ νοητά **16–18** οὐ – ἐπεστραμμένος: cf. Plat. Τίμαιος (e.g. 28a) cum commentariis neoplatonicis; cf. etiam Papaioannou 2013,77–80 cum Psel. Ἐπιτάφιος εἰς … Ἰωάννην τὸν Ξιφιλῖνον = Or. fun. I 3,22,81–90 et Εἰς τὸ ῥητὸν τῆς πρώτης ὁμιλίας τῆς Ἑξαημέρου ... = Theol. I 6,36–38 Πλάτων δὲ ἰδίᾳ παρὰ τοὺς ἄλλους τὰς ἰδέας παρήνεγκε, τὸ παραδειγματικὸν αἴτιον αἰνιττόμενος καί τινα δημιουργὸν δεύτερον μετὰ τὸν πρῶτον θεόν, ὀργάνου δίκην τὰς ὕλας τεκταινόμενον; cf. etiam Π 87,51–62 et Π 230,15–17 ‖ **20** τοῦ – ἰδιώματος: iunctura neoplatonica; cf. e.g. Procl. Περὶ τῆς κατὰ Πλάτωνα θεολογίας I 15,1–3

9 ⟨φασιν⟩ supplevi ‖ **11** συγγενείας corr. K-D: συγκενείας O ‖ **13** post οἰκείας lacunam prop. K-D; προαιρέσεως dubitanter addidi (cf. Π 200,42–43 ὥστε καὶ προνοίας ἀπηωρῆσθαι ἡμᾶς, καὶ ἀνάγκης, καὶ προαιρέσεως)

τάξις, τῆς ἀκαμάτου δυνάμεως. Οὕτω σοι πάντα σοφίας μεστά, τῆς τε ἀρρήτου καὶ ὅση πρὸς ἡμᾶς ἐφήκει καὶ συγγενής πώς ἐστι διὰ τὴν τῆς φύσεως ἐπιτηδειότητα.

Εἰ δὲ σὺ μὲν ἴσως ἀτρεμεῖς τὰ πολλά, οὐρανοῦ οἷον ὑπερκαθήμενος, ἡμεῖς δὲ τὰ νέφη συρρήγνυμεν καὶ βροντῶμεν τοῖς ῥήμασιν, 25 οὐ μᾶλλον ἡμεῖς παρὰ τὸν ἦχον θαυμάσιοι, ἢ σὺ παρὰ τὴν ἡσυχίαν τῆς φύσεως ὑπερφυής. Οὕτω νῦν καὶ ὁ ποιητὴς τῷ μὲν Ὀλύμπῳ τὰς τῆς γενέσεως ἀποκληροῖ συστροφάς, οὗ δὲ τοῖς ἐκείνου θεοῖς ἔθος αὐλίζεσθαι, κεραυνῶν ἐκεῖνον τὸν τόπον ἐλευθερῶν καὶ βροντῶν. Μὴ τοίνυν δι᾽ ἡμᾶς τοῦ αἰθέρος σεαυτὸν καταβίβαζε· 30 ἀλλὰ πρὸς τὸ σὸν ὕψος τοὺς χαμαιπετεῖς ἄναγε. Μὴ συγκλῶ ταῖς ἡμετέραις στροφαῖς, ἀλλ᾽ ἀδιαστρόφους ἡμᾶς τῇ σῇ εὐθύτητι ἐργαζόμενος.

Ἀλλὰ ταῦτα μὲν περιττά, καὶ ἐκ περιττοῦ, καὶ πέπαικται μᾶλλον ἢ ἐσπούδασται· νὴ τὴν σὴν ἁγίαν ψυχήν! ἐξεπίτηδες τῇ 35 ἐπιστολῇ εἰσενήνεκται, ἀφοσιοῦντί μοι τῇ σῇ ψυχῇ μετρίως τὰ σὰ

21 τῆς – δυνάμεως: cf. Π 459,28–29 et etiam Psel. Λόγος εἰς τὴν σταύρωσιν = Or. hag. 3a,89–90 ὥσπερ ὑπό τινος κινηθεῖσα ἀκαμάτου δυνάμεως et Psel. Ἑρμηνεία περὶ τῶν εἰκοσιτεσσάρων στοιχείων ... πρὸς ... Ἰωάννην τὸν λιβελλίσιον = Phil. min. I 36,356–358 ἀέναον οὐσίαν ἐν ἑαυτῇ κατὰ δύναμιν ἄπειρον καὶ νοεῖν ἄρξῃ ὑπόστασιν ἀκάματον, ἄτρυτον, οὐδαμῇ μὲν ἐλλείπουσαν, ὑπερζέουσαν δὲ τῇ ζωῇ τῇ ἀκραιφνεστάτῃ καὶ πλήρη ἀφ᾽ ἑαυτῆς cum Porph. Ἀφορμαὶ πρὸς τὰ νοητά 40 (47,9–48,7) ‖ **29–30** κεραυνῶν – βροντῶν: cf. Hom. Il. 8,455–456 οὐκ ἂν ἐφ᾽ ὑμετέρων ὀχέων πληγέντε κεραυνῷ / ἂψ ἐς Ὄλυμπον ἵκεσθον, ἵν᾽ ἀθανάτων ἕδος ἐστίν? ‖ **36–37** τὰ – παιδικά: cf. Plat. Γοργίας 482a1–4 εἰ μή τις παύσει τὰ σὰ παιδικὰ τούτων τῶν λόγων … ἀλλὰ τὴν φιλοσοφίαν, τὰ ἐμὰ παιδικά et Synes. Cyren. Epist. 138,14–16 ἐπειδὴ γράφειν δύναμαι, θαμὰ τοῦτο ποιῶ … καὶ ἀπολαύω τῶν ἐμῶν παιδικῶν. cf. Psel. Εἴς τινα κάπηλον γενόμενον νομικόν = Or. min. 14,147 ἵνα μὴ περιττὸς δόξω τὰ σὰ παιδικὰ ὑφαρπάζων, Π 76,36 τὰ σὰ παιδικά, Π 105,17–18 τοιαῦτα τὰ ἐμὰ παιδικά, Π 112,84–85 τῶν ἐμῶν παιδικῶν (τοὺς λόγους φημί), Π 113,105–106 τὴν ἐμὴν πάλαι γλῶτταν … τῶν ἐμῶν … παιδικῶν, Π 117,21–22 τὴν ἐμὴν ἐνδείξαιμι γλῶτταν, καὶ ἢ λέξιν ἀποσμιλεύσω, ἢ συναρμόσω περίοδον, ἢ σχεδιάσω ῥητορικὴν μέθοδον, τὰ ἐμὰ παιδικά, Π 131,47–48 ἵν᾽ ἔχω σκῶψαί σε καὶ προσπαῖξαί σοι, καὶ καλὴν δοῦναι ἐπιστολήν, τὰ σὰ παιδικά, et Π 223,11–13 ἀπόλαυε τῶν σῶν· εἰ

28 οὗ δὲ corr. K-D: οὐδὲ O ‖ **32** ἀλλ᾽ ἀδιαστρόφους corr. K-D: ἀλλὰ διαστρόφους O

παιδικά. Τὰ δ' οὖν ἀναγκαῖα καὶ ὅσα τῆς ἐμφύτου πηγῆς· Ποῦ ποτε αὐλίζῃ, ἡ ἀξία τοῦ παραδείσου ψυχή; Ποῖαί σε χάριτες τέρπουσι; Ποῖαι τρυφαὶ λογικαί τε καὶ νοεραί; Πῶς ἔχεις ἀποτε-
40 τμημένος ἡμῶν; Εἰ δὲ τὰ ἶσα καὶ παρ' ἡμῶν ἀπαιτεῖς, περὶ μὲν τῶν ἄλλων, οὐδὲν εἰδότι σοι λέξω. Τὸ δὲ μετὰ σέ, ἢ πόρρω σοῦ, τοιοῦτον ἐμοί, ὁποῖον ἐν ᾅδου Ἕλληνες τὰ τῶν καμνόντων τιθέασιν εἴδωλα· εἰ γὰρ καὶ πολλὰ τὰ ἐνταῦθα, πρὸς παραμυθίαν ἀρκοῦντα πολλοῖς, ἀλλ' ἐμοὶ εἴ τις ἀφέλοι τὴν παρὰ σοὶ ἀναψυχὴν
45 ἢ μᾶλλον ἀναπνοήν, περιττὰ τἄλλα καὶ οὐκ εὐδοκητὰ πρὸς τὴν ζωήν. Εἰ δὲ καὶ Ἰταλός τις ἦν, ἢ Βρεττανός, εἶτα ᾤκουν παρὰ πολλοῖς ἑτέροις ἑτερογλώσσοις, οὐκ ἂν τῶν πολλῶν ἐκείνων ἕνα ἀντηλλαξάμην ὁμογενῆ; Ἐμοὶ δὲ Ἕλληνι τὴν γλῶσσαν ὄντι, καὶ μέχρι τούτου, τίς ἂν ἡδίων ἄλλος, ἢ ὁ μέγας Εὐχαΐτων Ἕλλην (εἰ
50 μηδὲ τοῦτο ἀπαξιοῖ), Ἕλλην ὄντως ἀνήρ. Εἰ δὲ καὶ τὸ ἐνταῦθα Πανελλήνιον ὥσπερ θέατρον, ἀλλ' οὐ Παναθηναϊκὴ ἡ ὁμήγυρις, οὐδὲ Ἀττικὸν τὸ συνέδριον· ἐμοὶ δὲ ἀρκεῖς αὐτὸς ὁ Πλάτων ἀντὶ πολλῶν. Καὶ βούλομαί τι καὶ πλέον ἐρεῖν, ἀλλ' οὐ πάνυ θαρρῶ ὅτι μου μὴ προσίεσαι τὰς ὑπερβολάς, ἀλλ' ὑπερβάλλων αὐτὸς ἐν τοῖς
55 πρὸς ἐμὲ φίλτροις, ἐμὲ κατέχεις ἐν μέτροις, καὶ οὐκ ἐᾷς ὑπεράλλεσθαι.

Ἀλλ' ὅ τί σοι τῇ παρ' ἡμῶν γλώττῃ ἐλλέλειπται, πολλαπλάσιον ἀποδοίη θεός, εἴτε ἀλγοῦσι συνήλγησας εἴτε νοσούντων αὐτὸς τὸ πλέον εἶχες τοῦ πάθους καὶ τοῦ συμπτώματος· οὐδενός σοι γὰρ
60 ἐπιλέλησμαι, ἴστω θεός. Εἰ δ' ἀντὶ πάντων ἐκείνων ἡ παρ' ἡμῶν ἀρκεῖ σοι γλῶσσα, καὶ ὁ λόγος αὐτάρκης ἀντίδοσις, οὔ σοι φεισόμεθα τῆς ἀμοιβαίας ταύτης καὶ πολυτίμου σοι χάριτος.

μὲν βούλει, τῶν ἀρχαίων παιδικῶν, ὧν δὴ τὰς ἀρχὰς παρὰ τῆς ἐμῆς γλώττης εἰλήφεις· εἰ δ' οὖν, τῶν νέων τρυφῶν

42–43 τὰ – εἴδωλα: Hom. Il. 23,72 ψυχαὶ εἴδωλα καμόντων (cf. Od. 11,476 et 24,14) ‖ **46–50** εἰ δὲ – ἀνήρ: cf. Π 65,9–14 ὥσπερ ἂν εἴ τις Ἕλλην ἀνὴρ ἐν Βρεττανοῖς ὑπερόριος γένοιτο, ἔπειτα διὰ χρόνου πολλοῦ ἐντύχοι τινὶ Ἀττικῷ καὶ τὴν ψυχὴν καὶ τὴν γλῶτταν, καὶ ἐπιθυμοίη πρὸς ἐκεῖνον Ἑλληνιστὶ φθέγγεσθαι· τὰ γὰρ ἐνταῦθα οὐδὲν ἀπέοικεν Βρεττανῶν· ὀλίγοι γὰρ οἱ ἑλληνίζοντες, καὶ οὐδὲ οὗτοι ὀρθοεπεῖν δεδύνηνται ἀκριβῶς

45 εὐδοκητὰ corr. K-D: ἀδόκητα O ‖ **46** ᾤκουν corr. K-D: ὤκνουν O
51 Πανελλήνιον corr. K-D: παρελλήνιον O

Ὁ δέ γε Μύρων οὔπω σοι τὰς ἐπιστολὰς (ὥς φησι) βιβλίον πεποίηται, ποιεῖ δὲ ταύτας ἐπινυκτίους λανθάνων ἐμέ· καὶ παρ' ὀλίγας τῶν διφθερῶν τὸ ἐντεῦθεν πυκτίον ἐστί. 65

XL. Μαχητάριος
δρουγγάριος τῆς βίγλης

177. Τῷ δρουγγαρίῳ τῆς βίγλης τῷ Μαχηταρίῳ
ca. a. 1057 (cf. l. 4 τὴν προεδρίαν)

S 108 [P]

Οὕτως ὁ συνετώτατος, οὕτως ὁ φίλτατος ἐμοὶ Μαχητάριος; Οὕτως ὁ κανὼν παντὸς λόγου καὶ τάξεως, καὶ ταῦτα κατὰ φιλοσόφου; Ἀλλὰ δεῖ με καὶ πλείονα ἀριθμήσασθαι ἵνα γνῷς οἷος εἰμὶ καὶ μὴ δυσχεραίνῃς τὴν προεδρίαν κατὰ τοῦ πᾶν

63 ὁ δέ γε Μύρων: cf. Oikonomidès 1960,65 ‖ **XL** de familiae Machetarii cf. Seibt II,36–38 [nr. 10]; cf. etiam Kolovou 2012 ‖ **4** τὴν προεδρίαν: cf. Π 1,32, Π 277,5, Π 368,2, et Π 488,43 ‖ **4–9** κατὰ – πάντων: cf. Psel. Ἐπιτάφιος εἰς τὴν ἑαυτοῦ μητέρα 1685–1931, Χρονογραφία VI,36–40, Π 111,47–54 ἐντεῦθεν καὶ φιλοσοφίας ἅττα ἐξέμαθον, καὶ τὴν γλῶτταν ταῖς σοφιστικαῖς τέχναις ἐκάθηρα, καὶ γεωμετρίαν τοῖς ἐφ' ἡμῖν συμπεπόρισμαι, πρῶτος ἐπιβαλών, καὶ μουσικῆς λόγους ἐξεύρηκα, καὶ τῶν περὶ τὴν σφαῖραν κινήσεων οὐκ ὀλίγα διωρθωσάμην, καὶ τῶν ἡμετέρων λόγων τὴν ἐπιστήμην ἀκριβεστέραν ἐποιησάμην, καὶ θεολογίας ἐξεθέμην διδάγματα, καὶ τὸ τῆς ἀλληγορίας βάθος ἀνέπτυξα, καὶ πᾶσαν (ἀλλά με φθόνου μὴ βάλοι βέλος!) ἐπιστήμην ἠκρίβωσα, et Π 284,27–40 οἱ τὴν Πόλιν τοῖς λόγοις κοσμήσαντες· οἱ τὴν τῆς παιδεύσεως φήμην τοῖς τῆς οἰκουμένης πέρασι παραπέμψαντες· οἱ μηδ' ὁτιοῦν εἶδος παραλελοιπότες ἀσκήσεως· οἱ τῇ φύσει μόνῃ διδασκάλῳ πρὸς πᾶσαν χρησάμενοι μάθησιν· οἱ τὰ γένη τῶν φιλοσοφιῶν μόνοι τῶν πάντων (λεγέσθω γὰρ καὶ τιτρωσκέσθωσαν οἱ βασκαίνοντες) ἀκριβώσαντες, τὰ τῶν Ἑλλήνων, τὰ τῶν Χαλδαίων, τὰ τῶν Αἰγυπτίων, τὰ τῶν Ἑβραίων· οἱ τὰς ἱερὰς βίβλους φιλοσόφως καὶ μετ' ἐπιστασίας ἐξηγησάμενοι κρείττονος· οἱ τὰς τέχνας καταστησάμενοι, καὶ τὰς μεθόδους λεπτύναντες· οἱ μηδὲν τῆς Ἰταλῶν σοφίας ἀπολειπόμενοι, μηδὲ τῆς τῶν πραγμάτων τύρβης ἣν

63 βιβλίον scripsi: uï (abbr.) O … K-D ‖ **ep. 177** P 213r, B 112v (non legitur; text. mut.); tit. P S: πρὸς δρουγγάριον τῆς in marg. post. manu B

5 ἀνεγνωκότος μάθημα καὶ ὑπὲρ πάντας ἀνθρώπους ταλαιπωρήσαντος, φημὶ δὴ ῥητορικήν, γεωμετρίαν, μουσικήν, ῥυθμικήν, ἀριθμητικήν, σφαιρικήν, νομικήν (κἂν Ἕλληνες ἀπαρέσκωνται), ἱερατικήν, θεολογικήν, ὅσα ἔγνωσται, ὅσα οὐκ ἔγνωσται, ὅσα μηδεὶς τῶν πάντων;

10 Εἶτα ἐπειδή τινος βιωτικοῦ καὶ φλυάρου τετυχήκαμεν ἀγαθοῦ, δυσχεραίνεις, καὶ τὰ ἄνω κάτω ποιεῖς, καὶ ταῦτα κατὰ πρόσωπον ἐπιδεικνύμενος τὴν δυσχέρειαν καὶ βαρυνόμενος; Ἡ δὲ αἰδὼς ποῦ, κάλλιστε ἀνθρώπων; ἡ δὲ φιλία; ἡ δὲ χάρις; οἴχεται πάντα; ἀπολώλεκε; διέφθαρται;

15 Ἀλλὰ δῶμεν ἐστερημένον με τυγχάνειν πάσης ἀρετῆς καὶ φρονήσεως· ἀλλ' ὁ τῆς τύχης τροχὸς [ca. 10 litt. καὶ?] ἡ διοικοῦσα τὰ πάντα θεία πρόνοια ἀνήνεγκεν ἔνθα ἐβούλετο. Συνταράξεις οὖν πάντα καὶ θορυβήσεις καὶ θεοῦ ἴσως ἀντιτάξῃ βουλήσεσι, φίλτατέ μοι Μαχητάριε; Οὕτως ἐμοῦ μόνου καταπεφρόνηκας; Καὶ μόνος 20 σοι παρὰ πάντας ἐγὼ ἄτιμος καὶ ἐφύβριστος; Ὢ τῆς συμφορᾶς, ὅτι ᾧ ἡ σύμπασα οἰκουμένη τοῦ πρωτείου παραχωρεῖ, μόνον ὁ φρονιμώτατος Μαχητάριος παρὰ πάντας τοὺς ὑπὲρ αὐτὸν τετιμημένους ἐβαρύνθη καὶ ἐδυσχέρανεν!

Ἐγὼ δὲ (μὰ τὴν ἀγαθήν σου ψυχήν!) χρονογραφίαν συντάτ-25 των καὶ μεμνημένος γενναίων ἀνδρῶν, ἐν τοῖς πρώτοις σε τέθεικα, ὡς μεγαλόφρονα, ὡς ὑψηλόνουν, ὡς πεπαρρησιασμένον, ὡς φίλον ἐμοί. Ἀλλὰ νῦν τί ποιήσω; Γράψω τὰ ἐναντία; Οὐ (μὰ τὴν φιλίαν

ἐπιστήμην οἱ πολλοί φασιν· οἱ τὸ σχεδιάζειν ἀνανεωσάμενοι, καὶ πρᾶγμα πάντῃ τὸν αἰῶνα ἐκλελοιπὸς τῷ βίῳ καινοτομήσαντες· οἱ διδάσκαλοι μόνοι τῶν πάντων ἐπιγραφόμενοι

8–9 ὅσα[1] – ἔγνωσται: cf. Mich. Glyc. Τῷ τιμιωτάτῳ μοναχῷ κυρῷ Ἡσαΐᾳ = Quaestiones in sacram scripturam 65 (194,16–17) ὅσα τε ἔγνωσται καὶ ὅσα οὐκ ἔγνωσται ‖ **11** τὰ – κάτω: proverbium, CPG II 61 (nr. 61) cum Karath. 92; cf. Psel. Πρὸς τοὺς βασκαίνοντας αὐτῷ = Or. min. 10,42, Περὶ τῆς χρυσῆς ἁλύσεως = Phil. min. I 46,98–99, et Π 369,60 ‖ **16** ἀλλ' – τροχὸς: cf. proverbium τροχὸς τὰ ἀνθρώπινα CPG I 458 (nr. 100) et II (nr. 16)

14–15 post διέφθαρται et ante ἀλλὰ: hic B textum auctiorem quem autem detegere nequi ‖ **16** ἀλλ' – τύχης B: ὁ δέ με τοῦ βίου P S ‖ **16–17** τροχὸς – πρόνοια B: τροχὸς P S ‖ **17** συνταράξεις P S: συνταράξας B ‖ **21** μόνον B: τοῦτον P S ‖ **25** τέθεικα P S: τέθηκα B

ἡμῶν!), κἂν πλέον ὑβρίσῃς, κἂν τύψῃς, κἂν ἄλλο τι ποιήσῃς τῶν δεινοτέρων.

Ἀλλ' εἰ βούλει, καὶ τὰς ἐμὰς χεῖρας δεσμήσω σοι· καὶ προσκυνήσω δουλικὸν καὶ βαθύ. Μόνον, ἀδελφέ, μὴ δυσχέραινε ἐφ' οἷς με τετίμηκεν ὁ μέγας Ἰσαάκιος καὶ πάντων βασιλέων ὑπέρτερος. 30

XLI. ⟨Μιχαήλ (?)⟩
βέστης

178. ⟨Μιχαήλ (?), τῷ βέστῃ⟩
cf. Π 464,6 κῦρ Μιχαὴλ ὁ ποτὲ βέστης et epistolarum Π 178 et Π 464 ordinem in P

S 98 [P], H-M 63–64 [P]

Μὴ ὑπολάβῃς, χρυσέ μου βέστα, ὅτι παρόντα μὲν ἠγάπων καὶ πάντα τρόπον σοι συνηγωνιζόμην, ἀπόντος δὲ κατωλιγώρησα.

Μᾶλλον μὲν οὖν καὶ προστέθεικα τῇ πρὸς σέ μου φιλίᾳ. Ἀλλὰ νῦν πᾶσα φίλου παρρησία ἰσχνόφωνός πως τοῖς φιλουμένοις δοκεῖ διὰ τὴν πολλὴν τῶν πραγμάτων (ἵν' οὕτως εἴπω) ἀκρίβειαν, καὶ 5 τὴν τοῦ φιλανθρώπου βασιλέως ἡμῶν περὶ πάντα σύνεσιν καὶ ὀξύτητα. Πλὴν ἡμεῖς τὸ ἡμέτερον ποιεῖν οὐκ ὀκνοῦμεν. Καὶ οἶμαι ὡς κατὰ τὸν ἐνεστῶτα καιρὸν ἕξεις τὸ τέλος τῆς ἐπιθυμίας σου, καὶ θεάσῃ καὶ τὴν βασιλεύουσαν καὶ τὸν βασιλεύοντα.

Περὶ δὲ τοῦ τὸ γράμμα ἐπιδόντος σοι εὐγνώμονος δούλου σου 10 καὶ νοταρίου, καὶ αὖθις ἀξιοῦμεν συγχωρῆσαι τούτῳ τὴν εἰς τὴν Πόλιν ὁδόν· ἡ γάρ τοι μήτηρ αὐτοῦ πολλάκις μὲν ἀπέθανεν (ἵν' οὕτως εἴπω), τοσαυτάκις δὲ ἀνέζησε δι' αὐτόν· ἐπιθυμεῖ γοῦν ὁμοῦ

32 ὁ – Ἰσαάκιος: Isaacius Comnenus (imperator: 1.IX.1057 – 22.XI.1059) (Π XXXII) ‖ **6** τὴν – ἡμῶν: Constantinus X Ducas (imperator: 23/24.XI.1059 – 22/23.V.1067) (Π XVIII)

28–31 ὑβρίσῃς – δυσχέραινε P S: ὑβρίσῃς μὴ δυσχέραινε B ‖ **32** βασιλέων βασι- des. B? et infra alt. manu ζήτει εἰς τὸ τέλος [ca. 8 litt.] καὶ ἐπιστολὴν τοῦ(?) πατριάρχου(?) ὁπότε ἐγένετο πρόεδρος τῆς πέ[?....] in marg. B
ep. 178 P 211v; tit. dubitanter scripsi (vid. ordinem epistolarum Π 178 et Π 464 in P): ⟨τῷ βέστῃ⟩ S ⟨ad Basilium Malesen⟩ H-M

τε τοῦτον ἰδεῖν καὶ ἀποθανεῖν. Πλὴν εἴ σοι ἄλλως δοκεῖ, γενηθήτω
15 τὸ θέλημά σου καὶ κρατείτω τὸ δόξαν σοι. Ἴσθι δὲ ὡς οὐκ
ἐπαύσατο ὁ τοιοῦτος νοτάριος γράμματα πρός με πέμπων, τὴν
σὴν φιλάγαθον γνώμην διακηρύττοντα καὶ μεγαλύνοντα τὸ πρὸς
αὐτόν σου ἔλεος καὶ τὴν συμπάθειαν. Διὰ ταῦτα πρόσθες ἐπὶ τῇ εἰς
αὐτόν σου διαθέσει, ἵν' ἐπὶ πλέον τοῦτον ποιήσῃς εὐγνωμονέστε-
20 ρον.

XLII. ⟨Μιχαήλ⟩

κριτὴς τῶν Κιβυρραιωτῶν
cf. infra Π LXXXI

179. Τῷ κριτῇ τῶν Κιβυρραιωτῶν ⟨Μιχαήλ⟩

S 66 [P]

Μὴ παρ' ἐμοῦ τὰ περὶ σοῦ διδασκέσθω ἡ περίβλεπτος ἐνδοξότης
σου, ἀλλὰ παρὰ τῶν ἀκροασαμένων ταῦτα, εἰπεῖν δὲ καὶ
αὐτοπτησάντων τὸ ἀκριβὲς αὐτῶν ἀναμάνθανε. Καὶ καινὸν οὐδέν,
εἰ φίλον ὁμολογήσας σε καὶ συγγενῆ, τὰ προήκοντα τοῖς τοιούτοις
5 ὀνόμασι διαπράττομαι. Πλὴν ἀλλ' ἐν μέρει καὶ θαύμασον τὴν
ἐμὴν γνώμην καὶ διάθεσιν, ὅτι οὐ πρόσκαιρός εἰμι φίλος, οὐδὲ
τάχιον μεταβάλλομαι ὥσπερ τινὲς εἰώθασιν, ἀλλὰ τὴν αὐτὴν ἀεὶ
στάθμην τῆς ἀγάπης τηρῶ ἀμετάθετόν τε καὶ ἀπαρέγκλιτον ὡς
αὐτὰ δεικνύει τὰ πράγματα. Σὺ δὲ εἰ μὲν βούλει, ὁμολόγει μοι
10 τὰς χάριτας. Εἰ δ' οὖν, εὖ πράττε· καὶ ἔντειναι καὶ κατευοδοῦ.
Ἐμοὶ δὲ ἀπόχρη εἰς ἀντίδοσιν σπουδῆς, ἡ τοῦ φιλτάτου Μιχαὴλ
εὐημερία καὶ εὐδοκίμησις. Μετατεθεὶς δὲ μὴ ἀπογνῷς τὴν εἰς τὴν
Πόλιν εἰσέλευσιν· ταχὺ γάρ σοι (εὖ ἴσθι) καὶ τοῦτο γενήσεται. Τὸ
γοῦν παρόν, καὶ τοῖς Κιβυρραιώταις δεῖξον τὴν σὴν
15 μεγαλοπρέπειαν καὶ τὴν περὶ τὰς δίκας εὐθύτητα.

14–15 γενηθήτω – σου: cf. Mt. 6,10 et 26,42

ep. 179 P 204r; tit. scripsi: τῷ κριτῇ τῶν Κιβυρραιωτῶν P S

Ὁ δὲ παρὼν οὗτος νοτάριος, εἰσελθὼν ἐν τῇ Πόλει, ἑαυτῷ μὲν ἴσως οὐκ εὖ ἐβουλεύσατο, κῆρυξ δὲ τῶν σῶν ἀρετῶν ἐγένετο· κῆρυξ, οὐκ ἐν ταμιείοις φθεγγόμενος, οὐδ' ἐν στενωποῖς, ἀλλὰ πληθούσης ἀγορᾶς, καὶ ἐν μέσοις δήμοις καὶ πλήθεσι μεγαλοφώνως τὰς σὰς εὐφημμῶν πράξεις. Θαρρούντως οὖν αὖθις ἐξῆλθε πρὸς 20 σέ, ὅν καὶ λιπὼν οὐκ ἀφῆκε. Τεθάρρηκε δέ, τοῖς τε ἄλλοις, καὶ τῇ ἐμῇ πρὸς σὲ ἰσχύϊ· φίλος μὲν γάρ σου εἰμί, ἀλλ' ἴσως αἰδεσιμώτερος καὶ πολλὰς ἔχων τοῦ κρατεῖν ἀφορμάς· ὅπερ δὴ καὶ αὐτὸς μετὰ πάντων ὁμολογεῖς.

Εὐμενέστερον οὖν τὸν ἄνδρα ὑπόδεξαι καὶ οἰκειότερον πρὸς 25 αὐτὸν διατέθεισο· καὶ ἀφορμὰς αὐτῷ μετρίων κερδῶν ἐπινόησον, ἅμα τε αὐτῷ ἀποδιδοὺς εὐφημιῶν ὀφλήματα, καὶ ἐμοὶ φιλίας, οὕτω πρὸς σὲ πολλῆς, καὶ ὁμολογίας καὶ χάριτας.

Τὸ δὲ ἀποσταλὲν βορδώνιον μέχρι χρώματος καὶ ὀνόματος. Πρὸς σὲ οὖν ἡ ἀποστροφὴ τούτου· καὶ σὺ αὐτοῦ ἄρξεις· καὶ οὐδέν 30 σοι πλέον προστίθημι.

180. Τῷ αὐτῷ

Τῷ κριτῇ τῶν Κιβυρραιωτῶν ⟨Μιχαήλ⟩

S 67 [P]

Ὁ θαυμασιώτατος οὗτος Ἰωάννης κόσμος σοί ἐστι καὶ συνὼν καὶ

16 ὁ – νοτάριος: Ioannes de eodem ipso de quo dicitur in epistulas Π 180,1 et Π 468,2? et ad quem Π 98 (cf. Weiss 1973,211)? ‖ **19** πληθούσης ἀγορᾶς: iunctura saepissime laudata; cf. Xen. Κύρου Ἀνάβασις 1,8,1 et 2,1,7 cum e.g. Greg. Naz. Πρὸς Ἀρειανοὺς, καὶ εἰς ἑαυτόν = Or. 33,6. cf. Psel. Ἐπιτάφιος εἰς τὴν ἑαυτοῦ μητέρα 702–703, Κατηγορία τοῦ ἀρχιερέως = Or. for. 1,2318–2319 et Βίος καὶ πολιτεία ... Αὐξεντίου ... = Or. hag. 1a,723 et 1c,576, et Π 202,184–185 et Π 251,39–40 ‖ **1** Ἰωάννης: de eodem ipso de quo dicitur in epistulas Π 179,16 et Π 468,2? et ad quem Π 98 (cf. Weiss 1973,211)?

21–24 ὅν – ὁμολογεῖς in marg. add. P ‖ **ep. 180** P 204r; tit. P S

ἀπὼν (ναὶ νὴ τὴν τριπόθητόν σου κεφαλήν!). Λέγω δὲ ταῦτα οὐ συστῆσαι τοῦτον πρὸς σὲ βουλόμενος, ἀλλὰ τὸ ἀληθὲς εἰπεῖν. Ὅτι μὲν γὰρ καὶ αὐτὸς συνετώτατος ἄνθρωπος εἶ καὶ πρὸς πᾶσαν
5 πρᾶξιν ἐπιτηδειότατός τε καὶ προσφυέστατος, καὶ αὐτὸς οἶδα καὶ τοὺς ἄλλους διδάσκω ὅσοι τυγχάνουσιν ἀγνοοῦντες. Πλὴν οὐ τοσοῦτος καὶ τοιοῦτος εἶ ὁπόσον καὶ οἷον αὐτός σε κηρύττει μετ' εὐφραδοῦς γλώττης καὶ πεπαρρησιασμένης.

Ἀλλὰ σὺ μὲν ὄναιο τῆς γλώττης αὐτοῦ· αὐτὸς δὲ τῆς σῆς
10 διαθέσεως ὄναιτο. Οὐκ οἶδα δέ, εἰ ὥσπερ τὰ σὰ μεγαλύνειν οἶδεν, οὕτω δὴ καὶ τὰ ἐμὰ ὑψηλολογήσει πρὸς σὲ διηγούμενος, ἵν' (εἰ μή τι ἄλλο) τοῦτό με γνώσῃ φίλον ἀληθινόν, οὐ μεταπίπτοντα τοῖς καιροῖς, οὐδὲ πρὸς τὰς φιλίας ὧν ὡμολόγησα φίλων μεταβαλλόμενον. Ἀλλ' ἐγὼ οὐκ ἂν αὐτοῦ δεηθείην ἵνα τι τῶν ἔξω προσθήσει,
15 ἀλλ' ὅπως ἂν τὰ πεφυκότα διακριβώσῃ σοι. Καὶ πλέον οὐδὲν ἐρῶ, ἵνα μή σοι ἀλαζὼν καὶ μεγαλήγορος φανείην.

Τὸ δὲ βορδώνιον, εὔχρουν μὲν ἄλλως, εἴποις δ' ἂν αὐτὸς ἴσως καὶ τρυφερόν· τῷ δ' ἐμῷ μεγέθει ἀσύμμετρον. Τοῦτο τοίνυν, εἰ μὲν βούλει, αὐτὸς ἔχε· εἰ δὲ μή, ἑτέρῳ πάρεχε δῶρον. Ἐμοὶ δὲ εἴτε
20 βορδώνιον ἀποστεῖλαι θελήσεις, εἴτε μουλάριον, οὐ γὰρ διαφέρομαι· ὅτε τὴν ἐπιλογὴν ποιεῖς καὶ τὴν σύγκρισιν, ἀναλογίζου καὶ τὸ τοῦ ἐμοῦ σώματος μέγεθος· οὕτως γὰρ ἂν καὶ ἡ ἀποστολὴ κατὰ λόγους γενήσεται.

2 νὴ – κεφαλήν: Synes. Cyren. Epist. 79,8 νὴ τὴν ἱεράν σου καὶ τριπόθητον κεφαλήν et 86,1–2 πρὸς τὴν ἱεράν σου καὶ τριπόθητον κεφαλήν. cf. Π 42,20, Π 64,1, Π 65,21–22, Π 68,36, Π 122,1, Π 183,14–15, Π 193,15–16, Π 198,5–6, Π 211,56–57, Π 494,2–3. cf. etiam Psel. Ἐγκωμιαστικὸς εἰς … Μιχαὴλ τὸν Κηρουλλάριον = Or. fun. I 1,61,30, Περὶ τῶν ἰδεῶν ἃς ὁ Πλάτων λέγει = Phil. min. II 33 (111,24–25), Π 284,9–10 et Π 394,19–20

20 βορδώνιον scripsi: βορδν´ abbr. P βορδόνα S

XLIII. Μιχαήλ

πατρίκιος

181. Μιχαὴλ πατρικίῳ

Pselli?

K-D 20 [K]

Ἐγὼ μὲν ὡς ἐκέλευσας, ὡς ἤτησας, ὡς προσέταξας, τὸ τοῦ σοφοῦ διδασκάλου τοῦ ἡμετέρου, τοῦ λογίου καὶ μεγάλου ῥήτορος, ἐξηγητικὸν ταῖς στάσεσι πόνημα, ἢ καὶ ὑπόμνημα, εὖ βίβλοις τισὶν ἐγκεχαραγμένον καὶ συντεθειμένον τῷ μεγαλοφυεστάτῳ καὶ περιδόξῳ κυρίῳ μου πέπομφα, οἷα παῖς οἰκέτης δεσπότῃ πεισθείς· 5 οὕτω γάρ με καὶ νοεῖν καὶ λέγειν καὶ διακεῖσθαι πρὸς σὲ ἡ περὶ σέ μου φιλία καὶ εἰλικρινὴς ἀγάπη, καὶ διδάσκει καὶ πείθει.

Σὺ δὲ ἀλλ' «ὑπτίαις» (ὃ δὴ λέγεται) καὶ ἡπλωμέναις τοῦτο «χερσὶ» δεξάμενος, εἴτουν πάσῃ περιχαρείᾳ καὶ προθυμίᾳ, καὶ τὸ ἐν αὐτῷ εὔχρηστον λογισάμενος, μὴ ὥσπερ τι σκεῦος ἄχρηστον 10 καὶ κενὸν ὑπὸ τῇ κλίνῃ ἀφήσεις· ἀλλ' ἐπιστήσας τοῖς γεγραμμένοις τὸν νοῦν, διέξιθι ἐπιμελῶς, καὶ ἐμπόνως ἀνάγνωθι, καὶ προθύμως δίελθε. Κἂν εἴ τι καὶ προσπταίσῃς τούτοις, ἢ καὶ προσκόψῃς, ἔχεις ὃς ἐπιλύσει τὸ ζητούμενον, ὃς σαφηνίσει τὸ ἀσαφές, ὃς ἐξομαλίσει τὸ τραχύ, ὃς τὸ γρῖφον ῥαΐσει καὶ ὑποστρώ- 15 σει σοι τὴν ὁδόν (δι' ἧς ἀπροσκόπως διέλθῃς, καὶ οὐ προσκόψεις πρὸς λίθον τὸν πόδα σου), καὶ διὰ θαλάσσης ὡς διὰ ξηρᾶς διαβιβάσει σε, ὥσπερ τὸν Ἰσραὴλ ποτε ὁ ἐκείνων στρατηγός, ἤγουν διὰ τῶν βαθέων καὶ δυσλύτων νοημάτων. Μεταπέμπου τοῦτον, κἂν ἐξ Ἀττικῆς καὶ τοῦ Ὑμηττοῦ δεήσῃ, ἔνθα τοῖς πάλαι τὸ μέλι τῶν 20 λόγων ἐδρέπετο, κἂν ἐκ Φοινίκης, καὶ Σιδῶνος, καὶ Βηρυτοῦ, κἂν ἐκ τῶν ἐσχατιῶν, κἀκ ἐγγὺς, κἀκ τῶν πόρρω. Ἢ πρόστασσε (εἰ

3 ταῖς στάσεσι: Hermog. Περὶ στάσεων ‖ **8–9** ὑπτίαις – χερσὶ: proverbium; cf. e.g. Suda υ 659 ... προθυμίᾳ τῇ πάσῃ ἀναπετάσαντες τὰς πύλας ἐδέξαντο ὑπτίαις χερσὶ τοὺς πολεμίους. ἀντὶ τοῦ ἡπλωμέναις ‖ **16–17** οὐ – σου: Ps. 90,12 μήποτε προσκόψῃς πρὸς λίθον τὸν πόδα σου ‖ **18** ὥσπερ – στρατηγός: Exod. 14,15–31

ep. 181 K 81v–82v; tit. K K-D ‖ **3** εὖ corr. K-D οὐ K ‖ **5** κυρίῳ corr. K-D: καὶ κυρίῳ K ‖ **9** εἴτ' οὖν K-D ‖ **20** Ὑμηττοῦ corr. K-D: ὑμητοῦ K

βούλει) καὶ ποιήσει· καὶ κάλει, καὶ ἥξει· καὶ ἕψεται καὶ ἡγήσεται, ὡς ὁ παρὰ τῷ ποιητῇ ἡγητὴρ τῷ ὀβριμογυίῳ καὶ μεγάλῳ κήτει.
25 Καὶ μή μοι φροντίσῃς τούτου, μόνον σπούδασον, μόνον προθυμήθητι, εἰ δύνασαι τελέσαι ὃ ὑπόθωμαι. Ἀλλὰ σιγῇ καὶ κατὰ σεαυτὸν τοῦτο, ἵνα μὴ Τρῶές γε πύθωνται.

Τί δὴ τοῦτο; Ποίησον τὸν μέγαν τοῖς σοῖς σοφωτάτοις λόγοις γράψαι εἰσελθεῖν τὴν περὶ ἧς χθὲς ὁ λόγος, σὺν τῷ λαμπροτάτῳ
30 μαγίστρῳ καὶ κηδεστῇ. Εἰ δέ μοι σὺ ὡς δύσκολον τοῦτο, ὡς ἀδύνατον, ἀντιθήσεις, ὡς χαλεπόν, διὰ τὸ χειμέριον τοῦ καιροῦ, καὶ τῆς ὁδοῦ τὸ ἐπίμηκες καὶ τὸ ἀνεπιτήδειον, ἀλλ᾽ ἐγὼ οἶδα ὡς δυνατὸν ὡς ῥᾴδιόν ἐστί σοι καὶ τὸν μέγαν πεῖσαι καὶ τἆλλα εὖ διαθεῖναι, μόνον εἰ θελήσῃς, μόνον εἰ βουληθῇς. Ναί, κύδιστε,
35 μέγιστε, θέλησον, βουλήθητι, προθυμήθητι, ποίησόν με ὡς ἕνα τῶν σῶν. Ἔσομαί σοι κἀγὼ χαριζόμενος, καὶ πιστὸς μενῶ, καὶ ἐπεύξομαί σοι τὰ ἀγαθὰ παρὰ θεοῦ καὶ ἐκ βαθέων κεκράξομαι: «Κύριε, κύριε, εἰσάκουσον τῆς φωνῆς μου· καὶ σκέπε τὸν σὸν Μιχαὴλ καὶ φύλαττε ὡς ὅτε πατὴρ παιδὸς ἐέργει μυῖαν, ὅθ᾽ ἡδέϊ
40 λέξεται ὕπνῳ».

24 τῷ ὀβριμογυίῳ: cf. Στίχοι Ἰακώβου τινὸς μοναχοῦ ἀπὸ τῆς μονῆς τοῦ Συγκέλλου κατὰ τοῦ Ψελλοῦ in Psel. Κανὼν κατὰ τοῦ Ἰακώβου = Poem. 22,Prol. 2 ὀβριμοβουγάιε καὶ βαρυβρέμων |τῷ² – κήτει: Opp. Ἁλιευτικά 1,360 κήτεα δ᾽ ὀβριμόγυια cum 5,316 ὥς οἵ γ᾽ ὀβριμόγυιον ἐπὶ χθόνα κῆτος ἄγουσι ‖ **26–27** σιγῇ – πύθωνται: Hom. Il. 7,195 σιγῇ ἐφ᾽ ὑμείων ἵνα μὴ Τρῶές γε πύθωνται ‖ **34–35** κύδιστε μέγιστε: Hom. Il. 2,412, 3,298 Ζεῦ κύδιστε μέγιστε et 3,276, 3,320, 7,202, et 24,308. cf. Psel. Λύσις τῆς κοινῆς ἀπορίας ἁπάντων τῶν ἔξω τοῦ ἡμετέρου δόγματος τῶν Χριστιανῶν ... = Theol. II 34,43–44 ‖ **38** κύριε – μου: Ps. 129,1; cf. Ps. 26,7 ‖ **39–40** ὡς – ὕπνῳ: Hom. Il. 4,130–131 ὡς ὅτε μήτηρ / παιδὸς ἐέργῃ μυῖαν ὅθ᾽ ἡδέϊ λέξεται ὕπνῳ

182. Τῷ αὐτῷ
Μιχαὴλ πατρικίῳ. Pselli?

K-D 21 [K]

Εἴπερ ἐν μιᾷ ἡμέρᾳ γηράσκειν φιλίαν Πινδάρῳ δοκεῖ, εὐγενέστατε κῦρ μου, ποσάκις ἄρα σοι γεγηρακέναι δοκοῦμεν, τοσοῦτον ἤδη χρόνον τῆς σῆς στερηθέντες ὄψεως. Ἐγὼ μὲν γὰρ οἶμαι πολλάκις καὶ ἔξωρος γεγονέναι καὶ ὑπέργηρως ἐς ταύτην, ὅσον οὐδὲ μιᾶς ἡμέρας ὁ καιρὸς τῆς ἀποστάσεως, ἀλλ' ἐπὶ πλείους 5 ἢ δέκα τῇ ἡμετέρᾳ προσεγένετο φιλίᾳ.

Μὴ φέρων οὖν ἐπὶ πλέον τὸν χωρισμόν, τὴν διάστασιν, τὴν ἀπουσίαν, εἰ καὶ μὴ κατ' ὄψιν σοι ὁμιλῶ, τέως γοῦν διὰ γραμμάτων προσλαλήσω, καὶ προσαγορεύσω σε, καὶ κατασπάσομαι τὴν τιμίαν ἐμοὶ καὶ σεβασμίαν ἰδέαν σου. Καὶ πῶς ἔχεις ὁ ἐμὸς 10 κύριος, καὶ ἐρωτήσω καὶ ἀπαιτήσω, εἰ ἔρρωσαι, εἰ ἀπαθὴς κακῶν διαμένεις, εἰ ἐν ὑγιαινούσῃ τῇ ψυχῇ καὶ ἀδιαλωβήτῳ διάγεις τῷ σώματι, εἰ μόχθου νόσφι καὶ ὀϊζύος αἰνῆς· μυρία γὰρ λυγρὰ κατ' ἀνθρώπους ἀλάληται. Ἀλλὰ σύ μοι τούτων τυγχάνοις ὑπέρτερος, νόσων τ' ἀργαλέων, αἵ τ' ἀνδράσι κῆρας ἄγουσιν, ἡ ἀγαθὴ ψυχή, 15 τὸ εὐγενὲς ἔρνος, τὸ ἀειθαλὲς φυτόν, ὁ λειμὼν ὁ πᾶσι καρποῖς κατάκομος (ἀρετῇ φημι, καὶ σωφροσύνῃ, καὶ φιλίᾳ). Καὶ ἡμῖν μεταδίδῳς τῆς σῆς φιλίας (ἣν ἔγωγε πάντων καὶ προτιμῶ, καὶ προκρίνω, καὶ ταύτης δεύτερα πάντα τίθεμαι), νῦν μὲν ἀμυδρῶς πως καὶ ὡς μεταδιδόναι ταύτης ἄξιον, εἰς δὲ τὸ μετὰ ταῦτα καὶ 20 ἐναργέστερον καὶ ἀριδηλότερον.

Ἀλλὰ ταύτης μέν, ὥς σοι καὶ δοκεῖ, μεταδίδου· πάντως γὰρ οὐκ ἀγνώμοσί τισι μεταδώσεις, οὐδ' ἀχαρίστοις περὶ φιλίαν, ἀλλ'

1 εἴπερ – δοκεῖ: cf. Theocr. Ἀΐτης = Id. 12,2 οἱ δὲ ποθεῦντες ἐν ἤματι γηράσκουσιν cum Procop. Gaz. Epist. 26,1 sqq. εἰ τοὺς ποθοῦντας καὶ μία γηράσκειν ἡμέρα ποιεῖ ... et 90,1 sqq. εἰ τοῖς ἐρῶσιν ἡμέρα μία πρὸς γῆρας ἀρκεῖ ‖ **13** μόχθου νόσφι: Hes. Ἔργα καὶ ἡμέραι 91 νόσφιν ἄτερ τε κακῶν καὶ ἄτερ χαλεποῖο πόνοιο |ὀϊζύος αἰνῆς: Hom. Od. 15,342 ‖ **13–14** μυρία – ἀλάληται: Hes. Ἔργα καὶ ἡμέραι 100 ‖ **15** νόσων – ἄγουσιν: Hes. Ἔργα καὶ ἡμέραι 92 νούσων τ' ἀργαλέων, αἵ τ' ἀνδράσι κῆρας ἔδωκαν

ep. 182 K 82v; tit. K K-D ‖ **2** μου corr. K-D: με K ‖ **17** κατάκομος corr. K-D: κατάκοπος K ‖ **18** μεταδίδῳς scripsi: μεταδίδως (more byzantino) K μεταδίδου corr. K-D

εἰδόσι καὶ ταύτην ἀποσῴζειν, καὶ τοὺς φιλοῦντας ἀντιφιλεῖν. Ἀξιῶ
25 δέ σου τὴν ἀγάπην δηλῶσαι ἡμῖν εἰ ἄρα τις ἧκεν ἀγγέλλων τὴν
τοῦ μαγίστρου ἔφοδον· ἀκοῦσαι γάρ τι περὶ αὐτοῦ γλίχομαι. Εἰ
μὲν οὖν ἧκε, σήμανον· εἰ δ’ οὖν, ἀλλὰ καὶ οὕτως δήλωσον.

183. Τῷ αὐτῷ

Μιχαὴλ πατρικίῳ. Pselli?

K-D 22 [K]

Οὔπω δύο ἑβδομάδες διεμετρήθησαν, κῦρ μου, ἐξ οὗ τῆς ἡδίστης
ἐμοὶ καὶ φίλης διέστην θέας σου, καὶ ὡς δύο ἐνιαυτοὶ ἤδη
διελθόντες οὕτως αὗταί μοι καὶ ἐλογίσθησαν, καὶ ἐνομίσθησαν,
καὶ ἐφάνησαν. Καὶ τὴν ἀπουσίαν οὐ τοσοῦτον οὐ φέρω τὴν σήν,
5 οὐδὲ ἐπὶ πλέον ἀφίστασθαι τοῦ σοῦ προσώπου ἀνέχομαι. Οὕτως
σφοδρὸς ἔρως τῆς σῆς ψυχῆς ἐντέτηκε τῇ καρδίᾳ μου. Καὶ κατ’
ἄκρας ἑάλων σου τῆς ἀγάπης, ὡς καὶ αὐτὴν ἀπολέγεσθαι τὴν
ζωήν, καὶ φῶς ἡλίου μὴ ὁρᾶν βούλεσθαι, εἰ μὴ διηνεκῶς σε
προσβλέπω, καὶ συνομιλῶ, καὶ τῆς μελιχρᾶς καὶ μελισταγοῦς σου
10 φωνῆς ἐνωτίζομαι.

Πλὴν ἀλλ’ ἐπείπερ τοῦτο, τὸ κατ’ ὄψιν ὁμιλεῖν σοι, καὶ
συνεχῶς ἐντυγχάνειν σοι, ταῖς πολλαῖς τῶν πραγμάτων ἐπηρεί-
αις, καὶ βιωτικαῖς φροντίσιν, ἀφῄρημαι, διὰ γραμμάτων τέως
προσλαλεῖν σοι, καὶ προσαγορεύειν σε, οὐκ ἀποκνήσω, καὶ τὴν
15 τιμίαν ἐμοὶ καὶ τριπόθητον κεφαλήν σου κατασπάζεσθαι· εἰ γὰρ
καὶ μὴ τοσοῦτον ἔχω τὸ ἥδεσθαι γράφων, ὅσον ὀπτανόμενός σε
καὶ ἐντυγχάνων σοι, ἀλλ’ ὅμως οὐ διὰ τοῦτο τοῦ γράφειν ἀπόσχω-
μαι.

26 τοῦ μαγίστρου: cf. Π 183,30 ‖ **14–15** τὴν – κεφαλήν: Synes. Cyren. Epist. 79,8 νὴ τὴν ἱεράν σου καὶ τριπόθητον κεφαλήν et 86,1–2 πρὸς τὴν ἱεράν σου καὶ τριπόθητον κεφαλήν. cf. Π 42,20, Π 64,1, Π 65,21–22, Π 68,36, Π 122,1, Π 180,2, Π 193,15–16, Π 198,5–6, Π 211,56–57, Π 494,2–3. cf. etiam Psel. Ἐγκωμιαστικὸς εἰς ... Μιχαὴλ τὸν Κηρουλλάριον = Or. fun. I 1,61,30, Περὶ τῶν ἰδεῶν ἃς ὁ Πλάτων λέγει = Phil. min. II 33 (111,24–25), Π 284,9–10 et Π 394,19–20

ep. 183 K 82v–83r; tit. K K-D ‖ **4** ἀπουσίαν K-D γρ. ἀπουσίαν in marg. K: ἀπόστασιν ante corr. K

Μᾶλλον μὲν οὖν καὶ προσθήσω γράφων, καὶ διὰ τούτου ψυχαγωγήσω τὸν ἔρωτα, καὶ αὐτόν σε παραθέλξω διὰ γραφῶν, ὅπως 20 ἔχεις, δηλῶσαί μοι. Εἴη δὲ καλῶς ἔχειν σε, τὸ ἐμὸν καύχημα, τὸ τῶν φίλων σεμνολόγημα, τὸ τῶν νέων ἐγκαλλώπισμα, τὸ τῶν ῥητόρων ἀκροθίνιον, τὴν ἐμὴν ψυχὴν καὶ ζωὴν καὶ πνοήν· οὕτω γὰρ ἐγώ σε ἔχοντα καὶ ἀκούειν καὶ ὁρᾶν εὔχομαι. Εἰ δὲ καὶ σὺ τὰ ἶσα ἡμῖν ἐπεύχῃ, καὶ τὴν αὐτὴν πρὸς ἡμᾶς διατελεῖς ἔχων 25 ἀγάπην, παρ' ἡμῖν μὲν οὐδὲν ἄξιον ἔσται ταύτης, παρὰ δὲ θεῷ ὁ μισθός σοι κείσεται.

Ἀλλὰ ταῦτα μὲν οὕτως. Σὺ δ' ἔτι μικρὸν ἀνασχόμενος, ἐπομένῳ μοι ἀπόκριναι, εἰ μὴ τὸν Πυθαγόραν μιμούμενος τὸ μὴ λαλεῖν ἤσκησας. Ἆρα ἧκέ τις ἀγγέλων τὴν τοῦ μαγίστρου ἐπιδημίαν, 30 ἢ παρουσίαν, ἤ τί (τοῦτο γάρ μοι δι' εὐχῆς μαθεῖν) εἰπεῖν; Εἰ μὲν οὖν καὶ τοῦτο τῶν ἀδυνάτων ἐστί, ἐπίσχες τὴν γλῶτταν· εἰ δ' οὖν, ἀλλ' ἢ γράψον ἢ μήνυσον· εἰ δὲ καὶ τοῦτο δυσχερές, τί ἂν εἴη ῥᾴδιον;

26–27 παρὰ – κείσεται: Mt. 6,1 μισθὸν ... παρὰ τῷ πατρὶ ὑμῶν τῷ ἐν τοῖς οὐρανοῖς ‖ **29–30** τὸν – ἤσκησας: cf. e.g. Suda σ 469 Σιωπή· παροιμία· καὶ σιωπηλότερος ἔσομαι καὶ τῶν Πυθαγόρᾳ τελεσθέντων. ἐπὶ τῶν πάνυ σιγώντων· παρόσον οἱ Πυθαγόρου φοιτηταὶ παράγγελμα εἶχον σιγὴν ἀσκεῖν πενταετῆ χρόνον. cf. Psel. Ἐγκώμιον εἰς τὴν ἀποτομὴν ... Ἰωάννου = Or. hag. 8,325–327 et Π 145,21–22; cf. etiam Π 201,6–7 ‖ **30** τοῦ μαγίστρου: cf. Π 182,26

XLIV. ⟨Κωνσταντῖνος⟩ Μονομάχος
(ca. a. 1000 – 11.I.1055)
βασιλεύς (12.VI.1042 – 11.I.1055)

184. Τῷ βασιλεῖ Μονομάχῳ

Ἐπιστολή vel λόγος? post a. 1050 (cf. l. 65 τῇ ἀοιδίμῳ Ζωῇ)

S 115 [P]

Τίς ἄλλος ὡς σὺ βασιλεῦ; Ἢ τίς θεὸς ἐπίγειος τοιοῦτος, οἷος σὺ ὁ ἐμὸς καὶ βασιλεὺς καὶ θεός; Ὄντως ἐκάλυψεν οὐρανοὺς ἡ ἀρετή σου, καὶ τῆς αἰνέσεώς σου οὐκ ἔστιν ἀριθμός. Εἶτα οὐκ ἐννοεῖς, θειότατε βασιλεῦ, εἰς οἷον ἤρθης παρὰ θεοῦ μέγεθος, οὐδὲ ἐνθυμῇ
5 ὅτι πᾶσα ἡ οἰκουμένη πρὸς σὲ μόνον ὁρᾷ τὸν σώζειν δυνάμενον, καὶ τὰ τῆς γῆς πέρατα τῷ σῷ ὑπείκει κράτει, καὶ φρίττει καὶ

XLIV cf. Psel. Χρονογραφία VI, Λόγος εἰς τὸν βασιλέα κῦρ Κωνσταντῖνον τὸν Μονομάχον = Or. pan. 1, Λόγος εἰς τὸν βασιλέα τὸν Μονομάχον = Or. pan. 2, Τῷ αὐτῷ βασιλεῖ (scil. Κωνσταντίνῳ τῷ Μονομάχῳ) = Or. pan. 3, Ἕτερος λόγος πρὸς τὸν αὐτὸν βασιλέα (scil. Κωνσταντῖνον τὸν Μονομάχον) = Or. pan. 4, Λόγος πρὸς τὸν βασιλέα κῦριν Κωνσταντῖνον Μονομάχον = Or. pan. 5, Εἰς τὸν αὐτὸν βασιλέα (scil. Κωνσταντῖνον τὸν Μονομάχον) = Or. pan. 6, Εἰς τὸν βασιλέα τὸν Μονομάχον = Or. pan. 7, Ὑπόμνημα ἕτερον = Or. for. 6, Χρυσόβουλλος = Or. for. 7, Πρὸς τὸν βασιλέα Μονομάχον = Poem. 1, Ἑρμηνεία τοῦ Ἄισματος τῶν ᾀσμάτων διὰ στίχων πολιτικῶν γενομένη ..., πρὸς τὸν βασιλέα Μονομάχον = Poem. 2, Περὶ δόγματος πρὸς τὸν βασιλέα τὸν Μονομάχον = Poem. 3, Πρὸς τὸν αὐτὸν (scil. Const. IX Monom.) περὶ τῶν ἑπτὰ συνόδων = Poem. 4, et Λόγος τοῦ ὑπερτίμου ὃς ἐπικέκληται σελέντιος = Or. min. 4. cf. etiam Στίχοι εἰς τὸ φλάμουλον τοῦ Μονομάχου ἔχον ἱστορημένον τὸν ἅγιον Γεώργιον, τὸν βασιλέα ἔφιππον, φέροντα λόγχην καὶ τοὺς βαρβάρους διώκοντα = Poem. 27, Στίχοι ἰαμβικοὶ εἰς τὴν τελευτὴν τῆς Σκληραίνης = Poem. 17, et Ἀπολογητικὸς ὑπὲρ τοῦ Φιλιππουπόλεως Λαζάρου καθαιρεθέντος = Or. for. 2, et Π 157,68, Π 199,11, Π 228,4, Π 255,18, et Π 368,5 ‖ **2–3** ἐκάλυψεν – ἀριθμός: Od. 4,3 ἐκάλυψεν οὐρανοὺς ἡ ἀρετὴ αὐτοῦ / καὶ αἰνέσεως αὐτοῦ πλήρης ἡ γῆ. cf. Psel. Ἐγκώμιον εἰς τὴν ἀποτομὴν ... Ἰωάννου = Or. hag. 8,431

ep. 184 P 215r–v, m[1] 95r–96v; tit. P S: Λόγος πρὸς τὸν Μονομάχον τὸν βασιλέα m[1] ‖ **1** ἐπίγειος τοιοῦτος P S: τοιοῦτος ἐπίγειος m[1]; οὕτως ante τοιοῦτος del. m[1] ‖ **5** πᾶσα – οἰκουμένη P S: ὁ περίγειος ὅλος κόσμος m[1]

δέδοικεν;

Ἀλλ' ἐπὶ τοῦ μετεώρου τούτου καὶ ἀπείρου τυγχάνων ὑψώματος, βλέπεις καὶ πρὸς ἡμᾶς τοὺς κάτω καὶ ταπεινοὺς οὓς αὐτὸς ἔπλασας καὶ ἐζώωσας καὶ τῷ σῷ ἐψύχωσας ἐμφυσήματι. Ἀλλ' 10 ὄντως τὸν σὸν θεὸν καὶ βασιλέα μιμῇ, ὃς καὶ οὐρανοὺς ἔκλινε δι' ἡμᾶς καὶ κατέβη καὶ τὰς ἁμαρτίας ἡμῶν ἐβάστασε καὶ τὰς νόσους ἰάσατο καὶ τῷ οἰκείῳ μώλωπι τὰ τραύματα ἡμῶν ἐθεράπευσεν· ἢ γὰρ οὐχὶ καὶ σὺ ὥσπερ ἀπ' οὐρανοῦ τοῦ τῆς βασιλείας ὕψους ἀρρήτως καὶ ἀπορρήτως συγκαταβαίνεις ἡμῖν; καὶ τὰ ἡμέτερα 15 θεραπεύεις παθήματα, τὰ μὲν χειρῶν ἐπαφαῖς, τὰ δὲ εὐχαῖς πρὸς τὸν θεὸν καὶ ἱλαστηρίοις δεήσεσι, τὰ δὲ λόγῳ μόνῳ ὥσπερ ὁ σὸς Ἰησοῦς; καὶ καινὸν οὐδέν· πρὸς γὰρ τὸ παράδειγμα βλέπων τοῦ σὲ βασιλεύσαντος, οὕτως καὶ τὴν σὴν ἐξεικονίζεις ψυχήν.

Ἀλλ' ἐκείνῳ μὲν ἄγγελοι διηκόνουν ἀναβαίνοντές τε καὶ 20 καταβαίνοντες, καθά φησι τὸ ἱερὸν Εὐαγγέλιον, καὶ παρὰ τοῦ πατρὸς τὰς λύσεις τῶν αἰτήσεων προσκομίζοντες. Σοὶ δὲ καὶ ταῖς σαῖς εὐχαῖς καὶ δεήσεσι πρέσβυς ὁμοῦ καὶ εἰσαγγελεὺς ἀψευδέστατος, ἡ τὸ τοῦ θήλεος γένος κοσμήσασα καὶ τὴν τῆς Εὔας παρακοὴν τοῦ τῶν ἀνθρώπων γένους ἀλλοτριώσασα καὶ τῇ πρὸς θεὸν 25 καθαρᾷ πίστει καὶ ἐλπίδι εἰλικρινεῖ καὶ ἀγάπῃ θεοειδεῖ οὐ μόνον

9–10 οὓς – ἐμφυσήματι: Gen. 2,7 καὶ ἔπλασεν ὁ θεὸς τὸν ἄνθρωπον χοῦν ἀπὸ τῆς γῆς καὶ ἐνεφύσησεν εἰς τὸ πρόσωπον αὐτοῦ πνοὴν ζωῆς, καὶ ἐγένετο ὁ ἄνθρωπος εἰς ψυχὴν ζῶσαν. cf. Psel. e.g. Εἰς τὸ 'τρισσὴν γέννησιν οἶδεν ὁ λόγος' = Theol. I 25,64 etc. cf. etiam Π 157,68–69 οὐχ οὕτως ὁ Μονομάχος; ὃς δή με μόνον οὐκ ἐκ πηλοῦ ἄνθρωπον ἐποίησε, πᾶσι δὲ τοῖς ἄλλοις ἐμόρφω[σεν] ‖ **11–12** καὶ[2] – κατέβη: II Reg. 22,10; cf. Psel. ⟨Εἰ⟩ς τὰ ὑποκείμενα ῥητὰ τοῦ ἑπτακαιδεκάτου ψαλμοῦ = Theol. I 73 passim **12–13** τὰς[1] – ἐθεράπευσεν: I Petr. 24 ὃς τὰς ἁμαρτίας ἡμῶν αὐτὸς ἀνήνεγκεν ... οὗ τῷ μώλωπι ἰάθητε. cf. Psel. Λόγος εἰς τὴν σταύρωσιν = Or. hag. 3b,19–22 ‖ **11–19** τὸν – ψυχήν: cf. Psel. Ἕτερος λόγος πρὸς ... Κωνσταντῖνον τὸν Μονομάχον = Or. pan. 4,444 ἐμιμήσω τὸν σὸν Ἰησοῦν ‖ **20** ἐκείνῳ – διηκόνουν: Mt 4,11 ἰδοὺ ἄγγελοι προσῆλθον καὶ διηκόνουν αὐτῷ et Marc. 1,13 καὶ οἱ ἄγγελοι διηκόνουν αὐτῷ ‖ **20–21** ἀναβαίνοντές – καταβαίνοντες: Ioann. 1,51 τοὺς ἀγγέλους τοῦ θεοῦ ἀναβαίνοντας καὶ καταβαίνοντας ἐπὶ τὸν υἱὸν τοῦ ἀνθρώπου cum Psel. Εἰς τὸ 'ἀπ' ἄρτι ὄψεσθε ...' = Theol. I 28

10 καὶ[2] – ἐψύχωσας P S: τῷ σῷ ἐμψύχῳ m[1] ‖ **11** ὄντως P S: οὕτως m[1] **15** συγκαταβαίνεις P S: συγκαταβαίνοις m[1] ‖ **16–17** τὰ[2] – δεήσεσι P S: om. m[1] ‖ **21** καθά P S: καθὼς m[1] ‖ **23** πρέσβυς P S: πρέσβις m[1] ‖ **26** καθαρᾷ πίστει P S: πίστει καθαρᾷ m[1]

τοῦ γυναικείου γένους ἀλλὰ καὶ τῆς τῶν ἀνδρῶν κρατήσασα εὐτονίας πρὸς ἀρετήν. Τίς δὲ αὕτη; ἡ φερώνυμος Ζωή, καὶ ζῶσα κατὰ θεὸν καὶ τοῖς ἄλλοις ἡμῖν χορηγοῦσα τὸ ζῆν. Διὰ ταύτης, ὦ
30 βασιλεῦ, τεθαμμένους σχεδὸν ἡμᾶς ζωοῖς καὶ ἀνιστᾷς καὶ πρὸς ἐλπίδας ῥωννύεις κρείττονας· ἤδη γὰρ ἀπειρηκότα με τῆς κεφαλῆς τῷ ἀλγήματι παρὰ δόξαν ἰάσω, τὰ τοῦ θεοῦ πρός με φθεγξάμενος ῥήματα, «ἡ τοιαύτη ἀρρωστία οὐκ ἔστι πρὸς θάνατον»· εὐθὺς γὰρ ἀκούσας, τήν τε δύναμιν ἀνεκαλεσάμην καὶ θαρραλεώτερος γεγο-
35 νὼς τῆς κλίνης ἀνέστην ὡς τεταρταῖος τοῦ μνήματος Λάζαρος, καὶ γέγονα ἔμπνους ἅμα καὶ ἰσχυρός, πολλὰ καταγελῶν τῶν ἀπεγνωκότων με ἰατρῶν.

Ἀλλὰ τί πέπονθα, βασιλεῦ; εὐθὺς γὰρ πρὸς τὰ βιβλία πάλιν ἀπέκλινα, τῶν πολλῶν ὅρκων ἐπιλαθόμενος. Τί γὰρ ποιήσω; ἐπὶ
40 γὰρ τούτοις κεκλήρωμαι, καὶ ἐπὶ τούτοις εἰς τὸν κόσμον ἐλήλυθα· συνεχῶς δὲ τούτοις προσομιλῶ, ἵνα δύναμιν ἀξιόχρεων κτήσωμαι πρὸς τοὺς σοὺς ἐπαίνους καὶ τὰ ἐγκώμια· πολλὰ γὰρ εἰπὼν περὶ τῶν σῶν ἀρετῶν ἐν πολλοῖς λόγοις τε καὶ συγγράμμασιν, οὐδὲν τῶν σῶν πλεονεκτημάτων ἐπάξιον εἴρηκα.

45 Ἀλλὰ τί ταῦτα φθέγγομαι, ἐν φαντασίᾳ μόνῃ τὸ σὸν τυπούμενος πρόσωπον; Ἀλλὰ πότε ἐλεύσομαι καὶ τῷ τοῦ κυρίου μου προσώπῳ ὀφθήσομαι; Πότε τῆς χρυσῆς ἀκούσω γλώσσης; Πότε τὰς ἱλαράς σου τῶν ὀμμάτων ἴδω βολάς; Αὔριον; Ἀλλὰ μακρὰ ἡ προθεσμία, πολλὴ ἡ διάστασις, αἰὼν ὅλος τὸ τῆς ἡμέρας
50 διάστημα. Ἀλλὰ θεραπεύσω τὸν πόθον, τὴν σὴν εἰκόνα στήσας ἐμαυτῷ κατὰ πρόσωπον. Ἀκούσω δέ σου καὶ λέγοντος, ἀναγινω-

28 ἡ – Ζωή: Zoe (ca. a. 978 – 1050; imperatrix: a. 1042) ‖ **31–32** τῆς – ἀλγήματι: cf. Π 104,4–5 τῷ τῆς κεφαλῆς ἀλγήματι ‖ **33** ἡ – θάνατον: Ioann. 11,4 αὕτη ἡ ἀσθένεια οὐκ ἔστιν πρὸς θάνατον ‖ **35** ἀνέστην – Λάζαρος: Ioann. 11,38–44; cf. Psel. e.g. Λόγος εἰς τὴν σταύρωσιν = Or. hag. 3a,670–686 etc. **48** τῶν – βολάς: Hom. Od. 4,150 ὀφθαλμῶν τε βολαί, iunctura Homerica saepe laudata, cf. Psel. Ἐπιτάφιος εἰς τὴν ἑαυτοῦ μητέρα 548–549, Χρονογραφία V,28, Ἐγκωμιαστικὸς εἰς … Μιχαὴλ τὸν Κηρουλλάριον = Or. fun. I 1,58,43–44, et Π 186,36, Π 273,24, et Π 484,20–21

28 δὲ P S: om. m¹ ‖ **30** σχεδὸν ἡμᾶς P S: ἡμᾶς σχεδὸν m¹ ‖ **31–32** τῆς – ἀλγήματι P S: τῷ τῆς κεφαλῆς ἀλγήματι m¹ ‖ **35** τεταρταῖος P S: ὁ τεταρταῖος m¹ ‖ **36–37** πολλὰ – ἰατρῶν P S: πολλῶν ἀπεγνωκότα με ἰατρῶν m¹ ‖ **41** τούτοις P S: καὶ τούτοις m¹ ‖ **45** μόνῃ P S: μόνον m¹ ‖ **47** γλώσσης P S: γλώττης m¹ ‖ **49** πολλὴ – διάστασις P S: om. m¹

σκομένης μοι πολλάκις τῆς τοῦ σχέδους ἐκδόσεως· ἀπὸ γὰρ τῶν σῶν χειλέων δόξω ταύτην μοι ἐνηχεῖσθαι τῇ ἀκοῇ. Ἧς τί μὴ καλόν, τί μὴ ὡραῖον, τί μὴ λεῖον, τί μὴ εὐφραῖνον ψυχήν; Ποῖον δὲ ἐν αὐτῇ σκολιὸν ἢ δυσνόητον νόημα; Οὐ πάντα ἐαρινῆς τῷ ὄντι 55 ὥρας μεστά; Οὐ πάντα λάμπει ταῖς χάρισιν; Οὐ πάντα τῆς σῆς γλώττης ἐφ' ἧς αἱ νοηταὶ μέλισσαι τὸ τοῦ λόγου μέλι ἐναποστάζουσι;

Ταῦτά σοι ὁ τέως ἀπεγνωσμένος ἐγώ, ὁ συντριβεὶς ὁμοῦ καὶ ἀνορθωθεὶς παρὰ σοῦ. Καὶ σὺ μὲν εἶπας πρός με «θάρρει, οὐ μὴ 60 ἀποθάνῃς ἄρτι»· ὁ δὲ τῶν ὅλων κύριος «θάρρει, οὐ μὴ ἀποθάνῃς» καὶ εἴρηκε καὶ ἐρεῖ πρὸς σὲ ἀφελὼν τὸ «ἄρτι». Καὶ οὐ μὴ ἀποθάνῃς βασιλεῦ· δίκαιοι γὰρ εἰς τὸν αἰῶνα ζῶσιν. Ἀλλὰ μόγις μὲν καὶ ποτὲ καὶ ἐπὶ πολλοῖς ἡλίοις καὶ γενῶν ἀπείροις διαδοχαῖς, ἀναστήσῃ πρὸς τὸν πλάσαντά σε θεόν, συνέσῃ δὲ τῇ ἀοιδίμῳ Ζωῇ 65 ἐν τῇ ἀτελευτήτῳ ζωῇ· καὶ ἴδοις τὰ ἀγαθὰ τῆς ἄνω Ἱερουσαλήμ· καὶ τύχοις τῶν καὶ ὀφθαλμοῖς ἀθεάτων καὶ μὴ ἀκουστῶν τοῖς ὠσίν, ἀγγέλοις συναριθμούμενος, ἀποστόλοις συγκατατατττόμενος, καὶ τὴν θείαν ᾄδων ᾠδήν, καὶ τὸν τρισάγιον ὕμνον ἀναμέλπων θεῷ. 70

52 τῆς – ἐκδόσεως: cf. Ioann. Maurop. Poem. 70 Εἰς τὴν διὰ κινναβάρεως χαραγὴν τῶν σχεδῶν cum Bernard 2014,264–265 ‖ **61** ὁ – ἀποθάνῃς[2]: cf. Ioann. 11,25–26 ὁ πιστεύων εἰς ἐμὲ κἂν ἀποθάνῃ ζήσεται, καὶ πᾶς ὁ ζῶν καὶ πιστεύων εἰς ἐμὲ οὐ μὴ ἀποθάνῃ εἰς τὸν αἰῶνα ‖ **63** δίκαιοι – ζῶσιν: Sap. Sol. 5,15 ‖ **66** καὶ – Ἱερουσαλήμ: Ps. 127,5 καὶ ἴδοις τὰ ἀγαθὰ Ιερουσαλημ ‖ **69** τὴν – ᾠδήν: Greg. Naz. Εἰς τὴν καινὴν Κυριακήν = Or. 44,1 πρὸς τὴν Ἱερουσαλὴμ ἀνασωθέντες, κακεῖ μὲν οὐ δυνάμενοι τὴν θείαν ᾄδειν ᾠδήν, ὡς ἐπὶ γῆς ἀλλοτρίας, ἐνταῦθα δὲ νέαν ᾠδὴν καὶ πολιτείαν ἱστάμενοι

55 ἢ om. S ‖ **60** ἀνορθωθεὶς P S: ἀνορθεὶς m[1] ‖ **64** γενῶν P S: γηρῶν m[1] **66** τῆς P S: τοῖς m[1] ‖ **67** καὶ[2] om. m[1] ‖ **69** θεῖαν m[1]

185. Πρὸς νεοφώτιστον ὡς ἐκ τοῦ βασιλέως τοῦ Μονομάχου· ἔοικε δὲ οὗτος εἶναι σοφώτατος ὡς καὶ ἡ ἐπιστολὴ δηλοῖ
post a. 1047 (cf. l. 44 ὁ πρόεδρος <scil. τῶν φιλοσόφων>)

S 155 [P]

Ἀνέγνων τὸ γράμμα σου, λογιώτατε καὶ σοφώτατε, καὶ τῷ ἀμυθήτῳ κάλλει, τῇ τε τῶν νοημάτων πυκνότητι, καὶ τῷ πολυειδεῖ τῶν σχημάτων καὶ ῥητορικῷ ἡσθεὶς τὴν ψυχήν, ὅλος τοῦ περὶ σὲ γέγονα ἔρωτος· καί μοι τοῖς μέλεσι θεία τις περιεχύθη
5 ἡδονή· καὶ τὴν «ἀνεκλάλητον» (ὡς τὰ θεῖα φασὶ λόγια) χαίρω «χαράν» ὅτι σε τοιαύτην θυσίαν προσάγω θεῷ, οὐ λογικὴν μόνον ἀλλὰ καὶ τὰς τῆς σοφίας χάριτας ἔχουσαν.

Σεμνύνομαι οὖν ἐπὶ τῇ σῇ σωτηριώδει ἀνακαινίσει, καὶ οἰκείαν τὴν εὐεργεσίαν λογίζομαι. Ὥσπερ δὲ αὐτὸς ὢν ὁ μέλλων ἀναγεν-
10 νηθῆναι τῷ θεῷ, καὶ τὴν χάριν τοῦ πνεύματος δέξασθαι, καὶ ταφῆναι μὲν τῷ ὕδατι, ζωοποιηθῆναι δὲ τῷ πνεύματι, οὐκέτι καθεκτός εἰμι, οὐδὲ τὴν τῆς εὐφροσύνης φέρω ἀναβολήν, ἀλλά με ὠδῖνες ἄρρητοι πυκνότερον διεγείρουσι. «Καὶ πότε ὄψομαι τὸ ἐμὸν θῦμα; Πότε σε λογικὸν προσάξω τῷ θεῷ σφάγιον; Πότε σε ταῖς χερσὶν
15 ἀναδέξομαί τε καὶ ὑποδέξομαι, καὶ τῇ σῇ λαμπρότητι λαμπρυνθήσομαι;» καὶ φθέγγομαι καὶ φαντάζομαι, κἂν τοῖς ὀνείρασι δέ, ἐπὶ τῆς αὐτῆς πέφυκα διαθέσεως. Ὅθεν τὰς βασιλείους ἀμείβων αὐλάς, ταχέως ἀφ' ἑκάστης τούτων ἀφίσταμαι, ἐπιθυμῶν εἴ πως αἱ ἐν μέσῳ ἡμέραι, αὗται τῆς σῆς τελειώσεως, βραχεῖαί τινες ὧραι
20 γένοιντο, ὡς ἂν ἴδοιμι τάχιστα τὸ ποθούμενον.

2–3 τῷ – σχημάτων: Dion. Halicarn. Thuc. 24. cf. Π 139,69 ‖ **5–6** ἀνεκλάλητον – χαράν: I Petr. 1,8 ἀγαλλιᾶσθε χαρᾷ ἀνεκλαλήτῳ ‖ **6** θυσίαν – μόνον: Rom. 12,1 παραστῆσαι τὰ σώματα ὑμῶν θυσίαν ζῶσαν ἁγίαν εὐάρεστον τῷ θεῷ, τὴν λογικὴν λατρείαν ὑμῶν. cf. Psel. Βίος καὶ πολιτεία … Αὐξεντίου … = Or. hag. 1c,597–598 ‖ **10–11** ταφῆναι – πνεύματι: cf. I Petr. 3,18 θανατωθεὶς μὲν σαρκὶ ζῳοποιηθεὶς δὲ πνεύματι

ep. 185 P 224r–v, B 183v–184r, p[1] 157 (= P); tit. P S: ὡς ἐκ τοῦ βασιλέως τοῦ Μονομάχου, πρός τινα σοφὸν κατηχούμενον B πρὸς νεοφώτιστον ὡς ἐκ τοῦ βασιλέως τοῦ Κομνηνοῦ· ἔοικε δὲ οὗτος εἶναι σοφώτατος ὡς καὶ ἡ ἐπιστολὴ δηλοῖ p[1] ‖ **12** ἀναβολήν P S: μεταβολήν B ‖ **14** προσάξω – θεῷ P S: τῷ θεῷ προσάξω B ‖ **18** εἴ P S: μή B ‖ **19** ἡμέραι αὗται P S: αὗται ἡμέραι B | σῆς P S: om. B | τελεώσεως S

Διὰ τοῦτο οὐδὲ συνεχεῖς τὰς ἀποστολὰς ποιοῦμαι πρὸς σέ, ὁμοῦ τε μὴ ἀνακόπτειν ἐθέλων τὴν πρὸς θεόν σου συνεχῆ καὶ ἀνατατικὴν ἔννοιαν, ἀφιστῶν δὲ καὶ τῆς πρὸς σὲ φροντίδος τὴν ἐμὴν ψυχὴν καὶ διάνοιαν· αἱ γὰρ περὶ σοῦ ἀποκρίσεις μοι κομιζόμεναι, ἐμπιπρῶσί μου τὴν ψυχὴν τῷ περὶ σὲ θείῳ ἔρωτι, κἀντεῦθεν φροντίζων οὐ λήγω καὶ ταῖς περὶ σοῦ φροντίσι καταδαπανῶν τὴν ψυχήν. Οἶδα καὶ τὸν μέγαν ἀρχιερέα τὰ ἡμῶν ἀναπληροῦντα ἐλλείμματα, καὶ πᾶν ὅσον δέῃ συνεισφέροντά σοι λαμπρότατα. 25

Τελεσθήσεται δέ σοι καὶ ἡ ἀξίωσις, καὶ πᾶν, ὅσον ἐν βασιλείοις φιλόσοφον ἀναστρέφεται, συνέσται τῇ πανηγύρει σου, καὶ θεάσεταί σου τὴν ἀναγέννησιν, καὶ τῇ παλιγγενεσίᾳ σου ἐφησθήσεται, καὶ προπορεύσεταί σου λαμπαδηφοροῦν, καὶ τῷ φαινομένῳ τούτῳ φωτί, τὸ ἐναυγάσον σοι τοῦ θείου πνεύματος φῶς συμβολικῶς αἰνιττόμενον. 30

Ἡμέρα δέ σοι τῆς τελειώσεως ἀφώρισται ἡ μετὰ τὴν πανήγυριν τῶν κορυφαίων ἀποστόλων Κυριακή· δεῖ γάρ σοι καὶ τῆς τοιαύτης ἡμέρας· ἐν ταύτῃ γὰρ ὁ Κύριος ἡμῶν ἐκ νεκρῶν ἀναστάς, πάντας ἡμᾶς ἀνεζώωσε καὶ συνήγειρεν ἑαυτῷ. Ὃς δὴ καὶ σὲ ἐγερεῖ, ἐνθάψας σε πρότερον τῷ θείῳ τούτῳ βαπτίσματι, ὃ δὴ «δευτέραν γέννησιν» οἴδασι τὰ θεῖα λόγια, πολὺ τῆς προτέρας τιμιωτέραν. Ἐκείνη μὲν γὰρ σωμάτων ἐστὶ πρόοδος, αὕτη δὲ ψυχῶν ἀναγέννησις. 35 40

Ἀλλ' οὐδὲ ὁ πρόεδρος ἀποστήσεταί σου τῆς νοερᾶς ταύτης λαμπρότητος, ἀλλὰ καὶ αὐτὸς τοῖς ἐπὶ σοὶ λαμπαδηφόροις συναρι-

27 τὸν – ἀρχιερέα: Michael Cerularius (patriarcha: 25.III.1043 – 2.XI.1058) (Π XXIX) ‖ **31** τῇ παλιγγενεσίᾳ: Tit. 3,5 διὰ λουτροῦ παλιγγενεσίας. cf. Psel. Εἰς τὸ 'γινώσκοντες καλῶς τὸν ποιμένα ...' = Theol. I 4,21–22 et Εἰς τὸ ῥητὸν τοῦ Ἰώβ ... 'καὶ ὁ διάβολος παρέστη ... = Theol. I 32,173 ‖ **40** δευτέραν γέννησιν: cf. Tit. 3,5 διὰ λουτροῦ παλιγγενεσίας cum Psel. Εἰς τὸ 'τρισσὴν γέννησιν οἶδεν ὁ λόγος' = Theol. I 25,72–73 et Π 134,33 ‖ **43** ὁ πρόεδρος: Michael Psellus, πρόεδρος (vel ὕπατος) τῶν φιλοσόφων (1047–). cf. Mich. Attal. Ἱστορία 21 πρόεδρον τῶν φιλοσόφων προχειρισάμενος ἄνδρα τῶν καθ' ἡμᾶς διαφέροντα γνώσει. cf. Π 174,49, Π 196,38–45, et Π 498,9–10; cf. etiam 111,134, 280,20 et 47, Π 388,11, et 455,34–35?

21 τοῦτο : ταῦτα S ‖ **28** δέοι S ‖ **29** σοι καὶ : [......] B ‖ **31** σου[2] B: om. P S **32** σου B: σοι P S ‖ **36** ἀποστόλων : [...]στόλων B ‖ **38** πάντας P S: om. B ‖ **40** γέννησιν οἴδασι P S: οἶδε γέννησιν B ‖ **43** ταύτης : [....]ης B

45 θμηθήσεται, σύμβολον ἔχων τῆς πρὸς σὲ διαθέσεως, ἣν ἔφησεν ἐξ ἀγριελαίου συνεγκεντρισθῆναι εἰς τὴν καλλιέλαιον· διατί γὰρ ἀπαξιώσεταί σου τὴν τελετήν, θεὸν ὁρῶν ἐπιδημοῦντά σου τῷ βαπτίσματι, καὶ ἀγγέλους ἀγαλλιωμένους καὶ χαίροντας, εἰπεῖν δὲ καὶ τὴν βασιλείαν μου χερσὶν αὐταῖς ἐνεργοῦσαν τὴν τελείωσιν;

50 Ἔτι οὖν μοι τὰς ὀλίγας ταύτας ἡμέρας καρτέρησον, ἵνα καὶ μᾶλλον ἀξίως τῆς τοῦ πνεύματος ὑποδοχῆς προετοιμασθῇς.

XLV. Νικήτας καὶ Ἰωάννης

Χιῶται, μοναχοί

186. Τοῖς Χιώταις, τῷ τε μοναχῷ Νικήτᾳ καὶ τῷ μοναχῷ Ἰωάννῃ

K-D 36 [L]

Καινὸν οὐδὲν ποιῶ, τιμιώτατοι πατέρες, οὐδὲ ἐπαίνων πολλῶν ἄξιον, μήτε τὴν ὀφρὺν αἴρων, μήτε μεγαλαυχούμενος τοῖς ἀπὸ τῆς γνώσεως ἀγαθοῖς· τὸ γὰρ ἐπὶ τοῖς ἁμαρτήμασί μου συνειδός, ἐγκείμενον ἀεὶ τῇ ψυχῇ καὶ μαστίζον με, οὐ συγχωρεῖ ἐπ' ἄλλῳ 5 τινὶ τρυφᾶν καὶ ὑπερφρονεῖν. Ἀλλ' (ὄμνυμι τὴν ἱερὰν ὑμῶν εὐχὴν καὶ ἀγάπην!) τὰ πλείω καὶ ἐπιλέλησμαι ἐμαυτοῦ, καὶ μάλιστα ἐμβαθύνων τοῖς τῶν ἐμῶν κακῶν ὑπομνήμασιν· ὡς γὰρ ἴστε ὅτι τὸ τῆς ὑπερηφανίας πάθος ἐπὶ τοῖς κατορθώμασι φύεται· καὶ

45–46 ἐξ – καλλιέλαιον: Rom. 11,24 (locus saepe laudatus) εἰ γὰρ σὺ ἐκ τῆς κατὰ φύσιν ἐξεκόπης ἀγριελαίου καὶ παρὰ φύσιν ἐνεκεντρίσθης εἰς καλλιέλαιον. cf. Psel. Χρονογραφία VI,15,10–11, Εἰς τὸν … μητροπολίτην Μελιτηνῆς = Or. fun. I 5,5,7–8, et Π 89,114–119 et Π 122,58–59 ‖ **XLV** cf. Psel. Κατηγορία τοῦ ἀρχιερέως = Or. for. 1,107–109 τοῖς Χιώταις ἐστὶ μοναχοῖς, τῷ τε Νικήτᾳ καὶ τῷ Ἰωάννῃ; περὶ ὧν τὰ ὦτα ὑμῶν πολλάκις διατεθρύληται …, et passim; cf. etiam TIB 10,237–238

46 συνεγκεντρισθῆναι scripsi (cf. Πρὸς τὴν σύνοδον κατηγορία τοῦ ἀρχιερέως = Or. for. 1,906–907 συνεγκεντρίσας): ἐγκεντρισθῆναι P S συνεκκεντρισθῆναι B | τὴν : [...] B ‖ **49** τελείωσιν B: πλήρωσιν P S ‖ **ep. 186** L 19v–20r; tit. L K-D

τοῦτό ἐστιν ἡ παρὰ τῇ γραφῇ πτέρνα, ἣν δὴ ἐπιμελέστατα ὁ ὄφις τηρεῖ, ἤτοι τὸ τέλος τῶν ἀγαθῶν πράξεων, ὥσπερ δὴ ἡμεῖς τὴν 10 ἐκείνου κατασκοποῦμεν κεφαλήν, ἤτοι τὴν πρώτην εἰσβολὴν τῶν πονηρῶν λογισμῶν.

Ἐμοὶ μὲν οὖν οὐ πάνυ τι σπουδαῖον τὸ μετριάζειν, οὐδέ τις ἂν αὐτὸ ἐπαινέσειε τὴν ἐμὴν γνώμην ἀκριβῶς ἐπιστάμενος. Ὑμῖν δὲ εὐπορώτερον εἰς ἀφορμὴν ἐγκωμίων καθέστηκεν, ἐκ πρώτης (ὡς 15 εἰπεῖν) γενέσεως ἀποταξαμένοις καὶ βίῳ καὶ σώματι, καὶ τὴν στενὴν τῆς ἀρετῆς ὁδεύσασι τρίβον, καὶ πρὸς αὐτῇ δὴ τῇ εὐρυχώρῳ γεγονόσι ζωῇ καὶ οὐδὲ ἐνταῦθα μεθεικόσι τὴν κακοπάθειαν, ἵν᾽ ἐν τῷ μέλλοντι αἰῶνι πᾶσα ὑμῖν ἡ τῆς ἀρετῆς ἀποταμιευθείη ἀντίδοσις. 20

Ἄλλως τε, τιμιώτατοι, οὐδέν μοι δοκεῖ τῶν λίαν ὑπερσέμνων καὶ ὑπερηφάνων τυγχάνειν εἴ τις ἄνθρωπος εὐτυχήσας δεξιὰν φύσιν παρὰ θεοῦ, ἔπειτα σπουδὴν τῇ φύσει προσθεὶς γνώσεως μετρίας ἐπή[βολος] γένοιτο, ἀνθρωπικαῖς ἀποδείξεσιν, ἐπὶ τὴν τῶν ὄντων κατανόησιν χρώμενος· τελευταία γε ἡ γνῶσις αὕτη, 25 οὐκ ἀπὸ τῶν ἄνω συλλεγομένη θεωριῶν, ἀλλ᾽ ἐξ εἰκασμάτων τινῶν καὶ ἀνθρωπίνων ἀρχῶν. Ἐπαινῶ τὴν σοφίαν ἐκείνην, ἥτις ἐκ καθαρθείσης ψυχῆς συλλεγεῖσα τὸ πρότερον, ἔπειτα θεωρητικώτερον προσαχθείη τοῖς ὑπὲρ φύσιν καλοῖς, καὶ ἐνοπτρίζοιτο τὰ περικαλλῆ τῆς φύσεως ἰδιώματα, εἶτα δὴ προϊοῦσα ἀγνώστως 30

9–10 ἡ – τηρεῖ: Gen. 3,14–15 εἶπεν κύριος ὁ θεὸς τῷ ὄφει ... καὶ σὺ τηρήσεις αὐτοῦ πτέρναν. cf. Π 149,34 et Π 488,57; cf. etiam Π 42,23–24 ‖ **16–18** τὴν – ζωῇ: cf. Mt. 7,13–14 εἰσέλθατε διὰ τῆς στενῆς πύλης· ὅτι πλατεῖα ἡ πύλη καὶ εὐρύχωρος ἡ ὁδὸς ἡ ἀπάγουσα εἰς τὴν ἀπώλειαν ... στενὴ ἡ πύλη καὶ τεθλιμμένη ἡ ὁδὸς ἡ ἀπάγουσα εἰς τὴν ζωήν et Luc. 13,24 διὰ τῆς στενῆς θύρας, cf. Psel. Ἑρμηνεία τοῦ Ἄισματος ... πρὸς τὸν ... Μονομάχον = Poem. 2,104–107, Βίος καὶ πολιτεία ... Αὐξεντίου ... = Or. hag. 1c,635–640, Πρὸς τὸν πατριάρχην κῦρ Μιχαὴλ περὶ τοῦ ὅπως ποιητέον χρυσόν 40,7–8, et Π 100,19–20, Π 101,21, et Π 415,3–4; cf. etiam Π 549,12

21 τιμιώτατοι scripsi: τιμιώττ (abbr.) L τιμιώτερον K-D ‖ **24** ἐπήβολος suppl. K-D

προσβάλλοι τῷ ὑπὲρ φύσιν θεῷ, πᾶσαν μὲν αἴσθησιν μύσασα, πᾶσαν δὲ κατασιγήσασα νόησιν.

Καὶ εἰ μέν τις ἐπαινεῖν [βού]λοιτο, αὐτὸ δὴ τοῦτο ἐπαινείτω, ὅτι δὴ λίαν ἐρῶ τοῦ θείου τούτου καὶ ὑπερφυοῦς πράγματος. Καὶ
35 μήποτε ἰδὼν τὸ καλὸν τουτὶ πρόσωπον, μαντεύομαι ὥσπερ αὐτὸ ἀρρήτους ἔχειν τὰς ὄψεις, καὶ τὰς βολὰς ἀκηράτους. Εἰ καλλιέπειαν δὲ ἐν λόγοις ἐπιτετήδευμαι, ἢ τοὺς τῶν γραφῶν χαρακτῆρας ἠκρίβωκα, φύσεως ταῦτα καὶ σπουδῆς ἔργα καθέστηκεν, οὐκ ἀρετῆς δὲ οὐδὲ τῆς πρὸς τὸ καλὸν νεύσεως.

40 Ἐγὼ δὲ πολλάκις ἐπ' ἐμαυτοῦ γενόμενος, ζυγοστατῶ τὰ ἐμὰ ἐπὶ δυσὶ πλάστιγξι, τιθεὶς ἐν ταύτῃ μὲν ὁπόσα δὴ θεῷ τυγχάνω προσκεκρουκώς, ἐν θατέρᾳ δὲ ὁπόσα δὴ τῶν βιβλίων ἐπιμελῶς συνηγήοχα· εἶτα δὴ παρ' ἄλληλα κρίνω, καὶ πλείονα τὰ χείρω τῶν κρειττόνων κατειληφώς, μᾶλλον ἐπὶ τοῖς ὀλίγοις ἐπαίρομαι,
45 ἢ ἐπὶ τοῖς πλείοσι βαρύνομαι καὶ συγκέκυφα. Ἀλλ' εἴ γε τὰς ὑμετέρας εὐχὰς ἔχοιμι, ῥᾴων ἂν κατὰ τοῦτο τὸ μέρος γενοίμην.

Ἰδεῖν δὲ ὑμᾶς, ὡς ὁ μοναχὸς ἔφη, προσδοκῶ, ὁπηνίκα δὴ καὶ τὸ τῆς γραφῆς ἐγχειρίσαιμι βιβλιδάριον. Τὴν μαστίχαν ἀπέλαβον, σύμβολον ταύτην λογισάμενος τοῦ μηδὲν ἐκ ταὐτομάτου
50 λέγειν ἢ πράττειν, ἀλλ' οἷον διαμασᾶσθαι πρότερον, καὶ οὕτως τὸν λόγον προφέρειν, ἢ τὴν πρᾶξιν ποιεῖν.

31 πᾶσαν – μύσασα: Greg. Naz. Ἀπολογητικός = Or. 2,7 et Περὶ δόγματος καὶ καταστάσεως ἐπισκόπων = Or. 20,1 οὐδὲν γὰρ ἐδόκει μοι τοιοῦτον οἷον μύσαντα τὰς αἰσθήσεις. cf. etiam Psel. Ἐγκώμιον εἰς … Νικόλαον μοναχὸν … = Or. fun. I 10,32,30–31 μύσας τὰ αἰσθητήρια καὶ σαρκὸς ἔξω γενόμενος, Ἀλληγορία περὶ τῆς Σφιγγός = Phil. min. I 44,34–35 ἀποστρέφεται δὲ τὸ σῶμα, μύσας δὲ τὰς αἰσθήσεις καὶ πολλὰ χαίρειν εἰπὼν τῇ φαντασίᾳ, et Ἔχθεσις τοῦ δόγματος τῶν Ὠριγενιαστῶν … = Phil. min. II 15 (76,5–6) ἀναβαίνων εἰς θεωρίαν καὶ αὖθις ὑπὲρ νοῦν γεγονὼς καὶ μύσας τὰς αἰσθήσεις. cf. etiam Papaioannou 2013,172–174 ‖ **36** τὰς βολὰς: cf. Hom. Od. 4,150 ὀφθαλμῶν τε βολαί, iunctura Homerica saepe laudata. cf. Psel. Ἐπιτάφιος εἰς τὴν ἑαυτοῦ μητέρα 548–549, Χρονογραφία V,28, Ἐγκωμιαστικὸς εἰς … Μιχαὴλ τὸν Κηρουλλάριον = Or. fun. I 1,58,43–44, et Π 184,48, Π 273,24, et Π 484,20–21 |ἀρρήτους – ἀκηράτους: cf. Psel. Εἰς τὸ τροπάριον τοῦ κανόνος τῆς Μεταμορφώσεως … = Theol. I 11,48–50 ἄγγελοι … φῶτα ἴσως δεχόμενοι καθαρὰ καὶ ἀρρήτους αἴγλας καὶ ἀκηράτους λαμπρότητας et Π 512,9-10

33 βούλοιτο suppl. K-D ‖ **36** ὄψεις scripsi: θλίψεις L K-D

XLVI. Νικηφορίτζης / Νικηφόρος

σεβαστοφόρος, δοὺξ Ἀντιοχείας (a. 1062 – a. 1063 et a. 1067),
πραίτωρ Πελοποννήσου καὶ Ἑλλάδος (ca. a. 1068?)
cf. Π 288

187. Τῷ πραίτορι Πελοποννήσου καὶ Ἑλλάδος τῷ Νικηφορίτζῃ

ca. a. 1068?

S 103 [P], H-M 144–145 [P]

Ὁ θεοφιλέστατος Βεσαίνης ἐπίσκοπος, λογιώτατε καὶ λαμπρότατε, ἔστι μὲν ὡς ἀπεδείχθη πτωχὸς καὶ συμπτώχου ἐπισκοπῆς πρόεδρος, συκοφαντεῖται δὲ δύο τὰ μέγιστα, ὅτι τε πλούσιος, καὶ ὅτι θρόνου εὐδαίμονος. Τοῦ μὲν οὖν χρημάτων πολλῶν μὴ εὐπορεῖν γέγονεν ἐνταῦθα δοκιμασία σαφὴς καὶ 5 ἔλεγχος προφανής· περὶ δὲ τῆς εὐδαιμονίας τῆς λαχούσης τοῦτον ἐπισκοπῆς, αὐτὸς σὺ κριτὴς καὶ ἐξεταστὴς κάθησαι.

Τέως μὲν οὖν ἐν οἷς ἀτυχεῖ εὐτυχεῖ, βασιλέων καὶ δημοθεσίου διαφερομένων αὐτῷ, καὶ ἀντιθέτων ὄντων περὶ τοῦ πλείονος· εἴτε γὰρ νικήσοι ταῖς ψήφοις, ἡ εὐδοκίμησις ἄρρητος (ἐκράτησε γὰρ 10 τῶν κρειττόνων)· εἴτε τὴν ἡττῶσαν ἀπενέγκοιτο, πάλιν κατ' αὐτὸ τοῦτο εὐδοκιμεῖ, ὅτι θεοῖς (ἵν' οὕτως εἴπω) ξυμβέβληται, κἂν τῇ ξυμβολῇ τὸ ἧττον ἔσχηκεν, ὥσπερ ὁ Ἰακὼβ πάλαι ἀγγέλῳ προσπαλαίσας ἢ θεῷ ἥττηται, καὶ τὰ ξύμβολα φέρει τῆς ἡττωμένης γενέσεως, ἀποκναισθεὶς τὸν μηρὸν καὶ οἷον ἀποναρκήσας. 15

Ἀλλὰ «τὸ τῆς καμήλου παίγνιον θάνατος ὄνου ἐστί», φησὶν ὁ δημώδης λόγος· καὶ δέδοικα μὴ ταὐτὸ πάθοι καὶ οὗτος, καὶ ταῦτα

XLVI cf. Cecaumenus 4,184 ὁ μεγαλοδοξότατος σεβαστοφόρος κῦρ Νικηφόρος κριτὴς Πελοποννήσου καὶ Ἑλλάδος et etiam Lemerle 1977,300–302 ‖ **1** Βεσαίνης: cf. TIB 1,134–135 ‖ **13–15** ὥσπερ – ἀποναρκήσας: Gen. 32,25–26 ὑπελείφθη δὲ Ιακωβ μόνος, καὶ ἐπάλαιεν ἄνθρωπος μετ' αὐτοῦ ἕως πρωί. εἶδεν δὲ ὅτι οὐ δύναται πρὸς αὐτόν, καὶ ἥψατο τοῦ πλάτους τοῦ μηροῦ αὐτοῦ, καὶ ἐνάρκησεν τὸ πλάτος τοῦ μηροῦ Ιακωβ ἐν τῷ παλαίειν αὐτὸν μετ'αὐτοῦ ‖ **16** τὸ – ἐστί: proverbium; cf. CPG I 266–267 (nr. 81) et II 757 (nr. 88) κάμηλος καὶ ψωριῶσα πολλῶν ὄνων ἀνατίθεται φορτία

ep. 187 P 211v–212r; tit. P S H-M ‖ **14** ἥττηται om. H-M

οὐκ ὢν ὀρεσίφοιτος, οἷος ὁ τοῦ Ἰὼβ ἀτίθασσος, φωνὴν φορολόγου
μὴ ἀκούων, ἀλλὰ πολιτικὸς καὶ τῆς ἀρίστης πόλεως καὶ πολλοῖς
20 φορολόγοις ἐκκείμενος.

Ὁ μὲν οὖν πολλοὺς ἐνδεδυμένος χιτῶνας οὐκ ἂν εὐθὺς τὰς
σάρκας διασπαρείη τῷ λέοντι, ὁ δὲ ὑφ' ἑνὶ καὶ ταῦτα λεπτῷ
συγκεκαλυμμένος, εὐθὺς τῶν ὀνύχων τὰς ἀμυχὰς ἐντυπωθείη τοῖς
μέλεσιν. Ἆρ' οὖν οὐχὶ «μονοχίτων» (τρόπον τινὰ) καὶ ὁ τῆς
25 Βεσαίνης ἐπίσκοπος, βραχεῖαν ἔχων περιβολὴν καὶ ταύτην ἀναγ-
καιοτάτην, εἶτα δὴ καὶ περὶ αὐτῇ κινδυνεύων;

Εἴ τις σοι λόγος δικαιοσύνης, πρὸς δὲ καὶ φιλανθρωπίας,
γενοῦ τῷ ἀνδρὶ οἷος ἐκεῖνος ὁ ἐκ Σαμαρείας τῷ καταβαίνοντι ἐξ
Ἰερουσαλὴμ εἰς Ἱεριχὼ καὶ λησταῖς περιπεπτωκότι. Τοσοῦτον δέ
30 μοι ἐκείνου διένεγκαι: μὴ ἀναμείνῃς περιδυθῆναι τὸν ἄνθρωπον
καὶ περιτεθῆναι πληγάς· τί γὰρ τούτῳ μετὰ ταῦτα οἱ κατάδεσμοι,
καὶ τὰ ἔλαια, καὶ ἡ καινὴ παρακαταθήκη, καὶ τῶν δύο Διαθηκῶν
τὰ αἰνίγματα; οὐ γὰρ ἕξεις σὺ ᾧ παραθήσεις, οὐδὲ ἀναθεῖναι ἐπὶ
τῶν ὤμων δυνήσῃ· κέκλεισται γὰρ ἤδη τὰ σεμνὰ ἐκεῖνα καὶ
35 πράγματα καὶ ὀνόματα.

Τί οὖν ᾧ περισώσεις τὸν ἄνδρα; Ἀπάντησον ἀπὸ τῶν ὑψηλῶν
καταβαίνοντι, καὶ γενοῦ σύμμαχος αὐτῷ, ἢ πρόμαχος γενναιότα-
τος, καὶ μὴ ἐάσῃς ληστρικῷ συντάγματι ἐμπεσεῖν· τὸ γὰρ πλεῖον

18–19 φωνὴν – ἀκούων: Job 39,7 μέμψιν φορολόγου μὴ ἀκούων. cf. Π 53,40–41 ‖ **24** μονοχίτων: Greg. Naz. Εἰς τὸ ἅγιον Πάσχα = Or. 45,19 πρὸς τῷ … μονοχίτωνι, cf. Psel. Τῶν εἰς τὸ ἅγιον πάσχα ἀλληγορουμένων κρυφίως τῷ θεολόγῳ Γρηγορίῳ ἐξήγησις = Theol. I 43,11–15; cf. etiam Π 214,14 **28–32** ἐκεῖνος – ἔλαια: Luc. 10,30–37 ἄνθρωπός τις κατέβαινεν ἀπὸ Ἰερουσαλὴμ εἰς Ἰεριχὼ καὶ λησταῖς περιέπεσεν, οἳ καὶ ἐκδύσαντες αὐτὸν καὶ πληγὰς ἐπιθέντες ἀπῆλθον ἀφέντες ἡμιθανῆ … Σαμαρίτης δέ τις … κατέδησεν τὰ τραύματα αὐτοῦ ἐπιχέων ἔλαιον … etc. cf. Psel. Εἰς τὸ 'ἀκολουθήσατε αὐτῷ καὶ τῷ οἰκοδεσπότῃ εἴπατε' = Theol. I 1,65–67 ‖ **33** οὐ – παραθήσεις: Luc. 11,6 ἐπειδὴ φίλος μου παρεγένετο ἐξ ὁδοῦ πρός με καὶ οὐκ ἔχω ὃ παραθήσω αὐτῷ ‖ **33–34** οὐδὲ – δυνήσῃ: Luc. 15,5 καὶ εὑρὼν ἐπιτίθησιν ἐπὶ τοὺς ὤμους αὐτοῦ χαίρων

τοῦ ἀντιθέτου μέρος φιλάνθρωπον. Εἴ γε βάσις ἐλέους ὁ βασιλεύων ἠτυμολόγηται, κἂν οὐκ ἔστιν ἄλλως ἢ πειραθῆναι τὸν ἄνθρωπον, 40 σὺ δὲ ἀλλὰ μὴ ἅψῃ τῶ ὀστῶν αὐτοῦ, ἢ μᾶλλον μὴ ἐάσῃς ἅψασθαι τούτου τὸν πειραστήν· ἦ γὰρ ἂν «εἰς πρόσωπόν σε εὐλογήσῃ» (ἵνα καὶ ἑτεροίως εἴπω τὸ δύσφημον), οὐ μέλει δὲ αὐτῷ τοῦ ὑστέρου χρηματισμοῦ καὶ τοῦ ἵνα ἀναφανῇ δίκαιος.

Ἀντιτάχθητι γοῦν τοῖς ἐπ' αὐτὸν ἱππεῦσι, καὶ στῆσον τὸ ἥλιον 45 κατὰ Γαβαὼθ καὶ τὴν σελήνην κατὰ φάραγγα· μᾶλλον δὲ ἐπίταξον τοις ἀνέμοις μὴ ἐπεισπνεῦσαι τῇ τούτου ἐπισκοπῇ, ἵνα μὴ ἄλλος ἐπ' ἄλλῳ τῶν πονηρῶν ἀγγέλων προτρέχῃ καὶ ἐπιτρέχῃ ἀπαγγέλλων αὐτῷ τὰ δεινότατα.

Τοῖς μὲν οὖν ἄλλοις τῶν δικαστῶν ἢ χεὶρ λῆμμα διδοῦσα 50 δεδύνηται, ἢ δάκρυον ῥέον ἐκ βλεφάρων πολύ· παρὰ δέ σοι ὁ γενναῖος λόγος ἀρκεῖ. Εἰ μὲν οὖν ἡ ἐπιστολὴ ἐκ τῶν πηγῶν ἐκείνων οἵων ἐρᾷς, ἐπίρανόν τι φιλανθρωπίας τῷ ἐπισκόπῳ· εἰ δὲ αὐχμώδης καὶ οὐ διολισθαίνουσα λείως εἰς τὴν ψυχήν, ἔστω δὴ καὶ τοῦτο ἀτύχημα τῷ ἀνδρὶ ὅτι οὕτως αὐτῷ ἡ γένεσις τεθεμάτισται, 55 μήτε ἐμὲ λέγειν περὶ τούτου θελκτήρια, μήτε ἡδέως τὰ λεγόμενα δέχεσθαι.

39–40 βάσις – ἠτυμολόγηται: cf. Georg. Choerob. Ἐπιμερισμοὶ τοῦ ψαλτηρίου 69,26-28 πόθεν ἐτυμολογεῖται [scil. βασιλεύς]; παρὰ τὸ βάσις εἶναι ἐλέους ἢ ἐπίβασις καὶ ὕψος. δεῖ γὰρ ἀληθῶς βασιλέα καλοποιεῖν. cf. etiam Areth. Δημηγορία ἐπιτραπέζιος ὑπὸ παρουσίᾳ Λέοντος τοῦ εὐσεβοῦς βασιλέως = Scr. min. 61 (29,6–7) et Comm. in Apoc. 700,43. cf. Psel. Τῷ αὐτῷ βασιλεῖ (scil. Κωνσταντίνῳ τῷ Μονομάχῳ) = Or. pan. 3,63 ἐλέους βάσις **41** μὴ[1] – αὐτοῦ: Job 2,5 οὐ μὴν δὲ ἀλλὰ ἀποστείλας τὴν χεῖρά σου ἅψαι τῶν ὀστῶν αὐτοῦ ‖ **42** εἰς – εὐλογήσῃ: Job 1,11 et 2,5 ‖ **45–46** καὶ – φάραγγα: Jos. 10,12 στήτω ὁ ἥλιος κατὰ Γαβαων καὶ ἡ σελήνη κατὰ φάραγγα Αιλων. cf. Psel. Λόγος εἰς τὴν σταύρωσιν = Or. hag. 3b,106–107, Λόγος ἐπὶ τῷ ἐν Βλαχέρναις γεγονότι θαύματι = Or. hag. 4,337–338, et Εἰς τὸ 'κύριε, ἐλέησον' = Theol. I 13,53–55 ‖ **54** οὐ – ψυχήν: cf. Lucian. Ἀληθῆ διηγήματα 2,2 λείως … διολισθάνοντες et Περὶ τοῦ οἴκου 12,9 λείως … διολισθάνουσαν. cf. etiam Π 50,14–15 ῥᾷστα διὰ ταύτης τὸν ἐμὸν λόγον εἰς τὴν σὴν διολισθαίνειν ψυχήν et Π 268,49–50 οὐ τοίνυν διολισθήσει τὸ μέλος ὁμαλῶς πρὸς τὴν μήνιγγα

40 πειρασθῆναι H-M

188. Εἰς τόν σεβαστοφόρον Νικηφόρον
ca. a. 1068? cf. Π 450

K-D 8 [K]

Εἰ μὲν ἀρκεῖ σοι πρὸς παραμυθίαν τὰ κλεινὰ τῆς Ἑλλάδος ὀνόματα, ὁ Πειραιεύς, τὸ Σούνιον, ὁ Σχοινοῦς, οἱ κῆποι τῶν φιλοσόφων, τὸ Ῥίον, τὸ Ἀντίρριον, τὸ Θριάσιον πεδίον, ἡ Κρομμυωνία, αἱ Σκειρωνίδες πέτραι, τἆλλα, καὶ ἀντὶ πάσης
5 ψυχαγωγίας, τὸ Φαληροῖ τε ἰέναι καὶ Φαληρόθεν ἀπιέναι, περιττὰ τἆλλα καὶ μάτην σοι ὁ περίγειος οὗτος Ἠλίας τοσούτῳ διαστήματι μετεώρισται. Εἰ δέ σοι οὐ παρηγορεῖν οἶδε τὰ ὀνόματα, ἀλλὰ τὰ πράγματα, ἔστω σοι οὗτος ἀντὶ τοῦ μεγάλου ἐκείνου ἐπιγράμματος: «Τάδε Πελοπόννησος οὐκ Ἰωνία», ἢ τὸ
10 ἀντίθετον. Οὗτος μὲν γὰρ ἐπιγράμματα μὲν ποιεῖν οὐκ οἶδεν, οὔθ' οἷα τὰ Ἀρχιλόχεια, οὔθ' οἷα τὰ Σιμωνίδεια, ἐπιγράφεσθαι δὲ (εἴ γέ τις βούλοιτο τοῦτο ποιεῖν) πᾶσιν ἀντὶ στήλης ἀρκεῖ. Ἔστραπται δὲ πρὸς ἄμφω, πρός τε ἀνίσχουσαν ἀκτῖνα καὶ πρὸς ἑσπέραν· καὶ ἔστιν οὐ τῶν στερεῶν ζῳδίων, ἀλλὰ τῶν δισώμων,
15 μενοῦνγε καὶ τῶν τροπικῶν.

Χρῶ οὖν αὐτῷ ὁποτέρῳ βούλοιο· μόνον γελῴης ἡδέως καὶ ἀγαπῴης τὸν ἄνθρωπον.

1–5 τὰ – ἀπιέναι: cf. Psel. Περὶ τῶν Ἀθηναϊκῶν τόπων καὶ ὀνομάτων cum Strab. Γεωγραφικά passim. cf. etiam Plat. Συμπόσιον 172a2–3 εἰς ἄστυ οἴκοθεν ἀνιὼν Φαληρόθεν ‖ **6** ὁ – Ἠλίας: de eoque cf. Π 77,9–10 = Π 130,10–11, Π 219,2, Π 220,3, Π 253,1, Π 254,1, Π 288,1, Π 326,1, Π 327,1, et Π 450,1. cf. etiam Π 543,1? ‖ **9–10** τάδε – ἀντίθετον: cf. Strab. Γεωγραφικά 9,1,6,4–8 (cf. 3,5,5,61–63) στήλην ἔστησαν ... περὶ αὐτὸν τὸν Ἰσθμόν, ἐπιγραφὴν ἔχουσαν ἐπὶ μὲν τοῦ πρὸς τὴν Πελοπόννησον μέρους «τάδ' ἐστὶ Πελοπόννησος οὐκ Ἰωνία», ἐπὶ δὲ τοῦ πρὸς Μέγαρα «τάδ' οὐχὶ Πελοπόννησος ἀλλ' Ἰωνία» ‖ **13–14** πρός – ἑσπέραν: cf. Π 125,85–86 πρὸς τὴν ἀκτῖνα μετατίθεμαι καὶ κ[ατὰ τ]ὸν ἀέρα, πρῶτον ἕσπερον ‖ **14–15** οὐ – τροπικῶν: cf. e.g. Procl. In Remp. II 44,11–13 διεῖλεν δὲ τὸν ζῳδιακὸν τριχῇ, τοῖς τροπικοῖς τοῖς δισώμοις τοῖς στερεοῖς

ep. 188 K 73r–v; tit. K K-D ‖ **3** Ἀντίρριον corr. K-D: ἀντιρίον K ‖ **7** παρηγορεῖν corr. K-D: παρηγορεῖ K ‖ **11** Σιμωνίδεια corr. K-D: σιμωνίσεια K

189. Τῷ δουκὶ Ἀντιοχείας τῷ ⟨Νικηφορίτζῃ (?)⟩

K-D 43 [L]

Μὴ θαυμάσῃς ὅπερ ἐρῶ, αὐθέντα μου ὑπέρτιμε καὶ ἀδελφὲ περιπόθητε, ἐπεὶ καὶ παρὰ φιλοσοφίας εἰσάγω σοι τὸ νόημα πορισάμενος. Ἡ ἐφεστηκυῖα τοῖς ὅλοις πρόνοια, τὰς τῶν πραγμάτων δυσχερείας εἰδυῖα σαφῶς, καὶ ὅτι δεῖ καθάπερ πρὸς μέλλουσαν τρικυμίαν κυβερνήτην τινὰ ἐπιστῆναι καὶ ἀντιστῆναι 5 τοῖς κύμασι, πόρρωθεν τὰς μεγαλοπρεπεῖς ὑμῶν καὶ δραστηρίους ψυχὰς ἑτοιμάζει τοῖς πράγμασιν, ἵνα κατὰ πᾶσαν τέχνην καὶ δύναμιν τοῖς ἀντιπίπτουσι καὶ συμπίπτουσι ἀντισταίητε.

Τοῦτο δὲ ἄλλοις τε πολλοῖς φημι τεκμαιρόμενος, καὶ τῷ σῷ συνετωτάτῳ καὶ δραστηρίῳ φρονήματι. Ὁπηνίκα μὲν γὰρ ἐνίαις 10 σου ἐντύχω ἐπιστολαῖς, διεξιούσαις ὅτιπερ ἐπῆρται τὰ τῶν ἐχθρῶν ἐφ' ἡμᾶς, καὶ ὡς οἱ μὲν ἤδη τοῖς ἡμετέροις προσβάλλουσιν, οἱ δὲ τὸν καιρὸν ταμιεύονται, καὶ οἱ μὲν καταπεφρονήκασι, οἱ δ' ἀπηναισχυντήκασιν, οἱ δ' ἄλλο τι τῶν χειρίστων ἐπινοοῦσιν ἢ λέγουσι, καὶ ἀκροβολισμοὶ πανταχόθεν καὶ πεῖραι ἢ προφανεῖς 15 πόλεμοι, καὶ ὡς οὐδεμία πρὸς ταῦτα ἀντιπνέουσα δύναμις, οὐδέ τις λόγος ἐντεῦθεν σωτήριος, οὐδὲ πρᾶξις λυσιτελής, πέφρικα περὶ τῶν ὅλων, καὶ σοῦ μάλιστα τῆς ἱερᾶς κεφαλῆς, καὶ ὥσπερ ὁρᾶν δοκῶ ἑαλωκυῖαν τὴν Ἀντιόχειαν, καὶ τὰ ἐκ τῆς αἰχμαλωσίας δεινά. 20

Ἐπειδὰν δὲ δευτέροις σου μετὰ ταῦτα ἐντύχω γράμμασιν, ἀπαλλαγὴν μὲν τῶν δεινῶν εὐαγγελιζομένοις, τάξιν δὲ καὶ ἁρμονίαν, λυσιτελεστάτην μὲν τῷ παντί, ἀπροσδόκητον δέ, πρὸς τὴν τῆς προνοίας ἀναφέρω τὸ πᾶν τάξιν καὶ δύναμιν· εἰ γὰρ καὶ μικρῷ περιγέγραπται (ἵν' οὕτως εἴπω) σώματι ἡ ψυχή, ἀλλὰ τὸ 25 θεῖον τοῦτο χρῆμα ἀπείρου μετέχει δυνάμεως, καὶ μάλιστα εἰ σώζει τὴν καταβολὴν ἄχραντον καὶ οὐχ ὅλη τοῦ σώματος γίνεται,

ep. 189 Νικηφορίτζῃ: ad Nicephoritzen vel ad Nicephorum III Botaneiaten (dux Antiochiae: a. 1067 – a. 1068; imperator: 7.I.1078 – 1.IV.1081), aestate vel autumno 1067 (ut Cheynet 2013,418–419)?

ep. 189 L 24v–25v; tit. dubitanter scripsi: τῷ δουκὶ Ἀντιοχείας τῷ L τῷ δουκὶ Ἀντιοχείας [τῷ] K-D

ἀλλ' οἷον ἀκρόπλους ἐστὶν ἐφεστηκυῖα τῇ κεφαλῇ, καὶ ὥσπερ φελλὸς ἐπιπλέων, καὶ οὐ γινόμενος τοῦ βυθοῦ.

30 Ὃ γοῦν δυσχεραίνεις, τοῦτό σε θαυμάσιον δείκνυσιν, ὅτι καὶ τῆς θαλάσσης τῇ φορτίδι περικλυζομένης, καὶ τοῦ βορέου ἤδη τὴν ναῦν ἀνατρέποντος, αὐτὸς ἐπὶ πρύμνης ἑστώς, καὶ πρὸς τοὺς ἄνω πυρσοὺς ἀφορῶν, εἰς ἀκλύστους λιμένας καθορμίζεις τὴν ναῦν. Ταῦτα δέ σοι οὐ παρ' ἡμῶν ἐπενήνεκται, ἀλλὰ καὶ ὁ ἐκ τοῦ 35 Χάλεπ πρέσβις—ἀλλὰ τί μὴ τὸ πᾶν σοι διηγοῦμαι τοῦ πράγματος, τοῖς σοῖς ἐμπανηγυρίζων καλοῖς; Καθῆστο μὲν γὰρ ὁ βασιλεύς, ἤδη ἐπὶ μετεώρου τοῦ βήματος, βασιλικοῖς τε παρασήμοις διαπρεπὴς καὶ μείζονι δορυφορίᾳ καταλαμπόμενος, τάξις τε τῆς συνήθους καλλίων, καὶ τὰ ἀνάκτορα ἄχρι καὶ τῶν προτεμενι-40 σμάτων περιφανέστερα. Ἐπὶ τούτοις ὁ πρέσβις εἰσῄει, δορυφορούμενος ὁπόσον εἰκὸς καὶ ἀποβλεπόμενος, εἶτα δὴ ἐντὸς αὐτῶν τῶν ἀδύτων γενόμενος, ἔστη τε κατὰ χώραν, καὶ τῷ ἐδάφει προσηκόντως ἐρείσας τὴν κεφαλήν, εὐφήμησέ τε τὰ εἰωθότα τὸν αὐτοκράτορα, καὶ τὰς ἀποκρίσεις ἀπεδίδου ταῖς ἐρωτήσεσιν. Ἔπειτα δὴ 45 περιστρέψας τὸν λόγον, τὴν περὶ σοῦ εὐφημίαν κατέτεινε, μεγαληγορήσας σου τὴν ἀρετήν, λόγοις μακροῖς καὶ σοφοῖς.

28–29 οἷον – βυθοῦ: Plut. Περὶ τοῦ Σωκράτους δαιμονίου 591e1–2 οἷον ἀκρόπλουν ἐπιψαῦον ἐκ κεφαλῆς τοῦ ἀνθρώπου καθάπερ ἐν βυθῷ δεδυκότος et 592a1–2 ὥσπερ τοὺς τὰ δίκτυα διασημαίνοντας ἐν τῇ θαλάσσῃ φελλοὺς ὁρῶμεν ἐπιφερομένους. cf. Psel. Χρονογραφία 197,20–22 et Ἐπιτάφιος εἰς τὴν ἑαυτοῦ μητέρα 1075–1077 et Π 167,27–28 ‖ **32–33** καὶ – ναῦν: cf. Π 200,15–16 ὑπὸ τοῖς ἄνω πυρσοῖς πρὸς τοὺς θείους κατῆρας λιμένας et Π 275,45–47 καὶ πρὸς τοὺς ἄνω οὐριοδρομήσας πυρσοὺς καὶ εἰς τοὺς ἀκλύστους κατάρας λιμένας ‖ **33** ἀκλύστους λιμένας: iunctura saepe laudata; cf. e.g. Opp. Ἁλιευτικά 1,226 ἐν ἀκλύστοισιν ἐεργομένη λιμένεσσι et 4,450 λιμένεσσι παρ' ἀκλύστοισι et Plut. Περὶ τοῦ ὅτι μάλιστα τοῖς ἡγεμόσι δεῖ τὸν φιλόσοφον διαλέγεσθαι 778c7 ἐν ἀκλύστῳ λιμένι cum Psel. Χρονογραφία VI,72, Λόγος εἰς τὴν σταύρωσιν ... = Or. hag. 3a,507, Ἐγκώμιον εἰς τὴν ἀποτομὴν τοῦ πανευφήμου προφήτου Προδρόμου καὶ βαπτιστοῦ Ἰωάννου = Or. hag. 8,685, Σελέντιον δημηγορηθὲν παρὰ βασιλέως κῦρ Μιχαὴλ τοῦ Δούκα = Or. min. 3,19, Ἱστορία σύντομος 62,26, et Π 270,23, Π 275,46–47, Π 288,34–35, Π 324,13, Π 467,5, et Π 548,12–13 ‖ **36–37** ὁ βασιλεύς: Constantinus X Ducas (imperator: 23/24.XI.1059 – 22/23.V.1067) (Π XVIII)?

35 πρέσβις (more byzantino) L: πρέσβυς corr. K-D ‖ **39–40** προτεμενισμάτων : τῶν ἔξωθεν τειχῶν suprascr. L ‖ **40** πρέσβις (more byzantino) L: πρέσβυς corr. K-D

Ἐπὶ τούτοις ἐγὼ (ὄμνυμι δὲ τὴν ἱεράν σου ψυχήν!) ἐπ᾽ ἄκρων δακτύλων εἱστήκειν· καὶ ὃ μηδέποτε ἐπεποιήκειν, ὤρθωσά τε σοβαρώτερον τὸν αὐχένα· καὶ ὥσπερ αὐτὸς ὢν ὁ παρὰ τοῦ βαρβάρου μεγαλυνόμενος, οὐκ εἶχον ὅ τι καὶ γενοίμην, διαρρεόμενος τῷ 50
μεγέθει τοῦ πράγματος. Ὡς δὲ καὶ τὰ γράμματα τῆς συνθήκης ὑπανεγνώσθησαν καὶ ἡ λαμπρὰ ἐκείνη προσθήκη, ἧς μᾶλλον ἡμῖν ἔμελεν, οὐκέτι καθεκτὸς ἐγεγόνειν, ἀλλὰ λύσας αὐτίκα τὴν γλῶσσαν (εἰπεῖν δὲ καὶ τὴν συνήθη αἰδῶ), πολλὰ δὴ καὶ μεγάλα περὶ σοῦ τὴν βασίλειον περιήχησα ἀκοήν. 55

Εἰ δ᾽ ἐπὶ πᾶσι τούτοις οὐκ εὐθὺς ἠχεῖ τὰ χρηστήρια, οὐδὲ ὁ τρίπους μαντεύεται, μηδὲ τοῦτο θαυμάσῃς· ὅλην γὰρ τὴν περὶ τοῦ πράγματος εὐδοξίαν τῇ σῇ ψυχῇ ἀνατίθεται ὁ θεός. Καὶ ὁ Ἀρχιμήδης ἐκεῖνος, ὅτε τὴν τριάρμενον ναῦν κατεσκεύασε, πολλῶν κινῆσαι μὴ δυναμένων, αὐτὸς ἑνὶ τῶν περὶ τὴν τέχνην προστάξας, 60
μετήνεγκε. Πέπεισμαι γοῦν ὡς αὐτὸς μόνος ἀρκέσεις πρὸς τὴν τῶν ὅλων διοίκησιν.

Τὸ δὲ καὶ ἡμᾶς μερίδα τίθεσθαι τῶν ἐπικεχυμένων σοι φροντισμάτων, τοῦτο τῆς σῆς ἂν εἴη μόνης πλατείας καὶ πολυχωροτάτου ψυχῆς. 65

47–48 ἐπ᾽ – δακτύλων: cf. Soph. Αἴας 1230 ὑψήλ᾽ ἐφρόνεις κἀπ᾽ ἄκρων ὡδοιπόρεις. cf. Π 58,11, Π 173,33–34, Π 174,7, et Π 190,30 ‖ **47–49** ἐπ᾽ – αὐχένα: cf. Π 58,10–11 ὅθεν ἀθρόον σοβαρὸς γέγονα καὶ ἔσπακα τὴν ὀφρῦν καὶ ἐπ᾽ ἄκρων βαδίζω δακτύλων, Π 173,33–35 καὶ ἐπ᾽ ἄκρων μὲν βαδίσω δακτύλων, σοβαρὰν δὲ τὴν ὀφρὺν ἐπιτοξεύσω τοῖς ὀφθαλμοῖς, καὶ τὸν μὲν αὐχένα μετεωρίσω ἐπὶ τὸ ἄναντες, Π 174,7 διὸ δὴ σοβαρόν τε βαδίζω καὶ ἐπ᾽ ἄκρων δακτύλων, et Π 190,29–32 ἀνέσπασα τὴν ὀφρῦν ἀκούσας εὐθύς, ἢ ἐπ᾽ ἄκρων δακτύλων ἐβάδισα, καὶ τῆς ἐμῆς ἀνέμνησα μαρτυρίας τὸν αὐτοκράτορα καὶ ἐκόμπασα (πῶς ἂν εἴποις;) μέγα καὶ σοβαρόν ‖ **58–61** ὁ^{2} – μετήνεγκε: Procl. In Eucl. 63,19–24 λέγεται περὶ Ἀρχιμήδους, ὅτε τὴν τριάρμενον κατεσκεύασε ναῦν, ἣν παρεσκευάζετο πέμπειν Πτολεμαίῳ τῷ βασιλεῖ τῷ Αἰγυπτίῳ· πάντων γὰρ ἅμα Συρακουσίων ἑλκῦσαι τὴν ναῦν οὐ δυναμένων Ἀρχιμήδης τὸν Ἱέρωνα μόνον αὐτὴν καταγαγεῖν ἐποίησεν

53 ἔμελεν corr. K-D: ἔμελλεν L

190. Τῷ δουκὶ Ἀντιοχείας ⟨τῷ Νικηφορίτζῃ (?)⟩

K-D 62 [L]

Μόλις ποτὲ τῶν πολλῶν τε ἀνείθην ἐπὶ σοὶ φροντίδων, καὶ ἡδέως ἀφύπνωσα· ἐγρήγορα γὰρ ἀεὶ τῷ λογισμῷ, καὶ ἀνειστήκει μοι τὰ ὦτα, καὶ πρὸς πᾶσαν περὶ σοῦ φήμην καὶ ἀκοήν, μετέωρος ἦν. Βαλλομένη δὲ καὶ ἐν ὕπνοις, πρὸς τὰς ὀξείας ἀγγελίας τῶν
5 ὀνειράτων, καὶ ὅλως ἑτερορρεπὴς ἦν μοι καὶ ἀμφιτάλαντος ἡ ψυχή, ζυγοστατουμένη τοῖς ἐνθυμήμασι, καὶ μετακλινομένη ταῖς ἑκατέρωθεν ὑπολήψεσιν. Ὡς δέ σε μικροῦ δεῖν καὶ ὁπλοφοροῦντα τεθέαμαι, καὶ τῆς ἡμετέρας προασπίζοντα φάλαγγος, καὶ ὁμόσε χωροῦντα κατὰ τῶν ἐναντίων, καὶ φόνῳ πολεμίων ἡμαγμένον τὴν
10 δεξιὰν καὶ νικῶντα καὶ στεφανούμενον, ἀνεθάρρησα τῇ ψυχῇ καὶ σε προαπαντήσας, τῆς διώξεως ἀναζευγνύντα, καὶ φόνου τῶν ἀντιτεταγμένων κεκορεσμένον, ἀμφοτέραις συναγκαλισάμενος κατεφίλησα.

Ἀλλὰ ταῦτα μὲν ὅ τε λογισμὸς πλάττειν οἶδε, καὶ ὁ τῆς ἐμῆς
15 ψυχῆς ἔρως, ὥσπερ ἐπ᾽ ὄψεσιν ἐξεικονίζει τὴν ἀκοήν. Αὐτὸ δέ σοι τὸ γεγονὸς οὐ προοίμιον μόνον τῶν ἐσομένων τῷ τε βασιλεῖ καὶ ἡμῖν ἔδοξεν, ἀλλὰ καὶ ἀγὼν ἀκμαιότατος. Οἱ μὲν οὖν πολλοὶ καὶ τοὺς ἐπιλόγους τῶν κατορθωμάτων ζητήσουσι, καὶ τὰ τῶν εὐτυχημάτων ἀκροτελεύτια, καὶ οὐ τὸν αὐτόματον μόνον πόλεμον,
20 ἀλλὰ καὶ τὸν ἐν φροντίδι καὶ μετὰ σκέψεως. Ἐγὼ δὲ οὐκ οἶδα εἴτε ἀσφαλὴς ὢν εἴτε μικρόψυχος, αὐτὸ δὴ σοι τὸ κατορθωθὲν ἀντὶ παντὸς εἴληφα. Κἂν μὲν ἄλλο τι κρεῖττον ἐπισυμβαίη ὅμοιον, ἀριστείοις σε στεφάνοις κρείττοσιν ἀναδήσομαι· εἰ δ᾽ οὖν, ἀλλὰ τὴν παροῦσαν ταινίαν, ἥν σοι τῇ κεφαλῇ προσήρμοσα, ἐπικαλ-
25 λυνῶ καὶ ἐπικοσμήσω, τοὺς τῶν λόγων ὑπαλλάττων σοι μαργαρίτας, καὶ μεταχρυσίζων ἀεί σοι τὸν στέφανον· ὧν γὰρ οἱ χαλκάσπι-

ep. 190 τῷ Νικηφορίτζῃ: cf. Cheynet 2013,416 ‖ **16** τῷ – βασιλεῖ: Constantinus X Ducas (imperator: 23/24.XI.1059 – 22/23.V.1067) (Π XVIII)?

ep. 190 L 33r–34r; tit. dubitanter scripsi (cf. app. annot.): τῷ δουκὶ Ἀντιοχείας L K-D ‖ **4** βαλλομένη scripsi: βαλλομένην L K-D ‖ **5** ἀμφιτάλαντος corr. K-D: ἀφιτάλαντος L ‖ **23** σε corr. K-D: σου L ‖ **24–25** ἐπικαλλυνῶ corr. K-D: ἐπικαλλύνω L

δες ἐκεῖνοι, καὶ τὰς ἀμφιστόμους ῥομφαίας ἀπὸ τοῦ δεξιοῦ ὤμου κραδαίνοντες, ἐν πολλοῖς χρόνοις οὐ τετυχήκασι, ταῦτα δὴ σὺ ὁ ἀπειροπόλεμος κατώρθωκας ἐν βραχεῖ. Ἀνέσπασα τὴν ὀφρῦν ἀκούσας εὐθύς, ἢ ἐπ' ἄκρων δακτύλων ἐβάδισα, καὶ τῆς ἐμῆς 30 ἀνέμνησα μαρτυρίας τὸν αὐτοκράτορα καὶ ἐκόμπασα (πῶς ἂν εἴποις;) μέγα καὶ σοβαρόν. Εἰ δὲ καὶ αὖθις ἐπικομπάσομαι, καὶ σύ με τάχα καταιτιάσῃ τοῦ ὑπερόγκου φρονήματος.

῝Ο δέ μοι προσέταξας, ἀκμὴν οὐ τετέλεσται· τὸ γὰρ γράμμα κατὰ πόδας εὐθὺς τοῦ σοῦ ἔσταλται γράμματος. 35

XLVII. ⟨Νικηφόρος (?)⟩

μητροπολίτης Ἐφέσου (ca. a. 1072 – a. 1078?)

191. Τῷ μητροπολίτῃ Ἐφέσου

S 179 [P]

Εἰ μὲν ᾔδεις, τιμιώτατε πάντων ἀνδρῶν, ἀποστρεφόμενόν με τὴν

27–28 τὰς – κραδαίνοντες: cf. Π 164,18–19 τοῖς ἑτεροστόμοις τούτοις ξίφεσιν … ὁποῖα δὴ οἱ περὶ τὸν Ταῦρον Σκῦθαι ἀπὸ θατέρου τῶν ὤμων κραδαίνουσι. iunctura Pselliana in Ann. Comn. Ἀλεξιάς II 9,4,10–11 οἱ δέ γε ἐπὶ τῶν ὤμων τὰ ξίφη κραδαίνοντες, II 12,4,7 τοὺς ἐπὶ τῶν ὤμων τὰ ξίφη κραδαίνοντας, et XII 6,3,15–16 βαρβάρους θεασάμενος ἐπὶ τῶν ὤμων τὰ ἑτερόστομα ξίφη κραδαίνοντας laudata ‖ **27** ἀμφιστόμους ῥομφαίας: cf. etiam Π 15,17 **26–28** οἱ – τετυχήκασι: Plut. Aem. Paul. 18,5–8 πρῶτοι δ' οἱ Θρᾷκες ἐχώρουν … ὀρθὰς δὲ ῥομφαίας βαρυσιδήρους ἀπὸ τῶν δεξιῶν ὤμων ἐπισείοντες … αἱ τῶν χαλκασπίδων ἐπανατέλλουσαι φάλαγγες ‖ **30** ἐπ' – δακτύλων: cf. Soph. Αἴας 1230 ὑψήλ' ἐφρόνεις κἀπ' ἄκρων ὡδοιπόρεις. cf. Π 58,11, Π 173,33–34, Π 174,7, et Π 189,47–48 ‖ **29–32** ἀνέσπασα – σοβαρόν: cf. Π 58,10–11 ὅθεν ἀθρόον σοβαρὸς γέγονα καὶ ἔσπακα τὴν ὀφρῦν καὶ ἐπ' ἄκρων βαδίζω δακτύλων, Π 173,33–35 καὶ ἐπ' ἄκρων μὲν βαδίσω δακτύλων, σοβαρὰν δὲ τὴν ὀφρὺν ἐπιτοξεύσω τοῖς ὀφθαλμοῖς, καὶ τὸν μὲν αὐχένα μετεωρίσω ἐπὶ τὸ ἄναντες, Π 174,7 διὸ δὴ σοβαρόν τε βαδίζω καὶ ἐπ' ἄκρων δακτύλων, et Π 189,47–49 ἐπ' ἄκρων δακτύλων εἱστήκειν· καὶ ὃ μηδέποτε ἐπεποιήκειν, ὤρθωσά τε σοβαρώτερον τὸν αὐχένα ‖ **XLVII** cf. Psel. Μονῳδία εἰς τὸν πρωτοσύγκελλον καὶ μητροπολίτην Ἐφέσου κῦρ Νικηφόρον = K-D I 23? μητροπολίτης Ἐφέσου: cf. Oikonomidès 1960,63

ep. 191 P 232v–233r; tit. P S

σὴν ὁμιλίαν, ἢ μὴ καθάπερ ἀπὸ πηγῆς τοῦ στόματος τοὺς σοὺς ἀρυόμενον λόγους, εἰκός τι δοκεῖς ποιεῖν, ἣν ἐμίσουν προσλαλιάν, ταύτην μὴ διδοὺς ἐν τοῖς γράμμασιν· εἰ δ' ἀκούων ὅτι μοι 5 παραγέγονας, εὐθὺς τῶν ἄλλων διαλόγων ἀφέμενος τῆς σῆς ἐξηρτώμην γλώττης, τί μὴ τὴν ποθουμένην ἡμῖν καὶ πόρρωθεν ἐπιχέεις πηγήν;

Οὐκ οἶσθ' ὅτι τοῦτο μόνον τοῖς διεστῶσι τῶν φίλων ἀποχρῶν εἰς παραμυθίαν ἐστίν, ὁ ἐπιστολιμαῖος λόγος καὶ ἡ διὰ μέσου τοῦ 10 γράμματος ἕνωσις; εἰ γὰρ ἀφέλῃ τις τὸν δεσμόν, τρόπον τινὰ τὴν φιλίαν διέλυσεν. Οὐ γάρ με πείθουσιν οἱ περιττοὶ τὴν σοφίαν ὡς ἡ νοερὰ ὁμιλία καὶ τὸ ἐν φαντασίαις αὔταρκες ποιοῦσι τοὺς διεστηκότας συνεῖναι· ἐμοὶ γοῦν τοῦτο ἀνάμνησίς ἐστι διαστάσεως καὶ ἔρωτος ἔξαμμα, καὶ πῦρ ἐγκάρδιον, ἀλλ' οὐ παρηγορίας ἕνωσις· 15 καὶ ὅσοι γοῦν τὴν φιλίαν ἐξησθενήκασιν εἰς μέρος ἀπολογίας τὸ τοιοῦτον ἀνάπλασμα τίθενται. Εἰ δὲ καὶ ἡ φαντασία τὴν τοῦ φιλοῦντος ὄψιν ἀντιτυποῖ, ἀλλὰ λόγους οὔτε ἀφίησιν, οὔτε δέχεται· ὁ δὲ τῆς ἐπιστολῆς λόγος, ἔμψυχόν τι χρῆμα καὶ τὴν καρδίαν ἀναμαξάμενον.

20 Ὥσπερ δὲ καταμαντευόμενός σου τὰς ἀντιθέσεις προλαμβάνω τὰς λύσεις· δυνάμεώς τε γὰρ οὐκ ἀπορεῖς πρὸς τὰς ἐπιστολάς, τέχνῃ τε καὶ σοφίᾳ κεκόσμησαι. Ἐμοὶ δὲ τὸ ἦθος ἐπιεικέστερον μᾶλλον ἢ περιττότερον, καὶ οὐ περιεργάζομαι ὥσπερ χρησμοὺς τὰς τῶν φίλων φωνάς, ἀλλά με μᾶλλον ὁ ἁπλούστερος θέλγει 25 λόγος τοῦ παντοδαποῦς καὶ ποικίλου. Ὁ μὲν γὰρ ἀπὸ τῆς ψυχῆς ἔξεισι· τὸν δὲ (ἵν' οὕτως εἴπω) ἐπιπολαίως προχέει τὸ ἀκροστόμιον. Ἀλλὰ σοὶ τὸ ῥεῦμα χρυσοῦν ἀφ' ἑκατέρων ἀπορρεῖται πηγῶν, καὶ ἀπὸ μὲν τῆς πηγῆς ἐψύχωται, ἀπὸ δὲ τῆς γλώσσης τετράνωται, καὶ παρ' ἐκείνης μὲν τὰς ἐννοίας οὐσίωται, παρὰ δὲ 30 ταύτης τὴν λέξιν ἀμπίσχεται· καὶ πρόεισι καθάπερ ἀπὸ παστάδος εἰ μή τι τῆς σῆς ἐγὼ γονῆς ἐπιλέλησμαι.

Καὶ τούτου μὲν ἅλις· κατώρθωται γάρ μοι ἤδη ὅπερ βεβούλημαι. Τῶν δὲ σῶν τί μὴ καί [ca. 10 litt.] ἀλλ' ἀφεῖταί σοι ὁ Ἀνδρέας καὶ τοῖς πολλοῖς ἀπωσμένος λελόγισται. Θρηνεῖ γοῦν καὶ τὴν 35 ὑποψίαν (πῶς ἂν εἴπῃς;) σφοδρῶς, καὶ οὐ χαίρει ὅτι μὴ προκεχώρηκεν, ἀλλ' ἄχθεται ὅτι σοῦ κεχωρίσθαι ὑπείληπται. Εἰ μὲν οὖν ἀπ' ἀλλήλων ἡμεῖς διῃρήμεθα, ἔστω τῆς σῆς μερίδος ὡς κρείττο-

18 τι corr. Malt[5],253–254: τὸ P S ‖ **33** lacunam indicavit P

νος ὁ διάκονος· εἰ δὲ σὺν ἀλλήλοις καὶ παρ' ἀλλήλοις ἐσμέν, ἀμφοῖν ἤτω κοινός, μᾶλλον δὲ ὅλος παρὰ θατέρῳ, καὶ τοσοῦτον ἐμὸς ὅτι ὅλος σός, τοσοῦτον δὲ σός, ὅτι ὅλος ἐμός. 40

XLVIII. Νικόλαος ὁ Χειλᾶς

πατρίκιος, ἐπὶ τῶν δεήσεων (ca. a. 1060 – a. 1067?)

192. Πρὸς Νικόλαον πατρίκιον καὶ ἐπὶ τῶν δεήσεων τὸν Χειλᾶν, δυσχεράναντα ἐπὶ τῇ πρὸς αὐτὸν διὰ τὴν τοῦ χείλους ὄγκωσιν ἀστειότητι

S 12 [P]

Ὡς ὡραῖος ἐν κάλλει· ἢν δὲ βούλῃ, καὶ παρὰ τοὺς υἱοὺς τῶν ἀνθρώπων. Εἶτα πῶς οὐκ ἐσκίρτησας, οὐδὲ τὸν εἰρηκότα ἐπήνεσας; Ἀλλὰ σκωφθεὶς μὲν κατὰ τὸ πάρεργον, ἐσκυθρώπασας, ἐπαινεθεὶς δὲ οὕτως λαμπρῶς, ὥσπερ ἀνδριὰς ἀκίνητος ἔμεινας; τῶν γάρ τοι ἐναντίων, ἐναντία καὶ τὰ ἑπόμενα, καὶ κυροῖ τὸν 5

XLVIII cf. Psel. Χρυσόβουλλος = Or. for. 7,42–43 ὁ ἐπὶ τῶν δεήσεων ... Νικόλαος ... et passim ‖ **1–2** ὡραῖος – ἀνθρώπων: Ps. 44,3 ὡραῖος κάλλει παρὰ τοὺς υἱοὺς τῶν ἀνθρώπων. cf. Psel. Βίος καὶ πολιτεία ... Αὐξεντίου ... = Or. hag. 1c,620–621, Λόγος εἰς τὴν σταύρωσιν = Or. hag. 3b,25–26, Λόγος εἰς ... Κωνσταντῖνον τὸν Μονομάχον = Or. pan. 1,350–351, Εἰς τὰ ζητούμενα τοῦ ἑξηκοστοῦ ἑβδόμου ψαλμοῦ = Theol. I 36,56, et Περὶ τοῦ διὰ τί εἰσιν οἱ ἄγγελοι πτερωτοὶ ... = Theol. II 38,71–72 ‖ **5** τῶν – ἑπόμενα: cf. e.g. Arist. Προβλήματα 941b6–7 ἐπεὶ δὲ εἴθισται μάλιστα ἐκ τῶν ἐναντίων εἰς τὰ ἐναντία μεταβάλλειν

ep. 192 L 73r–74r, U 153v/154r (mut.), P 194a.r–v, Y 116v–117v, A 42v–43v; tit. scripsi: πρὸς τὸν ἐπὶ τῶν δεήσεων Νικόλαον τὸν Χειλᾶν L ἐπιστολαὶ τοῦ σοφωτάτου Ψελλοῦ. πρὸς Νικόλαον πατρίκιον καὶ ἐπὶ τῶν δεήσεων δυσχεράναντα ἐπὶ τῇ πρὸς αὐτὸν διὰ τὴν τοῦ χείλους ὄγκωσιν ἀστειότητι U τῷ ἐπὶ τῶν δεήσεων P S τοῦ Ψελλοῦ πρός τινα δυσχεράναντα ἐπὶ τῇ πρὸς αὐτὸν διὰ τὴν τοῦ χείλους ὄγκωσιν ἀστειότητι Y πρὸς Νικόλαον πατρίκιον καὶ ἐπὶ τῶν δεήσεων δυσχεράναντα ἐπὶ τῇ πρὸς αὐτὸν διὰ τὴν τοῦ χείλους ὄγκωσιν ἀστειότητι A ‖ **1** ὡς ὡραῖος L U P A S: ὡραῖος Y ‖ **2** οὐκ L U (cf. Malt[4],26) Y A: om. P S ‖ **4** post ἐπαινε–[θεὶς] et ante [μήνιγ]–γας, ἄφωνος etc. (l. 74) folium cecidit in U

λόγον Ἀριστοτέλης.

Ἀλλὰ μὴν τὸ μὲν πρῶτον χαριεντισαμένῳ σοι, ὥσπερ τὰ ἔσχατα πεπονθώς, σεμνώσας τὸ πρόσωπον, προσωνείδισας· εὐφημίας δὲ τηλικαύτης ἀξιωθείς, πῶς οὐ προσφὺς κατεφίλησας;
10 Οἶδα ὅτι δεινὸς ἀνὴρ εἶ, καὶ τοὺς λόγους ἀπὸ γλώσσης ποιούμενος. Ἀλλ' ὁρᾷς ὅπως τῷ κανόνι διήλεγξαι, καὶ τῷ φιλοσόφῳ πεφώρασαι, οὐκ ἐκ καρδίας, ἀλλ' οἷον ἐπιλλώπτουσαν ἐξ ὀφρύος τὴν μέμψιν πεποιημένος;

Ἔοικας οὖν μοι, οὐ τῷ δόρατι μόνον ὡς οἱ Σπαρτιᾶται, ἀλλὰ
15 καὶ τῷ περιβόλῳ ὡς οἱ Λακεδαιμόνιοι τὴν πόλιν φρουρεῖν, ἵνα πάντοθεν ἀνάλωτος καὶ ἀπολιόρκητος εἶ. Ἀλλ' ὦ φίλτατε, οὐ πάνυ πεφιλοσόφηκας· ἦ γὰρ ἄν, τὴν πόλιν ἀφείς, ἐφύλαττες τὴν ἀκρόπολιν. Ἀλλὰ τοῦ πολιτικοῦ φρονήματος γεγονώς, τὴν Περικλέους σύννοιαν, καὶ τὴν Ἀλκιβιάδου ζηλοῖς εὐπρέπειαν, καὶ
20 ἵνα σεμνὸς φαίνῃ καὶ περιττός, ἀναιρεῖς μὲν λόγου χάριτας, ἀναιρεῖς δὲ φιλίας θάρσος, μισεῖς δὲ γλώττης χαριεντισμούς, καὶ ἀθετεῖς παιδιὰν ἣ δὴ μόνη, τῷ βίῳ καταμεμιγμένη, ἱλαρὰν ἡμῶν ποιεῖ τὴν ζωήν.

Καὶ σοὶ μὲν εὐφυῶς ἔχει τὸ σῶμα· ἡμεῖς δέ σοι παίζοντες ἴσως
25 τὴν μορφὴν ἐπισκώπτομεν. Τὸν δέ γε Πλάτωνα φασὶ ἐξεπίτηδες

12 οἷον – ὀφρύος: Plut. Πῶς ἄν τις διακρίνειε τὸν κόλακα τοῦ φίλου 51d οὕτως οἱ κόλακες οὐκ ἀληθινὴν οὐδ' ὠφέλιμον ἀλλ' οἷον ἐπιλλώπτουσαν ἐξ ὀφρύος καὶ γαργαλίζουσαν ἀτεχνῶς παρρησίαν προσφέρουσιν ‖ **14–15** οὐ – φρουρεῖν: ad Thuc. 1,90,1–2 Λακεδαιμόνιοι δὲ αἰσθόμενοι τὸ μέλλον ἦλθον πρεσβείᾳ, τὰ μὲν καὶ αὐτοὶ ἥδιον ἂν ὁρῶντες μήτ' ἐκείνους μήτ' ἄλλον μηδένα τεῖχος ἔχοντα, ... ἠξίουν τε αὐτοὺς μὴ τειχίζειν, ἀλλὰ καὶ τῶν ἔξω Πελοποννήσου μᾶλλον ὅσοις εἱστήκει ξυγκαθελεῖν μετὰ σφῶν τοὺς περιβόλους (perperam) refert? ‖ **25–34** τὸν δέ – ὡραιότητας: Plut. Πῶς δεῖ τὸν νέον ποιημάτων ἀκούειν 26b4–5 ὥσπερ οἱ τὴν Πλάτωνος ἀπομιμούμενοι κυρτότητα καὶ τὴν Ἀριστοτέλους τραυλότητα et Πῶς ἄν τις διακρίνειε τὸν κόλακα τοῦ φίλου 53c9–d2 ὥς που καὶ Πλάτωνος ἀπομιμεῖσθαί φασι τοὺς συνήθεις τὸ ἐπίκυρτον, Ἀριστοτέλους δὲ τὸν τραυλισμόν, Ἀλεξάνδρου δὲ τοῦ βασιλέως τὴν ἔγκλισιν τοῦ τραχήλου. cf. Π 48,12–14

7 μὴν P Y A S: om. L ‖ **8** σεμνώσας L P Y S: καὶ συγγνώσας A ‖ **9** προσφὺς L Y: προσφυῶς P S προσφυῆ A ‖ **10** γλώσσης L P A S: γλώττης Y ‖ **12** οἷον L P Y S: οἷαν A | ἐπιλλώπτουσαν L: ἐπιλώπτωσαν Y ἐπιφαινομένην P S ἐπιλώπτουσαν A ‖ **15** φρουρεῖν L P A S: περιφρουρεῖν Y ‖ **16** πάντοθεν L P S: πανταχόθεν Y ‖ **18** τοῦ L P Y S: ποῦ A ‖ **22** δὴ L: om. P Y A S ‖ **23** ποιεῖ – ζωήν P Y A S: τὴν ζωήν ἀπεργάζεται L ‖ **24** σοι L Y A: om. P S

ἐπικεκυφέναι, καὶ σκωπτόμενον τὸ ἐπίκυρτον, ἥδεσθαι· Ἀριστοτέλην δὲ καὶ ἡ γλῶττα ἐτρύφα τραυλίζουσα, ὥσπερ δὴ καὶ τὸ λοιπὸν σῶμα στολῇ χρώμενον περιττῇ, καὶ ταῖς τῶν ἐφεστρίδων βαφαῖς πορφυρούμενον, καὶ δακτυλίοις ἡ χεὶρ ἀπαστράπτουσα· ὁ δὲ Μακεδὼν ἐκεῖνος ἀνήρ, ᾧ τοὺς γρύπας ὑποζευγνύουσιν οἱ 30 γραφεῖς, καὶ γῆθεν μετεωρίζουσι, τὰ πολλά, καὶ ἐγκλίνων τὸν τράχηλον, τῆς τῶν πραγμάτων ὀρθότητος ἥπτετο. Καὶ τούτων μᾶλλον οἱ κατ' ἐκείνους ἐμιμοῦντο τὰς προσποιήσεις, ἢ τῶν ἄλλων τὰς φυσικὰς ὡραιότητας. Ἐγὼ δὲ ἠξίουν ἄνω σε βλέπειν εἰ καὶ μὴ φιλόσοφον ὄντα, ἀλλὰ φιλοσόφου ὁμιλητήν, καὶ ἐντὸς 35 ἐστρᾶφθαι, καὶ τοῦ τῆς ψυχῆς κάλλους φροντίζειν, τὸν δὲ Ἀναξάρχειον θύλακον καὶ μαστίζειν ἐᾶν τοὺς πολλούς. Σὺ δὲ μοι ἐλάνθανες λαμπρότερον μᾶλλον ἢ φιλοσοφώτερον διακείμενος, καὶ φροντίζων κάλλους, καὶ τῶν ἔξωθεν χαρίτων ἐπιμελόμενος.

Καὶ Ἀριστοτέλης μέν, εἰς πωλικὸν φρύαγμα τοῦ Πλάτωνος 40 αὐτὸν ἐπισκώπτοντος, τὸ τοῦ διδασκάλου σκῶμμα τῶν παρ' ἄλλοις εὐφημιῶν ἀντηλλάττετο. Σὺ δέ μοι ὁ γενναιότατος, καὶ ἀντωνείδισας τὸν χαριεντισμόν, εὐθὺς ἀντισκώψας, καὶ τὸν δηγμὸν τῆς ψυχῆς ἰασάμενος, καὶ μείζονι λίθῳ βαλών, ἢ μᾶλλον εἰς ἦθος ἀποτοξεύσας τὸ βέλος. Κἀγὼ μὲν ὁμαλῶς ἐδεξάμην τὴν 45 παιδιάν, καὶ ταῦτα πάσης ἀφειμένος εὐτραπελείας, καὶ τὸ

36–37 τὸν – πολλούς: cf. proverbium πτίσσε, πτίσσε τὸν Ἀναξάρχου θύλακον, Ἀνάξαρχον γὰρ οὐ πτίσσεις, CPG II 629 (nr. 6); cf. e.g. Greg. Naz. Κατὰ Ἰουλιανοῦ στηλιτευτικὸς α΄ = Or. 4,70 ‖ **40** πωλικὸν φρύαγμα: Greg. Naz. Εἰς τὸν μέγαν Βασίλειον ... = Or. 43,12 τῷ πατρὶ παραθέων ἐγγύθεν ἐν πωλικῷ τῷ φρυάγματι ‖ **40–41** Ἀριστοτέλης – ἐπισκώπτοντος: Diog. Laert. 5,2,1–3 ἀπέστη δὲ Πλάτωνος ἔτι περιόντος· ὥστε φασὶν ἐκεῖνον εἰπεῖν, «Ἀριστοτέλης ἡμᾶς ἀπελάκτισε καθαπερεὶ τὰ πωλάρια γεννηθέντα τὴν μητέρα»; cf. Psel. Ἐπιτάφιος εἰς ⟨Ἀναστάσιον⟩ = Or. fun. I 8,2,20–21

27 γλῶττα L P Y S: γλῶσσα A ‖ **31** τὰ – ἐγκλίνων Y A: τὰ πολλὰ ἐγκλίνων L P S ‖ **32** τούτων L P Y S: τούτῳ A ‖ **37** θύλακον P Y A S: θύλακα L **39** ἐπιμελόμενος L Y: ἐπιμελούμενος P A S ‖ **43** ἀντωνείδισας L Y: ἀντονειδίσας P S | εὐθὺς L Y: καὶ εὐθὺς P S | ἀντισκώψας L P Y S: ἐπισκώψας A ‖ **46** εὐτραπελείας L P A S: εὐτραπελίας Y

γράμμα λαβὼν τῆς ἀφέσεως. Σὺ δὲ ὡς ὁ Ἕλλην ἐκεῖνος παραξεσθεὶς τὸν ταρσόν, εἰς τὴν καρδίαν τὸ τραῦμα ἀνήνεγκας, καὶ βαθεῖαν πεποίηκας τὴν οὐλήν.

50 Ἀλλ', ὦ τᾶν, οὐκ ἐκ τοῦ σώματος ὁ σπουδαῖος ἀνήρ, ὥσπερ οὐδ' ἐκ τοῦ στάχυος ὁ πυρός, ἀλλ' ἐκ τῆς ψυχῆς χαρακτηρίζεσθαι εἴωθε· τὸ γάρ τοι σῶμα τοῦτο, ὁ μὲν πολιτικὸς βίος (ἵνα μὴ τὸν ἀπολαυστικὸν λέγω), ὥσπερ ὄστρεον προσπλάττει τῇ ψυχῇ καὶ συμφύει· ὁ δέ γε φιλόσοφος, προσαρτᾷ μόνον ἔξωθεν, διαιρῶν 55 ἐκεῖθεν, ὁπότε βούλοιτο, ὥσπερ οἱ περὶ τὸν σῖτον τοὺς λεγομένους ἀνθέρικας· ὅθεν οὐδὲν αὐτῷ μέλει τῆς ἔξωθεν εὐπρεπείας, οὐδὲ σκωφθεὶς περὶ τὴν πλάσιν ἀλγεῖ.

Ἀλλὰ σὺ περιττὸς εἶ (ὥς γέ μοι ἔδοξας), ὥσπερ οἱ χαρίεντες τῶν κιθαρῳδῶν, οὐ τὰς χορδὰς μόνον ἐντείνοντες μουσικῶς, ἀλλὰ 60 καὶ τὴν κιθάραν κατακοσμοῦντες. Τῷ δέ γε Ἀπόλλωνι ἣν ὁ μῦθος προσπλάττει χέλυν, ἀπὸ τοῦ τῆς χελώνης ὀστράκου διωργανώθη, καὶ οὐδὲν διέφερε τῷ μουσηγέτῃ εἰ τὸ ὄργανον αὐτῷ ἀφελὲς ἦν. Τά γέ τοι χρηστήρια ἀφ' ὧν οἱ τῆς ἀληθείας σπινθῆρες καὶ ἡ τοῦ

47–48 ὡς – ταρσόν: Hom. Il. 11,388 νῦν δέ μ' ἐπιγράψας ταρσὸν ποδὸς εὔχεαι αὔτως. cf. Psel. Πρὸς τὸν λοίδορον ῥίψαντα χάρτην = Or. min. 7,5–6 ὡς ὁ Πάνδαρος ἐπιγράψας ἡμῖν τὸν ταρσὸν τοῦ ποδός et Πρὸς τὸν Σαββαΐτην = Poem. 21,315 τὸν ταρσὸν αὐτῷ τοῦ ποδὸς παραξέσας ‖ **53** ὥσπερ ὄστρεον: Plat. Φαῖδρος 250c5–6 ὃ νῦν δὴ σῶμα περιφέροντες ὀνομάζομεν, ὀστρέου τρόπον δεδεσμευμένοι. cf. Psel. Περὶ Ἅιδου = Phil. min. I 40,29–30 ὥσπερ τὸ γεῶδες ὄστρεον περικειμένη et Omn. doctr. εἰς τὸ ὀστρεῶδες σῶμα cum e.g. Procl. In Remp. I 119,14 ‖ **60–61** τῷ δέ – διωργανώθη: cf. Hesych. χ 335 χέλυς ἡ κιθάρα· ἀπὸ γὰρ ὀστράκου χελώνης κιθάρα γίνεται cum Etym. Magn. 808,18–20 χέλυς: σημαίνει τὴν κιθάραν· διότι ἀπὸ δέρματος χελώνης κατεσκεύαστο τῷ Ἑρμῇ· δέδωκε δὲ αὐτὴν τῷ Ἀπόλλωνι

47 ὁ A: om. L P Y S ‖ **51** οὐδ' ἐκ L P Y S: οὐδὲ ἐκ A | πυρός L P Y S: σπόρος A **52–53** τὸν – λέγω L P Y S: τοῦ ἀπολαυστικοῦ A ‖ **54** συμφύει L P Y S: συμφυεῖ A | διαιρῶν L P Y S: δακνῶν A ‖ **55** οἱ περὶ L P Y S: περὶ A ‖ **58** γέ μοι L P Y S: γ' ἔμοι A ‖ **59** ἐντείνοντες L P Y S: ἐντείνει A ‖ **60** κατακοσμοῦντες L P Y S: κατακοσμεῖν A ‖ **62** διέφερε P Y A S: διέφθειρε L | ἀφελὲς L P A S: ἀσφαλὲς Y

μέλλοντος πρόγνωσις, ἐν κιττοῖς καὶ δάφναις, καὶ τριποδικοῖς λέβησι τὴν τέχνην ἐδείκνυσαν, καὶ οὐδὲν παρὰ ταῦτα τὸ ἐνθεάζειν 65 ἠλάττωτο. Τὸ δὲ τὰς οὐρανίους ἡμῖν περιφορὰς δεικνῦον μίμημα τοῦ παντὸς ἐκ ξύλου κατασκευάζεται τοῖς πολλοῖς, καὶ οὐ τὴν ὕλην κακίζομεν, ἀλλὰ τὴν τέχνην θαυμάζομεν.

Ἀλλὰ τὸ φίλαυτον, ἀλλὰ τὸ πάντα οἴεσθαι, ἀλλὰ τὸ καὶ τοῖς σκύτεσι τῶν ὑποδημάτων τρυφᾷν, ἐς τοσαύτην σε περιωπήν (ἵνα 70 καταλλήλως τὸ προσφυὲς εἴποιμι) κατεκρήμνισεν. Εἰ δέ τίς σοι ἀληθῶς τὴν ὕβριν προσήνεγκε, τί ἂν ἐποίησας, ὁπότε, οὕτως σκωφθεὶς μετὰ παιδιᾶς, οὐκ εὐμενῶς τὴν χάριν ἐδέξω, ἀλλ᾽ ὥσπερ οἱ ἀθρόως πληγέντες τὰς μήνιγγας, ἄφωνος εὐθὺς γέγονας, καὶ τὸ χρῶμα ἠλλοίωσας; Φιλοσόφων δὲ παιδιαῖς οὐδαμοῦ ἐντετύχηκας; 75 οὐδὲ ταῖς Ἀγησιλάου χάρισιν; Ἀλλ᾽ οἵ γε τῶν συγγραφέων ἀστειότατοι καὶ βιβλία τοὺς ἐκείνου λόγους πεποίηνται, καὶ φέρεται τοῖς πολλοῖς πυκτίον παιδιᾶς, οὐδὲν ἔλαττον εἰς ψυχῆς ὄνησιν τῶν Χρυσίππου συλλογισμῶν. Τὸ δὲ ἐμὸν ποῦ τίθης πρὸς τὸ σὸν παραβάλλων; Ἀλλ᾽ ὁρᾷς ὅπως πρᾴως ἔχω περὶ τὸ σκῶμμα; Καὶ 80 τότε διεχύθην εὐθὺς ἀκούσας, ἢ ἐσκυθρώπασα;

Εἰ μὲν οὖν ἐντεῦθεν τεθεράπευταί σοι τὸ τραῦμα, ἔχεις τὴν ἐπιστολὴν ἀκεσώδυνον φάρμακον· ἢν δὲ μή, ὡς ἡ μαντικὴ ἐκείνη πηγή, ὥσπερ σκωφθεὶς τὰς ὀφρῦς συνῆξας, οὕτως ἐπαινεθεὶς διαχύθητι. Ἐγὼ δέ σοι τοῦτο προσθήσω, ὃ πολλάκις ποιοῦμαι 85

64–65 τριποδικοῖς λέβησι: cf. e.g. Hom. Il. 23,259 … λέβητάς τε τρίποδάς τε. cf. Psel. Κατηγορία τοῦ ἀρχιερέως = Or. for. 1,122, Εἰς τὸν αὐτοῦ ἔκγονον ἔτι νήπιον ὄντα = Or. min. 38,26, Ἕτερος λόγος πρὸς … Κωνσταντῖνον τὸν Μονομάχον = Or. pan. 4,399–400, Εἰς τὸ 'ἐπλήσθησαν οἱ ἀπόστολοι …' = Theol. I 74,79, Τίς ἡ διάκρισις τῶν συγγραμμάτων, ὧν τῷ μὲν Χαρίκλεια, τῷ δὲ Λευκίππη ὑποθέσεις καθεστήκατον; 42, et Π 146,186 ‖ **76** ταῖς – χάρισιν: cf. Plut. Ages. 25,5 ἦν δὲ καὶ φιλότεκνος ὁ Ἀγησίλαος διαφερόντως· καὶ περὶ ἐκείνου τὸ τῆς παιδιᾶς λέγουσιν, ὅτι μικροῖς τοῖς παιδίοις οὖσι κάλαμον περιβεβηκὼς ὥσπερ ἵππον οἴκοι συνέπαιζεν ‖ **76–79** οἵ – συλλογισμῶν: cf. Plut. (?) Ἀποφθέγματα Λακωνικά 208b7–215a11 (Ἀγησίλαος) **83–84** ἡ – πηγή: scil. ἡ Κασταλία πηγή

65 οὐδὲν L P Y S: οὐδὲ A | τὸ ἐνθεάζειν L P A S: om. Y ‖ **66** οὐρανίους L Y: οὐρανίας P A S ‖ **73** παιδιᾶς P Y A S: τῆς παιδιᾶς L ‖ **74** μήνιγγας ἄφωνος [μήνιγ]–γας, ἄφωνος resumitur U (f. 154r) ‖ **76–77** ἀστειότεροι A **77** ἐκείνου L P S: ἐκείνων U Y A ‖ **81** τότε L U P A S: τοῦτο Y | εὐθὺς L U Y A: εὐθὺς αὐτοῦ P S ‖ **83** ἢν L U Y A: εἰ P S

περὶ τὰς ἴβιδας· ἐκεῖναι γὰρ δῦσαι κατὰ τοῦ βυθοῦ, οὐκ εὐθὺς ἀνανήχονται, ἐγὼ δὲ προσπαίζων τῷ ὄρνιθι, τὴν τῆς μορφῆς αὐτῇ ἀποθαυμάζω ὡραιότητα, καὶ εὐθὺς ἄνεισι τοῦ βυθοῦ· πῶς οὖν λέγω τὴν ἐπῳδήν; «ὡς καλή μοι, ὡς ὡραία ἡ ἴβις». Τὸ γένος οὖν
90 ἀντιστρέψας, ἐρῶ: «ὡς θαυμάσιός μοι τὴν μορφήν, ὁ ἐπὶ τῶν δεήσεων».

XLIX. ⟨Βασίλειος (?)⟩ Ξηρός

πρόεδρος, κριτὴς et πραίτωρ τῶν Θρᾳκησίων (cf. Π 315 et Π 316?)

193. Τῷ κριτῇ τῶν Θρᾳκησίων τῷ Ξηρῷ

S 47 [P]

Σὺ μὲν δικαστοῦ δικαίου ἔργον πληρῶν, τὸν παρόντα νοτάριον ἀγώγιμον ἐκ τῆς Πόλεως εἰς τὸ θέμα πεποίηκας, ἀποδώσοντα ἅπερ δέον μὴ λαβεῖν εἰσεπράξατο. Ἡμῖν δὲ πάνυ ἐφάνη τὸ πρᾶγμα σκληρὸν καὶ ἀπότομον· οὐ γὰρ πάντες ἀπόστολοι, οὐδὲ
5 πάντες προφῆται, ἢ (ἵνα τὰ σὰ λέγω) οὐ πάντες Μίνωες ἢ Ῥαδαμάνθυες, οὐδὲ τὴν τοῦ δικαίου στάθμην φυλάττοντες ἀρρεπῆ. Καὶ οὔ φημι τὸν ἀδικοῦντα μὴ διδόναι λόγους ὧν ἠδίκηκεν· ἀλλ᾽ οὐχ οὕτως ἢ ἐπὶ τούτοις.

XLIX Βασίλειος: varii in Seibt II 188–189, nr. 183 ‖ **4–5** οὐ – προφῆται: cf. I Cor. 12,29 μὴ πάντες ἀπόστολοι; μὴ πάντες προφῆται; ‖ **5–6** Μίνωες – Ῥαδαμάνθυες: cf. Plat. Γοργίας 523e7–8 ἐποιησάμην δικαστὰς ὑεῖς ἐμαυτοῦ, δύο μὲν ἐκ τῆς Ἀσίας, Μίνω τε καὶ Ῥαδάμανθυν. cf. Psel. Εἴς τινα κάπηλον γενόμενον νομικόν = Or. min. 14,91–92 et Π 319,7, Π 413,5–7, et Π 453,23–24 **6** τὴν – ἀρρεπῆ: cf. Psel. Τῇ αὐτῇ (scil. Eudociae Macremb.) ἐγκώμιον = Or. pan. 12,39–41 τὴν μέντοι γε τῆς δικαιοσύνης στάθμην ἐν ἰσότητι γνώμης ἀρρεπῆ πᾶσιν ἐτήρησας

87 τῷ L U P A S: τῇ Y | αὐτῇ U P A S: αὐτῆς L Y ‖ **88** ἀποθαυμάζω L U P A S: ἀποθαυμάζω πῶς Y ‖ **90** ἀναστρέψας S ‖ **ep. 193** L 97r–v, P 200v; tit. P S: om. L ‖ **1** ἔργον P S: om. L | παρόντα νοτάριον P S: δεῖνα L ‖ **3** ἅπερ – μὴ L: ἃ μὴ δέον P S ‖ **5** καὶ ante οὐ del. L ‖ **7–8** καὶ οὔ φημι – τούτοις L: om. P S

Καὶ οἶδα μὲν ὅπερ εὐθὺς τῇ καρδίᾳ ἐνενόησας· κἀκεῖνος γὰρ τοῦτον τὸν τρόπον εὐθύνεται. Ἆρ' οὖν, οὐ πολλάκις ἐπὶ τούτοις 10 ἐβόησας; Πῶς οὖν ἅπερ ἄλλου ποιοῦντος κατηγόρεις, σὺ ταῦτα ποιῶν πεφώρασαι; Ἀλλὰ νῦν μὲν τοῦτο μόνον ὁρᾷς, ἐξεληλυθότα αὐτόθι τὸν ἄνθρωπον· τὸν δ' ἐπὶ τῆς οἰκίας θρῆνον, τὴν δὲ γυναῖκα στερνοτυποῦσαν, τῶν δὲ παίδων τοὺς ὀδυρμούς, ταῦτα οὔπω λογίζῃ; Ἀλλ' εὖ ἴσθι ὅτι (νὴ τὴν ἱεράν σου καὶ τριπόθητον 15 κεφαλήν!) σχῆμα πόλεως ἑαλωκυίας τῷ τοῦ ἀνθρώπου οἰκήματι περιτέθεικας.

Εἴ τις οὖν σοι φροντὶς κατηφείας ἀπαλλᾶξαι ψυχὰς οὐκ ὀλίγας, ἀπειρηκυίας τῷ πάθει, καὶ κλαυθμὸν σβέσαι βρεφῶν φαρμάκῳ σοφῷ, καὶ γυναικῶν στῆσαι θρῆνον, καὶ τοῦτον αὐτὸν 20 ἀπολωλότα ἀνασώσασθαι, καὶ τὸν θεὸν ἀγαθῦναι, καὶ ἡμᾶς θεραπεῦσαι, οὕτω γενοῦ τῷ ἀνθρώπῳ, καθάπερ πολλάκις τὸν θεὸν ηὔξω γενέσθαι σοι ἐπὶ τῆς κρίσεως.

Διδάχθητι δὲ παρ' ἡμῶν τἀληθές: ὡς τὰ πλείω ὧν ἔχων ἐξῆλθεν, ἀφ' ἡμῶν εἴληφεν. Οὕτως οὖν ἡμῖν αὐτὸν ἀποκατάστη- 25 σον, ὡς αὐτίκα δώσοντά μοι τὸ δάνειον.

194. Τῷ πραίτορι Θρᾳκησίων τῷ Ξηρῷ

S 51 [P]

Βούλομαι μέν, μεγαλοπρεπέστατε πρόεδρε καὶ ἀδελφὲ περιπόθητε, πολλάκις σοι πέμπειν ἐπιστολάς, ἀλλ' ἐπειδὴ μὴ αὔταρκες ἔχω τὸ ἐν τῇ ψυχῇ τεχνικὸν κάλλος ὥστε πάσαις αὐτὸ ἐπικεραννύειν, ἐπέχω τὴν ὁρμὴν αἰσχυνόμενος, ὥστε ⟨μὴ⟩ τὰς μὲν ἡδίους φανῆναί σοι, τὰς δὲ ἀκαλλεῖς τε καὶ ἀτερπεῖς. Ἔστι δὲ 5

15–16 νὴ – κεφαλήν: Synes. Cyren. Epist. 79,8 (cf. Epist. 86,1–2 πρὸς τὴν ἱεράν σου καὶ τριπόθητον κεφαλήν). cf. Π 42,20, Π 64,1, Π 65,21–22, Π 68,36, Π 122,1, Π 180,2, Π 183,14–15, Π 198,5–6, Π 211,56–57, Π 494,2–3. cf. etiam Psel. Ἐγκωμιαστικὸς εἰς ... Μιχαὴλ τὸν Κηρουλλάριον = Or. fun. I 1,61,30, Περὶ τῶν ἰδεῶν ἃς ὁ Πλάτων λέγει = Phil. min. II 33 (111,24–25), Π 284,9–10 et Π 394,19–20

9–10 κἀκεῖνος – εὐθύνεται L: post πεφώρασαι (l. 12) P ‖ **11** ἐβόησας P S: ἐβίωσας L ‖ **13** αὐτόθι P S: om. L ‖ **14** στερνοτυποῦσαν L: στερνοκτυποῦσαν P S ‖ **22–23** τὸν – γενέσθαι P S: γενέσθαι τὸν θεὸν ηὔξω L ‖ **24–26** διδάχθητι – δάνειον P S: om. L ‖ **ep. 194** P 201r; tit. P S ‖ **4** μὴ addidi

τοῦτο πάθημα παρὰ ταῖς γεννώσαις φύσεσιν ἀντιθέτως ἀποτίκτειν τὰ ἔκγονα· οὐ γὰρ ἐν τῷ τοῦ Διὸς ἐδάφει μόνον δοιοὶ κατακείαται πίθοι, καὶ τοῦ μὲν προχεῖται τὰ κρείττω, τοῦ δὲ ἀπορρεῖ τὰ χείρω, ἀλλὰ καὶ ἐν φύσει καὶ ἐν ψυχῇ (ὀκνῶ γὰρ εἰπεῖν ἐν τῷ νῷ), ἡ
10 διττὴ αὕτη μερὶς ἐγκαταμέμικται καὶ διῄρηται. Καὶ ἀπὸ τῆς αὐτῆς νηδύος τὸ μέν τι τῶν βρεφῶν μετὰ τοῦ φυσικοῦ κάλλους ἐξέθορε, τὸ δὲ ἐξεκυλίσθη αἴσχους ἀνάμεστον· καὶ τὸ μὲν αὐτοῖν εὐφυές τε καὶ γόνιμον γέγονε, τὸ δὲ λήθης γέμον εὐθὺς καὶ ἀμβλότητος. Καὶ γραφικὴ δὲ χεὶρ δύο πρὸς ἀρχετυπίαν εἰκόνας
15 διαμορφοῦσα, τὴν μὲν πρὸς τὸ παράδειγμα ἀπεικόνισε, τῇ δὲ ἀνόμοιον μετέβαλε τὴν μορφήν. Οὕτω καὶ ψυχή, καὶ φύσις, καὶ σῶμα οὐ πρὸς πᾶσαν ἐπίσης ἰδέαν ἀρκοῦσιν.

Ἀλλὰ σὺ φορολογεῖς ἀτεχνῶς τὰ ἡμέτερα, τὴν αὐτὴν ἐφ' ἑκάστῳ διερευνώμενος ποιότητα καὶ ποσότητα. Κἂν κίβδηλόν τι
20 δόξῃ, εὐθὺς ἀντικαταλλάττῃ· κἂν ἐλάττονος ῥοπῆς, οὐ προσδέχῃ, ἀλλὰ ζητεῖς τὸ τοῖς προτέροις ἰσοβαρές. Καὶ ὁ μὲν τοῦ μύθου Ζεὺς δύο που θυγατέρας μόγις ὡραίας ἀπέτεκε, τὴν Ἀθηνᾶν καὶ τὴν Ἀφροδίτην, κινηθεὶς δὲ καὶ πρὸς γονὴν ἄρρενος, ὥσπερ ἐξήμβλωσε (τὸν Ἥφαιστον ἐνθυμήθητι καὶ τὸν Ἄρεα)· ἐγὼ δὲ
25 πῶς ἄν σοι καὶ πολλὰς καὶ καλὰς ἐπιστολὰς ἀποτέκοιμι; Καὶ τό γε θαυμασιώτερον, τοῖς μὲν κάλλεσιν ἐνεδρεύει πως ἡ ἀνομοιότης, τοῖς δὲ αἴσχεσιν ἐπιτέταται ἡ ταὐτότης· οὕτω γοῦν αἱ Ναΐδες οὐ πᾶσαι καλαί, τὰ δὲ τῶν πιθήκων ἔκγονα ὁμοίως ξύμπαντα ἄμορφα. Μὴ οὖν οὕτως ἐχούσης τῆς φύσεως σύ με ἐκ παντὸς
30 τρόπου εἰσπράττου τὸ κάλλιστον· οὐδὲ γὰρ οὐδ' ἅπαντα τὰ γινόμενα πρὸς τὴν τοῦ γράφοντος παραμετρεῖται προαίρεσιν, ἀλλ' οἶδέ τινας ἡ φύσις καιροὺς παρ' οὓς ἢ εὐκαίρως ὠδίνει, ἢ ἀκαίρως ἀμβλώσκει.

7–8 οὐ – χείρω: Hom. Il. 24,527–528 δοιοὶ γάρ τε πίθοι κατακείαται ἐν Διὸς οὔδει / δώρων οἷα δίδωσι κακῶν, ἕτερος δὲ ἑάων. cf. etiam Psel. Ἐγκωμιαστικὸς εἰς ... Μιχαὴλ τὸν Κηρουλλάριον = Or. fun. I 1,7,9–13, Εἴς τινα κάπηλον γενόμενον νομικόν = Or. min. 14,170–171 et Π 87,72–73, Π 217,1–3, et Π 223,3–4 ‖ **7–10** οὐ – διῄρηται: cf. Porph. Περὶ τοῦ ἐν Ὀδυσσείᾳ νυμφῶν ἄντρου 28,26–30 cum Synes. Cyren. Αἰγύπτιοι ἢ περὶ προνοίας 2,6,2 et Psel. Ἀλληγορία τοῦ παρ' Ὁμήρῳ Ἰθακησίου ἄντρου = Phil. min. I 45,54–61 ‖ **27** αἱ Ναΐδες: cf. Suda ν 14 Ναΐδες: ... Νύμφαι παρὰ τοῖς νάμασι διατρίβουσαι

Ἀλλ' ὅ με μικροῦ διέλαθε· πότερον; ἐγὼ μὲν ἐργάτης εἰμί, αὐτὸς δὲ μισθοδότης; ἢ μᾶλλον μισθὸν ἔχεις τῆς σῆς ἐργασίας τὰ 35
ἐμὰ γράμματα; Ἀλλ' ἐπεὶ τὸ ἀληθέστερον ἀμφισβητήσιμον, παραχωρήσωμεν ἀλλήλοις τῶν ὀνομάτων, καὶ ἔστω ἑκάτερος ἡμῶν ἐργάτης καὶ μισθοδότης ὁμοῦ. Τὶ οὖν ἡ παρὰ σοὶ ἐργασία; ἡ τοῦ βρόχθου (εἴ γε μὴ ἐπιλέλησαι) ἐπιμέλεια· κἂν οὕτως τοῦτον ἐργάσῃ ὥσπερ ἐξιὼν ἐπηγγείλω, νικήσεις ἴσως καὶ φύσεως 40
δύναμιν, καὶ ἐμπλήσεις ἡμᾶς γονίμων δυνάμεων, καὶ πάσας ἐπιστολὰς ἀποτέξομέν σοι μετὰ φυσικῆς ἅμα καὶ τεχνικῆς ὡραιότητος.

L. Ἰωάννης Ξιφιλῖνος (ca. a. 1005/1010 – 2.VIII.1075)

μάγιστρος, ⟨νομοφύλαξ (1047)⟩
μοναχός (1054?), πατριάρχης (1.I.1064 – 2.VIII.1075)
cf. Π 397, Π 444, Π 459, et Π 516

195. Τῷ Ξιφιλίνῳ

ante 1055

K-D 265 [Cre], Cre 10 [H]

Οὐ περὶ τοῦ ἀνεψιοῦ πολλάκις ἠξίωσας, ἑταῖρε Ἰωάννη, ὅπως ἂν αὐτοῦ ἐπιμελοίμην, ἄρτι τελοῦντος εἰς τὰ μαθήματα; Καὶ νῦν οὗτος τὰ πρῶτα τῶν ὁμιλητῶν ἐμοὶ γέγονε, διὰ σέ. Καὶ οὐ πάνυ τοῦ θείου ἀφέστηκεν, ὥς γε μοι φαίνεται· ἥδρασται γὰρ καὶ πλατεῖα αὐτῷ ἡ διάνοια· καὶ ἡ φύσις εἰς ὀξὺ μὲν οὐ λήγει, ἴση δέ 5

L cf. Psel. Ὑπὲρ τοῦ νομοφύλακος κατὰ τοῦ Ὀφρυδᾶ = Or. for. 3, Ἐπιστολὴ πρὸς τὸν ἁγιώτατον πατριάρχην τὸν Ξιφιλῖνον περὶ χρυσοποιίας (vel Πρὸς τὸν πατριάρχην κῦρ Μιχαὴλ περὶ τοῦ ὅπως ποιητέον χρυσόν), Ἐπιτάφιος εἰς … Ἰωάννην τὸν Ξιφιλῖνον = Or. fun. I 3, et Π 29,3, Π 38,48, Π 101,26, Π 102,21, Π 117,80, Π 157,79–80, Π 169,3, et Π 401,38. cf. etiam Wassiliou-Seibt 2012,308–311 ‖ **1** τοῦ ἀνεψιοῦ: Ioannes (cf. ODB 2211, Beck 1959,629–630, et Wassiliou-Seibt 2012,313–314 et 315–316)? cf. Π 196,22

ep. 195 U 186v, H 44v–45r; tit. scripsi: τῷ Ξιφιλλίνῳ U ⟨Ἰωάννῃ Ξιφιλίνῳ?⟩ K-D ⟨Ἰωάννῃ τῷ Εὐχαΐτων⟩ corr. Drexl 1941

ἐστι πᾶσα, καὶ ἀπὸ πρώτης γραμμῆς ἐοικυῖα ἑαυτῇ· καὶ ἵνα σοι ἀπὸ τῶν ποτε φίλων σχημάτων τὸ πλεῖον δηλώσαιμι, τοῦ κωνικοῦ μὲν ἀποβέβηκε, κύλινδρος δέ ἐστιν ἀκριβής.

Τί οὖν μοι τὰ πολλὰ ταῦτα πεπροοιμίασται; Νὴ τὴν ἱεράν σου 10 καὶ φιλτάτην ψυχήν, ἵνα γράφῃς πρὸς ἡμᾶς, ἢ χάριτας ὁμολογῶν, ἢ προσθήκας ἐπιζητῶν.

196. Τῷ αὐτῷ
Τῷ Ξιφιλίνῳ. ante 1055

G 30 [U], Malt 7 [U]

Μόλις ποτέ, τιμιώτατε πάτερ καὶ ἀδελφὲ περιπόθητε, καὶ ἀπὸ πηγῆς (ἐξὸν ποταμὸν) ῥανίδα βραχεῖαν;

Τὸ μὲν οὖν ἀφελὲς καὶ ἀπέριττον ἴσως πνευματικόν· οὐ πάνυ δὲ πείθομαι ὅτι καὶ τὸ πάντῃ βραχὺ τῆς ἐκεῖσε μερίδος ἐστίν· εἰ 5 γὰρ ἡ πηγαία τῶν ἀγαθῶν χάρις τῆς τῶν νοητῶν ἀκρότητος πέφυκε, πάντες μὲν ποταμοὶ πάντες δὲ ὀχετοὶ ἐκεῖθεν πρὸς τὰ τῇδε ἀπομερίζονται. Ἀλλὰ σὺ τὸ μὲν ἰδιωμάτων ἡμῖν μετήνεγκας, τὸ δ' οὐ μετωχέτευσας, τὴν ἔφεσιν ἡμῶν ἴσως γυμνάζων, ἵνα σε καὶ πάλιν ἀντιβολήσωμεν, ὡς ἂν πρὸς τῷ ἑτέρῳ καὶ τὸ λοιπὸν 10 δοίης. Ἢ καὶ τοῦτο τῆς ἀπράγμονος σοι σχολῆς, μᾶλλον δὲ τῆς

6 ἀπὸ – γραμμῆς: proverbium, CPG I 210 (nr. 83a) et II 145 (nr. 18) ἀπὸ γραμμῆς. cf. Psel. Ἀπολογητικὸς ὑπὲρ τοῦ Φιλιππουπόλεως Λαζάρου καθαιρεθέντος = Or. for. 2,120, Ἐπιτάφιος εἰς … Ἰωάννην τὸν Ξιφιλῖνον = Or. fun. I 3,14,37, Βίος καὶ πολιτεία … Αὐξεντίου … = Or. hag. 1c,286, et Π 144,37–38 et Π 146,2–3; cf. etiam Π 34,27–28, Π 242,5, et Π 287,10 ‖ **1–2** μόλις ποτέ … καὶ ἀπὸ πηγῆς … ῥανίδα βραχεῖαν: cf. Π 223,1–3 μόλις ποτέ … ἐκπεπιεσμένην τινὰ ῥανίδα ἐπιστολῆς κατεψέκασας ‖ **2** πηγῆς: cf. Ὡραῖα Πηγή, monasterion in Olympo monte Bithyniae (Janin 1975,191)? cf. Π 433,18 et Π 500,26–27 et etiam Psel. Ἐγκώμιον εἰς … Νικόλαον μοναχὸν … = Or. fun. I 10 et Gautier 1974b,19 n. 8 ‖ **10** τῆς[1] – σχολῆς: Synes. Cyren. Epist. 11,9–10 τῇ κατὰ φιλοσοφίαν σχολῇ καὶ θεωρίᾳ τῶν ὄντων ἀπράγμονι. cf. etiam Psel. Ἐγκώμιον εἰς … Νικόλαον μοναχὸν … = Or. fun. I 10,19,27

10 ἢ U: om. H Cre K-D ‖ **ep. 196** U 186v et 185r–v; tit. U (τῷ αὐτῷ = τῷ Ξιφιλίνῳ): ⟨Ἰω. Ξιφιλῖνος⟩ G τῷ Ξιφιλίνῳ Malt ‖ **2** post ποταμὸν lacunam indic. G ‖ **4** εἰ corr. Malt: ἡ U ἢ corr. G ‖ **8** μετωχέτευσας Malt corr. G: μετοχέτευσας U ‖ **9** ἑτέρῳ corr. G: ἑταίρῳ U Malt

πρὸς τὰ θεῖα ἐπιστροφῆς, ἵνα πολλὰ μὲν νοῇς, ὀλίγα δὲ φθέγγῃ· εἰσὶ γὰρ νοῦ καὶ γλώττης, ὡς μεμαθήκαμεν, [ca. 15 litt. τρό]πον τινὰ ἀντικάθηνταί γε ταῦτα ἀλλήλ[οις ca. 18 litt.] εὐδοκιμῇ κατὰ τὴν αὐτοῦ ἰδιότητα καὶ πληθ[ύνεται, ἡ δὲ] κακοδαιμονεῖ καὶ πτωχεύει. 15

Ἡμεῖς μὲν οὖν ἐξιστ[ca. 8 litt.] ὥσπερ τὴν τούτων ἀνετυπωσάμεθα εἴδησιν· σὺ δ' ἂν κάλλιον εἰδείης αὐτοῖς προσεσχηκὼς τοῖς πράγμασιν. Εἰ δέ με φιλόσοφον οἴει, τοῦτο δὲ τὸ γένος πάσης ὑπέρκειται γνώσεως, ἀκριβέστερον τῷ παθήματι σου τῆς ψυχῆς διαιτήσω (ὡς ἐν τύπῳ ἐρεῖν καὶ κεφαλαιωδῶς): πρὸς μὲν ἐμὲ χρῶ 20 τῇ βραχύτητι, ἵνα μὴ δόξῃς ἀδολεσχεῖν, ὑπὲρ δὲ τοῦ ἀδελφοῦ καὶ τοῦ ἀνεψιοῦ ἄλλαξον τὸν ῥυθμόν, καὶ τὸ πάμφωνον ἁρμοσάμενος μέλος, πολλάκις περὶ αὐτῶν καὶ παντοδαπῶς τὰ τῶν δυναμένων ὦτα καταύλησον. Μέρος καὶ τοῦτο ἀρετῆς, ἀδελφὲ λογιώτατε, εἴ γε τὸ προνοεῖν θεοῦ καὶ θείων ἐστὶ ψυχῶν (ὡς μεμαθήκαμεν)· διὰ 25 ταῦτα γὰρ καὶ τὰς ἀπεληλυθυίας τῶν μακαρίων ἀνδρῶν καταλιπαροῦμεν ψυχάς· εἰ γὰρ μὴ τὸ προνοεῖν εἶχον διὰ θειότητα, τίς ἡ πρὸς αὐτὰς ἀντιβόλησις; Δέδοικα δέ (ἀλλὰ πῶς ἂν εἴποιμι πρὸς σέ; δεῖ δὲ φιλόσοφον ὄντα παρρησιάζεσθαι) μὴ οὐκ ἀπραγμοσύνης τὸ σὸν πάθος ἐστίν, ἀλλ' ὑψηλοφροσύνης, καὶ τοῦ μὴ ἐθέλειν ἀπ' 30 ἐλάττονος σχήματος τοῖς κρείττοσιν ὁμιλεῖν. Κἀγὼ μέν, ἡγιασμένη ψυχή, ἅπερ ἐκ τῶν λόγων ἔχω μαθών, ἀνεκάλυψά σου τῇ ἀρετῇ· σὺ δ' ἴσως χρήσῃ τοῖς λεγομένοις κάλλιον ἢ ἐγὼ νενόηκα.

Πῶς δ' ἂν εἴποις; Ἡδέως ἐγέλασα, ὅτε σου τῷ μέρει τοῦ 35 γράμματος προσωμίλησα, ἐν ᾧ τὸ δριμύτατον ἔλλειμμα ἦν, καὶ ἡ

22 τοῦ ἀνεψιοῦ: Ioannes (cf. ODB 2211, Beck 1959,629–630, et Wassiliou-Seibt 2012,313–314 et 315–316)? cf. Π 195,1 ‖ **22–23** τὸ πάμφωνον … μέλος: Pind. Pyth. 12,19

12–46 εἰσὶ – ἀποδα-: om. G ‖ **12** [αἱ ἕξεις ἀλλοῖαι κ(αὶ) τρό]πον prop. e.g. Malt (in app. crit.) ‖ **13** ἀλλήλ[οις, ὥστε κἂν τινι ὁ νοῦς] prop. e.g. Malt (in app. crit.) ‖ **14** πληθύνεται, ἡ δὲ dubitanter supplevi: πληθ[ύηται, ἡ δὲ γλῶττα] prop. e.g. Malt (in app. crit.) ‖ **15** πτωχεύει corr. Malt: πτωχεύοι U **16** ἐξιστ[ορήκαμεν] vel ἐξιστ[ορήσαμεν] prop. Malt (in app. crit.) ‖ **19** τῷ παθήματι U: τὸ πάθημά corr. Malt ‖ **22** ἄλλαξον scripsi: ἄλλαξαι U Malt **27** μὴ : μὲν Malt ‖ **30–31** ἀπ' ἐλάττονος … κρείττοσιν: an ἀπὸ κρείττονος … ἐλάττοσιν scribendum? ‖ **36** ἡ : οὐ Malt

κατ’ ἔμφασιν ἔλλειψις. Καὶ διατί, ὦ φιλότης, δυσχεραίνεις ἡμῖν τὸ ἀξίωμα, ὁπότε τὸ προεδρεύειν ἡμᾶς ἐν λόγοις πάλαι καὶ ᾠήθης, καὶ πολλάκις ἀπεφήνω ἐν γράμμασιν; Αὐτὸ γοῦν πεπόνθαμεν,
40 ὅπερ ὑπείχομεν, καὶ σφραγὶς ἡμῖν τῆς πράξεως ἡ κλῆσις ἐγένετο. Εἰ μὲν γὰρ γυμνὸν ἦν τὸ ἀξίωμα μὴ προσκειμένης φιλοσοφίας, οὐκ ἂν ἦν σοι μεμφομένῳ μέμψις· ἀλλ’ ἡ προσθήκη τὸ ἄκρατον ἴσως καὶ δηγμὸν ἐμποιοῦν πρὸς εὐκρατοτέραν ἰδέαν μετήνεγκε. Σὺ δὲ ἀλλὰ βούλει ἑκάτερα, ἵνα ὡς μὲν φιλόσοφοι κοινωνήσωμέν
45 σοι ὧν ἔχομεν (φιλόσοφον γάρ), ὡς δὲ πρόεδροι τὴν μείζονά σοι μοῖραν ἀποδα[ca. 15 litt.]ρρει ἐπὶ τούτῳ καὶ φιλοσόφους ἀμφοτέρωθεν [ca. 12 litt. βρα]χέα τὲ γὰρ ταῦτα παρ’ ἡμῖν καὶ τὸ ἀπομεμοιραμένον [...]χυ[.....]· τὸ δ’ ἀληθές, ἐξὸν καὶ πλείονα κτήσασθαι, καὶ στεῖλαι καλλίονα, τὸ παραυτίκα ἀντίγραφον ἠναντιώθη
50 τῷ χρόνῳ· καὶ χάρις τῷ καιρῷ, φιλόσοφόν με καὶ μὴ βουλόμενον ἀποδείξαντι.

197. Τῷ Ξιφιλίνῳ τῷ μαγίστρῳ
ante a. 1055

S 44 [P]

Ἐπαινῶ μέν σου τὴν σιωπήν, περιπόθητε ἀδελφέ· οἶδα γὰρ ποίας ἀρετῆς τυγχάνει οὖσα καρπός (λέγω δὴ τῆς ἀπραγμοσύνης καὶ

37–45 δυσχεραίνεις – πρόεδροι: dum Psellus πρόεδρος/ὕπατος τῶν φιλοσόφων erat (1047–); cf. Π 174,49, Π 185,44, et Π 498,9–10; cf. etiam 111,134, 280,20 et 47, Π 388,11, et 455,34–35? cf. etiam Mich. Attal. Ἱστορία 21 πρόεδρον τῶν φιλοσόφων προχειρισάμενος ἄνδρα τῶν καθ’ ἡμᾶς διαφέροντα γνώσει

40 σφραγὶς corr. Malt: σφαγὶς U ‖ **46** ἀποδα[τώμεθα· ἀλλὰ θά]ρρει dubitanter prop. Malt (in app. crit.) ... ορει G ‖ **47** [ἡμᾶς ἀξίου· βρα]χέα prop. Malt (in app. crit.) | χεα τὲ Malt: ατον G ‖ **48** [βρα]χύ[τατον] prop. Malt (in app. crit.) ‖ **49** καλλίονα τὸ Malt: καλ... .... G | ἐναντιώθη Malt ‖ **50** χάριν Malt
ep. 197 L 34v–35r, U 163r, P 200r (P[1]) et 218r–v (P[2]), A 45v–46r, p[1] 138 (= P 200r); tit. U A: τῷ μοναχῷ Ἀντιπάτρῳ L τῷ Ξιφιλίνῳ P[1] τῷ μαΐστορι τῷ Ξιφιλίνῳ P[2] S ‖ **1** περιπόθητε ἀδελφέ U P[1] P[2] A S: om. L | ποίας L U P[1] P[2] S: ποία A ‖ **2** οὖσα L U P[1] A S: om. P[2] ‖ **2–3** καὶ – πράγματα L U A: καὶ τῆς ἀσχέτου περὶ τὰ ἀνθρώπινα πράγματα P[2] A om. P[1] S

τοῦ ἀσχέτου περὶ τὰ ἀνθρωπικὰ πράγματα). Μέμφομαι δέ σου (εἰ χρὴ τἀληθὲς εἰπεῖν) τὸ μετὰ τῶν ἀκαίρων σπουδῶν καὶ τὴν πρός με ὁμιλίαν λογίζεσθαι· ἢ γὰρ οὐχὶ τῆς αὐτῆς σοι καθέστηκα 5 προαιρέσεως; οὐκ ἀπὸ τῶν αὐτῶν ἀρχῶν, ἐπὶ τὰ αὐτὰ τέλη κοινῇ προήχθημεν;

Τί οὖν, ἐπεὶ σιωπᾷς, ἀδολέσχης ἐγώ; Οὔ (νὴ τὴν ἱεράν σου ψυχήν!). Ἀλλὰ κἀγὼ φείδομαι μὲν τὰ πολλὰ γλώττης, ἔστι δ' οὗ διαστέλλω τὰ χείλη, καὶ οὐ πάντη τὴν λογικὴν ἕξιν ἠθέτηκα. 10 Νοῦς μὲν γὰρ ἴσως ὡς αὐτὸς ὢν τὰ πάντα σιγᾷ (τίνι γὰρ μεταδώσει φωνῆς, ἢ παρὰ τίνος λήψεται;), ψυχὴ δὲ συνδεθεῖσα σώματι, τὰ μὲν ἀρρήτως ἕξει, τὰ δὲ δι' ὁμιλιῶν τε καὶ προσφωνήσεων.

Μηδὲ προστάττης οὖν τῷ οἰκέτῃ σου, μηδὲ τὸν θεράποντά σου καλέσης· κἂν ἐρωτήσῃ σέ τις, ὡς δρῦς ἄφωνος φάνηθι. Εἰ δὲ 15 περιττοτέρας τοῦτο σοφίας καὶ ἀρετῆς, τὴν μέσην σοι βαδιστέον καὶ μὴ φθονήσῃς ἡμῖν διστίχου ἐπιστολίου, ἁπλοῦ τε καὶ ἀφελοῦς, καὶ ὡς γράφειν ἐξεμελέτησας ὕστερον. Πειθέτωσάν σε τοῦτο

10 διαστέλλω – χείλη: cf. Π 144,1 τὰ χείλη διαίρων, Π 146,147–155 τὸ δὲ «διαίρων», ὦ βέλτιστε, τίνα τρόπον σοι τέθειται, ἀφεικότι τὸ «διαιρῶν»; τὸ μὲν γὰρ αἴρειν, ἀνατάσεως σύμβολον καὶ τῆς πρὸς τὸ ἄνω κουφότητος· τὸ δὲ διαιρεῖν, αὐτὸ τοῦτο διαίρεσίς ἐστι συνεπτυγμένων μερῶν. συμπεφυκόσι τοίνυν χείλεσι, ποία τῶν λέξεών ἐστι κατάλληλος: ἡ διαιροῦσα, ἢ ἡ διαίρουσα; ἡ μὲν γὰρ διαιροῦσα διαστέλλει τὴν πτύξιν ἐπίσης ὁμοῦ, ἡ δὲ διαίρουσα τὸ μὲν ἄνω χεῖλος κουφίζει ἀνοιγομένου τοῦ στόματος, τὸ δὲ κάτω μᾶλλον χαλᾷ, μᾶλλον δὲ οὐδ' ἐκεῖνο διαίρει· ἀκίνητοι γὰρ τὴν ἄνω γένυν ἐσμέν, et Π 209,49–50 οὔτε χείλη διᾶραί μοι δυνατόν ‖ **15** δρῦς ἄφωνος: cf. Max. Soph. Dissert. 36,1,3 οὐδὲ τὰ τούτων ἔτι ἀφωνότερα, αἱ δρύες? **18–20** πειθέτωσάν – διαστήματα: cf. Π 201,12–16 Γρηγόριος γὰρ καὶ Βασίλειος, οἱ τῆς τελεωτέρας σοφίας καθηγηταί, τὰ μὲν πρὸς ἀλλήλους διαλεγόμενοι, τὰ δὲ καὶ πόρρωθεν γράμμασι θαυμασίως συγκεραννύμενοι, οὐ παρὰ τοῦτο τῆς θεωρίας ἀποσεσύληνται, ἀλλ' ὁμοῦ ἰδίᾳ τὸ παρὰ θεοῦ καὶ κοινῇ παρ' ἀλλήλων ἐγίγνοντο

4 χρὴ L U P² A: δεῖ P¹ S ‖ **5** τῆς αὐτῆς L Spa 1976,430: τοιαύτης P¹ S τῆς τοιαύτης U P² A | καθέστηκα L U P² A: καθεστήκαμεν P¹ S ‖ **6** ἐπὶ – κοινῇ L U P¹ A S: κοινῇ ἐπὶ τὰ α[.....]έλη P² ‖ **8** ἀδολέσχης L U P² A: ἀδολεσχήσω P¹ S **9** πολλὰ L U A: πολλά τῆς P¹ S πολλά σοι τῆς P² ‖ **10** πάντη L U A: πάνυ P¹ P² S ‖ **11** αὐτὸς : ἀπτὼς L ‖ **11–12** μεταδώσει U P¹ P² A S: ἢ μεταδώσει L **14** μηδὲ L U A: μὴ P¹ P² S | μηδὲ L U P¹ P² S: οὐδὲ A ‖ **16** περιττοτέρας L U P² A: περιττότερον P¹ S | σοι L U P² A: om. P¹ S ‖ **18** ὕστερον L U P¹ P² S: om. A σε L P¹ P² A S: σοι U | τοῦτο L U P¹ A S: om. P²

Γρηγόριοι καὶ Βασίλειοι, οὕτω ταῖς ἐπιστολαῖς ἀνακεραννύμενοι,
20 ὡς μηδὲν πρὸς αὐτοὺς εἶναι τὰ διαστήματα.

198. ⟨Τῷ Ξιφιλίνῳ μοναχῷ (?)⟩
ca. a. 1054?

K-D 273 [L, S, Cre], S 36 [P], Cre 26 [H]

Μακρόθεν ἐγγύς, πρὸς τὸν ἐγγύθεν μακράν, ἢ μᾶλλον πόρρωθέν σοι τῷ πλησίον ᾠκείωμαι, βελτίστη καὶ ἁγία ψυχή· ἐγὼ γὰρ τὴν πρὸς σὲ ἐγγύτητα καὶ ἀπόστασιν οὐ τοπικοῖς χαρακτηρίζω τοῖς διαστήμασιν, ἀλλὰ σχέσεως μέτροις καὶ διαθέσεως.

5 Σύνειμι γοῦν ἀκριβῶς σοι καὶ συμπέφυκα τῇ ψυχῇ (ναὶ νὴ τὴν ἱεράν σου καὶ τριπόθητον κεφαλήν!). Εἰ δὲ σὲ πρότερον θεὸς ᾠκειώσατο, ἀλλ' οὐ διὰ τοῦτο ἡμᾶς ἀπώσατο· οὐ γὰρ ἐπὶ τοῦ αὐτοῦ καιροῦ εἰς τὴν ἀμπελουργίαν πάντας ἐκάλεσεν, ἀλλ' ἐκλήθησάν τινες καὶ ἑνδεκαταῖοι· ἐγὼ δὲ τριταῖος μὲν ἴσως, εἰ δὲ
10 μὴ εὐθὺς ἀπήντηκα, ἀλλ' οὐκ ἀνεβαλόμην τὴν πρόσκλησιν, οὔτε

5–6 νὴ – κεφαλήν: Synes. Cyren. Epist. 79,8 (cf. Epist. 86,1–2 πρὸς τὴν ἱεράν σου καὶ τριπόθητον κεφαλήν). cf. Π 42,20, Π 64,1, Π 65,21–22, Π 68,36, Π 122,1, Π 180,2, Π 183,14–15, Π 193,15–16, Π 211,56–57, Π 494,2–3. cf. etiam Psel. Ἐγκωμιαστικὸς εἰς ... Μιχαὴλ τὸν Κηρουλλάριον = Or. fun. I 1,61,30, Περὶ τῶν ἰδεῶν ἃς ὁ Πλάτων λέγει = Phil. min. II 33 (111,24–25), Π 284,9–10 et Π 394,19–20 ‖ **7–9** οὐ² – ἴσως: Mt. 20,1–16; cf. Psel. Πρὸς τοὺς μαθητὰς ἀπολειφθέντας τῆς ἑρμηνείας τοῦ Περὶ ἑρμηνείας = Or. min. 23,33–45 et Π 415,7–9 ‖ **9–11** εἰ – νεώνητον: Luc. 14,16–24

19 Γρηγόριοι – Βασίλειοι L U P¹ A S: Βασίλειοι, καὶ Γρηγόριοι P² ἀνακεραννύμενοι L U P¹ P² S: ἀνακεραννύμενος A ‖ **20** τὰ διαστήματα L U P¹ P² S: om. A ‖ **ep. 198** L 56r, P 198v, H 50r–v; tit. scripsi: τῷ κριτῇ τοῦ Ὀψικίου L K-D (cf. G⁴,18) om. P H Cre ⟨Ἰωάννῃ Ξιφιλίνῳ?⟩ S (cf. Cris⁴,60–61) ‖ **1** μακρόθεν L P S: ὁ μακρόθεν H Cre K-D ‖ **2** βελτίστη – ψυχή P H K-D S: om. L ‖ **3** τοπικῶς Cre ‖ **5** ναὶ : καὶ Cre ‖ **6** σὲ – θεὸς P S: σε θεὸς πρότερον L σὲ πρότερον ὁ θεὸς H Cre K-D ‖ **7** διὰ τοῦτο L H K-D: διαταῦτα P διὰ ταῦτα S ‖ **7–8** τοῦ – καιροῦ P H K-D S: τὸν αὐτὸν καιρὸν L ‖ **10** οὐκ ἀνεβαλόμην L P K-D S: οὐκ ἀνεβαλλόμην H οὐκ ἂν ἐβαλλόμην Cre

τὴν γυναῖκα προθέμενος, οὔτε τὸν ἀγρὸν τὸν νεώνητον, ἀλλὰ μονονοὺ τὰς βλαύτας ὑποδησάμενος, ἀφώρμησα τῆς ἀφετηρίας.

Εἰ μὲν οὖν κατὰ τὸν σὸν δρόμον καὶ αὐτὸς δραμοῦμαι, ἔχω τὸν ἴσον μισθόν, ἢ καὶ τὸν ἐλάττονα· τὸ γὰρ πλέον προέλαβες. Εἰ δ' οὖν—ἀλλὰ μηδὲν εἴποιμι δυσχερές. Τῆς δὲ λαύρας τῶν Κελλίων 15 δοθείσης μοι, ὁ παρὼν ἔσταλται μοναχὸς ταύτην παραληψόμενος.

199. Τῷ Ξιφιλίνῳ μοναχῷ

ca. a. 1054?

S 37 [P], H-M 54–55 [cf. p. 666] [P]

Εἴ σοι καὶ πάλιν μὴ πολλὴ προσεδρεία τοῦ ἐντυγχάνειν θεῷ, καὶ πρὸς ταύτην κατάβηθι τὴν ἐπιστολήν, ἢ ἐπιστράφηθι, ἢ ὅ τι βούλει κάλει τὸ σόν. Καὶ ταύτην μὲν ἀνάγνωθι, τὸν δὲ φίλον γνῶθι ἀτυχοῦντα λίαν ἐν οἷς εὐτυχεῖ· τὸ γάρ τοι βασίλειον καὶ ἡ τῶν ἀνακτόρων λαμπρότης καὶ ταῦτα οὐ πάνυ μου τὴν ψυχὴν 5 καταθέλγει· εἰμὶ γὰρ ἐν τούτοις ὥσπερ τις λίθος τῶν φαύλων τε καὶ εὐώνων, τοῖς τιμιωτέροις συνηρμοσμένος, οὐ μᾶλλον ἐκεῖθεν κοσμούμενος ἢ ὑβριζόμενος· ἡ γὰρ παράλληλος κρίσις τοῦ λευκοῦ καὶ τοῦ μέλανος, ἐκεῖνο μὲν λευκότερον, θάτερον δὲ τῶν χρωμάτων μελάντερον ἢ ἐστὶ δείκνυσιν. 10

12 τὰς – ὑποδησάμενος: Plat. Συμπόσιον 174a3–4 Σωκράτη ἐντυχεῖν λελουμένον τε καὶ τὰς βλαύτας ὑποδεδεμένον, cf. Π 20,29 et etiam Ἐκ τοῦ περὶ τοῦ πνεύματος λόγου εἰς τὸ 'Σαδδουκαῖοι μὲν ...' = Theol. I 106,131–133 ὅτε δὲ ἀπῄει εἰς τὸ συμπόσιον τοῦ Ἀγάθωνος, λουσάμενος, ὡς ὁ Πλάτων φησί, «καὶ τὰς βλαύτας ὑποδησάμενος», ἔστη κατὰ μέσην τὴν ὁδὸν ἀθρόον αὐτῷ τοῦ δαιμονίου ὡμιληκότος ‖ **15** τῆς – Κελλίων: Janin 1975,160–161; cf. Π 348,1, Π 349,2–3, et Π 360,44

11 τὸν² om. Cre ‖ **12** μόνον οὐ Cre | τὰς L P S: καὶ τὰς H Cre K-D | βλαύτας : ὑποδήματα suprascr. L | ὑποδησάμενος L Cre K-D: ὑποθησάμενος P S **14** προέλαβον S ‖ **14–15** εἰ δ' οὖν L P K-D S: οὐκοῦν H οὐκ οὖν Cre **16** ἔσταλται L P H S: ἔσταλτο Cre K-D ‖ **ep. 199** P 199r, B 137v–138r, p¹ 137–138(= P); tit. scripsi: τοῦ αὐτοῦ τῷ Ξιφιλίνῳ μοναχῷ B ⟨τῷ αὐτῷ= Ἰωάννῃ τῷ Ξιφιλίνῳ⟩ S om. P H-M ‖ **1** προσεδρία corr. H-M ‖ **2–3** ἢ² – σόν B Malt⁴,26: om. P S H-M ‖ **5** καὶ ταῦτα P S H-M: om. B | μου : μοι corr. H-M **6** τις P S H-M: om. B ‖ **7** τιμιωτάτοις corr. H-M

Ὁ μὲν γὰρ αὐτοκράτωρ, καὶ ἀγχοῦ τοῦ ἑαυτοῦ βήματος ἵστησι, καὶ τὰ πρῶτα χαρίζεται τῆς τιμῆς. Ἀλλ' ἐμοὶ τὸ προσιέναι τῷ κοσμοκράτορι ἀπιέναι τοῦ πρώτου βασιλέως ἐστί, καὶ τὸ μᾶλλον προσχωρεῖν ἀπόστασιν ἐκείνου οἴομαι πλείονα. Καὶ εἰ μή
15 με τὸ φιλοσοφεῖν ἐν ταῖς βίβλοις παρεμυθεῖτο καὶ τὸ τοῖς τῶν λόγων προσομιλεῖν ἐρασταῖς, ἀναχώρησιν ἂν τοῦ καλοῦ παντελῆ τὸ κατ' ἐμὲ πρᾶγμα ᾠήθην.

Τί ποτ' οὖν, οὕτω κρίνων τὰ πράγματα, καὶ ὃ μὲν ἔχω δουλείαν οἰόμενος, ἐλευθερίαν δὲ οὗπερ ἐρῶ, ἑκουσίως θητεύω τῷ
20 βίῳ, καὶ ἀτεχνῶς ἐμαυτὸν τοῖς ἐνταῦθα καταδεσμῶν πράγμασι, δέδοικα ἐμαυτὸν καὶ οὐ πάνυ τὴν καθαρὰν θαρρῶ ὑπεξαγωγήν; Οὐ γὰρ πάντας τοὺς κατέχοντάς με μίτους διέρρηξα, ἀλλὰ τοὺς μέν, ἴσως, οἱ δὲ μείζους κλωστῆρες οὐ καταλύονται· καὶ φεύγοντι μὲν δοκοῦσι πρὸς μικρὸν ὑπεκλύεσθαι, τῇ δὲ φυγῇ ἐμμένοντα
25 ἀντιδράττονται. Διὰ ταῦτα τὴν ἐνταῦθα προσεδρείαν οὐκ οἶδα εἴτε φιλοσοφῶ, εἴτε ἀνέχομαι. Δοκῶ μὲν γὰρ φιλοσοφεῖν, κατὰ βραχὺ τὴν πέδην λεπτύνων καὶ ἠρέμα αὑτὸν ὑπεκλύων· τὸ δ' ἀληθές, οὐ φιλοσοφία τὸ πρᾶγμα, ἀλλὰ ψυχῆς ἐστιν ἔκλυσις.

Εἰ μὲν οὖν ἐκφύγοιμι τὰς σειρῆνας πόρρωθεν ἀποπλεύσας καὶ
30 διελάσας, πέρας τοῦτο εὐδαιμονίας οἰήσομαι. Εἰ δὲ μή, μέχρι τινὸς καθεδοῦμαι παραβύσας τὰ ὦτα κηρῷ, ἵνα μὴ τοῦ μέλους

11 ὁ – αὐτοκράτωρ: Constantinus IX Monomachus (imperator: 12.VI.1042 – 11.I.1055) (Π XLIV)? ‖ **22–25** οὐ – ἀντιδράττονται: cf. Π 200,76–77 ὑπὸ βραχεῖ μίτῳ ἐνταῦθα πεπέδημαι· κἂν τμηθῇ, θαυμάσεις οἵας κατεῖχε τὸ ἀράχνιον πτέρυγας ‖ **31** παραβύσας – κηρῷ: Hom. Od. 12,39–54 et 197–200, locus saepe laudatus; cf. Π 379,4–5 et Π 121,79–80; cf. etiam Εἰς τὸ ῥητὸν τοῦ Ἰὼβ ... 'καὶ ὁ διάβολος παρέστη ... = Theol. I 32,59, et Π 63,31–32, Π 112,79–80, Π 117,67, Π 248,16 et 23–27, Π 445,8–10, et Π 486,5; et etiam Π 30,11, Π 76,49–50, et Π 128,36–37

14 πλείονα P S H-M: μείζονα B ‖ **15** ταῖς βίβλοις P S H-M: τοῖς βιβλίοις B **16** προσομιλεῖν P S H-M: ὁμιλεῖν B | παντελῆ P S H-M: om. B ‖ **19** οὗπερ ἐρῶ : ὑπερερῶν H-M ‖ **21** ἐμαυτὸν P S H-M: ἐμαυτῷ B | καθαρὰν : καθ[...] B **24** δοκοῦσι – μικρὸν : δοκοῦ[.......] βραχὺ B | : ὑπ[...]ύεσθαι B ‖ **25** ἐνταῦθα προσεδρείαν : [ca. 12 litt.]δρείαν B ἐνταῦθα προσεδρίαν corr. H-M **26–27** φιλοσοφεῖν – λεπτύνων : φιλοσοφ[ca. 12 litt.] βραχύνων τὴν πέδην B **27** αὑτὸν P S H-M: ἑαυτὸν B ‖ **28** φιλοσοφία τὸ : φι[ca. 12 litt.] B | ἔκλ[.]σις B **29** σειρῆνας – ἀποπλεύσας : σειρῆν[ca. 12 litt.] πόρρωθεν B ‖ **30** πέρας : πέρ[..]B ‖ **31** τινὸς καθεδοῦμαι : [ca. 9 litt.]δοῦμαι B

ἀκούω; οὐ γὰρ ψεύδεται Ὅμηρος αἰνιττόμενος, ἀλλ' ὡς ἀληθῶς τοῖς μουσικοῖς θελγήτροις κατέχουσιν ἡμᾶς καὶ προσαπολλύουσιν.

200. Τῷ μοναχῷ Ἰωάννῃ τῷ Ξιφιλίνῳ

ca. a. 1054? eodem tempore ut Π 109, Π 443, Π 444, et Π 105 [vid. epistolarum ordinem in U]?

G 17 [U, M, E, e[1], e[2], m[2]], Malt 5 [U, M]

Μετεστράφης ποτέ, πρὸς οὓς ἀπεστράφης ὀψέ, φιλτάτη καὶ ἡγιασμένη ψυχή, ὥστε καὶ λόγον δοῦναι, καὶ βούλεσθαι τὸν ἴσον λαβεῖν, καὶ τὴν ἐντεῦθεν κοινωνίαν ἡμῖν προτρέψασθαι.

Πότερον οὖν ἡμεῖς ἐξανθρωπίζομέν σε, ἢ αὐτὸς ἀποθεοῖς ἡμᾶς; Καὶ πότερόν σὴ τὸ πρᾶγμα κατάβασις, ἢ ἡμετέρα ὁ λόγος ἀνάβασις; Καὶ (εἰ μή τί σοι δυσχερὲς δόγμα παρὰ φιλοσοφίας λαβεῖν) οἱ ἀκριβέστερον τῶν ἄλλων φιλοσοφήσαντες οὐ πάσαις ταῖς κρείττοσι φύσεσι τὴν αὐτὴν φύσιν διδόασιν. Ἀλλ' αἱ μὲν αὐτοῖς νεύσασαι πρὸς τὰ τῇδε, τὴν ἄνω θεωρίαν ἀπολελοίπασιν· αἱ δὲ καὶ καταβᾶσαι καὶ πρὸς τοὺς ἥττους ταῖς προνοίαις ἐπιστραφεῖσαι, ἐν ταῖς 10

6–11 οἱ – ἐλλάμψεσι: cf. Ps.-Dion. Areop. Περὶ θείων ὀνομάτων 4,8 (153,4–9) καὶ κινεῖσθαι μὲν οἱ θεῖοι λέγονται νόες κυκλικῶς μὲν ἑνούμενοι ταῖς ἀνάρχοις καὶ ἀτελευτήτοις ἐλλάμψεσι τοῦ καλοῦ καὶ ἀγαθοῦ, κατ' εὐθεῖαν δέ, ὁπόταν προΐασιν εἰς τὴν τῶν ὑφειμένων πρόνοιαν εὐθείᾳ τὰ πάντα περαίνοντες, ἑλικοειδῶς δέ, ὅτι καὶ προνοοῦντες τῶν καταδεεστέρων ἀνεκφοιτήτως μένουσιν ἐν ταὐτότητι περὶ τὸ τῆς ταὐτότητος αἴτιον καλὸν καὶ ἀγαθὸν ἀκαταλήκτως περιχορεύοντες. cf. etiam Synes. Cyren. Δίων 5,2 καὶ ὁ καθ' ἡμᾶς φιλόσοφος συνέσται μὲν ἑαυτῷ τε καὶ τῷ θεῷ διὰ φιλοσοφίας, συνέσται δὲ τοῖς ἀνθρώποις διὰ τῶν ὑφειμένων τοῦ λόγου δυνάμεων ‖ **9–10** αἱ – ἐπιστραφεῖσαι: cf. 211,42-44 διττὸς γὰρ ὁ τρόπος τοῦ περὶ ταῦτα φιλοσοφεῖν: ὁ μέν τις φιλανθρωπότερος, ὁ δὲ γενναῖος καὶ ἴσως ἀποτομώτερος· κἀκεῖνο μὲν τὸ μέρος τῇ ἐνταῦθα ἀνεῖται προνοίᾳ

32 ψεύδεται Ὅμηρος : ψεύδετα[ca. 8 litt.] B ‖ **33** προσ[ca. 7 litt.]ουσιν B **ep. 200** U 182r–183v, M 159r–v, E 89r–90r, e[1] 220v–222v, e[2] 143v–145r, m[2] 397v–399r; tit. G: τῷ μοναχῷ Ἰωάννῃ τῷ Ξιφιλλίνῳ U τῷ Ξιφιλίνῳ M E e[1] e[2] m[2] Malt ‖ **1** μεταστράφης m[2] ‖ **2** ἴσον U G: ἶσον M E e[1] e[2] m[2] Malt ‖ **4** ἡμεῖς ἐξανθρωπίζομέν : [ca. 16 lit....]μεν U | ἀποθεοῖς M E e[1] e[2] m[2] G Malt: ἀποθειοῖς U ‖ **5** πό[ca. 12 lit....]ᾶγμα U | σοι G ‖ **5–6** ἢ – ἀνάβασις in marg. suppl. e[1] ‖ **5** ὁ om. e[1] e[2] m[2] ‖ **8** αὐτῆς e[1] e[2] m[2]

πρώταις εἰσὶν ἐλλάμψεσι. Καί μοι τούτων εἴης αὐτός, ἵνα καὶ ἡμῖν ἀνθρωπικῶς ὁμιλῇς, καὶ τῆς θειοτέρας ἔχῃ σιγῆς, καὶ ἑκατέρωθεν ἐρανίζῃ τὰ πρόσφορα: παρὰ θεοῦ μὲν τὴν τοῦ ὄντος κατάληψιν, παρ' ἡμῶν δὲ ἡμᾶς, τὸ κάλλιστόν σοι ἀγώγιμον.

15 Σὺ μὲν γὰρ τὸ ἱστίον τοῦ νοῦ πετάσας πρὸς οὐρανόν, ὑπὸ τοῖς ἄνω πυρσοῖς πρὸς τοὺς θείους κατῆρας λιμένας, καὶ τῆς ἀρχαίας ἡμῶν πατρίδος πᾶσι τέρπῃ τοῖς κάλλεσιν. Ἡμεῖς δὲ ἀπαίρειν μὲν ἐπηγγείλαμεν, καί που δὴ καὶ σκάφους ἐπιβάντες ἀνήχθημεν· τὸ δὲ πνεῦμα, βραχύ τι τὴν ἄγουσαν ὦσαν ὁλκάδα, ἀπέλιπε. Διὰ 20 ταῦτα τῆς σῆς δεόμεθα τεχνικῆς κυβερνήσεως. Φασὶ δὲ ὑμᾶς τοὺς πνευματικοὺς οἰακοστρόφους, μὴ μόνον κυβερνᾶν τὴν ναῦν δύνασθαι, ἀλλὰ καὶ κορυφούμενα κύματα καταστέλλειν, καὶ θάλασσαν οἰδοῦσαν εὐνάζειν, καὶ πνεῦμα ἐπεγείρειν οἷος ὁ Ζέφυρος, ἡδὺς ὁμοῦ καὶ λεῖος, καὶ παραπέμπων σὺν εὐμενείᾳ τὸ σκάφος. Ἀλλὰ 25 καὶ ἕτερόν τι πρόσεστιν ὑμῖν ὥσπερ ἀκήκοα: ὅτι καὶ καταδῦσαν ὁλκάδα, εἴτε μυριοφόρον, εἴτε νῦν πρώτως καθελκυσθεῖσαν εἰς

11–12 *καί μοι – ὁμιλῇς*: cf. Π 208,9–10 ἐχρῆν τοὺς ἰσοπολίτας σοι ἀγγέλους μιμήσασθαι καὶ ἀνθρωπικῶς ποτε φθέγγεσθαι ‖ **14** *τὸ – ἀγώγιμον*: iunctura Pselliana in Nic. Chon. Χρονικὴ διήγησις 586,4–5 ὃν καὶ καλῶν κάλλιστον καὶ σφίσιν ἐπέραστον ἀγώγιμον ἐπεφέροντο laudata? ‖ **15–16** *τὸ – λιμένας*: cf. Greg. Nys. Εἰς τὰς ἐπιγραφὰς τῶν ψαλμῶν 60,18–20 τὴν τοῦ πνεύματος χάριν, ἣ διὰ τῶν νοητῶν ἱστίων τῷ θείῳ λιμένι τὴν ψυχὴν ἐνορμίζει, κυβερνῶντος τοῦ λόγου καὶ πρὸς τὸν πλοῦν κατευθύνοντος et Π 275,45–47 ὁ τὴν ψυχὴν οἷον ἱστίον ἐξαπλώσας τῷ λόγῳ, καὶ πρὸς τοὺς ἄνω οὐριοδρομήσας πυρσοὺς καὶ εἰς τοὺς ἀκλύστους κατάρας λιμένας. cf. etiam Π 189,32–33 πρὸς τοὺς ἄνω πυρσοὺς ἀφορῶν, εἰς ἀκλύστους λιμένας καθορμίζεις τὴν ναῦν ‖ **16–17** *τῆς – πατρίδος*: locus communis; cf. e.g. Bas. Caes. Εἰς τὴν ἑξαήμερον 6,1,32 cum Psel. Βίος καὶ πολιτεία ... Αὐξεντίου ... = Or. hag. 1a 8–9 et 65 ἡ ἀρχαία πατρὶς ἡμῶν, ἡ ἄνω Ἱερουσαλήμ ‖ **23–24** *ὁ – λεῖος*: cf. Suda ζ 41 Ζεφυρία πνοή: ... καὶ Ζεφύριον πνεῦμα. Ζέφυρος γὰρ λεῖος ἄνεμος et Π 305,21–22 καὶ ὡς Ζέφυροι περιπνεῖν ὁμαλῶς. cf. etiam Hom. Il. 19,415 πνοιῇ Ζεφύροιο (cf. Od. 4,402 et 10,25), Eurip. Φοίνισσαι 211 Ζεφύρου πνοαῖς, etc. cum Π 43,59 ὥσπερ Ζεφύρου πνεῦμα et Π 122,74 ὥσπερ Ζεφύρου πνοαῖς **26** *ὁλκάδα ... μυριοφόρον*: iunctura saepe laudata; cf. e.g. Philo Περὶ τῆς κατὰ Μωυσέα κοσμοποιίας 113 cum Heliod. Αἰθιοπικά 4,16,6,3

11 εἴην e[1] e[2] m[2] ‖ **14** σοι om. e[1] e[2] m[2] ‖ **16** θείους M E e[1] e[2] m[2] G Malt: θείου U **17** δὲ om. e[1] e[2] m[2] ‖ **20** ἡμᾶς E e[1] e[2] m[2] ‖ **22** κύματα U G: τὰ κύματα M E e[1] e[2] m[2] Malt ‖ **23** ἰδοῦσαν e[1] e[2] m[2] ‖ **24** εὐμενείας m[2]

πέλαγος, ἀνιμᾶν δύνασθε, καὶ αὖθις ἐπὶ τῆς θαλάσσης ἱστᾶν, οὐ τὴν χεῖρα κινοῦντες, ἀλλὰ τὴν γλῶσσαν.

Ὁπότε οὖν σοι τοσαῦτα τῷ ἐμοὶ φιλτάτῳ ἀνδρὶ ὡς κυβερνήτῃ πνευματικῷ μεμαρτύρηται, ἐπὶ κούφης αὐτὸς ἐλπίδος εἰμί, καὶ 30 πτερούμενος, καὶ τοῦ ἱστίου στερούμενος· πτερώσεις γὰρ αὖθις καὶ τοῖς ἀνέμοις ἐπιτάξεις, εἰ βούλοιο ἀπαγαγεῖν ἡμᾶς ὅπῃ σοι θελητόν. Οὐ τοίνυν ἀπογνώσομαι οὔτε τὴν εὔπλοιαν, οὔτε τοὺς λιμένας ἐφ᾽ ὧν αὐτὸς ἐγκαθώρμισαι. Σὺ μὲν γὰρ καὶ βούλοιο ἅμα καὶ δύναιο· ἐγὼ δὲ βουλοίμην μὲν (καὶ μάρτυς ἐπὶ τῷ λόγῳ θεός), 35 δυναίμην δ᾽ οὐ πάνυ, ἀλλ᾽ ἔλαττον ἢ βουλοίμην· εἰ δὲ γενναίως βουλοίμην, πάντως δ᾽ ἂν καὶ δυναίμην.

Ἀλλ᾽ οὐκ οἶδ᾽ ὅπως ἂν περὶ τῶν ὀνομάτων τούτων φιλοσοφήσω· ὁρῶ γὰρ ὅτι μὴ πάντα τῆς ἡμετέρας προαιρέσεως ἤρτηται, ἀλλ᾽ ἔστι τι καὶ τῶν παρὰ ταύτην, καὶ βουλημιγές τι ὡς ἀληθῶς 40 χρῆμα ὁ ἄνθρωπος, πείσμασιν οἷον ἐντεταμένος πολλοῖς, μᾶλλον δὲ ὕσπληξι, τοῖς μὲν ἔσωθεν, τοῖς δ᾽ ἔξωθεν, ὥστε καὶ προνοίας ἀπῃωρῆσθαι ἡμᾶς, καὶ ἀνάγκης, καὶ προαιρέσεως. Εἴπερ γὰρ ἦν σοι ὥσπερ τι τῶν ὁρωμένων τὴν ἡμετέραν γνώμην περὶ τούτου

30 ἐπὶ – εἰμί: cf. Is. 19,1 ἐπὶ νεφέλης κούφης? cf. Π 383,6 ‖ **32** τοῖς – ἐπιτάξεις: Luc. 8,24–25 ὁ δὲ διεγερθεὶς ἐπετίμησεν τῷ ἀνέμῳ καὶ τῷ κλύδωνι τοῦ ὕδατος ... τίς ἄρα οὗτός ἐστιν ὅτι καὶ τοῖς ἀνέμοις ἐπιτάσσει καὶ τῷ ὕδατι, καὶ ὑπακούουσιν αὐτῷ; cf. Π 267,15 ‖ **34–37** σὺ – δυναίμην: cf. Synes. Cyren. Epist. 95,62–63 οὐδ᾽ ἂν εἰ δυναίμην βουλοίμην, πάντως δὲ οὐδ᾽ ἂν εἰ βουλοίμην δυναίμην. cf. etiam Psel. Χρονογραφία VI,171 οὐδ᾽ εἰ πάνυ βουλοίμην, τοῦτο δυναίμην ἄν, Σελέντιον δημηγορηθὲν παρὰ βασιλέως κῦρ Μιχαὴλ τοῦ Δούκα = Or. min. 3,85 βουλοίμην μέν, εἴ γε δυναίμην, Ἑρμηνεία εἰς τὸ ῥητὸν τῆς Κλίμακος = Theol. I 30,7 οὔτε βουλοίμην εἰπεῖν, οὔτ᾽ εἰ βουλοίμην, δυναίμην ἄν, Π 23,69 ὃ βουλοίμην, οὐ δῆτα δὴ καὶ δυναίμην, Π 30,1 βουλοίμην ἂν καὶ πάνυ βουλοίμην (εἴ γε δυναίμην), Π 79,15–16 βουλοίμην γὰρ (εἴ γε καὶ δυναίμην), Π 99,26 εἴ γε δυναίμην, βουλοίμην δέ, Π 111,19–20 οὔτε δυναίμην ἂν εἴ γε βουλοίμην, οὔτε βουλοίμην εἴ γε δυναίμην, Π 292,5–6 βουλοίμην ἂν (εἴ γε καὶ δυναίμην), et Π 514,1–2 βουλοίμην ἂν ... (εἴ γε δυναίμην) ‖ **41–42** πείσμασιν – ὕσπληξι: cf. Plut. Περὶ τοῦ Σωκράτους δαιμονίου 588f7–8 ψυχὴ δ᾽ ἀνθρώπου μυρίαις ὁρμαῖς οἷον ὕσπληξιν ἐντεταμένη

27 δύνασθε M E e[1] e[2] m[2] G Malt: δύνασθαι U ‖ **33** θελητικόν m[2] **34** ἐγκαθόρμισαι U ‖ **40** βουλημιγές U Malt: βουλυμιγές M E e[1] e[2] m[2] πουλυμιγές G (cf. Plat. Epig. 24 = AP 9,823) ‖ **42** ὕσπλητι m[2] ‖ **44** περὶ τούτου U G: περὶ τοῦτο M Malt τε τοῦτο E e[1] e[2] m[2]

45 ἰδεῖν, ἐθαύμασας ἂν ὑπὸ τοιούτῳ πνεύματι μὴ κινούμενον. Ἀλλ' ἔχει καὶ οὕτως ἡμᾶς ἡ πέδη, τοῦ σώματος μὲν ἴσως ἔλαττον, ἑτέρα δὲ ἐκ προαιρέσεως οὐ φαύλης εἰς οὐ καλὸν καταλήγουσα· μὴ γάρ με οἰηθῇς, φίλτατε ἀδελφέ, καί μοι μηδὲν ἀχθεσθῇς λέγοντι, ὅτι ἄρκυσι δόξης ἑάλωκα, ἢ πλούτου θηράτροις τεθήραμαι, ἢ ὅτι ζηλῶ
50 ἐπὶ ταῖς βασιλείαις αὐλαῖς, ἢ ἐπ' ἄλλῳ τῳ τῶν ἐνταῦθα καλῶν· μενοῦνγε καὶ διαπτύω πᾶν τὸ φαινόμενον, καὶ μάλιστα ἡνίκα τί μοι σχολάσει πρὸς ἑαυτὴν ἡ ψυχή· εἰ δὲ βούλει τἀληθὲς ἀκοῦσαι, πολλάκις τοῖς περιττοῖς ναυτιῶν, ἀπεμέσαι καὶ τἀναντία βεβούλημαι· οὕτω πᾶσαν ἐβδελυξάμην τὴν ἐνταῦθα ζωήν.

55 Μᾶλλον δὲ τῆς προτέρας τὸ πᾶν σχεδὸν ἀπεπτύσθη μοι· τὸ γὰρ περὶ τοὺς λόγους καὶ τὴν ἐν τούτοις ἀγλαΐαν οὐ μόνον οὐκ ἀπωσάμην, ἀλλ' ἔτι ζητῶ, καὶ μάλιστα ὁπόσον φιλοσοφία δίδωσιν ἐκ τῶν ἄνωθεν ἀπεικονισαμένη μορφῶν, ἣ μάλιστα τὸ ἀνείδεον, μέχρις ἡμῶν καταγαγοῦσα, εἰς εἶδος ἀπετυπώσατο. Ἀλλὰ τὴν
60 περὶ τοὺς λόγους σχέσιν ἔστι καὶ πρὸς ἡμᾶς διαβιβάσαι· καὶ οὐ πάνυ ἐμαυτῷ μέμφομαι, καὶ τούτου τοῦ κάλλους ἐρῶντι. Καὶ (εἰ μὴ φορτικῶς πάλιν ἀκούεις τῶν ἔξω σοφῶν μηδέ γε βούλοιο τῷ

47–54 μὴ – ζωήν: cf. Π 201,77–79 ἢ πραγμάτων ἔρως, ἢ δόξαι με περιέλκουσι καὶ οὐχὶ ξύμπασαν εὐδαιμονίαν εἰδωλικώτερον φαντάσματος ἥγημαι ‖ **58–59** μάλιστα – ἀπετυπώσατο: cf. etiam Psel. Ἐκ τοῦ εἰς τὸν μέγαν Ἀθανάσιον, εἰς τὸ 'ᾧτινι μὲν οὖν ἐξεγένετο' = Theol. I 104,55–59 τῇ γὰρ ἐπιστημονικῇ τῶν ἀρετῶν ἐργασίᾳ καὶ τῇ ἀτενίσει τῇ πρὸς τὸ πρῶτον παράδειγμα διαποικιλλομένη ἡ ψυχὴ καὶ μορφουμένη ὁμοῦ τε τῆς ἀειδοῦς ὕλης πόρρω γίνεται καὶ πρὸς θεὸν ἄνεισιν, ἐσχηματισμένη ὡς ἐφικτὸν πρὸς τὸ ἀσχημάτιστον ἐκείνου κάλλος καὶ τὸ ἀνείδεον εἶδος καὶ ἀμόρφωτον

45 ἂν U G: om. M E e[1] e[2] m[2] Malt | κινουμένην prop. G (in app. crit.) **46** οὗτος U | ἐλάττων corr. G ‖ **47** προαιρέσεως M E e[1] e[2] m[2] G Malt: προφάσεως U ‖ **49** ἄρκυσι U G: ἅρκυσι M E e[1] e[2] m[2] Malt ‖ **50** βασιλείαις (cf. Psel. Or. min. 18,34 βασιλείαις αὐλαῖς) M E e[1] e[2] m[2] Malt: βασιλείοις U G **52** σχολάζει corr. Malt ‖ **55** ἀπεπτύσθητί e[1] e[2] m[2] ‖ **57** ζηλῶ Malt ‖ **58** ἣ : ἡ E e[1] e[2] m[2] ‖ **59** μέχρις U: μέρος M E e[1] e[2] m[2] G Malt | καταγαγοῦσα U G Malt: κατάγουσα M E e[1] e[2] m[2]

ἐκείνων ἐλαίῳ πιαίνεσθαι) τὸ νοητὸν κάλλος ἐκεῖνοι ἀπὸ τοῦ τῆδε κάλλους ἀνάπτουσι ταῖς ψυχαῖς· ἐπεὶ γὰρ μή ἐστιν ἐκεῖνο ὁρατὸν ἀφ' ἑαυτοῦ καὶ γνωστόν, ἀπὸ τῶν εἰκασμάτων τὸ πρωτότυπον 65 ἡμῖν εἰκονίζουσιν.

Εἰ τοίνυν δεῖ σὺν ἐπιστήμῃ πρὸς ἐκεῖνο ἀνιέναι, τοῦ μὲν ἐν σώματι κάλλους καταφρονήσωμεν, ὡς ἀπηχήματος τελευταίου καὶ τῇ ὕλῃ προσεγγίζοντος· ἐπιτηδεύματα δὲ καλὰ καὶ πράξεις καλαὶ καὶ λόγοι καλοὶ ἀναγέτωσαν ἡμᾶς εἰς τὸ πρῶτον καλόν. 70

63–64 τὸ – ψυχαῖς: cf. Plat. Φαῖδρος 249d5–6 τὸ τῆδέ τις ὁρῶν κάλλος, τοῦ ἀληθοῦς ἀναμιμνῃσκόμενος et Herm. In Phaedr. 179,15–18 βούλεται εἰπεῖν περὶ τοῦ ἐρωτικοῦ πῶς ἀνάγεται ἀπὸ τοῦ τῆδε κάλλους ἐπὶ τὸ νοητὸν κάλλος· ὃ λέγει οὖν τοῦτο ἔστιν, ὅτι τὸ νοητὸν κάλλος ἐν τῇ νοητῇ οὐσίᾳ μετ' ἐκείνων τῶν θεαμάτων ἐξέλαμψεν, ἀφ' οὗ καὶ τοῦτο τὸ αἰσθητὸν κάλλος ἐξέλαμψεν. cf. Π 120,35–37 et Π 149,13–14 ‖ **67–69** τοῦ – προσεγγίζοντος: cf. Synes. Cyren. Δίων 5,4 ἔπειτα ὥσπερ ὁ θεὸς τῶν ἀφανῶν ἑαυτοῦ δυνάμεων εἰκόνας ἐμφανεῖς ὑπεστήσατο τῶν ἰδεῶν τὰ σώματα, οὕτως ἔχουσα κάλλος ψυχὴ καὶ γόνιμος οὖσα τῶν ἀρίστων, διαδόσιμον ἔχει μέχρι τῶν ἔξω τὴν δύναμιν· οὐδὲν γὰρ ἐθέλει τῶν θείων ἔσχατον εἶναι. cf. etiam Psel. Εἰς τὸ 'ὄψει τὰ ὀπίσθια' = Theol. I 26,49–51 καὶ ἡ πρόοδος ἄχρι τῆς ὕλης κατιοῦσα οὐ παύεται (αὕτη γὰρ τελευταῖον ἀπήχημα τοῦ θεοῦ) cum Procl. Περὶ τῆς κατὰ Πλάτωνα θεολογίας 1,116,7–8 et In Tim. III 158,7–10 et Damasc. Περὶ τῶν πρώτων ἀρχῶν I 26,14 et In Parm. 285,16–17. sed cf. etiam Psel. Ἔκφρασις εἰς Ἔρωτα ἐγγεγλυμμένον λίθῳ = Or. min. 34,19–26 πλὴν μηδὲ τὸν χθαμαλώτερον ἀποδιοπομπησώμεθα Ἔρωτα, εἰ δεῖ πεπεῖσθαι τῷ θαυμασίῳ φιλοσόφῳ (φημὶ δὴ τῷ Πλάτωνι). ἑτοιμάζει καὶ οὗτος τὰς ψυχὰς ἀπὸ τοῦ ἐμφανοῦς κάλλους πρὸς τὴν ἀναγωγὸν ἡδονὴν καί, ἐπεὶ μὴ δύναται τὸ νοερὸν καὶ ἀπόθετον κάλλος ἐπὶ τῆς ἰδίας ὑποστήσασθαι φύσεως, ἀπηχήματά τινα καὶ ἐμφάσεις εἰδωλοποιεῖ ἐν τοῖς σώμασιν, ἅπερ ἰδοῦσα ψυχὴ φιλόκαλος οἰστρεῖ ἀτεχνῶς καὶ ἀνακηκίει θερμῶς, ἐπιγνοῦσα ἐν ταῖς ἐμφάσεσι τὸ ἴχνος τῆς νοερᾶς ἐκείνης ψυχῆς ‖ **67–70** εἰ – καλόν: Plat. Συμπόσιον 210a4–211d1 ... ἵνα ἀναγκασθῇ αὖ θεάσασθαι τὸ ἐν τοῖς ἐπιτηδεύμασι καὶ τοῖς νόμοις καλὸν καὶ τοῦτ' ἰδεῖν ὅτι πᾶν αὐτὸ αὑτῷ συγγενές ἐστιν, ἵνα τὸ περὶ τὸ σῶμα καλὸν σμικρόν τι ἡγήσηται εἶναι· μετὰ δὲ τὰ ἐπιτηδεύματα ἐπὶ τὰς ἐπιστήμας ἀγαγεῖν, ἵνα ἴδῃ αὖ ἐπιστημῶν κάλλος ... ἀλλ' ἐπὶ τὸ πολὺ πέλαγος τετραμμένος τοῦ καλοῦ καὶ θεωρῶν πολλοὺς καὶ καλοὺς λόγους καὶ μεγαλοπρεπεῖς τίκτῃ καὶ διανοήματα ἐν φιλοσοφίᾳ ἀφθόνῳ, ἕως ἂν ἐνταῦθα ῥωσθεὶς καὶ αὐξηθεὶς κατίδῃ τινὰ ἐπιστήμην μίαν τοιαύτην, ἥ ἐστι καλοῦ τοιοῦδε ... etc. cum Plot. I,6,1

63 ἐκεῖνοι M E e[1] e[2] m[2] G Malt: ἐκείνου U ‖ **64** ἀνάπτου U ‖ **65** ἀφ' U G: ἐφ' M E e[1] e[2] m[2] Malt ‖ **68** καταφρονήσωμεν M E e[1] e[2] m[2] Malt: καταφρονήσομεν U G

Κἂν μὲν ἐκείνου γενναιότερον ἀντιλάβοιμεν, ὥστε μὴ μετεστράφθαι, ῥείτωσαν τἆλλα ἡμῖν καὶ ὑποχωρείτωσαν· εἰ δὲ ἡ ἐπίκηρος φύσις ἀνθέλκοι, ἐκ τοῦ σχεδὸν ἡμᾶς ὁ λόγος καταβάντας ὑποδεχέσθω, καὶ πάλιν τῷ ἑαυτοῦ κάλλει πρὸς ἀνάμνησιν ἐκείνου τὴν
75 ψυχὴν κεντριζέτω. Καὶ (ἵνα τἆλλα ἐάσω) ἴσθι, πνευματικὲ ἀδελφέ, ὅτι ὑπὸ βραχεῖ μίτῳ ἐνταῦθα πεπέδημαι· κἂν τμηθῇ, θαυμάσεις οἵας κατεῖχε τὸ ἀράχνιον πτέρυγας.

72–73 ἡ – φύσις: Synes. Cyren. Δίων 7,2 ἀλλ' ἐπανάγει καὶ τούτους ἡ ἐπίκηρος φύσις; cf. etiam Psel. Χρονογραφία VI,220 (= VIa,17), Theol. I 8a,44–5, Εἰς τὸ 'ὅτι πνεῦμα διῆλθεν ...' = Theol. I 34,5–6, Εἰς τὸ 'καὶ ἡμῖν μὲν βρωθήσεται ...' = Theol. I 99,21 et Π 31,33, Π 63,39–40, Π 173,3–4, et Π 174,17–18 ‖ **69–75** ἐπιτηδεύματα – κεντριζέτω: cf. Synes. Cyren. Δίων 6,4 εἰ δὲ καὶ ποικίλον ἡ φύσις ἡμῶν, καμεῖται δήπου πρὸς τὴν ἐν θεωρίᾳ ζωήν· ὥστε ὑφήσει τοῦ μεγέθους καὶ καταβήσεται· οὐ γάρ ἐσμεν ὁ ἀκήρατος νοῦς, ἀλλὰ νοῦς ἐν ζῴου ψυχῇ. καὶ ἡμῶν οὖν αὐτῶν ἕνεκα μετιτέον τοὺς ἀνθρωπινωτέρους τῶν λόγων, ὑποδοχήν τινα μηχανωμένους κατιούσῃ τῇ φύσει cum 6,5 τοιοῦτον οὖν τὸ ἐν λόγοις κάλλος· οὐ βαθύνεται πρὸς ὕλην, οὐδὲ ἐμβαπτίζει τὸν νοῦν ταῖς ἐσχάταις δυνάμεσιν, ἀλλὰ δίδωσιν ἀνανεῦσαι δι' ἐλαχίστου, καὶ εἰς οὐσίαν ἀναδραμεῖν et 8,2–3 λείπεται δή τι τῶν ἐν μέσῳ, τί δ' ἂν εἴη πρὸ τῆς ἐν λόγοις τε καὶ περὶ λόγους διατριβῆς; τίς ἡδονὴ καθαρωτέρα; τίς ἀπαθεστέρα προσπάθεια; τίς ἧττον ἐν ὕλῃ; τίς μᾶλλον ἀμόλυντος; ταύτῃ δὴ πάλιν τὸν Ἕλληνα τοῦ βαρβάρου πρῶτον ἄγω, καὶ σοφώτερον τίθημι, ὅτι κατιέναι δεῆσαν, ὁ μὲν ἐν γειτόνων ἔστη τὴν πρώτην· εἰς ἐπιστήμην γὰρ ἔστη. ἐπιστήμη δὲ νοῦ διέξοδος· κᾆτα εἰς λόγον ἦλθεν ἄλλον ἀπ' ἄλλου, δι' ὧν καὶ προῆλθε. τί δ' ἂν εἴη λόγου νῷ συγγενέστερον; τί δὲ πορθμεῖον ἐπὶ νοῦν οἰκειότερον; ὡς ὅπου λόγος, ἐκεῖ που καὶ νοῦς· εἰ δὲ μή, πάντως τις εἴδησις, ἐν ὑστέροις νόησις οὖσα. καὶ γὰρ ἐνθάδε καλοῦνταί τινες θεωρίαι καὶ θεωρήματα ἔργα ἐλάττονος νοῦ, ῥητορικά τε καὶ ποιητικά, καὶ ἐν φύσει καὶ ἐν μαθήμασιν· ἀλλά τοι πάντα ταῦτα κοσμεῖ τὸ ὄμμα ἐκεῖνο, καὶ ἀφαιρεῖ τὴν λήμην, καὶ διεγείρει κατὰ βραχὺ προσεθίζοντα τοῖς ὁράμασιν, ὥστε θαρσῆσαί ποτε καὶ πρεσβύτερον θέαμα, καὶ μὴ ταχὺ σκαρδαμύξαι πρὸς ἥλιον ἀτενίσαντα. cf. etiam Π 64,23–24, Π 167,30–33, Π 201,30–34, et Π 202,215–217 ‖ **76–77** ὑπὸ – πτέρυγας: cf. Π 199,22–25 οὐ γὰρ πάντας τοὺς κατέχοντάς με μίτους διέρρηξα, ἀλλὰ τοὺς μέν, ἴσως, οἱ δὲ μείζους κλωστῆρες οὐ καταλύονται· καὶ φεύγοντι μὲν δοκοῦσι πρὸς μικρὸν ὑπεκλύεσθαι, τῇ δὲ φυγῇ ἐμμένοντα ἀντιδράττονται

71–72 μεταστρέφθαι e^1 e^2 m^2 ‖ **73** καταβάντας M E e^1 e^2 m^2 G Malt: καταβάντος U

Ἀλλ' ἐπλήσθης τῆς ἅλμης; Σαυτὸν αἰτιῶ· αὐτὸς γάρ μοι προετρέψω, τοῦτο δὴ τὸ θαλάττιον πόμα κεράσαι σοι.

201. 〈Ἰωάννῃ τῷ Ξιφιλίνῳ〉

post a. 1054, ante Π 202 et ante 1.1.1064

K-D 191 [O]

Οὐκ οἶδα εἴτε φιλοσοφῶ, φίλτατέ μοι καὶ τιμιώτατε ἀδελφέ, μὴ λόγῳ πρὸς σὲ χρώμενος μηδὲ πόρρωθεν διὰ τοῦ γράμματος ἀσπαζόμενος, εἴτ' ἄγροικόν τι πρᾶγμα ποιῶ καὶ πρέπον ἀπεστραμμέναις ἀλλήλων ψυχαῖς καὶ παντάπασιν ἀκοινωνήτοις. Ἀμφισβητῶ δὲ περὶ τούτου, ὅτι τοῖς μὲν τῶν κατὰ σὲ θείων 5 ἀνδρῶν, τὸ πρῶτον τῆς φιλοσοφίας ἤρεσεν ἦθος, καὶ σεσιωπήκασί γε πρὸς ἀλλήλους μέχρι παντός, τοῖς δ' ἐς τἆλλα σοφίας ἤρκεσέ τε καὶ ἤρεσε τὸ τῆς συνομιλίας καλόν· ὧν ἐγὼ τοὺς μὲν ἀφώνους ἐν ταῖς θεωρίαις τάττω, τοὺς δὲ λογιωτέρους ἢ λογικωτέρους ἐν ταῖς πρακτικαῖς ἀρεταῖς. 10

Ἀλλ' ὤ μοι τῆς γλώσσης! Οἷόν μοι ἔπος τοῦ τῶν ὀδόντων ἕρκους ἐξώλισθε! Γρηγόριος γὰρ καὶ Βασίλειος, οἱ τῆς τελεωτέρας σοφίας καθηγηταί, τὰ μὲν πρὸς ἀλλήλους διαλεγόμενοι, τὰ δὲ καὶ πόρρωθεν γράμμασι θαυμασίως συγκεραννύμενοι, οὐ παρὰ τοῦτο τῆς θεωρίας ἀποσεσύληνται, ἀλλ' ὁμοῦ ἰδίᾳ τὸ παρὰ θεοῦ καὶ 15

78–79 ἐπλήσθης – σοι: cf. Π 13a,1–3 cum app. font. et etiam Duffy 2001 **3–4** εἴτ' – ἀκοινωνήτοις: Synes. Cyren. Δίων 4,3 ἀξιῶ γὰρ ἐγὼ τὸν φιλόσοφον μηδ' ἄλλο τι κακὸν μηδ' ἄγροικον εἶναι cum 7,1 καὶ κατὰ τοῦτο ἀπολιτεύτους τε καὶ ἀκοινωνήτους ἀνθρώποις ‖ **6–7** σεσιωπήκασί – παντός: cf. e.g. Suda σ 469 Σιωπή· παροιμία· καὶ σιωπηλότερος ἔσομαι καὶ τῶν Πυθαγόρᾳ τελεσθέντων. ἐπὶ τῶν πάνυ σιγώντων· παρόσον οἱ Πυθαγόρου φοιτηταὶ παράγγελμα εἶχον σιγὴν ἀσκεῖν πενταετῆ χρόνον. cf. Psel. Ἐγκώμιον εἰς τὴν ἀποτομὴν ... Ἰωάννου = Or. hag. 8,325–327 et Π 145,21–22 et Π 183,29–30 ‖ **11–12** οἷόν – ἐξώλισθε: Hom. e.g. Il. 4,350 ποῖόν σε ἔπος φύγεν ἕρκος ὀδόντων; etc. cf. etiam Greg. Naz. Epist. 46,1 (ad Bas. Caes.) **12–16** Γρηγόριος – ἐγίγνοντο: cf. Π 197,18–20 πειθέτωσάν σε τοῦτο Γρηγόριοι καὶ Βασίλειοι, οὕτω ταῖς ἐπιστολαῖς ἀνακεραννύμενοι, ὡς μηδὲν πρὸς αὐτοὺς εἶναι τὰ διαστήματα

78 ἐπλήσθης U G: ἐπεπλήσθης M E e[1] e[2] m[2] Malt ‖ **79** σοι : μοι e[1] e[2] m[2]
ep. 201 O 198r–199r; tit. suppl. K-D ‖ **12** Βασίλειος corr. K-D: βασιλέα O

κοινῇ παρ' ἀλλήλων ἐγίγνοντο. Εἰ δὲ μὴδ' ἔστιν ἡ κρίσις αὕτη τὸ ἀκριβὲς ἔχουσα, ἀλλ' οὕτω μοι περὶ τούτου διοριστέον, ὡς ἐπὶ δυοῖν ἀγκύραιν ὁρμῶντες ἐκεῖνοι, τῇ μὲν φερούσῃ πρὸς οὐρανὸν τῇ δὲ πρὸς τοὺς κάτω λιμένας ἐποχούσῃ, ὁπηνίκα ὁ ὑπερτελὴς 20 τούτους ὅρμος ἐδέχετο, σιωπᾶν ἠναγκάζοντο· ἐκεῖθεν δὲ αὖθις διαιρεθέντες, καὶ ἐν τοῖς δευτέροις λόγοις ἐλλιμενίζοντες, τοὺς ἐμπορικοὺς τῆς ἀρετῆς πρὸς ἀλλήλους ἐποιοῦντο λόγους.

Τί ποτ' οὖν μοι τὰ πολλὰ ταῦτα καὶ τί διανοούμενος τοσοῦτον προοιμιάζομαι; Ἀλλά μοι ἀνέχου τὰ σὰ ἀληθεύοντι. Ἀμφοῖν καὶ 25 σὲ κάτοχον οἶδα. Εἶτα τὸν καιρὸν ἀγνοῶ, ὁπότε σοι καταίρει τὸ σκάφος πρὸς ἡμᾶς, ὡς ἂν τὸ τηνικαῦτα τῆς φιλίας γράμμα προσαποδῶ, ψυχὴ δὲ ἄνω τὸ πεῖσμα τῆς οἰκείας ζωῆς ἀναρτήσασα ξύμπαν τὸ ἄλλοθεν περιττὸν ἡγεῖται καὶ πλημμελές.

Ἀλλ' ὅρα, ὅπως σοι καὶ τοὺς καιροὺς διαιτῶ, μᾶλλον δὲ ὅπως 30 τὸ γράμμα τοῖς σοῖς διαμερίζω καιροῖς. Εἰ μὲν γὰρ ἄρτι που κατελήλυθας, ἀντὶ τοῦ Ὁμηρικοῦ λωτοῦ τῆς τε Πλατωνικῆς πλατάνου καὶ τῶν μυρρινῶν, ὁ ἐμὸς λόγος ἀναπαυέτω σε· εἰ δ' ἔτι ἀνήρτησαι τῶν θεαμάτων, καὶ τῶν μακαρίων ἀκροαμάτων, τὸ γράμμα περιμενεῖ, ἵν' ἐπειδὰν στραφῇς πρὸς ἡμᾶς, ἐντύχῃς αὐτῷ. 35 Μήτε οὖν γράφοντας ἡγοῦ περιττούς, μήτ' αὖθις μὴ γράφοντας

17–18 ἐπὶ – ὁρμῶντες: proverbium, CPG II 412 (nr. 61)—cf. Karath. 79, nr. 148; cf. etiam Psel. Χρονογραφία VII,88 ‖ **31** τοῦ – λωτοῦ: Hom. Od. 9,92–97, locus saepe laudatus, et etiam Bas. Caes. Epist. 186,11 οὐχ ὅπως τὸν Ὁμηρικὸν λωτόν. cf. Psel. Ἐγκώμιον εἰς τὸν οἶνον = Or. min. 30,132–133, et Π 248,25, Π 445,6, Π 449,35–36, et Π 486,4; cf. etiam Π 519,11–12 ‖ **31–32** τῆς – πλατάνου: Plat. Φαῖδρος 230b2–5, locus saepe laudatus. cf. Psel. Ἐπιτάφιος εἰς … Ἰωάννην τὸν Ξιφιλῖνον = Or. fun. I 3,16,43–44, Τὰ πρὸς Ὄλυμπον = Or. min. 36,34, Ἑρμηνεία περὶ τῶν εἰκοσιτεσσάρων στοιχείων ... πρὸς ... Ἰωάννην τὸν λιβελλίσιον = Phil. min. I 36,305, et Εἰς τὸ θεολογικὸν τὸ 'ταῦτα τοῖς αἰνιγματισταῖς ...' = Theol. I 16,32–33, et Π 22,39–40, Π 64,27, et Π 482,7–8 ‖ **30–34** Εἰ – αὐτῷ: cf. Synes. Cyren. Δίων 6,4 εἰ δὲ καὶ ποικίλον ἡ φύσις ἡμῶν, καμεῖται δήπου πρὸς τὴν ἐν θεωρίᾳ ζωήν· ὥστε ὑφήσει τοῦ μεγέθους καὶ καταβήσεται· οὐ γάρ ἐσμεν ὁ ἀκήρατος νοῦς, ἀλλὰ νοῦς ἐν ζῴου ψυχῇ. καὶ ἡμῶν οὖν αὐτῶν ἕνεκα μετιτέον τοὺς ἀνθρωπινωτέρους τῶν λόγων, ὑποδοχήν τινα μηχανωμένους κατιούσῃ τῇ φύσει. cf. etiam 8,2–3 cum Π 64,23–24, Π 167,30–33, Π 200,69–75, et Π 202,215–217

19 ὑπερτελὴς corr. K-D: ὑπερστελὴς O ‖ **26** ὑμᾶς prop. Cris[3] ‖ **31–32** τοῦ – πλατάνου scripsi (cf. app. font.): τοῦ Πλατωνικοῦ λωτοῦ τῆς τε πλατάνου O K-D

ἀφιλίας γράφου γραφήν. Ἀλλὰ τὸ μὲν ἀπολογία σοι ἔστω τοῦ κατὰ σὲ θείου καὶ ὑψηλοῦ πράγματος, τὸ δὲ τῆς πρὸς ἀλλήλους φιλίας λόγον ἀμαχώτατον προβαλλέσθω σοι.

Ἀλλὰ τί ταῦτα καὶ μέχρι τίνος; Ἐγὼ δέ σοι πάντως ἀπόλωλα, τὸ μὲν διαιρεθείς σοι τῆς συμφυοῦς καὶ συμπνόου ψυχῆς, τὸ δὲ ὡς διῃρημένος· ἔστι γὰρ καὶ τομὴ ψυχῆς ὥσπερ δὴ καὶ σωμάτων, καὶ οὗ μὲν τὸ αἷμα πολύ, οὗ δὲ περιττοτέρα ἡ ἀλγηδών· οὐ γὰρ οὕτω πρὸς ἄλληλα τὰ τῶν σωμάτων μέρη συγκιρνᾶται, ὡς τὰ τῶν ψυχῶν (πῶς ἂν εἴποιμι;) τμήματα. Ἐκεῖνα μὲν γὰρ ἀλλήλων ἀνάπτεται, ταῦτα δὲ δι᾽ ὅλου χωρεῖ πρὸς ἄλληλα· καὶ ἔστι μὲν ἐκεῖνα, οἷον τὸ ἐκ τῶν γραμμῶν μέγεθος (εἴ που μέμνησαι), ταῦτα δέ, οἷον τὰ ἐκ στιγμῶν· ἀμερῆ γὰρ μένει καὶ μετὰ τὴν ἕνωσιν. Διὰ τοῦτο, ὧν τὸ συνεχὲς δι᾽ ἀλλήλων πεφοίτηκε, τούτων ὁ χωρισμὸς πολυώδυνος.

Ἔδει μὲν οὖν κατὰ τοῦτον τὸν λόγον, εὐθὺς ἀποσβέννυσθαι ἢ ἀφίπτασθαι τῶν σωμάτων τὰς διαιρεθείσας ψυχάς. Ἀλλ᾽ ἔστι τι φάρμακον ζωοποιεῖν ταύτας καὶ διεστώσας δυνάμενον. Ποῖον δὴ τοῦτο; μνῆμαι ταύταις καὶ φαντασίαι, λόγοι τε νοεροὶ καὶ διάνοιαι καθαραὶ παρὰ τοῦ δημιουργήσαντος ἐμπεφύκασι, πτεροῦντες ταύτας καὶ φέροντες ὅπῃ καὶ βούλοιντο· οὐδὲ γὰρ ἔστι τὸ ταύτας ὁρίζον, οὐ στῆλαί τινες Ἡράκλειαι λεγόμεναι, οὐ κολωνοὶ πρὸς ὕψος αἰρόμενοι.

40–41 τὸ[1] – σωμάτων: cf. Π 360,9 ὥσπερ ἀπερρηγμένος τοῦ συμφυοῦς. cf. etiam Greg. Naz. Εἰς τὸν μέγαν Βασίλειον ... = Or. 43,80 ἡμιθνὴς δὲ Γρηγόριος καὶ ἡμίτομος, τῆς μεγάλης ἀπερρωγὼς συζυγίας cum Psel. Ἐπιτάφιος εἰς τὴν ἑαυτοῦ μητέρα 907 et Π 117,8–10 et Π 118,61? cf. etiam Π 538,8–9 ‖ **45–48** καὶ – ἕνωσιν: cf. Sext. Emp. Πρὸς λογικούς 3,28 ἀλλ᾽ εἰώθασι πρὸς τὰς τοιαύτας ἐπιχειρήσεις ὑπαντῶντες οἱ περὶ τὸν Ἐρατοσθένη λέγειν ὅτι τὸ σημεῖον οὔτε ἐπιλαμβάνει τινὰ τόπον οὔτε καταμετρεῖ τὸ διάστημα τῆς γραμμῆς, ῥυὲν δὲ ποιεῖ τὴν γραμμήν. ὅπερ ἐστὶν ἀδιανόητον. ῥεῖν γὰρ νοεῖται τὸ ἀπό τινος τόπου εἴς τινα τόπον ἐπεκτείνεσθαι, ὥσπερ τὸ ὕδωρ. εἰ δὴ τοιοῦτόν τι φαντασιούμεθα τὸ σημεῖον, ἀκολουθήσει οὐχ οἷον ἀμερὲς αὐτὸ τυγχάνειν, ἀλλ᾽ ἐκ τῶν ἐναντίων πολυμερές cum 3,33 τὸ γὰρ ἀμερῆ τόπον ἐπεσχηκὸς ἀμερές ἐστιν, ὃ δέ ἐστιν ἀμερές, στιγμὴ καὶ οὐ γραμμὴ καθέστηκεν. cf. Sext. Emp. Πρὸς λογικούς 9,376 et etiam Π 202,29 et 59–68 cum Cris 1975,126 ‖ **56** στῆλαί – λεγόμεναι: cf. e.g. Suda η 464

36 γράφου corr. K-D: γράφε O ‖ **52** ζωοποιεῖν corr. K-D: ζωοποιοῦν O **53** φαντασία K-D ‖ **56** κολωνοὶ K-D: κωλωνοὶ O

Ἀλλ' Εὐρώπη μὲν καὶ Λιβύη τοῖς οἰκείοις ὅροις διῄρηνται, καὶ οὐκ ἄν τις μῖξις ἐπ' ἀλλήλοις γένοιτο· ἀνὴρ δὲ Λίβυς καὶ Εὐρω-
60 παῖος ἕτερος, ὁ μὲν ἐπὶ Λιβύης, ὁ δὲ ἐπ' Εὐρώπης ἐστίν· καὶ ὁ μὲν Εὐρωπαῖος εἰς Λιβύην, ὁ δὲ Λίβυς εἰς Εὐρώπην μεθίσταται, ἢ μᾶλλον ἀμέσως, ὥσπερ ἐν μέσῳ τινὶ χώρῳ, ἀδιαστάτως ἀνακεράννυνται. Ἐμοὶ δὲ πόσον τὸ μεταξὺ τοῦ Βυζαντίου καὶ τοῦ σοῦ Ὀλύμπου διάστημα, ὥστε μὴ καὶ τοῖς τοῦ σώματος ὀφθαλμοῖς
65 ὁρᾶν σε δύνασθαι; Τοσοῦτον δέ σε ἀξιῶ μὴ οἴεσθαι οὕτω μοι ταῦτα γεγραφέναι ὥσπερ ἀντ' ἄλλου τινὸς φιλίας νόμου· μὴ γὰρ ὀναίμην φιλοσοφίας μήτε σοφίας μήτε τῶν τῆς φιλίας χαρίτων, εἰ μή σου ἔχομαι καὶ ἐξέχομαι, καὶ ἐμφύτως σοι καὶ ἔνειμι καὶ συμπέφυκα.

70 Πῶς οὖν οὕτως ἔχων φέρω σου τὴν διάζευξιν; Νὴ τὴν ἱεράν σου ψυχήν! οὐ ψεύδομαι οὐδ' ἀποκρύψομαί σε τὸ κατ' ἐμὲ πάθος. Οὔπω δοκῶ ἐμαυτὸν κατειληφέναι, εἴτε τι θεῖον χρῆμά εἰμι, εἴτε θηρίον Τυφῶνος πολυπλοκώτερον. Νῦν μὲν γὰρ ἐνθουσιῶ τὴν πρὸς ὑμᾶς κίνησιν καί μοι πέταται ἡ ψυχὴ καὶ τὸ κατέχον οὐδέν·
75 αὖθις δέ μοι λογισμὸς ἐπάνεισιν ἕτερος, μή πω οὐ θεῖον τὸ ὅρμημα, καὶ πράξαντι ἀκολουθήσῃ μετάνοια. Εἰ δὲ παρὰ ταῦτα

58–63 ἀλλ' Εὐρώπη – ἀνακεράννυνται: cf. Π 202,131–137 εἶτα δὴ καὶ γεωγραφικαῖς ἐπεβάλου ἰδέαις· πλὴν βραχύ τι ἠγνόησας, ὡς τῇ Ἄρκτῳ ὁ Νότος, ἀλλ' οὐχ ἡ Ἀσία ἀντίκειται, καὶ πρὸς τοὺς Ἀρκτῴους τοὺς Εὐρωπαίους φαμὲν ἢ τοὺς Λίβυας. εἰ δέ σοι καὶ κατὰ ταυτηνὶ τὴν παιδείαν τὴν γεωγραφικὴν διαβέβλημαι, ἔστω σοι ὅπως ἂν βούλῃ διῃρημένα τὰ κλίματα. πλὴν ἐγὼ οὐ γεωγραφῆσαι βουλόμενος, ἢ κατὰ μέρη τὴν σύμπασαν διελεῖν, τὴν προτέραν ἐποιησάμην ἐπιστολήν ‖ **65–67** ἀξιῶ – χαρίτων: cf. Π 202,121–122 προσθεὶς καὶ χάριν τινὰ λογικὴν ὅσην ὁ τῆς φιλίας νόμος οὐκ ἀθετεῖ ‖ **66–67** μὴ – φιλοσοφίας: Synes. Cyren. Epist. 43,37 οὕτω τῆς ἱερᾶς φιλοσοφίας ὀναίμην. cf. Π 76,6–7, Π 112,84, et Π 275,7–8 **71** οὐδ' – πάθος: iunctura Pselli in Mich. Chon. Epist. 80,9–10 οὐ γὰρ ἀποκρύψομαί σε τὸ πάθος τῆς ἐμῆς ψυχῆς laudata? ‖ **72–73** οὔπω δοκῶ – πολυπλοκώτερον: Plat. Φαῖδρος 230a3–6 σκοπῶ οὐ ταῦτα ἀλλ' ἐμαυτόν, εἴτε τι θηρίον ὂν τυγχάνω Τυφῶνος πολυπλοκώτερον καὶ μᾶλλον ἐπιτεθυμμένον, εἴτε ἡμερώτερόν τε καὶ ἁπλούστερον ζῷον, θείας τινὸς καὶ ἀτύφου μοίρας φύσει μετέχον cum e.g. Suda τ 1227. cf. Π 134,46–47 et Π 254,40; cf. etiam Papaioannou 2013,176–178

75 μήπως corr. Diam 304

ἕτερόν τι συμβαίνει μοι καὶ ἢ πραγμάτων ἔρως, ἢ δόξαι με περιέλκουσι καὶ οὐχὶ ξύμπασαν εὐδαιμονίαν εἰδωλικώτερον φαντάσματος ἥγημαι (κείσθω γὰρ τέως ἡ πρὸς τὰ φίλτατα σχέσις ἐν σιωπῇ, ἵνα παντάπασιν ἀληθὴς ὁ λόγος γένοιτο), παντὸς 80 ἀτυχήσαιμι θείου πράγματος, καὶ μή ποτέ σοι συναναπαυσαίμην, ὅ μοι τῶν ἄλλων ἐρασμιώτερόν τε καὶ φρικωδέστερον.

Ἵνα δὲ καὶ τῇ σῇ ψυχῇ τὸ ἐπὶ τῇ ἀρετῇ καταστέλλω καύχημα, τρυφᾷς, φιλτάτη ψυχή, ἐν τοιούτοις ἀγαθοῖς καὶ τοσούτοις· καὶ οὔτε σοι χειμὼν ἐνοχλεῖ, οὔτε ἀναπαυσάμενον ἐπὶ κλίνης ἀνιστῶ- 85 σιν οἱ κήρυκες, ἀλλά σοι τὸ ἄριστον μέν, ἐν καιρῷ, τὸ δὲ δεῖπνον, οὕτω τε καὶ ἐν μέτρῳ· θεῖα δὲ πάντα, καὶ ὑπερφυῆ, καὶ θαυμάσια: ἡ σιωπή, ὁ λόγος, αἱ διαιρέσεις, αἱ ἄνοδοι. Ἡμῖν δὲ ἐπίρρυτος ὥσπερ ὁ βίος δοκεῖ· ἐναλλὰξ γὰρ πάντα, καὶ τό γε χεῖρον, ὅτι καὶ ὑποψίας καὶ δέους μεστά. Εἴωθα γοῦν αὐτὸς (ὄμνυμί σου τὴν 90 θαυμασίαν ψυχήν!) ἢ θέρει καυσούμενος, ἢ χειμῶνι πηγνύμενος, ἐξὸν μήτε καίεσθαι, μήτε πήγνυσθαι, ἢ ἄλλως ταλαιπωρούμενος ἐν ὑπαίθροις ἢ καταστέγοις, τὰ δὲ πλείω καταφρονούμενός τε καὶ παρορώμενος, ἐφ᾽ ἕκαστα ἠρέμα ἐπιφωνεῖν «μακάριε Ξιφιλῖνε».

Εἶτα δὴ καὶ ὥσπερ βασκαίνω σοι, ὅτι οὕτω ζῶντι καὶ ζήσαντι, 95 τὰ δεύτερα περιγέγονεν ἀγαθά, καὶ τὰ κρείττω περιγενήσεται, ἐμοὶ δ᾽—ἀλλά μοι ἄμφω τὰ σὰ ἐκ περιττότητος γένοιτο, καὶ ζήσαιμι κἀνταῦθα ἐπὶ σοί, κἀν τοῖς ἐπερχομένοις αἰῶσιν ἐπὶ θεῷ.

77–79 ἢ[1] – ἥγημαι: cf. Π 200,47–54 μὴ γάρ με οἰηθῇς, φίλτατε ἀδελφέ, καί μοι μηδὲν ἀχθεσθῇς λέγοντι ὅτι ἄρκυσι δόξης ἑάλωκα, ἢ πλούτου θηράτροις τεθήραμαι, ἢ ὅτι ζηλῶ ἐπὶ ταῖς βασιλείαις αὐλαῖς, ἢ ἐπ᾽ ἄλλῳ τῳ τῶν ἐνταῦθα καλῶν. μενοῦνγε καὶ διαπτύω πᾶν τὸ φαινόμενον· καὶ μάλιστα ἡνίκα τί μοι σχολάσει πρὸς ἑαυτὴν ἡ ψυχή. εἰ δὲ βούλει τἀληθὲς ἀκοῦσαι, πολλάκις τοῖς περιττοῖς ναυτιῶν, ἀπεμέσαι καὶ τἀναντία βεβούλημαι· οὕτω πᾶσαν ἐβδελυξάμην τὴν ἐνταῦθα ζωή ‖ **79** τὰ φίλτατα: cf. Π 118,65 et 92, Π 127,41, Π 128,45, et Π 160,7 ‖ **89** ἐναλλὰξ – πάντα: cf. Theocr. Θύρσις ἢ ᾠδή = Id. 1,134 πάντα δ᾽ ἄναλλα γένοιτο?

88 ἐπίρρυτος scripsi: ἐπίρρητος O K-D

202. Τῷ μοναχῷ κῦρ Ἰωάννῃ καὶ γεγονότι πατριάρχῃ τῷ Ξιφιλίνῳ
post Π 201 et ante 1.1.1064

Cris[1] [B, D, P, S], S 175 [P]; cf. Π 534 et Π 535 [K]

Ἐμὸς ὁ Πλάτων, ἁγιώτατε καὶ σοφώτατε, ἐμός, ὦ γῆ καὶ ἥλιε (ἵνα τι καὶ αὐτὸς ἐπιτραγῳδήσω τῇ τοῦ λόγου σκηνῇ); Εἰ μὲν γὰρ προσονειδίζεις ὅτι θαμά ποτε τῷ ἀνδρὶ προσωμίλουν ἐν τοῖς διαλόγοις αὐτοῦ, καὶ τοῦ τε χαρακτῆρος τῆς ἑρμηνείας ἐθαύμαζον,
5 καὶ τὴν ἐν ταῖς διαλέξεσιν ἐξεθείαζον δύναμιν, τί μὴ καὶ τοῖς μεγάλοις τοῦτο πατράσιν ἐπιρριπτεῖς ἀφ᾽ ὧν ἐκεῖνοι τοῖς Εὐνομίοις καὶ Ἀπολιναρίοις τὰς αἱρέσεις ἀνέτρεψαν, βάλλοντες ἀκριβείαις συλλογισμῶν; Εἰ δ᾽ ὅτι τοῖς δόγμασιν ἕπομαι, ἢ τοῖς ἐκείνου νόμοις ἐπιστηρίζομαι, οὐ καλῶς οἴει περὶ ἡμῶν, ἀδελφέ·
10 ἐγὼ γὰρ πολλὰς μὲν φιλοσόφους βίβλους ἀνέπτυξα, πολλοῖς δὲ ῥητορικοῖς λόγοις ὡμίλησα, καὶ οὔτε με τὰ Πλάτωνος ἔλαθεν (οὐ γὰρ ἂν ἀρνηθείην), οὔτε τὴν Ἀριστοτέλους παρεῖδον φιλοσοφίαν, οἶδα δὲ καὶ ὅσα Χαλδαῖοι καὶ Αἰγύπτιοι πεπρεσβεύκασι (ναὶ νὴ

1 ἐμὸς ὁ Πλάτων: cf. e.g. Π 201,31–32 τῆς τε Πλατωνικῆς πλατάνου et infra ll. 18 et 192 etc. cf. etiam Greg. Naz. Κατὰ Ἰουλιανοῦ στηλιτευτικὸς α´ = Or. 4,71 ὅ φησιν ὁ σὸς Ὅμηρος ‖ **1–2** ὦ – ἐπιτραγῳδήσω: cf. Greg. Naz. Epist. 5,5 καὶ ἀὴρ καὶ ἀρετή, τραγωδήσω γάρ τι μικρόν cum Dem. Περὶ στεφάνου = Or. 18,127 ὥσπερ ἐν τραγῳδίᾳ βοῶντα «ὦ γῆ καὶ ἥλιε καὶ ἀρετή», et Π 112,95–96, Π 128,1, Π 146,157–158, Π 157,8, Π 284,25–26, et Π 285,17 **10–11** ἐγὼ – ὡμίλησα: cf. Π 387,7–8 πολλοῖς μὲν λόγοις σοφοῖς ὡμίλησα, καὶ πολλὰ βιβλία ἀνελεξάμην

ep. 202 P 230v–231v, D 264r–267v, B 145r–146v (inc. mut.); cf. duo excerpta Κλεάνθης ... ἀπόδειξιν (ll. 36–37) et τὸ συλλογίζεσθαι ... εὕρεσις (ll. 105–106) in K 60r = Π 534 (Can 20) et Π 535 (Can 21); tit. P S: om. K τῷ μοναχῷ κῦρ Ἰωάννῃ τῷ Ξιφιλίνῳ τῷ γενομένῳ πατριάρχῃ Κωνσταντινουπόλεως D «Michaelis Pselli ad Ioannem Xiphilinum epistola» Cris[1] ‖ **3** τῷ – προσωμίλουν D: προσωμίλουν τῷ ἀνδρὶ P S Cris[1] ‖ **5** διαλέξεσιν D (cf. Psel. Τίς ὁ παράδεισος, τί τὸ τῆς ζωῆς ξύλον καὶ τί τὸ ξύλον τῆς γνώσεως; = Theol. II 9,42 δύναμιν διαλέξεως et iuncturam Proclianam διαλεκτικὴ δύναμις): ἀποδείξεσιν (an recte?) P S Cris[1] | ἐξεθείαζον D: ἐθείαζον P S Cris[1] **12** ἂν P S Cris[1]: om. D ‖ **13** ναὶ P S: καὶ D Cris[1]

τὴν τιμίαν σου κεφαλήν!)· περὶ γάρ τοι τῶν ἀπορρήτων βίβλων τί δεῖ καὶ λέγειν; ἀλλὰ πάντα πρὸς τὴν θεόληπτον ἡμῶν συγκρίνας 15 γραφήν, τὴν καθαράν τε καὶ στίλβουσαν καὶ τῷ ὄντι δόκιμον, ὑπόχαλκα καὶ κιβδηλείας εὗρον μεστά.

Ἐμὸς ὁ Πλάτων; οὐ γὰρ οἶδα πῶς ἐνέγκω τὴν τοῦ λόγου βαρύτητα. Οὐ πάλαι μὲν τὸν θεῖον σταυρόν, νῦν δὲ καὶ τὸν πνευματικὸν ζυγὸν προτετίμηκα; Δέδοικα μὴ μᾶλλον σός, ἵνα σε 20 τῷ ῥήματί σου διώξω, ὃς οὐδεμίαν ἐκείνου δόξαν ἀνήρηκας, ἐγὼ δὲ μικροῦ δεῖν ἁπάσας, ἐπεὶ μηδὲ πᾶσαι φαῦλαι· οἱ γὰρ περὶ δικαιοσύνης λόγοι καὶ περὶ ἀθανασίας ψυχῶν, ἀρχαὶ καὶ τοῖς ἡμετέροις τῶν ὁμοίων δογμάτων ἐγένοντο. Οὐ τοίνυν ὥσπερ τινὸς

14 τῶν – βίβλων: cf. Greg. Naz. Κατὰ Ἰουλιανοῦ στηλιτευτικὸς β´ = Or. 5,3 ἐκ τῶν παρ' αὐτοῖς βίβλων καὶ ἀπορρήτων. cf. Psel. Κατηγορία τοῦ ἀρχιερέως = Or. for. 1,1137 ἡ τοῦ Ἡλίου βίβλος ἀπόρρητος et Ἐγκώμιον εἰς τὸν Μεταφραστὴν ... = Or. hag. 7,170 αἱ μὲν ἀπόρρητοι βίβλοι ‖ **17** ὑπόχαλκα – μεστά: Greg. Naz. Ἀπολογητικός = Or. 2,10 μηδαμοῦ κίβδηλον ἠχεῖν ἢ ὑπόχαλκον. cf. Psel. Κατηγορία τοῦ ἀρχιερέως = Or. for. 1,643–644 τά τε διαυγῆ τῶν δοξασμάτων καὶ τὰ κίβδηλα καὶ ὑπόχαλκα διεκρίνετο **19–20** τὸν[2] – ζυγὸν: Mt. 11,29–30 ἄρατε τὸν ζυγόν μου ἐφ' ὑμᾶς ... ὁ γὰρ ζυγός μου χρηστὸς καὶ τὸ φορτίον μου ἐλαφρόν ἐστιν. cf. Psel. Βίος καὶ πολιτεία ... Αὐξεντίου ... = Or. hag. 1c,648–649 et Ἑρμηνεία τοῦ Ἄισματος ... πρὸς τὸν ... Μονομάχον = Poem. 2,858, Εἰς τὸ 'καὶ ἡμῖν μὲν βρωθήσεται ...' = Theol. I 99,93–95 et II 111,170 et II 251,38, et infra l. 181–182 ‖ **20–21** ἵνα – διώξω: cf. infra l. 81 ἵνα προσείπω σε κατὰ σὲ ‖ **22–24** ἐπεὶ – ἐγένοντο: cf. Psel. e.g. Εἰς τὸ 'οὐσία πρᾶγμα αὐθύπαρκτον' = Phil. min. I 7,53–54 οὐ γὰρ πᾶσα Ἑλληνὶς δόξα διαβέβληται πρὸς ἡμῶν, τινὲς δὲ καὶ συνεργοὶ τοῦ ἡμετέρου τυγχάνουσι δόγματος et Περὶ ψυχῆς = Phil. min. II 11 (22,2–4) ἰδού σοι καὶ τὰ περὶ ψυχῆς παρατίθημι Ἑλληνικὰ δόγματα, ὧν ἔνια καὶ τοῖς ἡμετέροις λογίοις συνᾴδει, ἀλλὰ πλέον παρ' αὐτοῖς τοῦ ποτίμου τὸ ἁλμυρόν **24–25** ὥσπερ – ὀφθαλμίας: cf. Plat. Φαῖδρος 255d4–6 οἷον ἀπ' ἄλλου ὀφθαλμίας ἀπολελαυκώς. cf. Synes. Cyren. Epist. 7,2–3 δεινῇ τινι καὶ πέρα δεινῆς ὀφθαλμίᾳ παλαίεις et Psel. Εἰς τὸ 'ἓν ἔτι μοι λῦσον ...' = Theol. I 55,88–89 ἂν μὲν γάρ τις ὀφθαλμίᾳ προσπαλαίσῃ δεινῇ

14 βίβλων D: βιβλίων P S Cris[1] ‖ **15** δεῖ καὶ P S Cris[1]: χρὴ D ‖ **19** νῦν D: νυνὶ P S Cris[1]

25 ὀφθαλμίας ἐκεῖθεν ἔσπασα, ἀλλὰ τὸ διαυγάζον ἴσως ἀγαπήσας τοῦ νάματος, τὴν ἅλμην ἀπεκλυσάμην.

Ἀλλὰ τοῦτον μέν σου τὸν ἀκροβολισμὸν ἐνέγκοιμι ἂν μετριώτερον. Τὸ δὲ «ἂν ἐμοὶ πείθῃ», καὶ τοὺς «Χρυσίππους», καὶ τοὺς ἐμοὺς «συλλογισμούς», καὶ τὰς «οὐκ οὔσας γραμμάς», καὶ τἆλλα

25–26 τὸ – ἀπεκλυσάμην: cf. Greg. Naz. Εἰς τοὺς λόγους, καὶ εἰς τὸν ἐξισωτὴν Ἰουλιανόν = Or. 19,1 μέχρις ἂν τοῖς ποτίμοις τῶν λόγων τοὺς ἁλμυροὺς ἀποκλύσωμαι cum Plat. Φαῖδρος 243d4–5 ἐπιθυμῶ ποτίμῳ λόγῳ οἷον ἁλμυρὰν ἀκοὴν ἀποκλύσασθαι et Psel. Κατηγορία τοῦ ἀρχιερέως = Or. for. 1,21–22, Βίος καὶ πολιτεία ... Αὐξεντίου ... = Or. hag. 1c,69–71, Ὀνειδίζει τοὺς μαθητὰς ἀμελοῦντας = Or. min. 24,108–110, Ἀλληγορία τοῦ 'οἱ δὲ θεοὶ πὰρ Ζηνὶ ...' = Phil. min. I 42,12–13, Περὶ τῆς χρυσῆς ἁλύσεως = Phil. min. I 46,12–13, Λόγος ἀλληγορῶν τὴν τοῦ Διὸς γένεσιν ... = Phil. min. I 47,10–12, Περὶ ψυχῆς = Phil. min. II 11 (22,2–4), Ἐκ τοῦ Εἰς τὰ φῶτα δευτέρου λόγου, εἰς τὸ 'οἶδα καὶ πῦρ...' = Theol. I 70,194–195, et Π 13a,1–3 δύο τὰς φιλοσοφίας ὁ τῆς ἀληθείας λόγος ἐπίσταται, οὐρανὸν μερισάμενος καὶ γῆν· ἡ μὲν γὰρ κάτωθεν ἀναβλύζει θολερῷ τινι καὶ ἁλμυρῷ ῥεύματι, ἡ δὲ ἄνωθεν ἐπιχεῖται ποτίμῳ τῷ ῥείθρῳ et Π 507,15–20 συγκρίνων δὲ τὰ ἡμέτερα καὶ θεοπαράδοτα τῷ ὄντι λόγια παρὰ τὴν Ἑλληνικὴν ἀπειροκαλίαν, τὰ μὲν ἀπεικάζω πηγῇ καθαρᾷ καὶ διειδεστάτῃ, κάτωθεν ἀναβλυζούσῃ καὶ τὴν διψῶσαν ψυχὴν ἠρέμα ἐμφορούσῃ τοῦ νάματος, τὰ δὲ ὕδατι ἐξομοιῶ θολερῷ καὶ ἀπότῳ καὶ ἁλμυρῷ, σφοδρῶς ῥέοντι καὶ τὸν νοῦν κατασύροντι. cf. etiam Π 13b,1–4, Π 97,19, et Duffy 2001 ‖ **28** ἂν – πείθῃ: Greg. Naz. Κατὰ Ἰουλιανοῦ στηλιτευτικὸς β´ = Or. 5,11 et Περὶ δόγματος καὶ καταστάσεως ἐπισκόπων = Or. 20,12 εἴ τι ... ἐμοὶ πείθῃ et Εἰς ἑαυτὸν = Or. 36,7 ἂν ἐμοὶ πείθῃ. cf. infra l. 80–81 εἴ τι οὖν ἐμοὶ πείθῃ, ἵνα προσείπω σε κατὰ σὲ μέχρι τούτου | Χρυσίππους: Greg. Naz. Κατὰ Ἰουλιανοῦ στηλιτευτικὸς α´ = Or. 4,43 ταῦτα Πλάτωνες ... καὶ Χρύσιπποι. cf. etiam infra ll. 96–97 Πλάτωνας δὲ οὓς λέγεις καὶ Χρυσίππους et 192 ἐμὸς ὁ Πλάτων, ἀδελφέ, καὶ ὁ Χρύσιππος **29** συλλογισμούς: Greg. Naz. Εἰς Ἥρωνα τὸν φιλόσοφον = Or. 25,7 ταῦτα τῶν συλλογισμῶν καὶ τῶν γραμμῶν. cf. infra l. 66 | τὰς – γραμμάς: Greg. Naz. Εἰς Ἥρωνα τὸν φιλόσοφον = Or. 25,6 οὐδὲ γραμμαί τινες οὐδαμοῦ κείμεναι. cf. etiam Greg. Naz. Λόγος θεολογικὸς δεύτερος, περὶ θεολογίας = Or. 28,25 ποῖος Εὐκλείδης ἐμιμήσατο ταῦτα, γραμμαῖς ἐμφιλοσοφῶν ταῖς οὐκ οὔσαις, καὶ κάμνων ἐν ταῖς ἀποδείξεσι; cf. etiam Sext. Emp. Πρὸς λογικοὺς 3,29 et 30 (et etiam 9,376) οὐκ ἔσται ἡ γραμμή ... οὐκ ἄρα ἔστι γραμμή. cf. etiam Π 201,46 οἷον τὸ ἐκ τῶν γραμμῶν μέγεθος (εἴ που μέμνησαι) et infra ll. 59–68 γραμμῶν δὲ μνησθείς, ὦ πάντων ὑπεριδὼν σύ, τί κἀκείναις προσετρίψω τὸ ἀνυπόστατον; ὁ γὰρ πρῶτος περὶ τούτων εἰπὼν «τὰς οὐδαμοῦ κειμένας», προστέθεικε φιλοσόφως ἄγαν καὶ ὑψηλῶς: «ἄλλο δὲ τὸ μὴ εἶναι καὶ ἄλλο τὸ

28 ἂν P S Cris[1]: ἢν D

τῶν σῶν, ἀδαμαντίνης ἢ ἀναισθήτου δεῖται ψυχῆς. Τί δὲ μὴ καὶ 30
τὰ ἑξῆς τοῦ λόγου προστέθεικας, ταῦτα δὴ τὰ τῆς ὁμοίας γλώτ-
της: «Εἰ δὲ μή, πειραθήσῃ βασανιστηρίων ὀργάνων ὧν οὐδέποτε
ἤκουσας»; Ἐγὼ δὲ τοῖς πᾶσιν ἐξαπορήσας οἷς γέγραφας, καὶ
πολλοὺς λογισμοὺς ἀνελίξας, τέλος δυοῖν θάτερον εἴκασα: ἢ τὴν
ἐμὴν μὴ ἐπεγνωκέναι σ' ἐπιστολήν, ἢ πρὸς Εὐνομιανόν τινα 35
γεγραφέναι, ἢ τοὺς περὶ Κλεάνθην καὶ Ζήνωνα, οἳ πάντα δόντες
συλλογισμοῖς, οὐδὲν ἀσυλλόγιστον ᾠήθησαν καὶ ὑπὲρ ἀπόδειξιν·
Πλάτων δὲ καὶ τοῦτο ἐφεῦρεν εἰς νοῦν ἀναβάς, καὶ τὸ ὑπὲρ νοῦν

μηδαμοῦ κεῖσθαι»· οὐ γὰρ οὐκ εἰσὶν αἱ γραμμαί, ἀλλὰ τὸ νοερὸν μῆκος ἴσως κατὰ τὸν σοφὸν «οὐδαμοῦ» ... τῶν «μὴ οὐσῶν τούτων γραμμῶν» ... αἱ «μὴ οὖσαι αὗται γραμμαί»

30 ἀδαμαντίνης – ψυχῆς: cf. Synes. Cyren. Δίων 8,5 οἱ δὲ τὴν ἑτέραν ὁδὸν τὴν ἀξιουμένην ἀδαμαντίνην εἶναι βαδίσαντες cum Hes. Ἔργα καὶ ἡμέραι 143–147 ἄλλο γένος μερόπων ἀνθρώπων ... ἀδάμαντος ἔχον κρατερόφρονα θυμόν, Plat. Πολιτεία 360b5 οὕτως ἀδαμάντινος, et Greg. Naz. Ἀπολογητικός = Or. 2,63 τίς οὕτω τολμηρὸς καὶ τὴν ψυχὴν ἀδαμάντινος. cf. Π 118,68 et Π 128,45–46 ‖ **32–33** εἰ δὲ – ἤκουσας: Μαρτύριον τοῦ ἁγίου μάρτυρος Χριστοφόρου (BHG 311b; passio in menologio imperiali) 6 «ἄφες, εἶπεν ὁ Δέκιος, τὴν ψυχρὰν ταύτην ἐπωνυμίαν· καὶ προσιὼν θῦσον τοῖς ἀθανάτοις θεοῖς· ἐπεὶ πειραθήσῃ βασανιστηρίων ὀργάνων ὧν οὐπώποτε ἤκουσας». cf. etiam Βίος καὶ μαρτύριον τῶν ἁγίων καὶ ἐνδόξων τοῦ Χριστοῦ ἀποστόλων Ἰάσωνος καὶ Σωσιπάτρου (BHG 776) 3,9–12 ὁ βασιλεὺς λέγει· «πείσθητέ μοι, ... εἰ δὲ μή, γνωστὸν ὑμῖν ἔστω, ὅτι πειραθήσεσθε βασάνων, ὧν οὔτε ἐν ἄλλοις ἠκούσατε ἢ ἑωράκατε» ‖ **34** πολλοὺς – ἀνελίξας: cf. Synes. Cyren. Epist. 5,137 τούτους ἑλίττων τοὺς λογισμούς. cf. Psel. Χρονογραφία I,26, Πρὸς τὸν λογοθέτην τοῦ δρόμου τὸν Ἀλωπὸν ἐρωτήσαντα· οἱ δύο Βασίλειοι ἢ οἱ δύο Γρηγόριοι ὁμώνυμοι ἢ συνώνυμοι; = Phil. min. I 6,14–15, Π 16,51–52, et Π 138,50. iunctura (Pselliana?) in Ann. Comn. Ἀλεξιάς II 6,5,9, V 2,2,6, XIII 4,9,6, Mich. Chon. Epist. 112,70, et Nic. Chon. Χρονικὴ διήγησις 228,7 laudata?

30 καὶ D Cris[1]: om. P S ‖ **31–32** ταῦτα – γλώττης P S Cris[1]: om. D ‖ **33** οἷς P S Cris[1]: ἐφ' οἷς D ‖ **34** ἀνελίξας P S Cris[1]: ἀνελλίξας D ‖ **35** ἐπεγνωκέναι P S Cris[1]: ἐπιγνωκέναι D | Εὐνομιανόν D (cf. Malt[3],429): Εὐνόμιόν P S Cris[1]
36 Κλεάνθην – Ζήνωνα οἵ: Κλεάνθης καὶ Ζήνων inc. excerptum Π 534 in K
37 ἀσυλλόγιστον ᾠήθησαν P S Cris[1]: ᾠήθησαν ἀσυλλόγιστον D Π 534,1 | post ἀπόδειξιν des. excerptum Π 534 in K

εἶδεν εἰς τὸ ἓν καταπαύσας· οὖ πάντα κατηγορεῖς, ὦ μισοπλάτων
40 καὶ μισόλογε, ἵνα μὴ λέγω μισοφιλόσοφε.

Χρυσίππῳ δὲ ἢ τῇ νέᾳ Ἀκαδημίᾳ πότε με προστεθειμένον ἑώρακας; Ἆρ' οὐχὶ καὶ πρὸ τοῦ, ὅτε ἡμῖν οὐχὶ ξυλόφρακτος ἡ σκηνὴ ἀλλ' ἀργυρόδετος ἢ χρυσόσημος, τὸ δέρας ἐνενοούμην Χριστοῦ καὶ τοὺς τρίβωνας, περὶ ὧν πολλὰ συγκεκύφαμεν, εἶτα
45 δὴ καὶ εἰς ἔργον τὴν γνώμην ἐξεβιβάσαμεν, καὶ νῦν ἔνδον τῆς τοῦ Κυρίου καθεστήκαμεν μάνδρας, ἀλλ' οὐχὶ τῷ Χρυσίππῳ προσκεκολλήμεθα;

Θαυμάζεις ὅτι μοι ζεῖ ἀτεχνῶς ἡ χολή, καὶ βράττει ἀκριβῶς ὁ θυμός; μὴ γὰρ ἐμοὶ μόνῳ τὸ σῶμα ἄνευ τοῦ μέσου σπλάγχνου ἀφ'
50 οὗ τὸ θυμῶδες πνεῦμα συμπέπλασται, ὥστε καὶ τοιαύτην ἐνεγκεῖν ὕβριν;

Νὴ τὴν ἱεράν σου κεφαλήν! εἴ με κατὰ κόρρης ἐρράπισας, εἰ τὰς καταλελειμμένας τρίχας διέξανας, εἴ με ταῖς ἄλλαις ἀτιμίαις κατέπλυνας, ἤνεγκα ἄν σου τὴν καταφορὰν γενναιότερον. Τὸ δὲ
55 πάνθ' ὑπὲρ Χριστοῦ πραγματεύσασθαι, ἔπειτα φιλίας τῆς πρὸς Χρύσιππον γράφεσθαι, καὶ οἴεσθαί με παρὰ σοὶ καὶ φίλῳ καὶ

40 μισόλογε – μισοφιλόσοφε: Eunap. Βίοι φιλοσόφων καὶ σοφιστῶν 8,1,3 μισόλογόν τε ἅμα καὶ μισοφιλόσοφον. cf. etiam Plat. Φαίδων 89d1–2 μὴ γενώμεθα, ἦ δ' ὅς, μισόλογοι, ὥσπερ οἱ μισάνθρωποι γιγνόμενοι ‖ **42** ξυλόφρακτος: vox ex Dion. Halicarn.? (cf. e.g. Ῥωμαϊκὴ ἀρχαιολογία III 55,3) **44** περὶ – συγκεκύφαμεν: Synes. Cyren. Epist. 137,21 φιλοσοφίαν ἐκείνην περὶ ἧς πολλὰ συγκεκύφαμεν. cf. Π 443,35 ‖ **52–53** εἴ – διέξανας: cf. Ach. Tat. Τὰ κατὰ Λευκίππην καὶ Κλειτοφῶντα 2,24,1 κατὰ κόρρης ὡς εἶχε ῥαπίζει καὶ ἐπιλαβομένη τῶν τριχῶν et 5,23,5 ῥαπίζει με κατὰ κόρρης … ἑλκύσας δὲ τῶν τριχῶν ῥάσσει ? cf. etiam Ioann. Apoc. Epist. 4,47 (ed. Papadopoulos-Kerameus 1909) κατὰ κόρρης ταῦτα ῥαπίζουσι καὶ προθελύμνους ἀνασπῶσι τρίχας ‖ **55** πάνθ' – πραγματεύσασθαι: cf. e.g. Dem. Περὶ στεφάνου = Or. 18,21,1–2 πάνθ' ὑπὲρ τῆς ἀληθείας ἀκριβολογοῦμαι et Περὶ τῆς παραπρεσβείας = Or. 19,128,4–5 πάνθ' ὑπὲρ Φιλίππου πράττοντες

42 ἆρ' οὐχὶ D: ἆρα οὐχὶ P S Cris[1] | πρὸ τοῦ D: προτοῦ P S Cris[1] ‖ **48** ab ἡ χολὴ inc. B | βράττει P D S Cris[1]: βράζει B ‖ **49** τοῦ – σπλάγχνου : [ca. 13 litt.]χνου B | ἀφ' P D S Cris[1]: ὑφ' B ‖ **51** ὕβριν P D Cris[1]: τρίβον B ‖ **52** τὴν ἱεράν : [ca. 8 litt.]χνου B | κεφαλήν D: ψυχήν P B S Cris[1] ‖ **53** διέξανας – με : διέξ[ca. 9 litt.] B ‖ **54–55** γενναιότερον – πάνθ' : γεννα[ca. 15 litt.] B ‖ **55** πάνθ' D: πάντα P S Cris[1] non legitur B ‖ **56** οἴεσθαί – σοὶ : οἴε[ca. 13 litt.] B | καί[3] P D S Cris[1]: om. B

δικαστῇ ἀφεστηκέναι μὲν (φεῦ!) τοῦ θεοῦ, Πλάτωνι δὲ καὶ ἀκαδημίᾳ προστετηκέναι, οὐκ οἶδ’ ὅπως τὸν ἅπαντα χρόνον ἐνέγκω.

Γραμμῶν δὲ μνησθείς, ὦ πάντων ὑπεριδὼν σύ, τί κἀκείναις προσετρίψω τὸ ἀνυπόστατον; ὁ γὰρ πρῶτος περὶ τούτων εἰπὼν 60 «τὰς οὐδαμοῦ κειμένας», προστέθεικε φιλοσόφως ἄγαν καὶ ὑψηλῶς: «ἄλλο δὲ τὸ μὴ εἶναι καὶ ἄλλο τὸ μηδαμοῦ κεῖσθαι»· οὐ γὰρ οὐκ εἰσὶν αἱ γραμμαί, ἀλλὰ τὸ νοερὸν μῆκος ἴσως κατὰ τὸν σοφὸν «οὐδαμοῦ».

Ἀλλ’ ἐγὼ καὶ παρὰ τῶν «μὴ οὐσῶν τούτων γραμμῶν», καὶ 65 παρὰ τῶν παρεωραμένων σοι «συλλογισμῶν», οὐκ ἔστιν ὅσον (εἰπεῖν) ἐμπόρευμα ταῖς περὶ τῶν κρειττόνων συναγήοχα δόξαις. Αἱ «μὴ οὖσαι αὗται γραμμαί», μισολογώτατε σύ, ἀρχαὶ τῆς συμπάσης φυσικῆς θεωρίας εἰσί· τὴν δέ γε φυσικὴν θεωρίαν καὶ ὁ

59–68 γραμμῶν – γραμμαί: Greg. Naz. Εἰς Ἥρωνα τὸν φιλόσοφον = Or. 25,6 οὐδὲ γραμμαί τινες οὐδαμοῦ κείμεναι. cf. etiam Greg. Naz. Λόγος θεολογικὸς δεύτερος, περὶ θεολογίας = Or. 28,25 ποῖος Εὐκλείδης ἐμιμήσατο ταῦτα, γραμμαῖς ἐμφιλοσοφῶν ταῖς οὐκ οὔσαις, καὶ κάμνων ἐν ταῖς ἀποδείξεσι; cf. etiam Sext. Emp. Πρὸς λογικοὺς 3,29 et 30 (et etiam 9,376) οὐκ ἔσται ἡ γραμμὴ … οὐκ ἄρα ἔστι γραμμή. cf. etiam Π 201,46 οἷον τὸ ἐκ τῶν γραμμῶν μέγεθος (εἴ που μέμνησαι) et supra l. 29 τὰς οὐκ οὔσας γραμμάς **60–64** ὁ – οὐδαμοῦ: cf. Sext. Emp. Πρὸς λογικοὺς 3,29–50 et 9,375–392; cf. etiam Procl. In Tim. I 227,24–228,5 εἶχε γὰρ αὐτὸ … παρὰ Σωκράτους ἐν τοῖς περὶ ψυχῆς λόγοις παραμυθίας ἠξιωμένον, ἐν οἷς ἀπεδείκνυ τὴν ψυχὴν ἀγένητον καὶ ἄφθαρτον οὖσαν διὰ τὴν πρὸς τὰ ὄντα συγγένειαν, ὧν ἐφάπτεται φιλοσοφοῦσα, καὶ ἐν οἷς ἄλλο μὲν ἐδείκνυ τὸ παντελὲς ὂν καὶ ὄντως ἐπιστητὸν καὶ ἄλλο τὸ πῇ μὲν ὄν, πῇ δὲ μὴ ὂν καὶ διὰ τοῦτο δοξαστὸν ὑπάρχον, ἄλλο δὲ τὸ μηδαμῶς ὂν καὶ ἄγνωστον παντελῶς, καὶ ἐν οἷς τὴν γραμμὴν εἰς τέτταρα διῄρει, νοητὸν διανοητὸν αἰσθητὸν εἰκαστόν, etc. cum Greg. Naz. Λόγος θεολογικὸς δεύτερος, περὶ θεολογίας = Or. 28,10 ἐπεὶ δέ ἐστιν ἀσώματον ἡμῖν τὸ θεῖον, μικρόν τι προσεξετάσωμεν· πότερον οὐδαμοῦ τοῦτο, ἢ ἔστιν ὅπου; εἰ μὲν γὰρ οὐδαμοῦ, ζητήσαι τις ἂν τῶν ἄγαν ἐξεταστικῶν, πῶς ἂν καὶ εἴη ... etc. ‖ **66** συλλογισμῶν: Greg. Naz. Εἰς Ἥρωνα τὸν φιλόσοφον = Or. 25,7 ταῦτα τῶν συλλογισμῶν καὶ τῶν γραμμῶν. cf. infra l. 66

57 φεῦ D: om. P B S Cris[1] ‖ **57–58** ⟨τῇ⟩ ἀκαδημίᾳ Cris[1] ‖ **58** ἐνέγκω P B S Cris[1]: ἐνέγκοιμι D ‖ **59** ὑπεριδὼν P D S Cris[1]: ὑπέρτερε B ‖ **60** πρῶτος P D S: πρώτως B Cris[1] ‖ **62** δὲ D B Cris[1]: om. P S ‖ **63** μῆκος P B S Cris[1]: om. D **65** καὶ[1] P B S Cris[1]: om. D | παρὰ D B Malt[3],429 Malt[4],31 Cris[1]: περὶ P S **66** παρὰ D B Malt[3],429 Cris[1]: περὶ P S ‖ **68** σύ P D S Cris[1]: om. B

70 κοινὸς Μάξιμος, ἢ μᾶλλον ἐμός (φιλόσοφος γάρ), δευτέραν μετὰ τὴν πρᾶξιν τίθησιν ἀρετήν, τὴν μαθηματικὴν οὐσίαν μὴ προσποιούμενος. Ὁ δὲ τὰς ἀρχὰς τῶν ὑποκειμένων μὴ προσιέμενος, ἐν μὲν συλλογισμοῖς ἀναιρεῖ τὸ συμπέρασμα, ἐν δὲ φυσικοῖς λόγοις ἀθετεῖ τὴν ὁλότητα· τούτων δὲ τοῖν δυοῖν ἀνῃρημένων, οὔτε τὸ πᾶν
75 ὅλον, καὶ τέλος ἡμῖν οὐδαμοῦ ὁδοιποροῦσιν οὐδὲ συμπέρασμα.

Ὁρᾷς οἷον τὸ ἄγαν καὶ ὑπὲρ τὸν λόγον, καὶ τὸ μὴ ἑαυτοὺς εἰδέναι, ὅπερ ἐστὶ τὸ μὴ ἐπεστράφθαι καὶ συλλογίζεσθαι, ἀλλ' ἀσυλλογίστως καὶ χωρὶς λεπτύνσεως τεχνικῆς τοὺς ὄχθους καταπίνειν τῶν ὑποθέσεων;

70 Μάξιμος – γάρ: cf. Psel. e.g. Τῶν εἰς τὸ ἅγιον πάσχα ἀλληγορουμένων κρυφίως τῷ θεολόγῳ Γρηγορίῳ ἐξήγησις = Theol. I 43,40–41 κατὰ τὸν φιλόσοφον Μάξιμον, cum Ἱστορία σύντομος 79, Omn. doctr. 59, etc. **70–71** δευτέραν – ἀρετήν: cf. e.g. Max. Conf. Ambig. ad Ioann. 20,7,7–11 τῆς μὲν πρακτικῆς φιλοσοφίας πάλιν ἔργον εἶναι, φασί, πάσης τὸν νοῦν ἐμπαθοῦς φαντασίας καθαρὸν καταστῆσαι, τῆς δὲ φυσικῆς θεωρίας πάσης τῆς ἐν τοῖς οὖσι, καθ' ἣν αἰτίαν ὑπάρχουσιν, ἀληθοῦς γνώσεως αὐτὸν ἐπιστήμονα δεῖξαι. cf. Psel. Περὶ τοῦ κατὰ τὸν σταυρὸν καὶ τὴν ταφὴν τοῦ Χριστοῦ μυστηρίου = Theol. I 108,32–34 et Σύντομοι ἀλληγορίαι τῶν παρὰ τοῖς Ἰουδαίοις νομίμων τε καὶ ἐθῶν = Theol. I 110,13–18 ‖ **71** μαθηματικὴν οὐσίαν: cf. e.g. Arist. Metaph. 1076a21–22 cum Procl. in Eucl. 3, 1 etc.; cf. etiam Psel. Εἰς … Κωνσταντῖνον τὸν Μονομάχον = Or. pan. 6,199 et Πρὸς τοὺς ἐρωτήσαντας πόσα γένη τῶν φιλοσοφουμένων λόγων = Phil. min. I 3,55–56 et 63 ‖ **72** τὰς – ὑποκειμένων: cf. Simplic. In Phys. 50,8–9 et 30 et Π 120,11 ‖ **75** καὶ – συμπέρασμα: cf. Synes. Cyren. Δίων 10,1 ὧν χωρὶς οὐδὲ ὅσιόν ἐστιν ἐλπίσαι τυχεῖν τοῦ τέλους? ‖ **76–77** τὸ² – ἐπεστράφθαι: cf. e.g. Procl. In Tim. II 110,31–111,1 εἰ οὖν τῷ κόσμῳ δι' ἀρετὴν ὑπάρχει τὸ εἰς ἑαυτὸν ἐπεστράφθαι, πῶς οὐ πολλῷ μειζόνως ὑπάρχει τοῦτο τῷ νῷ; ἑαυτὸν ἄρα νοεῖ ὁ νοῦς

70 φιλόσοφος γάρ P B S Cris[1]: om. D ‖ **71–72** προσποιούμενος P D S Cris[1]: προσοικειούμενος B ‖ **72** μὴ P B S Cris[1]: οὐ D ‖ **73** φυσικοῖς P D S: τοῖς φυσικοῖς B Cris[1] ‖ **74** ἀθετεῖ P B S Cris[1]: ἀναιρεῖ D | τοῖν D: τῶν P B S Cris[1] δυοῖν P D S Cris[1]: δυεῖν B ‖ **76** ὁρᾷς – λόγον P S: ὁρᾷς οἷον τὸ ἄγαν καὶ τὸ ὑπὲρ τὸν λόγον B Cris[1] ὁρᾷς τὸ ἄγαν, καὶ τὸ ὑπὲρ τὸν λόγον, οἷον D **77** ἐπεστράφθαι P D S Cris[1]: ἐπιστρέφεσθαι B | συλλογίζεσθαι P D S: μὴ συλλογίζεσθαι B Cris[1] ‖ **78** λεπτύνσεως P B S Cris[1]: λεπτώσεως D | λογικῆς ante τεχνικῆς deletum exhib. P ‖ **79** καταπίνειν : κατα[...]νειν lacunam indic. P S

«Εἴ τι οὖν ἐμοὶ πείθῃ» (ἵνα προσείπω σε κατὰ σὲ μέχρι 80
τούτου), μὴ μέγα οἴου τὴν ἐπὶ τοῦ ὄρους ἀναστροφήν, μηδὲ
τρυφᾷς ἐπὶ τῷ μὴ τῶν λόγων κατατρυφᾶν. Ἀλλ' εἴ πού τις πεδιὰς
ἢ βαθυτάτη κοιλάς, ἢ φάραγξ διερρωγυῖα, ἢ μυχὸς γῆς ἄρρητος
καὶ ἀπόρρητος, ἐκεῖσε καταβὰς ἐνδομύχησον, πᾶσιν ἐγκύπτων
βιβλίοις ἡμετέροις τε καὶ τοῖς θύραθεν· καὶ τοῖς συλλογισμοῖς 85
γυμνασθεὶς τὰ πρῶτα, οὕτως ἐπὶ τὰς ἀσυλλογίστους γνώσεις
ἀνάβηθι· πᾶσα γὰρ ἀρετή, μεθ' ὑπερηφανίας, ἀδελφὲ φίλτατε, καὶ
οἰήσεως, ἐσχάτη κακία καθέστηκε, καὶ ἔκγονός ἐστι τῆς κατὰ
διάθεσιν ἀγνοίας, ἣν διπλῇ ὁ ἐμὸς (ὡς οἴει) βάλλει φιλόσοφος.

Ἀλλ' ἐπειδή με δάκνει τὸ ῥῆμα πάλιν, βραχύ τι ἀναπετάσας 90
τὴν ἀκοήν, ἄκουσον οἷά σοι Πλατωνικὸς φιλόσοφος φθέγγεται:

Ἐγώ, φίλτατε ἀδελφέ, ἄνωθεν ἐκ πατέρων τῆς θείας χριστω-
νυμίας ἠξίωμαι, καὶ τοῦ ἐσταυρωμένου (εἰ μή μοι τις κακίζει τὸ

80 ἵνα – σὲ: Greg. Naz. Κατὰ Ἰουλιανοῦ στηλιτευτικὸς β´ = Or. 5,39 ἵνα σε προσείπω τοῖς σοῖς. cf. etiam Plat. Γοργίας 467b11–12 cum Ps.-Hermog. Περὶ μεθόδου δεινότητος 13,26–27; cf. etiam supra l. 20–21 ἵνα σε τῷ ῥήματί σου διώξω ‖ **80–81** εἴ τι – τούτου: Greg. Naz. Κατὰ Ἰουλιανοῦ στηλιτευτικὸς β´ = Or. 5,11 et Περὶ δόγματος καὶ καταστάσεως ἐπισκόπων = Or. 20,12 εἴ τι … ἐμοὶ πείθῃ et Εἰς ἑαυτὸν = Or. 36,7 ἂν ἐμοὶ πείθῃ. cf. supra l. 28 ἂν ἐμοὶ πείθῃ ‖ **83–84** μυχὸς – ἀπόρρητος: cf. Psel. Λόγος τοῦ ὑπερτίμου ὃς ἐπικέκληται σελέντιος = Or. min. 4,33 ἄρρητά τινα νοήματα καὶ ἀπόρρητα, Δημηγορία εἰς τὸν βασιλέα τὸν Δούκαν = Or. pan. 14,6 τὴν ἄρρητον καὶ ἀπόρρητον ἐπὶ σὲ τοῦ θεοῦ πρόνοιαν, Ἑρμηνεία περὶ τῶν εἰκοσιτεσσάρων στοιχείων … πρὸς … Ἰωάννην τὸν λιβελλίσιον = Phil. min. I 36,624 ἀπόρρητά τε καὶ ἄρρητα τὰ ἐν τούτῳ περιεχόμενα, Π 111,2–3 τῶν ἀρρήτων καὶ ἀπορρήτων, et Π 275,44–45 ἐν ἀρρήτοις καὶ ἀπορρήτοις ἀναγνοὺς γράμμασιν ‖ **89** ἀγνοίας – φιλόσοφος: cf. Plat. Νόμοι 863c ἄγνοιαν λέγων ἄν τις τῶν ἁμαρτημάτων αἰτίαν οὐκ ἂν ψεύδοιτο· διχῇ μὴν διελόμενος αὐτὸ ὁ νομοθέτης ἂν βελτίων εἴη, τὸ μὲν ἁπλοῦν αὐτοῦ κούφων ἁμαρτημάτων αἴτιον ἡγούμενος, τὸ δὲ διπλοῦν, ὅταν ἀμαθαίνῃ τις μὴ μόνον ἀγνοίᾳ συνεχόμενος ἀλλὰ καὶ δόξῃ σοφίας, ὡς εἰδὼς παντελῶς περὶ ἃ μηδαμῶς οἶδεν cum e.g. Synes. Cyren. Δίων 10,10 τὴν δὲ διπλῆν ἄγνοιαν ἐφ' ἑαυτοὺς μεγαλοπρεπῶς ἕλκετε· φρονήματος γὰρ ἀντὶ φρονήσεως ὑποπλησθέντες. cf. etiam Plat. Ἀλκιβιάδης α´ 118a cum Procl. In Alc. 188,19–189,3 etc.

82 τῶν P D S Cris[1]: om. B ‖ **84** πᾶσιν P B S: πᾶσιν μὲν D Cris[1] ‖ **87** φίλτατε P B S Cris[1]: om. D ‖ **89** ἣν P B S Cris[1]: ᾗ D | ὁ – οἴει P B S Cris[1]: ὡς οἴει ὁ ἐμός D ‖ **90** δάκνει – πάλιν D: πάλιν δάκνει τὸ ῥῆμα P B S Cris[1] **92–93** χριστωνυμίας ἠξίωμαι P D S Cris[1]: ἠξίωμαι χριστωνυμίας B ‖ **93** μοι τις P D S Cris[1]: τις μοι B | κακίζοι S

ῥῆμα ὡς τολμηρόν) καθέστηκα μαθητής, παίδευμά τε τῶν ἱερῶν
95 ἀποστόλων, καὶ τῆς μεγάλης καὶ ἀπορρήτου περὶ τὸ θεῖον δόξης
δοχεῖον (θαρρούντως εἴποιμι) ἀκριβέστατον. Πλάτωνας δὲ οὓς
λέγεις καὶ Χρυσίππους, ἠγάπησα μέν (πῶς γὰρ οὔ;), ἀλλ' ἄχρι
τοῦ κάλλους καὶ τῆς ἐπιφαινομένης λειότητος· τῶν δὲ παρ'
ἐκείνοις δογμάτων, ἃ μὲν εὐθὺς παρεώρακα, τινὰ δὲ ὡς πρὸς τὰς
100 ἡμεδαπὰς συνεργὰ ὑποθέσεις εὖ μάλα λαβών, τοῖς ἱεροῖς λόγοις
συνέμιξα, ὥς που δὴ καὶ Γρηγόριος καὶ Βασίλειος, οἱ μεγάλοι τῆς
ἐκκλησίας φωστῆρες, πεπράχασι.

Τοῦ δὲ τῶν συλλογισμῶν εἴδους, νῦν μὲν οὔπω καταπεφρό-
νηκα, γένοιτο δέ μοι καταφρονῆσαι ὥστε ἐν εἴδει ὁρᾶν καὶ μὴ δι'
105 αἰνιγμάτων τὸν Κύριον· τὸ γὰρ συλλογίζεσθαι, ὡς οἶδας καὶ
αὐτὸς ἀδελφέ, οὔτε δόγμα ἐστὶ τῆς ἐκκλησίας ἀλλότριον, οὔτε

96–97 Πλάτωνας – Χρυσίππους: Greg. Naz. Κατὰ Ἰουλιανοῦ στηλιτευτικὸς α´ = Or. 4,43 ταῦτα Πλάτωνες ... καὶ Χρύσιπποι. cf. etiam supra l. 28 Χρυσίππους et infra l. 192 ἐμὸς ὁ Πλάτων, ἀδελφέ, καὶ ὁ Χρύσιππος **104–105** ἐν – Κύριον: Num. 12,8 στόμα κατὰ στόμα λαλήσω αὐτῷ, ἐν εἴδει καὶ οὐ δι' αἰνιγμάτων. cf. Psel. Εἰς τὸ 'ὄψει τὰ ὀπίσθια' = Theol. I 26,60–61 et Ἀπόδειξις ... τῆς τοῦ κυρίου ἐνσωματώσεως ... πρὸς τὸν σουλτᾶνον ἀπὸ τοῦ βασιλέως = Theol. II 3,452–453. cf. etiam I Cor. 13,12 βλέπομεν γὰρ ἄρτι δι' ἐσόπτρου ἐν αἰνίγματι, τότε δὲ πρόσωπον πρὸς πρόσωπον cum Psel. Λόγος εἰς τὴν σταύρωσιν = Or. hag. 3a,381–382, Περὶ διαλεκτικῆς, εὐδαιμονίας καὶ τοῦ καλοῦ = Phil. min. I 4,58–61, Ἑρμηνεία εἰς τὸ ῥητὸν τῆς Κλίμακος = Theol. I 30,106–108, Εἰς τὸ 'θεὸς θεοῖς ἑνούμενός ...' = Theol. I 64,151–154, et ⟨Εἰ⟩ς τὰ ὑποκείμενα ῥητὰ τοῦ ἑπτακαιδεκάτου ψαλμοῦ = Theol. I 73,123–125 ‖ **105–108** τὸ – εὕρεσις: cf. Π 125,63–64 καὶ τὴν λογικὴν δὲ πραγματείαν εἴ τις μεταχειριεῖται φιλοσοφώτερον, πολλὰ ἐκ ταύτης ἀπώναιτο ἀγαθά

94–95 παίδευμά – ἀποστόλων P S Cris[1]: om. D πεπαίδευμαι τε παρὰ τῶν ἱερῶν ἀποστόλων B ‖ **96** ἀκριβέστατον P D S Cris[1]: εἰμὶ ἀκριβέστατον B **98** κάλλους D Malt[3],430 Malt[4],31: τέλους P S εἴδους B post τέλους lacunam dubitanter prop. Cris[1] in app. crit. (cf. etiam Cris[1], p. 83: τοῦ τέλους τοῦ εἴδους?) ‖ **99** ἐκείνους Cris[1] | παρεώρακα τινὰ : [ca. 12 litt.]ὰ B ‖ **100** λόγοις P D S Cris[1]: λογίοις B ‖ **101** συνέμιξα : [ca. 8 litt.] B | ὥς που P D S Cris[1]: ὥσπερ B | καὶ[1] P D Cris[1]: om. B ‖ **103** τοῦ D B Malt[4],31: τὰ P S Cris[1] | τῶν συλλογισμῶν : [ca. 9 litt.]ισμῶν B ‖ **104** εἴδει ὁρᾶν : [ca. 9 litt.] B | καὶ D: ἀλλὰ P B S Cris[1] ‖ **105** συλλογίζεσθε B ‖ **105–106** ὡς – ἀδελφέ D: ἀδελφέ P S Cris[1] ἀδελφοί B ‖ **105–106** τὸ συλλογίζεσθαι οὐ inc. excerptum Π 535 in K **106** οὔτε[1] P D S Cris[1]: οὐδὲ B | ἐκκλησίας : [ca. 7 litt.]ας B

θέσις τις τῶν κατὰ φιλοσοφίαν παράδοξος, ἀλλ' ἢ μόνον ὄργανον ἀληθείας καὶ ζητουμένου πράγματος εὕρεσις. Εἰ δέ τις μὴ βούλοιτο λογικώτερον τῷ ὀρθοτόμῳ προσιέναι λόγῳ, μηδὲ τροφὴν ἐσθίειν στερράν, ἀλλ' ἢ μόνον γαλακτοποτεῖν οἷα Κορίνθιος, διὰ 110 ταῦτα ἐν γραφαῖς ἡμεῖς οἱ ταλαιπωροῦντες ἐν τοῖς ἠκριβωμένοις λόγοις ἐσόμεθα.

Ἐπεί τοι σὺ μὲν γηλόφῳ τε καὶ γηπέδῳ τὴν ἀρετὴν διορίζεις καὶ τὴν κακίαν, ἐγὼ δὲ οὐχ οὕτως, ἀλλ' ἀφίημι ἐκ κοινοῦ ὁρμητηρίου τῆς προαιρέσεως, καὶ καθ' ἑτέρου πελάγους, ὄρη δὲ καὶ 115 πόλεις οὔτ' ἀπάγουσι τῶν ἀντικειμένων ἕξεων, οὔτε ταύτας ἐπάγουσιν, ὅρα δή. Ἐγὼ μὲν ὁ ἀστικός, τῆς ἀρετῆς σοι τῶν πρωτείων παραχωρήσας, καὶ τὸν λόγον προστέθεικα, ἐμαυτῷ τοῦτον ἀφορίσας καὶ μόνον, καὶ τῆς ἐμῆς ψυχῆς κατηγόρηκα ὡς πρὸς ἀρετὴν ἀδοκίμου· σοὶ δὲ πάντα τὰ κεφάλαια τῶν καλῶν 120 μεμαρτύρηκα, προσθεὶς καὶ χάριν τινὰ λογικὴν ὅσην ὁ τῆς φιλίας

109–110 μηδὲ – Κορίνθιος: I Cor. 3,2 γάλα ὑμᾶς ἐπότισα, οὐ βρῶμα, οὔπω γὰρ ἐδύνασθε. ἀλλ' οὐδὲ ἔτι νῦν δύνασθε et Greg. Naz. Περὶ τῆς ἐν διαλέξεσιν εὐταξίας = Or. 32,13 εἰ δὲ ἔτι νήπιος εἶ, καὶ χαμερπὴς τὴν διάνοιαν, καὶ τοῖς ὑψηλοτέροις προσβαίνειν οὐχ ἱκανὸς, γενοῦ Κορίνθιος, γάλακτι τράφηθι. τί χρῄζεις στερεωτέρας τροφῆς, ἣν οὐκ ἀναλίσκει τὰ μέλη, καὶ ποιεῖ τροφὴν δι' ἀσθένειαν; cf. etiam Greg. Naz. Ἀπολογητικός = Or. 2,45. cf. Π 18,12 cum Psel. Ἑρμηνεία τοῦ Ἄισματος ... πρὸς τὸν ... Μονομάχον = Poem. 2,884 **113** γηλόφῳ – γηπέδῳ: cf. Ael. Herodian. (?) Ἐπιμερισμοί 14,6–7 γήλοφος, ὁ ὑψηλὸς τόπος ... γήπεδον, ἡ γῆ et Psel. Χρονογραφία VI,175 τὸ πρότριτα γήλοφον τριταῖον γήπεδον, Εἰς τὸ 'κύριος ἔκτισέ με ...' = Theol. I 10,83–84 γῆν εἰς γηλόφους ἀνισταμένην καὶ καθειμένην εἰς γήπεδα, Π 60,36–37 ἐν γηλόφοις, ἐν γηπέδοις, Π 88,22–23 τὰ Ῥωμαίων γήλοφά τε καὶ γήπεδα, et Π 376,17–18 ἐν γηλόφοις, ἐν γηπέδοις ‖ **121–122** προσθεὶς – ἀθετεῖ: cf. Π 201,65–67 ἀξιῶ μὴ οἴεσθαι οὕτω μοι ταῦτα γεγραφέναι ὥσπερ ἀντ' ἄλλου τινὸς φιλίας νόμου· μὴ γὰρ ὀναίμην φιλοσοφίας μήτε σοφίας μήτε τῶν τῆς φιλίας χαρίτων

107 φιλοσοφίαν P B S Cris[1] Π 535,2: φιλοσόφους D ‖ **108** ἀληθείας : [ca. 4 litt.]είας B | καὶ P B S Cris[1]: om. D | post εὕρεσις des. excerptum Π 535 in K **109** λογικώτερον – λόγῳ P B S Cris[1]: τῷ ὀρθοτόμῳ προσιέναι λόγῳ λογικώτερον D ‖ **113** τοι P D S Cris[1]: τοίνυν B ‖ **115** δὲ P D S Cris[1]: τε B **116** οὔτ' P B S Cris[1]: οὔτε D | ἕξεων P B S Cris[1]: λέξεων D ‖ **117** δή corr. Cris[1] : δέ P B D S | σοι P B S Cris[1]: om. D ‖ **117–118** τῶν πρωτείων P D S Cris[1]: om. B ‖ **119** ἀφορίσας – μόνον P D S Cris[1]: καὶ μόνον ἀφορίσας B ‖ **121** φιλίας : φιλοσοφίας dubitanter prop. Cris[1] (p. 64)

νόμος οὐκ ἀθετεῖ. Αὐτὸς δὲ ὁ ὀρειφοίτης, οὐχ οὕτως· ἀλλ' εὐθὺς κατεπήρθης ἡμῶν, καὶ ἣν ὤφειλες ἐπαινεῖν μετριοφροσύνην, ταύτην ἡμῖν προσωνείδισας. Ὅτι δὲ λάχος τι τοῦ λόγου καὶ
125 ἑαυτοῖς προσενείμαμεν, ὕβριν σὴν ἡγήσω τὸ πρᾶγμα, καὶ ὥσπερ ἡμῖν τὸ ὑψοῦ σε κεῖσθαι ἐν ἅπασι προσαινιττόμενος, ἐβρόντησας ἀτεχνῶς τὴν ἐν τῷ γράμματι μεγαληγορίαν. Καὶ ὁ τοὺς συλλογισμοὺς βάλλων ἐπὶ τὴν διὰ μαρτύρων ἦλθες ἀπόδειξιν, ἔνθεν μὲν προβεβλημένος τὸν Στέφανον, ἐκεῖθεν δὲ τὸν Γρηγόριον, ὡς ἐν
130 τούτοις μόνοις ἱσταμένης τῆς ἀποδείξεως.

Εἶτα δὴ καὶ γεωγραφικαῖς ἐπεβάλου ἰδέαις· πλὴν βραχύ τι ἠγνόησας, ὡς τῇ Ἄρκτῳ ὁ Νότος, ἀλλ' οὐχ ἡ Ἀσία ἀντίκειται, καὶ πρὸς τοὺς Ἀρκτῴους τοὺς Εὐρωπαίους φαμὲν ἢ τοὺς Λίβυας. Εἰ δέ σοι καὶ κατὰ ταυτηνὶ τὴν παιδείαν τὴν γεωγραφικὴν διαβέβλη-
135 μαι, ἔστω σοι ὅπως ἂν βούλῃ διῃρημένα τὰ κλίματα. Πλὴν ἐγὼ οὐ γεωγραφῆσαι βουλόμενος, ἢ κατὰ μέρη τὴν σύμπασαν διελεῖν, τὴν προτέραν ἐποιησάμην ἐπιστολήν, ἀλλά σοι προσμαρτυρήσας τὸ πρὸς πᾶν ὁτιοῦν τῶν θηλυνόντων ἀνένδοτον ἐκ περιουσίας, καὶ ἀπὸ πατέρων σοι τοῦτο ἐκληροδότησα, καὶ ἐκ τῆς πατρίδος ἐγενε-
140 αλόγησα· ἐμαυτῷ δὲ ἑκατέρωθεν προσέτριψα τὸ ἐνδόσιμον, οὐκ

128 τὴν – ἀπόδειξιν: iunctura legalis; cf. e.g. Basilica 21,1,47,2 ‖ **131–137** εἶτα δὴ καὶ γεωγραφικαῖς – ἐπιστολήν: cf. Π 201,58–63 ἀλλ' Εὐρώπη μὲν καὶ Λιβύη τοῖς οἰκείοις ὅροις διῄρηνται, καὶ οὐκ ἄν τις μῖξις ἐπ' ἀλλήλοις γένοιτο· ἀνὴρ δὲ Λίβυς καὶ Εὐρωπαῖος ἕτερος, ὁ μὲν ἐπὶ Λιβύης, ὁ δὲ ἐπ' Εὐρώπης ἐστίν· καὶ ὁ μὲν Εὐρωπαῖος εἰς Λιβύην, ὁ δὲ Λίβυς εἰς Εὐρώπην μεθίσταται, ἢ μᾶλλον ἀμέσως, ὥσπερ ἐν μέσῳ τινὶ χώρῳ, ἀδιαστάτως ἀνακεράννυνται. ἐμοὶ δὲ πόσον τὸ μεταξὺ τοῦ Βυζαντίου καὶ τοῦ σοῦ Ὀλύμπου διάστημα, ὥστε μὴ καὶ τοῖς τοῦ σώματος ὀφθαλμοῖς ὁρᾶν σε δύνασθαι;

122 νόμος – ἀθετεῖ P D S Cris[1]: οὐκ ἀθετεῖ νόμος B ‖ **123** κατεπήρθης P D S Cris[1]: καὶ κατεπήρθης B ‖ **125** ὕβριν σὴν D Malt[3],431 Malt[4],31: ὕβρισιν P S ὕβριν σὺ B ὕβρει τι corr. Cris[1] ‖ **126** ἡμῖν D P S Cris[1]: ὑμῖν B | ὑψοῦ D: τοῦ ὕψους P B Cris[1] | σε P S Cris[1]: om. B | κεῖσθαι – ἅπασι D: ἐν ἅπασι κεῖσθαι P B S Cris[1] ‖ **127–128** τοὺς συλλογισμοὺς P B S Cris[1]: τοῖς συλλογισμοῖς D **129** Γρηγόριον P D S Cris[1]: Χρυσόστομον B ‖ **131** γεωγραφικαῖς P D S Cris[1]: γεωγραφικῶς B | ἰδέαις P D S Cris[1]: ἠδέος B ‖ **132** ἠγνόησας D: ἠγνόηκας P B S Cris[1] ‖ **135** βούλῃ P D S Cris[1]: βούλει B ‖ **137** προσμαρτυρήσας P B S Cris[1]: προσμαρτυρῆσαι D ‖ **138** πρὸς P B S Cris[1]: om. D ‖ **139–140** καὶ – ἐγενεαλόγησα P D S Cris[1]: om. B ‖ **140** ἐμαυτῷ P D S Cris[1]: ἐμοὶ B

ἀληθεύων ἴσως, φίλτατε ἀδελφέ, ἀλλ' ἐξεικονίζων τὸν μοναχὸν καὶ τὸν τῆς φιλίας θεσμὸν ἐκπληρῶν.

Ὅτι δὲ καὶ τὰ διάφορα μέρη τῆς οἰκουμένης διαφόρων ἠθῶν ἀποτελεστικὰ πέφυκε, τῆς ἀπορρήτου φιλοσοφίας πυνθάνου. Εἰ δὲ παρὰ μέρος καὶ βραχὺ διαλλάττουσι, τοῦτο ταῖς καθόλου ἠθολογί- 145 αις οὐκ ἀντικείσεται· ἁπανταχῇ γὰρ ἡ ὕλη ταῖς οὐρανίαις περιφοραῖς ἀντιπίπτουσα, καὶ ταῖς τοῦ περιέχοντος κράσεσι τὸ κατὰ μέρος παραλλάττον ποιεῖ. Καὶ εἴ γε μὴ καὶ τὰ Χαλδαίων ἠγνόεις, ἃ μὴ εἰδὼς ὅ τι ποτέ εἰσι βάλλεις τοῖς σκώμμασιν, ἐκεῖθεν ἂν ᾔδεις τίς μὲν ἡ ἄμικτος ἀπόφασις καὶ ἀνόθευτος, τίς δὲ ἡ ὡς ἐπὶ 150 τὸ πολὺ ἀληθεύουσα. Ἀλλ' ἐκ περιττοῦ σοι ταῦτα πρὸς τὸν προκείμενον δρόμον. Εἰ δέ τις καὶ τὴν αὐτὴν ὁδεύοι καὶ ταῦτα εἰδείη, οὐ παρὰ πολὺ καλλίων τοῦ μίαν μερίδα λαχόντος (λέγω δέ, οὐκ ἐμαυτὸν λέγων, ἀλλ' εἴ τις ἕτερος οὕτως ἔχειν δοκεῖ);

144 τῆς – πυνθάνου: Synes. Cyren. Περὶ ἐνυπνίων 6,2; cf. Psel. Ἐκ τοῦ περὶ θεολογίας δευτέρου λόγου, εἰς τὸ 'τί ποτέ' ἐστι 'τὸ θεῖον' = Theol. I 49,94–95, ⟨Εἰ⟩ς τὰ ὑποκείμενα ῥητὰ τοῦ ἑπτακαιδεκάτου ψαλμοῦ = Theol. I 73,200; iunctura Pselliana vel Synesiana (?) in Mich. Ital. Epist. 1 (61,12–13) laudata **146–148** ἁπανταχῇ – ποιεῖ: cf. Strab. Γεωγραφικά 2,3,1 ... πρὸς τὰ οὐράνια καὶ πρὸς τὴν τοῦ περιέχοντος κρᾶσιν ... etc. cf. etiam e.g. Iambl. Περὶ τῶν αἰγυπτίων μυστηρίων 3,10,5–7 ἡ τοῦ ἀέρος καὶ τοῦ περιέχοντος κρᾶσις διάφορον ἐμποιεῖ καὶ τὴν ἐν τῷ σώματι κρᾶσιν τῶν ἐνθουσιώντων ‖ **150** τίς[1] – ἀνόθευτος: cf. Syrian. In Metaph. 71,38–72,2 πῶς γὰρ οὐκ ἄτοπον τὴν ἀπόφασιν βεβαιοτέραν εἶναι καὶ ἀμικτοτέραν καὶ γνωριμωτέραν τῆς καταφάσεως; ‖ **150–151** ἡ[2] – ἀληθεύουσα: cf. e.g. Sext. Emp. Πρὸς λογικούς 7,175 φαντασίᾳ ... οὐ μέντοι ... ἀπιστητέον ἐστὶ τῇ ὡς ⟨ἐπὶ⟩ τὸ πολὺ ἀληθευούσῃ et Ioann. Philop. In De an. 503,16–17 καὶ ἡ αἴσθησις ὡς ἐπὶ τὸ πολὺ ἀληθεύει etc.

141 μοναχὸν P D S Cris[1]: ἀδελφὸν B ‖ **143** ἠθῶν P D S Cris[1]: εἰδῶν B ‖ **145** καὶ D B Cris[1]: om. P S ‖ **146** ἁπανταχῇ D: ἁπανταχοῦ P B S Cris[1] ‖ **148** μὴ – Χαλδαίων D: μὴ τὰ Χαλδαίων P S Cris[1] τὰ Χαλδαίων μὴ B ‖ **150** ᾔδεις P B S Cris[1]: εἶδες D | ἄμικτος D B Cris[1]: ἔμμικτος P S | ὡς P D S Cris[1]: om. B **151** τὸ D B Cris[1]: om. P S ‖ **152** τὴν αὐτὴν P D S Cris[1]: ταύτην B | ὁδεύοι D (cf. Malt[3],431): ὁδεύει P B S Cris[1] | ταὐτὰ dubitanter prop. Cris[1] (in app. crit.) **153** πολὺ καλλίων : [ca. 7 litt.]λίων B ‖ **154** οὕτως ἔχειν : οὕ[ca. 8 litt.] B

155 Τὸ δὲ Σίναιον (ἵνα σοι καὶ περὶ τούτου φιλοσοφήσω) οὐχ ὡς αἰσθητὸν ὄρος ἀνάγει Μωσέα καὶ κατάγει θεόν, ἀλλ' ὡς συμβολικὸν τῆς κατὰ ψυχὴν ἀπὸ τῆς ὕλης ἐπάρσεως· ἁρπάζεται δὲ τοῦτο τὸ γένος, οὐχ ὅταν ταῖς σκοπιαῖς προσβάλωμεν ἢ τοῖς νάπεσιν, ἀλλ' ὅταν ἐκ μετριοπαθείας καὶ τῶν καθάρσεων (δευτέρα γὰρ
160 αὕτη καὶ νοερωτέρα ζωή) ἐπὶ τὸν θεωρητικὸν ἀναβιβασθῶμεν σκοπόν, ἢ μᾶλλον ὑπὲρ νοῦν γεγονότες, ἐπὶ τὴν ὑπερτέραν ἀναχθῶμεν ἁψῖδα, φημὶ δὴ τῆς ἐλλάμψεως· αὕτη καὶ ὄρος ἐστί, καὶ γνόφος, καὶ σιγὴ ἄντικρυς μετὰ τὴν πολλὴν κίνησιν, καὶ κατάπαυσις πάσης νοήσεως· ἐκεῖσε γὰρ γεγονότες, ὁρῶμεν, οὐχὶ

156 ἀνάγει – θεόν: cf. Psel. Πρὸς τὸν πατριάρχην κῦρ Μιχαὴλ περὶ τοῦ ὅπως ποιητέον χρυσόν 40,12 κατάγεις θεόν καὶ ἀνάγεις ψυχήν ‖ **157–158** ἁρπάζεται – γένος: cf. II Cor. 12,2 οἶδα ἄνθρωπον ... ἁρπαγέντα ... ἕως τρίτου οὐρανοῦ cum Psel. Εἰς τὸ 'εἶδον ἄνθρωπον ἐν Χριστῷ ...' = Theol. I 27 et infra l. 198 ‖ **159–160** ἐκ – ζωή: cf. Synes. Cyren. Epist. 140,47–48 αἱ μέσαι δὲ ἕξεις εἰς μετριοπάθειαν ἵστανται cum Δίων 6,7 ἀπάθεια μὲν γὰρ ἐν θεῷ φύσει· ἀρετῇ δὲ ἄνθρωποι κακίαν ἀμειβόμενοι μετριοπαθεῖς γίνονται. cf. etiam Porph. Ἀφορμαὶ πρὸς τὰ νοητά 32 et Psel. Omn. doctr. 70 et 72, Περὶ ἀρετῶν = Phil. min. II 32, Ἀποριῶν λύσις τελεία καὶ ἀναγκαία = Phil. min. II 12 (28,10), Εἰς τὸ 'εἶδον ἄνθρωπον ἐν Χριστῷ ...' = Theol. I 27,39–41, Ἑρμηνεία εἰς τὸ ῥητὸν τῆς Κλίμακος = Theol. I 30,56, et Π 516,24 ‖ **155–164** τὸ δὲ Σίναιον – νοήσεως: Exod. 19–31, locus in Psello saepe laudatus; cf. Π 174,1–2 et Π 275,70–72 ‖ **161–162** τὴν ὑπερτέραν ... ἁψῖδα: cf. Plat. Φαῖδρος 247b1 τὴν ὑπουράνιον ἁψῖδα. iunctura in libris neoplatonicis saepe laudata. cf. Psel. Ἐπιτάφιος εἰς ... Ἰωάννην τὸν Ξιφιλῖνον = Or. fun. I 3,6,33, Λόγος εἰς τὴν σταύρωσιν = Or. hag. 3a,264, Ἐξήγησις τῶν Χαλδαϊκῶν ῥητῶν = Phil. min. II 38 (135,4–5), et Π 517,35–36 ‖ **164** κατάπαυσις – νοήσεως: cf. Scholia in Max. Conf. (ed. Laga et Steel) 22,44–52 ὅταν ... ὁ νοῦς μετὰ τὴν τῶν γινωσκομένων διάβασιν λάβηται τῆς ὑπὲρ οὐσίαν καὶ γνῶσιν τῶν ὄντων αἰτίας, τηνικαῦτα τὸ τῆς θεώσεως κατὰ χάριν ἐπιγίνεται πάθος ... τὸν δὲ νοῦν καταπαῦον τῆς κατὰ φύσιν νοήσεως, ἔνθα μὴ ἔστι τὸ γινωσκόμενον

155 τούτου P D S Cris[1]: τούτων B ‖ **156** Μωσέα καὶ : [ca. 8 litt.] B ‖ **157** κατὰ ψυχὴν P B S Cris[1]: om. D ‖ **157–158** ἁρπάζεται – γένος P D S Cris[1]: ἁρ[ca. 14 litt.] B ‖ **158** ἢ D: καὶ P B S Cris[1] | τοῖς νάπεσιν P D S Cris[1]: ταῖς νάπαις B **159** μετριοπαθείας – καθάρσεων : μετριοπα[ca. 14 litt.]θάρσεων B **160** νοερωτέρα D B Cris[1]: νεωτέρα P S ‖ **160–161** ἀναβιβασθῶμεν σκοπόν D: προβιβασθῶμεν σκοπόν P S Cris[1] προβιβασθῶ[ca. 9 litt.] B ‖ **161** ὑπὲρ D: καὶ ὑπὲρ P B S Cris[1] | ὑπερτέραν P D S Cris[1]: ὑψηλοτέραν B ‖ **162** καὶ D B Malt[3],431 Malt[4],31 Cris[1]: om. P S ‖ **163** καὶ[3] P B S Cris[1]: om. D ‖ **164** νοήσεως P D S: τῆς νοήσεως B Cris[1]

νοοῦμεν, ἢ μᾶλλον οὐ νοοῦμεν ὅτι νοοῦμεν· κατάβασις γὰρ τοῦτο 165
γνώσεως καὶ μερικῆς οὐσίας ἀντίληψις, ὁ δὲ εἰδὼς ὅτι οἶδε δυσὶ
μερίζεται γνώσεσιν, ὁ δὲ μερισμὸς ἀποστροφή τις ἐστὶ τοῦ κρείτ-
τονος καὶ ὑπόβασις.

Ταῦτα παρὰ τῶν Χαλδαίων ἐγὼ εἰληφώς, τοῖς ἡμετέροις
λογίοις ὑπέταξα. Καί μοι τοιαῦτα βιβλία συντέτακται πάμπολλα, 170
τῆς ἐμῆς ψυχῆς ἔκγονα· καὶ πολλοῖς ταῦτα διὰ χειρῶν καὶ διὰ
γλώττης εἰσί. Καὶ οὐκ ἀπέγνωσταί μοι μὴ ὄψεσθαι τὸν θεὸν καὶ
ἐν τῇ κοιλάδι ταύτῃ τοῦ ἐν τῇ πόλει κλαυθμῶνος· τὸ γὰρ ὄρος περὶ
οὗ λέγειν ἐπαυσάμην, ἁπανταχῇ τῶν τῆς γῆς μερῶν ὑπερίδρυται.

Εἰ δέ μοι διαμεμελέτηται καὶ πρὸς τὸ καθ' ὑμᾶς ὄρος ποτὲ 175
ἀνελθεῖν, ἐπὶ τούτῳ ἐσπούδασται, ἵνα ταλαιπωρούμενος παύσω-
μαι· ποία γὰρ οὐχὶ ῥᾳστώνη παρὰ τοῖς τὸ θεῖον τοῦτο ὄρος οἰκοῦ-
σιν ἐστί, καὶ μᾶλλον εἴ τις, ἅπαξ ἐμβιοὺς καὶ ἀποκαρτερήσας,
ἀπογνῷ τὴν ἐπιστροφήν;

166 μερικῆς οὐσίας: iunctura neoplatonica; cf. e.g. Psel. Περὶ τῶν πέντε φωνῶν = Phil. min. I 51,315–317 ἀλλὰ καὶ τοῖς εἰσαγομένοις ἡμῖν πρῶτον ἡ μερικὴ οὐσία καθέστηκε γνώριμος καὶ οὕτως ἐντεῦθεν ἐπὶ τὰ καθόλου προβαίνομεν ‖ **171** τῆς – ἔκγονα: Plat. Θεαίτητος 150d2 τῆς ἐμῆς ψυχῆς ἔκγονον. iunctura in libris neoplatonicis laudata. cf. Π 75,3. cf. etiam Psel. Εἰς τὸν αὐτοῦ ἔκγονον ἔτι νήπιον ὄντα = Or. min. 38,2 ‖ **173** ἐν τῇ κοιλάδι … τοῦ … κλαυθμῶνος: Ps. 83,7. cf. Psel. Λόγος τοῦ ὑπερτίμου ὃς ἐπικέκληται σελέντιος = Or. min. 4,66, Ἐγκώμιον εἰς … Νικόλαον μοναχὸν … = Or. fun. I 10,18,15, et Π 517,38–39

165 ἢ P B S Cris[1]: οὐ D | μᾶλλον P D S Cris[1]: μᾶλλον εἰπεῖν B | κατάβασις P D S Cris[1]: κατάβασιν B | γὰρ P D S Cris[1]: om. B ‖ **166** ἀντίληψις P D S Cris[1]: ἀντίληψιν B | δὲ D: γὰρ P B S Cris[1] | οἶδεν B εἶδε S ‖ **169** ἐγὼ εἰληφώς D: εἰληφώς P B S Cris[1] ‖ **170** λογίοις P B S Cris[1]: λόγοις D ‖ **171** διὰ χειρῶν P D S Cris[1]: καὶ διὰ χειρὸς B ‖ **172** εἰσί D B: ἐστί P S Cris[1] | μὴ P D S Cris[1]: om. B **174** ἁπανταχῇ P D S Cris[1]: ἁπανταχοῦ B | τῆς – μερῶν D: μερῶν τῆς γῆς P B S Cris[1] ‖ **175** μοι διαμεμελέτηται D Malt[3],431 Malt[4],31: διαμεμελέτηταί P διαμεμελέτηταί μοι B Cris[1] | ὑμᾶς P B S Cris[1]: ἡμᾶς D ‖ **178** ἐμβιοὺς P D S Cris[1]: συμβιοὺς B | ἀποκαρτερήσας P D S Cris[1]: προσκαρτερήσας B **179** ἐπιστροφήν D B: ὑποστροφήν P S Cris[1]

180 Οὕτως ἐγώ, φίλτατε, τοῖς ὄρεσι διαιτῶ καὶ ταῖς πόλεσι τῷ ἐμῷ θεῷ καὶ δεσπότῃ ἑπόμενος, δι’ ὃν καὶ τὸν ἐκείνου ἠράμην ζυγόν, καὶ τουτὶ τὸ τρύχινον πεφόρηκα ἔσθημα, ὃς πολλάκις μὲν ταῖς ἀγοραῖς, σπανίως δὲ προσήει τοῖς ὄρεσι. Καὶ οἱ περὶ Γρηγόριον δὲ τὸν πάνυ (ὥσπερ καὶ αὐτὸς οἶσθα) ἀπὸ τῶν πληθουσῶν
185 ἀγορῶν ἐπὶ τὴν ἀγγελικὴν ζωὴν μετετάξαντο· εἰ γὰρ ἡ βασιλεία τῶν οὐρανῶν ἐντὸς ἡμῶν ἐστι, ποῖον ἔνδον ὄρος οὐκ ἀπολέλειπται; ἐσχάτη γὰρ αὕτη σφαῖρα συμπάντων μὲν ὀρῶν, συμπάσης δὲ ἀναβάσεως.

Σὺ δὲ μὴ ἀπορήσῃς τί ποτε πεπονθὼς οὕτω τοσάδε καὶ τοιάδε
190 παρεφθεγξάμην· τὸ γάρ με κινῆσαν ἐπὶ τοὺς λόγους πολυτελεῖς μοι τὰς ἀφορμὰς τῆς κινήσεως δέδωκεν.

Ἐμὸς ὁ Πλάτων, ἀδελφέ, καὶ ὁ Χρύσιππος; Ὁ δὲ Χριστὸς ᾧ συνεσταύρωμαι, τίνος; δι’ ὃν ὅσον ὡς ἐν συμβόλῳ τὴν ὑλικὴν ἀπέκερσα περιττότητα, δι’ ὃν ἀφ’ ἑτέρας πρὸς ἑτέραν μετεθέμην

181–182 τὸν – ζυγόν: Mt. 11,29 ἄρατε τὸν ζυγόν μου ἐφ’ ὑμᾶς. cf. Psel. Βίος καὶ πολιτεία ... Αὐξεντίου ... = Or. hag. 1c,648–649 et Ἑρμηνεία τοῦ Ἄισματος ... πρὸς τὸν ... Μονομάχον = Poem. 2,858, Εἰς τὸ ‘καὶ ἡμῖν μὲν βρωθήσεται ...’ = Theol. I 99,93–95 et Π 111,170 et Π 251,38, et supra ll. 19–20 ‖ **182** τουτὶ – ἔσθημα: Greg. Naz. Εἰς ἑαυτὸν = Or. 36,6 τὸ ἔσθημα τοῦτο τὸ τρύχινον ‖ **184–185** πληθουσῶν ἀγορῶν: iunctura saepissime laudata; cf. Xen. Κύρου Ἀνάβασις 1,8,1 et 2,1,7 cum e.g. Greg. Naz. Πρὸς Ἀρειανούς, καὶ εἰς ἑαυτόν = Or. 33,6. cf. Psel. Ἐπιτάφιος εἰς τὴν ἑαυτοῦ μητέρα 702–703, Κατηγορία τοῦ ἀρχιερέως = Or. for. 1,2318–2319 et Βίος καὶ πολιτεία ... Αὐξεντίου ... = Or. hag. 1a,723 et 1c,576, et Π 179,19 et Π 251,39–40 ‖ **183–185** οἱ – μετετάξαντο: fontem non inveni ‖ **185–186** ἡ – ἐστι: Luc. 17,21 ἰδοὺ γὰρ ἡ βασιλεία τοῦ θεοῦ ἐντὸς ὑμῶν ἐστιν ‖ **190** παρεφθεγξάμην: vox ex Ael. Arist. Περὶ τοῦ παραφθέγματος (373,37, 377,30, 383,8, 388,18, 389,32)? ‖ **192** ἐμὸς – Χρύσιππος: Greg. Naz. Κατὰ Ἰουλιανοῦ στηλιτευτικὸς α´ = Or. 4,43 ταῦτα Πλάτωνες ... καὶ Χρύσιπποι. cf. etiam supra ll. 28 Χρυσίππους et 96–97 Πλάτωνας δὲ οὓς λέγεις καὶ Χρυσίππους **192–193** Χριστὸς – συνεσταύρωμαι: Gal. 2,19 Χριστῷ συνεσταύρωμαι. cf. Psel. Ἑρμηνεία τοῦ Ἄισματος ... πρὸς τὸν ... Μονομάχον = Poem. 2,1061

180 διαιτῶ P D S Cris[1]: διαιτῶμαι B ‖ **181** καὶ[2] P B S Cris[1]: om. D **183** προσήει P D S Cris[1]: προσήειν B ‖ **184** τῶν P D S Cris[1]: om. B **185** ἀγγελικὴν P B S Cris[1]: πολιτικὴν D ‖ **186** ἀπολέλειπται P D S Cris[1]: ἐπιλέλειπται B ‖ **187** ἐσχάτη D B: ἐσχάτη μὲν P S Cris[1] ‖ **189** ἀπορήσῃς P D S Cris[1]: ἀπορῇς B | οὕτω P D S Cris[1]: ἐγὼ B ‖ **190** πολυτελεῖς D B Cris[1]: πολυπετεῖς P S e quo falsum LBG lemma ‖ **193** ὡς – συμβόλῳ D: ἐν συμβόλοις P B S Cris[1] ‖ **194** μετεθέμην D: μετετέθην P B S Cris[1]

ζωήν; Οὐ μὴν εἰ καθαρῶς εἰμι τοῦ Χριστοῦ τοὺς σοφωτέρους τῶν 195
λόγων ἀρνήσομαι, καὶ τὴν γνῶσιν τῶν ὄντων, ὅσα τε νοητὰ καὶ
ὅσα αἰσθητὰ πέφυκεν, ἀποδύσομαι· ἀλλ' ἐντεύξομαι μὲν θεῷ δι'
εὐχῆς ὁπόσα δυνήσομαι, καὶ ἁρπασθήσομαι εἴ γε δοθείη μοι·
καταβὰς δὲ ἐκεῖθεν διὰ τὸ τῆς φύσεως πολυκίνητον ἐπὶ τοὺς
λειμῶνας βαδιοῦμαι τῶν λόγων, καὶ νῦν μὲν τὸ «εἶπε γέρων» 200
ὥσπερ ἄνθος ὡραῖον κερῶ, νῦν δὲ ἄλλο τι τῶν ἡμετέρων ἀπανθί-
σας τῇ ψυχῇ συλλέξω.

Αὖθις δὲ μεταβὰς ἐκεῖθεν, καὶ συλλογιοῦμαι, καὶ φυσικοῖς
ὁμιλήσω δόγμασι, καὶ τοὺς λόγους τῶν γιγνομένων ζητήσω, καὶ
τὸν νοῦν πολυπραγμονήσω καὶ τὸ ἐπέκεινα τούτου, ἴσως δέ τι καὶ 205
περὶ σχημάτων ζητήσω. Σὺ μὲν οἴει ὥσπερ τὸ πρὶν ἐποιοῦμεν,

198 καὶ ἁρπασθήσομαι: cf. II Cor. 12,2 οἶδα ἄνθρωπον ... ἁρπαγέντα ... ἕως τρίτου οὐρανοῦ cum Psel. Εἰς τὸ 'εἶδον ἄνθρωπον ἐν Χριστῷ ...' = Theol. I 27 et supra l. 158–159 ‖ **199–200** ἐπὶ – λόγων: cf. Π 50,10 τῷ τοῦ λόγου λειμῶνι, Π 167,51 ὥσπερ ἐν λειμῶνι ταῖς ἐμαῖς διαναπαύῃ ἐπιστολαῖς, et Π 459,31.32 τὰ ἐμὰ γράμματα, ὥσπερ κῆποί τινες ἢ λειμῶνες. cf. etiam Liban. Πρὸς τοὺς Ἀντιοχέας ὑπὲρ τῶν ῥητόρων = Or. 31,18,10 τὸν λειμῶνα τῶν λόγων **200** εἶπε γέρων: iunctura ex Apophth. patrum (e.g. collectio systematica 1,30, 1,32, etc.). cf. infra l. 229 ‖ **204–205** καὶ[2] – τούτου: cf. Psel. Περὶ θεολογίας καὶ διακρίσεως δογμάτων Ἑλληνικῶν = Phil. min. II 35 (120,5–7) τὸ δὲ λεχθὲν περὶ τοῦ ἐπέκεινα τοῦ νοῦ, ὅτι κατὰ μὲν νόησιν πολλὰ λέγεται, θεωρεῖται δὲ ἀνοησίᾳ κρείττονι νοήσεως, γνησιώτατον τοῖς ἡμετέροις ἐστὶ δόγμασι cum Porph. Ἀφορμαὶ πρὸς τὰ νοητά 25 (15,1–2); cf. etiam Psel. Ἐξήγησις τῶν Χαλδαϊκῶν ῥητῶν = Phil. min. II 38 (145,11–22) et Π 124,28–29

195 καθαρῶς P B S Cris[1]: καθαρός D | σοφωτέρους P D S Cris[1]: σοφοὺς B **196–197** ὅσα – πέφυκεν P B S Cris[1]: ὅσα πέφυκε νοητά, καὶ ὅσα πέφυκε αἰσθητά D ‖ **197** μὲν P B S Cris[1]: om. D | θεῷ P D S: τῷ θεῷ B Cris[1] **197–198** δι' – ὁπόσα P D S Cris[1]: ὁπόσα δι' εὐχῆς B ‖ **201** ἡμετέρων D B Cris[1]: ὑμετέρων P S ‖ **201–202** ἀπανθίσας P B S Cris[1]: ἀπανθήσας D **203** μεταβὰς : [ca. 7 litt.] B ‖ **204** γιγνομένων P D S Cris[1]: γινομένων B **205** τι D Malt[3],431 Cris[1]: om. P S ‖ **206** σχημάτων D Malt[3],431: σχήματος P S Cris[1] ‖ **204–206** καὶ[2] – ζητήσω P D S Cris[1]: om. B

ἀλλ' ἦν ἐκεῖνα πάντα τῆς ἀληθείας σκιά· νῦν δὲ οὐχ οὕτως ἐγὼ περὶ τῶν σχημάτων φιλοσοφῶ, ἀλλ' εὕρηταί μοί τις ἐντεῦθεν θύρα πρὸς τὰ κρείττονα καὶ ἀνάβασις.

210 Οὕτω μὲν οὖν ἀνακαθαίρω τὸν νοῦν παντοδαπῶς τῆς ὕλης, ἀνάγων ὅπῃ δυναίμην (τίνι γὰρ τὸ σύμπαν πεφιλοσόφηται;)· λεαίνω δὲ καὶ τοὺς τῆς γλώττης ὄχθους, καλλιρρημοσύναις καὶ εὐεπείαις τισί, συνθήκαις τε καὶ ἁρμονίαις, καὶ ταῖς λεγομέναις περιόδοις ἢ περιοδικοῖς σχήμασι. Καὶ πέπεικα ἐμαυτόν, μή τοι 215 πρὸς ἀρετὴν πεφυκέναι τὰ τοιαῦτα ἐμπόδια, καὶ σταίην ἄχρι

207–209 ἦν – ἀνάβασις: cf. Greg. Naz. Εἰς Ἡρῶνα τὸν φιλόσοφον = Or. 25,4 τοῦτο μὲν οὐδὲ βουλῆς ἠξίωσε, ποτέραν δεῖ τῶν φιλοσοφιῶν ἑλέσθαι μᾶλλον, τὴν ἔξω καὶ παίζουσαν τὰς τῆς ἀληθείας σκιὰς ἐν τῷ τῆς φιλοσοφίας σχήματι καὶ προβλήματι, ἢ τὴν ἡμετέραν καὶ ταπεινὴν μὲν τῷ φαινομένῳ, ὑψηλὴν δὲ τῷ κρυπτομένῳ, καὶ πρὸς Θεὸν ἄγουσαν· ἀλλὰ πάσαις ψήφοις αἱρεῖται τὴν ἡμετέραν, μηδὲν ὅλως ἐπὶ τὰ χείρω παρατραπεὶς τὴν διάνοιαν, μηδὲ ὑπὸ τῆς τῶν λόγων κομψείας παρασυρείς, ᾗ μέγα φρονοῦσιν οἱ τὰ Ἑλλήνων φιλοσοφοῦντες ‖ **212** λεαίνω – ὄχθους: Synes. Cyren. Περὶ ἐνυπνίων 14,2 τὸ δὲ δείξαντος ὄχθους τινὰς ἀπολεαίνειν ἐμπεφυκότας τῆς γλώττης. cf. Π 516,15 ‖ **212–213** καλλιρρημοσύναις – τισί: cf. Dion. Halicarn. Dem. 25 εὐέπειαν ἀπαιτῶν καὶ καλλιλογίαν cum Dion. Halicarn. Thuc. 23 ὕψος λέγω καὶ καλλιρημοσύνην καὶ σεμνολογίαν καὶ μεγαλοπρέπειαν ‖ **213–214** ταῖς – σχήμασι: cf. e.g. Ps.-Hermog. Περὶ εὑρέσεως 4,3 Περὶ περιόδου cum Anon. Περὶ τῶν τοῦ λόγου σχημάτων 112,29–30 σχῆμα περιοδικόν, ὃ συνίσταται ἐκ προτάσεως καὶ ἀποδόσεως ‖ **215–217** καὶ – ἀφίσταμαι: cf. Synes. Cyren. Δίων 8,2–3 λείπεται δή τι τῶν ἐν μέσῳ, τί δ' ἂν εἴη πρὸ τῆς ἐν λόγοις τε καὶ περὶ λόγους διατριβῆς; τίς ἡδονὴ καθαρωτέρα; τίς ἀπαθεστέρα προσπάθεια; τίς ἧττον ἐν ὕλῃ; τίς μᾶλλον ἀμόλυντος; ταύτῃ δὴ πάλιν τὸν Ἕλληνα τοῦ βαρβάρου πρῶτον ἄγω, καὶ σοφώτερον τίθημι, ὅτι κατιέναι δεῆσαν, ὁ μὲν ἐν γειτόνων ἔστη τὴν πρώτην· εἰς ἐπιστήμην γὰρ ἔστη. ἐπιστήμη δὲ νοῦ διέξοδος· κᾆτα εἰς λόγον ἦλθεν ἄλλον ἀπ' ἄλλου, δι' ὧν καὶ προῆλθε. τί δ' ἂν εἴη λόγου νῷ συγγενέστερον; τί δὲ πορθμεῖον ἐπὶ νοῦν οἰκειότερον; ὡς ὅπου λόγος, ἐκεῖ που καὶ νοῦς· εἰ δὲ μή, πάντως τις εἴδησις, ἐν ὑστέροις νόησις οὖσα. καὶ γὰρ ἐνθάδε καλοῦνταί τινες θεωρίαι καὶ θεωρήματα ἔργα ἐλάττονος νοῦ, ῥητορικά τε καὶ ποιητικά, καὶ ἐν φύσει καὶ ἐν μαθήμασιν· ἀλλά τοι

207 σκιά D: σκιαί P B S Cris[1] ‖ **207–208** ἐγὼ περὶ : [ca. 7 litt.] B ‖ **208** θύρα S Cris[1]: θήρα P D B ‖ **209** κρείττονα – ἀνάβασις : κρείτ[ca. 10 litt.]βασις B **211** ὅπῃ B D: ὅποι P D S Cris[1] | δυναίμην : [ca. 8 litt.] B **212** καλλιρρημοσύναις corr. Cris[1]: καλλιρημοσύναις P D S [...]λιρρημοσύναις B ‖ **213** εὐεπείαις D Malt[3],431–432 Malt[4],31 Cris[1]: εὐπετείαις P S εὐεπίαις B **214** τοι P S Cris[1]: τι D B ‖ **215** τὰ τοιαῦτα D: ταῦτα P B S Cris[1] | ἐμπόδια P D S Cris[1]: ἐμπόδιον B

ταύτης τῆς καταβάσεως, ἀφ' ἧς θᾶττον πρὸς τὰς ὑπερτέρας νοήσεις ἀφίσταμαι.

Ἀλλὰ μὴ οἴου, ἀδελφὲ φίλτατε (φίλτατος γὰρ εἶ, εἰ καὶ μετὰ Πλάτωνος ἡμᾶς ἠρίθμησας ἀποστήσας Χριστοῦ), ὅτι πρὸς ἀπέχθειάν σοι ταῦτα γέγραπται παρ' ἡμῶν. Οὔ, μὰ τὸν ἐμόν τε 220 καὶ σὸν Ἰησοῦν! Ἀλλ' ἀθρόον πληγεὶς τῷ περὶ τοῦ Πλάτωνος ῥήματι, οὐκ εἶχον ὅπως διαβαστάσω τὸ ἄχθος. Διὰ ταῦτα γοῦν εὐθὺς ἐπὶ ταύτην ἐλήλυθα τὴν γραφήν, ἀπολογούμενος πρὸς τὴν ὕβριν, καὶ ἀποδεικνὺς ὡς οἷόν τε, ὅτι πᾶσαν Ἑλληνικὴν σοφίαν, ὅσην ὁ πάλαι χρόνος ἐπρέσβευε (συναρίθμει ταύτῃ καὶ τὰ 225 Χαλδαίων καὶ Αἰγυπτίων καὶ εἴ τις ἑτέρα γνῶσις ἀπόρρητος), ἐλάττονα ξύμπαντα τοῦ «εἶπε γέρων» λελόγισμαι.

Ἐπὶ τούτῳ, βάλλω σοι πόρρω μετάνοιαν, τὸ σύνηθες τοῦτο τῆς ὑμετέρας παιδαγωγίας, καὶ συγγνώμην αἰτῶ, ὅτι μὴ κατέσχον τοὺς λογισμούς, μηδὲ τὴν γλῶτταν ἐπέσχον, τὸ μετὰ 230 Πλάτωνος ἀριθμεῖσθαι χωρισμὸν τῶν ἰσοθέων ἀνδρῶν ὑμῶν ἡγησάμενος.

πάντα ταῦτα κοσμεῖ τὸ ὄμμα ἐκεῖνο, καὶ ἀφαιρεῖ τὴν λήμην, καὶ διεγείρει κατὰ βραχὺ προσεθίζοντα τοῖς ὁράμασιν, ὥστε θαρσῆσαί ποτε καὶ πρεσβύτερον θέαμα, καὶ μὴ ταχὺ σκαρδαμύξαι πρὸς ἥλιον ἀτενίσαντα. cf. etiam 6,4 cum Π 64,23–24, Π 167,30–33, Π 200,69–75, et Π 201,30–34
225 ὅσην – ἐπρέσβευε: Synes. Cyren. Δίων 1,2 καὶ ἀστρονομίας εὖ ἥκοντα, ὁπόσην ὁ τότε χρόνος ἐπρέσβευεν ‖ **227** εἶπε γέρων: cf. supra l. 202

216 καταβάσεως P D S Cris[1]: καταστάσεως B ‖ **219** Πλάτωνος D: τοῦ Πλάτωνος P B S Cris[1] | ἠρίθμησας D: ἠρίθμηκας P B S Cris[1] **222** διαβαστάσω P B S Cris[1]: διαβαστάξω D ‖ **223** εὐθὺς P B S Cris[1]: om. D **224** σοφίαν P D S Cris[1]: παιδείαν B ‖ **225** ἐπρέσβευε D: ἐπρέσβευσε P B S Cris[1] ‖ **225–226** τὰ – Αἰγυπτίων D: τὴν Χαλδαίων καὶ τὴν Αἰγυπτίων P S Cris[1] τὰ Χαλδαίων καὶ τὰ Αἰγυπτίων B ‖ **227** εἶπε D B Ana[1] Malt[4],31: εἶναι P S Cris[1] | λελόγισμαι P B S Cris[1]: νενόμισμαι D ‖ **228** ἐπὶ τούτῳ – μετάνοιαν P D S Cris[1]: om. B ‖ **229** ἡμετέρας dubitanter prop. Cris[1] (in app. crit.) **228–229** τὸ – παιδαγωγίας P S Cris[1]: om. D B ‖ **229–230** ὅτι – τὸ P B S Cris[1]: μὴ κατασχεῖν τοὺς λογισμοὺς δυνηθεὶς μηδὲ ἐπισχεῖν τὴν γλῶσσαν τῷ D ‖ **231** ἀνδρῶν ὑμῶν P D S Cris[1]: ὑμῶν ἀνδρῶν B

LI. Λέων Παρασπόνδυλος († post a. 1057)

μοναχός, πρωτοσύγκελλος (ca. a. 1055 – a. 1057)
cf. etiam Π 454?

203. Τῷ πρωτοσυγκέλλῳ τῷ Παρασπονδύλῳ

K-D 72 [L]

Σὺ μὲν ὁπόσα βούλει εἰς τιμὴν ἡμετέραν καὶ γράφε, καὶ ὑπολάμβανε. Ἡμεῖς δέ σοι ὥσπερ τῆς ἴσης φιλίας κεκοινωνήκαμεν, οὕτω σοι καὶ τῶν αὐτῶν κοινωνοῦμεν, ὀνομάτων τε καὶ προσρήσεων. «Δεσπότην» γοῦν σε καὶ «φίλτατον»
5 ὀνομάζομεν, καὶ εἴ τι ἄλλο τίμιον ὄνομα καὶ σεμνόν. Κἂν εἴ τι πρὸς ἡμᾶς ἐνθυμηθείης ἀρκοῦν εἰς προσφώνησιν σεβασμίαν, ἀντικοινωνήσομέν σοι καὶ ἡμεῖς ἕτερον τοιουτότροπον, ὡς ἡμῶν περιττὸν οὐδὲν ἐχόντων περὶ τὴν σὴν τιμιότητα. Αὐτὸς τὰ κοινὰ λογίζου καὶ τῇ ἡμετέρᾳ τάξει κατάλληλα.

10 Ὃ δὲ πέπομφας πρὸς τὸν ἁγιώτατον πατριάρχην γράμμα, καὶ διὰ τῶν ἡμετέρων χειρῶν ἐγχειρισθῆναι αὐτῷ ἠξίωσας, καὶ εἰσκεκόμισται, καὶ ἀποδέδεκται, καὶ ἀντίγραφόν σοι πεπόρισται. Πρὸ δέ γε τῆς ἀναγνώσεως, καὶ λόγον ἐγὼ μακρὸν περὶ τῆς σῆς κατέτεινα ὁσιότητος· καί μου τὴν μαρτυρίαν ὁ πατριάρχης, καὶ
15 προσήκατο, καὶ ἐπεψηφίσατο, εἰ καὶ τά γε πρὸς αὐτὸν δι' ἐμοῦ πάντα σοι φίλα καὶ καταθύμια.

LI cf. Psel. Λόγος χαρακτηρίζων τὴν τοῦ πρωτοσυγκέλλου ἀρετήν = Or. pan. 15, Πρὸς τὸν πρωτοσύγκελλον ἀξιώσαντα ἱστορεῖσθαι τὰ θαύματα τοῦ θαυματουργοῦ Γρηγορίου = Or. Pan. 16, Εἰς τὸν πρωτοσύγκελλον = Poem. 28, Χρονογραφία VI,209–212 (=VIa,6–9) et VII 9, et Π 150,2 et Π 284,6. cf. etiam Reinsch 2017 ‖ **4–5** δεσπότην – ὀνομάζομεν: cf. Π 205,1 ὑπέρτιμε δέσποτά μου, Π 206,34 φίλτατε ἀδελφέ, et Π 210,117 φιλτάτη ψυχή ‖ **10** τὸν – πατριάρχην: Michael Cerularius, patriarcha (25.III.1043 – 2.XI.1058) (Π XXIX)

ep. 203 L 37v–38r; tit. L K-D

204. Τῷ πρωτοσυγκέλλῳ τῷ Παρασπονδύλῳ

K-D 87 [L]

Καλὴ μὲν ἡ ἐπιστολή (καὶ τί γὰρ τῶν σῶν οὐ καλόν, ὦ πάσης ἐπέκεινα καλλονῆς;), ἀλλὰ μικρὰ τὴν ἡλικίαν καὶ τῷ ἐμῷ μεγέθει μὴ ἐξαρκοῦσα. Σὺ μὲν γὰρ ἐκ πέτρας τὸ μέλι πηγάζεις, καὶ διὰ τοῦτο ἥδιστον μὲν ἐπινάεις τὸ ῥεῦμα, βραχύτατον δέ· ἐγὼ δέ σε διψῶν, περιχαίνω· καὶ βούλομαι σε τὴν πηγὴν ὅλην καταπιεῖν 5 αὐτῇ πέτρᾳ καὶ αὐτῷ νάματι, καὶ αὐτῷ ῥεύματι, καὶ αὐτῷ γάλακτι.

Ἐπαύξησον οὖν τὸ μέτρον τῆς ἐπιστολῆς, καὶ διψῶντά με κόρεσον· οὔτε γὰρ λειμὼν ἐξ ἑνὸς δένδρου χαρακτηρίζεται, οὔτε κάλλος ἀνθοῦν ἐξ ἑνὸς μέρους τοῦ σώματος. Ἕπου τοιγαροῦν τοῖς 10 φυσικοῖς νόμοις, καὶ πρόσθες τῆς γλώττης τοῖς ῥεύμασιν· ὥσπερ γὰρ ἀπλήστως ἔχομαί σου τῶν ὁμιλιῶν, οὕτως ἀκορέστως ἐκκρεμάννυμαί σου τῶν ἐπιστολῶν· σὺ δὲ βάσκανος εἶ, καὶ οὐκ ἀνακαλύπτεις μοι τὸ τῆς ψυχῆς κάλλος, ἀλλὰ νῦν μὲν τὰς ὀφρύας παραδεικνύεις, νῦν δὲ τὰ ὄμματα, νῦν δὲ ἄλλο τι τῶν μερῶν· καὶ ἐπὶ 15 πᾶσιν ἐκκαίεις, καὶ ἀδικεῖς ἐραστήν, μανικῶς ἐρῶντά σου τῆς ψυχῆς.

Σμίκρυνον, ὦ μακάριε, τὸν ἰχθῦν, καὶ μάκρυνον τὴν ἐπιστολήν. Εἰ δέ μου καὶ τῶν γραμμάτων ἐρᾷς, συμπάθησον τῷ τοῦ παρόντος γράμματος ἀποκομιστῇ. 20

205. Τῷ πρωτοσυγκέλλῳ τῷ λεγομένῳ Παρασπονδύλῳ

K-D 185 [L]

Μέγα τι χρῆμα, ὑπέρτιμε δέσποτά μου, ἀρετὴ μετὰ γνώσεως. Εἰ δ’ ἔχοι τις ἔχων ταύτην καὶ γλῶσσαν στρογγύλην, καὶ τὴν ἐπὶ

3 ἐκ – μέλι: Ps. 80,17 ἐκ πέτρας μέλι ‖ **3–7** τὸ – γάλακτι: cf. e.g. Cant. 4,11 μέλι καὶ γάλα ὑπὸ τὴν γλῶσσάν σου. cf. Psel. Ἑρμηνεία τοῦ Ἄισματος ... πρὸς τὸν ... Μονομάχον = Poem. 2,882–885 ‖ **16–17** ἐραστήν – ψυχῆς: locus communis; cf. e.g. Ioann. Chrys. Epist. 195 (PG 54,720,46) ‖ **1** ὑπέρτιμε – μου: cf. Π 203,4 δεσπότην γοῦν σε καὶ φίλτατον ὀνομάζομεν

ep. 204 L 42v–43r; tit. L K-D ‖ **18** ἰχθῦν L: ἰχθὺν K-D ‖ **ep. 205** L 99v–100r; tit. L K-D

ταύτῃ πειθώ, πῶς οὐκ ἂν μετακινήσῃ τῷ λόγῳ καὶ τὴν γῆν καὶ τὴν θάλασσαν, ἢ ἀντελίξῃ τὸν οὐρανόν, καὶ στήσῃ τὸ πᾶν; Ὁποῖα
5 δὴ σὺ ποιεῖς ἐν αἰθέρι καθήμενος, καὶ κατάγων σαυτὸν ἐπὶ γῆν, εἶτα δὴ πείθων ἡμᾶς, ὅτι περίγειος εἶ, καὶ οὔποτε εἰς οὐρανὸν ἀναβέβηκας. Τὸ δέ γε δεινότερον, ὅτι τὴν πρώτην ἔχων τῶν ἀρετῶν (τὸ ἀλγεῖν ἐπὶ τοῖς ἀλλοτρίοις κακοῖς), ἀποδύρῃ ὡς μηδὲ τὴν τελευταίαν κτησάμενος· καὶ τἀναντία λέγων, δοκεῖς λέγειν
10 ἀκόλουθα καὶ λανθάνεις τῇ τέχνῃ τῶν ἀκροατῶν τὸ ὀξύ.

Ἕτερον δέ τι θαυμάσιον κατανενόηκά σοι. Ὁ μὲν γὰρ ἀττικίζων τῇ λέξει οὐκ ἂν πείσῃ λέγων ὡς οὐκ οἶδε τὰ Ἀττικά, οὕτω καὶ ὁ αἰολίζων καὶ ὁ τὴν Ἰάδα φθεγγόμενος· σὺ δὲ ἀπὸ τῶν ἀρρήτων ὀνομάτων ἡμῖν ὁμιλῶν, καὶ ἀπὸ τῶν ἐν τοῖς ἄνω δέλτοις κειμέ-
15 νων, εἶτα δὴ πείθεις, ὡς οὐδὲν εἰδείης τῶν θεοφθόγγων. Καὶ ὁ μὲν ὑποδωρίζων αὐτίκα τεθήρευται οὕτω φωνῶν· σὺ δ' ἐν μέσοις τοῖς θείοις στρεφόμενος πάντων ὁρώντων, πείθειν ἐπιχειρεῖς, ὡς ἔξω τοῦ θείου χοροῦ καθέστηκας ὁ κορυφαῖος αὐτοῦ.

Ἀλλ', ὦ μακάριε, μὴ δὴ καὶ πρὸς ἡμᾶς τῷ παραλογισμῷ χρῶ·
20 οὐ γὰρ ἄπειροι τῶν σοφισμάτων, οὐδὲ τῶν ἐν λόγοις μεταμορφώσεων· οὐδ' ἂν ἀπατήσειας ῥᾷστα, οὐδὲ μεταβαλεῖς ἀφ' ὧν ἐγνώκειμεν. Εἰ δέ σε μάλιστα τῶν ἄλλων τοῦτο κοσμεῖ, ἀλλὰ τοῖς μὲν ἄλλοις τὴν προσποίησιν, ἐμοὶ δὲ τὴν ἀλήθειαν ἐπιδείκνυε. Ἢ μηδὲ περὶ τοῦτο πονοίης· ἐγὼ γάρ σε κατέλαβον τὸν ἡμίθεον, κἂν
25 αὐτὸς μετασχηματίζῃ τοῖς εἴδεσι.

Σὺ μὲν οὖν καὶ αὖθις καὶ πολλάκις τὰς αὐτὰς ἀφήσεις φωνάς· ἐμὲ δ' οὐ πείσεις οὐδ' ἢν πείσῃς, ἀλλ' ἕψομαί σου τῷ πιθανῷ καὶ

3–4 πῶς – θάλασσαν: proverbium, cf. Psel. Εἰς τὸν σεισμὸν ... = Phil. min. I 30,79–80 οὐχ ὡς κινοῦντες καὶ τὴν γῆν καὶ τὴν θάλατταν, et Π 91,14–15 **14** ἄνω δέλτοις: cf. Psel. Ἐγκωμιαστικὸς εἰς ... Μιχαὴλ τὸν Κηρουλλάριον = Or. fun. I 1,55,39 et Λόγος εἰς τὰ θαύματα τοῦ Ἀρχιστρατήγου Μιχαήλ = Or. hag. 5,202 ‖ **24** ἐγὼ – ἡμίθεον: cf. Π 206,39 ἐν ἡμιόνοις ... ἡμίθεος cum Synes. Cyren. Epist. 56,12 ὥσπερ ἐν ἡμιόνοις ἡμίθεοι. cf. Psel. Εἰς τὸ 'τίς οὐσία θεοῦ;' = Theol. I 56,15–16 et Π 376,44. cf. etiam Π 208,52–53 ‖ **27** οὐ – πείσῃς: proverbium, CPG II 765 (nr. 41; cf. Aristoph. Πλοῦτος 600 οὐ γὰρ πείσεις, οὐδ' ἢν πείσῃς). cf. Π 515,37

4 ἀντελίξῃ L (cf. Psel. Omn. doctr. 200,4–5 ἀντελιττόμεναι et etiam Π 223,10): ἀνθελίξῃ corr. K-D ‖ **11** σοι L K-D: σου corr. Diam 304 (sed cf. Π 15,26 τοῦτό ... σοι κατανενόηκα) ‖ **14** τοῖς (more byzantino) L K-D: ταῖς corr. Diam 304 (sed cf. Π 173)

ταύτῃ πείσομαι, τῷ δ’ ἀληθεῖ προειλημμένος, ἀμετάπειστος ἔσομαι.

Μὴ φθονοίης οὖν ἡμῖν τοῦ ἐμφύτου καλοῦ, μήτε συνεχῶν προσφωνήσεων· ἀλλὰ μεταδίδου, ἐκείνων μὲν ταῖς εὐχαῖς, τούτων δὲ ταῖς ἐπιστολαῖς. 30

206. Τῷ πρωτοσυγκέλλῳ Λέοντι

post Psel. Λόγος χαρακτηρίζων τὴν τοῦ πρωτοσυγκέλλου ἀρετήν = Or. pan. 15 [cf. ll. 2–3 ἡμεῖς … χαρακτηρίζοντες]? ca. a. 1055/1056?

S 7 [P]

Ὁπότε σὺ σαυτὸν ἑρμηνεύεις καὶ τὴν σὴν ἐξηγῇ φύσιν, ἡγιασμένη ψυχή, ληροῦμεν πάντως ἡμεῖς, ἐξ ἑτέρων σε χρωμάτων χαρακτηρίζοντες· διττοῦ γὰρ ὄντος τοῦ χαρακτῆρος ἑκάστῳ ἡμῶν, μᾶλλον δὲ τριττοῦ (ἵνα τι πλέον περὶ τούτου φιλοσοφήσω), ἔκ τε τῶν δύο

2–3 ἐξ – χαρακτηρίζοντες: ad Psel. Λόγος χαρακτηρίζων τὴν τοῦ πρωτοσυγκέλλου ἀρετήν = Or. pan. 15 alludit? ‖ **3–7** διττοῦ – ἴδιον: cf. Χρονογραφία VI,212 (=VIa,8) τρεῖς γὰρ μερίδας ταῖς τῶν ψυχῶν προσαρμόζω κατανοῶν καταστάσεσι: τὴν μὲν, ὅταν αὐτὴ βιῴη καθ’ ἑαυτὴν, ἀπολυθεῖσα τοῦ σώματος, ἀτενῆ τε καὶ οὐ πάνυ τὸ ἐνδόσιμον ἔχουσαν· τὰς δέ γε λοιπὰς μερίδας τῷ μετὰ σώματος αὐτῆς βίῳ κατείληφα· εἰ μὲν γὰρ ⟨ἐπὶ⟩ τὴν μέσην στᾶσα ζωὴν ἀπαθοῦς τὲ καὶ πολυπαθοῦς, ὥσπερ ἐν κύκλῳ τὸ ἀκριβὲς κέντρον αἱροῖτο, τὸν πολιτικὸν ἀπεργάζεται ἄνθρωπον, οὔτε θεία τις ἀκριβῶς γενομένη ἢ νοερὰ, οὔτε φιλοσώματος καὶ πολυπαθής· εἰ δὲ ταύτης παρατραπείη τῆς μεσότητος, καὶ μάλιστα προχωροῦσα τὴν πρὸς τὰ πάθη κατάντη βιῴη ζωὴν, τὸ ἀπολαυστικὸν ἀποτελεῖ καὶ φιλήδονον· εἰ δέ τις τῶν πάντων ὑπερκῦψαι δυνηθείη τοῦ σώματος, καὶ τῆς νοερᾶς ἐπ’ ἄκρον σταίη ζωῆς, τί κοινὸν αὐτῷ καὶ τοῖς πράγμασιν; cf. etiam Ἐγκωμιαστικὸς εἰς … Μιχαὴλ τὸν Κηρουλλάριον = Or. fun. I 1,24,4–15 … οὕτω τριῶν οὐσῶν τῶν πρὸς ἀρετὴν φερουσῶν ὁδῶν, καὶ τῆς γε τρίτης ἢ μέσης τῶν ἄλλων ἀκριβεστέρας καθεστηκυίας καὶ παρὰ τοῖς κρείττοσι τῆς μείζονος εὐφημίας ἀξιουμένης et Ἐπιτάφιος εἰς τὴν ἑαυτοῦ μητέρα 176–179 ἑκατέρα μερὶς τῶν ἀνθρώπων παρῆν, οἵ τε τὸ φαινόμενον ἀσπαζόμενοι καὶ οἱ περιπτυσσόμενοι τὸ νοούμενον, ἀλλὰ δὴ καὶ ἡ τρίτη καὶ μέση, οἱ ἀμφοτέρων ἐχόμενοί τε καὶ ἐξεχόμενοι

ep. 206 U 181v–182r, P 192v–193r, M 158v–159r, E 88v–89r, e[1] 219v–220v, e[2] 142v–143v, m[2] 397r–v; tit. M E e[1] e[2] m[2]: τῷ πρωτοσυγκέλλῳ P S τῷ πρωτοσυγκέλῳ U ‖ **1** φύσιν in marg. suppl. E ‖ **2** πάντως U P S: πάντες M E e[1] e[2] m[2] ‖ **3** ὄντος P M E e[1] e[2] m[2] S: ὄντως U | ἡμῶν U P S: om. M E e[1] e[2] m[2]

5 ἐναντίων ἕξεων καὶ τῆς ἐξ ἀμφοῖν, ἐγὼ μὲν ἀπὸ ταύτης δὴ τῆς μέσης σε εἴκαζον, ὡς οἷα ψυχὴν χρωμένην σώματι, διὰ ταῦτα ἑκάστῳ σοι τῶν μερῶν ᾤμην δεῖν προσεῖναί τι ἴδιον· σὺ δὲ ἀληθέστερον σεαυτὸν ἐπιστάμενος, τὴν σὴν ψυχὴν ὅπως ἔχει φύσεως ἀπεικόνισας.

10 Ἐγὼ δὲ ἄρα τοσοῦτον εἰμὶ γεώδης τε καὶ παχύς, ὅσον τὴν μὲν νόσον νόσον οἴεσθαι, καὶ πληγὰς μὲν τὰς πληγάς, τραύματα δὲ τὰ τραύματα, καὶ τἆλλα οὕτως ἐπὶ τῶν αὐτῶν ὀνομάτων τε καὶ δυνάμεων. Ἐπειδὴ νενίκηκεν ἐκεῖνο τὸ Πυρρώνειον ἔπος, ὅτι πάντων μέτρον ἄνθρωπος, τῶν μὲν ὄντων ὡς ἐστί, τῶν δὲ μὴ 15 ὄντων ὡς οὐκ ἐστί, καὶ εἰ πνέοντος ἀνέμου τοῦ αὐτοῦ, ὁ μὲν ἡμῶν ῥιγοῖ, ὁ δ᾽ οὔ, τῷ μὲν ῥιγοῦντι ψυχρὸν τὸ πνεῦμα φατέον, τῷ δὲ μὴ ῥιγοῦντι θερμόν, ἐγὼ μὲν οἰήσομαι πληττόμενος πλήττεσθαι, καὶ δάκνεσθαι ἀνιώμενος· σοὶ δὲ οὐχ οὕτως ἔχει ἢ ἕξει τὰ πράγματα, ἀλλ᾽ ὅπως ἂν πείσῃ καὶ δοξάσῃς αὐτός.

20 Ὅτι μὲν γὰρ τοῖς παρὰ σοῦ γεγραμμένοις ἀλήθεια ἕπεται, συνομολογήσω σοι καὶ αὐτός· δεινὸν δέ μοι ἄλλως ἐδόκει ὑψηλο-

13–15 ὅτι – ἐστί: cf. Plat. Θεαίτητος 178b2–4 ἴθι δή, οὑτωσὶ ἐρωτῶμεν Πρωταγόραν ἢ ἄλλον τινὰ τῶν ἐκείνῳ τὰ αὐτὰ λεγόντων· «πάντων μέτρον ἄνθρωπός ἐστιν» et Diog. Laert. 9,51 ἀλλὰ καὶ ἤρξατό (scil. Protagoras) που τοῦτον τὸν τρόπον· «πάντων χρημάτων μέτρον ἄνθρωπος, τῶν μὲν ὄντων ὡς ἔστιν, τῶν δὲ οὐκ ὄντων ὡς οὐκ ἔστιν» cum Sext. Emp. Πυρρώνειαι Ὑποτυπώσεις 1,216–217,2 καὶ ὁ Πρωταγόρας δὲ βούλεται πάντων χρημάτων εἶναι μέτρον τὸν ἄνθρωπον, τῶν μὲν ὄντων ὡς ἔστιν, τῶν δὲ οὐκ ὄντων ὡς οὐκ ἔστιν, 'μέτρον' μὲν λέγων τὸ κριτήριον, 'χρημάτων' δὲ τῶν πραγμάτων, ὡς δυνάμει φάσκειν πάντων πραγμάτων κριτήριον εἶναι τὸν ἄνθρωπον, τῶν μὲν ὄντων ὡς ἔστιν, τῶν δὲ οὐκ ὄντων ὡς οὐκ ἔστιν. καὶ διὰ τοῦτο τίθησι τὰ φαινόμενα ἑκάστῳ μόνα, καὶ οὕτως εἰσάγει τὸ πρός τι. διὸ καὶ δοκεῖ κοινωνίαν ἔχειν πρὸς τοὺς Πυρρωνείους

5 τῆς[1] – ἀμφοῖν U P S: τῶν ἐξ ἀμφοῖν M E e[1] e[2] m[2] | δὴ U: om. P M E e[1] e[2] m[2] S ‖ **8** ἔχει U M E e[1] e[2] m[2]: ἔχοι P S ‖ **10** καὶ : ὅσον καὶ e[1] e[2] m[2] | παχύς πληγὰς ante corr. m[2] | ὅσον U P in marg. suppl. E S: ὅσα M E e[1] e[2] m[2] | μὲν U M E e[1] e[2] m[2]: ἐμὴν P S ‖ **11** τραύματα δὲ bis ante corr. e[2] ‖ **12** τε U M E e[1] e[2] m[2]: om. P S ‖ **13** ἐπειδὴ U P S: ἐπεὶ δὲ M E e[1] e[2] m[2] | Πυρρώνειον P S: Πυρώνειον U M E e[1] e[2] m[2] an Πρωταγόρειον scribendum? (sed cf. app. font.) | ὅτι U P S: om. M E e[1] e[2] m[2] ‖ **14** : ἐστίν e[2] m[2] ‖ **15** πλέοντος E e[1] e[2] m[2] | ἡμῶν U P S: ἡ μὲν M E e[1] e[2] m[2] ‖ **16** ὁ – οὔ M: ὃ δ᾽ οὔ U P S om. E e[1] e[2] m[2] ‖ **17** οἰήσομαι ante corr. e[1] **18** ἕξει : ἥξει e[1] e[2] ‖ **19** πράγματα m[2]

λογεῖν ἅμα καὶ ὑψηλοφρονεῖν. Ἐπεὶ δέ σοι μετὰ τῆς δόξης καὶ τὸ ἐπὶ τῇ δόξῃ κράτος ⟨ὁ θεὸς⟩ ἀπένειμε, καὶ βάλλεις μὲν τὸν ἐνταῦθα βίον, οὐ τοῖς ἀπὸ γλώττης μόνον σκώμμασιν, ἀλλὰ καὶ ταῖς πρὸς τοῦτον ἀποστροφαῖς τῆς ψυχῆς, ἐπαινεῖς δὲ καὶ τέθηπας τὴν ἐν 25 περιστάσει ζωὴν ὡς μακαρίαν τε καὶ ἀκύμαντον, οὐ λέγων μόνον, ἀλλὰ καὶ ἐπὶ τῆς πέτρας ἀναπαυόμενος ὥσπερ ἐπὶ στρωμνῆς μαλακῆς, καὶ τὸ μέν ποτε δόξαν πότιμον, ἅλμην θαλαττίαν ἡγῇ, τὸ δ' ἐν τοῖς πράγμασι πικρόν, ἡδύ τε καὶ νεκταρῶδες, ἔχου τοῦ σκοποῦ καὶ τοῦ δόγματος, καὶ κουφιζέτω σε τὸ πτερὸν ἐπὶ πλέον, 30 καὶ μετεωριζέτω τὸ πνεῦμα, καὶ ἀναγαγέτω σοι τὸν νοῦν ὁ νοῦς,

22–23 ἐπεὶ – ἀπένειμε: cf. Π 210,27–28 καθαιρεθείσης σοι τῆς ἐν δόξῃ ζωῆς **30–33** καὶ² – μεθελκόμενον: cf. Greg. Naz. Εἰς τὸν πατέρα σιωπῶντα … = Or. 16,15 εἰ γὰρ καὶ ὁ χοῦς ἐπισύρεταί τι τῆς κακίας, καὶ τὸ γεῶδες σκῆνος βρίθει τὸν νοῦν ἄνω φερόμενον …· ἀλλ' ἡ εἰκὼν ἀνακαθαιρέτω τὴν ἰλὺν, καὶ ἄνω τιθέτω τὴν ὁμόζυγον σάρκα, τοῖς τοῦ λόγου πτεροῖς κουφίζουσα. cf. etiam Psel. Λόγος τοῦ ὑπερτίμου ὃς ἐπικέκληται σελέντιος = Or. min. 4,68–70, Περὶ τοῦ διὰ τί εἰσιν οἱ ἄγγελοι πτερωτοὶ … = Theol. II 38,14–15, Π 210,31–37 et Π 326,6–8 ‖ **30** κουφιζέτω – πτερὸν: cf. Plat. Φαῖδρος 246c cum Psel. Ἐγκωμιαστικὸς εἰς … Μιχαὴλ τὸν Κηρουλλάριον = Or. fun. I 1,59,36, Σελέντιον δημηγορηθὲν παρὰ βασιλέως κῦρ Μιχαὴλ τοῦ Δούκα = Or. min. 3,20–21, Εἰς τὸ 'εἶδον ἄνθρωπον ἐν Χριστῷ …' = Theol. I 27,78, Εἰς τὸ 'τὸ μέν, ἵνα μένῃ …' = Theol. I 91,110, et Π 123,30–31, et Π 385,5–6 | τὸ πτερὸν (scil. τῆς ψυχῆς): iunctura saepissime laudata; cf. Plat. Φαῖδρος 246c1 τελέα μὲν οὖν οὖσα (scil. ἡ ψυχὴ) καὶ ἐπτερωμένη etc. cum e.g. Herm. In Phaedr. 133,2 πτερὸν τῆς ψυχῆς ἐλέγομεν τὴν ἀναγωγὸν αὐτῆς δύναμιν et Ioann. Chrys. Πρὸς Στελέχιον, καὶ περὶ κατανύξεως 1 (PG 47 411,27–28) μετεωρίζει τῆς ψυχῆς τὸ πτερὸν πρὸς οὐρανόν. cf. Psel. Ἐγκωμιαστικὸς εἰς … Μιχαὴλ τὸν Κηρουλλάριον = Or. fun. I 1,59,36, Σελέντιον δημηγορηθὲν παρὰ βασιλέως κῦρ Μιχαὴλ τοῦ Δούκα = Or. min. 3,20–21, Εἰς τὸ 'εἶδον ἄνθρωπον ἐν Χριστῷ …' = Theol. I 27,78, Εἰς τὸ 'τὸ μέν, ἵνα μένῃ …' = Theol. I 91,110, et Π 123,30–31, Π 210,37, et Π 385,5–6 ‖ **31–32** ὁ – θύραθεν: cf. e.g. Ioann. Philop. In De an. 518,16 ὁ ἐνεργείᾳ νοῦς, ὅ ἐστιν ὁ θύραθεν, ὁ παντέλειος etc. cum Psel. Συλλογαὶ διάφοροι καὶ ποικίλαι = Phil. min. II 13 (66,26–27 et 67,22–23) et Ἐκ τοῦ περὶ τοῦ πνεύματος λόγου εἰς τὸ 'Σαδδουκαῖοι μὲν …' = Theol. I 106 passim

23 τῇ δόξῃ U P S: τῆς δόξης M E e¹ e² m² | ὁ θεὸς addidi | ἀπένειμε U M E e¹ e² m² Malt⁴,26: ἀπό[κει]με manu recent. suppl. P ἀπό ….. με S ‖ **24** σκώμασιν e¹ e² m² ‖ **26** λέγων U P S: λέγω M E e¹ e² m² ‖ **28** δόξαν τι e¹ e² m² **31** ἀναγαγέτω U P S: ἀναγέτω M E e¹ e² m² ‖ **30–31** τὸ – σοι iteravit ante corr. m²

τὸν τῆς ψυχῆς ὁ θύραθεν, εἴτ' ἄγγελος οὗτος εἴη, εἴτε τὸ θεῖον πνεῦμα πρὸς ἑαυτὸ μεθελκόμενον.

Ἴσθι μέντοιγε, φίλτατε ἀδελφέ, ὅτι ἐπιλέλοιπεν ἡμῖν ἐκ
35 χρόνου πολλοῦ τὸ τοιοῦτον τῆς φιλοσοφίας γένος· καὶ οὐδενὶ τῶν ἐπὶ τῆς ἐμῆς ἡλικίας ἀνδρὶ τοιούτῳ συγγέγονα, ἢ ἐντετύχηκα, κατὰ τὴν ἀμείλικτον πρὸς τὰ τῇδε τοῦ νοῦ φύσιν βιοῦντι, ὥστε μηδὲ σεσωματῶσθαι δοκεῖν. Σοὶ δὲ νῦν ἐντυχὼν πρώτῳ, ἄγαμαί σε τῆς φύσεως, ὅτι οὐχ ὥς τις ἔφη «ἐν ἡμιόνοις μέσοις ἡμίθεος»
40 πέφυκας, ἀλλ' ἐν ἡμιθέοις ὀλίγοις θεός.

Εἴτε οὖν παρὰ φιλοσοφίας τοῦτο σοι ἐπορίσθη τὸ χρῆμα, εἴτε παρὰ θεοσοφίας (ὡς εἰπεῖν), τοσοῦτόν γέ μοι ἴσθι ὅτι σεραφικοῦ ἠξιώθης χαρίσματος. Ἔγωγ' οὖν φιλοσόφοις ἐντυγχάνων δόγμασι, παρ' οἷς ἡ ψυχὴ τοῖς κρείττοσι παρέπεται γένεσιν, ἐθαύμαζον
45 μέν, οὐ πάνυ δὲ ῥᾳδίως ἐπίστευον· νῦν δὲ πρώτως γνούς, συνωμολόγησα, καὶ γέγονέ μοι πρᾶγμα τὸ δόγμα.

34 φίλτατε ἀδελφέ: cf. Π 203,4 δεσπότην γοῦν σε καὶ φίλτατον ὀνομάζομεν et Π 210,117 φιλτάτη ψυχή ‖ **37** τὴν – τῇδε: cf. Π 207,11–12 ‖ **39** ἐν – ἡμίθεος: Synes. Cyren. Epist. 56,12 ὥσπερ ἐν ἡμιόνοις ἡμίθεοι. cf. Psel. Εἰς τὸ 'τίς οὐσία θεοῦ;' = Theol. I 56,15–16 et Π 376,44. cf. etiam Π 208,52–53. cf. Π 205,24 ἐγὼ γάρ σε κατέλαβον τὸν ἡμίθεον

33 ἑαυτὸν e[1] e[2] m[2] ‖ **38** ἐνεύτυχὼν e[2] | πρώτῳ : πρῶ[τ] P πρῶτον S ‖ **39** ἡμίθεος U ‖ **42** θεοσοφίας U M E e[1] e[2] m[2]: θεοῦ φιλοσοφίας P S

Δραξάμενος οὖν τῆς χρυσῆς ταύτης σειρᾶς, ἀπρὶξ ἔχου τῆς καθέτου ταύτης γραμμῆς· κἂν ἕλκῃ τις ἄνωθεν φύσις, ἀνιὼν μὴ σταίης, μέχρις ἂν εἰς αὐτὴν τὴν ἐξωτάτην φθάσῃς περιωπήν.

207. Πρὸς τὸν πρωτοσύγκελλον ⟨Λέοντα⟩· φιλοσοφικώτερον

ca. a. 1055/1056? eodem tempore ut Psel. Λόγος χαρακτηρίζων τὴν τοῦ πρωτοσυγκέλλου ἀρετήν = Or. pan. 15? ante Π 150 [vid. epistolarum ordinem in A] et Π 208

Pap [A]

Οὐκ ἀφιλόσοφον, φιλοσοφωτάτη καί θεία ψυχή, ὅτι σοὶ διαλέγο-

47 τῆς[1] – σειρᾶς: cf. Hom. Il. 8,19 σειρὴν χρυσείην ἐξ οὐρανόθεν κρεμάσαντες cum Psel. Περὶ τῆς χρυσῆς ἁλύσεως = Phil. min. I 46. cf. etiam Psel. Χρυσόβουλλος = Or. for. 7,14, Χρυσόβουλλον ... σταλὲν πρὸς τόν Ῥόμπερτον παρὰ τοῦ βασιλέως κυροῦ Μιχαὴλ τοῦ Δούκα = Or. for. 8,23–25, Ἐγκώμιον εἰς ... Κωνσταντῖνον ... τὸν Λειχούδην = Or. fun. I 2,6,60–61, Ἐπιτάφιος εἰς Νικήταν μαΐστωρα τῆς σχολῆς τοῦ ἁγίου Πέτρου = Or. fun. I 4,6,8–10, Πρὸς τὸν λοίδορον ῥίψαντα χάρτην = Or. min. 7,49, Εἰς ... Κωνσταντῖνον τὸν Μονομάχον = Or. pan. 6,69, Ἐγκώμιον εἰς τὴν δέσποιναν = Or. pan. 11,60 et Π 51,10–11 et Π 167,44 ‖ **49** εἰς – περιωπήν: cf. Psel. Βίος καὶ πολιτεία ... Αὐξεντίου ... = Or. hag. 1a,464–467 ὁ μὲν οὖν μακάριος καὶ τῷ ὄντι ἄνθρωπος τοῦ θεοῦ ἐν τῇ ἀκροτάτῃ τοῦ ὄρους περιωπῇ ὥσπερ ἐπὶ τῆς τῶν ἀρετῶν ἀκρότητος καὶ ὑψηλοτάτης βάσεως ἑστηκώς et Εἰς τὸ ‘ἀπ’ ἄρτι ὄψεσθε ...’ = Theol. I 28,95–98 ἐπειδὰν γάρ τις ἀγγελικὴ τάξις ἢ ἀρχαγγελικὴ καταστραφθεῖσα τὴν φύσιν ταῖς ἄνωθεν θεωρίαις συνεπεκτανθῇ μέχρι πολλοῦ πρὸς τὸ ὕψος τῆς ἀκροτάτης περιωπῆς, αὐτῆς φημι τῆς τριαδικῆς ἑνώσεως καὶ μιᾶς ἀρχῆς. cf. etiam Χρονογραφία VI,212 (=VIa,8) εἰ δέ τις τῶν πάντων ὑπερκῦψαι δυνηθείη τοῦ σώματος, καὶ τῆς νοερᾶς ἐπ’ ἄκρον σταίη ζωῆς, τί κοινὸν αὐτῷ καὶ τοῖς πράγμασιν; ... ἀναβήτω γὰρ ἐπ’ ὄρος ὑψηλὸν καὶ μετέωρον, καὶ μετὰ τῶν ἀγγέλων στήτω, ἵνα φωτὶ καταλάμποιτο μείζονι, ἀπόστροφον ἑαυτὸν καὶ ἀπότροφον τοῖς ἀνθρώποις κατέστησεν (de Paraspondylo). cf. etiam Π 13a,39–40, Π 15,10–11, Π 86,25, Π 141,13–14, et Π 515,15 **1** φιλοσοφωτάτη – ψυχή: cf. Π 208,1 θεία ψυχή, Π 210,26 φιλοσοφωτάτη μοι τῷ ὄντι ψυχή, et Π 211,1 θειοτάτη ψυχή

47 δοξάμενος m[2] | ἀπρὶξ U M E e[1] e[2] m[2]: ἁπρὶξ P S ‖ **48** καθέτου U M E e[1] e[2] m[2] Malt[4],26: ἀκαθέκτου P S ‖ **48–49** ἀνιὼν – σταίης U M E e[1] e[2] m[2] Malt[4],26: ἀνιῶν μὴ στένης P S ‖ **ep. 207** A 44r; tit. scripsi: πρὸς τὸν πρωτοσύγκελλον· φιλοσοφικώτερον A Pap

μαι χείρων τυγχάνων τῷ κρείττονι· εἰ γὰρ τὰ δεύτερα τῶν πρώ-
των ἐξηρτῆσθαι δεῖ, ὥς φασιν, ⟨σῶμα⟩ ψυχῆς καὶ ψυχὴν νοῦ καὶ
τοῦτο⟨ν⟩ θεοῦ, δεσμὸς δὲ πᾶσιν ὁ λόγος, ὁ μὲν ψυχικός, ὁ δὲ
5 νοερός, ὁ ⟨δὲ⟩ φυσικός, φιλοσόφως κἀγὼ σοὶ διὰ τοῦ λόγου προσ-
επιστρέφομαι· ὥσπερ γὰρ διὰ τῆς προόδου ἡ νοερὰ γέννησις,
οὕτω διὰ τῆς ἐπιστροφῆς ἡ τελείωσις.

Ἀλλὰ σὺ μὲν θεοῦ, ἐγὼ δὲ ἐξήρτημαι σοῦ. Εἰ δὲ θεὸς ἐρωτῶντι
σοι ἀποκρίνεται, καὶ ὁμιλοῦντι συνδιαλέγεται, οὐ πληρώσεις
10 αὐτὸς τὴν ἀναλογίαν, καὶ γένῃ πρὸς ἡμᾶς ὃ πρὸς σὲ θεός; οὐ γάρ
μοι τὴν ἀπότομον ἐκείνην βαδίζεις ὁδόν, τὴν ἀμείλικτον πρὸς τὰ
τῇδε καὶ ἄθελκτον· πολλάκις γάρ σοι τὸ ἦθος ἐτεκμηράμην κοινο-

2–4 τὰ – θεοῦ: cf. Porph. Πρὸς Μαρκέλλαν 13,11–12 ἑπέσθω τοίνυν ὁ μὲν νοῦς τῷ θεῷ, ἐνοπτριζόμενος τῇ ὁμοιώσει θεοῦ. τῷ δὲ νῷ ἡ ψυχή· τῇ δ' αὖ ψυχῇ ὑπηρετείτω τὸ σῶμα. cf. etiam Psel. ⟨De colligatione animae cum corpore⟩ = Phil. min. II 28 (97,3–5) ἐπειδὴ γὰρ καὶ φύσις τὰς ἡμετέρας συνδεῖ πρὸς τὸ σῶμα ψυχὰς καὶ πρὸ ταύτης θεός ‖ **4–5** ὁ[2] – φυσικός: iunctura neoplatonica; cf. e.g. Psel. Omn. doctr. 24,13–14 τὰ μὲν κατὰ τὴν νοερὰν ἰδιότητα, τὰ δὲ κατὰ τὴν ψυχικὴν μεσότητα, τὰ δὲ κατὰ τὴν φυσικὴν κίνησιν. cf. etiam Π 516,6–7 ‖ **8** σὺ – σοῦ: cf. Psel. Λόγος τοῦ ὑπερτίμου ὃς ἐπικέκληται σελέντιος = Or. min. 4,124 ὑμᾶς μὲν ἐμοῦ ἐξαρτῶ, ἐμαυτὸν δὲ τοῦ θεοῦ cum De Vries-Van der Velden 1999,339 ‖ **9** ὁμιλοῦντι: cf. Psel. Λόγος χαρακτηρίζων τὴν τοῦ πρωτοσυγκέλλου ἀρετήν = Or. pan. 15,72–73 ὁμιλεῖ δὲ θεῷ οὐ τὴν γλῶσσαν ἐφιεὶς ταῖς ᾠδαῖς, ἀλλὰ τὴν ψυχὴν εἴσω ποιούμενος καὶ συμβιβάζων τῷ νῷ ‖ **8–9** εἰ – συνδιαλέγεται: cf. Π 208,11–12 οὐχ ὁρᾷς δὲ ὅτι καὶ τὸ θεῖον τῇ καθ' ἡμᾶς ἡμῖν διαλέκτῳ συγγίνεται καὶ ἐρωτώμενον πρὸς ἔπος δίδωσι τὴν ἀπόκρισιν ‖ **9–10** οὐ – ἀναλογίαν: cf. Π 208,47 τὰ δὲ τῆς ἀναλογίας ποῦ; **11** τὴν[1] – ὁδόν: cf. Π 211,42–43 διττὸς γὰρ ὁ τρόπος τοῦ περὶ ταῦτα φιλοσοφεῖν: ὁ μέν τις φιλανθρωπότερος, ὁ δὲ γενναῖος καὶ ἴσως ἀποτομώτερος ‖ **11–12** τὴν[2] – τῇδε: cf. Π 206,37 ‖ **12–13** τὸ – φιλάνθρωπον: Dion. Halicarn. Ῥωμαϊκὴ ἀρχαιολογία I 41,1 βίων ἔθη φιλάνθρωπα καὶ κοινοπαθῆ. cf. Psel. Χρονογραφία VII,156 (= VIIb,35), Ὡς ἀπὸ προσώπου τοῦ βασιλέως = Or. for. 5,14, Ἐγκωμιαστικὸς εἰς ... Μιχαὴλ τὸν Κηρουλλάριον = Or. fun. I 1,15,33–34, et Π 9,6, Π 31,17–18, Π 170,11–12, et Π 456,3

3 σῶμα addidi: ⟨σῶμα⟩ ὥς φασιν Pap ὥς φασιν ⟨σῶμα⟩ corr. Reinsch **4** τοῦτον scripsi: τοῦτο A ‖ **5** δὲ addidi ‖ **6** γένησις A ‖ **11** ἀμίλληκτον A

παθὲς καὶ φιλάνθρωπον, ἐπῄνεσας δέ μοι ποτέ καὶ λόγου κάλλος, καὶ ἁρμονίας συνθήκην, καὶ νοῦ μέγεθος, καὶ πρὸς παθητικὴν συγκαταβέβηκας ἔντευξιν. Ἐκ τῶν ἐμῶν οὖν ἔχω τὰ παραδεί- 15 γματα, καὶ τῶν ὁμοίων διαλέξεων ἔχομαι.

Ἐρωτῶ οὖν βραχύ τι ἐρώτημα, πρὸς ὃ σφόδρα διαμφισβητῶν, οὐκ ἔχω μαθεῖν ποτέραν τῶν ἀρετῶν αἱρετέον, τὴν ἐντεῦθεν πάντη ἀπάγουσαν, ἢ ἥτις καὶ τὰ τῇδε κοσμεῖν δύναται. Ἐμὲ οὖν πρὸς τὴν προτέραν αἱ τῆς ψυχῆς ὠδῖνες ἄγουσι, πρὸς δὲ τὴν δευτέραν 20 αἱ φιλάνθρωποι σχέσεις μεθέλκουσιν.

Ἀλλὰ τοῦτο μὲν λογικῶς ποτε συγγενομένοις ἡμῖν, ὅποι ποτὲ ἔχοι, διαιτηθήσεται. Σοὶ δὲ ἐγὼ μέρος εἴην, ὧν φροντίζοις ἐνδιαθέτως· τῷ δ' «ἐγὼ» προστίθημι καὶ τὸν Λίζικα, ἵνα καὶ μᾶλλον ἡ ἀντωνυμία ἐπ' ἀμφοῖν σχῇ ἰσότητα. 25

13–15 ἐπῄνεσας – ἔντευξιν: cf. Π 208,55–57 ἦσάν ποτ' ἦσαν ἄλκιμοι Μιλήσιοι, ἡνίκα τοῖς ἐμοῖς λόγοις ὡς θείοις ὡμίλεις χρησμοῖς· καὶ τὴν γλῶτταν ἐθαύμαζες σχεδιάζουσάν τε καὶ ὑψηλολογοῦσαν ὁμοῦ. cf. etiam Psel. Χρονογραφία VI,209 (=VIa,6) μήτε πρὸς ἐντεύξεις ἐπιτήδειον et VI,210 (=VIa,7) πᾶσαν ἀποστρεφόμενος ἔντευξιν ‖ **17–19** ἐρωτῶ – δύναται: cf. Π 150,9–12 οὐκ ἄκαιρον δὲ καὶ τὸ ἐρώτημα, ὥς γέ μοι φαίνεται· τὸ γὰρ περὶ τοῖν δυοῖν ἀμφιβάλλειν με βίοιν δίδωσιν ἐννοεῖν ὡς οὐδὲ τὸ ἕτερον μέρος ὃ αὐτὸς διέξεισι τῷ λόγῳ ἀπόστροφον et Π 208,18–19 οὐ φιλοσόφως σὲ ἠρωτήκαμεν; οὐ περὶ φιλοσόφου πράγματος; ‖ **20** αἱ – ὠδῖνες: iunctura neoplatonica, saepe in Psello laudata; cf. e.g. Heliod. Αἰθιοπικά 2,23,2 ἀπέτεκον αἱ ψυχῆς ὠδῖνες et Procl. In Parm. 1191,9–10 διὰ τὴν αὐτοφυῆ τῆς ψυχῆς ὠδῖνα περὶ τὸ ἕν, et Psel. Λόγος εἰς ... Κωνσταντῖνον τὸν Μονομάχον = Or. pan. 1,15, Theol. I 4,129 et 56,57, et Π 12,20 ‖ **22** λογικῶς – ἡμῖν: Greg. Naz. Εἰς τὸν μέγαν Βασίλειον ... = Or. 43,18 λογικῶς συγγινόμενος. cf. Psel. Ἐγκώμιον εἰς ... Κωνσταντῖνον ... τὸν Λειχούδην = Or. fun. I 2,17,43 et ⟨De invidia et aemulatione a secretis⟩ = Or. min. 12,42–43 ‖ **24** τὸν Λίζικα: Anastasius Lizix († ca. a. 1060 [Sideras 1994,135–136]; ca. a. 1070 prop. G 1978,86–91]), nepos Nicolai Scleri (Π LVII), πατρίκιος et βεστάρχης, de quo Psel. Ἐπιτάφιος εἰς ⟨Ἀναστάσιον⟩ = Or. fun. I 8, et Π 36,1, Π 85,5–6, Π 150,1, Π 261,16, Π 263,3, et Π 272,90

13 κάλος A ‖ **24** τῷ (ex τὸ) corr. in marg. A | Λίζηκα A

208. Τῷ αὐτῷ

Τῷ πρωτοσυγκέλλῳ Λέοντι. ca. a. 1055/1056? eodem tempore ut Psel. Λόγος χαρακτηρίζων τὴν τοῦ πρωτοσυγκέλλου ἀρετήν = Or. pan. 15? post Π 150 et Π 207

S 9 [P]

Μήποτε ἄρα, θεία ψυχή, σὺ μὲν τὴν ἀσώματον οἶδας διάλεκτον καὶ διὰ τῶν νοημάτων συγγίνῃ τοῖς νοητοῖς, ἡμεῖς δὲ μάτην γλώσσῃ καὶ πνεύματι χρώμεθα καὶ γράμμασι τὰς τῆς ψυχῆς σοι γνώμας ἐνσημαινόμεθα; ἰδοὺ γάρ σοι τὰς πάσας μετηλλαξάμην
5 φωνάς, βαρβαρίσας, ἑλληνίσας, ἀττικίσας, ἵν' εἰ μὴ ταύτῃ, ἀλλ' ἐκείνῃ ἢ τῇ ἑτέρᾳ ἀνθομιλήσεις καὶ ἀντιφθέγξαιο· σὺ δ' ἄρα ἐλελήθεις ἑτέρους λόγους εἰδὼς ἁπλοῦς τε καὶ ἀσυνθέτους καὶ μὴ οὓς αὐτοὶ ἴσμεν (τοὺς ἐξ ὀνομάτων καὶ ῥημάτων φημί)· ὁπότε δὲ καὶ οὕτως ἔλαχες φύσεως ἢ προαιρέσεως, ἐχρῆν τοὺς ἰσοπολίτας
10 σοι ἀγγέλους μιμήσασθαι καὶ ἀνθρωπικῶς ποτε φθέγγεσθαι.

Οὐχ ὁρᾷς δὲ ὅτι καὶ τὸ θεῖον τῇ καθ' ἡμᾶς ἡμῖν διαλέκτῳ συγγίνεται καὶ ἐρωτώμενον πρὸς ἔπος δίδωσι τὴν ἀπόκρισιν; Εἰ μὴ ἄρα τὰς τῶν μάγων φήσεις ἴϋγγας· ἐκεῖνοι γὰρ μόνοι πλαταγίζουσί τε καὶ καναχίζουσι τὰς γένυς συγκλείοντες· σὺ δ' οὐδὲ
15 τοσοῦτον δίδως. Καὶ ὁ μὲν Ἀπόλλων ὅτι μὴ χρᾷ τοῖς πολλοῖς ἐγκαλούμενος τὴν τῆς ὀττείας ᾐτιᾶτο παρασκευήν. Σὺ δὲ τίνος ἂν τῶν ἡμετέρων καθάψαιο; οὐχὶ γὰρ κατὰ καιρὸν τοὺς λόγους σοι

1 θεία ψυχή: cf. Π 207,1 φιλοσοφωτάτη καὶ θεία ψυχή, Π 210,26 φιλοσοφωτάτη μοι τῷ ὄντι ψυχή, et Π 211,1 θειοτάτη ψυχή ‖ 7 ἑτέρους – ἀσυνθέτους: cf. Psel. Λόγος χαρακτηρίζων τὴν τοῦ πρωτοσυγκέλλου ἀρετήν = Or. pan. 15,39–40 ... τὸ δὲ ἁπλοῦν ἐστι καὶ ἀσύνθετον et Εἰς τὸ 'οὗτος ὁ νῦν καταφρονούμενος ...' = Theol. I 59,124–126 ὁ πρῶτος λόγος, ὁ ἁπλοῦς, ὁ ἀσύνθετος, οὐκ ἀμέσως τῷ παχεῖ ἡμῶν ὡμίλησε σώματι. cf. etiam Π 220,16–17 τι ἕτερον παρὰ ταῦτα ἁπλοῦν καὶ ἀσύνθετον ‖ **9–10** ἐχρῆν – φθέγγεσθαι: cf. Π 200,11–12 καί μοι τούτων (scil. τῶν κρειττόνων φύσεων) εἴης αὐτός, ἵνα καὶ ἡμῖν ἀνθρωπικῶς ὁμιλῇς ‖ **11–12** οὐχ ὁρᾷς – ἀπόκρισιν: cf. Π 207,8–9 εἰ δὲ θεὸς ἐρωτῶντι σοι ἀποκρίνεται, καὶ ὁμιλοῦντι συνδιαλέγεται

ep. 208 P 194r–v; tit. τῷ αὐτῷ (= τῷ πρωτοσυγκέλλῳ) P S

προσηνέγκαμεν, οὐ φιλοσόφως σὲ ἠρωτήκαμεν; οὐ περὶ φιλοσόφου πράγματος; Αἱ δὲ συνθῆκαι τῶν ἐρωτήσεων; τὸ δὲ σχῆμα τῆς λέξεως; αἱ δὲ τῶν ἐννοιῶν ἐπιβολαί; τὸ δὲ τῆς αἰδοῦς; Σὲ δὲ ποῦ 20 τεθείκαμεν; οὐκ ἔξω τῆς πρώτης περιφορᾶς; οὐ μετὰ τῶν πηγαίων θεῶν; οὐ μετὰ τῶν ἀζωναίων, ἢ τῶν ἐν ζώναις (ἵνα τι καὶ βραχὺ χαλδαΐσωμεν); Εἰ δὲ τῷ πατρικῷ κατεπόθης βυθῷ (ἐμμενῶ γὰρ ἔτι τοῖς τοῦ ἔθνους διδάγμασιν), ἀλλ' ἐγώ σε καὶ τὴν ἐσχάτην ζώνην ἐθεώμην περιπολοῦντα, εἰ μὴ ἄρα τὸ μὲν δίδως θεῷ τοῦ 25 κράματος, τοῦ δὲ κοινωνεῖς τοῖς κάτω ἡμῖν, ὥσπερ τὸν Ἡρακλέα ὁ λόγος καὶ ὁ ποιητὴς τῷ λόγῳ συντίθεται.

Εἰ δὲ βάρβαρος ἦν, εἶτα βαρβάροις ὡμίλουν, οὐκ ἂν οἴῃ τούτους βαρβαριστί με προσφθέγξασθαι; Εἰ δὲ πίτυς, εἰ δὲ κυπάριττος, ἀντήχησαν ἄν μοι ἠχοῦντι αἱ ἐκ γειτόνων πίτυς καὶ κυπά- 30 ρισσοι; Ὁπότε δὲ Ἀττικὸς ἀνὴρ ἐμμελεῖς ἀποτίκτων λόγους, Ἀττικῷ (εἰ βούλει) διαλεγόμενος ἐξ ἡμισείας ποιοῦμαι τοὺς διαλόγους, μᾶλλον δὲ ληροῦντι ἔοικα πρὸς οὐδένα τὴν συνουσίαν ποιούμενος, τί ἂν οἴῃ με πάσχειν, οὕτω σοι ἐν Καρὸς μοίρᾳ κείμενος; Καὶ καπνὸς μὲν πῦρ ἐκκαλεῖται, κἀντεῦθεν ἡ σβεσθεῖσα θρυαλλὶς 35 ζωπυρεῖται· ἐγὼ δὲ πῦρ ὢν οὐδ' ὅσον καπνοῦ σοι μετείληφα.

Ὁποῖον δέ σοι καὶ τὸ ἰσοτίμως πάντας ὁρᾶν! Θαυμάζω δὲ ὅπως θεῖος ἀνὴρ ὢν τὰ θεῖα ἠγνόησας· ἐν ἐκείνοις γὰρ τὸ μέν τι

18–19 οὐ[1] – πράγματος: cf. Π 207,17–19 ἐρωτῶ οὖν βραχύ τι ἐρώτημα, πρὸς ὃ σφόδρα διαμφισβητῶν, οὐκ ἔχω μαθεῖν ποτέραν τῶν ἀρετῶν αἱρετέον, τὴν ἐντεῦθεν πάντη ἀπάγουσαν ἢ ἥτις καὶ τὰ τῇδε κοσμεῖν δύναται et Π 150,9-12 οὐκ ἄκαιρον δὲ καὶ τὸ ἐρώτημα, ὥς γέ μοι φαίνεται· τὸ γὰρ περὶ τοῖν δυοῖν ἀμφιβάλλειν με βίοιν δίδωσιν ἐννοεῖν ὡς οὐδὲ τὸ ἕτερον μέρος ὃ αὐτὸς διέξεισι τῷ λόγῳ ἀπόστροφον ‖ **21–25** οὐκ – ζώνην: cf., e.g., Psel. Ἔκθεσις ... τῶν παρὰ Χαλδαίοις δογμάτων = Phil. min. II 39 et Ὑποτύπωσις ... τῶν παρὰ Χαλδαίοις ἀρχαίων δογμάτων = Phil. min. II 40 cum app. fontium **26–27** ὥσπερ – συντίθεται: cf. Hom. Il. 14,323–324 οὐδ' ὅτε περ Σεμέλης οὐδ' Ἀλκμήνης ἐνὶ Θήβῃ, / ἥ ῥ' Ἡρακλῆα κρατερόφρονα γείνατο παῖδα **29–31** εἰ δὲ πίτυς – κυπάρισσοι: cf. Π 30,12–13 θέλγω δὲ οὔτε πίτυν, οὔτε κυπάριττον ‖ **34** ἐν – μοίρᾳ: proverbium, CPG I 405 (nr. 60) et II 405 (nr. 39) cum Hom. Il. 9,378 ἐν Καρὸς αἴσῃ. cf. etiam Psel. Χρονογραφία III,12 et IV,47, Κατηγορία τοῦ ἀρχιερέως = Or. for. 1,2746–2747, et Π 75,17 et Π 286,12 **37** ὁποῖον – ὁρᾶν: cf. Psel. Λόγος χαρακτηρίζων τὴν τοῦ πρωτοσυγκέλλου ἀρετήν = Or. pan. 15,36–38 οὐ μεταμορφούμενος τοῖς ἐντυγχάνουσιν οὐδὲ ποικίλος ταῖς ὁμιλίαις γινόμενος, ἀλλ' ἓν μέλος φωνῆς τοῖς σύμπασιν ἁρμοζόμενος

πρῶτον ἐστί, τὸ δὲ μετ' ἐκεῖνο, καὶ αἱ σειραὶ οὕτως ἐρρύησαν, καὶ
40 μέχρι τῶν ἐσχάτων οἱ λόγοι καταβαίνοντές τε καὶ ἐλαττούμενοι·
τὸ δὲ τὰ πρῶτα τοῖς ἐσχάτοις ἶσα ποιεῖν, ἀκοσμία καὶ ἀταξία. Ἢ
διατί σὺ πρὸ ἡμῶν ἀξιοῖς ἐγγὺς ἑστᾶναι τοῦ θείου, καὶ τῶν
πολλῶν συγκεκυφότων τοῖς πράγμασιν αὐτὸς ἀθρόον μετεωρίζῃ
καὶ τοῖς κρείττοσιν ὁμιλεῖς γένεσιν; Ἀλλὰ καὶ ὁ ἀὴρ πλέον ἡμῶν
45 πεφώτισται ὅτι μᾶλλον ἐγγίζει τῷ θείῳ φωτί· σὺ δ' ἄρα ἡμᾶς ἐν
ἴσῳ ταῖς ἐλπίσι καταπυρσεύεις. Εἶτα δοκεῖς προὔργου τι πρὸς
ἀρετὴν ποιεῖν; Τὰ δὲ τῆς ἀναλογίας ποῦ;

Ἀνῄρηται δέ σοι καὶ τὰ μέτρα τῶν διατάξεων· καὶ οὐδαμοῦ
τάξις, ἀλλ' ἀλογίας πάντα μεστὰ καὶ συγκέχυται. Ὡς θαυμάσο-
50 μαί σου τὸ πρός με κοινωνικόν εἰ παμπληθῆ μοι τὴν ἑστίαν
ποιήσειας καὶ κατῖσον με τῷ Σκύθῃ τιμήσειας. Ἡ δέ μοι πολλὴ
περὶ τοὺς λόγους διατριβὴ μάτην ἄρα ἐσπούδασται εἰ ἔξεστί μοι ἐν
ἴσῳ τοῖς ἡμιόνοις συγκοινωνεῖν σου τοῦ πρώτου λογίου καὶ διὰ
λόγου τῷ λόγῳ προσομιλοῦντος.

55 Ἦσάν ποτ' ἦσαν ἄλκιμοι Μιλήσιοι, ἡνίκα τοῖς ἐμοῖς λόγοις
ὡς θείοις ὡμίλεις χρησμοῖς· καὶ τὴν γλῶτταν ἐθαύμαζες σχεδιά-
ζουσάν τε καὶ ὑψηλολογοῦσαν ὁμοῦ. Νῦν δέ σοι καὶ ἀγνοούμεθα
τὰ πολλά, καὶ περὶ ἡμῶν ἑτέρων πυνθάνῃ, καὶ τοῖς ἐγκωμιάζου-
σιν ἀπιστεῖς. Καὶ πάλαι μὲν ὥσπερ δὴ λόγιον τὴν ἐμὴν ἀπεγρά-
60 φου φωνήν· νῦν δὲ ἐμφράττεις τὴν ἀκοὴν εἴ τι που φθέγξομαι,
δεδοικὼς ἄρα τῶν ἐμῶν λόγων τὸ θέλγητρον μήπως δή σε

41 τὸ – ἀταξία: cf. Psel. Ἐγκωμιαστικὸς εἰς ... Μιχαὴλ τὸν Κηρουλλάριον = Or. fun. I 1,30,30–33 οὐ γὰρ ἂν ὑπερεκταθείη τὴν τοῦ ἀγγέλου ἀξίαν, ὥσπερ οὐδ' ἐκεῖνος τοῦ κρείττονος, οὐδ' οὗτος τοῦ ὑπερκειμένου· οὕτω γὰρ ἂν συγχυθείη τὰ πάντα, καὶ ἀκοσμία τὸ πᾶν, ἀλλ' οὐ κόσμος ἔσται τὴν τοῦ ὀνόματος σημασίαν δυνάμενος ‖ **47** τὰ δὲ – ποῦ: cf. Π 207,9–10 οὐ πληρώσεις αὐτὸς τὴν ἀναλογίαν; ‖ **52–53** ἐν – ἡμιόνοις: cf. Π 206,39 οὐχ ὥς τις ἔφη «ἐν ἡμιόνοις μέσοις ἡμίθεος» πέφυκας ‖ **55** ἦσάν ποτ' – Μιλήσιοι: proverbium, CPG I 152 (nr. 80); cf. Synes. Cyren. Epist. 81,10 et Suda η 572 ἦσαν, πότ' ἦσαν ἄλκιμοι Μιλήσιοι: παροιμία ἀπὸ χρησμοῦ. ἐπὶ τῶν ποτε εὖ, εἶτα ἑτέρως γεγονότων et π 61 πάλαι ποτ' ἦσαν ἄλκιμοι Μιλήσιοι: ἐπὶ τῶν ποτε ἀκμασάντων, νῦν δὲ ἀσθενῶν ὄντων. cf. Π 118,48 ‖ **55–57** ἦσάν – ὁμοῦ: cf. Π 207,13–15 ἐπῄνεσας δέ μοι ποτέ καὶ λόγου κάλλος, καὶ ἁρμονίας συνθήκην, καὶ νοῦ μέγεθος, καὶ πρὸς παθητικὴν συγκαταβέβηκας ἔντευξιν

καταμαγεύσας ἀπέλθω. Ἀλλὰ θάρρει, κρείττων εἶ τῶν ἐμῶν ἐπῳδῶν· θυραυλοῦσι γάρ σοι οἱ ἐμ[οὶ λόγοι, ἀλλ' οὐ]κ εἰσρέουσι τῇ ψυχῇ· ἐγὼ δέ σε καὶ τῆς θυραυλίας ἀφίημι, καὶ στραφεὶς ὁμίλει θεῷ· ἡ γὰρ κλίμαξ σοι πρόχειρος, καὶ οὐδέν σοι τὸ κατιέναι· 65
ἀναβαίνεις γὰρ αὖθις ὁπότε καὶ βούλοιο.

209. Τῷ πρωτοσυγκέλλῳ τῷ Παρασπονδύλῳ

S 118 [P], Cre 23 [H]

Οὐκ ἀπεψύγη μοι τὰ τῆς ἀγάπης, ἄνθρωπε τοῦ θεοῦ, καὶ ἰσόψυχε κύριέ μου, καὶ ἡγεμών μου καὶ γνωστέ μου, καὶ γνῶστα μου, οὐδ' ἀπέσβεσται τὰ τῆς φιλίας καὶ εἰς σποδὸν διαλέλυται. Μὴ οὕτω μανείην ὡς καὶ τοῦ φιλικοῦ καθήκοντος λήθην λαβεῖν καὶ

62–64 κρείττων – ἀφίημι: Synes. Cyren. Περὶ βασιλείας 29,27–28 θυραυλήσουσιν οἱ λόγοι περὶ τὰ ὦτα. cf. Psel. Χρονογραφία VII,171 (=VIIc7), Κατηγορία τοῦ ἀρχιερέως = Or. for. 1,1081–1083, Ἐγκώμιον εἰς τὸν ... Ἰωάννην τὸν Κρουστουλᾶν ἀναγνόντα ἐν τῇ Ἁγίᾳ Σορῷ = Or. min. 37,285–286, Εἰς τὸ 'τὸ γὰρ ἦν καὶ ἔσται ...' = Theol. I 87,84–85, et Π 256,15–16, Π 268,49–51, et Π 512,13–15 ‖ **65–66** ἡ – βούλοιο: cf. Gen. 28,12 καὶ ἰδοὺ κλίμαξ ἐστηριγμένη ἐν τῇ γῇ, ἧς ἡ κεφαλὴ ἀφικνεῖτο εἰς τὸν οὐρανόν, καὶ οἱ ἄγγελοι τοῦ θεοῦ ἀνέβαινον καὶ κατέβαινον ἐπ' αὐτῆς **1** ἀπεψύγη – ἀγάπης: cf. e.g. Bas. Caes. Epist. 91,1 et 172,1 ἐψύγη τῶν πολλῶν ἡ ἀγάπη | ἄνθρωπε – θεοῦ: cf. IV Reg. 1,9 cum e.g. Greg. Naz. Ἐπιτάφιος εἰς τὸν πατέρα ... = Or. 18,1 et Psel. Βίος καὶ πολιτεία ... Αὐξεντίου ... = Or. hag. 1a,464–465, Π 97,2–3, Π 101,1–2, et Π 210,1 ‖ **1–2** ἄνθρωπε – μου[3]: Ps. 54,14 σὺ δέ, ἄνθρωπε ἰσόψυχε, ἡγεμών μου καὶ γνωστέ μου. cf. Psel. Λόγος εἰς τὴν σταύρωσιν = Or. hag. 3a,794, Π 53,26, Π 92,1, Π 100,1, Π 163,1, Π 304,2, Π 462,2, Π 494,1, Π 508,1, Π 551,1, et Π 553,1 ‖ **3–4** μὴ – μανείην: iunctura saepe in Luciano laudata, cf. e.g. Ἀναβιοῦντες ἢ Ἀλιεύς 37 et Ἑταιρικοὶ διάλογοι 2,4; cf. etiam e.g. Ael. Arist. Πρὸς Πλάτωνα ὑπὲρ τῶν τεττάρων 126,26 et Suda μ 145. cf. Psel. Κατηγορία τοῦ ἀρχιερέως = Or. for. 1,2768, Ἐγκώμιον εἰς ... Νικόλαον μοναχὸν ... = Or. fun. I 10,1,12, Ἐγκώμιον εἰς τὴν φθεῖρα = Or. min. 28,121, Εἰς τὸ 'νοῦς μὲν οὖν ἤδη καὶ αἴσθησις' = Theol. I 90,85, et Π 7,51, Π 55,12, Π 100,13, Π 131,18–19, Π 139,62, Π 145,49, Π 277,2, Π 291,31–32, et Π 454,105

63 ἐμοὶ λόγοι, ἀλλ' οὐκ suppl. S ‖ **ep. 209** P 217r, H 47v–48v, r fasc. 20 (= H); tit. P S: om. H Cre ‖ **2** ἡγεμόν H ‖ **3** εἰς σποδὸν P S: ἡ σποδιὰ H Cre

5 ἀμνημονῆσαι χαρίτων τῶν σῶν! πυρὸς γὰρ παντὸς εἰμί σοι τὰ πρὸς στοργὴν φλογωδέστερος, καὶ θερμότερος, καὶ κατηνθράκωται ταῦτα παρ' ἐμοί, καὶ καθ' ἑκάστην ἀναζεῖ, καὶ ἀνάπτεται, καὶ ἐκ σπινθῆρος πυρὸς πῦρ ἐξαίρεται διαέριον, καὶ μάλιστα σοὶ καὶ τοῖς οἷος σύ, παρ' οἷς καὶ ὁ τῆς φιλίας ὅρος 10 ἀληθεύει καὶ οὐ διαψεύδεται, ἐπεὶ τοῖς γε παρὰ κρατῆρι μόνῳ τοὺς φίλους γνωρίζουσι πάλαι καὶ ἀπεμαράνθη, καὶ κατεσπόδωται.

Καὶ τὰ μὲν ἡμέτερα τοιαῦτα, καὶ ἐν τούτοις ἐσμέν, καὶ ζῶμεν τοῖς ἀγαπῶσι μόνοις, καὶ τοῦτο δὴ τὸ ἀποστολικόν, ὅσῳπερ «ἔξω ἡμῖν διαφθείρεται ἄνθρωπος», τοσοῦτον «ὁ ἔσω» πρὸς τούτους 15 «ἀνακαινοῦται»· τοῖς δέ γε λοιποῖς καὶ ἀπετεφρώθη ἤδη ἢ μᾶλλον ἀπωστρακώθη· καὶ τὸ τῆς Νιόβης πάθος ἀπελιθώθην· αἱ γὰρ τῶν προλαβόντων ἀνέμων στροβιλώδεις καταφοραί, καὶ ἡ Θρᾳκικὴ χιὼν ἐκείνη τῶν περιστάσεων, καὶ ἡ ὀλέθριον τετριγυῖα χάλαζα μικροῦ δεῖν ἐξέτριψέ με παντάπασι, καὶ κατέψυξε, καὶ λίθινον ἢ 20 κρυστάλλινον ἀπέδειξεν ἄνθρωπον, ἄχρηστον πρὸς ἅπαν λυσιτελὲς καὶ ἀκίνητον.

8 πῦρ – διαέριον: Psel. Ἐγκώμιον εἰς τὸν Μεταφραστὴν ... = Or. hag. 7,76 ἐξαρθεῖσα οἱονεί τις πυρσὸς διαέριος. iunctura Pselliana in Nic. Chon. Or. 14 (141,10–11) laudata? ‖ **10–11** τοῖς – γνωρίζουσι: cf. Karath. 73–74 **13–15** ὅσῳπερ – ἀνακαινοῦται: II Cor. 4,16 εἰ καὶ ὁ ἔξω ἡμῶν ἄνθρωπος διαφθείρεται, ἀλλ' ὁ ἔσω ἡμῶν ἀνακαινοῦται ἡμέρᾳ καὶ ἡμέρᾳ ‖ **16** τὸ – ἀπελιθώθην: locus communis; cf. e.g. CPG II 544–545 (nr. 11) et Aphth. Προγυμνάσματα 11,4–6 ‖ **18** ἡ – χάλαζα: Greg. Naz. Εἰς τὸν μέγαν Βασίλειον ... = Or. 43,30 νέφος χαλάζης πλῆρες καὶ τετριγὸς ὀλέθριον

5 ἀμνημονῆσαι P H Cre: ἀμνημονεῦσαι post corr. P S | πυρὸς γὰρ H Cre: πρὸ δὲ P S ‖ **7** κατηνθράκωται P S corr. Cre: καντηνθράκωται H ‖ **8** καὶ[1] – ἐξαίρεται P S: om. H Cre ‖ **9** οἷος σύ : οἵοσσιν (et υἱέσιν vel τοῖς σοῖσιν dubitanter prop.) Cre | καὶ[2] P S: om. H Cre ‖ **10** διαψεύδεται P S: διέψευσται H Cre | γε H Cre: om. P S ‖ **10–11** τοὺς φίλους P S: τὰ τῆς φιλίας H Cre ‖ **12** μὲν : κὲν Cre ‖ **13–14** ἔξω – ἄνθρωπος P S: ἔξωθεν ἄνθρωπος διαφθείρεται H Cre **14** τούτους H Cre: τούτοις P S ‖ **15** λοιποῖς P S: πολλοῖς H Cre | καὶ P S: om. H Cre ‖ **16** ἀπελιθώθην P S: ἀπελιθώθη H Cre ‖ **18** ὀλέθριον H Cre: ὀλεθρίως P S ‖ **19** κατέψυξε H Cre: ἀπέτυξε P ἀπέψυξε S ‖ **20** κρυστάλλινον scripsi: κρυστάλινον P H S Cre ‖ **21** ἀκίνητον P S: ἀνόνητον H Cre

Οὕτω κατειργάσθην ταῖς πολλαῖς καὶ βαρείαις ἐπαγωγαῖς· οὕτω ταῖς προηγησαμέναις ἐκδεδαπάνημαι μάστιξι· διὰ ταῦτα, καὶ ζῶν, νεκρὸς εἶναι λογίζομαι, καὶ νεκρὸς τυγχάνων, ἄκλαυστος μένω καὶ ἄταφος, καὶ φόρτος εἰμὶ τῇ γῇ περιττὸς καὶ ἀνόνητος· 25 καὶ τὸ δὴ χεῖρον, ὅτι μηδὲ κειμένῳ σπένδεταί μοι τὰ λυπηρά, ἀλλ' ἐπιστρατεύεται καὶ αὐτῷ μου τῷ πτώματι, γυπῶν τρόπον ἢ κοράκων τινῶν, καὶ πάντοθεν διασπαράττεταί μοι τὸ δύστηνον σαρκίον, καὶ διαξέεται, οὕτω τῆς παντεφόρου δίκης δικαιωσάσης, δίκας ὑπέχειν με μέχρι τέλους τῶν πολλῶν ἁμαρτάδων ἐξ ὧν αἱ 30 τοιαῦται κολάσεις τοῖς πταίουσιν ἀποτίκτονται.

Διὰ ταῦτα ἀλγῶ καὶ ὀδυνῶμαι, δοῦλε τοῦ θεοῦ, καὶ φέρειν οὐκ ἔχων, τὴν ζωὴν ἀπολέγομαι· ἐκτήκει γάρ μου ταῦτα τὸν μυελόν, καὶ τὸν ἡγεμόνα νοῦν ἐκτυφλοῖ, καὶ τὴν γλῶτταν ξηραίνει, καὶ τὴν χεῖρα συστέλλει, καὶ ναρκᾶν ἀναπείθει, καὶ μήτε γράφειν 35 βιάζεται, μήτε λέγειν, μήτ' οὖν ἐνεργεῖν, ἀλλ' ὡς ὑπόκωφον

23 ἐκδεδαπάνημαι μάστιξι: cf. Psel. Σελέντιον δημηγορηθὲν παρὰ βασιλέως κῦρ Μιχαὴλ τοῦ Δούκα = Or. min. 3,84 ἐκδεδαπάνημαι τῷ ἔρωτι πρὸς ὑμᾶς **25** φόρτος – γῇ: cf. Hom. Il. 18,104 et Od. 20,379 ἄχθος ἀρούρης cum Psel. Πρὸς τοὺς βασκήναντας αὐτῷ τῆς τοῦ ὑπερτίμου τιμῆς = Or. min. 9,12 **24–29** ἄκλαυστος – διαξέεται: cf. Soph. Ἀντιγόνη 29–30 ἐᾶν δ' ἄκλαυτον, ἄταφον, οἰωνοῖς γλυκὺν / θησαυρὸν εἰσορῶσι πρὸς χάριν βορᾶς cum Eurip. Φοίνισσαι 1634 ἐᾶν δ' ἄκλαυτον, ἄταφον, οἰωνοῖς βοράν et Ἑκάβη 30 ἄκλαυτος ἄταφος ‖ **29** τῆς – δίκης: locus communis; cf. e.g. Phot. Epist. 99,15 ‖ **33–39** ἐκτήκει – ἠλιθιώτατον: cf. Greg. Naz. Ἀπολογητικός = Or. 2,71 ταῦτά μοι τὸν μυελὸν ἐκτήκει, καὶ δαπανᾷ τὰς σάρκας, καὶ οὐκ ἐᾷ θρασὺν εἶναι καὶ ἄνω βλέποντα· ταῦτά μοι ταπεινοῖ τὴν ψυχήν, καὶ τὸν νοῦν συστέλλει, καὶ τῇ γλώσσῃ δεσμὸν ἐπιτίθησι, καὶ οὐ περὶ προστασίας εἶναι ποιεῖ τὸν λόγον, οὐδὲ τοῦ κατορθοῦν ἄλλους καὶ διευθύνειν, ὃ πολλῆς ἐστι τῆς περιουσίας ‖ **34** τὸν – νοῦν: iunctura philonica (cf. e.g. Phil. Jud. Περὶ τῆς κατὰ Μωυσέα κοσμοποιίας 69) saepe laudata; cf. Greg. Naz. Εἰς τὰ ἅγια Φῶτα = Or. 39,7 |τὸν – ἐκτυφλοῖ: cf. e.g. Anast. Sinait. Ὁδηγός 2,8,8–9 διὰ τὸ πηροῦν τὸν νοῦν ἤγουν ἐκτυφλοῦν et Max. Conf. Κεφάλαια περὶ ἀγάπης 4,77,9–10 τῶν μολυνόντων ἡμᾶς καὶ τὸν νοῦν ἡμῶν ἐκτυφλούντων παθῶν. cf. etiam Psel. Τίς ὁ παράδεισος, τί τὸ τῆς ζωῆς ξύλον καὶ τί τὸ ξύλον τῆς γνώσεως; = Theol. II 9,30–33 ὁ σοφιστὴς τῆς κακίας … τὴν ἡγεμονίαν τοῦ νοῦ κατασύρεται

22 οὕτω P S: οὕτως H Cre | ἐπαγωγαῖς P S: om. H Cre ‖ **26** χεῖρον P S: μεῖζον H Cre ‖ **27** ἐπιστρατεύεται P S: ἐπιστρατεύονται H Cre | γυπῶν τρόπον P S: τρόπον γυπῶν H Cre ‖ **30** δίκας – με P S: ὑπέχειν με δίκας H Cre ἁμαρτάδων P S: μου ἁμαρτιῶν H Cre ‖ **36** ὑπόκωφον P S: ὑπόκουφον H Cre

ὁδεύειν ἢ καὶ ὑπόληρον, καὶ (ἄλλως εἰπεῖν) ἀμουσότατον ὄντα, καὶ νοῆσαι ἀλογιστότατον, καὶ πρᾶξαί τι τῶν δεόντων ἠλιθιώτατον.

40 Διὰ ταῦτα «σταθμὸν ἔσχατον» κατὰ τὸν Ἱερεμίαν ἐπιζητῶ, καὶ πρὸς γωνίαν ἐμαυτὸν συνωθῶ, καὶ κλίνην ἄψυχον, καὶ γῆς ὑποδῦναι ποθῶ τὰ μυχά, καὶ Ἅιδου περιβαλέσθαι κυνῆν, ἵνα μὴ ὡς ἀπαίσιόν τι τέρας τοῖς πᾶσιν ὁρῶμαι καὶ κακὸν δυσοιώνιστον.

Διὰ ταῦτα καὶ τὰς θρηνούσας καλῶ μέν, οὐχ εὑρίσκονται δέ, 45 καὶ ὑπομένω τινὰ συλλυπούμενον πλὴν οὐχ ὑπάρχει· ἀμέλει τοι καὶ σκότῳ συγκλείω, τὸ ἀπρόϊτον ἐμαυτῷ προοικονούμενος, ἵνα καὶ ἀὴρ συμπενθῇ μοι καὶ τἆλλα στοιχεῖα συγκλαίῃ καὶ συνοδύρηται. Ἐκ τούτων ἐπλήγην ὡσεὶ χόρτος καὶ ἐξηράνθην, καὶ ὡσεὶ

37–41 ὑπόληρον, καὶ (ἄλλως εἰπεῖν) ἀμουσότατον ὄντα, καὶ νοῆσαι ἀλογιστότατον, καὶ πρᾶξαί τι τῶν δεόντων ἠλιθιώτατον … καὶ πρὸς γωνίαν ἐμαυτὸν συνωθῶ, καὶ κλίνην ἄψυχον: cf. Niceph. Call. Xanth. Ἐκκλησιαστικὴ ἱστορία 13,28,53–56 ὑπόληρός τις καὶ τὸ φρονεῖν διασεσεισμένος· εἰπεῖν μὲν ἀμουσότατος, ἐννοῆσαι δέ τι τῶν δεόντων ἠλιθιώτατος, πρᾶξαι δὲ ῥαθυμότατος, βραχύ τι τῶν ἀψύχων ἀπεοικώς, κλίνης καὶ γωνίας ἄξιος ‖ **40** σταθμὸν – ἐπιζητῶ: Greg. Naz. Περὶ δόγματος καὶ καταστάσεως ἐπισκόπων = Or. 20,1 σταθμὸν ἔσχατον ἐπιζητῶ, κατὰ τὸν Ἱερεμίαν et Ier. 9,1 τίς δῴη μοι ἐν τῇ ἐρήμῳ σταθμὸν ἔσχατον; cf. Psel. Λόγος εἰς … τὸν Μονομάχον = Or. pan. 2,569 σταθμὸν ἔσχατον ἐπεζήτεις ‖ **41** πρὸς – ἄψυχον: cf. Plut. Εἰ πρεσβυτέρῳ πολιτευτέον 788b1–2 ἐν κλίνῃ διημερεύων ἢ καθήμενος ἐν γωνίᾳ στοᾶς ‖ **42** Ἅιδου – κυνῆν: Hom. Il. 5,845; cf. CPG I 15–17 (nr. 41) et II 4 (nr. 16) et 649 (nr. 85); cf. etiam Psel. Πρὸς τὸν λοίδορον ῥίψαντα χάρτην = Or. min. 7,4, et Π 249,41 et Π 275,95–96 ‖ **48** ἐπλήγην – ἐξηράνθην: Ps. 101,5 ἐπλήγη ὡσεὶ χόρτος καὶ ἐξηράνθη ἡ καρδία μου. cf. Psel. Εἰς τὸ ‘ἐπλήγη ὡσεὶ χόρτος, καὶ ἐξηράνθη ἡ καρδία μου’ = Theol. I 18
48–49 ὡσεὶ^{2} – ἀντανηρέθην: Ps. 108,23

37 καὶ ὑπόληρον P S: ὑπόλησον H Cre | ἀμουσότατον H Cre: με ἀμουσότατον P S ‖ **38** καὶ νοῆσαι P S: νοῆσαι δ᾽ H Cre ‖ **38–39** ἠλιθιώτατον H Cre: ἀθλιώτατον P S ‖ **40** κατὰ – ἐπιζητῶ P S: ἐπιζητῶ κατὰ τὸν Ἱερεμίαν H Cre
42 ποθῶ H Cre: δοκῶ P S ‖ **43** τι H: om. P S ‖ **45** καὶ – ὑπάρχει P S: om. H Cre | τοι H Cre: om. P S ‖ **46** σκότῳ P S: σκότον H Cre | ἐμαυτῷ H Cre: ἑαυτῷ P S

σκιὰ ἐν τῷ ἐκκλῖναι αὐτὴν ἀντανῃρέθην· καὶ οὔτε χείλη διᾶραί μοι δυνατόν, οὔτε γλῶσσαν ἐν ἀνοίξει κινήσειν τοῦ στόματος. 50

Ἀλλ' εἰ καὶ θανὼν κατακείσομαὶν Ἀΐδαο, αὐτὰρ ἐγὼ κἀκεῖθι φίλου μεμνήσομ' ἑτάροιο· εἰ γὰρ καὶ οὕτω καὶ αὐτὸ τὸ εἶναι σχεδὸν ἄνθρωπος περιῄρημαι, ἤδη σε καὶ ἀγαλματοφορῶ ἐν τοῖς τῆς καρδίας θαλάμοις καὶ περιφέρω διαπαντός, καὶ ὥσπερ εἰκόσι τισὶ καὶ στηλογραφίαις, τοῖς ἀποκομιζομένοις μοι γράμμασι, 55 διοπτρίζομαι, καὶ ἀναψύχω τῆς ψυχῆς τὸ φλεγμαῖνον καὶ παθαινόμενον. Τούτοις ἐπιστηρίζων καὶ νοῦν ἅμα καὶ βλέμμα, καθάπερ

49–50 οὔτε – δυνατόν: cf. Π 144,1 τὰ χείλη διαίρων, Π 146,148–156 τὸ δὲ «διαίρων», ὦ βέλτιστε, τίνα τρόπον σοι τέθειται, ἀφεικότι τὸ «διαιρῶν»; τὸ μὲν γὰρ αἴρειν, ἀνατάσεως σύμβολον καὶ τῆς πρὸς τὸ ἄνω κουφότητος· τὸ δὲ διαιρεῖν, αὐτὸ τοῦτο διαίρεσίς ἐστι συνεπτυγμένων μερῶν. συμπεφυκόσι τοίνυν χείλεσι, ποία τῶν λέξεών ἐστι κατάλληλος: ἡ διαιροῦσα, ἢ ἡ διαίρουσα; ἡ μὲν γὰρ διαιροῦσα διαστέλλει τὴν πτύξιν ἐπίσης ὁμοῦ, ἡ δὲ διαίρουσα τὸ μὲν ἄνω χεῖλος κουφίζει ἀνοιγομένου τοῦ στόματος, τὸ δὲ κάτω μᾶλλον χαλᾷ, μᾶλλον δὲ οὐδ' ἐκεῖνο διαίρει· ἀκίνητοι γὰρ τὴν ἄνω γένυν ἐσμέν, et Π 197,10 διαστέλλω τὰ χείλη ‖ **50** ἐν – στόματος: Eph. 6,19 **51–52** εἰ – ἑτάροιο: Hom. Il. 22,389–390. cf. etiam Synes. Cyren. Epist. 123,2 et 124,2 et Π 4,5, Π 25,36–37, et Π 42,50 ‖ **53–54** ἤδη – διαπαντός: cf. Synes. Cyren. Epist. 123,7–8 τῆς ἱερᾶς σου καὶ γλυκείας ψυχῆς ἐπὶ μέσης καρδίας ἄγαλμα περιφέρω et Π 7,16 ἄγαλμά σε τῇ ψυχῇ περιφέρω ‖ **53–55** ἤδη – στηλογραφίαις: cf. Ioann. Maurop. Canon in s. Nicolaum 8,9,387–395 νυκτός τε καὶ ἡμέρας ἐπιποθῶν σε / ὁρᾶν τὸν ἐμὸν ἀντιλήπτορα / τῆς σῆς μορφῆς, / ὡς ἐν κηροχύτῳ γράψας γραφῇ / ἀΰλοις πόθου χρώμασιν / ἄϋλον εἰκόνα ταύτην χρυσοῦν, / ὡς ἄγαλμα ἐν μέσῃ / θαλάμῃ τῆς καρδίας, / ὡς ἐν θαλάμῳ ἀνεστήλωσα ‖ **53** ἀγαλματοφορῶ: vox Philonica; cf. e.g. Περὶ τῆς κατὰ Μωυσέα κοσμοποιίας 18 cum Suda α 136 ἀγαλματοφορούμενος: ἀγάλματα ἤτοι τύπους τῶν νοηθέντων φέρων ἐν ἑαυτῷ. οὕτως **Φίλων**. cf. Π 282a,4 = Π 282b,4 ‖ **53–54** τοῖς – θαλάμοις: cf. Melet. Περὶ φύσεως ἀνθρώπου 73,2–3 τῶν τῆς καρδίας θαλάμων ‖ **56** καὶ[1] – φλεγμαῖνον: cf. Π 31,72–73 καταπράϋνε τῆς ψυχῆς τὸ φλεγμαῖνον. cf. etiam Ἐγκώμιον εἰς τὸν … Ἰωάννην τὸν Κρουστουλᾶν ἀναγνόντα ἐν τῇ Ἁγίᾳ Σορῷ = Or. min. 37,168 φλεγμαινουσῶν ψυχῶν

49 ἀντανερέθην Cre ‖ **50** ἐν H Cre: om. P S ‖ **51** θανὼν κατακείσομαὶν S: θανὼν κατακείσομαιν P θανόντων καταλήθοντ' εἰν H Cre | κἀκεῖθι P S: κεῖθι H Cre ‖ **52** καὶ οὕτω H Cre: om. P S ‖ **54** διὰ παντός S ‖ **55** καὶ P S: om. H Cre | στηλογραφικαῖς dubitanter prop. Cre | ἀποκομιζουμένοις Cre ‖ **57** καὶ[1] om. Cre

ἀγάλμασιν ἐπισεμνύνομαί τε καὶ ἐναβρύνομαι. Καὶ τὸν πατέρα τῶν λόγων οἷος ἐν τοῖς γεννήμασι καταμανθάνω τρανότερον. Καὶ
60 βούλομαι μέν σοι προσομιλεῖν (ναὶ μὰ σέ!) καὶ προσλαλεῖν τὰ συνήθη καὶ τὴν φιλίαν συνδέοντα, πλὴν ἀτονῶν, κατοκνῶ τῆς πηγῆς τῶν λόγων συγχωσθείσης τέλεον καὶ ἀποξηρανθείσης μοι, εἰ μή τις αὐτὴν ἀποφράξει καὶ ἀποστομώσει ποτὲ θυμηδία καὶ μεταβολὴ πρὸς τὸ βέλτιον.

65 Ἀλλὰ χαῖρέ μοι χωρίον Μουσῶν, σοφίας καταγώγιον, ἀρετῶν ἐνδιαίτημα, νόμων ταμεῖον, ἀγάπης φύλαξ, φιλίας λαμπτήρ, καὶ φυλάττοιό μοι μέχρι τέλους τοιοῦτος, καὶ φυλάττοις ἀδιάρρηκτον τῆς ἀληθοῦς φιλίας τὸν σύνδεσμον, ἵνα καὶ πρῶτος καὶ μόνος ἄλλον ἑαυτὸν τὸν φίλον ὁρίζοιο. Τὰ δέ γε καθ' ἡμῶν ἐν φαρέτραις
70 ἑτοιμαζόμενα βέλη μᾶλλον δὲ κατὰ νιφάδας ἀφιέμενα, τίνος ἂν ἄψαιντο σώματος, ἀπὸ ποδῶν ἕως κεφαλῆς ἑλκομένων ἡμῶν, καὶ

58–59 τὸν – λόγων: iunctura platonica saepe laudata; Plat. Φαῖδρος 257b2 τὸν τοῦ λόγου πατέρα. cf. Psel. Μονῳδία ἐπὶ Ῥωμανῷ ῥαιφερενδαρίῳ = Or. fun. I 9,2,15, Ἐγκώμιον εἰς ... Νικόλαον μοναχὸν ... = Or. fun. I 10,25,28, Εἰς τὸ 'τρισσὴν γέννησιν οἶδεν ὁ λόγος' = Theol. I 25,80, Εἰς τὸ 'ἀπ' ἄρτι ὄψεσθε ...' = Theol. I 28,82, Εἰς τὸ 'οὗτος ὁ νῦν καταφρονούμενος ...' = Theol. I 59,194, Εἰς τὸ 'οὔτε τοῦ πατρὸς ἐκστάντος τῆς ἀγεννησίας' = Theol. I 68,71, Εἰς τὸ 'καινοτομοῦνται φύσεις' = Theol. I 69,128, et Π 285,5 ἐγὼ δὲ τούτων (scil. τῶν λόγων) πατήρ ‖ **65** χωρίον Μουσῶν: cf. Liban. Πρὸς τοὺς νέους περὶ τοῦ τάπητος = Or. 58,14,4–5 εἰς τὸ τῶν Μουσῶν ... χωρίον; etiam Liban. Προγυμνάσματα 12,22,2,1 Μουσῶν τέμενος etc. cf. Π 448a,29 ‖ **65–66** χωρίον – λαμπτήρ: cf. Π 448a,29–30 ὦ χωρίον Μουσῶν, τῶν λόγων τρόφιμε, τῶν ἀρετῶν θρέμμα, πάντων τῶν καλῶν καταγώγιον. cf. etiam Psel. Ἐπιτάφιος εἰς ... Ἰωάννην τὸν Ξιφιλῖνον = Or. fun. I 3,14,8–9 Ὄλυμπον, τὸ καὶ πάλαι μὲν ψυχῶν ἱερῶν ἐνδιαίτημα, τότε δὲ καταγώγιον θείας καὶ ὑπερφυοῦς φύσεως et Βίος καὶ πολιτεία ... Αὐξεντίου ... = Or. hag. 1c,2–3 τὸ ὄρος, τὸ μέγα τῆς ἀρετῆς αὐτῷ ἐνδιαίτημα ‖ **65** σοφίας καταγώγιον: cf. Greg. Naz. Epist. 79,1 et Ἐπιτάφιος εἰς τὸν πατέρα ... = Or. 18,1 πνεύματος καταγώγιον ‖ **69** ἄλλον – ὁρίζοιο: locus communis; cf. e.g. Synes. Cyren. Epist. 100,16–18 οὐδεὶς ἀντερεῖ τῶν Πυθαγόραν ἐπαινεσάντων, ὃς «τὸν φίλον ἄλλον ἑαυτὸν» ὡρίσατο

58 ἀγάλμασιν P S: ἄγαλμα H Cre ‖ **61** συνδέοντες Cre ‖ **62** συγχωσθεῖσα Cre ‖ **63** εἰ – ἀποφράξει P S: om. H Cre ‖ **68** σύνδεσμον P S: ὅρον H Cre | ἵνα – μόνος P S: ἀλλὰ καὶ μόνος καὶ μόνον H Cre ‖ **69** ἄλλον ἑαυτὸν H Cre: τῶν ἄλλων ἑαυτῷ P S ‖ **71** ἑλκομένων P S: ἑλκωμένων H Cre ‖ **69–73** τὰ δέ γε – ἀδύνατον H Cre: om. P S

ὁλοσώματον τὴν πληγὴν κεκτημένων, εἰ μή γε τὴν ψυχὴν αὐτὴν ἀποκτεῖναι φιλονεικοῖεν, ὅπερ ἀδύνατον;

210. Τῷ πρωτοσυγκέλλῳ τῷ Παρασπονδύλῳ

post a. 1057; a. 1059? eodem tempore ut Π 211

S 8 [P]

Ἀπαιτεῖ μὲν ἡμᾶς ὁ ἀληθὴς τῆς φιλίας ὅρος, ἄνθρωπε τοῦ θεοῦ, αὐτῶν σοι τῶν συμφορῶν κοινωνεῖν, καὶ τῶν ἴσων σοι βαρῶν ἀνέχεσθαι. Ἀλλ' ἐπειδὴ τῆς πρώτης φιλοσοφίας ὅρος τοῦτό ἐστιν, ἡμεῖς δέ κάτω που ἔτι καὶ τὴν ὑπώρειαν τοῦ κρείττονος δι' ἐπιστήμης βαδίζοντες, τὴν διὰ τῶν πραγμάτων σοι κοινωνίαν 5 ἐκκλίνοντες, πρὸς τὴν διὰ τῶν λόγων παραμυθίαν τρεπόμεθα. Οἶμαι δὲ καὶ τὴν σὴν ψυχήν, κρείττονα τὴν λογικὴν ἡγεῖσθαι παράκλησιν, ἢ τὴν διὰ τῶν πράξεων μετουσίαν.

Ἀλλὰ πρότερόν γε τοῦτο ἀλλήλοις συνομολογήσωμεν, ὅτι οὐ ταὐτόν ἐστι φιλόσοφος καὶ ἰδιώτης ἀνήρ, οὐδὲ τοῖς λόγοις 10 ἐντεθραμμένος καὶ τὴν ἄλογον τύχην ἠγαπηκώς. Ὁ μὲν γὰρ αἰσθήσεσι καὶ ἐπιθυμίαις συζῇ, ὁ δὲ λόγῳ κρείττονι σύνεστι, καὶ

1 ἄνθρωπε – θεοῦ: cf. IV Reg. 1,9 cum e.g. Greg. Naz. Ἐπιτάφιος εἰς τὸν πατέρα ... = Or. 18,1 et Psel. Βίος καὶ πολιτεία ... Αὐξεντίου ... = Or. hag. 1a,464–465, Π 97,2–3, Π 101,1–2, et Π 209,1 ‖ **3** πρώτης φιλοσοφίας: i.e. theologia, iunctura Aristotelica; cf. e.g. Psel. Συλλογαὶ διάφοροι καὶ ποικίλαι = Phil. min. II 13 (37,32–38,13), Ἑρμηνεία περὶ τῶν εἰκοσιτεσσάρων στοιχείων ... πρὸς ... Ἰωάννην τὸν λιβελλίσιον = Phil. min. I 36,197, Χρονογραφία VI,36, et Π 13a,21–22, et Π 15,44–45 ‖ **4–5** ἡμεῖς – βαδίζοντες: cf. Exod. 19–31 cum Psel. Κατηγορία τοῦ ἀρχιερέως = Or. for. 1,2398–2401 μήτε ὡς Μωϋσῆς εἰς τὸ ὄρος ἀνίτω κυρίου τῆς νεφέλης εἴσω χωρῶν μήτε ὡς οἱ ἑβδομήκοντα καὶ τῆς γερουσίας πόρρω στηκέτω μήτε ἐμφωλευέτω κάτω που πρὸς τῇ ὑπωρείᾳ. cf. etiam Psel. Εἰς τὸ 'θεὸς θεοῖς ἑνούμενός ...' = Theol. I 64,170–172, Λόγος εἰς ... Κωνσταντῖνον τὸν Μονομάχον = Or. pan. 1,293–294, et Π 275,70–72 et Π 515,12–14

ep. 210 P 193r–194r, D 271r–271v (des. mut.); tit. D: τῷ αὐτῷ (= τῷ πρωτοσυγκέλλῳ) P S ‖ **1** ὅρος P S: ἔρως D | ἄνθρωπε P S: ὦ ἄνθρωπε D **2** τῶν² – βαρῶν P S: τὸ ἶσον τοῦ βάρους D ‖ **4** τοῦ κρείττονος D: τῆς κρείττονος P S ‖ **4–5** δι' – βαδίζοντες D: βαδίζομεν P S ‖ **8** μετουσίαν P S: συνουσίαν D ‖ **9** συνομολογήσωμεν P S: συνομολογήσαιμεν D ‖ **10** τοῖς λόγοις D: λόγοις P S ‖ **12** ἐπιθυμίαις P S: τῇ ἐπιθυμίᾳ D

μετὰ τῆς ἀσφαλοῦς ἐπιστήμης, τὰ μὲν ἐκκλίνει, τὰ δὲ αἱρεῖται. Διὰ ταῦτα τῷ μὲν ἀπαιδεύτῳ καὶ μηδενὶ ἑτέρῳ ἢ αἰσθήσεσι τὰ
15 πράγματα κρίνοντι, βαρύ πως δοκεῖ ἡ ὧν ἐπιθυμεῖ ἀναίρεσις, καὶ ἀντέχεται· ταῦτα γὰρ μόνα οἶδε, καὶ μέχρι τῆς φαντασίας τούτῳ ἡ ἄνοδος· ὅθεν ἀλγεῖ, τὰ δοκοῦντα αὐτῷ ἡδέα σεσυλημένος. Ἀνὴρ δὲ φιλόσοφος ὁποῖος εἶ σύ, καὶ ἄνω βλέπειν δεδυνημένος, καὶ τὸν μετὰ σώματος βίον αἱρούμενος ὅσον ἀποζῆν, ἧττον ἀλγήσει
20 ἀντιπεριστάντων αὐτῷ τῶν πραγμάτων· οὐ γὰρ αὐτός τι πέπονθεν, ἀλλὰ τὸ προσηρτημένον αὐτῷ σῶμα, καὶ ἡ κάτω ζωή, καὶ ὁ ἐν φαντασίᾳ βίος· ὁ γὰρ λόγος ᾧ συζῆν εἵλετο ἀνάλωτος ταῖς μεταβολαῖς, καὶ οὔτε φυγὴ τοῦτον αἱρήσει ποτέ, οὔτε πατρίδος στέρησις, οὐ χρημάτων ἀφαίρεσις, οὐκ ἄλλο τι τῶν ὅσα λυπεῖν
25 οἶδε τὴν ἄλογον ζωὴν καὶ ἐν πάθεσι.

Διὰ ταῦτα, φιλοσοφωτάτη μοι τῷ ὄντι ψυχή, νῦν μᾶλλον εἴπερ ποτὲ τὸ φιλόσοφον ἐν οἷς πέπονθας ἐπιδείκνυσο. Καὶ καθαιρεθείσης σοι τῆς ἐν δόξῃ ζωῆς, ἀνίστασο πλέον ἐπὶ τὴν ἀληθεστέραν καὶ κρείττονα· ἐκ ψυχῆς γὰρ καὶ σώματος τὸ ἡμέτερον κρᾶμα,
30 ἀλλ᾽ οὐ τὸ συναμφότερον ἡμεῖς· ἀλλὰ ψυχὴ μὲν ἐσμέν, σῶμα δὲ προσηρτήμεθα· τουτὶ δὲ τὸ ἐφόλκιον βαρὺ μὲν ἄλλως καὶ γεῶδες,

26 φιλοσοφωτάτη – ψυχή: cf. Π 207,1 φιλοσοφωτάτη καί θεία ψυχή, Π 208,1 θεία ψυχή, et Π 211,1 θειοτάτη ψυχή ‖ **27** τὸ – ἐπιδείκνυσο: cf. Π 211,53 μηδὲ τὸ πάνυ μοι φιλόσοφον ἐπιδείκνυσο ‖ **27–28** καθαιρεθείσης – ζωῆς: cf. Π 206,22–23 ἐπεὶ δέ σοι μετὰ τῆς δόξης καὶ τὸ ἐπὶ τῇ δόξῃ κράτος ⟨ὁ θεός⟩ ἀπένειμε ‖ **29–31** ἐκ – προσηρτήμεθα: Plat. Ἀλκιβιάδης α´ 139c1-3 ἐπειδὴ δ᾽ οὔτε σῶμα οὔτε τὸ συναμφότερόν ἐστιν ἄνθρωπος, λείπεται οἶμαι ἢ μηδὲν αὔτ᾽ εἶναι, ἢ εἴπερ τί ἐστι, μηδὲν ἄλλο τὸν ἄνθρωπον συμβαίνειν ἢ ψυχήν. cf. Olympiod. In Gorg. 38,1,22–24 οὐδὲ γὰρ τὸ σῶμά ἐσμεν ἡμεῖς οὐδὲ τὸ συναμφότερον, ἀλλὰ ψυχὴ μόνη ὀργάνῳ τῷ σώματι κεχρημένη **31–37** τουτὶ – οὐρανόν: cf. Sap. Sol. 9,15 φθαρτὸν γὰρ σῶμα βαρύνει ψυχήν, καὶ βρίθει τὸ γεῶδες σκῆνος νοῦν πολυφρόντιδα cum Greg. Naz. Εἰς τὸν πατέρα σιωπῶντα … = Or. 16,15 εἰ γὰρ καὶ ὁ χοῦς ἐπισύρεταί τι τῆς κακίας, καὶ τὸ γεῶδες σκῆνος βρίθει τὸν νοῦν ἄνω φερόμενον …· ἀλλ᾽ ἡ εἰκὼν ἀνακαθαιρέτω τὴν ἰλὺν, καὶ ἄνω τιθέτω τὴν ὁμόζυγον σάρκα, τοῖς τοῦ λόγου πτεροῖς κουφίζουσα. cf. etiam Psel. Λόγος τοῦ ὑπερτίμου ὃς ἐπικέκληται σελέντιος = Or. min. 4,68–70, Περὶ τοῦ διὰ τί εἰσιν οἱ ἄγγελοι πτερωτοὶ … = Theol. II 38,14–15, Π 206,30–34 et Π 326,6–8

22 ἀνάλωτος D: ἀνάλωται P S ‖ **23** αἱρήσει P S: ἀναιρήσει D | οὔτε² P S: οὐ D **26–27** εἴπερ – φιλόσοφον P S: τὸ φιλόσοφον εἴπερ ποτὲ D ‖ **28** δόξῃ D: δόξαις P S ‖ **31** post βαρὺ μὲν des. D (finis quaternii)

ποικίλον δὲ καὶ πρὸς πᾶσαν ἰδέαν μεταμορφούμενον ἄλογον, συμμεταβάλλον δὲ ἔστιν ὅτε καὶ τὴν θείαν ψυχὴν καὶ πρὸς τὸ ἀλογώτερον εἶδος μεταποικίλλον, ὕλῃ πρὸς ταῦτα χρώμενον τῇ ὑπερηφάνῳ τοῦ βίου παρασκευῇ. Διὰ ταῦτα ὁ οἰκονομῶν τὰ 35 ἡμέτερα λόγος ὑφαιρεῖ τι τῆς ὕλης ἢ παντάπασιν ἀφαιρεῖ ἵνα δώσει πτερὰ τῇ ψυχῇ καὶ κουφίσῃ πρὸς οὐρανόν.

Τοιοῦτόν τι καὶ αὐτὸς πέπονθας· μᾶλλον δὲ τοιαύτης προνοίας ἠξίωσαι. Καὶ νῦν ἔστι σοι μετὰ θεοῦ ἡ ψυχή. Ἀρκετὸν μὲν γὰρ αὐτῇ καὶ τὸ σῶμα πρὸς μετουσίαν τοῦ χείρονος. Ἡμεῖς δὲ διπλα- 40 σιάζομεν αὐτῇ τὴν κακίαν· καὶ μετὰ τοῦ σώματος, καὶ τὰς ἔξωθεν κακίας ἐπιτιθέαμεν, φαντασιοσκοποῦντες αὐτῇ τὸ τῆς ἀληθοῦς ζωῆς εἴδωλον, καὶ μορφοῦντες τὴν ὕλην καὶ οἱονεὶ δελεάζοντες, καὶ διὰ τῆς ἐπικειμένης μορφῆς πρὸς τὸ ἀδιατύπωτον καταχέοντες αἶσχος. Ὅθεν ὁ προμηθούμενος ἡμῖν τὴν σωτηρίαν θεὸς τὰς 45 ἀφορμὰς ἀφαιρεῖ τῆς ἐπὶ τὰ χείρω φορᾶς τῆς ψυχῆς· καὶ ἐλευθερίαν ταύτῃ μνηστεύεται διὰ τῆς τῶν κατεχόντων ἀπαλλαγῆς.

Λέλυται γοῦν σοι ὁ τῆς ἀπάτης δεσμός· καὶ ἐλευθερωθεὶς καθαρῶς ἀπέπτης πρὸς τὸν θεόν. Οὐ πᾶσιν ὁμοία ἡ μετὰ τοῦ σώματος ζωὴ πέφυκεν. Ἀλλὰ τοῖς μὲν πάντῃ τὸ τῆς ψυχῆς ὄμμα 50 ἀπετυφλώθη, τῇ ὕλῃ καταχωσθέν, ὧν οὔτε θεὸς ἐπιστρέφεται, οὔτε λόγος ἐγείρειν δεδύνηται· οἱ δέ ἐξ ἡμισείας κεκράτηνται, μᾶλλον δὲ τῷ πλείονι μέρει ἀνεῖνται καὶ πλείων αὐτοῖς πρὸς θεὸν ἡ ῥοπή (εἰς ὃ δὴ μέτρον καὶ τὴν σὴν ἐγὼ ζωὴν τίθεμαι)· τούτων

37 πτερὰ – ψυχῇ: iunctura saepissime laudata; cf. Plat. Φαῖδρος 246c1 τελέα μὲν οὖν οὖσα (scil. ἡ ψυχὴ) καὶ ἐπτερωμένη etc. cum e.g. Herm. In Phaedr. 133,2 πτερὸν τῆς ψυχῆς ἐλέγομεν τὴν ἀναγωγὸν αὐτῆς δύναμιν et Ioann. Chrys. Πρὸς Στελέχιον, καὶ περὶ κατανύξεως 1 (PG 47 411,27–28) μετεωρίζει τῆς ψυχῆς τὸ πτερὸν πρὸς οὐρανόν. cf. Psel. Ἐγκωμιαστικὸς εἰς … Μιχαὴλ τὸν Κηρουλλάριον = Or. fun. I 1,59,36, Σελέντιον δημηγορηθὲν παρὰ βασιλέως κῦρ Μιχαὴλ τοῦ Δούκα = Or. min. 3,20–21, Εἰς τὸ ‘εἶδον ἄνθρωπον ἐν Χριστῷ …’ = Theol. I 27,78, Εἰς τὸ ‘τὸ μέν, ἵνα μένῃ …’ = Theol. I 91,110, et Π 123,30–31, Π 206,30, et Π 385,5–6 ‖ **50** τὸ – ὄμμα: locus Platonicus (Πολιτεία 533d2 τὸ τῆς ψυχῆς ὄμμα) saepe laudatus, cf. e.g. Greg. Naz. Εἰς τὸν μέγαν Βασίλειον … = Or. 43,41, et Psel. Ἐπιτάφιος εἰς τὴν ἑαυτοῦ μητέρα 1063, Ἐγκωμιαστικὸς εἰς … Μιχαὴλ τὸν Κηρουλλάριον = Or. fun. I 1, 61,43, Λόγος εἰς τὴν σταύρωσιν = Or. hag. 3a,635, et Π 211,10, et Π 360,13

55 καὶ θεὸς κήδεται, καὶ ὁ λόγος δύναμιν ἔχει πρυτανεύειν τοῖς πράγμασι τὴν μετάθεσιν.

Ὅλον οὖν σε ὁ λόγος προσείληφε τὸν πρὸς τὰ τῆδε δεσμὸν λελυκώς. Μὴ τοίνυν, ἄριστε φιλοσόφων, πρὸς τὴν λύσιν δυσανασχέτει, μηδὲ οἴου τὴν προμήθειαν ἐγκατάλειψιν· ἀλλὰ τὴν πρὸς
60 τὰ δοκοῦντα χείρω μεταβολὴν τροπὴν οἴου πρὸς τὰ ὡς ἀληθῶς κρείττονα. Οὐ διφυής ἐστιν ἡμῶν ἡ ψυχή, ὥστε τὸ μὲν ταῖς κάτω ὑπηρεσίαις δουλεύειν δύνασθαι, τὸ δὲ πρὸς τὴν θείαν ζωὴν μετατίθεσθαι· ἀλλὰ μονοειδῶς ἔχει τῆς φύσεως, καὶ εἰσὶν αὐτῇ ἐφ' ἑκάτερα τροπαί, ὥσπερ πλαστίγγων ῥοπαί· διὰ ταῦτα νῦν μὲν
65 μετέωρος ἵσταται, νῦν δὲ δῦσα κατὰ τοῦ σώματος ὅλῳ βάρει πρὸς τὸν τοῦ βίου τούτου κατώλισθε βόθυνον.

Σὺ δὲ ἐβιάζου μερίζειν αὐτήν. Καὶ τῷ μὲν πλείονι μέρει ἐπόθεις θεὸν καὶ ἡρπάζου πρὸς αὐτὸν δι' εὐχῆς· τῷ δ' ἐλαχίστῳ ἐδίδως τι καὶ τῷ σώματι. Ἀλλ' ὁ τῆς σῆς ψυχῆς ἐραστὴς ἐζηλοτύ-
70 πησε καὶ πρὸς ἕτερον μεταφερόμενον ἐραστήν· διὰ ταῦτα τὴν σωματικήν σοι ἀποσκευάσας ζωήν, ὅλον πρὸς ἑαυτὸν ἐφειλκύσατο. Μάγος ἐστὶν (εἴ με οὕτω δεῖ λέγειν) ἡ τοῦ πολυμόχθου τούτου βίου ζωή· ἐπεὶ γὰρ οἰκείου ἀπορεῖ κάλλους δι' οὗ θέλγειν ἡμᾶς δυνήσεται, ἴϋγξι τισι καὶ θελγήτροις καὶ κομμωτικοῖς μορφώμασι
75 καὶ κάλλεσιν ἐπιθέτοις καὶ κατατέχνοις ἰδέαις πρὸς ἑαυτὴν ῥέπειν ποιεῖ. Ἀλλ' ὅ γε θεὸς ἀνακαλύπτει τὸ αἶσχος αὐτῆς, τὴν ἐπίπλαστον ἀφαιρούμενος καλλονήν, καὶ ἀπελέγχων αὐτῆς τὸ δρᾶμα, καὶ ὑποδεικνὺς τὴν ὑπόκρισιν. Ὅρα γοῦν ὅπως σοι νῦν ὁ πρώην βίος μεμίσηται· ἀφήρηται γὰρ αὐτοῦ τὸ κάλλος καὶ τὸ χρῶμα ἠχρείω-

55–56 πρυτανεύειν – μετάθεσιν: Greg. Naz. Κατὰ Ἰουλιανοῦ στηλιτευτικὸς α΄ = Or. 4,48 μεταβολὴν πρυτανευόντων τοῖς πράγμασιν. cf. Psel. Χρονογραφία VI,218 (=VIa 15) μηδὲ τὴν ἀρίστην μεταβολὴν πρυτανεῦσαι τοῖς πράγμασι et Π 45,12 μεταβολὰς χρηστοτέρας πρυτανεύειν τοῖς πράγμασιν. cf. etiam Π 92,25 βουλόμενος διὰ τούτων κατάστασιν πρυτανεῦσαι τοῖς πράγμασι cum Ἐγκωμιαστικὸς εἰς ... Μιχαὴλ τὸν Κηρουλλάριον = Or. fun. I 1,16,50–51 κατάστασιν παρ' ἑαυτῆς χρόνον ὅσον βραχὺν τοῖς πράγμασι πρυτανεύσασα, Ἕτερος λόγος πρὸς τὸν αὐτὸν βασιλέα (scil. Κωνσταντῖνον τὸν Μονομάχον) = Or. pan. 4,109–110 τὴν γεωμετρικὴν τοῖς πράγμασιν ἰσότητα πρυτανεύουσαι, et Εἰς ... τὸν Μονομάχον = Or. pan. 7,78–79 τὴν ἰσότητα πρυτανεύεις τοῖς πράγμασι

55–56 πρυτανεύειν – πράγμασι scripsi (cf. app. font.): πρυτοις πρὸς P πρυτοις? πρὸς S ‖ **67** ἐβιάζου scripsi: βιάζου P S

ται· ὅθεν τὸ αἶσχος μόνον ὁρῶντί σοι ἐκ τοῦ εἰκότος ἕπεται μισεῖν 80
σε τοῦτον καὶ ἀποστρέφεσθαι.

Πότερον οὖν βούλει, λογιώτατε ἀδελφέ, φιλόθεον, ἢ φιλόκοσμον ὀνομάζεσθαι; φιλόσοφον, ἢ φιλόϋλον; Πάντως ἂν εἴπῃς τὰ πρῶτα. Ταῦτα δὲ νῦν σοι καθαρῶς πάρεστιν. Ὅρα γοῦν οἷα ἀνθ' οἵων ἠλλάξω: φιλοσοφίαν, ἀντὶ χρημάτων περιουσίας, καὶ κτημά- 85
των περιβολῆς· φιλοθεΐαν, ἀντὶ τοῦ πρὸς τὰ χείρονα ἔρωτος· τὴν μετὰ τῶν ἀγγέλων ζωήν, ἀντὶ τῶν πολλῶν δορυφόρων· τὸ ἀγχοῦ ἑστάναι θεοῦ, ἀντὶ τῆς πρὸς τὸν κάτω βασιλέα οἰκειώσεως καὶ φιλίας. Οὐκ ἀγνοεῖς μὲν γὰρ ὅ σοι ἐρεῖν βούλομαι, ἐρῶ δὲ ὅμως. Μέχρις ἂν μετὰ τοῦ σώματος ἡμῶν ἡ ψυχὴ ζῇ, ἴση πως τοῖς πᾶσι 90
δοκεῖ· ἀπαλλαγείσῃ δὲ ἡ ῥοπὴ τοῖς μὲν φιλοσοφήσασιν ἄνω, τοῖς δὲ ἀφιλοσόφως ζήσασι κάτω. Μὴ οὖν ὅτι καὶ αὖθις κατέχῃ τῷ σώματι καὶ οὐδέν σοι μέγα μετὰ τὰς ἀβουλήτους περιστάσεις συμβέβηκε σκόπει, ἀλλ' ὅτι συμβήσεται καθαρῶς ἔλπιζε, εἴγε κατὰ τὰς θείας ἐλπίδας πεπολιτεύμεθα. 95

Ἔγωγ' οὖν μαργαρίτῃ σοι πάλαι ἀπείκαζον τὴν ψυχήν, λευκὸν μὲν καὶ τότε, ἀλλ' ἐκ μέρους καὶ κηλίσι κατεστιγμένον τισί· νῦν δὲ ὅλην ὁρῶ οὐ τῶν στιγμάτων μόνον ἀπηλλαγμένην, ἀλλὰ καὶ ἀκριβῶς ἐσφαιρωμένην καὶ πρὸς θεὸν ἄνω πεμπομένην. Μᾶλλον δὲ (ἵνα τί σοι καὶ τῶν ἀπορρητοτέρων εἴπω), οἱ ἐκ τῆς 100
ἀσκήσεως ἧλοι ὀδυνηροὶ μέν, ἀλλὰ καὶ γλυκεῖς, ἡ δὲ τοῦ μαρτυρίου μάστιγξ ὅλη δριμεῖα καθέστηκεν· ὅθεν γυμνάσας σε τῷ προτέρῳ βίῳ ὁ θεός, πρὸς τὸν κρείττονα νῦν μετήγαγεν, ἵνα καὶ τοῖς κατὰ γνώμην καὶ τοῖς παρὰ γνώμην βασανίσας ἀθλήμασι, διττῆς ἀξιώσειεν ἀναρρήσεως. Οὐ τοίνυν κατεβίβασε τῶν ὑψηλῶν 105
θρόνων, ἀλλὰ πρὸς τοὺς ὑψηλοτέρους ἀνήγαγε· καὶ γέγονέ σοι ἀνάβασις ἡ κατάβασις, καὶ συνέσφιγξε δή σε καὶ οἷά τισι πιέσμασι ταῖς τῶν ὀδυνώντων περιπλοκαῖς, ἵν' ὥσπερ οἱ πυρρῆνες διὰ τοῦ τῶν δακτύλων πιέσματος πρὸς οὐρανὸν ἀφεθῇς, οἷα δή βέλος ἐντέχνου τοξότου χειρὶ πρὸς τὸν ἄνω σκοπὸν ἀποτοξευθῇς. 110

100 ἵνα – εἴπω: cf. Liban. Declam. 33,1,21 εἴπω τι τῶν ἀπορρήτων; et 34,2,19 εἴπω τι, βούλεσθε, τῶν ἀπορρήτων; cf. Psel. Σελέντιον ἐκφωνηθὲν ἐπὶ τῶν ἡμερῶν τῆς βασιλίσσης κυρᾶς Θεοδώρας = Or. min. 1,65, Εἰς ... Κωνσταντῖνον τὸν Μονομάχον = Or. pan. 6,191, et Π 83,12 et Π 385,13–14

107 πιέσμασι : an πείσμασι scribendum?

Ἐγὼ δέ τινι βραχεῖ ζήλῳ τῷ πρώην σου βίῳ ἑπόμενος, νῦν τοῦ ἐφεστηκότος ἐπιθυμῶ. Καὶ λίαν σε τῆς μακαρίας ταύτης ἐκθειάζω μεταβολῆς· οἷα δὲ ἴσως μικρόψυχος, τὴν ἴσην ἀποφεύγω σοι ἀγωνίαν. Ἀλλ' οὐ διὰ ταῦτα ἐν τοῖς ἀζήλοις αὐτὸς καθέστηκας,
115 ἐπεὶ καὶ τοῖς μάρτυσιν ἀθλοῦσι μὲν συνηδόμεθα, κοινωνεῖν δὲ τῶν βασάνων οὐ πάνυ δυνάμεθα.

Ἴσθι δέ, φιλτάτη ψυχή, ὅτι τοὺς παρόντας λόγους οὐ πλάττομεν νῦν οὐδ' ἐξ ἑτέρας μεταβεβλήμεθα ἕξεως· ἀνακαλύπτειν δέ σοι τὰ τῆς ψυχῆς περιττὸν ἴσως τηνικαῦτα ἐδόκει. Νῦν οὖν ὅτε καιρὸς
120 καὶ τὸν φίλον ἀποδεικνύομεν, καὶ ἀπομνημονεύομέν σου οὐκ ὀλίγων τῶν πρὸς ἡμᾶς χαρίτων. Καὶ νῦν μέν σοι τὴν διὰ λόγων παραμυθίαν διδόαμεν, ταμιευσόμεθα δέ σοι καὶ καιρὸν εὔθετον πρὸς τὸν μέγιστον ἡμῶν αὐτοκράτορα, ἐν ᾧ τοὺς ὑπὲρ σοῦ λόγους τεχνικώτερον πρὸς αὐτὸν ἀποσχεδιάσομεν, ἵνα σὺ μὲν τὸ κατάλ-
125 ληλον ἔχῃς ἐγκώμιον, ἐκεῖνος δὲ τὴν ἀνάλογον τῇ εὐφημίᾳ ἀποδῷ εὐθυμίαν.

211. Πρὸς τὸν μοναχὸν πρωτοσύγκελλον ⟨Λέοντα⟩
post a. 1057; a. 1059 [cf. Π 17 et Π 24]? eodem tempore ut Π 210

G 32 [U], Malt 6 [U]

Ἀλλ' οὐ μετὰ τὴν οὐλήν, θειοτάτη ψυχή, [ca. 14 litt. φάρμ]ακον ἢ ἡ κυβέρνησις· ἔτι γάρ σοι ἐν τραύμασιν ἡ ψυχή, ἔτι σοι ὁ κλύδων ἐγήγερται, ἔτι τὰ τῆς τρικυμίας δεινὰ ἐπιρρεῖ. Εἰ δὲ μὴ πρὸ

117 φιλτάτη ψυχή: cf. Π 203,4 δεσπότην γοῦν σε καὶ φίλτατον ὀνομάζομεν et Π 206,34 φίλτατε ἀδελφέ ‖ **123** τὸν – αὐτοκράτορα: Isaacius Comnenus (imperator: 1.IX.1057 – 22.XI.1059) (Π XXXII)? ‖ **1** θειοτάτη ψυχή: cf. Π 207,1 φιλοσοφωτάτη καί θεία ψυχή, Π 208,1 θεία ψυχή, et Π 210,26 φιλοσοφωτάτη μοι τῷ ὄντι ψυχή

ep. 211 U 172r–173v; tit. scripsi: πρὸς τὸν μοναχὸν πρωτοσύγκελλον U G Malt ‖ **1** an ⟨ἐπῆκταί σοι τὸ φάρμ⟩ακον? ⟨κρεῖττόν ἐστι φάρμ⟩ακον prop. Malt (in app. crit.) ‖ **2** ἔτι σοι om. G ‖ **3–4** πρὸ πολλοῦ om. Malt

πολλοῦ κατεφαρμακεύσαμεν, θαυμάζειν οὐ χρή, ἐπεὶ καὶ νόμος
ἐστὶν Ἀσκληπιάδειος ἀπαγορεύων τοῖς μύσταις, «ἀρχομένων τῶν 5
νούσων», ἐπάγειν τὰ φάρμακα. Τούτῳ δὴ τῷ νόμῳ καὶ ἡμεῖς
κατὰ πόδας ἑπόμενοι, τότε μέν σοι τὴν θεραπείαν ἀνεβαλλόμεθα·
νῦν δὲ κατὰ καιρὸν προσάγομεν καὶ ἠρέμα τὸ φάρμακον, λόγους
ἐπᾴδοντες καὶ τὴν ἡμετέραν τέχνην ἐπὶ τοῖς σοῖς κινοῦντες κακοῖς.

Εἰ γὰρ καὶ πάνυ φιλοσοφεῖς καί σοι τὸ τῆς ψυχῆς ὄμμα τῶν 10
τῇδε μὲν ἀπέστραπται, πρὸς δὲ τὴν θεωρίαν ἐπέστραπται, ἀλλ'
οὔπω τὴν φύσιν ὑπερπεφώνηκας· οὐδὲ τὸ συγκείμενον σῶμα

4–6 νόμος – φάρμακα (cf. etiam infra: καὶ τὴν ἡμετέραν τέχνην ἐπὶ τοῖς σοῖς κινοῦντες κακοῖς): Hipp. Ἀφορισμοί II,29 ἀρχομένων τῶν νούσων, ἤν τι δοκέῃ κινέειν, κίνει· ἀκμαζουσῶν δὲ, ἡσυχίην ἔχειν βέλτιόν ἐστιν cum Galen. In Aph. 523,2–10 οὐκ ἐξ ἅπαντος ἐν ταῖς ἀκμαῖς ἐστιν ἰσχυροτέρα, ἀλλ' ἐπί γε τῶν σωθήσεσθαι μελλόντων πολλῷ βελτίων ἢ ἐν ἀρχῇ τοῦ νοσήματος, ἐφ' ὧν καὶ συμβουλεύει νῦν Ἱπποκράτης, ἡσυχίαν ἔχειν ἀρχομένων τῶν νούσων, ἤν τε δοκέῃ κινοῦντας. τῶν γὰρ ὀλεθρίων νοσημάτων οὐ μόνον ἐγγὺς τῆς ἀκμῆς οὐδὲν δεῖ κινεῖν, ἀλλὰ κἀν τοῖς ἔμπροσθεν ταύτης καιροῖς μεμνημένον, ὡς οὐ χρὴ κεκρατημένοις ἐγχειρεῖν, ἀλλ' ἀφίστασθαι δηλονότι προσαγορεύσαντα μόνον ἐς ὅ τι τελευτήσει τὸ νόσημα ‖ **10** τὸ – ὄμμα: locus Platonicus (Πολιτεία 533d2 τὸ τῆς ψυχῆς ὄμμα) saepe laudatus, cf. e.g. Greg. Naz. Εἰς τὸν μέγαν Βασίλειον … = Or. 43,41, et Psel. Ἐπιτάφιος εἰς τὴν ἑαυτοῦ μητέρα 1063, Ἐγκωμιαστικὸς εἰς … Μιχαὴλ τὸν Κηρουλλάριον = Or. fun. I 1, 61,43, Λόγος εἰς τὴν σταύρωσιν = Or. hag. 3a,635, et Π 210,50 et Π 360,13 ‖ **12** οὔπω – ὑπερπεφώνηκας: iunctura Pselliana (cf. Papaioannou 2013,66–67, 72, 75–76 et 126); cf. Psel. Λόγος σχεδιασθεὶς πρὸς Πόθον βεστάρχην … περὶ τοῦ θεολογικοῦ χαρακτῆρος 5 τὴν φύσιν ὑπερεφώνησεν (scil. Greg. Naz.), Psel. Ἐγκώμιον εἰς … Κωνσταντῖνον … τὸν Λειχούδην = Or. fun. I 2,14,58–59 οὐκ ἐπαινῶ γὰρ ἐγὼ τοὺς τὴν φύσιν προηρημένους ὑπερφωνεῖν, Ἐπιτάφιος εἰς … Ἰωάννην τὸν Ξιφιλῖνον = Or. fun. I 3,18,33–34 οἱ τὴν ἀρετὴν τελεώτατοι καὶ ὅσοι τὴν φύσιν ὑπερεφώνησαν, Psel. Μονῳδία ἐπὶ Ῥωμανῷ ῥαιφερενδαρίῳ = Or. fun. I 9,3,30 τὴν φύσιν ὑπερφωνήσαντα, Psel. Ἕτερος λόγος πρὸς … Κωνσταντῖνον τὸν Μονομάχον = Or. pan. 4,547 σὺ δὲ τὴν μὲν φύσιν ὑπερεφώνησας, Psel. Εἰς τὸ παροιμιακὸν … 'ἡ σοφία ᾠκοδόμησεν …' = Theol. I 7,9 τὴν φύσιν εἶδεν ὑπερφωνήσαντα (scil. συγγράμματα Σολομῶντος), Psel. Εἰς τὸ 'καινοτομοῦνται φύσεις' = Theol. I 69,89 θεός, ὃς οὐ μόνον τὴν φύσιν ὑπερεφώνησεν, Psel. Εἰς τὸ 'αἰὼν γὰρ οὔτε χρόνος …' = Theol. I 88,65 μηδὲ τὴν χρονικὴν φύσιν ὑπερεφωνήσαμεν, Psel. Εἰς τὸ 'νοῦς μὲν οὖν ἤδη καὶ αἴσθησις' = Theol. I 90,75–76 καὶ ἐν τῇ κοσμογονίᾳ ἔστιν οὗ τὴν φύσιν ὑπερφωνεῖ ὁ θεός, et Π 126,92 ὅσα τὴν φύσιν ὑπερεφώνησαν et Π 167,29 τὴν φύσιν ὑπερπεφώνηκας. iunctura Pselli in Nic. Chon. (Χρονικὴ διήγησις 71,26,

7 πόδα Malt

ἠγνόησας. Ἐπιστρέφει γοῦν ὁ δεσμὸς πρὸς αὐτὸ τὴν ψυχήν, ἐπεὶ μηδὲ τὸ τῆς θεωρίας μυστήριον παντάπασι τοῖς μύσταις ἠνέῳκται,
15 ἀλλὰ νῦν μὲν ἀνακεκάλυπται καὶ ἀναπετάννυσί πως τὴν εἴσοδον, νῦν δὲ ὑποδέδυκε καὶ τὸ προβεβλημένον συνεφειλκύσατο φῶς, καὶ πάλιν ἐν σκότῳ ὁ θεωρός· ἀνθυποστρέφει γοῦν πρὸς τὴν φύσιν, καὶ οἶδεν ὅτι οὐ νοῦς ἐστιν ἀπόλυτος, ἀλλὰ ψυχὴ σώματι συνδεθεῖσα, καὶ οὐ ῥᾳδίως τούτου καταφρονοῦσα. Εἰ γάρ, καὶ μετὰ τὴν ἀποκα-
20 τάστασιν τῶν δεινῶν, τὰ ἴχνη τῆς ὑπερορίου ζωῆς ἔτι ἐντετύπωται τῇ ψυχῇ, καὶ ἡ προλαβοῦσα ἔτ' ἐσκίασται ὠτειλή, τίς ἂν ἐξαιρήσῃ λόγος ταῦτα τοῖς ἔτι τοῖς κακοῖς προσπαλαίουσιν;

Ἐν καιρῷ γοῦν μοι τὰ τῆς θεραπείας ἐπῆκται. Καὶ οὐ τὸν καιρὸν ὡς ᾠήθης ἔδεισα, ἀλλ' εἰς δέον ἐταμιευσάμην, ἵνα μοι τὸ
25 φάρμακον τὴν οἰκείαν ἐπιδείξηται δύναμιν, ἵνα μοι ἰσχύσῃ ἡ ἐπῳδή, ἵνα μοι τὸ περίακτον ἐνσταλάξῃ τὴν ἰσχὺν εἰς ψυχήν. Ὅθεν καὶ κατευστόχησα τοῦ καιροῦ· ἀθρόον γὰρ ἐπεστράφης πρὸς τὴν τῆς ἐπιστολῆς δύναμιν· καὶ ἀνεκουφίσθης καὶ διεγέρθης, τοῦτο μὲν καὶ παρὰ ταύτης, τοῦτο δὲ καὶ παρὰ τοῦ τῆς ψυχῆς
30 τελειώματος. Ἀποβιασάμενος δὲ σαυτὸν εἰς μνήμην ὧν πέπονθας, γενναιότερον ἀφηγήσω, ἢ πάλαι ὑπέστης τὰς συμφοράς, μᾶλλον δὲ καὶ ἐγεγήθεις (ὥς μοι ἔδοξε) καὶ ἐγεγάννυσο, μαρτυρικοῖς ὥσπερ ἄθλοις ἐπαγαλλόμενος (εἰ δὲ μὴ καὶ αὐτὸς ᾠήθης, ἀλλ' ἐγὼ τὸν λόγον εἰς τὴν μαρτυρικὴν ἀναφέρω ἀξίωσιν).
35 Ἐγώ γ' οὖν, κἂν μὴ αὐτὸς διεξῆλθες τῷ λόγῳ τὴν ἰδέαν τοῦ πράγματος, ᾔδειν ὡς οὕτως ἄν σοι συνεπεπτώκει τὰ δυσχερῆ, καὶ (ἵνα τὸ σὸν ἦθος καὶ πάθος ἐξαγορεύσω σοι) φιλοσόφως, κάλλιστε ἀδελφέ, ἐκ πρώτης γενέσεως τὴν φύσιν καὶ τὴν ψυχὴν κατεσκευάσαι, τοῦτο δέ ἐστιν ἀπεσκληκότως ἔχειν καὶ πρὸς ἐαρινὴν ἡμέραν

Or. 4 31,9, et 5 41,26), Georg. Torn. (Or. in hon. Georgii Xiphilini 2,185–186), et Greg. Ant. (Εἰς τὸν … Βασίλειον τὸν Καματηρόν 431–432) laudata
18 οὐ – συνδεθεῖσα: locus neoplatonicus; cf. e.g. Psel. Omn. doctr. 64 etc.; cf. etiam Π 251,42, Π 360,15–16, Π 455,25–26, et Π 498,24–25 ‖ **28** τῆς ἐπιστολῆς: ad epist. Π 210 refert? ‖ **39** ἀπεσκληκότως ἔχειν: Synes. Cyren. Epist. 139,22 ἀπεσκληκότως ἔχει. cf. Psel. Ἐπιτάφιος εἰς … Ἰωάννην τὸν Ξιφιλῖνον = Or. fun. I 3,20,36–37, Εἰς τὸ 'ὅστις ἐρεῖ λόγον κατὰ τοῦ υἱοῦ …' = Theol. I 84,18 et Π 23,56–57, Π 120,59, et Π 128,49–50

21 ἔτ' ἐσκίασται corr. Polemis: ἐπεσκίασται U G Malt | ἐξαιρήσοι Malt
29 παρὰ[1] G Malt: περὶ U

καὶ πρὸς χειμέριον· ὅθεν οὔτε πρὸς τοὺς θῶπας λόγους ἐτύγχανες 40
ἁλώσιμος ὤν, οὔθ' ὕστερον πρὸς τὰς ἀκμὰς τῶν σιδήρων ἐνδόσι-
μος. Διττὸς γὰρ ὁ τρόπος τοῦ περὶ ταῦτα φιλοσοφεῖν: ὁ μέν τις
φιλανθρωπότερος, ὁ δὲ γενναῖος καὶ ἴσως ἀποτομώτερος· κἀκεῖνο
μὲν τὸ μέρος τῇ ἐνταῦθα ἀνεῖται προνοίᾳ, τοῦτο δὲ καθαρῶς
ἐπιστρέφει πρὸς τὸν θεόν· λέγεται δὲ παρὰ τὸ πλεονάζον ἑκάτερα, 45
ἐπεὶ καὶ ὁ φιλάνθρωπος φιλόσοφος τολμήσει ποτὲ καὶ ὁ ἀπότομος
καταβήσεται, καὶ μάλιστα εἰ τοσοῦτος αὐτῷ ὁ πρὸς τὸ κάταντες
γενήσεται ὠθησμός, ὅσος ἐπὶ σοὶ συνηθροίσθη καὶ συνυφέστηκεν.

Ὅτι μὲν γὰρ καὶ τὸ ὑπερζέσαν σοι κλυδώνιον τῇ σῇ συντελέ-
σαν φιλοσοφίᾳ ἐπῆρέ σε πρὸς οὐρανόν, οἶδα σαφῶς. Φρόντιζε δ' 50
οὖν ὅμως καὶ τῆς ἐπιστροφῆς· καὶ τὴν φύσιν μὴ ἀπογίνωσκε
στῆναί ποτε ἐπὶ τῆς ἰδιότητος. Διὰ ταῦτα μή με πάνυ ἀποτρέπου,
ὧν βεβούλημαι περὶ σέ· μηδὲ τὸ πάνυ μοι φιλόσοφον ἐπιδείκνυσο.
Ἀλλὰ σὺ μέν, εἴγε σοι βουλητὸν ᾖ, ἔχου τῶν συντρόφων ἠθῶν· καὶ
τῆς ἕξεως μὴ ἀφίστασο. Ἐγὼ δέ σοι ἐποφείλων πολλὰ ἐπὶ καιροῦ 55
ἀποτίσω τὸ ὄφλημα· ναί, νὴ τὴν ἱεράν σου καὶ τριπόθητον
κεφαλήν, ἧς εἰχόμην καὶ πρίν, καὶ ἣν πολλάκις ἐβουλόμην
καταφιλεῖν!

Ἀλλ' ἔστιν ὡς ἀληθῶς ἑκάστῳ τὸ ἦθος ἀθέατον, καὶ τὴν ἐν
ψυχῇ ἀλήθειαν οὐκ εὐθὺς ὁ πλησιάζων ἐπίσταται· τοῖς δὲ καὶ ἡ 60
γλῶσσα, πρόχειρος οὖσα καὶ ἑτοίμη πρὸς εὐφημίαν, ὑποψίαν πρὸς
θωπείαν κινεῖ. Ὁποῖον δή σοι καὶ περὶ ἐμὲ δρᾶμα συνεστήσαντο
οἱ πολλοί, ἐφ' ᾧ δὴ οὔτ' ἄγγελος αὐτός, οὔτ' ἐξάγγελος, οὔτε τὸν

40 θῶπας λόγους: Plat. Θεαίτητος 175e5, locus subinde laudatus; cf. Suda θ 432 θῶπες: οἱ μετὰ ψεύδους καὶ θαυμασμοῦ προσιόντες ἐπὶ κολακείᾳ λόγοι cum Psel. Χρονογραφία VII,27 ‖ **42–43** διττὸς – ἀποτομώτερος: cf. Π 207,11 οὐ γάρ μοι τὴν ἀπότομον ἐκείνην βαδίζεις ὁδόν ‖ **42–44** διττὸς – προνοίᾳ: cf. Π 200,9–10 αἱ δὲ καὶ καταβᾶσαι καὶ πρὸς τοὺς ἥττους ταῖς προνοίαις ἐπιστραφεῖσαι ‖ **53** μηδὲ – ἐπιδείκνυσο: cf. Π 210,27 τὸ φιλόσοφον ... ἐπιδείκνυσο ‖ **56–57** νὴ – κεφαλήν: Synes. Cyren. Epist. 79,8 (cf. Epist. 86,1–2 πρὸς τὴν ἱεράν σου καὶ τριπόθητον κεφαλήν). cf. Π 42,20, Π 64,1, Π 65,21–22, Π 68,36, Π 122,1, Π 180,2, Π 183,14–15, Π 193,15–16, Π 198,5–6, Π 494,2–3. cf. etiam Psel. Ἐγκωμιαστικὸς εἰς ... Μιχαὴλ τὸν Κηρουλλάριον = Or. fun. I 1,61,30, Περὶ τῶν ἰδεῶν ἃς ὁ Πλάτων λέγει = Phil. min. II 33 (111,24–25), Π 284,9–10 et Π 394,19–20

48 συνεθροίσθη Malt ‖ **60** ἐπίσταται scripsi: ἵσταται U G Malt

κῶμον εἰδώς, οὔτε τὸ ἐπεισόδιον, οὔθ' ὥστε προκῦψαι τοῦ ὑπερθύ-
65 ρου. Ἐπεὶ δὲ ἡ σκηνὴ καταλέλυται, νῦν σοι τὸ στῆθος ἀπογυμνῶ, μᾶλλον δὲ τὴν καρδίαν, ἵνα γνοίης ὅτι μηδὲν ἴχνος ἐν αὐτῇ ὑποκρίσεως ἐντετύπωται· ἣν δὲ μὴ ἐκείνην ὁρᾷς, ἀλλ' οὔτι γε καὶ τὸ ἐκεῖθεν ῥεῦμα (τὸν λόγον φημί), ἐκεῖθέν τε προχεόμενον, καὶ τῆς πηγῆς τὴν ἀκριβῆ ἐμφαῖνον ποιότητα;

LII. Πεντάκτενος

212. Τῷ Πενταχτένῳ

K-D 114 [L]

Ἤκουσά σου τὴν ἀναχώρησιν, καὶ ἐμακάρισά σε τοῦ περὶ τὰ καλὰ ζήλου.

Ἔχου οὖν τῆς φίλης ἡσυχίας καὶ οἰκειούσης θεῷ, καὶ εὔχου ἀπαλλαγῆναί με τῆς κοσμικῆς συγχύσεως, καὶ συμβιοτεῦσαι μεθ'
5 ὑμῶν.

213. Τῷ αὐτῷ

Τῷ Πενταχτένῳ

K-D 115 [L]

Οὕτω μὲν ἔχει τὰ τῆς προνοίας ὡς ἔγραψας. Εἰ δὲ κἀμὲ ἀξιόχρεων ἡγῇ πρὸς τὴν τοιαύτην σοφίαν, προσθήσω τί σοι τῶν ἐλλελειμμένων. Οὐ πάντοτε οὐδὲ πάντα δίδωσιν ἡμῖν ἐξυπτιάζουσιν ὁ θεός, ἀλλ' ὥρισται μὲν ἐκ παντὸς ὁ χρόνος τῆς
5 δόσεως. Ὁ δέ γε τρόπος ἔστι καὶ τῶν ἐφ' ἡμῖν· καὶ τὸν γε

5–7 τὸν – προσμηχανησάμενον: cf. Herod. 3,85–86 cum Psel. Λόγος ἐπὶ τῷ ἐν Βλαχέρναις γεγονότι θαύματι = Or. hag. 4,433–437 οἱ μὲν οὖν περὶ Δαρεῖον τὸν Μῆδον ἵππου χρεμετισμῷ τὴν βασιλείαν ὡρίσαντο ... ὁ Δαρείου τοῦ Ὑστάσπου ἵππος χρεμετίζει ἱπποκόμου τέχνῃ τε καὶ σοφίσματι

64–65 τοῦ ὑπερθύρου corr. Malt: τῆς ὑπὲρ θύρου U τῆς ὑπερθύρου et lacunam vel corruptionem perperam prop. G ‖ **ep. 212** L 58v; tit. L K-D | Πενταχτένῳ K-D: Πενταχτ.ν abbr. L ‖ **5** ὑμῶν corr. K-D: ἡμῶν L ‖ **ep. 213** L 58v–59r; tit. L K-D ‖ **3** ἐκλελειμμένων corr. Dölger

Ὑστάσπου Δαρεῖον ἔδει μὲν ἀναχθῆναι εἰς βασιλείαν, ἀλλά τι ταύτῃ προσμηχανησάμενον· καὶ οὐδὲ ὁ κουκούφατος πρὸς τὴν θήραν παντάπασιν ἄπρακτος, ἀλλ' ἀκούοις ἂν αὐτοῦ διημερεύοντος ἢ καὶ διανυκτερεύοντος τῇ ἰδίᾳ φωνῇ. Μὴ οὖν τὸ πᾶν θατέρῳ τῆς προνοίας ὅρῳ ἀφήσεις, ἀλλὰ χρῷό μοι καὶ τῷ ἐπὶ σοί. Εἰ δέ σοι τοσοῦτον τὸ περιὸν τοῦ πρὸς θεὸν θάρρους, ὡς οἴεσθαι παντάπασιν ἀμεσίτευτον τὸ παραγενέσθαι σοι τὸ ἀγαθόν, κρεῖττον τοῦτο τῶν ἐμῶν λογισμῶν. 10

Ἐγὼ δὲ καὶ ἐνεθυμήθην νῦν, ὅτι σοι οὕτω τὰ παρὰ θεοῦ ταλαντεύεται, καὶ χρόνοι τακτοὶ τὰς μεταβολὰς φέρουσι, τῶν τε κρειττόνων ἐπὶ τὰ χείρονα, καὶ τῶν χειρόνων ἐπὶ τὰ κρείττονα. Προσθείην δ' ἂν αὐτὸς ἰσάζων τὸν λόγον, ὅτι ὅσῳ μεῖζον τὸ ἀντικείμενον, τοσούτῳ μεῖζόν ἐστι † τῷ ἀντικειμένῳ. Ἆρ' οὖν σοι τὸν λόγον μαντεύομαι; Οὔ, νὴ τὸν φίλιον! Ἀλλ' ἔσσεται ἦμαρ, καὶ τεύξῃ φιλανθρωπότερον τοῦ κρείττονος, ὁπηνίκα σοι καὶ πατριάρχης καὶ βασιλεὺς (δεῖ γὰρ οὕτως ἐρεῖν) θυμηρέστεροι ἔσονται. 15 20

19 νὴ – φίλιον: i.e. Zeus; cf. Plat. Ἀλκιβιάδης α΄ 109d μὰ τὸν Φίλιον τὸν ἐμόν τε καὶ σόν cum Synes. Cyren. Epist. 51,2–3, 59,9, 103,1, 129,11–12. cf. Π 28,15, Π 9,68, Π 121,79, et Π 128,6 | ἔσσεται ἦμαρ: Hom. Il. 4,164 et 6,448. cf. Π 111,234

6 Ὑστάσπου corr. K-D: Ὑδάσπου L | βασιλείαν scripsi: βασιλέα L K-D **18** post ἐστι lacunam prop. K-D ‖ **19** ἔσσεται scripsi: ἔσεται L K-D

LIII. Πόθος, υἱὸς τοῦ δρουγγαρίου / τῆς δρουγγαρέας

κριτὴς τοῦ Ὀψικίου, κριτὴς Θρᾴκης καὶ Μακεδονίας,
κριτὴς τῶν Κιβυρραιωτῶν
cf. Π 334, Π 337, et Π 502

214. Τῷ κριτῇ τοῦ Ὀψικίου ⟨Πόθῳ⟩ τῷ υἱῷ τοῦ δρουγγαρίου

K-D 35 [L]

Τοῦτο αὐτό ὅπερ ᾔδειν, λογιώτατε, ὅτι σὺ ἐπ' ἀμφότερα κινεῖν βῶν ἀζαλέην εἰδώς, ἠμὲν ἐπὶ δεξιά, ἠδ' ἐπ' ἀριστερόν, τῆς πρὸς τὰ εὐώνυμα μᾶλλον φροντίζεις κινήσεως· καὶ ὥσπερ οἱ δεινοὶ τῶν στρατηγῶν, ἐπ' ἀσπίδος πολλάκις σχηματιζόμενος, βάλλεις ἐπὶ 5 δόρυ. Καὶ ποιεῖς μὲν λαμπρότερον τὸ φαινόμενον, γίνεται δέ σοι πλουσιώτερον τὸ κρυπτόμενον. Καὶ ὁμοῦ τήν τε πεῖραν παλαμναίαν ποιεῖς, καὶ ἀφοσιοῖς τὰ οἰκεῖα τῇ Θέμιδι. Καὶ βάλλ' οὕτως, οὐχ ὡς ὁ Τεῦκρος εἰς τοὺς Τρῶας μόνον ἀποτοξεύων, ἀλλ' ὡς ὁ Παλαμήδης ἀμφοῖν τοῖς μέρεσι μεριζόμενος (εἴ γε δὴ τὰ 10 παρὰ τοῦ Ὀδυσσέως κατηγορημένα αὐτῷ ἀληθῆ). Τὸ μὲν γὰρ «μὴ δύνασθαι δυσὶ κυρίοις δουλεύειν», εὐαγγελικὸν μὲν ὡς ἀληθῶς καὶ δεσποτικόν, καὶ τῷ ὄντι φιλόσοφον, οὐ πολιτικὸν δέ, οὐδὲ

LIII cf. Psel. Λόγος σχεδιασθεὶς πρὸς Πόθον βεστάρχην … περὶ τοῦ θεολογικοῦ χαρακτῆρος et Πρὸς αὐτὸν (scil. Πόθον τὸν βεστάρχην) ἐρωτήσαντα ποῖος ἐγκωμίων κρείττων = Or. min. 15; cf. etiam Περὶ τῶν ἰδεῶν ἃς ὁ Πλάτων λέγει (ad Pothum? cf. ll. 111,24–25 τιμία μοι καὶ τριπόθητε κεφαλή) = Phil. min. II 33 ‖ **2** ἠμὲν – ἀριστερόν: Hom. Il. 7,238–239 οἶδ' ἐπὶ δεξιά, οἶδ' ἐπ' ἀριστερὰ νωμῆσαι βῶν / ἀζαλέην, cf. Psel. Ἱστορία σύντομος 50,63–64, Π 33,8–9, et Π 62,31–32 ‖ **7–8** βάλλ' οὕτως: Hom. Il. 8,281–282 Τεῦκρε φίλη κεφαλή ... / βάλλ' οὕτως, cf. Psel. Λόγος εἰς … τὸν Μονομάχον = Or. pan. 2,404, et Π 105,24, Π 241,7, et Π 449,4–5 ‖ **9–10** ὡς – ἀληθῆ: de Palamede cf. e.g. Ps.-Nonnus Συναγωγὴ … ἱστοριῶν … in Greg. Naz. Or. 4, hist. 62 ὁ Ὀδυσσεὺς ἐν τῇ Τροίᾳ, ποιεῖ πλαστὴν ἐπιστολὴν ἀπὸ Πριάμου ὡς πρὸς τὸν Παλαμήδην περὶ προδοσίας τῶν Ἑλλήνων ‖ **11** μὴ – δουλεύειν: Mt. 6,24 et Luc. 16,13 οὐδεὶς ... δύναται δυσὶ κυρίοις δουλεύειν ...οὐ δύνασθε θεῷ δουλεύειν καὶ μαμωνᾷ. cf. Psel. Ἐγκώμιον εἰς … Νικόλαον μοναχὸν … = Or. fun. I 10,6,15–16 et Π 220,1

ep. 214 L 18v–19v; tit. scripsi: τῷ κριτῇ τοῦ Ὀψικίου, τῷ υἱῷ τοῦ δρουγγαρίου L K-D ‖ **6** πεῖραν corr. K-D: πήραν L

δικαστικὸν (ἵνα εἴπω), οὐδὲ βασίλειον· κἀκεῖνο μὲν ἀποκληρωτέον τοῖς ἀχάλκοις καὶ μονοχίτωσι, τῷ δέ γε καθ' ἡμᾶς βίῳ ἡ τῆς σοφιστικῆς ἀπόχρη δύναμις ἐπ' ἄμφω βάλλουσα καὶ διπάλτῳ 15 χειρί, τῇ μὲν ὠθοῦσα, τῇ δὲ προσιεμένη τὰ προσαγόμενα, ἵν' οὕτως μὲν τὸν τοῦ δικαίου τις λόγον πληροῖ, ἐκείνῳ δὲ (ἵνα τὸ αὐτὸ φθέγξωμαι) πληροῖ τὸ βαλάντιον ἡμῶν.

Οὐ λαμπρῶς σοι καὶ νεανικῶς συνηγόρηκα; Εἰ δὲ καὶ ἐπὶ ταὐτοῦ σοι συνειστήκειν ἅρματος, οὐκ ἂν σοι πρὸς τὴν ἀκριβῆ 20 νύσσαν συνηνιόχησα τὸ ὅρμημα, καὶ τοὺς ἵππους τῇ σφενδόνῃ συνήνεγκα; Ἀλλ' ἴσθι, ἡνιοστροφώτατε σύ, ὅτι τοῦ ἑτέρου τῶν Πλατωνικῶν εἰμι, οὐ τοῦ λασιοκώφου, ἀλλὰ τοῦ εὐθυδρομοῦντος πρὸς τὴν ἀναβολήν· συγκαταβαίνων δέ σου τῇ ἀσθενείᾳ, καὶ συνδιατίθεμαί σου ταῖς διαθέσεσιν, ἐπεὶ τοιοῦτόν μοι καὶ τὸ 25 φιλοσοφεῖν: οὔτε πάντῃ τῆς ὕλης ἀφίσταμαι, οὔτε παντάπασιν αὐτῇ καταχώννυμαι (μερὶς γάρ εἰμι θεία, ἀλλὰ βιῶ μετὰ σώματος)· καὶ οὔτε μοι τὸ πάντῃ γεῶδες ἀρέσκει, οὔτε πείθομαι τοῖς πτερύσσεσθαι εἰς τὸ ἐπέκεινα τῆς φύσεως ἀναγκάζουσι. Μεταξὺ γοῦν τῶν ἀκροτήτων ἐφέστηκα ἢ πεπόρευμαι· καί μοι ἀρέσκει τὸ 30 μηδὲν ἄγαν.

14 τοῖς – μονοχίτωσι: Greg. Naz. Εἰς τὸ ἅγιον Πάσχα = Or. 45,19 πρὸς τῷ ἀχάλκῳ ... καὶ μονοχίτωνι, cf. Psel. Τῶν εἰς τὸ ἅγιον πάσχα ἀλληγορουμένων κρυφίως τῷ θεολόγῳ Γρηγορίῳ ἐξήγησις = Theol. I 43,11–15; cf. etiam Π 187,24 ‖ **15–16** διπάλτῳ χειρί: Soph. Αἴας 408–409 πᾶς δὲ στρατὸς δίπαλτος ἄν / με χειρὶ φονεύοι. cf. Suda δ 1256 et Π 111,217 **22–23** τοῦ – λασιοκώφου: cf. Plat. Φαῖδρος 253e1–5 ὁ δ' αὖ σκολιός ... περὶ ὦτα λάσιος, κωφός, cum Psel. Ἐξήγησις τῆς Πλατωνικῆς ἐν τῷ Φαίδρῳ διφρείας τῶν ψυχῶν καὶ στρατείας τῶν θεῶν = Phil. min. II 7, Πρὸς τοὺς λέγοντας μὴ εἶναι φύσει χρηστὸν τὸν ἄνθρωπον· ἐλέχθη δὲ ὁ τοιοῦτος λόγος αὐτοσχεδίως = Phil. min. II 17 (83,29–84,7), et etiam Χρονογραφία IV,36 et VI,13, et Π 23,17–20, Π 95,40–42, Π 116,28–29, Π 134,11–18, Π 474,19–22, et Π 492,65–66; cf. etiam Π 284,49 ‖ **27** μερὶς – θεία: cf. Synes. Cyren. Αἰγύπτιοι ἢ περὶ προνοίας 1,9,2 sqq. ἡ γὰρ θεία μερὶς ... cum Julian. Εἰς τοὺς ἀπαιδεύτους κύνας 4,26 διὰ τῆς ἐνούσης ἡμῖν θείας μερίδος. cf. Π 39,38 ‖ **28–29** τοῖς – ἐπέκεινα: cf. Is. 18,1 οὐαὶ γῆς πλοίων πτέρυγες ἐπέκεινα ποταμῶν Αἰθιοπίας cum Psel. Ἑτέρα λύσις προφητικῆς ῥήσεως = Theol. I 39 ‖ **31** μηδὲν ἄγαν: proverbium; CPG II 80 (nr. 79) et 614 (nr. 30)

22–23 τοῦ – Πλατωνικῶν corr. K-D (Maas): τοῦ ἑτέρου, οὐ τῶν Πλατωνικῶν L ‖ **27** καταχώννυμαι K-D: καταχώννυμι L

Ἀλλ᾽ ἐπειδὴ μέσος δυεῖν ἄκρων εἰμί, χείρονος καὶ βελτίονος, αὐτό τε ἀσπάζομαι καὶ τοῖς ἄλλοις πρεσβεύω. Ὁ δέ γε γραμματικός, εἰ μὲν ὡς ἔγραψας κόρον τοῦ κερδαίνειν λαβὼν ἐπανελήλυθε
35 πρὸς ἡμᾶς, αὐτὸς ἂν εἰδείης· ἐκεῖνος δέ φησι ἀπὸ τοῦ μηδαμῇ χρυσίου τοῖς δακτύλοις ἀντιδράξασθαι, μικροῦ δεῖν μηδὲ συγκάμψαι τούτους δύνασθαι· ἀποτυλωθῆναι γὰρ καὶ ἀποταθῆναι. Τοσοῦτον σὺ μὲν ἀπληστίαν ἐκείνῳ ἐπεγκαλεῖς, ἐκεῖνος δέ σοι τὸ ἀφιλότιμον.

40 Ἐγὼ δὲ (νὴ τὴν ἱεράν σου ψυχήν!) τοῖς σοῖς μᾶλλον λόγοις πεπίστευκα. Καὶ ἐμαυτῷ πολλάκις ἐπηρασάμην, ὅτι δύο μοι ταῦτα διαμαρτάνεται ἐν ταῖς τῶν νοταρίων πρὸς ὑμᾶς τοὺς κριτὰς οἰκειότησι: τό τε ὑμᾶς ἐμπεφορτίσθαι βάρει δεινῷ, † ἐμοί τε τῷ οἰκειοῦντι καὶ τοῖς οἰκειωσαμένοις ὑμῖν.

45 Ἀλλ᾽ οὗτοι μὲν ἐρρέτωσαν. Σὺ δέ μοι τὸν σὸν ἔχεις πρωτοπρόεδρον, ὁποῖον ἐπίστασαι: φίλτατον, εὐνούστατον, τῶν σῶν ἀντεχόμενον καὶ κρίσεων καὶ ἀποφάσεων, καὶ μεγαλορρημονοῦντά σου τὰς πρὸς βασιλέα γραφάς, καὶ ἐφ᾽ ἑκάστῳ ῥήματι προσπλέκοντά σοι ἐγκώμιον. Τὸ λοιπὸν οἶδας καὶ ἔχοις καλῶς.

215. ⟨Πόθῳ⟩ τῷ υἱῷ τοῦ δρουγγαρίου

K-D 38 [L]

Εἶτα δὴ σὺ κάθῃ ὥσπερ ὁ Ὁμηρικὸς Ζεὺς τοῦ διττοῦ τῆς εἱμαρμένης διανομεύς, λογιώτατέ μοι ἀνεψιέ, καὶ διαιρεῖς τὴν πεπρωμένην ἡμῖν, τὸ μὲν προστιθείς, τὸ δὲ ὑφαιρῶν, τὸ δὲ τοῖς ἄλλοις ἐξίσου ποιῶν; Καὶ οὐ δέδιας ὅτι με τὸν νεφεληγερέτην, ὡς
5 ἂν ὑμεῖς φαίητε, αὐτὸς κατατέμνεις καὶ διαιρεῖς, καὶ ταῦτα οὔπω

45–46 τὸν – πρωτοπρόεδρον: se ipsum significat; cf. Π 131,55–56 ‖ **48** βασιλέα: Constantinus X Ducas (imperator: 23/24.XI.1059 – 22/23.V.1067) (Π XVIII)? ‖ **1–2** εἶτα δὴ – διανομεύς: Hom. Il. 8,69–72 καὶ τότε δὴ χρύσεια πατὴρ ἐτίταινε τάλαντα· / ἐν δ᾽ ἐτίθει δύο κῆρε τανηλεγέος θανάτοιο / Τρώων θ᾽ ἱπποδάμων καὶ Ἀχαιῶν χαλκοχιτώνων, / ἕλκε δὲ μέσσα λαβών· ῥέπε δ᾽ αἴσιμον ἦμαρ Ἀχαιῶν ‖ **4** νεφεληγερέτην: vox Homerica; cf. Il. 1,511 προσέφη νεφεληγερέτα Ζεύς etc. et Π 162,8

36–37 συγκάμψαι corr. K-D: συγκάψαι L ‖ **43** post δεινῷ lacunam prop. K-D ‖ **45** ἔχεις L: ἔχοις corr. K-D ‖ **ep. 215** L 21r–v; tit. scripsi: τῷ υἱῷ τοῦ δρουγγαρίου L K-D ‖ **3** τὸ[3] corr. Dölger: τὸν L K-D

τῆς γῆς πῆχυν ἕνα ἀνασπασθείς, οὐδὲ συστρέψας νεφύδριον; Ἀλλ' ἐγὼ οἶδα φιλοσοφεῖν καὶ ὑπερκαθήμενος τῶν νεφῶν. Καὶ ἰδού σοι τὸν ὑπὲρ τοῦ τῆς Τραπέζης μοναστηρίου συντελῶ ἔρανον. Συνιστῶμεν δὲ τὴν ἡμίονον, ἐγώ τε καὶ ἕτεροι δύο συντελεσταί· ἀναγεγράφαται δὲ ἐν τῷ καταστίχῳ καὶ οὗτοι, ἀφ' ὧν τὸ 10 λειπόμενον ἀπαιτήσειας.

Πότε δέ σε καὶ ἡ τύχη στρατοπεδάρχην εἰργάσατο, καὶ μικροῦ δεῖν αἰχμοφόρον πεποίηκεν, ἱππάζοντά τε τοὺς στρατιώτας, καὶ εἰς μάχην ἐξάγοντα; Τὸ δὲ καὶ φιλόσοφον ἄνδρα ὑποτελῆ τῷ φόρῳ ποιεῖν; Ἡράκλεις, τοῦ ἀνομήματος! Ἀλλ' ἐγὼ οὔτε ἀκοντίζειν 15 δεδύνημαι, οὔτε εὔστοχα βάλλειν, ἀλλά με ὁ ἵππος, ἑκατέρωθεν τοὺς ὤμους δινῶν, καὶ τὸν αὐχένα ὑποκυμαίνων, πολλάκις δὲ καὶ τὸν χαλινὸν ὑφελκόμενος, ταράττει δεινῶς. Οὐ φοβῇ γοῦν μὴ κακὸς ὀφθείην ὁπλίτης, καὶ διασπάσω τὴν φάλαγγα, ἢ μετὰ νῶτα βαλὼν πολλοὺς κατόπιν εἰς τὴν φυγὴν ἐφελκύσωμαι; διαμαρτύρο- 20 μαι γάρ σοι ὅτι ἀσύντακτός εἰμι φάλαγγι, καὶ οὐκ οἶδα ὅτῳ τρόπῳ συνδέδεται ὁ συνασπισμός, πλὴν ὅσον Ὁμήρου διακούσας τὴν τῶν Ἑλλήνων τάττοντος στρατιὰν τοσοῦτον οἶδα, ὅτι δεῖ τὴν φάλαγγα τάττεσθαι «κατὰ φρήτρας τε καὶ φῦλα». Εἰ μὲν οὖν ἐξάγετέ με τῆς ἐμῆς καὶ νέας Στοᾶς, ὥσπερ δὴ ὁ ποιητὴς τὸν 25 Γερήνιον εἰς βουλὴν ἐξαρκέσοντα, καὶ συμπορεύσομαι καὶ προηγήσομαι τοῦ στρατοῦ. Εἰ δ' οὖν, ἀξύμβολος μέν εἰμι τῷ πολέμῳ· ὃν δὲ ὀφείλω ἵππον λαβόντες, ἀπάγετε.

8 τοῦ – μοναστηρίου: in Ὀψίκιον? cf. Janin 1975,184–185 ‖ **16–18** με – δεινῶς: cf. Π 67,61–67 ἐγὼ δὲ (καὶ ὀρκοποιοῦμαι τὴν σὴν φιλτάτην ψυχήν!) οὕτω τοὺς ἵππους δέδοικα πέφρικά τε καὶ πεπτόημαι, ὥσπερ δὴ οἱ λοιποὶ τοὺς ἐλέφαντας καὶ τοὺς λέοντας. κἂν βραχύ τι περικινήσῃ τὴν κεφαλὴν ὁ φέρων ἐμέ, εὐθὺς αὐτὸς τῆς ἕδρας ἀπολισθαίνω, καὶ ἀκρατής μοι ἡ χεὶρ τοῦ χαλινοῦ γίνεται. ἀλλ' ἦν μοι τοῦτο πρότερον ἐξ ἁπαλῆς καὶ δειλῆς φύσεως, νῦν δέ μοι καὶ τὸ προσγενόμενον νόσημα τὴν φυσικὴν πτοίαν ἐδίπλασεν et etiam Π 95,121–123 ἐγὼ γὰρ μετρίως ἄλογον ὑποτάξαι δύναμαι ταῖς χερσίν, ἀλογώτατον δὲ καὶ θρασύτατον οὔ μοι δύναμις τῷ χαλινῷ ἀντισπᾶν. cf. etiam Π 78,7 ἱππεύειν οὐ δεδύνημαι ‖ **24** κατὰ – φῦλα: Hom. Il. 2,362 κρῖν' ἄνδρας κατὰ φῦλα κατὰ φρήτρας Ἀγάμεμνον ‖ **25–26** ὥσπερ – ἐξαρκέσοντα: cf. e.g. Hom. Il. 2,370 ἦ μὰν αὖτ' ἀγορῇ νικᾷς γέρον [i.e. Nestor Gerenius] υἷας Ἀχαιῶν

22 Ὁμήρου K-D (corr. Maas): ὁμήρεις L ‖ **23** τάττοντος corr. Diam 304: τάττοντας L K-D ‖ **24** φῦλα scripsi: φύλα L φυλάς K-D ‖ **26** ἐξαρκέσαντα K-D

216. Τῷ αὐτῷ
⟨Πόθῳ⟩ τῷ υἱῷ τοῦ δρουγγαρίου

K-D 39 [L]

Ἡ Ἀτζικώμη καὶ αἱ Θυρίδες, ἀνεψιὲ φίλτατε καὶ σοφώτατε, χωρία δύο τῆς σῆς ἐπαρχίας, ἐν γειτόνων μὲν ἱδρυμένα, μαχόμενα δὲ ἀλλήλοις πλέον ἢ ὁ Δαρεῖος καὶ ἡ Ἑλλὰς πρότερον· ἀμφισβητοῦσι γὰρ ἀλλήλοις περὶ κτήσεών τινων. Καὶ ἵνα τὰ 5 περιέχοντα ἐάσω, οἱ τούτων οἰκήτορες ἕκαστοι τὴν τῶν ἀμφιβόλων δεσποτείαν ἀναμφισβήτητον ἑαυτοῖς οἴονται.

Πολλὰ μὲν πρὸς ἀλλήλους εἰπόντες, τὰ δὲ ἀκούσαντες, ἔστι δ' ὅτε καὶ ταῖς χερσὶ κατ' ἀλλήλων ἀποχρησάμενοι, ἔμελλόν ποτε καὶ τοσοῦτον φιλοσοφῆσαι· τὸ δέ γε φιλοσόφημα: συνέβησαν 10 ἑκάτεροι ἐς ταὐτό, ὥστε διακριβοῦντός τινος ἀκοῦσαι τὰ ἰσοκώδικα, καὶ αἱρετὸν τοῦτον ποιήσασθαι δικαστήν, καὶ ὅπερ ἂν ἐκεῖνος διαγνοίη, τοῦτο σφίσιν εἶναι ἀμετακίνητον ὅριον. Ἐπὶ τῷ συστήματι τούτῳ καὶ τὴν βασιλεύουσαν κατειλήφασι· καὶ τῷ κρατίστῳ προσεληλύθασι βασιλεῖ. Εἶτα δὴ ἐκείνου πρὸς ἄλλοις 15 σχολάζοντος, ὑπεξελόντες τοῦτον ὡς ἀμίμητον πίνακα, τὰ πρῶτα τῶν κρινόντων ἐμὲ τεθείκασι· καὶ τὴν ἐμὴν γλῶτταν καὶ γνώμην ἀποχρῶντα εἰς συνθήκην αὐτοῖς ἐνόμισαν.

Ἐγὼ δέ σε κἀνταῦθα τιμῆσαι βουλόμενος, ἱστορίας ἀνεμνήσθην ἀρχαίας, καὶ ἐμιμησάμην τὴν πλάσιν τοῦ διηγήματος. 20 Οὕτω γοῦν ποτε καὶ ἁλιεῖς, ἐς ἄγραν ἰχθύων ἀφιέντες δίκτυα, τὸν Πυθικὸν ἐθήρασαν τρίποδα. Μεῖζον ἢ καθ' ἑαυτοὺς τὸ θήραμα ἡγησάμενοι, τῷ σοφῷ δοῦναι τοῦτον συνεψηφίσαντο. Δέκα δὲ τηνικαῦτα ἐτύγχανον ὄντες τοῦ λόγου τὰ πρωτεῖα καὶ τῆς γνώμης ἔχοντες. Ἀλλὰ προσιόντας αὐτοῖς μετὰ τοῦ δώρου, ὁ 25 πρῶτος τῷ δευτέρῳ ὡς σοφωτάτῳ παρέπεμψε, καὶ (ἵνα μὴ λέγω

1 ἡ Ἀτζικώμη: cf. Π 221,1 οἱ Ἀτζικωμῖται ‖ **2** τῆς – ἐπαρχίας: Ὀψίκιον, cf. Π 221 ‖ **11** αἱρετὸν – δικαστήν: cf. Psel. Λόγος ἐπὶ τῷ ἐν Βλαχέρναις γεγονότι θαύματι = Or. hag. 4,209–217 et 497–506 ‖ **13–14** τῷ – βασιλεῖ: Constantinus X Ducas (imperator: 23/24.XI.1059 – 22/23.V.1067) (Π XVIII)? ‖ **20–28** οὕτω γοῦν – καθιερώθη: cf. Plut. Solon 4

ep. 216 L 21v–22r; tit. L K-D ‖ **1** Ἀτζικώμη corr. K-D: Ἀτζικόμη L **9** φιλοσοφῆσαι : ἡσυχάσαι suprascr. L ‖ **14** ἄλλοις corr. K-D: ἀλλήλοις L **22** δοῦναι τοῦτον δοῦναι ante corr. L | συνεψηφίσαντο corr. K-D: συνεψηφίσατο L

μακρηγορῶν) ὁ ἔννατος τῷ δεκάτῳ, καὶ οὗτος τῷ Ἀπόλλωνι, ὡς πρώτῳ σοφῷ· καὶ τοῦτον τὸν τρόπον, ὁ τρίπους τῷ μαντείῳ καθιερώθη.

Εἰ μὲν οὖν βούλει, ὡς μετ' ἐμὲ δεύτερος καὶ σοφώτερος, τοῖς χωρίταις λῦσον τὴν ἀμφισβήτησιν. Εἰ δ' οὖν, ἔσο ἑνδέκατος σοφός· 30 εἰκὸς γάρ σε καὶ κρείττονα εἶναι τοῦ μαντικοῦ ἐκείνου Ἀπόλλωνος. Πλὴν τοσοῦτον διάφερε τοῦ Ἑλληνικοῦ τούτου θεοῦ· μὴ ἀνέλῃς αὐτοῖς λοξὸν τὸν χρησμόν. Ἀλλ' οἶσθ' ὃ ποιήσεις; Μετένεγκε τὸν θεσμόν· καὶ τοὺς μὲν εἰς Ἀπόλλωνος σχῆμα κατάστησον, καὶ τὴν ἀμφισβητήσιμον τούτοις διφθέραν ὡς χρησμὸν νόμισον διδόμενον 35 Ἀπόλλωνος. Εἶτα δὴ σὺ ὥσπερ Ἕλλην ἀνήρ, ὁποῖος ὁ Θεμιστοκλῆς ἐκεῖνος ἐτύγχανεν ὤν, ξύνες τὴν τοῦ Λοξίου διάνοιαν· καὶ γνῶθι τὸ παρὰ τῷ θεοπρόπῳ ξύλινον τεῖχος, ὅτι τὴν παρὰ τῶν νεῶν φρουρὰν αἰνίττεται.

Ἀλλὰ μὴ τοῦτο· οὐ γὰρ εἰς τοῦτο ἡμῖν ὁ νέος τῷ ἰσοκώδικι 40 τείνει χρησμός. Ἀλλὰ δίελέ μοι τοὺς παρ' ἑκατέρων στίχους· καὶ ὅτῳ ποτὲ γνοίης τῶν χωρίων προσῆκον τὸ ἀμφιδοξούμενον, ἐκείνῳ τὸ πρᾶγμα βεβαίωσον. Καὶ ἵνα μὴ παλιμφυὴς ἡ Ὕδρα γένηται μετὰ τὴν τομήν, τὸ τετμημένον ἐπίκαυσον. Πῶς τοῦτο; οὐ γὰρ πυράγραν μετακεχείρισαι (ἐρεῖς ἴσως), οὐδὲ καμινεὺς ὢν 45 τυγχάνεις, ἀλλ' ἀνὴρ φιλόσοφος ἅμα καὶ διανομεὺς τοῦ δικαίου.

36–39 ὥσπερ – αἰνίττεται: Herod. 7,141–143 τεῖχος ... ξύλινον ... οἱ θεοπρόποι ἀπήγγελλον ... οἱ δ' αὖ ἔλεγον τὰς νέας σημαίνειν τὸν θεόν ... ἦν δὲ τῶν τις Ἀθηναίων ἀνὴρ ἐς πρώτους νεωστὶ παριών, τῷ οὔνομα μὲν ἦν Θεμιστοκλέης, cf. Plut. Them. 10 cum Psel. Ἕτερος λόγος πρὸς … Κωνσταντῖνον τὸν Μονομάχον = Or. pan. 4,384–386, Λόγος ἐπὶ τῷ ἐν Βλαχέρναις γεγονότι θαύματι = Or. hag. 4,359–360, et Π 59,25–26; cf. etiam Synes. Cyren. Περὶ ἐνυπνίων 3,3,8–9 et Π 134,5–7 ‖ **43** παλιμφυὴς – Ὕδρα: Lucian. Ἔρωτες 2 τῆς παλιμφυοῦς Ὕδρας. cf. Psel. Εἰς … Κωνσταντῖνον τὸν Ξιφιλῖνον, ἀξιώσαντα αὐτὸν μεταβαλεῖν τὸ … Ὄργανον ἀπὸ τοῦ ἀσαφοῦς ἐπὶ τὸ σαφές = Phil. min. I 5,58 τῆς παλιμφυοῦς ὕδρας ἐλάττων ‖ **43–49** ἵνα – ἐξήρκεσε: de Hydra cf. e.g. Greg. Naz. Epist. 156,1 μέγας ἐν ἀνθρώποις ὁ Ἡρακλῆς, ... ἀλλ' οὐκ ἂν τοσοῦτος ἦν, εἰ μὴ τὸν Ἰόλαον εἶχε συναγωνιζόμενον, καὶ κατὰ τῆς Ὕδρας μάλιστα, τοῦ πικροῦ τούτου καὶ πολυκεφάλου θηρίου, ἧς ὃ μὲν ἐξέτεμνε τὰς κεφαλάς, ὃ δὲ ἐπέκαιεν, cf. Psel. Εἰς … Κωνσταντῖνον τὸν Ξιφιλῖνον, ἀξιώσαντα αὐτὸν μεταβαλεῖν τὸ … Ὄργανον ἀπὸ τοῦ ἀσαφοῦς ἐπὶ τὸ σαφές = Phil. min. I 5,49–71 et Π 419,8–11

39 νεῶν corr. K-D: νέων L

Ἀλλ’ ἐγὼ πρὸς ἀναλογίαν τὴν λέξιν εἴρηκα· ὅπερ γὰρ τὸ πῦρ ἐγεγόνει τῷ Ἡρακλεῖ, καὶ πρὸς τὰς τομὰς τῆς πολυκεφάλου Ὕδρας ἐξήρκεσε, τοῦτο δή σοι τὸ παρ’ ὑμῖν τοῖς δικασταῖς ὀνομα-
50 ζόμενον ἔσται ὑπόμνημα.

217. ⟨Πόθῳ⟩ τῷ υἱῷ τοῦ δρουγγαρίου

K-D 41 [L]

Τοιοῦτοί εἰσι, λογιώτατε ἀνεψιέ, οἱ ποιητικοὶ πίθοι ἐν Διὸς οὔδει κείμενοι, ὧν ἅτερος μὲν εὐδαιμονίας, ἅτερος δὲ κακοδαιμονίας ἐμπέπλησται. Καὶ ὅταν μὲν ἀναμὶξ τὰ διαφέροντα ἐπιρρεύσωσι, μεμιγμένον ἐστὶ καὶ τὸ ῥεῦμα ἐκ τῆς ἀμφοῖν ἰδέας· ὅταν δέ τῳ ἡ
5 εὐδαιμονία προχεθῇ ξύμπασα, τότε τις καὶ παρὰ θατέρου πίθου κίνδυνος γυμνὸς ὑποπτεύεται. Ὁποῖος δή σοι συμβέβηκε, τὸν ἕτερον τῶν πίθων προαναλώσαντι. Ἀλλ’ οὗτος καὶ πάλιν ἐμπέπλησται, καὶ ἡ διαδοχὴ ἐκ τοῦ ἀνομοίου πρὸς τὸ ἀνόμοιον· δεῖ γάρ σε καὶ τῆς ἐναντίας πειραθέντα μερίδος, αὖθις
10 ἐπανεληλυθέναι παρὰ τὴν κρείττονα. Καὶ ἀλγεῖς μὲν εἰκότα, καὶ κατατρέχεις γενναίως τῶν ἰταμώτερόν σοι προσενηνεγμένων καὶ συνελασάντων εἰς κίνδυνον. Ἀλλὰ μηνῖσαν ὁπόσον ἐμεμήνει περὶ σὲ τὸ δαιμόνιον, ἅτε δή σοι βασκαῖνον τῆς ἐπὶ πᾶσιν εὐκλείας, καὶ οἷον θηριώδους νομῆς κορεσθέν, μαλακώτερόν τε γεγένηται, καὶ
15 οὐκέτι σοι προσβαλεῖ· ἀπήντησε γὰρ ἐπ’ ἀκμαζούσῃ τῇ τύχῃ, καὶ ἀντικατέστη πρὸς τὴν ὑπεροχὴν γενναιότερον· ἥττηται δέ σου ἤδη, καὶ ἡττηθήσεται ἐπὶ μᾶλλον φιλοσοφήσαντος.

Ἀλλ’ ὁ μὲν λόγος ἐκ τῶν τῆς φιλοσοφίας ἀδύτων, καὶ οἷος διομαλίσαι ψυχὴν ἐκεῖσε ἀναδησαμένην τὰ ἑαυτῆς πείσματα. Οὐκ

1–3 οἱ – ἐμπέπλησται: Hom. Il. 24,527–528 δοιοὶ γάρ τε πίθοι κατακείαται ἐν Διὸς οὔδει / δώρων οἷα δίδωσι κακῶν, ἕτερος δὲ ἑάων. cf. Psel. Ἀλληγορία τοῦ παρ’ Ὁμήρῳ Ἰθακησίου ἄντρου = Phil. min. I 45,54–61, Ἐγκωμιαστικὸς εἰς … Μιχαὴλ τὸν Κηρουλλάριον = Or. fun. I 1,7,9–13, et Εἴς τινα κάπηλον γενόμενον νομικόν = Or. min. 14,170–171, Π 87,72–73, Π 194,7–8, et Π 223,3–4

48 post Ἡρακλεῖ scholium ὁ Ἡρακλῆς κατέκαιε μίαν κεφαλὴν τῆς ὕδρας, ἤγουν τοῦ θηρίου τοῦ εἰς τὸν πηλὸν [sic] τὴν λέρναν, καὶ αὖθις ἐξήρχοντο δέκα inclusit et postea expunxit L ‖ **ep. 217** L 22v–23v; tit. scripsi: τῷ υἱῷ τοῦ δρουγγαρίου L K-D ‖ **19** πείσματα : ὁρμὰς suprascr. L

ἄχρι δὲ τούτου σοι τὰ ἰάσιμα, ἀλλὰ καὶ πολιτικωτέραν σοι τὴν θεραπείαν προσηγηόχαμεν. Ἑσπέρας μὲν γὰρ τὸ σὸν γράμμα ἐνεχειρίσθη μοι· καὶ ὁ καιρὸς οὐκ ἐδίδου τὴν εἰς τὰ βασίλεια ἄφιξιν. Οὔπω δὲ ἕως ὑπέφαινε, καὶ ἡμεῖς αὐτίκα ἐμψύχῳ καὶ δικαίῳ θυμῷ περὶ σοῦ ἐς τὸν κρατοῦντα ἐξιππασάμεθα. Καὶ ὥσπερ οἱ Ἀθήνησι ῥήτορες τοῖς πρυτάνεσι, περὶ ὧν αὐτοὶ προῄρηνται, πρώτως χρηματίζοντες προὔτρεπον, οὕτω δὴ κἀγώ σοι τῷ βασιλεῖ περὶ πρώτου τοῦ σοῦ ἐδεόμην γράμματος. Καὶ αὐτίκα πολλοὶ ἐκ συνθήματος εἰς τὸ αὐτό μοι συνεκπεπνεύκεσαν· καὶ ὁ μὲν γραμματοεισαγωγεὺς τὸ πρὸς τὸν βασιλέα σου γράμμα ὑπανεγίνωσκεν, αἱ δ' ἐφ' ἑκάτερα μερίδες τοῦ βασιλείου βήματος ἄλλος ἄλλο τι τῶν περὶ σοῦ συνεφόρει, ἐμοὶ καθάπερ ἡγεμόνι τῆς τραγικῆς ἑπόμενοι διαλέξεως, ἐπεὶ καὶ ἀκριβῶς ὑπετραγῴδησά σοι τὸ πάθος, κάλλιον ἐν γλώττῃ τὸ δρᾶμα ὑποκριθείς, ἢ σύ ὁ γράψας ἐν γράμμασι, καὶ πάντα σοι τὰ συμβεβηκότα ἐπιδραμὼν ἀκριβῶς καὶ περιπαθῶς. Ὁ δὲ θαυμάσιος θεῖος ἐπὶ πᾶσιν ἐδάκρυε· καὶ προσθεῖναί τι τῷ λόγῳ βουλόμενος, τῷ πνεύματι διεκόπτετο. Καὶ ὁ βασιλεὺς αὐτίκα οἴκτου τε ἐμπίπλαται καὶ θυμοῦ (οἴκτου μὲν ἐπὶ σοί, θυμοῦ δὲ κατὰ τῶν ἐπὶ σὲ τολμησάντων)· καὶ τοῦ θεμιστεύειν αὐτίκα κατωλιγωρηκώς, τῆς ὑπὲρ σοῦ ἀγανακτήσεως εἴχετο.

Καὶ τὸ μὲν τῆς ὀργῆς μέγεθος ἡ τιμωρία δείξει σαφῶς. Σὺ δέ μοι μὴ τοῦτο ἡγοῦ φιλοσοφίαν τὸ διαλεκτικῇ χρῆσθαι, ἢ ἐκ τῶν προτέρων τὰ ὕστερα συλλογίζεσθαι, ἢ τὴν φύσιν (εἰ δέῃ) τοῦ μετεώρου ⟨θεωρεῖν⟩, ἀλλὰ καὶ τὸ πᾶν ἦθος καὶ πρᾶξιν τοῖς τῆς

26–27 τῷ βασιλεῖ: Constantinus X Ducas (imperator: 23/24.XI.1059 – 22/23.V.1067) (Π XVIII)? ‖ **35** ὁ δὲ θαυμάσιος θεῖος: patruus Pothi ‖ **41–45** σὺ – κανόσι: cf. e.g. Psel. Ὑπὲρ τοῦ νομοφύλακος κατὰ τοῦ Ὀφρυδᾶ = Or. for. 3,135,143 φιλοσοφία δὲ τοῦ νοῦ ἡ βοήθεια, ἧς τἄλλα μὲν εἰς ἄκρον ἐξεπαιδεύθη, ἀποδεικτικήν τέ φημι μέθοδον, καὶ φύσεως κατανόησιν, καὶ ὅσα κατὰ ταύτην κινεῖται, ἔτι δὲ μετεώρων κατάληψιν καὶ τῶν ὑπὲρ τὴν αἴσθησιν, τὴν διὰ νοῦ θεωρίαν, καὶ τἄλλα, ἵνα μὴ καθ' ἕκαστον λέγω οἷς ἐκείνη σεμνύνεται. τοῦτο δὲ μᾶλλον ταύτης τὸ μέρος θαυμάσας πρακτικὴν ἠγκαλίσατο, καὶ πρὸς τὸ ἦθος κέκτηται τὴν ἀναφοράν, καὶ κοσμεῖ τὸν ἐντὸς ἄνθρωπον τὸ νῦν συνάπτων ἀπὸ τῆς αἰσθήσεως

25 πρυτάνεσι : τοῖς οἰκονόμοις suprascr. L ‖ **26** χρηματίζοντας K-D ‖ **29** σου corr. K-D: σοι L ‖ **44** θεωρεῖν add. Malt[5],250: lacunam post μετεώρου indic. K-D (corr. Maas)

45 ἐπιστήμης παραξέειν κανόσι, καὶ μήτε μικροψυχεῖν ἐπὶ τοῖς συμπίπτουσι, μήτε ἀπαγορεύειν ἐπὶ τοῖς ἀπροσδοκήτοις κακοῖς, ἀλλὰ πειρᾶσθαι μὲν ἐκ παντὸς τρόπου πεφευγέναι τὸ πειρατήριον, ἅπαξ δὲ ἐν τῷ ἀκινδύνῳ καταστάντα, ἑαυτοῦ γίνεσθαι καὶ μεμνῆσθαι τοῦ ἀξιώματος. Τὸ δέ γε βοᾶν καὶ τρόπον τινὰ στερνοτυπεῖ-
50 σθαι οὐκ ἀνδρεῖον οὐδὲ φιλόσοφον· οὔπω γὰρ οὐδὲ τὸν θεῖον ἐν τῷ ἀσφαλεῖ τῆς γνώμης κατέστησας, ἀλλά σοι κινδυνεύει μετὰ τὸν κίνδυνον, καὶ ὥσπερ ὀνειρώττειν δοκεῖ τὰ σὰ παθήματα. Καὶ εἰ μή γε διὰ γράμματος τούτῳ κατοπτευθείης ἐπ' ἀσφαλοῦς τῆς γῆς βεβηκώς, αὐτός σοι τάχα ἰλιγγιάσας περιτραπήσεται.

218. Τῷ αὐτῷ

⟨Πόθῳ⟩ τῷ υἱῷ τοῦ δρουγγαρίου

K-D 42 [L]

Οἱ πρῶτοι τὰς μεγίστας τῶν ἐπιστημῶν εὑρηκότες, σοφώτατε

49–50 τὸ – φιλόσοφον: cf. Synes. Cyren. Epist. 132,1–12 τὸ μὲν τὰς γυναῖκας βοᾶν καὶ στερνοτυπεῖσθαι ... ἧττον ἂν δόξειεν εἶναι δεινόν· ... τὸ δὲ καὶ σὲ ταὐτὸν ἐκείναις πλημμελεῖν ... πῶς ἔτι ταῦτα οἰστά; ‖ **1–7** οἱ πρῶτοι – συγκεκροτήκασι: cf. Strab. Γεωγραφικά 16,2,24,1–10 Σιδώνιοι ... καὶ φιλόσοφοι περί τε ἀστρονομίαν καὶ ἀριθμητικήν, ἀπὸ τῆς λογιστικῆς ἀρξάμενοι καὶ τῆς νυκτιπλοίας· ἐμπορικὸν γὰρ καὶ ναυκληρικὸν ἑκάτερον· καθάπερ καὶ τῶν Αἰγυπτίων εὕρεμα γεωμετρίαν φασὶν ἀπὸ τῆς χωρομετρίας, ἣν ὁ Νεῖλος ἀπεργάζεται συγχέων τοὺς ὅρους κατὰ τὰς ἀναβάσεις. τοῦτο μὲν οὖν παρ' Αἰγυπτίων ἥκειν εἰς τοὺς Ἕλληνας πεπιστεύκασιν, ἀστρονομίαν δὲ καὶ ἀριθμητικὴν παρὰ Φοινίκων et Procl. In Eucl. 64,16–65,5 ἐπεὶ δὲ χρὴ τὰς ἀρχὰς καὶ τῶν τεχνῶν καὶ τῶν ἐπιστημῶν πρὸς τὴν παροῦσαν περίοδον σκοπεῖν, λέγομεν, ὅτι παρ' Αἰγυπτίοις μὲν εὑρῆσθαι πρῶτον ἡ γεωμετρία παρὰ τῶν πολλῶν ἱστόρηται, ἐκ τῆς τῶν χωρίων ἀναμετρήσεως λαβοῦσα τὴν γένεσιν. ἀναγκαία γὰρ ἦν ἐκείνοις αὕτη διὰ τὴν ἄνοδον τοῦ Νείλου τοὺς προσήκοντας ὅρους ἑκάστοις ἀφανίζοντος. καὶ θαυμαστὸν οὐδὲν ἀπὸ τῆς χρείας ἄρξασθαι τὴν εὕρεσιν καὶ ταύτης καὶ τῶν ἄλλων ἐπιστημῶν, ἐπειδὴ πᾶν τὸ ἐν γενέσει φερόμενον ἀπὸ τοῦ ἀτελοῦς εἰς τὸ τέλειον πρόεισιν. ἀπὸ αἰσθήσεως οὖν εἰς λογισμὸν καὶ ἀπὸ τούτου ἐπὶ νοῦν ἡ μετάβασις γένοιτο ἂν εἰκότως. ὥσπερ οὖν παρὰ τοῖς Φοίνιξιν διὰ τὰς ἐμπορείας καὶ τὰ συναλλάγματα τὴν ἀρχὴν ἔλαβεν ἡ τῶν ἀριθμῶν ἀκριβὴς γνῶσις, οὕτω δὴ καὶ παρ' Αἰγυπτίοις ἡ γεωμετρία διὰ τὴν εἰρημένην αἰτίαν εὕρηται

ep. 218 L 23v–24v; tit. L K-D

ἀνεψιέ, ἀπὸ τῶν αἰσθητῶν πραγμάτων τὰς ἀφορμὰς τούτων εἰλήφασιν. Οἱ μὲν γεωμέτραι ἀπὸ τῶν κατὰ τὴν Αἴγυπτον τομῶν τε καὶ διαιρέσεων, οἱ δέ γε ἀριθμητικοὶ ἀπὸ τῶν ἐν Φοίνιξι λογισμῶν τε καὶ παραθέσεων, καὶ οἱ τὴν ἀστρονομίαν 5 ἠκριβωκότες ἀπὸ τῶν ναυτικῶν παρατηρήσεων ταύτην συγκεκροτήκασι· καὶ τοῖς τὴν μουσικὴν δὲ συνθεμένοις ψόφοι τινὲς ἐν χαλκείοις γινόμενοι τὰς ἀρχὰς εἰσηγήσαντο· καὶ νῦν δὲ ἡ πολυθρύλλητος ἁρμονική, καὶ ἧς κλέος οἶον ἀκούομεν, ἀπὸ τῶν καθαπτῶν ὀργάνων καὶ τῆς περὶ τὰς χορδὰς ποικιλίας ἔχει τὴν 10 κατανόησιν.

Τί ποτ' οὖν ταῦτα φημί; ὅτι καὶ σοὶ διαίρεσιν ἐπιτετραμμένῳ παρὰ τοῦ βασιλέως, καὶ περιγραφὰς γηδίων τινῶν ἀμφισβητουμένων, τῷ τε εὐγενεστάτῳ τούτῳ Δριμεῖ καί τισι χωρίταις ἐνδείκταις, ἔξεστιν ἢ ἀπὸ τῶν αἰσθητῶν τουτωνὶ διαιρέσεων εἰς 15 τὴν διαιρετικὴν μέθοδον τῆς διαλεκτικῆς ἀναπεμφθῆναι, ἢ ἐκεῖθεν μᾶλλον ἀξιωματικώτερον ἐπὶ ταύτην καταβεβηκέναι· ἐξ ἀμφοῖν γὰρ τὸ συλλογίζεσθαι, ἀλλὰ κάτωθεν μὲν ἐπαγωγικώτερον, ἄνωθεν δὲ συλλογιστικώτερόν τε καὶ ἀκριβέστερον. Εἰ δέ γε μὴ τῶν γεωμετρικῶν σχημάτων ἐπιλέλησαι, ἃ δή σοι αὐτὸς ἐν ταῖς 20 κοιναῖς σπουδαῖς συνεφιλοσόφησα, γνοίης ἂν τήν τε ὅλην τούτων ἐν τῇ διαιρέσει σύνταξιν, καὶ μετρήσαις ἀπὸ τῶν πλευρῶν τὰ ἐμβαδά· ὥσπερ γὰρ ταῖς ἀναλόγοις γωνίαις τὰς ἰσότητας τῶν πλευρῶν διδασκόμεθα, καὶ ταῖς τῶν πλευρῶν ἀναλογίαις τὰ μέτρα τῶν γωνιῶν, οὕτω δὴ καὶ ἀπὸ τῶν πλευρῶν ἢ τῶν περιμέτρων 25 τῶν περιγεγραμμένων χωρίων τὸν ἀριθμὸν ἀνευρίσκομεν.

Τί ποτε δέ σοι βούλεται, λογιώτατε, τὸ γεωμετρεῖν μὲν ἐθέλειν καὶ ἀριθμητικῶν ἐπηβόλῳ εἶναι, καὶ μουσικῆς δὲ μᾶλλον εἰδέναι τὴν ἁρμονίαν καὶ τοὺς ῥυθμούς, τὴν δέ γε ἀστρονομίαν ἀποιωνίζεσθαι; Εἰ μὲν γὰρ πρὸς τὸ ἀστρολογεῖν διαβέβλησαι, ὅτι 30 δὴ τὰς ἡμετέρας προαιρέσεις οἱ περὶ τοῦτο ἐσπουδακότες τῶν ἄστρων φορᾶς ἐξαρτῶσι, κἀγώ σοι τῷ βουλήματι τίθεμαι· καὶ ὑποθείμην ἂν ἀποτροπιάζεσθαι τὴν ἐντεῦθεν ἀνάγκην τῶν ψυχῶν,

9 κλέος – ἀκούομεν: Hom. Il. 2,486 ἡμεῖς δὲ κλέος οἶον ἀκούομεν, cf. Π 173,5
13 τοῦ βασιλέως: Constantinus X Ducas (imperator: 23/24.XI.1059 – 22/23.V.1067) (Π XVIII)?

23 ἐμβαδά : τὰ ἔσωθεν in marg. L

οἷον συνδυομένων τοῖς ἄστροις καὶ αὖθις συνανατελλουσῶν. Εἰ δ'
35 ὥσπερ ἐξεπίτηδες ἐπιμύεις, ὁπόσα περὶ τὴν σφαῖραν τεθεώρηται
τοῖς σοφοῖς, τοῦτο δέ σου οὐκ ἀποδέχομαι· ἔστι γάρ τις ἐντεῦθεν
μερὶς ἀναγωγῆς πρὸς τὸν ἀρχιτέκτονα τοῦ παντός· λυμαίνει δέ
πως καὶ τῷ τῆς μαθηματικῆς ἀξιώματι, ὥσπερ ἑνὸς ζῴου τὴν
κεφαλὴν παραιρούμενον.

40 Ἀλλὰ τοῦτο μὲν ὅπη σοι φίλον ἔστω, τῷ δέ γε Δριμεῖ κατακέρασόν τι τοῦ σοῦ μέλιτος· οὐ ψεύδεται γὰρ αὐτῷ τοὔνομα, νῦν
πάσης ἐμπεπλησμένῳ δριμύτητος. Ἀλλὰ γενοῦ αὐτῷ ἀντίθετος
πρὸς τὴν φορὰν τοῦ καιροῦ· καὶ ἐπίσταξον μὲν αὐτῷ οἷα δή τινα
χάριν τὴν σὴν εὐγλωττίαν, ἄφελε δὲ αὐτῷ καὶ τὸ πολὺ τῆς δριμύ-
45 τητος, πλέθρα προσποιησάμενος αὐτῷ ἡμερώτατα.

219. Τῷ κριτῇ τοῦ Ὀψικίου ⟨Πόθῳ (?)⟩

K-D 97 [L]

Λύσαντες ἐκ Τριγλείας τὴν ὑπώρειον ἀκτὴν παρεπλέομεν,
σύμπλουν ἡμῖν τὸν μέγαν ἀσκητὴν Ἠλίαν ἔχοντες. Διὰ τοῦτο οὖν,
ἥ τε θάλασσα ὁμαλῶς τῇ νηῒ ὑπεστόρεστο, καὶ πάντα γαλήνης
ἐγεγόνει μεστά.

5 Ἀλλ' ἡ μὲν ὑγρὰ τοῦ κλύδωνος δι' αὐτὸν ἐπελέληστο, ὁ δὲ
πολλοῖς ἐκορυφοῦτο τοῖς κύμασι, πηδώσης αὐτῷ τῆς καρδίας
θαμὰ καὶ τὴν ψυχὴν ἐνοιδούσης, ὡς ῥοθίοις τοῖς πάθεσιν. Αὐτίκα
γοῦν ἐμέμνητο, οὐ τοῦ Καρμήλου ὄρους, οὐδὲ τῆς ἄλλης ἀναχωρή-

2 τὸν – Ἠλίαν: de eoque cf. Π 77,9–10 = Π 130,10–11, Π 188,6, Π 220,3, Π 253,1, Π 254,1, Π 288,1, Π 326,1, Π 327,1, et Π 450,1. cf. etiam Π 543,1? **6** πηδώσης – καρδίας: cf. e.g. Plat. Συμπόσιον 215e2 et Ἴων 535c8 ἡ καρδία πηδᾷ et Τίμαιος 70c1 τῇ ... πηδήσει τῆς καρδίας. cf. Psel. Χρονογραφία VII,26 et Π 433,1–2 ‖ **8–15** ἐμέμνητο – κεκρύφαται: cf. Π 541,8–14 τίς περὶ τῶν μαινάδων φήσῃ καὶ διαφορὰς τούτων καταριθμήσειε, καὶ ὀνόματα, τίς ἡ Λαΐς λέγων, ἡ Λέαινα, ἡ Σινώπη, ἡ Πυρρίνη, ἡ Σκιώνη, τίς δι' ἀπορίαν τοῦ πρωκτοῦ τὰς κόμας τίλλεται, καὶ τίς πολλὰ χρήματα δοὺς ἀπήλλακται τοῦ δεσμοῦ, καὶ τἆλλα ὅσα οἱ τῆς κάτω μοίρας καὶ πράττειν καὶ λέγειν εἰώθασιν ἅπαντες; ‖ **8** τοῦ – ὄρους: III Reg. 18,19–20 et 42; cf. Psel. Ἐγκώμιον εἰς τὴν

36 σου corr. Diam 304: σοι L K-D ‖ **ep. 219** L 46v–47r; tit. scripsi: τῷ κριτῇ τοῦ Ὀψικίου L K-D ‖ **3** τῇ νηῒ corr. K-D: τὴν νὶ L

σεως, ἀλλ' ὁπόσα μὲν ἐν τῇ πόλει χαμαιτυπεῖα, ὁπόσα δὲ καπη-
λεῖα καὶ πόσαι μὲν τῶν ἑταιρουσῶν γυναικῶν ἀκριβῶς τὴν τέχνην 10
ἠσκήκασι, πόσαι δὲ οὐκ ἀκριβῶς τῷ πράγματι ἥρμοσαν. Κατεγί-
νωσκεν οὖν, εἴ τις καπηλὶς μὴ καὶ προεστήκοι, ἢ ἑταιρὶς μὴ καὶ
μαστροπεύοι, ἢ καὶ προαγωγὸς μὴ καὶ ἑταιρεῖν βούλοιτο. Ἐποι-
εῖτο δὲ καὶ κατάλογον, ὁπόσαι μὲν εἰς προὖπτον στρατεύοιντο,
ὁπόσαι δὲ λοχίζουσι καὶ κεκρύφαται. Καὶ θαυμασία τοῖς πολλοῖς 15
ἐγεγόνει διατριβή.

Αὐτίκα γοῦν οἱ ἀπὸ Συκῆς τοῦτον κωπεῖς ἐξεθείαζον, καὶ τῶν
ἐπιβατῶν μερὶς οὐκ ὀλίγη, ὁπότε μάλιστα ἀποτάδην διῄει τῶν
ἑταιρουσῶν τὰ ὀνόματα, καὶ περὶ τοὺς καταλόγους τὴν γλῶτταν
ἦν ἐπιτρόχαλος. Ἐγὼ δὲ καὶ λίαν ἐθαύμαζον, ὅτι μὴ λαίλαπες τὴν 20
θάλασσαν καταιγίζουσι, μηδὲ ὁ πόντος ταράττοιτο, ἀλλὰ τῷ μὲν
Ἰωνᾷ, βραχύ τι τῆς προνοίας παραδοξάσαντι, ἀνίστατο ἡ ὑγρά,
καὶ θῆρες αὐτὸν θαλάττιοι περιέχαινον, τοῦτον δέ καὶ τῇ γλώττῃ
καὶ τοῖς ἐνθυμήμασιν ἀσελγαίνοντα, οὐδέν τι τῶν δεινῶν
περιίστατο. 25

Ἀλλ' οὗτός μοι τὸν λογισμὸν ἐξιάσατο, καὶ τὸ ἄπορον διελύ-
σατο, φήσας μέχρι τῆς γλώττης πορνεύειν, τὴν δέ γε πρᾶξιν
ἀρνεῖσθαι παντάπασιν. Εἰ μὲν οὖν ἀληθεύει, ἐξ ἡμισείας ἄρα
κακός· εἰ δὲ ψεύδοιτο, μὴ καταπίοι κῆτος αὐτόν· οὐ γὰρ ἂν ἀπεμέ-
σειεν. 30

ἀποτομὴν … Ἰωάννου = Or. hag. 8,111 et Λόγος εἰς … τὸν Μονομάχον = Or. pan. 2,635 et Π 288,1–2
20 ἐπιτρόχαλος: vox ex Dion. Halicarn. (cf. e.g. Dem. 40); cf. Psel. Χρονογραφία II,5; cf. etiam Ann. Comn. Ann. Comn. Ἀλεξιάς II 6,6,8 **21–23** τῷ – περιέχαινον: Ionas 1,3–15 ‖ **29** μὴ – αὐτόν: Ionas 2,1 προσέταξεν κύριος κήτει μεγάλῳ καταπιεῖν τὸν Ιωναν. cf. Psel. Ἕτερος λόγος πρὸς … Κωνσταντῖνον τὸν Μονομάχον = Or. pan. 4,371

11 ἀκριβῶς corr. K-D: ἀκρικῶς L ‖ **13** μαστροπεύοι corr. K-D: μαστροπεύει L

220. Τῷ αὐτῷ

Τῷ κριτῇ τοῦ Ὀψικίου ⟨Πόθῳ (?)⟩

K-D 98 [L]

Ἔστι τις μερὶς τῷ θεῷ, καὶ ἑτέρα τῷ Μαμωνᾷ (ἐκείνῳ μὲν ψυχαὶ καθαραί, τούτῳ δὲ φύσεις ἐμπαθεῖς)· καὶ τρίτη τις τάξις οὐκ ἦν ἄχρι τινός. Ἀλλ' ὅ γε μοναστὴς Ἠλίας καὶ ταύτην ἐκαινοτόμησε, οὐ τῷ θεῷ θεῷ ἢ τῷ Μαμωνᾷ Μαμωνᾷ γεγονώς, ἀλλ' ἀμφοῖν
5 μερίδα τὴν προσήκουσαν δεδωκώς, τῷ μὲν θεῷ τὸ μοναδικὸν σχῆμα, τὴν ἱερὰν ἡμῶν ἄγκυραν, τῷ δέ γε Μαμωνᾷ τὰς τῆς ψυχῆς δυνάμεις, καὶ τὰ τοῦ σώματος ὄργανα. Ἔνθεν τοι ψάλλων θεῷ, πορνεύει τῷ λογισμῷ· καὶ πανημέριος ἀσελγαίνων, μετ' εὐλαβείας τῷ πράγματι πρόσεισι. Δακρύει γοῦν αὐτίκα, καὶ κατὰ
10 πόδας τοῖς πάθεσιν ὁ μετάμελος. Εἶτα δὴ μετατίθεται, καὶ δύο μόνας οἶδε καταγωγάς, χαμαιτυπεῖον καὶ φροντιστήριον. Ἀλλ' ἐντεῦθεν μὲν ἐκεῖσε προσιών, Φιλοκτήτης ἐστίν· ἐκεῖθεν δὲ ἐνταῦθα παραγενόμενος, ἀκριβῶς Ἀχιλλεύς. Ὁ μὲν γὰρ τὸ σκέλος πεπήρωτο, ὁ δὲ «ποδώκης» τῷ ποιητῇ μεμαρτύρηται.

15 Εἰ μὲν οὖν καὶ τρίτον κλῆρον τῷ ἀνδρὶ ἀπομερίσειεν ὁ θεός, ὃς μήτε βασιλεία οὐρανῶν ἐστι μήτε γέεννα, ἀλλά τι ἕτερον παρὰ ταῦτα ἁπλοῦν καὶ ἀσύνθετον, χῶρος αὐτῷ οὗτος ἔσται κατάλληλος· εἰ δ' οὖν, μεταξὺ τοῦ παραδείσου καὶ τοῦ πυρώδους στήσεται ποταμοῦ, τῷ μὲν ἡμίσει μέρει φλεγόμενος, τῷ δὲ ἡμίσει θαλπόμε-

1 ἔστι – Μαμωνᾷ: Mt. 6,24 et Luc. 16,13 οὐδεὶς … δύναται δυσὶ κυρίοις δουλεύειν …οὐ δύνασθε θεῷ δουλεύειν καὶ μαμωνᾷ. cf. Psel. Ἐγκώμιον εἰς … Νικόλαον μοναχὸν … = Or. fun. I 10,6,15–16 et Π 214,10–11 ‖ **3** ὅ – Ἠλίας: de eoque cf. Π 77,9–10 = Π 130,10–11, Π 188,6, Π 219,2, Π 253,1, Π 254,1, Π 288,1, Π 326,1, Π 327,1, et Π 450,1. cf. etiam Π 543,1? ‖ **6** τὴν – ἄγκυραν: proverbium; CPG I 256 (nr. 29) et 365 (nr. 69) et II 118 (nr. 77). cf. Suda κ 1642 et χ 9 ‖ **12–14** Φιλοκτήτης – πεπήρωτο: Hom. Il. 2,718–725 ‖ **14** ὁ – ποδώκης: cf. Hom. Il. 2,860 et passim ‖ **15–23** εἰ μὲν – σατανᾷ: cf. Περὶ τοῦ Φιλεντόλου Ὀλυμπίου (BHG 1322w et 1322y) et Silvano 2018 ‖ **16–17** τι – ἀσύνθετον: cf. Psel. Λόγος χαρακτηρίζων τὴν τοῦ πρωτοσυγκέλλου ἀρετήν = Or. pan. 15,39–40 … τὸ δὲ ἁπλοῦν ἐστι καὶ ἀσύνθετον et Εἰς τὸ 'οὗτος ὁ νῦν καταφρονούμενος …' = Theol. I 59,124–126 ὁ πρῶτος λόγος, ὁ ἁπλοῦς, ὁ ἀσύνθετος, οὐκ ἀμέσως τῷ παχεῖ ἡμῶν ὡμίλησε σώματι. cf. etiam Π 208,7–8 ἑτέρους λόγους εἰδὼς ἁπλοῦς τε καὶ ἀσυνθέτους καὶ μὴ οὓς αὐτοὶ ἴσμεν

ep. 220 L 47r–v; tit. L K-D ‖ **2** καθαραί corr. K-D: κακαραί L ‖ **3** τοῦ νῦν post ἄχρι scripsit et erasit L

νος. Ἢ ἑτερήμερος ἔσται περὶ τοὺς κλήρους, νῦν μὲν ὅλως τρυφῶν, 20
νῦν δὲ ὅλως δεσμούμενός τε καὶ μαστιζόμενος, ὥσπερ ἐνταῦθα
ποιεῖν εἴωθεν, ἡμέρας μὲν ἑαυτὸν διδοὺς τῷ θεῷ, τῇ δὲ νυκτὶ
μερίζων τῷ σατανᾷ.

221. Τῷ κριτῇ τοῦ Ὀψικίου ⟨Πόθῳ (?)⟩

K-D 99 [L]

Οἱ Ἀτζικωμῖται, λογιώτατε ἀδελφέ, μερίς μοι τῶν φροντίδων
γεγόνασιν· ἢ (ἵνα σοι τὸ πᾶν ἐξαγορεύσω τοῦ πράγματος)
ἀντιδιδόαμεν ἀλλήλοις, ὁπόσα ἑκάστῳ ἔξεστιν, οἱ μὲν ἐμοὶ
ὑπηρεσίαν χωριτικήν (δευτερίαν οὗτοί φασι ταύτην), ἐγὼ δὲ ἄλλα
τε, καὶ τὴν παρὰ τοῦ δικαστοῦ τοῦ Ὀψικίου ῥοπήν· οὐ γὰρ ἴσασιν 5
οὗτοι τὸν πραίτορα. Τούτων δὲ τὰ μὲν δέδωκα, ὁπόσα δὴ ἐπ' ἐμοὶ
ἔκειτο, τὰ δὲ δίδωμι νῦν, ἐπικλινῆ σε ποιῶν τούτοις. Εἴ τισι δίκας
ἐπανατείνονται, ἢ ἄλλο τι διαφέρον αὐτοῖς, εἰς σὲ τὴν ἀναφορὰν
ἔχει.

Τὸ μὲν οὖν ἀδικουμένοις αὐτοῖς βοηθεῖν δικαστικὸν πάντως 10
καὶ ἀναγκαῖον τῷ σῷ ἀξιώματι. Τὸ δὲ τάχος ἐπιτιθέναι τῇ
βοηθείᾳ ἔστι μὲν καὶ τοῦτο τοῦ δικαίου μερίς, ἀλλ' ἥ γε φιλία
μᾶλλον ἐπ' αὐτῷ δύναται. Σὺ δὲ καὶ φίλος ἀληθὴς καὶ δικαστὴς
ἀκριβὴς γενοῦ ἐν τούτοις, ὁπόσα παρ' ἀμφοῖν τοῖν ὀνομάτοιν
ἐστίν, ἢ μᾶλλον θάτερον παρὰ θάτερον παρὰ πολὺ ποίησον, 15
ἐπιρρωννὺς τῇ δικαιοσύνῃ μὲν τὴν φιλίαν, τῇ φιλίᾳ δὲ τὴν δικαιο-
σύνην.

20–21 ἑτερήμερος – μαστιζόμενος: Hom. Od. 11,300–304 Κάστορά θ' ἱππόδαμον καὶ πὺξ ἀγαθὸν Πολυδεύκεα, / τοὺς ἄμφω ζωοὺς κατέχει φυσίζοος αἶα· / οἳ καὶ νέρθεν γῆς τιμὴν πρὸς Ζηνὸς ἔχοντες / ἄλλοτε μὲν ζώουσ' ἑτερήμεροι, ἄλλοτε δ' αὖτε / τεθνᾶσιν· τιμὴν δὲ λελόγχασιν ἶσα θεοῖσι ‖ **1** οἱ Ἀτζικωμῖται: cf. Π 216 ad Pothum (cf. l. 1 ἡ Ἀτζικώμη etc.)

ep. 221 L 47v–48r; tit. scripsi: τῷ κριτῇ τοῦ Ὀψικίου L K-D

222. Τῷ αὐτῷ

Τῷ κριτῇ τοῦ Ὀψικίου ⟨Πόθῳ (?)⟩

K-D 100 [L]

Πένης μὲν ὁ παρὼν δικαστής, πλεῖστον δὲ χρόνον προσκαρτερήσας τῷ τοῦ ἱπποδρόμου δικαστηρίῳ, προσδοκίᾳ τινὸς ἀγαθοῦ, οὐκ ἔτυχεν ὧν ἤλπισεν. Ἔστι δὲ ἀγαθὸς τὸν τρόπον, καὶ ταπεινὸς ἄνθρωπος καὶ ἀπερίεργος, καὶ περὶ τὰς κρίσεις
5 ἠκριβωμένος, καὶ οἷον δεῖ εἶναι τὸν ἐξυπηρετεῖσθαι ἁρμόζοντά σοι.

Ἀξιῶ οὖν μᾶλλον καὶ παρακαλῶ, ἵνα καὶ διὰ τὴν ἀρετὴν τοῦ ἀνδρὸς καὶ δι' ἐμέ, οἰκεῖον ἔχῃς αὐτὸν καὶ ὁμιλῇς εὐμενῶς. Οὗτος μὲν γὰρ δοκεῖ ὅτι πυρίνῃ φύσει μέλλει προσπελάζειν, καὶ εὐθὺς ἀπὸ τῆς πόλεως ἤρξατο φρίττειν καὶ δειλιᾶν. Δεῖξον δὲ τούτῳ σὺ
10 τὴν σὴν εὐμενεστάτην καὶ ἡμερωτάτην ψυχήν, ἵνα μετὰ τῶν ἄλλων καὶ οὗτος θαυμάσῃ σε, ἀγνοῶν (ὡς ἔοικε) τὴν ἱλαράν σου φύσιν καὶ προσηνῆ· δεῖ γὰρ τοιοῦτον εἶναί σε τοῖς περὶ σέ, οἷος ἦν ὁ Μακεδὼν Ἀλέξανδρος τοῖς περὶ Κλεῖτον καὶ Παρμενίωνα. Ποταπὸς δὲ ἦν τούτοις ἐκεῖνος; προσφιλὴς καὶ συνήθης, καὶ οὐχ
15 ὡς δεσπότης ἀλλ' ὡς ἑταῖρος· διὰ ταῦτα καὶ τούτων οἱ πλείους ῥᾷστα ἐκείνου προεκινδύνευσαν, καὶ οἱ τῆς αὐτῆς ἑταιρίας ἐκτὸς ἐπεθύμουν τοῦ καταλόγου γενέσθαι τῶν φίλων αὐτοῦ.

Σὺ δὲ (λέγω δὲ ἀκολακεύτως ἐπὶ θεῷ μάρτυρι) κρείττων Ἀλεξάνδρου καὶ τὴν σύνεσιν καὶ τὴν φρόνησιν· τοσοῦτον δὲ
20 ἐλάττων ἐκείνου τυγχάνεις, ὅτι ὁ μὲν τὸν Ἀριστοτέλην εἶχε διδάσκαλον, σὺ δὲ τὸν Ψελλόν.

ep. 222 L 48r, B 121r (fragm.: ll. 19–22), continuat Π 47 = All[1]; tit. L K-D **18–21** σὺ δὲ – Ψελλόν: σὺ δὲ λέγω δὲ ἀ[ca. 40–50 litt.]δρου καὶ τὴν σύνεσιν καὶ τὴν φρόν[ca. 40–50 litt.]τέλην εἶχε διδάσκαλον. σὺ [...] continuat Π 47 et in prox. lin.: + πρὸς τοῦτον ἔγραψε καὶ τὴν διήγησιν B (cf. Π 47,27 in app. crit.) post διήγησιν folia ceciderunt. λέγω δὲ ἀκολακεύτως ὅτι κρείττων Ἀλεξάνδρου καὶ τὴν σύνεσιν καὶ τὴν φρόνησιν πέλεις· ὅτι ὁ μὲν τὸν Ἀριστοτέλην εἶχε διδάσκαλον, σὺ δὲ τὸν Ψελλόν All[1]

223. Τῷ κριτῇ τοῦ Ὀψικίου ⟨Πόθῳ (?)⟩

K-D 116 [L]

Μόλις ποτέ, λογιώτατε δικαστά, καὶ τὴν ἡμετέραν σοφίαν καὶ ὅση τις Ἰταλῶν· ἀλλ' οὐδ' οὕτως ἐβρόντησας, ἀλλ' ἐκπεπιεσμένην τινὰ ῥανίδα ἐπιστολῆς κατεψέκασας, ἐνδεικνύμενος ὥσπερ τὸ ἐν Διὸς οὔδει καθῆσθαι, καὶ συναγορεύειν μὲν τῷ κρείττονι, μὴ ἔχειν δὲ σχολὴν ἐπεστράφθαι καὶ πρὸς ἡμᾶς. Ἀλλὰ πρότερόν γε, 5 ἔλαττον μὲν προσεῖχες τῷ Διί, ἐμοὶ δὲ μάλιστα τὸν νοῦν ἐπέτεινες. Τοιοῦτόν ἐστιν ὁ τοῦ κρείττονος ὀαριστής, ὁποῖος ἐκεῖνος ὁ ἐκ Κρήτης Μίνως, ἐκ περιόδου συγγινόμενος τῷ θεῷ· μᾶλλον δὲ τοιοῦτόν ἐστιν ὁ τῆς εὐδαιμονίας κύκλος, ὃν ἡ κατὰ σὲ δείκνυσιν ἐπαρχία, ἐν λουτροῖς καὶ χάρισιν ἑλιττόμενος. 10

Καὶ ἔρρωσο καὶ ἀπόλαυε τῶν σῶν· εἰ μὲν βούλει, τῶν ἀρχαίων παιδικῶν, ὧν δὴ τὰς ἀρχὰς παρὰ τῆς ἐμῆς γλώττης εἰλήφεις· εἰ δ' οὖν, τῶν νέων τρυφῶν. Εἰ δέ τί σοι ἐμοῦ μέλει, μελέτω καὶ τῶν

1–3 μόλις ποτέ … ἐκπεπιεσμένην τινὰ ῥανίδα ἐπιστολῆς κατεψέκασας: cf. Π 196,1–2 μόλις ποτέ … καὶ ἀπὸ πηγῆς … ῥανίδα βραχεῖαν; ‖ **3–4** τὸ – καθῆσθαι: Hom. Il. 24,527–528 δοιοὶ γάρ τε πίθοι κατακείαται ἐν Διὸς οὔδει. cf. Psel. Ἀλληγορία τοῦ παρ' Ὁμήρῳ Ἰθακησίου ἄντρου = Phil. min. I 45,54–61, Ἐγκωμιαστικὸς εἰς … Μιχαὴλ τὸν Κηρουλλάριον = Or. fun. I 1,7,9–13, et Εἴς τινα κάπηλον γενόμενον νομικόν = Or. min. 14,170–171, Π 87,72–73, Π 194,7–8, et Π 217,1–3 ‖ **7–8** ὁ[1] – Μίνως: Hom. Od. 19,178–179 Μίνως / ... Διὸς μεγάλου ὀαριστής ‖ **11–13** ἀπόλαυε – τρυφῶν: cf. Plat. Γοργίας 482a1–4 εἰ μή τις παύσει τὰ σὰ παιδικὰ τούτων τῶν λόγων … ἀλλὰ τὴν φιλοσοφίαν, τὰ ἐμὰ παιδικά et Synes. Cyren. Epist. 138,14–16 ἐπειδὴ γράφειν δύναμαι, θαμὰ τοῦτο ποιῶ … καὶ ἀπολαύω τῶν ἐμῶν παιδικῶν. cf. Psel. Εἴς τινα κάπηλον γενόμενον νομικόν = Or. min. 14,147 ἵνα μὴ περιττὸς δόξω τὰ σὰ παιδικὰ ὑφαρπάζων, Π 76,36 τὰ σὰ παιδικά, Π 105,17–18 τοιαῦτα τὰ ἐμὰ παιδικά, Π 112,84–85 τῶν ἐμῶν παιδικῶν (τοὺς λόγους φημί), Π 113,105–106 τὴν ἐμὴν πάλαι γλῶτταν … τῶν ἐμῶν … παιδικῶν, Π 117,21–22 τὴν ἐμὴν ἐνδείξαιμι γλῶτταν, καὶ ἢ λέξιν ἀποσμιλεύσω, ἢ συναρμόσω περίοδον, ἢ σχεδιάσω ῥητορικὴν μέθοδον, τὰ ἐμὰ παιδικά, Π 131,47–48 ἵν' ἔχω σκῶψαί σε καὶ προσπαῖξαί σοι, καὶ καλὴν δοῦναι ἐπιστολήν, τὰ σὰ παιδικά, et Π 176,36–37 τὰ σὰ παιδικά

ep. 223 L 59r–v; tit. scripsi: τῷ κριτῇ τοῦ Ὀψικίου L K-D ‖ **2** post Ἰταλῶν lacunam perperam prop. K-D ‖ **7** ὀαριστής: προαγωγός suprascr. L **10** ἑλιττόμενος L (cf. Π 205,4 ἀντελίξῃ): ἐλιττόμενος K-D

ἐμῶν, οὐχ ὥστε μηδὲν ἐκεῖθεν λαβεῖν, ἀλλ' εἴ πως ἐνῆν πάντα
15 ἐκεῖσε βαλεῖν, εἰ βούλει, ὅλον με ἀντὶ τούτων λαβεῖν.

224. Τῷ αὐτῷ

Τῷ κριτῇ τοῦ Ὀψικίου ⟨Πόθῳ (?)⟩

K-D 117 [L]

Οὔπω σοι, φίλτατε ἀδελφὲ καὶ λογιώτατε (τούτοις γὰρ ἐγὼ τοῖς ὀνόμασι ⟨προσαγορεύω⟩ τοὺς παρὰ τὴν ἑτέραν μερίδα καὶ ὑπὸ ἐκείνην γεγονότας διὰ τὸν λόγον), οὔπω τοιγαροῦν σοι τὴν μεγάλην προσάγω ἀξίωσιν, περὶ ὧν σοι καταριθμήσω ταύτην 5 ποιούμενος, εἰ μὴ προλάβῃς αὐτὸς ταύτην τῇ περὶ ταύτης φροντίδι. Πρὸ δὲ τῆς τοῦ ἡλίου ἀνατολῆς, τόνδε σοι τὸν ἑωσφόρον προσάγομεν.

Τίς δὲ ὁ περὶ τούτου λόγος; Νικαεύς τις ἀνήρ—ἀλλὰ τί οὕτως εἴρηκα; Οὗτός σοι ὁ τὴν ἐπιστολὴν δούς, ἐνεγκαμένην τὴν 10 Νίκαιαν κληρωσάμενος, καὶ αὐτάρκη βίον λαχών, ἢ καὶ τοῦ μετρίου ἐλάττονα, βραχύ τι περιέπει γήδιον (Δοχὴ ὄνομα τῷ χωρίῳ), τρέφον γλίσχρως αὐτόν. Πεφόβηται δέ, οὐ τοσοῦτον τὸν πολὺν ὄμβρον, ἢ τὴν ἐμβολὴν τῆς χαλάζης, ἢ τὴν ἀκρίδα τὰ ὡραῖα τούτῳ τέμνουσάν τε καὶ φθείρουσαν, ὅσον οὓς ὑμεῖς οἱ 15 κριταὶ «προελευσίμους» φατέ. Τούτους δὲ οὐδὲν ἕτερον αὐτῷ ἢ ὁ σὸς ἀπελάσειε φόβος.

Ἐπεὶ οὖν καὶ τὸ χωρίον ἔγνως, καὶ τὸν κεκτημένον ὁρᾷς, δὸς αὐτῷ σύνθημά τι τῆς τῶν θηρίων ἀποτροπῆς, ἵν' ἐντεῦθεν ἀπέλθοι τρυφῶν καὶ τῷ ἐμῷ σεμνυνόμενος γράμματι.

225. Τῷ αὐτῷ

Τῷ κριτῇ τοῦ Ὀψικίου ⟨Πόθῳ (?)⟩

K-D 118 [L]

Ἀναμνήσθητι, φιλτάτη ψυχή, ὅτι σε περὶ τοῦ ἐν τῷ θέματι

12–14 πεφόβηται – φθείρουσαν: cf. Exod. 9,18–26 et 10,4–15

ep. 224 L 59v; tit.: L K-D ‖ **2** προσαγορεύω add. K-D. ‖ **ep. 225** L 59v; tit. L K-D

πρωτονοταρίου ἠξίωσα. Εἰ δέ τινες τοῦτον πρὸς τὸν φιλάνθρωπον ἡμῶν βασιλέα διαβεβλήκασι (παρενέτυχον γὰρ καὶ ταῖς διαβολαῖς), ἀλλὰ σὺ μὴ τοῖς λέγουσι πίστευε, ἀλλὰ τὰς τῶν διαβαλλομένων πράξεις ἀκρίβου. 5

Τὸν δὲ ὑπὲρ τοῦ δικαίου ζῆλον μὴ οὕτως ἔχε θερμὸν ὡς εὐθὺς τοὺς ἀδικοῦντας ἐμπιπρᾶν, ἀλλ' (εἴ γε ἐμοὶ πείθῃ) μὴ ἀπορριζοῦν βούλου τὰ κακά· οὐ γὰρ δυνήσῃ. Ἀλλὰ τὸ μὲν τῶν ἀδικημάτων ἔκκοπτε, τὸ δὲ θεράπευε, τὸ δὲ ἔπεχε· ὁπόσα δὲ λεπτότερα, δόκει καὶ παρορᾶν· οὕτω γὰρ καὶ σαυτὸν ἐργάσαιο ἀνεπίληπτον, καὶ 10 τοῖς ἀδικουμένοις ἀρκοῦσαν δοίης παραμυθίαν.

226. Τῷ αὐτῷ

Τῷ κριτῇ τοῦ Ὀψικίου ⟨Πόθῳ (?)⟩

K-D 119 [L]

Ἐμός ἐστιν οὗτος ὁ τὴν γραφὴν ἐγχειρίζων σοι, οὐκ ἐν γειτόνων οἰκῶν, οὐδ' ἄλλως προσομιλῶν μοι, ἀλλ' ὑπὸ τὴν ἐμὴν χεῖρα τελῶν. Σεμνὸς μὲν γὰρ τὸ γένος, καὶ τὰ στρατιωτικὰ δραστήριος, πειραθεὶς δὲ ἔκ τινος περιπετείας τῆς τοῦ βίου κακότητος.

Ἔκρινε γοῦν καθ' ἑαυτὸν ζῆν καὶ οἴκοι καθῆσθαι, καὶ ἀντὶ τοῦ 5 χρῆσθαι δόρατι, ἄροτρον καὶ βόας μεταχειρίζεσθαι. Ἐπεὶ δὲ οὐδὲ τὰ κατ' οἶκον αὐτῷ ἀνεπηρέαστα, ἀξίου τοῦτον δι' ἐμὲ τῆς σῆς ἀντιλήψεως· καὶ γνώριζε καὶ προσπάθει καὶ ἐλέει, ὡς εὐπορήσαντα μέν, πτωχεύσαντα δέ. Ὑπὲρ οὗ καὶ παρ' ἡμῶν ἀποκείσεταί σοι χάρις, καὶ παρὰ θεῷ μισθαποδοσία. 10

227. Τῷ αὐτῷ

Τῷ κριτῇ τοῦ Ὀψικίου ⟨Πόθῳ (?)⟩

K-D 120 [L]

Ὁ Νικαεὺς οὗτος χρεώστας (ὥς φησιν) ἔχει πολλούς,

2–3 τὸν – βασιλέα: Constantinus X Ducas (imperator: 23/24.XI.1059 – 22/23.V.1067) (Π XVIII)? ‖ **10** παρὰ – μισθαποδοσία: cf. Mt. 20,8 ἀπόδος αὐτοῖς τὸν μισθόν et Π 102,6–7, Π 301,9–10, et Π 412,13

ep. 226 L 59v–60r; tit. L K-D ‖ **ep. 227** L 60r; tit. L K-D

ἀγνωμονοῦντας περὶ τὴν τοῦ χρέους ἀπόδοσιν· καὶ δεῖταί σου τῆς εὐθύτητος εἰς τὸ ἀπολαβεῖν, ἃ δέδωκε.

Τυχέτω οὖν τῶν δικαίων ὁ ἄνθρωπος, προηγουμένως μὲν καὶ
5 δι' αὐτὸ τοῦτο τὸ δίκαιον, ἔπειτα δὲ καὶ δι' ἐμὲ τὸν ἀξιοῦντά σε ὑπὲρ αὐτοῦ. Ἐγὼ δὲ καὶ τὰς φαύλας τῶν ὑποθέσεων δεδύνημαι πρόσχημα φιλοσοφίας ποιεῖν, ἧς δὴ πάλαι μὲν ἐραστὴς ἐτύγχανες ὤν, νῦν δὲ καταπεφρόνηκας· καὶ διὰ τοῦτο οὐ τὰ κοινὰ καινῶς, ἀλλὰ τὰ καινὰ κοινῶς, καὶ τὰ κοινὰ γράφω κοινότερον.

228. Τῷ κριτῇ Θρᾴκης καὶ Μακεδονίας ⟨Πόθῳ⟩

post a. 1057, ante Π 368; eodem tempore ut Π 229, Π 290, et Π 291?

K-D 64 [L], S 192 [P]

Λαμπρότατε κύριέ μου καὶ ἀδελφὲ περιπόθητε, οἶμαί σου μὴ ἀγνοεῖν τὴν λαμπρότητα· εἰ δὲ ἴσως ἠγνόηκας, διδάχθητι παρ' ἡμῶν ὅτι τὸ βασιλικάτον Μαδύτου ἀναφαιρέτως ἡμῖν ὁ μακαρίτης βασιλεὺς κῦρ Κωνσταντῖνος ὁ Μονομάχος ἀπεχαρίσατο, δοὺς ἐν
5 βασιλικοῖς χρυσοβούλλοις γράμμασιν ἐξουσίαν διδόναι τοῦτο, ᾧ ἂν βουλώμεθα.

8–9 οὐ – κοινῶς: Philostr. Epist. 2,1,29–30 τὰ μὲν κοινὰ καινῶς φράσωμεν, τὰ δὲ καινὰ κοινῶς et Elias, In Cat. 123,21–22 καὶ ὁ Ἑρμογένης ἐν τῇ Ῥητορικῇ τέχνῃ φησὶ 'τὰ κοινὰ καινῶς καὶ τὰ καινὰ κοινῶς'. cf. Psel. Ἐκ τοῦ 'Πάλιν Ἰησοῦς ὁ ἐμός', εἰς τὸ 'δεινὸν γὰρ ἦν …' = Theol. I 66,13–14 οὐδὲ κατὰ τοὺς σοφιστὰς 'τὰ μὲν κοινὰ καινῶς' ἑρμηνεύω, 'τὰ δὲ καινὰ κοινῶς' **ep. 228** Πόθῳ: cf. ll. 1 περι–πόθητε, et 25–26 καὶ μάλιστα εἰ τοιούτου πατρὸς ᾖ, ὁποίου τυγχάνεις αὐτός ‖ **4** βασιλεὺς – Μονομάχος: Constantinus IX Monomachus (imperator: 12.VI.1042 – 11.I.1055) (Π XLIV)

7 ἧς scripsi: οὗ L K-D ‖ **9** καινὰ corr. K-D: κοινὰ L ‖ **ep. 228** L 35r–35v, U 163r–v, P 237v, A 46r; tit. scripsi: τῷ κριτῇ Θρᾴκης καὶ Μακεδονίας U P A S K-D τῷ κριτῇ Μακεδονίας L ‖ **1** λαμπρότατε – περιπόθητε U P A S K-D: om. L ‖ **2** ἠγνόηκας διδάχθητι U P S K-D: ἠγνόηκε, διδαχθήτω L ἠγνόησας, διδάχθητι A ‖ **2–3** παρ' ἡμῶν L U A K-D: παρ' ἐμοῦ P S ‖ **3–4** τὸ – Μονομάχος U P A S K-D: τὸ ὁ δεῖνα, ὁ δεῖνα μοι L ‖ **4** ἀπεχαρίσατο L U A K-D: ἐχαρίσατο P S ‖ **5** βασιλικοῖς – γράμμασιν U P A S: βασιλικῷ γράμματι L K-D ‖ **6** βουλώμεθα U P S: βουλοίμεθα L K-D βουλόμεθα A

Ἡμεῖς δέ, καίτοι γε πολλῶν ἐξαιτουμένων δραστηρίων τὰ πολλὰ καὶ ἱκανῶν πρὸς τὰ πράγματα, τῷ παρόντι γραμματοκομιστῇ τὸ πρᾶγμα κατεπιστεύσαμεν, ἁπλουστάτῳ τε ἀνδρὶ καὶ ἀληθεστάτῳ, καὶ μηδὲν σκολιὸν ἢ ποικίλον εἰδότι. Ἀλλ' ἐπεὶ διὰ 10 ταῦτα ἀδικεῖν μὲν οὐ βούλεται, ἀδικεῖσθαι δέ ἐστιν ἐπιτήδειος, μήτε ἀντεπιχειρῶν τοῖς ἐπηρεάζουσι μήτε ἀντιγραφόμενος, ἀξιῶ τὴν λαμπρότητά σου ἐπανορθοῦσθαι αὐτῷ τοῦτο δὴ τὸ ἔλλειμμα, καὶ μὴ ἐᾶν ἀφορμὴν εὔκολον κεῖσθαι τοῖς πολλοῖς ἀδίκου ἐπιχειρήσεως. Ἔστι δὲ ὁ μᾶλλον αὐτῷ ἐκ τοῦ σύνεγγυς ἐναντιούμενος ὁ 15 τουρμάρχης Ἁπλοκοννήσου, οὐχ οὗτος ὁ νῦν πρῶτος εἰς τὴν τοῦρμαν προβεβλημένος, ἀλλὰ πᾶς ὁστισοῦν τὴν ἀρχὴν τῆς τούρμας παρὰ τοῦ βασιλέως λαμβάνων· ἐπειδὴ γὰρ τῷ μὲν βασιλικῷ δέδοται ἐνίας τῶν δικῶν ἐξετάζειν, ὁ δὲ τουρμάρχης τούτου κεκώλυται, τὸ ἑτέρῳ δεδομένον ἑαυτῷ εἰσποιεῖται ὁ μὴ 20 λαβών.

Εἰ μὲν οὖν οὗτος τῷ πρὸ αὐτοῦ τουρμάρχῃ μὴ ἑπόμενος ἡσυχάζειν ἐθέλοι, οὐδὲν δεῖ σε πράγματα ἔχειν ἐπὶ τούτῳ διὰ τὴν παρ' ἡμῶν ἀξίωσιν. Εἰ δὲ πᾶς τουρμάρχης Ἁπλοκοννήσου κακός, ἀλλὰ πᾶς δικαστὴς ἀγαθός, ὅ γε μὴ διαφθείρων τὸ ὄνομα, καὶ 25 μάλιστα εἰ τοιούτου πατρὸς ᾖ, ὁποίου τυγχάνεις αὐτός. Γενοῦ δὲ καὶ καλλίων δι' ἡμᾶς τοσοῦτον, ὅσον συντεμεῖν τὸν χρόνον καὶ ἀναστεῖλαι τὸν ἀδικεῖν ᾑρημένον.

Τοῦτό γε οὖν ἀπόδος τῷ βασιλικῷ καὶ τὴν τῆς σῆς ψυχῆς εὐμένειαν· εἰ γὰρ καὶ μὴ οὗτος παρακολουθήσει τῇ μεγαλογνώ- 30 μονι μεγαλοπρεπείᾳ σου, ἀφελὴς τὴν γνώμην ἴσως ὤν, ἀλλ' ἡμεῖς γε εἰδήσομεν χάριν, οἱ καὶ τῶν ψυχῶν τὰς ἀρίστας ἀποδεχόμενοι, καὶ τῶν ἠθῶν τὰ κάλλιστα κρίνοντες, καὶ τὰς πρωτίστας τῶν ἀρετῶν ἐπιστάμενοι.

8–9 τῷ – γραμματοκομιστῇ: de quo cf. Π 290,2, Π 291,28, et Π 368,4; et etiam Π 229,1? ‖ **15–16** ὁ[2] – οὗτος: de quo cf. Π 368,10–11; cf. TIB 12,245 et 390

11 δ' ἐστὶν A ‖ **13** τὴν – σου U P A S K-D: om. L ‖ **16** οὗτος L P A S K-D: οὕτως U | πρῶτος L U A Dölger: πρώτως P S K-D ‖ **20** δεδομένον L P S K-D: διδόμενον U A ‖ **27** καὶ καλλίων L K-D: καλλίων U P A S ‖ **28** ᾑρημένον U P A S: ὡρμημένον L K-D ‖ **30** εὐμένειαν U P A S: εὐγένειαν L K-D | καὶ μὴ U L: μὴ καὶ P S K-D μὴ A | παρακολουθήσει U P A S: παρακολουθήσῃ L K-D **31** μεγαλοπρεπείᾳ : εὐπρέπειά A

229. Τῷ κριτῇ Μακεδονίας ⟨Πόθῳ⟩
post a. 1057? eodem tempore ut Π 228, Π 290, Π 291, et Π 368?

K-D 73 [L]

Μάτην ἄρα «βασιλικὸς» ὁ παρὼν ὠνομάσθη νοτάριος· οἱ γὰρ διώξαντες τοῦτον διαφόρους γραφὰς καὶ συκοφαντήσαντες οὐχ ὡς βασιλικὸν εἷλον, ἀλλ' ὡς ἕνα τῶν ἀνωνύμων καὶ ἰδιωτῶν. Ἀλλ' οὗτος τῇ λαμπρότητι τοῦ ὀνόματος δελεαζόμενος, ἐπὶ τὴν ἰδίαν
5 πάλιν ἐξῆλθεν ἀρχήν, μᾶλλον δὲ ἐπὶ τὴν σὴν αὖθις ἀντίληψιν καταπέφευγεν· ἧς, οὔτε εὐθυμῶν, οὔτε ἐν τοῖς δεινοῖς γινόμενος, ἐπελάθετο, ἀλλὰ καὶ τῶν κατηγορούντων ἀπόφημά τινα φλυαρούντων καὶ ἑτέρων τινῶν (περὶ ὧν οὐδὲν δέομαι γράφειν), μόνος οὗτος καὶ ἐπῄνει καὶ ἀνεκήρυττε, τοῦτο μὲν καὶ παρ' ἐμοῦ
10 τοὺς περὶ σοῦ ἐπαίνους μεμαθηκώς, τοῦτο δὲ καὶ παρὰ τῆς αὐτοῦ ἐξευρηκὼς φύσεως. Ἀλλ' οἱ γραψάμενοι τοῦτον ἀδικίας καὶ τοιαύτην αὐτῷ τὴν ἀρετὴν μετηλλάχασι, καὶ τὸ τῆς σῆς κοσμιότητος ἐγκώμιον εἰς ἑτέραν φωνὴν μετεποίησαν.

Ἀλλὰ σὺ ἐμοὶ πείθου τἀληθῆ γράφοντι. Ὅμως ἡ μὲν σὴ
15 σεμνότης, ὅπως ἂν αἱ τῶν ἀνθρώπων γνῶμαι περὶ αὐτῆς λέγουσιν, ἀμετακινήτως ἐπὶ τοῦ καλοῦ ἥδρασται· οὗτος δὲ ἐξελήλυθεν, ὡς ὁρᾷς, ἀπαιτήσων τὸ ἁρμόζον αὐτῷ οἰκομόδιον, πρὸς ὃ καὶ πάλιν τῆς σῆς δεῖται χειρός, μήτε ὑφαιρούσης μήτε πλεοναζούσης, ἀλλὰ τῇ συμμέτρῳ ἐκτάσει ἀποπληρούσης τὸ προσῆκον αὐτῷ.
20 Καὶ ὅτι μὲν ἠδίκησεν, ἀγνοῶ· τὴν δὲ τοῦ βασιλικοῦ πρᾶξιν ἀπεφορτίσατο, ὥσπερ τι ἄχθος ἐπωμάδιον, ἀνέχειν αὐτὸ μὴ δυνάμενος. Διόπερ ἐφ' ἑτέρας φορτίδος τὸν τοῦ βασιλικάτου φόρτον μετηνέγκαμεν, ἣν οἶμαι καὶ πάλιν ἡ τῶν πονηρῶν

1 ὁ – νοτάριος: cf. Π 228,8–9, Π 290,2, Π 291,28, et Π 368,4? ‖ **21** ἄχθος ἐπωμάδιον: Greg. Naz. Περὶ τῶν καθ' ἑαυτόν 244 (Tuilier et Bady) = Carm. 2,1,1 (PG 37,988a,9) ἐπωμαδὸν ἄχθος ἀείρειν. cf. Psel. Χρονογραφία VII,65 ὥσπερ ἐπωμάδιον ἄχθος ἀπεφορτίσατο et Λόγος εἰς τὰ θαύματα τοῦ ἀρχιστρατήγου Μιχαήλ = Or. hag. 5,391 ἐπωμάδιον ἄχθος ἀραμένη

ep. 229 L 38r–v (L[1]) et 89r–v (L[2]); tit. L[1]: om. L[2] ‖ **2** τοῦτον L[1] K-D: τούτους L[2] διαφόρους γραφὰς ante corr. L[1] L[2] K-D: διαφόροις γραφαῖς post corr. L[1] **5** μᾶλλον – ἐπὶ L[1] K-D: μᾶλλον δὲ καὶ ἐπὶ L[2] ‖ **10** αὐτοῦ prop. Diam 304 **12–13** σῆς κοσμιότητος L[1] K-D: σῆς ὁσιότητος L[2] ‖ **15** σεμνότης L[1] K-D: ὁσιότης L[2] ‖ **19** τὸ L[1] L[2] K-D: ὡς ante corr. L[2] ‖ **20–21** τὴν – ἀπεφορτίσατο L[1] K-D: τὸ δὲ τοῦ βασιλικοῦ ἀπεφορτίσατο ὄνομα L[2] ‖ **23** ἣν L[1] K-D: ὃν L[2]

καταποντίσειε θάλασσα, εἰ μὴ καὶ πάλιν αὐτὸς ὁ ἐπιστήμων κυβερνήτης εὐθέως ἄνωθεν αὐτὴν κυβερνήσειας. 25

230. Τῷ μαγίστρῳ Πόθῳ καὶ κριτῇ Μακεδονίας, τῷ υἱῷ τῆς δρουγγαρέας

K-D 220 [P-K²], P-K² 6 [Y]

Ὁ Κακοπράτης οὗτος, λογιώτατε ἀνεψιὲ καὶ λαμπρότατε, καὶ ἀληθεύει τὴν κλῆσιν καὶ ψεύδεται. Εἰ μὲν γὰρ τὸν τρόπον ζητοίης, τὸ ψεῦδος εὑρήσεις· ἀγαθὴ γὰρ αὐτῷ ἡ προαίρεσις. Εἰ δὲ τὸν βίον, τεθήρακας τὴν ἀλήθειαν· οὐ γὰρ εὖ αὐτῷ τὰ παρὰ τῆς τύχης, ἀλλὰ καὶ πάνυ κακῶς. Ἐπεὶ οὖν θατέρῳ μὲν πλεονάζει, θατέρῳ δὲ 5 ἐλλείπει, τὸ μὲν ἄφες, πλήρωσον δὲ τὸν ἐλλεῖπον, καὶ τῷ πλήρει ἀντανίσωσον μέρει.

Τοιοῦτον δὲ καὶ ἣν ζητεῖς ἰδέαν ἐστίν. Ἕστηκεν ἐφ᾿ ἑαυτῆς, πρῶτον τοῦ δημιουργοῦ νόημα, ἔχουσα μὲν νοητὸν οὐρανὸν μετὰ νοητοῦ σχήματος, ἔχουσα δὲ γῆν ἀσώματον, καὶ ἀέρα, καὶ ὕδωρ, 10 καὶ ἀρετάς, καὶ φύσεις, ἄνευ τῶν παρὰ φύσιν καὶ τῶν ἐν τέχναις εἰδῶν· οὐ γάρ εἰσι τούτων ἐκεῖσε λόγοι. Καὶ ἕστηκεν ὡσπερεὶ τῶν ὅλων παράδειγμα καὶ πάντα δὴ τἆλλα κατ᾿ ἐκείνην παράγονται (ἵνα συντεμὼν εἴπω), ὁ αἰθήρ, ἡ γένεσις.

8–14 τοιοῦτον – γένεσις: cf. Philo Jud. e.g. Περὶ τῶν ἐν μέρει διαταγμάτων 1,302 ἢ τοῦτο ἀγνοεῖς, ὅτι τοῦ θεοῦ καὶ ὁ αἰσθητός ἐστιν οὐρανὸς καὶ ὁ νοητός, ὁ κυρίως, εἴποι τις ἄν, «οὐρανὸς οὐρανοῦ», καὶ πάλιν ἡ γῆ καὶ τὰ ἐν αὐτῇ καὶ σύμπας ὁ κόσμος, ὅ τε ὁρατὸς καὶ ὁ ἀόρατος καὶ ἀσώματος, τὸ παράδειγμα τοῦ ὁρατοῦ οὐρανοῦ. cf. etiam Psel. Περὶ τῶν ἰδεῶν ἃς ὁ Πλάτων λέγει (ad Pothum? cf. ll. 111,24–25 τιμία μοι καὶ τριπόθητε κεφαλή) = Phil. min. II 33

25 αὐτὴν L¹ K-D: αὐτὸν L² ‖ **ep. 230** U 187r–v, Y 119v; tit. Y: τῷ υἱῷ τῆς δρουγγαρέας U τῷ μαγίστρῳ Πόθῳ καὶ κριτῇ Μακεδονίας, τῷ υἱῷ τῆς δρουγγαρίας K-D P-K² ‖ **14** ὁ αἰθήρ U: αἰθήρ Y K-D P-K²

15 Ἕλληνες μὲν οὖν καὶ περαιτέρω χωροῦσι τῆς ἀκριβοῦς ἐννοίας· καὶ τὰς πλείους τῶν ἰδεῶν καὶ αὐτοῦ προτάττουσι τοῦ δημιουργοῦ, τὰς δὲ ὑποτιθέασιν. Ἡμῖν δὲ καλῶς ἔχοι μηδετέραν τούτων οἴεσθαι· εἰ δ' οὖν, τοσοῦτον παρανομεῖν, ὥστε ἐννοοῦντα εἰσάγειν τοῖς δημιουργήμασι τὸν θεὸν καὶ τήν γε ἔννοιαν ἰδέαν
20 ὑπολαμβάνειν· «πρῶτον» γάρ (φησιν) «ἐννοεῖ» (καὶ ὁ ἡμέτερος θεολόγος) «τὰς ἀγγελικὰς δυνάμεις καὶ οὐρανίας», εἰ μὴ πάνυ τὸ ἁπλοῦν τοῦ θεολογικοῦ περιεργαζόμεθα ῥήματος.

Ἀλλ' οὗ χάριν παρεισηνέχθη, ἰδέα καὶ αὐτὸς τῷ Κακοπράτῃ καθέστηκας· ἧς εἰ μεταλάβοι, καὶ κόσμον λήψεται καὶ κάλλος, καὶ
25 τάξιν. Τοῦτο μὲν οὖν περιττὸν καὶ φιλότιμον ἴσως πρὸς τὴν σὴν ἀκοήν, τὸ δ' ἀληθέστερον καὶ πολιτικώτερον ἄκουε: εὐγενὴς εἶ καὶ ἐξ εὐγενῶν· κόσμει τὸ γένος καὶ λόγῳ καὶ βίῳ καὶ φρονήσει καὶ ἀρετῇ· χαλίνου θυμόν· ἔχου καλοκἀγαθίας· μέτρα σαυτῷ ὅριζε καὶ

15–17 Ἕλληνες – ὑποτιθέασιν: cf. Plat. Τίμαιος (e.g. 28a) cum commentariis neoplatonicis; cf. etiam Papaioannou 2013,77–80 et Psel. Ἐπιτάφιος εἰς … Ἰωάννην τὸν Ξιφιλῖνον = Or. fun. I 3,22,81–90 … μὴ γὰρ ἐχέτωσαν πλέον οἱ παρ' Ἕλλησι θεοὶ καὶ τὰ πλάσματα, μηδὲ σεμνυνέσθωσαν ταῖς πρώταις ἰδέαις οἱ περὶ Πλάτωνα, εἴτε δημιουργικὰς οὐσιώδεις ἐννοίας ταύτας ποιοῖεν, εἴτε τινὰς ἑτέρας ὁλότητας τῶν τῇδε ἐξῃρημένας καὶ ἐφ' ἑαυτῶν ἑστηκυίας et Εἰς τὸ ῥητὸν τῆς πρώτης ὁμιλίας τῆς Ἑξαημέρου … = Theol. I 6,36–38 Πλάτων δὲ ἰδίᾳ παρὰ τοὺς ἄλλους τὰς ἰδέας παρήνεγκε, τὸ παραδειγματικὸν αἴτιον αἰνιττόμενος καί τινα δημιουργὸν δεύτερον μετὰ τὸν πρῶτον θεόν, ὀργάνου δίκην τὰς ὕλας τεκταινόμενον. cf. etiam Π 87,51–62 et Π 176,16–18 **20–21** πρῶτον – οὐρανίας: Greg. Naz. Εἰς τὰ Θεοφάνια = Or. 38,9. cf. Psel. Εἰς τὸ 'πῶς δὲ οὐκ ἐν τόπῳ πάντως' = Theol. I 51,70–73 καὶ ὁ μέγας δὲ οὗτος πατὴρ ἐν τῷ Γενεθλιακῷ ὑποσυγκεχυμένως ἀγγέλους τὰς δυνάμεις πάσας ὠνόμασε· «πρῶτον» γάρ φησιν «ἐννοεῖ τὰς ἀγγελικὰς δυνάμεις καὶ οὐρανίους» et Psel. Εἰς τὸ 'ἐπεὶ δὲ οὐκ ἤρκει τῇ ἀγαθότητι τὸ κινεῖσθαι' (Greg. Naz. Or 38,9) = Theol. I 89 (cf. l. 83 τὰς ἀγγελικὰς πρῶτον δυνάμεις καὶ οὐρανίας ἐννοεῖ) ‖ **25** περιττὸν – φιλότιμον: cf. Greg. Naz. Λόγος θεολογικὸς πέμπτος, περὶ τοῦ Ἁγίου Πνεύματος = Or. 31,21 τοῦ μὴ δοκεῖν εἶναι περιττοί τινες, μηδὲ φιλοτιμότεροι τοῦ δέοντος et Περὶ τῆς ἐν διαλέξεσιν εὐταξίας = Or. 32,33 τὰς μὲν περιττὰς καὶ ἀχρήστους φιλοτιμίας χαίρειν ἐάσατε. cf. Psel. Ἐξήγησις τελεωτέρα περὶ τοῦ λείμματος = Phil. min. II 6 (11,31–32) ἔχεις οὖν αὐτάρκως παρ' ἡμῶν, ὦ φιλότης, εἰ μή τις ἂν εἴποι καὶ φιλοτίμως καὶ περιττῶς, τὸν περὶ ὧν ἐζήτησας λόγον, et Π 3,24–25 περιττὰ δὲ καὶ φιλότιμα γράμματα

17 ἔχοι U: ἔχει Y K-D P-K[2] ‖ **18** τούτων U: τοιούτων Y K-D P-K[2] ‖ **20** φησιν Y K-D P-K[2]: φημι U ‖ **21** οὐρανίας U: οὐρανίους Y K-D P-K[2]

λόγου καὶ σιωπῆς· σεμνυνέτω σε τὸ τῆς δίκης ἀξίωμα· κρείττονος τάξιν ἐπὶ γῆς εἴληφας, ἔστω τὸ βῆμά σου ἀοργησίας γέμον, 30 πραότητος, δικαιοσύνης, εὐθύτητος.

Νῦν μὲν νόμων ἔχου καὶ τῆς ἀκριβοῦς ἐξετάσεως· ἰδέας δὲ καὶ φύσεις, καὶ γένη, καὶ εἴδη, εὑρήσεις αὖθις ἐπανιὼν καὶ φιλοσοφήσεις κατὰ καιρόν.

231. Τῷ μαγίστρῳ καὶ κριτῇ Θρᾴκης καὶ Μακεδονίας Πόθῳ, τῷ υἱῷ τοῦ δρουγγαρίου

K-D 250 [L, Taf[1]], Taf[1] 68 [P], PG[2] 68 [Taf[1]]

Λαμπρότατε κύριέ μου καὶ ἠγαπημένε ἀνεψιέ, χεῖρα κατὰ τῆς Ἀχειροποιήτου, καὶ δουλείαν κατὰ τῆς ἐλευθερωσάσης ἡμᾶς, καὶ ἐπήρειαν κατὰ τῆς ἀπαλλαξάσης τὴν φύσιν ὀχλήσεως; Μὴ σύ γε. Μηδὲ οὕτως ἔχοιο φιλοσοφίας, μηδὲ ἀπόναιο τῶν σῶν ἰδεῶν.

Εἰ μὲν οὖν ψευδὴς ἡ προσαγγελία, ἔχου τῶν συνήθων ἠθῶν· εἰ 5 δ' ἀληθής, ἐφ' ἕτερον μετάβηθι λογισμόν, καὶ φεῖσαι τῶν θείων, καὶ μὴ κίνει τὰ ἀκίνητα. Εἰ δέ σοι μή τις ἔνεστι τῶν θειοτέρων φειδώ, ἀλλὰ τῶν ἀνθρωπικωτέρων ἐπιστράφηθι χρυσοβούλλων, ἑτέρων δικαιωμάτων, συνηθείας χρονίου, τῆς τῶν πρὸ σοῦ δικαστῶν αἰδοῦς περὶ τὴν μονήν. Εἰ δὲ μηδὲ τούτων σοι μέλει, 10 ἀλλ' ἡμῶν γε ἕνεκα τῶν φίλων καὶ διδασκάλων, ἔνδειξίν τινα ἀγαθότητος περὶ τὴν κτῆσιν ἐπίδειξον τῆς μονῆς. Οὐκ ἀκερδής σοι ἡ χάρις, οὔτε παρ' ἡμῶν οὔτε παρὰ τῆς θεομήτορος.

1–2 τῆς Ἀχειροποιήτου: monasterion τῆς Ἀχειροποιήτου, scil. τῶν Ἀβραμιτῶν (Janin 1969,4–6, Janin 1975,441, et TIB 12,680–681), de quo cf. Π 232,2; cf. Π 233,9–10 et Π 257,7–8? ‖ **4** τῶν – ἰδεῶν: ideas Platonicas significat; cf. Psel. Περὶ τῶν ἰδεῶν ἃς ὁ Πλάτων λέγει (ad Pothum? cf. ll. 111,24–25 τιμία μοι καὶ τριπόθητε κεφαλή) = Phil. min. II 33 et Π 230,4 ‖ **7** μὴ – ἀκίνητα: proverbium; CPG II 189 (nr. 98). cf. Psel. Πρὸς τὸν λοίδορον ῥίψαντα χάρτην = Or. min. 7,158

ep. 231 L 74r–v, P 257r; tit. scripsi: τῷ υἱῷ τοῦ δρουγγαρίου L τῷ μαγίστρῳ καὶ κριτῇ Θρᾴκης καὶ Μακεδονίας Πόθῳ τῷ υἱῷ τῆς δρουγγαρέας P τῷ μαγίστρῳ καὶ κριτῇ Θρᾴκης καὶ Μακεδονίας Πόθῳ τῷ υἱῷ τῆς δρουγγαρίας Taf[1] K-D ‖ **1** λαμπρότατε – ἀνεψιέ P Taf[1] K-D: om. L ‖ **8** χρυσοβούλλων L K-D: χρυσοβουλλίων P Taf[1] ‖ **10** μηδὲ : μὴ καὶ Taf[1]

232. Τῷ μαγίστρῳ καὶ κριτῇ Θρᾴκης καὶ Μακεδονίας Πόθῳ, τῷ υἱῷ τοῦ δρουγγαρίου

K-D 251 [L, Taf[1]], Taf[1] 69 [P], PG[2] 69 [Taf[1]]

Οἱ τοῦ χωρίου Μαμύτζης οἰκήτορες ἀδικοῦσι τὸ μέρος τῶν μοναχῶν τῆς κατὰ τὴν Ἀχειροποίητον μονῆς· προάστειον γὰρ τῷ μοναστηρίῳ προσῆκον τῷ τοιούτῳ χωρίῳ παράκειται, Στρόβηλος τῷ κτήματι ὄνομα. Ἐν τούτῳ μύλοι τρεῖς δι' ὅλου τοῦ χρόνου
5 ἐνεργοῦντες ἑστᾶσι τοῦ κινοῦντος αὐτοὺς ὕδατος, διὰ πλῆθος ἀρκοῦντος ἐπιρροῆς. Οἱ δὲ τὸ δηλωθὲν χωρίον οἰκοῦντες ἑνὸς εὐποροῦντες μύλου καὶ τούτου χειμερίου, ἐτόλμησαν τὸ τοὺς τρεῖς μύλους κινοῦν ὕδωρ μετοχετεῦσαι, καὶ πρὸς τὸ ἴδιον μεταγαγεῖν μυλοστάσιον, προφάσεις ἀναπλασάμενοι καὶ αἰτίας κενάς.
10 Ἀξιοῦμεν οὖν σε ἵνα καὶ δι' ἡμᾶς, καὶ δι' αὐτὸ τὸ δίκαιον, καὶ διὰ τὴν πρὸς τὴν θεοτόκον πίστιν σου καὶ εὐλάβειαν, μὴ μόνον τὸ τοιοῦτον ῥεῦμα ἐς τὴν προτέραν μεταβιβάσῃς ὁδόν, ἀλλὰ καὶ τοὺς ἀνελεῖν τολμήσαντας χωρὶς εὐλογοφανοῦς αἰτίας καὶ δικαστικῆς ἀποφάσεως, καὶ ἑτέραν ὁδὸν ὑπανοῖξαι τῷ ῥέοντι ὕδατι, τιμωρή-
15 σῃς κατὰ τὸ εἰκὸς τιμωρίαν τὴν πρέπουσαν, ἵνα μήτε αὐτοί, μήθ' ἕτεροι τοιαῦτα τολμῷεν, τῷ κατ' αὐτοὺς σωφρονισθέντες ἱκανῶς παραδείγματι.

1 τοῦ – Μαμύτζης: TIB 12,513–514 ‖ **2** τῆς – μονῆς: monasterion τῆς Ἀχειροποιήτου, scil. τῶν Ἀβραμιτῶν (Janin 1969,4–6, Janin 1975,441, et TIB 12,680–681), de quo cf. Π 231,1–2; cf. etiam Π 233,9–10 et Π 257,7–8?

ep. 232 L 89v–90r, P 257r; tit. scripsi: ⟨τῷ κριτῇ Θρᾴκης καὶ Μακεδονίας⟩ K-D ‖ **1** Μαμύτζης P Taf[1] K-D: Μύτζης (an recte?) L ‖ **2** τῆς – μονῆς P corr. K-D: om. L τῆς κατὰ τὴν Ἀχειροποίητον μονὴν Taf[1] ‖ **5** ἐνεργοῦντες P Taf[1] K-D: om. L ‖ **8–9** τὸ – μυλοστάσιον : τὸ⟨ν⟩ … μύλωνα Taf[1] τὸν … μύλωνα K-D ‖ **10** δι'[2] P Taf[1] K-D: om. L ‖ **16** ἱκανῶς L K-D: om. P Taf[1] **17** περιδείγματι Taf[1]

233. Τῷ κριτῇ Θρᾴκης ⟨Πόθῳ (?)⟩

post Π 232? cf. Weiss 1973,146

K-D 77 [L]

Μηδὲ ἐμὲ αἰτιῶ ἀναίτιον ὄντα παντάπασι καὶ μηδὲν εἰδότα ὧν ἔγραψας. Σὺ μὲν γὰρ εὐλόγως ἐζήτησας περὶ ὧν σοι παρήγγειλαν ἕτεροι· οἱ δὲ μοναχοὶ γνώμης διημαρτήκασιν, ἀντὶ τοῦ ἀπολογεῖσθαι πρὸς τοὺς κατηγόρους, ἐπεγκαλοῦντές σοι τῷ ἀδεκάστῳ κριτῇ. Ἀλλ' ἐγὼ καὶ σὲ πάσης αἰτίας ἀπολύω, 5 κἀκείνοις τὴν μέμψιν ἀφίημι. Ὅπερ δὲ ἐποίησας, καὶ παρ' ἡμῖν ἐν χάριτος μοίρᾳ τετάξεται, καὶ παρὰ τῇ θεοτόκῳ ἀφορμή σοι γενήσεται μείζονος ἀντιδόσεως. Ἔσται δέ σοι τὸ αὐτὸ καὶ δικαιότατον ἅμα καὶ φιλοθεώτατον: τὸ μέν, ὅτι οὐδέν τι τῆς ἱερᾶς διέσεισας κτήσεως αἰδοῖ τῇ πρὸς τὴν θεομήτορα· τὸ δέ, ὅτι 10 δικαίως ἅμα καὶ δικαστικῶς τὸ προσῆκον τῷ τῆς θεοτόκου ναῷ εἰς ἀλλοτρίαν ἀρχὴν οὐ μετήνεγκας.

234. Τῷ αὐτῷ

Τῷ κριτῇ Θρᾴκης ⟨Πόθῳ (?)⟩

K-D 78 [L]

Ὁ πρωτοκένταρχος οὗτος, καὶ ἐμὸς καὶ πρὸ πολλοῦ χρόνου τὸ πρωτοκενταρχάτον ἐξωνησάμενος. Εἴτε οὖν δι' ἣν ἔχει πρός με οἰκείωσιν ὁ ἄνθρωπος, εἴτε διὰ τὸ πολὺ τίμημα ὃ κατεβάλετο εἰς τὸ σέκρετον, εἴτε καὶ διὰ ἀμφότερα, μὴ ἐπιζήμιος αὐτῷ ἡ τοιαύτη δουλεία γένηται, μηδὲ πρὸς τῷ πολλῷ τιμήματι καὶ τῷ πλείονι 5 κόπῳ, ἔτι καὶ ζημίαν ἔχοι, ἐφ' ᾧ κερδαίνειν ἤλπισε· μηδὲ μάτην εἴη φίλους ἡμᾶς κτησάμενος, μηδὲ ἡμῖν εἰς οὐδὲν ἡ ἀξίωσις αὕτη λογισθείη.

1 αἰτιῶ – ὄντα: cf. Hom. Il. 11,654 τάχα κεν καὶ ἀναίτιον αἰτιόῳτο et 13,775 Ἕκτορ ἐπεί τοι θυμὸς ἀναίτιον αἰτιάασθαι ‖ **9–10** τῆς – κτήσεως: monasterion τῆς Ἀχειροποιήτου, scil. τῶν Ἀβραμιτῶν (Janin 1969,4–6, Janin 1975,441, et TIB 12,680–681), de quo cf. Π 231,1–2, Π 232,2, et Π 257,7–8?

ep. 233 L 39v–40r; tit. scripsi: τῷ κριτῇ Θρᾴκης L K-D ‖ **1** ante μηδὲ ἐμὲ lacunam prop. Maas (K-D xvii) ‖ **11** τῆς K-D: τῇ L ‖ **ep. 234** L 40r; tit. L K-D **4** post ἀμφότερα lacunam prop. Maas

Ἀλλ’ εἰ μὴ δι’ ἄλλο τι, ἀλλά γε δι’ ἡμᾶς ἐν τοῖς οἰκείοις τάττε
10 τὸν ἄνθρωπον, καὶ τῆς σῆς μεταδίδου εὐμενείας καὶ χρηστότητος, καὶ ὠφελείας ἀξίου τῆς προσηκούσης· ἐφ’ ἡμῖν γὰρ ἐλπίσας ὁ ἄνθρωπος, τὸ τοιοῦτον ἐξωνήσατο πρωτοκενταρχάτον. Μὴ οὖν εἰς κενὸν αὐτῷ αἱ ἐφ’ ἡμῖν ἐλπίδες φανείησαν.

235. Τῷ κριτῇ τῶν Κιβυρραιωτῶν ⟨Πόθῳ⟩
post a. 1059

K-D 50 [L]

Λαμπρότατε ἀνεψιέ, φίλος μοι ὡς οἶσθα ἀνήρ, ὁ τελευτήσας κῦρ Θεόδωρος ὁ Ἀλωπός, καὶ τεθαρρηκὼς ἐπ’ ἐμοὶ ὁπόσα καὶ ἐφ’ ἑαυτῷ. Ὅθεν καὶ τελευτῶν, ἐμοὶ τὴν τῶν παίδων αὐτοῦ κηδεμονίαν ἀνέθετο, τήν τε τοῦ οἴκου προστασίαν, καὶ τὴν τῶν
5 κτημάτων αὐτοῦ ἐπιμέλειαν. Καὶ οὐ διήμαρτον τῶν εἰς ἐμὲ προσδοκιῶν, ἀλλὰ τὴν δυνατὴν παρέχω τῷ ἐκείνου μέρει βοήθειαν. Μὴ ἀγνόει δὲ ὅτι ὁ θαυμάσιος ἐκεῖνος ἀνὴρ ἐν τῇ Κωνταντίνου μὲν γεγέννηται, πατρίδα ⟨δὲ⟩ τὴν Ῥόδον εὐτύχησε, μᾶλλον δὲ τοῦτον ἡ Ῥόδος μεγαλοπρεπέστατον γέννημα.
10 Πατρῴαν οὖν αὐτόθεν κτῆσιν κεκλήρωται, περὶ ἧς ἀξιῶ, ἵνα ὡς οἰκείας ἀντέχῃ καὶ περιθάλπῃ καὶ περιποιῇ· εἴτε γὰρ ἐκείνῳ τὴν χάριν παρέχοις, καθωσίωταί σοι ἡ πρὸς ἐκεῖνον τιμή· εἴτε ἐμοὶ διδοίης, οὐκ ἠγνωμόνηταί σοι τὰ παρ’ ἐμοῦ· καὶ τετίμησαι ἀμφοτέρωθεν.
15 Πλήρου οὖν ἐπιμελέστατα τὴν ἀξίωσιν, οὐ μόνον τὰ προσόντα τούτοις τηρῶν, ἀλλὰ καὶ τὰ ἀφῃρημένα χωρία ἀποδιδούς· χωρῖται γάρ τινες, τῶν ἐν γειτόνων αὐτοῖς ὄντων, θρέμματά τινα τῶν κτημάτων ἀφείλοντο. Τὴν δὲ ἀταξίαν ταύτην αὐτὸς ἂν γνοίης καὶ δικάσαις· καὶ οὐ δεκάσαις τὴν δίκην, ἀλλ’ εὐθυδικήσαις, καὶ
20 δείξαις ὁποῖος ἀνὴρ ἀπὸ τῶν τῆς φιλοσοφίας ἀδύτων ἐπὶ τὰς

1–2 κῦρ – Ἀλωπός: Π III

ep. 235 L 28v–29r; tit. scripsi (cf. λαμπρότατε ἀνεψιέ, ... ἀνὴρ ἀπὸ τῶν τῆς φιλοσοφίας ἀδύτων, et ... τῆς σῆς ὄντως ... φιλοσόφου ψυχῆς): L K-D ‖ **8** μὲν : om. K-D | δὲ addidi ‖ **12** παρέχοις corr. K-D: παρέχεις L ‖ **19** δικάσαις corr. K-D: δικάσης L | εὐθυδικήσαις corr. K-D: εὐθυδικήσεις L

δικαστικὰς πύλας ἀφίκετο· καὶ χωρίτζια δὲ εἰ παρέξεις αὐτοῖς εἰς βοήθειαν, ἑπόμενον πρᾶγμα ποιήσεις τοῖς πρὸ σοῦ δικασταῖς, καὶ τῆς σῆς ἀγαθότητος ἄξιον· καὶ τὸ εὐμενῶς δὲ προσδέχεσθαι τοὺς ἀπὸ τῶν κτημάτων τῆς σῆς ὄντως καλοκἀγάθου καὶ φιλοσόφου ψυχῆς περὶ ὧν οὐδὲ ἀξιοῦν χρή. 25

236. ⟨Πόθῳ⟩ τῷ υἱῷ τῆς δρουγγαρέας

K-D 53 [L]

Τί κοινὸν ἀνδρὶ σοφῷ καὶ εἰσπράξει μονοπροσώπῳ; Ἢ τί κοινὸν διδασκάλου φιλοσοφίας καὶ ἐπιδόσεως μεσομουλλαρίας, σοφώτατε μαθητά; Κατακεχρίμεθα γοῦν ἄμφω, σὺ μὲν τὴν εἴσπραξιν, ἐγὼ δὲ τὴν ἐπίδοσιν. Καὶ τό γε βαρύτατον, ὅτι σὺ μὲν εἰσπράττεις ἡμᾶς, ἡμεῖς δὲ διδόναι προσκεκελεύσμεθα. Ἀλλ' ἵνα μὴ παρ' 5 ἀλλήλων ταῦτα, μηδὲ μάχοιντο μαθητὴς καὶ διδάσκαλος, μηδὲ λόγος λόγῳ ἐρίζοι, καὶ τὰ οἰκεῖα δι' ἐναντιώσεως ἔλθοι, ἀπηλλάγμεθα τῆς εἱμαρμένης ἑκάτεροι, καὶ οὔτ' ἐμοὶ πέπρωται διδόναι τὸ εἰσπραττόμενον, οὔτε σοὶ εἰσπράττειν τὸ ἀπαιτούμενον· διήλλαξε γὰρ ἀμφοτέρους ὁ βασιλεύς, καὶ ὅπερ εἰκὸς ἦν τὴν σὴν 10 ποιῆσαι ἀγχίνοιαν, τοῦτο δὴ ἐκεῖνος πεποίηκε προλαβών: ἐλευθεροῖ ἀμφοτέρους, σὲ μὲν τῆς φροντίδος τοῦ μὴ εἰσπράξασθαι, ἐμὲ δὲ τῆς μερίμνης τοῦ πάντως δοῦναι τὸ προστεταγμένον.

Χάρις μὲν οὖν τῆς ἐντεῦθέν σοι χάριτος οὐδεμία. Εἰ δ' ἑτέρωθεν φανήσῃ τῇ καθ' ἡμᾶς μονῇ εὔχαρίς τε καὶ χαριέστατος (ἵνα μὴ 15 λέγω φιλοδωρότατος), οὐκ ἐκείνας μόνον τὰς χάριτας, ἀλλὰ καὶ τὴν παροῦσάν σοι λογιούμεθα. Τέως δ' οὖν ῥητορικώτατον ἀπόδος τοῦ μέλλοντος τὸ προοίμιον. Τί ποτε τοῦτο; ὅλον σαυτὸν τῷ ἡγουμένῳ προτείνας, καὶ ἐπὶ μᾶλλον τὴν ἡμετέραν φιλίαν

10 ὁ βασιλεύς: Constantinus X Ducas (imperator: 23/24.XI.1059 – 22/23.V.1067) (Π XVIII)? ‖ **15** τῇ – μονῇ: monasterion τῆς Τραπέζης (cf. Π 215,8)?

21 χωρίτζια corr. K-D: χωρίτζα L ‖ **ep. 236** L 29v–30r; tit. scripsi (cf. Π 230 et Π 231): δρουγγαρ΄– L δρουγγαρίας K-D ‖ **12** σὲ corr. K-D: σὺ L

20 κατασκευάσας, καὶ ἀξιώσας αὐτὸν τῶν παρὰ σοὶ χαρίτων, καὶ οἷον ἐν ἀκλινεῖ βάσει στηρίξας, καὶ προκαταστήσας αὐτῷ τὰ τῆς φιλίας τεκμήρια, καὶ προκατασκευάσας ὥσπερ ἐν κεφαλαίοις, ἃ μέλλεις αὐτῷ ἐνδείξασθαι ἀγαθά.

Ἀλλ' οὐ φίλα σοι τὰ παρὰ τῆς τέχνης; ἀλλὰ πρὸς μόνην 25 φιλοσοφίαν ἀνειστήκει σοι τὰ ὦτα, καὶ ἀτεχνῶς κωφεύεις πρὸς τὴν σοφιστικήν; Ἔχεις γοῦν καὶ παρ' ἐκείνης θαυμασίας πρὸς τὸν ἡγούμενον τὰς προτυπώσεις τοῦ μέλλοντος· πρόδρομοι γὰρ ἐλλάμψεις τῶν ὑποστάσεων, καὶ ἡ φύσις προτυπωθεῖσα τοῖς σώμασιν, εὔκαιρος ὑποδοχὴ ταῖς ψυχαῖς γίνεται, καὶ παρὰ θεῷ δὲ 30 ἀπείρου γῆς κατασχέσεως ἐπαγγελίαι, εἶθ' οὕτως μετοίκισις τῶν ἐθνῶν καὶ τοῦ Ἰσραὴλ ἀποκατάστασις.

Εἰ μὲν οὖν βούλει, περὶ πάντων ἐλθὲ πρὸς τὴν μίμησιν· εἰ δ' οὖν, τὰ οἰκεῖα ἀποδεξάμενος, ὄναιό τι παρὰ φιλοσοφίας ἐς τὸν τῆς φιλοσοφίας καθηγητήν.

237. ⟨Τῷ Πόθῳ⟩

K-D 218 [P-K²], P-K² 4 [Y]

Λαμπρότατε καὶ ἠγαπημένε μοι ἀνεψιέ, ἐμός ἐστιν ὁ παρὼν καὶ γείτων καὶ φίλος. Εἰ γοῦν φροντίς σοι δι' ἐμὲ τιμᾶν τοὺς ἐμοὺς καὶ

20–22 κατασκευάσας – κεφαλαίοις: cf. Ps.-Hermog. Περὶ εὑρέσεως passim (e.g. 3,2 περὶ προκατασκευῆς et 3,3 περὶ κεφαλαίων) cum Psel. Σύνοψις τῆς ῥητορικῆς … πρὸς τὸν αὐτὸν βασιλέα [scil. Mich. Duc.] = Poem. 7,129–139, cf. Π 134,52 et Π 376,48 ‖ **27–29** πρόδρομοι – γίνεται: cf. Psel. ⟨De illuminatione⟩ = Phil. min. II 25 (101,4–6) ἀλλ' ἴσθι ὡς οὐδεμία τῶν οὐσιῶν προσφυὴς ἑτέρᾳ ἂν ἐγεγόνει οὐσίᾳ, εἰ μή τις ἀφ' ἑκάστης πρόδρομος προϊοῦσα ἔλλαμψις ὑποδοχή τις ὥσπερ τῇ καταπεμψάσῃ φύσει ἐγίνετο et Περὶ θεολογίας καὶ διακρίσεως δογμάτων Ἑλληνικῶν = Phil. min. II 35 (119,7–9) τῆς πρὸς ἡμᾶς τοῦ λόγου ἑνώσεως πρόδρ⟨ομος⟩ προέρχεται ἔλλαμψις ἑτοιμάζουσα τὴν ψυχὴν εἰς ὑποδοχὴν τοῦ πρώτου φωτός, cum Plot. VI,7,7,8–12 τί γὰρ κωλύει τὴν μὲν δύναμιν τῆς τοῦ παντὸς ψυχῆς προϋπογράφειν, ἅτε λόγον πάντα οὖσαν, πρὶν καὶ παρ' αὐτῆς ἥκειν τὰς ψυχικὰς δυνάμεις, καὶ τὴν προϋπογραφὴν οἷον προδρόμους ἐλλάμψεις εἰς τὴν ὕλην εἶναι …; et etiam Procl. Στοιχείωσις θεολογική 81,8–10 δύναμις ἄρα ἀπ' ἐκείνου καὶ ἔλλαμψις εἰς τὸ μετέχον προελθοῦσα συνάψει ἄμφω· καὶ τὸ μὲν ἔσται δι' οὗ ἡ μέθεξις, τὸ δὲ μετεχόμενον, τὸ δὲ μετέχον

ep. 237 Y 118v; tit. K-D: τοῦ αὐτοῦ Y [τοῦ αὐτοῦ]

ἐλεεῖν, ἔστω σοι καὶ οὗτος ἐν φροντίδι· καὶ τετάχθω μετὰ τῶν ἐλεουμένων παρὰ σοῦ· καὶ εἴ ποτέ σου ἐπιδεηθείη, ὕπεχε αὐτῷ οὖς εὐμενές· ἔστι γὰρ (μὴ θάψω σε) ἀγαθὸς ἄνθρωπος, μήτε μεγάλα 5 αἰτούμενος, καὶ ἐπὶ τοῖς μικροῖς εὐγνωμονῶν τὰ μέγιστα καὶ εὐχαριστῶν.

238. ⟨Τῷ κριτῇ Πόθῳ (?)⟩

cf. Π 502 et epistolarum ordinem in Y

K-D 257 [Cre], Cre 1 [H]

Ὁ πτωχὸς οὗτος, ἠγαπημένε μοι ἀνεψιέ, ἔστι μὲν αὐτὸ δὴ τοῦτο, πτωχός· οὐ τοῦτο δὲ μόνον, ἀλλὰ προσσυνεπιτρίβουσιν αὐτῷ τὴν πτωχείαν καί τινες ἀδικοῦντες, εἰς ἃ γλίσχρων αὐτὸς ηὐπόρηκεν.

Ἴασαι οὖν τόν ἄνθρωπον καὶ πτωχεύοντα καὶ ἀδικούμενον, τὸ μὲν διδούς τι, τὸ δὲ ἀποδιδούς. Ἀμφότερα δὲ εὐκολώτατα δύναιο· 5 οὔτε γὰρ φιλοτίμου δεῖται χειρός, ἀλλ᾽ ὁποία ἡ σή. Εἴ μοι μέμφοιο, καὶ ἃ κεχρεώστηται (ὥς φησιν) οἶμαι κοδράντας εἶναι ἀλλ᾽ οὐ μνᾶς οὐδὲ τάλαντα.

239. ⟨Τῷ Πόθῳ (?)⟩

S 138 [P]

Θεράπευε μὲν καὶ τοὺς δυνατοὺς, ἠγαπημένε μοι ἀνεψιέ, θεράπευε ὅση σοι δύναμις, φείδου δὲ καὶ τῶν ἀσθενεστέρων. Ὁποῖός ἐστιν ὁ πατρίκιος ὁ τῆς Ἰκανατίσσης υἱός. Ὃς ὁρῶν τοὺς τῶν μοναστηρίων αὐτοῦ παροίκους ὥσπερ ἀφιπταμένους ἑτέρωθεν ὧν παρῴκουν τόπων, ἀλγεῖ πυκνὰ τὴν ψυχήν, καὶ δεῖταί σου μεθ᾽ 5 ἡμῶν μὴ μεθιστᾶν τούτους τῶν μονῶν παροικίας· εἰ γὰρ καὶ εὐγενὴς ὁ πατρίκιος, καὶ τῆς εὐδαιμονεστέρας σειρᾶς ἄνωθεν, ἀλλ᾽ οὐ πολλαὶ αὐτῷ τοῦ ἐν εὐροίᾳ ζῆν ἀφορμαί. Συνερανίζεται οὖν ἐκ

5 μὴ – σε: proverbium, cf. Π 328,6–7 cum Drexl (BZ 40 [1940] 405) et Karpozilos (JÖB 38 [1988] 260–261)

ep. 238 H 43r; tit. K-D: ἐπιστολαὶ τοῦ Ψελλοῦ Y ‖ **5** εὐκολώτατον Cre K-D
ep. 239 P 219v; tit. scripsi ‖ **3** τῆς Ἰκανατίσσης corr. S: an τοῦ Ἰκανάτου scribendum? τοῦ τῆς Ἰκανάτου[ίσσης] P

πορισμῶν δικαίων ῥανίδας τινὰς τῆς πρὸς τὸν βίον εἰσαγωγῆς.
10 Μὴ οὖν αὐτὸς αὐτῷ τέμοις τοὺς ὀχετούς, ἀλλὰ μᾶλλον ὑπάνοιξον.

LIV. Ῥωμανός

σύγκελλος, μητροπολίτης Κυζίκου (ca. a. 1064 – a. 1079?)
συμμαθητής? ⟨διδάσκαλος (cf. Π 242 et Π 243)⟩?

240. Τῷ μητροπολίτῃ Κυζίκου τῷ συγκέλλῳ κῦρ Ῥωμανῷ

S 178 [P]

Τῆς συνδεδεμένης ἀνδρὶ ἡ τοῦ ὁμοζύγου χηρεύουσα εὐχερεστέρα πρὸς τὴν συνάφειαν, τιμιώτατε καὶ σεβασμιώτατε δέσποτα, κἂν ἡ μὲν καλλίων καὶ τὴν μορφὴν καὶ ἀφηλικεστέρα ἐστίν, ἡ δὲ καὶ εἰδεχθὴς καὶ ῥυτίδων ἐγγύς· Πρῶτον μὲν γὰρ οὐδὲ θεατὴ τοῖς
5 πολλοῖς ἐκείνη, εἰς τὸν ἐσώτερον κοιτωνίσκον ὑποτρέχουσα καὶ προστρέχουσα τῷ ἀνδρί· ἔπειτα εἰσὶ καὶ νόμοι κατὰ τῶν ἐρώντων ἐκείνης, πικρὰ καὶ μεγάλα τὰ ἐπιτίμια ἔχοντες.

Τὴν μὲν οὖν τοῦ Ἀρτιγενοῦς μονὴν ὁ παλαιγενέστατος ἐχέτω ἀνήρ, ὁ ἐκτομίας καὶ ἐπαφρόδιτος, καὶ τῆς ἐρωμένης ἀπρὶξ καὶ ἐν
10 ἀγκάλαις ἐχόμενος. Ἡ δὲ τῶν Μουντανίων, χθές που καὶ πρώην δυοῖν συζύγων χηρεύσασα, νυμφευθήτω ἐμοί· κρείττων γὰρ ἐγὼ τῶν προτέρων αὐτῆς ἀνδρῶν καὶ τὸ εἶδος καὶ τὴν φυήν· καὶ συναγκαλίσομαι μᾶλλον αὐτὴν ἤπερ ἐκεῖνοι· καὶ ἐπειδὴ οὐκ ἀστική τις ἐστὶν ἀλλ' ἀγροικική, οὐ περιδερραίοις καὶ ἐλλοβίοις

10 τέμοις – ὀχετούς: cf. Plat. Τίμαιος 77c8 τέμνοντες οἷον ἐν κήποις ὀχετούς **LIV** μητροπολίτης Κυζίκου: cf. Oikonomidès 1960,63–64 et Wassiliou-Seibt I 513 (nr. 1163 a, b, c); cf. etiam Π 265,2–3 ‖ **12** τὸ – φυήν: iunctura Homerica; cf. Il. 2,58 εἶδός τε μέγεθός τε φυήν τ', 22,370 οἳ καὶ θηήσαντο φυὴν καὶ εἶδος ἀγητόν, etc.

ep. 240 K 75v–76v, P 232v; tit. P S: τοῦ Ψελλοῦ τῷ μητροπολίτῃ Κυζίκου K **1** χηρεύουσα K: χηρεύσασα P S ‖ **5** ἐκείνη ⟨δὲ⟩ S ‖ **8** παλαιγενέστατος scripsi: παλαιγενέτατος K παλαιγενέτης P S ‖ **11** δυοῖν – χηρεύσασα P S: χηρεύουσα, δυοῖν συζύγων K ‖ **12** φύσιν S

κατακοσμήσω, οὐδὲ ἠλεκτρίνην αὐτῇ τὴν στηθοδέσμιδα ποιήσο- 15
μαι, οὐ στρεπτῷ τὸν τράχηλον καλλυνῶ, ἀλλὰ βόας αὐτῇ καὶ
ἀγέλας προβάτων χαρίσομαι, ἵνα τοῖς συνήθεσι παιδικοῖς
ἐπαγάλληται· ἢν δέ που δεήσῃ αὐτῇ καὶ ᾠδῆς καὶ χαρίτων, καὶ
αἰπόλον αὐτῇ ἐπιστήσω, αὐχμοῦ μὲν πλήρη, εἰδότα δὲ πλαγίοις
αὐλήμασι καταθέλγειν αὐτῆς τὴν ἀκοήν. 20

Ἀλλὰ τί με λέγοντα μεταξὺ διετάραξεν; Οὐ πάνυ τί ἐστι
φίλανδρος ὡς ἄν τις εἰκάσειεν· οὔπω γὰρ τὸν πρότερον αὐτῆς
ἄνδρα τετελευτηκότα θρηνήσασα, εὐθύς τε ἑτέρῳ συνήφθη, καὶ
αὐτίκα διώλεσεν, ὡς ἡ τοῦ Τωβία γυνή. Μὴ τοίνυν ἐμοὶ μόνῳ
συνάψαις τὴν ἄστοργον, ἀλλὰ καὶ ᾧ ἂν αὐτὴν ἐγὼ συνοικίσαι 25
βουλήσομαι, ἵν' εἰδυῖα ὡς κἂν ἐμὲ διακρούσηται, αὐτίκα ὑφ' ἑτέρῳ
συζύγῳ γενήσεται, ἐμοῦ μᾶλλον τοῦ συνήθους ἀντέχηται.

Καὶ μὴ θαυμάσῃς εἰ τῆς μὲν κατεγγυηθείσης μοι παρὰ σοῦ
ἀφθονωτέρας οὔσης καὶ πᾶσιν ἀγαθοῖς βρυούσης καταπεφρόνηκα,
τῆς δὲ ἀγεννοῦς ταύτης ἠράσθην καὶ πένητος· ἐκείνη μὲν γάρ, εἰ 30
καὶ πολὺ ταύτης εὐδαιμονεστέρα, ἀλλὰ καθυπερηφανεύεται τοῦ
ἐρῶντος, καί τι γερόντιον εἰδεχθέστατον ἐμοῦ μᾶλλον τοῦ γεννά-
δος ἀσπάζεται, καὶ μικροῦ δεῖν εἰς ἀθανασίαν μετέστησεν, εἰ μὴ ἡ
φύσις ἀντίσχυσεν· ἡ δὲ οὕτω μου ἐρωτικῶς ἔχεται, ὥστε ἐπειδὴ
πόρρωθεν, ἐνένευσά τε ταύτῃ, καί τι προσεμειδίασα ἁπαλόν, τοὺς 35
ἐνοίκους εὐθὺς ἀποστέρξασα, προσέκλινε πρὸς ἐμέ.

Πῆξον οὖν μοι ταχέως τὴν νυμφικὴν παστάδα· καί μοι
ἑτοίμασον τὸν δεσμόν, δυσὶν ὁμοζύγοις (ὡς εἴρηται), ἐμοί τε
γνωρίμῳ καὶ ἀγνώστῳ ἑτέρῳ τὴν ἐρωμένην κάλλιστα νυμφευόμε-
νος· καὶ μὴ ἄλλως ποίει (ἐγὼ γὰρ ὁ νυμφίος οὐκ ἐφ' ἑτέροις συντί- 40

15–16 ἠλεκτρίνην – ποιήσομαι: cf. Π 62,40–41 στηθοδεσμὶς ἠλεκτρίνη **24** ὡς – γυνή: Tob. 3,7–8 Σαρρα ... ἦν δεδομένη ἀνδράσιν ἑπτά, καὶ Ασμοδαυς τὸ πονηρὸν δαιμόνιον ἀπέκτεινεν αὐτοὺς πρὶν ἢ γενέσθαι αὐτοὺς μετ' αὐτῆς ὡς ἐν γυναιξίν

15–16 ποιήσομαι P S: ποιήσω K ‖ **18–19** καὶ αἰπόλον K: αἰπόλον P S **20** αὐτῆς K: αὐτῇ P S ‖ **22** εἰκάσειεν P S: εἰκάσειε K ‖ **23** τετελευτηκότα θρηνήσασα P S: θρηνήσασα τετελευτηκότα K | εὐθύς τε P S: εὐθὺς K ‖ **26** κἂν ἐμὲ P S: κἀμὲ K | ὑφ' ἑτέρῳ K: καὶ ἐφ' ἑτέρῳ P S ‖ **31–32** τοῦ ἐρῶντος K: τοῦ ἔρωτος P S ‖ **33** μετέστησεν K: αὐτὸν μετέστησεν P S ‖ **34** ἡ P S: εἰ K **35** ἐνένευσά τε P S: ἐνένευσα K | ταύτῃ P S: ταύτης K ‖ **36** ἐνοίκους K: συνήθεις P S | προσέκλινε K: ἀπέκλινε P S ‖ **38** τε P S: τῷ K

θεμαι τῷ μεγάλῳ βουλήματι)· καὶ ἐπὶ πᾶσι, μέμνησό σου τῶν συνθηκῶν.

241. Τῷ Κυζίκου ⟨κῦρ Ῥωμανῷ⟩

S 30 [P]

Ὁ θαυμασιώτατός μοι δεσπότης ὁ Κυζίκου καὶ πάλιν αὖθις, νῦν μὲν σῖτον, νῦν δὲ κριθήν, νῦν δὲ ἄλλο τι· καὶ μέχρι τίνος; μὴ γὰρ θάλασσα εἶ, καὶ εἰσβάλλουσιν εἰς σὲ οἱ ἀένναοι ποταμοὶ ἵνα πάντοτε μένῃς καὶ κενούμενος καὶ πληρούμενος; Εἰ γὰρ καὶ 5 πυροφόρος ἡ Κύζικος, καὶ ἀμύθητος αὐτῇ τοῦ γενήματος ἡ πηγή, ἀλλὰ τὸ ἀπορρέον πολύ· εἰ δὲ τοσοῦτον ὁπόσον τοῖς ἐξοχετεύουσι ταύτην ἐξαρκεῖν ποταμοῖς, οὐ κωλύω τὴν ἀπορροήν· βάλλ' οὕτως, καὶ εὐστοχώτατα πρὸς ἡμᾶς ἀποτόξευε.

Πότε δέ μοι καὶ κομίσεις τὰ περὶ τοῦ Εὐρίπου ποθεινὰ 10 εὐαγγέλια; Πότε μοι τοῦτον κἂν τῷ λόγῳ ἀποκτενεῖς; Μέχρι δέ τινος ἐκεῖνος βιώσεται, καὶ προσθήσει τοῖς ἔτεσιν; Ἔγωγ' οὖν αὐτὸν πρὸ ἐνίων ὀλυμπιάδων ἰδών, ὥσπερ οἰωνισάμην, τοσοῦτον αὐτὸν διέφθειρεν ἡ ῥυτίς, καὶ ἐμαντευσάμην ὡς αὐτίκα τεθνήξεται. Τί οὖν ἔτι βιοῖ; Βαβαὶ τοῦ ῥᾳθύμου καὶ ἐκλελησμένου Χάρωνος.

15 Γέγονε δὴ αὐτῷ ὥσπερ σύμβολον παλιγγενεσίας καὶ τὸ τῆς μονῆς ὄνομα· καὶ ὁ Ἀρτιγένης ἐκεῖνος ἀφ' οὗ τὸ φροντιστήριον

3 οἱ – ποταμοὶ: Hes. Ἔργα καὶ ἡμέραι 737 μηδέ ποτ' ἀενάων ποταμῶν, iunctura saepe laudata; cf. Psel. Βίος καὶ πολιτεία … Αὐξεντίου … = Or. hag. 1a,182, Λόγος εἰς τὰ θαύματα τοῦ ἀρχιστρατήγου Μιχαήλ = Or. hag. 5,609, Λόγος εἰς … Κωνσταντῖνον τὸν Μονομάχον = Or. pan. 1,187, Εἰς τὸ εὐαγγελικὸν … 'πνεῦμα ὁ θεός …' = Theol. I 76,167, Εἰς τὸ 'τὸ μέν, ἵνα μένῃ …' = Theol. I 91,99, et Π 13a,44 ‖ **7** βάλλ' οὕτως: Hom. Il. 8,282, cf. Psel. Λόγος εἰς … τὸν Μονομάχον = Or. pan. 2,404, Π 105,24, Π 214,7–8, et Π 449,4–5

41 βουλήματι K: βουλήμασι P S ‖ **ep. 241** P 197v–198r, O 202v–203r; tit. scripsi: τῷ Κυζίκου P S om. O ‖ **3** εἶ P S O (ante corr.): ᾗ O (post corr.) **9** περὶ P S: παρὰ O ‖ **10** τοῦτον O: ταῦτα P S ‖ **15** δὴ P S: δὲ O ‖ **16** ἀφ' P S: ἐφ' O

ἐπικέκληται, ὥσπερ ἄρτι γεννώμενον τὸν γέροντα δείκνυσιν. Ἡ δέ γε φήμη μάτην «θεὸς» παρὰ τῶν ποιητῶν ἤκουε· ψεύδεται γὰρ ὁπόσα καὶ τὸ πρὶν ὁ Ἀπόλλων. Πολλοὶ μὲν γὰρ ἐκεῖνον κατὰ τὸν Ἀσκραῖον τεθνηκέναι ἐφήμιξαν, καὶ ἔτι «φημίξουσι»· ὁ δὲ ζῇ μὲν 20 ὡς ὁ Τιθωνός, ἰσχύει δὲ ὡς οἱ Γίγαντες, ἐσθίει δὲ ὡς ὁ Ἡρακλῆς, δέδοικα γοῦν μὴ καὶ ἀθάνατος κατὰ τοὺς Διοσκούρους γενήσεται, ἢ καὶ τεθνηκώς, αὖθις ἀναβιώσεται ὡς ἡ Ἄλκηστις.

Ἀλλὰ ζήτω μὲν ὁ καλὸς γέρων ἐκεῖνος· καὶ ἐμοῦ γε ἕνεκα μὴ ἀποθάνοι ποτέ. Εὐρώστει δὲ καὶ αὐτὸς δεξιῶς πρὸς τούτῳ νοσοκο- 25 μούμενος. Αἱ δὲ πηκταὶ φεῦ κατὰ τὴν θάλασσαν ἀπολώλεσαν.

242. ⟨Τῷ μητροπολίτῃ Κυζίκου κῦρ Ῥωμανῷ (?)⟩

Pselli?

K-D 12 [K]

Ἡ τῆς σῆς ἀρετῆς, σεβασμιώτατε δέσποτα, φήμη καὶ γνώσεως, ὥσπερ ὑπόπτερος διαθέουσα, πάλαι μὲν ἣν οἰκοῦμεν ἡμεῖς

17–20 ἡ – φημίξουσι: cf. Hes. Ἔργα καὶ ἡμέραι 764 φήμη δ᾽ οὔ τις πάμπαν ἀπόλλυται, ἥντινα πολλοὶ / λαοὶ φημίξουσι· θεός νύ τίς ἐστι καὶ αὐτή cum Synes. Cyren. Epist. 43,10–11 εἰ μὲν θεός ἐστιν ἡ φήμη κατά τινα τῶν παρ᾽ ἡμῖν ποιητῶν ‖ **20–21** ὁ – Γίγαντες: cf. Hes. Θεογονία 984 (Τιθωνός), 50 et 185 (Γίγαντες) ‖ **21** ἐσθίει – Ἡρακλῆς: cf. e.g. Liban. Epist. 1477,5 ἐσθίοντας δὲ ὑπὲρ τὸν Ἡρακλέα cum Athen. Δειπνοσοφισταί 7,4,6–7 λέγομεν γοῦν ὀψοφάγους οὐ τοὺς βόεια ἐσθίοντας, οἷος ἦν Ἡρακλῆς, ὃς τοῖς ʻβοείοις κρέασιν ἐπήσθιε σῦκα χλωρά᾽ (Eurip. fr. 899) ‖ **22** ἀθάνατος – Διοσκούρους: cf. e.g. Xen. Συμπόσιον 8,29 ἀθανάτους τούτους ἐποίει (scil. Ζεύς)· ὧν Ἡρακλῆς μὲν καὶ Διόσκουροί εἰσι cum Schol. in Pind. O 3, 62a–62c. cf. etiam Psel. Omn. doctr. 138 Περὶ τῶν ἄστρων τῶν καλουμένων Διοσκούρων ‖ **23** ἀναβιώσεται – Ἄλκηστις: cf. e.g. Suda ι 471 οὐ κατὰ τὸν Ἡρακλέους μῦθον καὶ τὴν Ἀδμήτου Ἄλκηστιν, ἣν ὁ καλλίνικός τε καὶ τριέσπερος ὑπὲρ τοῦ ἀνδρὸς τελευτήσασαν ἤγειρε. cf. etiam Psel. Εἰς … Κωνσταντῖνον τὸν Ξιφιλῖνον, ἀξιώσαντα αὐτὸν μεταβαλεῖν τὸ … Ὄργανον ἀπὸ τοῦ ἀσαφοῦς ἐπὶ τὸ σαφές = Phil. min. I 5,40 ‖ **1–2** φήμη – διαθέουσα: cf. e.g. Theodoret. Φιλόθεος ἱστορία 2,3,3, 17,9,1–2 et Epist. 60,2

18 ἤκουε P S: ἤκουσε O ‖ **25** εὐρώστει P S: εὐρώστοι O ‖ **26** αἱ δὲ – ἀπολώλεσαν O (cf. Malt²,190–191): om. P S ‖ **ep. 242** K 76v–77r; tit. scripsi (cf. Π 240 = K 75v–76v): om. K ⟨τῷ μητροπολίτῃ Κυζίκου⟩ K-D ‖ **2** ὑπόπτερος corr. K-D: ὑπὸ πτερῷ K

κατείληφε μεγαλόπολιν, μέχρι δὲ καὶ Γαδείρων χωρεῖ καὶ περάτων γῆς, καὶ οὐ περατοῦται τοῖς διηγήμασιν. Ὅτε δὲ καὶ εἰς
5 ἡμετέρας ἐνέπεσεν ἀκοάς, εὐθὺς (ὅ φασιν) «ἐκ πρώτης ἀφετηρίας» κατέσχε· καὶ μέγιστον ἀνῆψε τῆς σῆς ἀγάπης πυρσόν, ὡς ζητεῖν ἄρα ὅθεν ἄν σοι τῷ σοφωτάτῳ καὶ ὅπως οἰκειωθείημεν. Ὡς δ' οὐκ ἦν εὑρεῖν ὅπερ ἄν μοι τὸν πόθον ἀφοσιώσειε, καὶ μέντοι καὶ κρηπῖδα φιλίας ὑπόθοιτο τῆς εἰς σέ, πᾶσα δὲ ἐλπὶς προσδοκίας
10 ἀπῆν, αὐτός, ὦ θεέ (πῶς ἂν εἴποιμι;), παρ' ἐλπίδα πᾶσαν, καινοπρεπῶς ἡμᾶς αὐτῷ οἰκειοῖς. Καὶ ὅπως, αὐτὸς ἐρῶ σοι.

Ἔτυχες μὲν ἐξ οἴκου φερόμενος ὅλοις ἱστίοις τὴν ἐπὶ διδασκαλεῖον ὁδόν, κατὰ μικρὸν δὲ προχωρῶν τῷ ἱερῷ τῶν Ἀναργύρων σηκῷ προσεπέλασας· ἔνθα δὴ συντυχών σοι τῶν τότε, ἕως καιροῦ,
15 δραξάμενος ἔτυχον· ἐς λόγους δεῖν ᾠήθην ἐλθεῖν σοι. Ὃ δὴ καὶ πέπραχα· καὶ τὸ ἀπὸ τούτου, φοιτῶ μὲν παρὰ σοί, καὶ παιδείας τυγχάνω, καὶ μέρος γίνομαι τῶν σῶν χορευτῶν· οἷς δι' ἐπαίνων ἄγεται τὰ σὰ καὶ μεγαλοφώνως ἀνακηρύττεται. Οὐ μὴν οἰκείως ἔχω πάντῃ [τ]ὰ πρὸς σέ, θεοτίμητε, βούλομαι δὲ καὶ τοῦτο παρὰ
20 σοῦ μοι γενέσθαι· γένοιτο δ' ἄν, εἰ τὰ παρ' ἐμοῦ σοι σταλέντα μὴ παρόψει, μηδὲ παρίδῃς. Μικρὰ μὲν γὰρ οἶδα, μικρὰ καὶ τῆς σῆς

3 μέχρι – Γαδείρων: proverbium; cf. Psel. Ἐγκώμιον εἰς τὴν ἀποτομὴν … Ἰωάννου = Or. hag. 8,655 et Π 446,17 ‖ **5** ἐκ – ἀφετηρίας: proverbium, CPG II 145 (nr. 18) ἀπὸ γραμμῆς (= ἀπὸ πρώτης ἀφετηρίας); cf. Psel. Ἕτερος λόγος πρὸς … Κωνσταντῖνον τὸν Μονομάχον = Or. pan. 4,75, Ἐγκώμιον εἰς Ἰωάννην … Εὐχαΐτων … = Or. pan. 17,64, Ἐκ τοῦ τῆς Πεντηκοστῆς λόγου, εἰς τὸ 'ἔστι διαφορὰ χαρισμάτων' = Theol. I 60,87–88, et Π 287,4. cf. etiam Π 34,27–28, Π 144,37–38, Π 146,2–3, et Π 195,6 ‖ **6** τῆς – πυρσόν: cf. e.g. Ioann. Chrys. In epist. i ad Corinth. 33,6 (PG 61 284,58–59) cum Theod. Cyz. Epist. A,46,11 ‖ **12** ὅλοις ἱστίοις: iunctura Synesiana (Epist. 5,45 et Δίων 1,12) saepe in Psello laudata; cf. e.g. Χρονογραφία I,4 et Μονῳδία εἰς τὸν πρωτοσύγκελλον καὶ μητροπολίτην Ἐφέσου κῦρ Νικηφόρον = K-D I 23 (207,23); iunctura Pselliana (vel Synesiana?) in Ann. Comn. Ἀλεξιάς I 16,1, XI 10,8, et XII 5,5 laudata; cf. etiam e.g. Mich. Ital. Epist. 4 (90,19) et 18 (159,5) et Niceph. Basil. Orat. C (109,20). cf. etiam Π 124,56 ἱστίοις ἅπασιν ‖ **13–14** τῷ – σηκῷ: cf. Janin 1969,284–289

11 αὐτῷ corr. K-D: αὐτῶ K ‖ **14** καιροῦ K (ἕως καιροῦ, locutio biblica; cf. e.g. Tob. 14,4): καιρός corr. K-D ‖ **16** τὸ corr. K-D: τῶ K ‖ **19** τὰ suppl. K-D

ὑπεροχῆς ἀποδέοντα, ψυχὴν δ᾽ ὅμως καλλίστην χαρακτηρίζει τοῦ στείλαντος, καὶ τὸν οἷος σὺ φίλον κτᾶσθαι θέλουσαν.

243. ⟨Τῷ Ῥωμανῷ (?)⟩

Pselli? sed cf. ll. 22–24 infra; ante Π 244 et Π 245

K-D 13 [K]

«Σιωπῆς οὐδὲν ἄμεινον» ὁ τραγικός φησι Σοφοκλῆς· σιωπᾶν δὲ ἐν κακοῖς, πῶς ἂν ὑποσταίη τις, καὶ ταῦτα ἐν οὕτω δεινοῖς καὶ ἐπωδυνωτάτοις, ὑφ᾽ ὧν αὐτὸς πεπεδημένος κατέχομαι; Ἐπεὶ δὲ τὸ τὰ δεινότατα λέγειν παραμυθίαν φέρει, μικρὸν ἄνωθεν ταυτί σοι διηγήσομαι. 5

Γάμος ἦν· καὶ γάμων ὁ λαμπρότατος. Παστὰς μὲν ἐξήπλωτο, ὑμέναιος δὲ ἐκροτεῖτο, αὐλοὶ δὲ μουσικὸν ᾖδον, καὶ πάντα ἡδονῆς ἦν μεστά. Ἐμὲ δὲ τούτων οὐδὲν ἥδυνεν· ἠνία δὲ μᾶλλον οἴκοι φαινόμενα, καὶ θεῷ ηὐχόμην, οὐκ εἰς μακρὰν τουτονὶ λυθήσεσθαι τὸν γάμον. Ἐπεῖδε κύριος πρός με· εἰσήκουσε τῆς δεήσεώς μου. 10 Καὶ ὀλίγον τὸ μεταξύ, καὶ ὁ γάμος ἐπαύσατο.

Ἐγὼ μὲν οὖν τῶν ἐν αὐτῷ θορύβων ἀπαλλαγείς, καὶ ὥσπερ ἀπὸ ζάλης, οὕτως εἰς λιμένα καταντῆσαι γαλήνης νομίσας, θεῷ τε χαριστήρια τέθυκα, καὶ ἐκ συνθήματος τῶν πρὶν ἔχεσθαι ἠπειγόμην, καὶ τῆς σῆς ἀπολαύειν διδασκαλίας ἔσπευδον. Δαίμων δέ τις 15 φθονερὸς καὶ ἀλάστωρ, ζηλοτυπήσας τῆς εὐτυχίας, ἐφ᾽ ἕτερον μετήνεγκε λογισμόν· καὶ σκοποῦντα μαθημάτων ἔχεσθαι, παρέτρεψέ τε καὶ παρέκλινεν, ἀπολαύσεις ἀναπείθων λογίζεσθαι καὶ μεταβολάς, τῶν ἄλλων ἀφέμενον. Ὧι δὴ πεισθεὶς ὡς μὴ ὤφελον, τῷ μὲν ἐν ἄστει διάγειν, καὶ τῆς ἡδίστης καὶ φίλης 20 ἐπαπολαύειν ῥητορικῆς, χαίρειν εἶπον. Πορθμείου δὲ ἐπιβάς, τὴν ἐπὶ τοὺς Ἁγίους Πατέρας ὁδὸν ἐστελλόμην· ἀναγομένῳ γάρ μοι

1 σιωπῆς – ἄμεινον: Soph. fr. 1138a ‖ **10** ἐπεῖδε – με: cf. Ps. 30,8 ἐπεῖδες τὴν ταπείνωσίν μου | εἰσήκουσε – μου: Ps. 6,10, Ps. 27,6, et Ps. 39,2 ‖ **22** Ἁγίους Πατέρας: scil. τὸ Μηδίκιον μοναστήριον, cf. Mango–Ševčenko 1973,240–242, 261–262, et 266 et Janin 1975,165–168 et Π 85,7, Π 91,8–9, Π 258,1, Π 349,18, Π 350,1-2, et Π 360,44–45

23 φίλον corr. K-D: φίλους K ‖ **ep. 243** K 77r–78r; tit. scripsi: ⟨διδασκάλῳ τινί⟩ K-D

τὴν ἐπ' ἐκείνους, Ἀγρὸς ἐξ ἐναντίας ἐπὶ δεξιὰ ἡμέτερος, ὃς δὴ καταγομένους ἠλπίζετο διαδέξεσθαι. Ὅπως δὲ ἡμῖν ἔσχε τὰ ἐν τῇ
25 νηΐ, ἄκουε:

Πρωΐας ἤδη (κυρία δὲ ἦν ἡμέρα καὶ ἀναστάσιμος, καθ' ἣν ἡ ἑορτὴ τῶν πατέρων ἄγεται), ἐπὶ τὸ πλοῖον ἀνέβημεν. Ἐπιβάται μὲν οὖν ἦσαν πλεῖν ἢ δώδεκα, ναῦται δὲ τὸν ἀριθμὸν ἀναπληροῦντες τὸν τῆς ⟨τριάδος⟩. Τὰ μὲν οὖν πρῶτα πλησίον τῆς γῆς ἐπλέο-
30 μεν, καὶ τὰς ἠιόνας παρεθέομεν. Ἐπεὶ δὲ τῷ πελάγει ἐπαφείκαμεν, εὐθὺς ἄνεμος ἐκ πρῴρας ἀνίσταται· ἦν δὲ οὐ μάλα πολύς, καὶ τοῦτο οὐδὲν ἡμᾶς ἔθραξε. Μετὰ μικρὸν δὲ καὶ νέφος ποθὲν ἐπιδραμὸν τοῦ ἀνέμου ἡσυχάσαντος, τὰ μὲν πρῶτα ψεκάσιν ἔβαλλεν οὐ συχναῖς, εἶτα πυκναῖς, τελευταῖον δέ, ὥσπερ ὑπό τινος βίας ἀπορ-
35 ραγέν, ὄμβρῳ πολλῷ κατέκλυσεν, ὡς τῆς εὐθὺ τῶν πατέρων ἐκλαθομένους, ἐπὶ τὸ τοῦ προειρημένου Ἀγροῦ ἐπίνειον καταραι σπουδῇ, καὶ προσοκεῖλαι τῷ νεωρίῳ τὴν ναῦν ἐπείγεσθαι.

Μόλις δ' οὖν τούτου τυγχάνομεν, καὶ τοῦ πλοίου ἀπέβημεν, τοῦ Ἀγροῦ τε ἐπέβημεν. Καὶ μικρὸν ἐπιμείναντες, αὖθις ἐπιστρο-
40 φῆς ἐμεμνήμεθα, καπνὸν ἰδεῖν ἀποθρώσκοντα ἑῆς πατρίδος ἐπιθυμοῦντες. Ἐπιβάντες οὖν πάλιν τῆς νηὸς κατηγόμεθα. Ἡμέρα δὲ ἦν, καὶ τὴν θάλασσαν γαληνιῶσαν ὁρῶμεν καὶ λειοκύμονα.

23 Ἀγρὸς: cf. Mango–Ševčenko 1973,259–267 et Π 284,41 ‖ **30** τὰς – παρεθέομεν: iunctura in Ann. Comn. Ἀλεξιὰς (IV 6,3; VII 8,4; et IX 1,3) laudata? **32** ἔθραξε: vox Platonica; cf. Plat. Φαῖδρος 242c7 et Παρμενίδης 130d5 cum e.g. Synes. Cyren. Epist. 121,13. cf. Π 53,15 et Π 110,16 ‖ **40–41** καπνὸν – ἐπιθυμοῦντες: Hom. Od. 1,58–59 ἱέμενος καὶ καπνὸν ἀποθρῴσκοντα νοῆσαι / ἧς γαίης ‖ **42** τὴν – λειοκύμονα: iunctura Pselliana in Georg. Torn. Λόγος ἐπὶ τῷ θανάτῳ … Ἄννης τῆς καισαρίσσης 221,2 et Euth. Mal. Epist. 20,18 laudata? | θάλασσαν … λειοκύμονα: Lucian. Ἀληθῆ διηγήματα 2,4 λειοκύμονος δὲ οὔσης τῆς θαλάττης et Σκύθης ἢ πρόξενος 11,28 λειοκύμων ἡ θάλαττα. cf. Psel. Χρονογραφία VII,33, Σελέντιον δημηγορηθὲν παρὰ βασιλέως κῦρ Μιχαὴλ τοῦ Δούκα = Or. min. 3,99–100, Ἕτερος λόγος πρὸς … Κωνσταντῖνον τὸν Μονομάχον = Or. pan. 4,197, Λόγος προσφωνηματικὸς πρὸς … Μιχαὴλ τὸν Δούκαν = Or. pan. 13,52, Εἰς τὸν σεισμὸν … = Phil. min. I 30,134, Εἰς τὸ εὐαγγελικὸν … 'πνεῦμα ὁ θεός …' = Theol. I 76,166, et Π 127,64. iunctura Pselliana in Ann. Comn. Ἀλεξιάς VII 8,10, Nic. Chon. Epist. 11 (217,13), Theod. Prodr. Τὰ κατὰ Ῥοδάνθην καὶ Δοσικλέα 4,284, et Nic. Eugen. Τὰ κατὰ Δροσσίλαν καὶ Χαρικλέα 4,2 laudata?

29 τὸν corr. K-D: τὴν K | τριάδος add. K-D

Προσεδοκᾶτο δὲ ἡμῖν οὐδὲν δεινὸν. Πλέον οὖν ἢ δύο ἀνύσαντες στάδια, ἐπείπερ αὖθις τοῦ πελάγους ἐγενόμεθα, οὐκέτι νήνεμος ἡμῖν ὡς πρὶν καὶ εὐδιεινὴ κατεφαίνετο, ἀλλ' ἀγρία καὶ χαλεπή, 45 τῶν ἀνέμων ταύτην ἐκταραξάντων, καὶ κυκεῶνα τὸ πέλαγος ἀπεργασαμένων, ὡς ὑπὸ τῶν κυμάτων μικροῦ δεῖν ἀνεστράφθαι τὸ πλοῖον καὶ κατὰ βυθῶν ἡμᾶς ἐνεχθῆναι, εἰ μὴ ταχέως ὁ ἐπὶ τῶν οἰάκων ἡμῖν συμφρονήσας ἀνέστρεψέ τε τὴν ναῦν εἰς τοὐπίσω, καὶ ὅρμῳ τινὶ οὐ μακρὰν προσσχών, ἐπὶ γῆς ἐξενεγκών, οὐχ 50 ὥσπερ τὸν Ὀδυσσέα οἱ Φαίακες ὑπνώττοντας, ἀλλ' ἐγρηγορότας καὶ τῷ δέει κυμαινομένους, κατέθηκεν. Ἐπεὶ δὲ ἐξηνέχθημεν, καὶ τῆς ἡδείας γῆς ἡψάμεθα, μέχρι μέν τινος, πεζοὶ ἐβαδίζομεν· ὡς δ' αἰθρία ἔφανε, καὶ νηνεμία τῇ θαλάσσῃ ἐξεγένετο, τοῦ πελάγους αὖθις κατατολμῶμεν, καὶ μετὰ πολλὰς τὰς τοῦ χειμῶνος ἐπανα- 55 στάσεις ἐνταυθοῖ γινόμεθα.

Τὸ δ' ἀπὸ τούτου τί ἂν σοι καὶ λέγοιμι; Λοιμὸς ἐνέσκηψεν ἡμῖν, νόσος ἀλγεινὴ καὶ ἐπώδυνος, οὔτε σιτεῖσθαι ἐῶσα, οὔτε ποτῶν γεύεσθαι (καίτοι τῶν πεπειραμένων ταύτης προτρεπομένων), κεῖσθαι δὲ ἡμιθανῆ, καὶ τὰ εἰς ᾄδου λογίζεσθαι. Οὕτως οὖν 60 ἔχοντος κακῶς, ἐπισκέψασθαι μὴ παρόψει, ἀλλ' ἐπάνηκε τὴν ταχίστην, τὰ τελευταῖά με πνέοντα ἀσπασόμενος.

244. ⟨Τῷ αὐτῷ⟩

⟨Τῷ Ῥωμανῷ (?)⟩. Pselli? post Π 243

ined. [K]

Ὡς εὐστόχως ἔφησεν ἡ παροιμία, «ἀνδρὸς κακῶς πράσσοντος ἐκποδὼν φίλοι»· νῦν γὰρ νοσοῦντας οὐ θέλουσι προσβλέπειν, ἀλλ' ὥς τι μῦσος ἐκτρέπονται τὴν νόσον.

50–51 οὐχ – ὑπνώττοντας: Hom. Od. 13,117–119 πρῶτον Ὀδυσσῆα γλαφυρῆς ἐκ νηὸς ἄειραν ... κὰδ δ' ἄρ' ἐπὶ ψαμάθῳ ἔθεσαν δεδμημένον ὕπνῳ **1–2** ἀνδρὸς – φίλοι: CPG I 29 (nr. 90) et II 7 (nr. 45)

50 προσσχών corr. K-D: προσχὼν K ‖ **62** ἀσπασόμενος corr. K-D: ἀσπασάμενος K ‖ **ep. 244** K 78r; tit. scripsi: om. K

245. ⟨Τῷ αὐτῷ⟩
⟨Τῷ Ῥωμανῷ (?)⟩. Pselli? post Π 243

K-D 14 [K]

Εἰ φιλίαν οἱ ταύτην εἰδότες ψεύδονται οἷόν τι χρῆμα καί ὅσον ἐράσμιον, πῶς ἄν ποτε φιλεῖν πιστευθεῖεν οἱ ταύτης ἄγευστοι, τοὺς ταύτην εἰδότας οὐ στέργοντας ὁρῶντες;

Ἐγὼ μὲν γὰρ ᾤμην (μὰ τοὺς φιλίας θεσμούς!), οὕτως φιλεῖν
5 ὑπισχνούμενον, ἡνίκα με νόσῳ κατασχεθέντα μεμάθηκας, καὶ κλινήρη ἐπὶ σκίμποδος κείμενον, εὐθὺς καταπτῆναι πρὸς τὸν ποθούμενον, εἰ μὲν δυνατῶς εἶχες ἱπποβατήσας τάχει πολλῷ πρὸς ἡμᾶς γενέσθαι, καὶ τὸν Περσέα μιμήσασθαι, καὶ ἀερίῳ τῇ πτήσει κινηθέντα πρὸς ἡμᾶς φοιτῆσαι. Σὺ δὲ οὐδὲν τούτων ἐνενόησας·
10 οὐδὲν τούτων ἐνεθυμήθης· οὐ τὴν φιλίαν διελογίσω. Ἄδικος σύ, φίλτατε, καὶ φιλίαν ἀδικεῖς καὶ ἀγάπην. Καὶ νῦν μὲν ὥσπερ ὁρᾶν δοκῶ σε τὰς βαθμίδας ἐπαναβαίνειν, καὶ ἐφ' ὑψηλοῦ τινος γίνῃ· καὶ νῦν μὲν τὴν χεῖρα ταῖς παρειαῖς προσαρμόττεις τῇ κίονι προσεπερειδόμενος, νῦν δὲ ἐποκλάζεις, νῦν δὲ καὶ μεταβαίνεις [εἰς
15 τὸ] ἔμπροσθεν, καὶ πρὸς ἐκείνῳ γίνῃ, ἔνθ' ἄνεμος καταπνεῖ ἡδύτατα, καὶ θάλασσα παρευθὺ ἥδιόν τι μειδιῶσα καὶ τοὺς πλέοντας παραπέμπουσα. Ἄλση δὲ καὶ κήπους τίς ἂν ἐκφράσειεν, ὅσοι ἔνθεν τε καὶ ἔνθεν ἐξήπλωνται; Ὧν δὴ σὺ μὲν ἀπολαύεις, ἐφ' ὑψηλῷ καθήμενος, καὶ τὴν θάλασσαν περισκοπῶν, καὶ περὶ τοὺς
20 λειμῶνας τοὺς ὀφθαλμοὺς τρέπων.

Ἐγὼ δ' ἐπὶ κλίνης κείμενος, λοιμώδει κατέχομαι νόσῳ. Ἡ δὲ τῶν κακῶν σωρὸς ἄπειρος: πυρετῷ βάλλομαι· ἀσιτῶ· ἄποτος ὅλης ἡμέρας διατελῶ· τὸ δε μεῖζον καὶ ἀλγεινόν, καὶ ταῦτα ἐπὶ καιροῦ τοιούτου, πλεῖστον τὸ θερμὸν ἔχοντος, πέντε σισύραις ἐγκεκορδυ-
25 λημένος, μηδ' ἀναπνεῖν ὑπὸ τούτων ἐώμενος. Τὰ δ' ἄλλα τί σοι καὶ λέγοιμι ὅσα κατὰ τῶν παρειῶν περιφέρω φύματα; Ὅρα γάρ· καὶ τὸ μὲν ἄρτι πέφυκεν ὄλυνθος ἔτι, τὸ ἐρύθημα μόνον ἐμφαίνων, τὸ δὲ παρασέσηρε καὶ ἔξωρόν ἐστιν, ἄλλο δὲ ἤδη διοιδοῦται.

Ὅσην δὲ ἡμῖν ἐμποιοῦσι τὴν ἀλγηδόνα ταῦτα, σοὶ καταλείπω
30 σκοπεῖν· ἵνα γὰρ τῶν ἀλγεινῶν καὶ αὐτός ἡμῖν κοινωνῇς, καὶ

8–9 τὸν – κινηθέντα: locus communis, cf. e.g. Proc. Gaz. Epist. 58,6–8
24–25 πέντε – ἐγκεκορδυλημένος: Aristoph. Νεφέλαι 10

ep. 245 K 78r–v; tit. K-D: om. K ‖ **14–15** εἰς τὸ suppl. K-D

φιλικῶν δυσχερῶν μὴ ἀπαλλάττῃ, ἀλλ' εἰδῇς οἷα πάσχομεν, ἐπὶ τούτῳ σοι ταυτὶ γέγραπται. Εἰ δὲ δῴη θεὸς καθαρᾶς με ὑγείας ἐπαπολαῦσαι καὶ τοῦδε τοῦ λοιμικοῦ πάθους ἀπαλλαγῆναι, καὶ ἑτέροις σε δεξιώσομαι γράμμασιν.

246. Τῷ αὐτῷ

⟨Τῷ Ῥωμανῷ (?)⟩ Pselli?

K-D 15 [K]

«Δὶς τὰ καλά», φησὶν ἡ παροιμία· σὺ δὲ ἅπαξ ἡμᾶς νοσοῦντας ἐπισκεψάμενος, εὐθὺς ἀπηλλάγης, «λήθης» (ὅ φασι) πεπωκὼς «πόμα», καί ἡμῶν ἀμνημονήσας. Ἀλλ' ἡμεῖς γε, ὦ φίλτατε, ποθοῦμεν καὶ αὖθις τῆς σῆς ἀπολαῦσαι θέας, καὶ τῶν σῶν μελισταγῶν χειλέων ἡδὺ πνείουσαν ἐνωτισθῆναι αὐδήν. Οὐκ 5 ἔχομεν δέ, ὅπως τούτου τύχοιμεν· τὸ γὰρ διεστηκὸς τοῦ τόπου τὰς συνουσίας πολλάκις καὶ ὁμιλίας ἀπείργει τῶν φίλων, ὥσπερ δὴ καὶ ἡμᾶς αὐτὸ δὴ τοῦτο, συνεῖναι τε ἀλλήλοις καὶ ὁμιλεῖν, οὐκ ἐᾷ. Καίτοι λίαν αὐτὸς ἐπόθουν ἀεί σοι συνεῖναι καὶ συνδιάγειν, σοφώτατε, οὐ μικρὰ καρποῦσθαι οἰόμενος, εἰ τοιούτῳ ἀνδρὶ 10 σύνειμί τε καὶ συνδιάγω, ἀλλ' ἡ θεοδώρητος αὕτη νόσος, ὡς οἱ πολλοὶ λέγουσιν, οἷά τισι πέδαις ταῖς ἄρκυσιν αὐτῆς ἡμᾶς κατασχοῦσα, καὶ ὥσπερ ἔν τινι δεσμωτηρίῳ κατακλείσασα, οὐκ ἐᾷ τῶν ἐνταῦθα ἀπαναστῆναι καὶ καταπαῦσαι πρὸς τὸν ποθούμενον, ἀλλ' ἔνδον τῆς οἰκίας ἔχει, πῇ μὲν ἀνισταμένους, καὶ τὸν 15 περίδρομον θέοντας, πῇ δὲ ἐπὶ κλίνης κειμένους, καὶ τὸ σῶμα διαναπαύοντας, ἔξωθεν δὲ φαίνεσθαι, καὶ στενωποὺς διϊέναι καὶ

1 δὶς – καλά: CPG I 66 (nr. 33) et II 67 (nr. 96) et 369 (nr. 26); cf. Π 250,3–4 **2–3** λήθης – πόμα: cf. Plat. Πολιτεία 621a4–b1 cum e.g. Marin. Πρόκλος ἢ περὶ εὐδαιμονίας 138–139 et Psel. Ἔκφρασις ἢ ἀλληγορία = Or. min. 33,19–20 ‖ **4–5** τῶν – αὐδήν: cf. Hom. Il. 1,249 τοῦ καὶ ἀπὸ γλώσσης μέλιτος γλυκίων ῥέεν αὐδή (cf. Π 248,16–17 et Π 449,27–28) cum Hom. Od. 4,446 ἡδὺ μάλα πνείουσαν, ὄλεσσε δὲ κήτεος ὀδμήν ‖ **14** καὶ – ποθούμενον: cf. Ps. 54,7 τίς δώσει μοι πτέρυγας ὡσεὶ περιστερᾶς καὶ πετασθήσομαι καὶ καταπαύσω. cf. etiam Π 149,29–30 et Π 507,35–36

31 πάσχομεν corr. K-D: πάσχοιμεν K ‖ **ep. 246** K 78v–79r; tit. K K-D ‖ **8** αὐτὸ corr. K-D: τοῦτο K ‖ **17** στενωποὺς corr. K-D: στενωπ` K

ἀγοράς, οὔτε ξυγχωροῦσα, οὔτε μὴν ἐφιεῖσα, ἀλλ' ἦ μὴν ἀπειλοῦσα θάνατον, εἰ τοῦτο τολμήσαιμι, ἕως ἂν ἡμέρας διοίσω
20 τὰς τεσσαράκοντα.

Ἐφ' ᾧ αὐτὸς μὲν συγγνωμονητέος εἰ πρὸς φίλους οὐ γένωμαι, βοηθούμενος τῇ νόσῳ. Σὺ δὲ ἀλλὰ μὴ καὶ αὐτὸς πρὸς τῆς τριάδος σκῆψίν τινα κενὴν προβάλῃ, φίλον νοσοῦντα οὐκ ἐπισκεπτόμενος· ἧκε δὲ πρὸς ἡμᾶς, φιλίας οὐδὲν ἡγούμενος προτιμότερον, ἣν οἶμαι
25 διατηρήσεις ἀλώβητον, εἰ τῶν ἄλλων ὀλιγωρῶν ἡμῶν οὐκ ὀλιγωρεῖς.

247. Ῥωμανῷ συμμαθητῇ
Pselli?

K-D 16 [K]

Οἴομαι μὴ παντάπασιν ἐπιλαθέσθαι σε τῆς ἡμετέρας φιλίας, ποθεινότατε κύριέ μου, ἣν ἀλλήλοις μόνιμον διατηρεῖν συνεθέμεθα, ὅτε τῶν αὐτῶν εἰχόμεθα μαθημάτων, κοινῇ τε συνδιήγομεν, καὶ κοινῇ τῶν ὅλων μετείχομεν παιδευμάτων. Εἰ τοίνυν οὕτως
5 ἔχει ὡς οἴομαι, καὶ φιλίας παρὰ σοὶ λείψανον ἔτι, καὶ μικρός τις ἀνῆπται σπινθήρ, ἀλλὰ μὴ τελέως ἀπέσβη καὶ οἴχεται, μηδὲ χρόνος ταύτην ἠμαύρωσε, μηδὲ νεωτέρα φιλία παρέθραυσέ τε καὶ λήθης παραδεδώκει βυθοῖς, δεῖξον νῦν, καὶ πείθομαι. Δείξεις δέ, εἰ ὧν αἰτούμεθα τύχοιμεν· πάντως δὲ οὐ μεγάλα αἰτοῦμεν, οὐδὲ
10 ἀδύνατα. Γνωρίσει δέ σοι τὴν αἴτησιν προϊὼν ὁ λόγος.

Φοιτᾶτον παρ' ἡμᾶς νέω περὶ ὀρθογραφίας πονοῦντε, καὶ περὶ τούτων τὴν πᾶσαν καταβάλλοντε σπουδήν. Οὗτοι φύσει τε ὄντες δεξιοί, καὶ σπουδῇ τὰ πλεῖστα τῶν χρησίμων γεγραφότες σχεδῶν, ὧν ποτε καὶ αὐτὸς σχεδογραφῶν ἔτυχον, βιάζουσιν ἡμᾶς, καὶ
15 κατεπείγουσιν ἐφ' ᾧ καὶ ἑτέρους τοιαῦτα αἰτεῖν, βαρέως φέροντες, εἰ μὴ χανδὸν πάντων σχεδὸν σιτήσονται. Ἔγωγ' οὖν ἀπορῶν ᾧ

7–8 χρόνος – βυθοῖς: Greg. Naz. Εἰς τὴν καινὴν Κυριακήν = Or. 44,1 ἵνα μὴ ἐξίτηλα τῷ χρόνῳ γένηται τὰ καλά, μηδὲ παραῤῥυῇ λήθης βυθοῖς ἀμαυρούμενα μηδὲ παραῤῥυῇ λήθης βυθοῖς ἀμαυρούμενα, cf. Psel. Χρονογραφία 6,22, Λόγος εἰς τὰ θαύματα τοῦ ἀρχιστρατήγου Μιχαὴλ = Or. hag. 5,44, et Λόγος εἰς … τὸν Μονομάχον = Or. pan. 2,24

18 ξυγχωροῦσα corr. K-D: ξυγχωροῦσιν K ‖ **ep. 247** K 79r–v; tit. K K-D

χρήσομαι τούτοις, ἐπὶ σὲ τὸν ἀληθῆ καταφεύγω φίλον, δεῖν κρίνας οὐκ ἄλλῳ, ἢ τῇ ἀγαθῇ σου ψυχῇ, ταύτην προσενεγκεῖν τὴν ἀξίωσιν· ταμιεῖον γὰρ σὺ σχεδῶν, καὶ (τό γε ἀληθὲς εἰπεῖν) σίμβλον, πᾶν εἴ τι κάλλιστον καὶ ὀνησιφόρον ἀπανθισάμενος 20 ἑαυτῷ καὶ συλλέξας οἷά τις φιλεργὸς μέλισσα, καὶ σχεδῶν καλλίστων ὁμοῦ καὶ πεποικιλμένων.

Ἡ μὲν οὖν ἀξίωσις αὕτη, μικρά τε (ὡς οἶμαι) καὶ ῥᾳδία· σὸν δ' ἂν εἴη μὴ ἀνδρὸς φίλου παραλογίσασθαι αἴτησιν, ἵνα μή τις σε καὶ ὀψιγόνων κακῶς εἴπῃ ἀνδρῶν. 25

248. ⟨Τῷ αὐτῷ (?)⟩
Ῥωμανῷ συμμαθητῇ? Pselli?

K-D 17 [K]

Εἰ καὶ τἆλλά μοι περὶ φιλίαν (ὡς εἰπεῖν) καλῶς ἔχει ⟨πρὸς⟩ τὴν σὴν λογιότητα, κῦρ μου, ἀλλὰ τό γε μὴ συνεχῶς σε προσβλέπειν οὐκ εὐτυχῶν, καὶ τἆλλα ἀτυχεῖν ἔοικα· εἰ γὰρ ὅπερ εὐκτὸν ἐμοί, τὸ διηνεκῶς ὁμιλεῖν σοι καὶ ἐντυγχάνειν σοι, καὶ τῆς ἡδίστης ἐμοὶ καὶ φίλης ἐμφορεῖσθαι θέας σου, καὶ οὐχ ἧττον τούτων τῆς 5 μελιχρᾶς καὶ μελισταγοῦς σου φωνῆς ἐνωτίζεσθαι, τοῦτο οὐκ ἐγγίνεται τοῖς εἰς κόρον τούτου κατατρυφᾶν ἐθέλουσι, ποῖον ἂν ἕτερον εὐτυχοῦντες οὐκ ἀτυχεῖν δόξαιμεν;

19–22 ταμιεῖον – πεποικιλμένων: cf. Π 58,27–34 ἡ μέλισσα τὰς ἀρχὰς ἀνθολογοῦσα τοῦ μέλιτος, παρίπταται μὲν τὸ ῥόδον, παρίησι δὲ τὸ ἴον καὶ τὸ κρίνον καὶ τὸν ὑάκινθον καὶ τὸν νάρκισσον, καὶ τῷ θύμῳ προσίσταται· φυτὸν ὁ θύμος δριμύτατόν τε καὶ ἀνοσμότατον, ἀλλ' ἡ μέλισσα ἐντεῦθεν τὰς πηγὰς ἔχει τοῦ μέλιτος. ἴσως γοῦν καὶ σὺ τῶν μὲν παρὰ τοῖς ἄλλοις ῥόδων καταφρονεῖς, ἀπὸ δὲ τῶν ἐμῶν ἀνόσμων λόγων καὶ ἀηδῶν, τὴν σὴν καταμελιτοῖς γλῶσσαν, καὶ τὸ μελισταγὲς ἀποστάζεις νᾶμα, et Π 376,68–71 ἀλλὰ πότε ἴδω τὴν μέλισσαν; πότε δὲ τῶν αὐτόθι σίμβλων ἀπαναστήσῃ καὶ διαέριος γεγονὼς πρὸς τοὺς ἐνταῦθα κήπους φοιτήσεις, καὶ περιελεύσῃ τὰ ἄνθη ἀφ' ὧν τὴν δρόσον ἀναλεξάμενος τὸ μέλι τοῖς σίμβλοις ἐνέσταξας. cf. etiam Psel. Περὶ χαρακτήρων συγγραμμάτων τινῶν 49,29–50,2, Π 61,4–6, Π 118,37–43, Π 125,87–90, et Π 459,20–22 ‖ **24–25** ἵνα – ἀνδρῶν: cf. Hom. Od. 1,302 et 3,200 ἄλκιμος ἔσσ', ἵνα τίς σε καὶ ὀψιγόνων ἐῢ εἴπῃ

22 πεποικιλμένων scripsi: πεποιημένων K πεπονημένων corr. K-D **ep. 248** K 79v–80v; tit. K-D ‖ **1** πρὸς add. Dölger: νὴ prop. K-D in app. crit. **3** εὐκτὸν corr. K-D: εὐεκτὸν K

Πλὴν ἀλλ’ ἡμεῖς μὲν (εὖ ἴσθι) εὐδαιμονίαν ἡγούμεθα καὶ
10 μακαριότητα τὸ τῆς σῆς ἀεὶ γίνεσθαι θεοειδοῦς ὄψεως. Καὶ εἴ ποτε
προσφοιτήσαις ἡμῖν, θεόν τινα ἀπὸ μηχανῆς ἐπεισκυκλεῖσθαί σε
ἡμῖν οἰόμεθα. Ἑορτὴν δὲ τὴν ἐνδημίαν ἄγομεν, καὶ λογίου τυχόν-
τες Ἑρμοῦ πρὸς λόγους ἐλθεῖν ἐπειγόμεθα· θέλγουσι γὰρ ἡμᾶς
καὶ ἡδύνουσιν ἀτεχνῶς οἷά τινος νέκταρος τῆς αὐτῶν γλυκύτητος
15 ἀπογεύοντες. Ὅθεν ταῖς ἴυγξι τούτων κατηχημένοι, οὐδὲν τὴν
Σειρήνων ᾠδὴν ἡγούμεθα, οὐδὲν τὴν Νέστορος ἡδυέπειαν οὗ καὶ
ἀπὸ γλώσσης μέλιτος γλυκίων ῥέεν αὐδή· λῆρος δ’ ἡμῖν πρὸς τὰς
σὰς χάριτας καὶ ὁ Ὀρφεύς, ὁ καὶ λίθους τῇ μελῳδίᾳ θέλγειν
ᾀδόμενος. Οὕτως ἡμῶν καταθέλγεις τὰς ἀκοάς· οὕτως ἡδύνεις
20 τοῖς λόγοις οὐ τὰς ἀκοὰς μόνον, ἀλλὰ καὶ τὸν λογισμόν. Ὡς
χαλεπόν, εἰ σὺ μὲν λέγεις, ἕωθεν ἀρξάμενος, καί τινα μέλους
λύραν κινεῖς, ἐγὼ δ’ οὐκ ἔχω μὴ μέχρι καὶ ἑσπέρας βαθείας
συμπαρατεῖναι ἀκούοντα. Οὕτως ἐγὼ τὰς σὰς οὐ δεδύνημαι κατὰ
τὸν Λαέρτου παραπλεῦσαι Σειρῆνας· ἀλλ’ εἴ ποτε τούτων γενοί-

11 θεόν – μηχανῆς: proverbium; CPG I 210 (nr. 84) et II 12 (nr. 78) et 297 (nr. 41); cf. Psel. Χρονογραφία VI,171, Χρυσόβουλλος = Or. for. 7,65, Λόγος εἰς … Κωνσταντῖνον τὸν Μονομάχον = Or. pan. 1,219 et 280, Ἕτερος λόγος πρὸς … Κωνσταντῖνον τὸν Μονομάχον = Or. pan. 4,405–406, Ἐκ τοῦ περὶ υἱοῦ λόγου, τὸ ‘καὶ πολλούς, ὃ φρίττω … = Theol. I 44,44, Εἰς τὸ ‘ἢ βούλεται μοῖραν …’ = Theol. I 62,102, Π 166,26, Π 175,11, Π 288,2, Π 319,8, et Π 467,2–3 ‖ **12–13** λογίου – Ἑρμοῦ: iunctura saepissime laudata; cf. e.g. Ael. Arist. Πρὸς Πλάτωνα περὶ ῥητορικῆς 5,22–23 cum Psel. ⟨De servitute a secretis⟩ = Or. min. 11,60, Π 22,34, Π 408,16–18, et Π 454,85 ‖ **15–16** τὴν – ᾠδὴν: cf. Hom. Od. 12,39–46, locus saepe laudatus; cf. Psel. Εἰς τὸ ῥητὸν τοῦ Ἰὼβ … ‘καὶ ὁ διάβολος παρέστη … = Theol. I 32,59, et Π 63,31–32, Π 112,79–80, Π 117,67, Π 445,8–10, Π 486,5; cf. etiam Π 121,76–80, Π 199,31, et Π 379,4–5; cf. etiam Π 30,11, Π 76,49–50, et Π 128,36–37 ‖ **16–17** τὴν – αὐδή: Hom. Il. 1,249 τοῦ καὶ ἀπὸ γλώσσης μέλιτος γλυκίων ῥέεν αὐδή. cf. etiam Π 246,4–5 et Π 449,27–28 ‖ **18–19** ὁ[1] – ᾀδόμενος: cf. e.g. Ps.-Nonnus Συναγωγὴ … ἱστοριῶν … in Greg. Naz. Or. 4, hist. 77,1–3 Ὀρφεὺς γέγονε μουσικός, Θρᾷξ τὸ γένος, ὃς λέγεται ὅτι οὕτω προσηνῶς ᾖδεν ὥστε ἐπακολουθεῖν τῇ ᾠδῇ αὐτοῦ τὰς δρῦς καὶ τῶν ζῴων τὰ ἄλογα, καὶ τοὺς λίθους, καὶ τοὺς ποταμούς cum Psel. e.g. Στίχοι ἰαμβικοὶ εἰς τὴν τελευτὴν τῆς Σκληραίνης = Poem. 17,111 et Π 63,19–26, Π 111,97–98, et Π 268,10–14

11 ἐπεισκυκλεῖσθαί K (cf. Diam 303): ἐπικυκλεῖσθαί corr. K-D ‖ **22** οὐκ ἔχω corr. K-D: ἀκούω K

μην, εὐθὺς ὥσπερ οἱ λωτοῦ γευσάμενοι, τῶν ἄλλων ἐπιλαθόμενος, 25
τῆς ἡδείας ἐκείνων ἀοιδῆς (ἵνα τι καὶ ποιητικὸν ἐγκαταμίξω τῷ
λόγῳ) ἅπας ἐξήρτημαι. Σὺ δὲ ἀλλὰ ταύτης ἡμῖν φθονεῖς, καὶ
λόγων ἀποστερεῖς, ἡδίστου καὶ καλλίστου πράγματος.

Νηλεὴς σὺ καὶ ἀμείλιχος, μηδὲ παλαιᾶς μεμνημένος φιλίας
μηδὲ κοινῆς παιδείας, μὴ μαθημάτων μὴ ὅσα παιδικὰ προσπαί- 30
γματά τε καὶ ἀστεΐσματα. Ὧν ἐγὼ μὲν ἔτι μέμνημαι, προσθήσω
δέ, ὅτι καὶ μεμνήσομαι· οἷς γὰρ ἅπαξ προσετέθην καὶ ὧν τὴν
φιλίαν ᾠκειωσάμην ἐμοὶ πρὸ πολλοῦ, τούτων ἀφεστηκέναι καλὸν
οὐκ ἔκρινα. Σὺ δὲ ἀλλ᾽ εἰ μὴ βούλει ξένος φιλίας καὶ αὐτὸς
νομισθῆναι, ταύτης φρόντιζε, καὶ τοῖς ἐρασταῖς τῆς φιλίας ὁμίλει. 35
Εἰ δὲ τοῦτό σοι δυσχερές, ἀλλὰ γράφειν τέως, ὦ ᾽γαθέ, μὴ ἀπέχου
καὶ ταύτῃ δεξιοῦσθαι τοὺς φίλους· εἰ γὰρ καὶ μὴ τοσαῦτα γράφων
ἡμᾶς εὐφραίνεις, ὅσον ὀπτανόμενός τε καὶ ὁμιλῶν ἐμοί, ἀλλ᾽ ὅμως
οὐ μικρῶς κἂν τούτῳ ψυχαγωγῶν ἡμᾶς φαίνῃ.

Ἔδει μέχρι με τούτου στῆναι, ἵνα μὴ ὁ σὸς Ὀδυσσεύς, οἷον ὁ 40
λόγος, Θερσίτην ἄλλον τῇ βακτηρίᾳ αἰκίσηται, ἕτερος δέ με θυμὸς
ἀνῆκεν, ὑπομνησθέντα τὴν σὴν ἱερὰν ἀναμνῆσαι κεφαλήν, στεῖλαί
μοι τὸν Πλούταρχον. Εἰ μὲν οὖν ἔχεις, στεῖλον· εἰ δ᾽ οὖν, ἀλλ᾽ ἢ
γράψον ἢ μήνυσον· εἰ δ᾽ (ὅπερ εὐχόμεθα) σὺ πρὸς ἡμᾶς ἔλθῃς,
ἔχομεν ἀντὶ πάντων ἤδη τὸ τὴν σὴν τιμίαν καὶ θεοφιλῆ παρακλη- 45
θῆναι ψυχὴν πρὸς ἡμᾶς ἀφικέσθαι· τἆλλα γὰρ ὅσα διὰ φιλίαν ἢ
προσφέρων ἡμῖν ποιεῖς, ἢ δωρούμενος, «οὐδενὸς» τιμητέα λογίζε-
ταί τε καὶ οἴεται, ὡς τὸ σὲ πρὸς ἡμᾶς δεῦρο καὶ ἡμᾶς πρὸς σὲ

25 ὥσπερ – γευσάμενοι: cf. Hom. Od. 9,92–97, locus saepe laudatus; cf. Psel. Ἐγκώμιον εἰς τὸν οἶνον = Or. min. 30,132–133, et Π 201,31, Π 445,6, Π 449,35–36, et Π 486,4; cf. etiam Π 519,11–12 ‖ **23–27** οὕτως – ἐξήρτημαι: Hom. Od. 12,39–46, locus saepe laudatus; cf. supra ad. l. 16 ‖ **36** ὦ ᾽γαθέ: iunctura saepe in Heliod. Αἰθιοπικά, Liban. Epist., et in Synes. Cyren. Epist. laudata. cf. etiam Π 24,23 et Π 248,36 ‖ **40–42** ὁ[1] – ἀνῆκεν: cf. Hom. Il. 2,265–266 σκήπτρῳ δὲ μετάφρενον ἠδὲ καὶ ὤμω / πλῆξεν et 276 οὔ θήν μιν πάλιν αὖτις ἀνήσει θυμὸς ἀγήνωρ ‖ **47–50** οὐδενὸς – Ἀλέξανδρον: cf. Arrian. Ἀλεξάνδρου ἀνάβασις 7,2,1 ἐν Ἰσθμῷ ἐντυχὼν τῷ Διογένει κατακειμένῳ ἐν ἡλίῳ, ... ἐρόμενος εἴ του δέοιτο· ὁ δὲ Διογένης ἄλλου μὲν ἔφη δεῖσθαι οὐδενός, ἀπὸ τοῦ ἡλίου δὲ ἀπελθεῖν ἐκέλευσεν αὐτόν τε καὶ τοὺς σὺν αὐτῷ et Plut. Περὶ φυγῆς 605d–e ἄδοξός ἐστι Διογένης ὃν ἰδὼν Ἀλέξανδρος ἐν ἡλίῳ καθήμενον ἐπιστὰς ἠρώτησεν, εἴ τινος δεῖται, τοῦ δὲ μηδὲν ἀλλ᾽ ἢ σμικρὸν ἀποσκοτίσαι, cf. etiam Π 488,83–85

ἐνταῦθα γίνεσθαί τε καὶ προσγίνεσθαι· τοῦτο δὴ τὸ τοῦ Διογένους
50 πρὸς Ἀλέξανδρον.

249. ⟨Τῷ Ῥωμανῷ (?)⟩
Pselli?

K-D 18 [K]

Ἐπειδή μοι τὰ πλεῖστα τῆς γραφῆς ἐπελάβου, ὦ Μῶμε καὶ μυθολόγε σύ, καὶ εἰκονίζειν τοὺς λόγους τοῖς πράγμασιν ἐπιτήδειε, καὶ οὐ τοῦτο μᾶλλον, ἢ διασύρειν καὶ διαπαίζειν ἅπαντα, κἂν εἰ καλῶς ἔχοιεν, φέρε σοι καὶ αὐτὸς παλαιὰν
5 ἱστορίαν, μάλα μὲν προσφυῆ, μάλα δὲ ἁρμόδιον τῇ σῇ γραφῇ ἐναργῶς προσδιαγράψομαι. Ἐγὼ μὲν γὰρ ᾤμην αὐτὸς ὡς ἐπαινεῖν σε ἑλόμενος καὶ τὰ σὰ διεξέρχεσθαι κατορθώματα, τοῖς παλαιοῖς τε ἀνδράσι καταριθμῶν, καὶ τούτων τοῖς μουσικωτέροις, τοιούτου καὶ αὐτὸς ἐπαίνου τυγχάνειν, οἷος αὐτὸς (ὡς οἶμαι) καὶ
10 ἐλογίσθην, καὶ ἐνομίσθην, καὶ ἔδοξα. Ἐπεὶ δὲ οὐ κατὰ σκοπὸν ἐμοὶ τὰ τῶν ἐπαίνων τῶν σῶν, ἀλλ' «ἄνω ποταμῶν» ὡς ἡ παροιμία, καὶ πρὸς κωμῳδίαν ὁ τῶν ἡρώων κατάλογος ἐτελεύτησεν, ἄλλην τραπῆναι διέγνωκα, κωμικὴν ταύτην καὶ τῇ σῇ ἰσόρροπον, ἰσόζυγόν τε καὶ δικαίῳ σταθμῷ βραβευομένην,
15 ὥστε ταύτην μετέρχεσθαι.

Ἀλλ' ἐπὶ τὴν ἱστορίαν ἐπάνειμι, κατὰ τὸν σὸν εἰπεῖν ποιητήν, «λοξὰς» ἔχουσαν «ἐξόδους ἐπῶν»· οὔ σοι τοῦτο νυνὶ νοεῖν δίδωμι, Πινδάρου που φάσκοντος, «σύνες ὅ τοι λέγω», ὅτε δέ σοι πρὸς

1 ὦ Μῶμε: cf. Lucian. Ζεὺς τραγῳδός et Θεῶν ἐκκλησία passim. cf. Psel. Πρὸς τὸν Σαββαΐτην = Poem. 21,134 ‖ **1–2** ὦ – σύ: cf. Theophyl. Sim. Οἰκουμενικὴ Ἱστορία 1,3,5 οὔ μοι σχολὴ … μυθολογεύειν καὶ ποιητικοῖς ἐπιτρίβεσθαι μώμοις ‖ **11** ἄνω ποταμῶν: CPG I 185 (nr. 27) et I 47 (nr. 56) et II 96 (nr. 28) et 747 (nr. 20); cf. Psel. Ἐγκώμιον εἰς τὴν δέσποιναν = Or. pan. 11,71–72 et Ἐκ τοῦ 'πάλιν Ἰησοῦς ὁ ἐμός', εἰς τὸ 'πατὴρ ὁ πατὴρ …' = Theol. I 105,91–92 ‖ **14** ἰσόζυγόν – σταθμῷ: cf. Lev. 19,36 ζυγὰ δίκαια καὶ στάθμια δίκαια ‖ **16–17** ἐπάνειμι – ἐπῶν: Lycophr. Ἀλεξάνδρα 14 ἄνειμι λοξῶν ἐς διεξόδους ἐπῶν ‖ **18** σύνες – λέγω: Pindar. frgm. 105a,1, iunctura saepe laudata; cf. e.g. Greg. Naz. Epist. 114,6 et Π 396,3

ep. 249 K 80v–81r; tit. scripsi ‖ **14** post βραβευομένην lacunam prop. K-D
15 ὥστε scripsi: οἷς τὸ K K-D

τούτῳ γενήσομαι. Λέγεταί ποτε ταῖς Θήβαις ζῷον ἐγχωριάσαι ἁρπακτικόν, ὅπερ οἱ μὲν ἰθαγενές φασι καὶ ἐγχώριον, οἱ δ' ἔπηλυ 20 καὶ ἀλλότριον. Κακὸν ὅμως οὐ μικρὸν ἐπεγένετο ταῖς Θήβαις· διϊὸν γὰρ τὰς ἀγοράς, ἔνθα τὸ πλῆθος ἠθροίζετο, πρόβλημά τι προὐτίθει δύσλυτόν τε καὶ δυσεύρετον· τοῦτο γάρ μοι τὸ λοξὸν ἄνω ὑπεσήμαινε. Μηδενὸς δὲ τῶν Θηβαίων τὸ αἴνιγμα διαλύοντος, τῶν ἑστηκότων ἁρπάζον, πρὸς ἑαυτὸ ἀπῆγε τὸ ζῷον. Κἀκ τούτου 25 κακῶς ἐποίει τὴν πόλιν, ἕως ὁ τοῦ αἰνίγματος εὑρετής, «ἐξ Ὑπερβορέων» (ὅ φασιν) ἀναφανείς, ἔλυσέ τε τοῦτο, καὶ τὴν πόλιν ἠλευθέρωσε κινδύνων. Τοῦτο οἱ μὲν ὡραῖον εἶναί φασι καὶ γυναικοπρόσωπον, πολλοῖς τε ζῴων εἴδεσι ποικιλλόμενον· καὶ ἐκ διαφόρων τοῦτο συνεστηκός, στηθύνιον μὲν ἔχειν χερσαίου καὶ 30 πόδας (λεοντώδη γὰρ αὐτῷ ταῦτα ἐπεφύκεσαν), ὄρνιθος δὲ πτίλα τῶν ὤμων τούτῳ ἐκπεφυκέναι. Οἱ δ' οὐδὲν τούτων αὐτῷ προσεῖναι διαμαρτύρονται, ἀλλὰ τοιαύτην ἔχειν τὴν φύσιν, ὁποίαν καὶ ἡμῶν ἕκαστος, γύναιον δ' ὅμως τυγχάνον ἐγχώριον, καὶ ἀτεχνῶς φοιβόληπτον, δύσγνωστα μαντεύεσθαι. Πρὸς ἃ τοὺς Θηβαίους, 35 μὴ δυναμένους ἀνταίρειν, ἑαυτοὺς ἀναιρεῖν.

Πρὸς ταῦτα τί βούλει; Πότερα τοῖς πρὶν παραβάλω τὴν σὴν γραφήν, ἢ τοῖς ὕστερον; Εἰ μὲν οὖν καὶ καθεξῆς εἰκονίζειν, ἕτοιμος ἐγώ σοι διαπράττεσθαι, καὶ τοῦτο ποιεῖν, ὅ κεν κεφαλῇ κατανεύσῃς. Ὅτι μὲν γάρ, εὐθὺς ἐκ προοιμίων, αἰνιγματώδης τὸν νοῦν 40 ἦν, καὶ «κυνῆν Ἄιδου» περιεβέβλητο (ἵν' εἴπω), οὐδὲ αὐτὸς

19–36 λέγεταί – ἀναιρεῖν: cf. e.g. Suda οι 34,8–10 ἡ λεγομένη Σφὶγξ ἀνεφάνη, γυνὴ δυσειδὴς καὶ θηριώδης τὴν φύσιν, ἀποβαλοῦσα γὰρ τὸν ἄνδρα καὶ συναγαγοῦσα χεῖρα καὶ τόπον καταλαβοῦσα δύσβατον τοὺς παριόντας ἐφόνευεν, Ioann. Malal. Χρονογραφία 2,17,29–30 γυνή τις ὀνόματι Σφίγξ, ληστρίς, ἐλυμαίνετο πάντας τοὺς ἐπὶ τὰς Θήβας ἐρχομένους καὶ ἐστένου τὴν πόλιν, et Psel. Ἀλληγορία περὶ τῆς Σφιγγός = Phil. min. I 44; cf. etiam Π 254,38–39 ‖ **26–27** ἐξ Ὑπερβορέων: Herod. 4,33,3, 4,34,3, 4,35,3, iunctura saepe laudata, cf. Psel. Ἐγκώμιον εἰς … Κωνσταντῖνον … τὸν Λειχούδην = Or. fun. I 2,11,54 ‖ **39–40** ὅ – κατανεύσῃς: Hom. Il. 1,527 ὅ τί κεν κεφαλῇ κατανεύσω ‖ **41** κυνῆν Ἄιδου: Hom. Il. 5,845; cf. CPG I 15–17 (nr. 41) et II 4 (nr. 16) et 649 (nr. 85); cf. etiam Psel. Πρὸς τὸν λοίδορον ῥίψαντα χάρτην = Or. min. 7,4, et Π 209,42 et Π 275,95–96

27 τοῦτο corr. K-D: τοῦτον K ‖ **28** quae post ἠλευθέρωσε in K sequuntur in tribus lineis scripta, at deinde inducta (οὐδὲ – σφενδόναι καὶ), sumpta sunt e fol. 85r (lin. 15–16); cf. Π 34,20-21

ἀρνηθείης, εἰ φιλαλήθης τε εἶναι ⟨βούλει⟩ καὶ φιλοδίκαιος· ὅτι δὲ μετὰ δειρὴν ὑπεπτέρωτο τοὺς ὤμους, ὡς τὸ δεινὴ εἶναι ὑπεκφύγῃ, μεθόδοις τεχνικοῖς καὶ λέξεσι σαφέσι καὶ ἀνθηραῖς, καὶ τοῦτο τῆς
45 γραφῆς ἦν ἰδεῖν. Ἀλλ' οὐ μάλα ἐξέφευγε τὸ μὴ οὐ τραχεῖά τε εἶναι καὶ δύσβατος, καὶ οἵαν ὁ ποιητὴς τὴν ἀρετὴν προϋπέφηνεν· οὕτως εἶχε καὶ πρὸς ἐκεῖνο εὖ μάλα διέκειτο. Εἰ δὲ μὴ τοῦτό σοι συνδοκεῖ, ἀλλὰ πρὸς τὸ ἑξῆς τρέψομαι. Ἐμιμεῖτο ἡ γραφὴ καὶ χρησμολόγον γυναῖκα, δύσγνωστα μὲν λέγουσαν, ἀλλ' ὅμως ποτὲ καὶ
50 ληπτά, οὐ μὴν δυσνόητά τε ἢ πάντῃ ἀνόητα, οἷα τὰ ταύτης. Πρόσθες ὅτι καὶ Θηβαίους τῷ ἀνεπιλύτῳ ἀναιροῦσαν, ἀλλ' οὐκ ἐπὶ πλεῖστον· αὕτη δὲ καὶ τοὺς ἐγκύπτοντας αὐτῇ διηνεκῶς βασανίζουσα.

Ταῦτα πλείω μέν, ἢ κατ' ἐπιστολήν, ὅμως δὲ τοῖς ἀχαρίστοις
55 δῶρα κατάλληλα. Σὺ δὲ εἰ μὲν οὐκέτι φθέγξῃ τοιαῦτα καὶ σιωπήσεις, ὀρθῶς ποιήσεις· εἰ δὲ μή, καὶ αὖθις τοῖς ἴσοις σε ἀμειψόμεθα.

250. Τῷ αὐτῷ

⟨Τῷ Ῥωμανῷ (?)⟩ Pselli?

K-D 19 [K]

Ἔδει μηδὲ τὴν ἀρχὴν ἐγγεῦσαί με, ὦ θεία μοι καὶ ἱερὰ κεφαλή, τῶν σῶν χαρίτων, ἢ τούτων γευσάμενον, καὶ μετασχόντα τοῦ νέκταρος τῆς ἡδείας ἐπιστολῆς σου, μὴ οὐχὶ καὶ «δὶς» ὡς ἡ καλή

44 μεθόδοις τεχνικοῖς: cf. Psel. Χρονογραφία VII,39, Ἐπιτάφιος εἰς … Ἰωάννην τὸν Ξιφιλῖνον = Or. fun. I 3,14,16, Ἐγκώμιον εἰς τὸν Μεταφραστὴν … = Or. hag. 7,74, Ἐξήγησις εἰς τὸν θεολογικὸν δεύτερον λόγον … = Theol. I 103,57–58 ‖ **45–46** τραχεῖά – προϋπέφηνεν: cf. Hes. Ἔργα καὶ ἡμέραι 289–291 τῆς δ' ἀρετῆς … / … μακρὸς δὲ καὶ ὄρθιος οἶμος ἐς αὐτὴν / καὶ τρηχὺς τὸ πρῶτον ‖ **48–49** χρησμολόγον: vox ex Herodoto (cf. e.g. 1,62), cf. Π 275,101 ‖ **1** ὦ – κεφαλή: cf. Greg. Naz. Εἰς τὸν μέγαν Βασίλειον … = Or. 43,82 ὦ θεία καὶ ἱερὰ κεφαλή. cf. Psel. Ἐγκώμιον εἰς … Νικόλαον μοναχὸν … = Or. fun. I 10,33,1 et Π 3,17 et Π 166,1–2 ‖ **3–4** καὶ – παροιμία: CPG I 66 (nr. 33) et II 67 (nr. 96) et 369 (nr. 26) δὶς τὰ καλά. cf. Π 246,1

42 βούλει add. K-D ‖ **44** μεθόδοις scripsi (cf. app. sim.): μέθοδον τοῖς K post μέθοδον lacunam prop. K-D ‖ **48–49** χρησμολόγον corr. K-D: χρησιμολόγον K ‖ **54** ἀχαρίστοις corr. K-D: χαρίστοις K ‖ **ep. 250** K 81r–v; tit. K K-D **1** ἐγγεῦσαί με corr. K-D: ἐγευσαίμην K ‖ **3** ἡδείας om. K-D

φησι παροιμία, τούτων τυχεῖν ἀντιβολεῖν· τοσοῦτον γὰρ αὐτῇ τὸ χάριεν καὶ ἡδὺ προσῆν καὶ θελκτήριον, ὡς καὶ δευτέρας ἐρᾶν 5 ἀναπείθειν, καὶ οὐ μέχρι ταύτης, ἀλλὰ καὶ τρίτην προσθεῖναι τὸν ταύτης δημιουργὸν δυσωπεῖν.

Μὴ τοίνυν φθόνει χρύσεια χαλκείων ἡμῖν ἀντιδιδούς· μηδὲ τοῦ ποτίμου νάματος τῶν σῶν λόγων ἡμᾶς ἀποστέρει· κίνει δὲ τὴν χεῖρα, καὶ γράφε, καὶ τούτῳ τὸν εἰς ἡμᾶς ἀφοσίου πόθον, τοὺς 10 ἔρωτι τῆς σῆς κατεχομένους ψυχῆς. Πλὴν μὴ τοσοῦτον ἡμᾶς τοῖς γράμμασιν ὕψου, μηδ' ἔπαιρε τηλικοῦτον, ὡς καὶ σαυτοῦ κρείττους ἀποδεικνύειν τοῦ ὄντως σοφοῦ καὶ λογίου, τοὺς ἀσόφους καὶ ἀγραμμάτους, καὶ μηδὲν ὄντας, ἢ (⟨ὡς⟩ καὶ τῷ ψαλμῳδῷ δοκεῖ) πρὸς ἀνθρώπους «σκώληκας»· καὶ οὕτως, ὡς καὶ νῶτα διδόναι, καὶ 15 πρὸς φυγὴν ὁρᾶν καθάπερ τὸν Τυδέως τρωθέντα ὑπὸ τοῦ Ἕκτορος. Καλὸν μὲν γὰρ εἰ πρὸς ἄλλον συγκρινόμενος, εἶτα πρὸς τῆς σῆς λογιότητος κρείττων ἀπεδεικνύμην· τὸ δὲ πρὸς σὲ συμπαραβαλλόμενον κρείττω ἀποδείκνυσθαι δέδια μὴ τούτῳ μᾶλλον καταρριπτοῦμαι καὶ καταβάλλομαι, καὶ πρὸς γῆν ἀφ' ὕψους 20 καταπίπτω. Ἀλλ' οὐδέν μοι τοῦτο· γράφε μόνον καὶ συνεχῶς γράφε· μὴ διαλείποις τοῦτο ποιῶν, καὶ τὴν ἡμετέραν δεξιούμενος φιλίαν· πάντα οἴσει μετρίως αὕτη, πάντα ὑπενέγκῃ, κἂν χαλεπὰ ᾖ καὶ ἀφόρητα.

8 χρύσεια – ἀντιδιδούς: Hom. Il. 6,235–236 ... τεύχε' ἄμειβε / χρύσεα χαλκείων, cf. Psel. Εἴς τινα κάπηλον γενόμενον νομικόν = Or. min. 14,4, Πρὸς τὸν πατριάρχην κῦρ Μιχαὴλ περὶ τοῦ ὅπως ποιητέον χρυσόν 40,13, et Π 279,6–7 ‖ **15** πρὸς – σκώληκας: Ps. 21,7 ἐγὼ δέ εἰμι σκώληξ καὶ οὐκ ἄνθρωπος ‖ **16–17** καθάπερ – Ἕκτορος: cf. Hom. Il. 8,130-170

14 ὡς addidi ‖ **18** ἀπεδεικνύμην corr. K-D: ἀποδεικνύμην K

LV. Σαγματάς

σύγκελλος καὶ πρωτονοτάριος τοῦ δρόμου, ῥαίκτωρ

251. Τῷ συγκέλλῳ καὶ πρωτονοταρίῳ τοῦ δρόμου τῷ Σαγματᾷ
ante 22.XI.1059, fortasse Oct.–Nov. 1059; eodem tempore ut Π 142, Π 1, et Π 41 [vid. epistolarum ordinem in L] et etiam Π 389 et Π 391

K-D 242 [L, Taf¹], Taf¹ 60 [P], PG² 60 [Taf¹]

Φίλτατε ἀδελφέ, τὰ μὲν σὰ τοιαῦτα καὶ οὕτως ἔχοντα. Τίνα ταῦτα; Ἐλαφηβολίαι, θηροφονίαι, ἐπεμβοήσεις, ἐπεξελάσεις, καταλαβεῖν τὰ μετέωρα, δῆσαι τὴν θηρατικὴν φάλαγγα, τὸν μηρὸν πλῆξαι τῇ μάστιγι, καὶ ἐπεγεῖραι τὸν πτῶκα, ἐπιθωΰξαντά
5 τι θηρατικὸν καὶ γενναῖον· τὸ μεῖζον: ἀπολαῦσαι τῶν θηραμάτων, ἐπὶ στιβάδος αὐτοσχεδίου ἀναπαυόμενον. Τὰ δὲ ἡμέτερα τούτοις πᾶσιν ἀντίρροπα, καὶ ἔτι βαρὺς ὁ κανών: μὴ θίξαι, μὴ γρύξαι, μὴ ἐς θέατρον παρακύψαι, μὴ ἰδεῖν κυνηγέσιον, μὴ παρατυχεῖν ἀκοντίζουσι, μὴ παραγενέσθαι τοξεύουσιν, ἀλλ᾽ οἴκοι καθῆσθαι·
10 μᾶλλον δὲ μηδὲ οἴκοι, μηδὲ καθῆσθαι, ἀλλ᾽ ἐπ᾽ ἀλλοτρίας

6–25 τὰ δὲ – ἀπείρξωσι: cf. Π 120,8–15 *καί με ἀξιοῦσιν οἱ πλείους, μηδὲ τῆς γῆς ἅπτεσθαι τοῖν ποδοῖν. περιεργάζονται δέ μοι καὶ προόδους καὶ λογικὰς συνουσίας, καὶ εἰ δευρὶ τὴν χεῖρα, ἀλλὰ μὴ δευρὶ μετήνεγκα, καὶ εἰ τὰς ἀρχὰς τῶν ὑποκειμένων ζητῶ· βούλονται γάρ με ἀπρὶξ ἔχεσθαι τῶν ὑποθέσεων, καὶ σπαράττειν αὐτάς, ἀλλὰ μὴ κατ᾽ ἄρθρα διαιρεῖν. καὶ νομοθετοῦσιν οἷ βαδιστέον ἐμοί, καὶ ὅθεν, καὶ πηνίκα, καὶ ὅσον, Σαββάτου μοι ὥσπερ παραμετροῦντες ὁδόν* ‖ **7** μὴ¹ – γρύξαι: cf. Col. 2,21 *μὴ ἅψῃ μηδὲ γεύσῃ μηδὲ θίγῃς* et Ann. Comn. Ἀλεξιὰς X 8,8 *ἡμεῖς μὲν ἐντετάλμεθα παρά τε τῶν κανόνων καὶ νόμων καὶ τοῦ εὐαγγελικοῦ δόγματος· «μὴ θίξῃς, μὴ γρύξῃς, μὴ ἅψῃ· ἱερωμένος γὰρ εἶ»*; cf. etiam Psel. ⟨De servitute a secretis⟩ = Or. min. 11,93 *ἀλλὰ βαβαί, μὴ εἴπῃς, μὴ γρύξῃς*

ep. 251 L 83r–84r, P 256r; tit. K-D: τῷ πρωτονοταρίῳ τοῦ δρόμου, τῷ Σαγματᾷ L τῷ συγκέλλῳ καὶ πρωτονοταρίῳ τοῦ δρόμου P Taf ‖ **2** θηροφονίαι L K-D: θηροφονεῖαι P Taf¹ | ἐπεξελάσεις P Taf¹ K-D: ἐξελάσεις L ‖ **8** περικύψαι Taf¹ | περιτυχεῖν Taf¹ ‖ **9** περιγενέσθαι Taf¹ ‖ **10** μηδὲ καθῆσθαι P Taf¹ K-D: om. L

ἑστάναι· ἢ μηδὲ τοῦτο, ἀλλὰ κύπτειν ἀεί, καὶ ἀποτυλοῦν τὸ γόνυ, καὶ ἀπολιθοῦν τὸν δάκτυλον. Σὺ δὲ οὔτε τῶν σῶν ἡμῖν μεταδίδως, οὔτε τῶν ἡμετέρων μεταλαμβάνεις. Ἀδικεῖς οὖν τὸ φίλτρον, καὶ συγχεῖς ὅρια φιλίας κοινά.

Πρὸς θεοῦ, «ἔραμαι κυσὶ θωΰξαι» (τοῦτο δὴ τῆς τραγῳδίας τὸ ἔπος)· ἔραμαι μέν, ἀλλά μοι ὁ ἔρως ἀτέλεστος. Τίς ὁ καινὸς ἡμῖν νομοθέτης; Τίς ὁ βαρὺς ζυγός, καὶ δεσμός, καὶ ἡ ἐργώδης αὕτη ζωή, καὶ ἡ τῶν ἐπιταγμάτων ἀνάγκη; Γλυκὺς ὁ τῆς ὀπώρας καρπός· ἀλλὰ μὴ λάβῃς. Ἡδὺ τὸ τῆς πηγῆς πόμα· σὺ δὲ μὴ πίῃς. Εὐανθὴς ὁ λειμών· ἀλλὰ μὴ προσέλθῃς. Τὸ θέατρον ἡδεῖα διατριβή· ἀλλὰ μὴ δώσῃς πρὸς τοῦτο τὸν ὀφθαλμόν. Ἡ θήρα χρῆμα ἐπιτερπές· ἀλλὰ μὴ ἴδῃς ἐκθορόντα λαγωὸν, μηδὲ κύνα διώκοντα, μηδ' ἄλλο τι τῶν καταθελγόντων ψυχήν. Δέδοικα μὴ καὶ τὴν γῆν ἡμᾶς ἀφαιρήσωσιν οἱ νομοθετοῦντες, μὴ καὶ τῆς ἀναπνοῆς τοῦ ἀέρος ἀπείρξωσι.

Τί ποτ' οὖν; Ἀληθεύω οὕτως ἐπιστέλλων; Οὔ (νὴ τὴν ἱεράν σου ψυχήν!)· μὴ γὰρ οὕτως ἐκσταίην φρενῶν, μηδέ τι ζηλώσαιμι τῶν ὄντως καλῶν, μὴ νοῦν, μὴ τὸ ὄν, μὴ σοφίαν, μὴ τὸ ἕν, μὴ θεόν! Ἐγὼ δὲ οὐδ' ἄλλως ποτὲ τὴν θηροφονίαν τεθαύμακα. Πρῶτον μὲν γάρ, τυραννίδι τὸ πρᾶγμα ἔοικε, καὶ ψυχῆς ἐστι ζῴου ἀφαίρεσις, καὶ πόλεμος ἄντικρυς, καὶ φύσεων ἡμέρων ἀκήρυκτος

11–12 ἀποτυλοῦν – δάκτυλον: cf. Psel. Ἐπιτάφιος εἰς τὴν ἑαυτοῦ μητέρα 651 τύλοις καταλιθῶσαι τὸ γόνυ καὶ τοὺς δακτύλους σκληρῦναι cum Greg. Naz. Εἰρηνικὸς Α΄ = Or. 6,2 τύλοι γονάτων et Περὶ τῆς ἐν διαλέξεσιν εὐταξίας = Or. 32,19 τύλοις γονάτων, καὶ δακρύων πηγαῖς, ἔτι δὲ νηστείαις, καὶ ἀγρυπνίαις ... τὸ ταπεινὸν ἐπιδείκνυσθαι. cf. etiam Psel. Μονῳδία ἐπὶ Ῥωμανῷ ῥαιφερενδαρίῳ = Or. fun. I 9,3,33 ‖ **15** ἔραμαι – θωΰξαι: Eurip. Ἱππόλυτος 218–219 βαλιαῖς ἐλάφοις ἐγχριμπτόμεναι. / πρὸς θεῶν· ἔραμαι κυσὶ θωΰξαι. cf. Psel. Χρονογραφία VII,181 (=VIIc17) et Π 76,24–25 ‖ **16** ὁ[1] – ἀτέλεστος: cf. Ioann. Chrys. In epistulam ad Romanos, Hom. 12,8 (PG 60 505,10–11) ἐὰν δὲ ἐπιθυμῇς πλουτεῖν, οὐδέποτε παύσῃ μαστιζόμενος· ἔρως γάρ ἐστιν οὗτος ἀτέλεστος ‖ **27** μὴ – φρενῶν: cf. Psel. Ὑπὲρ τοῦ νομοφύλακος κατὰ τοῦ Ὀφρυδᾶ = Or. for. 3,129, Μονῳδία ἐπὶ Ῥωμανῷ ῥαιφερενδαρίῳ = Or. fun. I 9,2,34–35, Εἰς τὸ παροιμιακὸν ... 'ἡ σοφία ᾠκοδόμησεν ...' = Theol. I 7,97 et Π 113,13, Π 167,13, Π 275,6–7, et Π 503,1–2

18 ἐπιταγμάτων P Taf[1] K-D: ἐπιτεταγμένων L ‖ **21** δώσῃς L K-D: δώσεις P Taf[1] | τὸν om. Taf[1] ‖ **22** λαγωὸν L: λαγὼν P Taf[1] K-D ‖ **29** θηροφονίαν L K-D: θηροφονείαν P Taf[1]

ὄλεθρος· ἔπειτα, οὐδ' ἄλλως ἡδὺ τὸ χρῆμα, καὶ ὑπὸ ψυχρῷ ἀέρι, καὶ ἐπὶ τέλματος καὶ πηλοῦ ἐκ ποδὸς δίωξις, κραυγή τε συμμιγὴς καὶ φωνὴ ἄσημος.

35 Ὁρᾷς ἐκ θατέρου τὸν λόγον νενικηκότα; Τὸ δέ γε ἡμέτερον καὶ φιλόσοφον, κρείττονος μετουσία, καὶ σχολὴ φίλη θεῷ, καὶ νοῦς μετέωρος, καὶ ψυχῆς ὕψωσις, καὶ ὁπόσα τῶν καλῶν ἄρρητά τε καὶ κρύφια. Ἀλλ' οὐδὲ βαρὺς «ὁ ζυγός», ἀλλὰ καὶ «ἐλαφρὸς» πάνυ κατὰ τὴν τοῦ κυρίου φωνήν· ἠλευθερώμεθα γὰρ καὶ πληθούσης 40 ἀγορᾶς, καὶ δήμου κυμαίνοντος, καὶ τῶν ἐν μέσῳ ταράχων, καὶ ὁπόσα ἐν τοῖς βασιλείοις δεινά. Ὁ δέ γε δεσμός, ἐλευθερία δεσμοῦ· ἀπολύει γοῦν ἀπὸ τοῦ σώματος τὴν ψυχήν. Τί δὲ ἡμῖν καὶ τὸ μαραινόμενον ἄνθος, καὶ τὸ διαρρέον ὕδωρ, καὶ ὁ πίπτων καρπός; μόνον γὰρ ἀγαθὸν τὸ ἑστώς, οὗ δεῖ καὶ μόνου ἐφίεσθαι τὸν φιλοσο- 45 φοῦντα νοῦν.

38 ὁ – ἐλαφρὸς: Mt. 11,30 ὁ γὰρ ζυγός μου χρηστὸς καὶ τὸ φορτίον μου ἐλαφρόν ἐστιν. cf. Psel. Βίος καὶ πολιτεία … Αὐξεντίου … = Or. hag. 1c,648–649 et Ἑρμηνεία τοῦ Ἄισματος … πρὸς τὸν … Μονομάχον = Poem. 2,858, Εἰς τὸ 'καὶ ἡμῖν μὲν βρωθήσεται …' = Theol. I 99,93–95 et Π 111,170 et Π 202,19–20 et 181–182 ‖ **39–40** πληθούσης ἀγορᾶς: iunctura saepissime laudata; cf. Xen. Κύρου Ἀνάβασις 1,8,1 et 2,1,7 cum e.g. Greg. Naz. Πρὸς Ἀρειανούς, καὶ εἰς ἑαυτόν = Or. 33,6. cf. Psel. Ἐπιτάφιος εἰς τὴν ἑαυτοῦ μητέρα 702–703, Κατηγορία τοῦ ἀρχιερέως = Or. for. 1,2318–2319 et Βίος καὶ πολιτεία … Αὐξεντίου … = Or. hag. 1a,723 et 1c,576, et Π 179,19 et Π 202,184–185 ‖ **39–40** πληθούσης – κυμαίνοντος: Greg. Naz. Πρὸς Ἀρειανούς, καὶ εἰς ἑαυτόν = Or. 33,6 καὶ ἀγορὰ πλήθουσα, καὶ δῆμος κυμαίνων. cf. Psel. Ἐπιτάφιος εἰς τὴν ἑαυτοῦ μητέρα 702–703 καὶ οὐδὲ πλήθουσαν ἀγορὰν ᾔδει, οὐδ' εἴ τις εἴη δῆμος κυμαίνων ‖ **42** ἀπολύει – ψυχήν: Plat. Φαίδων 65a1–2 ὁ φιλόσοφος ἀπολύων ὅτι μάλιστα τὴν ψυχὴν ἀπὸ τῆς τοῦ σώματος κοινωνίας. cf. Psel. Χρονογραφία VI,212 (=VIa,8) τρεῖς γὰρ μερίδας ταῖς τῶν ψυχῶν προσαρμόζω κατανοῶν καταστάσεσι: τὴν μέν, ὅταν αὐτὴ βιῴη καθ' ἑαυτήν, ἀπολυθεῖσα τοῦ σώματος, ἀτενῆ τε καὶ οὐ πάνυ τὸ ἐνδόσιμον ἔχουσαν· τὰς δέ γε λοιπὰς μερίδας τῷ μετὰ σώματος αὐτῆς βίῳ κατείληφα et Π 360,15–16, Π 455,25–26, et Π 498,24–25; cf. etiam Π 211,18 οὐ νοῦς ἐστιν ἀπόλυτος, ἀλλὰ ψυχὴ σώματι συνδεθεῖσα

32 καὶ ὑπὸ L K-D: ὑπὸ P Taf[1] ‖ **40** ταραχῶν Taf[1] ‖ **44** δεῖ – ἐφίεσθαι L: δεῖ ἐφίεσθαι μόνου P Taf[1] K-D

Σὲ μὲν οὖν τερπέτω ὄρνις ἁλισκομένη μετέωρος· ἐμὲ δὲ θέλξει νοῦς ὑψηλός, ὑποπίπτων εἰς νόησιν. Εἰ δὲ βούλει, μεταδῶμεν ἀλλήλοις ἀλλήλων. Καὶ σὺ μὲν ἡμᾶς τοῖς ἀπὸ τῆς θήρας δεξιοῦ ἀγαθοῖς· ἐγὼ δέ σε τοῖς ἐμοῖς ἀντιδεξιώσομαι γράμμασιν.

252. Τῷ ῥαίκτορι τῷ Σαγματᾷ

K-D 274 [L, Cre], Cre 31 [H]

Ἡδὺ μέν, ὑπέρτιμε δέσποτά μου, καὶ τὸ νεογνὸν τοῦτο ἰχθύδιον, ὁ θαλάττιος (ὡς ἂν εἴποι τις) χοιρογρύλλιος· καὶ πῶς γὰρ οὔ, τῆς μοναδικῆς τρυφῆς κεφάλαιον ὄν; Ἐγὼ δὲ βουλοίμην ἄν, μήτε τινὸς τῶν ἡδίστων ἀπογεύεσθαι, μήτε τι τῶν καλλίστων ὁρᾶν, μήτε ἀρωμάτων ὀσφραίνεσθαι, μήτε μελῶν ἀκούειν ἁρμονικῶν, 5 ἀλλ' ἀντὶ πάντων, εἰς ἀρκοῦσαν τρυφήν, τὴν σὴν ἔχειν ψυχήν, οὐ γυμνήν, ἀλλὰ μετὰ τοῦ μεγαλοπρεποῦς καὶ ἡρωϊκοῦ σώματος. Σὺ δὲ ὥσπερ οἱ ἐρώμενοι ὑποκνίζεις ἐμὲ τὸν σὸν ἐραστήν, ὁμοῦ τε ὁρώμενος καὶ ἀποκρυπτόμενος. Κἂν ἐπιλάβωμαί σού ποτε, σὺ δέ μοι διολισθαίνεις καὶ τῶν χειρῶν, εἶτα δὴ θύραν ἐκ θύρας ἀμείβων, 10 ἐντὸς τῶν ἀδύτων γίνῃ, κἀμὲ διείργεις τῷ βασιλείῳ καταπετάσματι. Τί ποτ' οὖν σοι τὸ σόφισμα τοῦτο; Ἢ δέδιας μή σου προσκορὴς τῶν τε ὀφθαλμῶν καὶ τῆς γλώττης γενόμενος, εἶτα δή σοι καταλύσω τὸν ἔρωτα; Φιλότητος μὲν γὰρ καὶ εὐνῆς, κόρος ἐστί τε καὶ λέγεται· ἔρωτος δὲ νοεροῦ, καὶ ἐκ ψυχῆς εἰς ψυχὴν 15 διαβαίνοντος, οὐκ ἄν τις εὕροι τὸ πέρας ποτέ.

46–49 σὲ – γράμμασιν: cf. Psel. Πρὸς τὸν πατριάρχην κῦρ Μιχαὴλ περὶ τοῦ ὅπως ποιητέον χρυσόν 40,17–20 ἐγὼ μὲν τὰ τῆς γῆς πεπίστευμαι ἄδυτα, σὺ δὲ τὰ ἐκεῖθεν τοῦ παντὸς ἐγκεχείρισαι· μεταδῶμεν οὖν ἀλλήλοις ὧν ἔχομεν, σὺ μὲν ἐμοὶ τῶν καλῶν θεαμάτων, ἐγὼ δέ σοι τῶν φυσικῶν ἀποτελεσμάτων **8** ὥσπερ – ἐραστήν: cf. Aristaen. Epist. 2,10,25 ἡ δὲ καθάπερ ἑταίρα τὸν ἐραστὴν ὑποκνίζουσα ‖ **14–15** Φιλότητος – λέγεται: Hom. Il. 13,636 πάντων μὲν κόρος ἐστὶ καὶ ὕπνου καὶ φιλότητος

ep. 252 L 41v–42r, H 51v; tit. L K-D: om. H Cre ‖ **1** ὑπέρτιμε – μου H Cre K-D: om. L ‖ **2** χοιρογρύλλιος scripsi: χοιρογλύλιος L χοιρογρύλλος H Cre K-D ‖ **3** κεφάλαιον ὄν L: κεφάλαιον H Cre K-D ‖ **10** μοι L: μου H Cre K-D θύραν – θύρας H Cre K-D: θύρας ἐκ θύρας L ‖ **13** σου H Cre K-D: που L | τε H Cre K-D: om. L

Μὴ τοίνυν κρύπτε σαυτὸν ἐμοὶ τῷ νοητῷ ἐραστῇ, ἀλλά σου τὸ κάλλος λαμπρῶς ἐπιδείκνυε, καὶ τὰς ἁρμονικὰς χάριτας καὶ τὰς ἀδιηγήτους τῶν σῶν πλεονεκτημάτων ὑπερβολάς. Εἰ δέ τις ἔστι
20 καὶ ψυχῶν συγγένεια καὶ χαρακτὴρ ὁμοιότητος, καὶ νοερῶν συνθημάτων ἐμφέρεια, θαρρήσας ἐρῶ, ὡς αἱ ψυχαὶ ἀμφοῖν, ἥ τε ἐμή, καὶ σή, ὁμόθεν γεγάασι, καὶ ἀπὸ μιᾶς πηγῆς συνερρύησαν· ὅθεν ἀλλήλας ἐπιγινώσκουσι, καὶ βούλοιντ᾽ ἂν μήποτε διασπᾶσθαι ἀλλὰ συμφυεῖς εἶναι τοῖς ἀρρήκτοις τῆς ὁμοφροσύνης δεσμοῖς.
25 Διὰ ταῦτα σύ τε βλέπων ἐμέ, εὐθὺς ἐνθουσιᾷς· κἀγὼ σέ που ἰδών, αὐτίκα κορυβαντιῶ· καὶ ἀκάθεκτοι γινόμεθα ταῖς ὁρμαῖς· οὐ γὰρ ἐπηλυγάζει τὸν τῆς ψυχῆς ὀφθαλμὸν προκείμενον τὸ σωμάτιον, ἀλλ᾽ αἱ πεμπόμεναι ἀκτῖνες ἐκεῖθεν ῥᾷστα τοῦ σωματικοῦ ἀποπάλλονται ὄγκου καὶ οὐδὲν αὐταῖς τῶν πάντων ἐμπόδιον.

20–22 ψυχῶν – συνερρύησαν: cf. Synes. Cyren. Αἰγύπτιοι ἢ περὶ προνοίας 1,1,6–9 ἔστι δὲ οὐ μία ψυχῶν καὶ σωμάτων συγγένεια· οὐ γὰρ τὸ τοῖν αὐτοῖν ἐπὶ γῆς ἐκφῦναι γονέοιν τοῦτο προσήκει ψυχαῖς, ἀλλὰ τὸ ἐκ μιᾶς ῥυῆναι πηγῆς. cf. Psel. Ἐγκωμιαστικὸς εἰς … Μιχαὴλ τὸν Κηρουλλάριον = Or. fun. I 1,58,22–24 et Π 122,63–64 ‖ **19–23** εἰ – ἐπιγινώσκουσι: cf. Π 122,62–64 εἰ τίς ἐστι ψυχῶν συγγένεια, καί τινες χαρακτῆρες ἰδιάζοντες ἐνίαις αὐτῶν ἐπιβέβληνται, ἐγνώκεισαν ἀλλήλας αἱ ἡμεδαπαί ‖ **25–26** εὐθὺς – ὁρμαῖς: cf. Psel. Ἐπιτάφιος εἰς … Ἰωάννην τὸν Ξιφιλῖνον = Or. fun. I 3,15,15–16 τὸν μετασχηματισμὸν εὐθὺς ἐζήτουν τοῦ βίου καὶ ἀκάθεκτος τὴν ὁρμὴν ἦν et Λόγος εἰς … Κωνσταντῖνον τὸν Μονομάχον = Or. pan. 1,339–340 τὴν γνώμην ἠλλοίωμαι, καὶ οὐκ οἶδ᾽ ὅπως εἴπω, θεοφοροῦμαι καὶ ἀκάθεκτός εἰμι τὴν ὁρμήν, Π 149,27–28 οὕτως ὀξέως μετήνεγκα πρὸς σὲ τὴν ψυχήν, καὶ ἀκάθεκτος εἰμι τὴν ὁρμήν, et Π 174,4–6 ἠλλοίωμαι ὅλος καὶ μεταβέβλημαι· καὶ κατὰ τοὺς ἐνθουσιῶντας, ἀκάθεκτός εἰμι καὶ τὸ σῶμα καὶ τὴν ψυχήν **28–29** τοῦ σωματικοῦ … ὄγκου: iunctura Philonica; cf. e.g. Νόμων ἱερῶν ἀλληγορία 2,77 etc.

19 ἀδιηγήτους L: ἀπεριηγήτους H Cre K-D ‖ **20** ψυχῶν L: ψυχῆς H Cre K-D **22** μιᾶς L: τῆς αὐτῆς H Cre K-D ‖ **23** ἀλλήλας H Cre K-D: ἀλλήλους L **23–24** διασπᾶσθαι L: διεσπάσθαι H Cre K-D ‖ **24** ἀρρήκτοις H Cre K-D: ἀρρήτοις L ‖ **29** ἐμπόδιον L K-D: ἐφόδιον H Cre

LVI. Σέργιος ⟨Ἐξαμιλίτης (?)⟩
κριτὴς τῶν Θρᾳκησίων

253. Τῷ κριτῇ τῶν Θρᾳκησίων ⟨Σεργίῳ⟩

K-D 270 [Cre], Cre 18 [H]

Ὁ περιβόητος οὗτος τὴν ἀρετὴν μοναχός, ὃν οὐδὲ αὐτὸς ἀγνοεῖς, σκοπὸν θέμενος τὴν πᾶσαν οἰκουμένην περιελθεῖν, ἐπεθύμησε καὶ τὸ σὸν περιπολεῦσαι Θρᾳκήσιον, καὶ εἰς ὁμιλίαν ἐλθεῖν τῷ περιβλέπτῳ σοι καὶ πάντα καλῷ, καὶ τὰ μὲν λαβεῖν παρὰ σοῦ, τὰ δὲ δοῦναι: δοῦναι μὲν τὴν εὐγλωττίαν, τὴν τῶν ἠθῶν ἡδύτητα, τὴν 5 ἐν οἷς οἶδεν ὑπηρεσίαν· ἀντιλαβεῖν δὲ τὰ παρὰ τῆς σῆς συνέσεως, (εἰ βούλει δὲ) καὶ χειρός.

Καὶ οἶδα μὲν ὅτι συννεφὴς εἶ τὴν ὀφρύν, καὶ ἐπέχων τὸν γέλωτα, καὶ στιβαρὸς τὴν ψυχήν. Ἀλλ' οὗτός σε καὶ διαχεθῆναι ποιήσειε καὶ γελάσαι, καὶ πάσης ἡδονῆς ἐμπλήσειε καὶ χάριτος. 10 Δεῖ δὲ ὑμῖν τοῖς περὶ τὰ μεγάλα σπουδάζουσι καὶ ἀνέσεως πολλάκις καὶ χαριεντισμάτων, ὧν οὗτός σοι πλουσίας δώσει τὰς ἀφορμάς, καὶ ταῦτα ἐν σεμνῷ σχήματι καὶ μοναδικῷ.

254. Τῷ κυρῷ Σεργίῳ τῷ κριτῇ τῶν Θρᾳκησίων

G 27 [f], Wes 8 [f]

Ὁ νέος οὗτος Ἠλίας, λαμπρότατε καὶ φίλτατε ἀδελφέ, τὴν μὲν

LVI cf. Psel. Πρὸς τὸν μαθητὴν αὐτοῦ Σέργιον εἰπόντα μήποτε δηχθῆναι ὑπὸ ψύλλης = Or. min. 26 | Ἐξαμιλίτης: cf. Seibt II 72–73, nr. 46, et 191, nr. 186, et Wassiliou 2002 ‖ **1** ὁ περιβόητος – μοναχός: Elias, de eoque cf. Π 77,9–10 = Π 130,10–11, Π 188,6, Π 219,2, Π 220,3, Π 253,1, Π 254,1, Π 288,1, Π 326,1, Π 327,1, et Π 450,1. cf. etiam Π 543,1? ‖ **8** συννεφὴς … τὴν ὀφρύν: iunctura Pselliana in Nic. Chon. Χρονικὴ Διήγησις 47,9 laudata? ‖ **1** ὁ νέος οὗτος Ἠλίας: de eoque cf. Π 77,9–10 = Π 130,10–11, Π 188,6, Π 219,2, Π 220,3, Π 253,1, Π 288,1, Π 326,1, Π 327,1, et Π 450,1. cf. etiam Π 543,1?

ep. 253 H 46v; tit. scripsi: τῷ κριτῇ τῶν Θρᾳκησίων H Cre K-D **10** ἐμπλήσειε Cre K-D: ἐμπλήσει ante corr. ἐμπλῆσαι post corr. H | καὶ³ om. Cre K-D ‖ **ep. 254** f 209v–210r; tit. G: Τοῦ Ψελλοῦ τῷ κυρῷ Σεργίῳ τῷ κριτῇ τῶν Θρᾳκησίων f Wes

πρὸς οὐρανὸν πορείαν οὐ στέλλεται (οὐ γὰρ πυρίνων ὀχημάτων κατατολμᾷ), περιοδεύει δὲ τὴν ὑπ' οὐρανὸν σύμπασαν, εἴ που εὕρῃ ἀνάπαυσιν τῇ ψυχῇ αὐτοῦ. Διχῇ δὲ νείμας τὴν οἰκουμένην
5 ἅπασαν, καὶ τὸ μὲν ἥμισυ ταύτης εἰς ὄρη καὶ σπήλαια καὶ ἐρημίας ἀπαριθμήσας, τὸ δὲ λοιπὸν μέρος εἰς ἄλση καὶ λειμῶνας καὶ παραδείσους καὶ πεδία ἱππήλατα, τὰ μὲν πρῶτα τῶν πρώτων πεπείραται. Ἐπεὶ δὲ οὐκ ἀναπέπαυται ἐπὶ τούτοις, ἐπὶ τὴν ἑτέραν μερίδα χωρεῖ· οὐδ' ἐπὶ ταύτην μὲν ἀκονιτί (δεῖ γὰρ κἀνταῦθα, καὶ
10 νάπας αὐτὸν ὑπερβῆναι, καὶ καταβῆναι εἰς βαθείας τὴν πρώτην φάραγγας), ἀλλὰ πρὸς τὸ τέλος ὁρῶν, τῶν πρὸς ἐκεῖνο καταπεφρόνηκε, καὶ τῶν ὑπόπτων χωρίων ἀφέμενος, ἃ διετείχισεν ὅπλα πολέμια ἢ μᾶλλον ἃ βαρβαρικὴ χεὶρ ἐληΐσατο, ἐπὶ τὸ τέως ἀπολιόρκητον βαδίζει Θρᾳκήσιον, οὐ τῆς Ἐδὲμ ἐρῶν, ἀλλὰ τῆς
15 σῆς ψυχῆς τῆς γεωργούσης καὶ φυλαττούσης αὐτήν, ἀλλ' οὐδὲ τὴν ἐν αὐτῷ ὥραν καὶ χάριν ἐν λόγῳ τιθέμενος (οὐ γὰρ χαρίτων, ἀλλὰ χρυσίνων ὁ ἀνὴρ ἐραστής).

Εἴ που γοῦν αὐτόθι θέρος ἐκβλαστάνει χρυσοῦν, δεῖξον τὸν στάχυν τῷ ἀνδρί, ὡς ἂν τὸ ἐραστὸν θερίσοι γεώργιον· εἰ δ' οὖν,
20 ἀλλὰ τὴν σὴν χρυσῆν ἀνακάλυψον τούτῳ ψυχήν, τὴν ὄντως χρυσῆν, καὶ μηδέποτε κίβδηλον ἠχήσασαν καὶ ὑπόχαλκον, ἀλλὰ καὶ πολλοῖς χρυσογνώμοσι λίθοις παρατριβεῖσαν, καὶ ἐν πᾶσι φανεῖσαν δόκιμον, καὶ εὐδόκιμον.

Τοσοῦτον δέ σοι ἐντέλλομαι (δεῖ γὰρ διδάσκαλον ἐντέλλεσθαι
25 μαθητῇ), μὴ αἰδοῖ τοῦ σχήματος διατεθῇς πρὸς αὐτὸν εὐλαβέστερον, ἀλλ' εἰ μὲν οὗτος τὴν αἰδῶ φυλάττοι, μηδ' αὐτὸς παρανομήσῃς, πρὸς τὴν τοῦ ἀνδρὸς σεμνοπρέπειαν, εἰ δ' ἀλλάττοι τὸ σχῆμα, ἄλλαξον καὶ αὐτὸς τὴν χορδήν. Καὶ μὴ δέδιθι τοῦτον δὴ

2 πυρίνων ὀχημάτων: cf. IV Reg. 2,11 καὶ ἰδοὺ ἅρμα πυρὸς ... καὶ ἀνελήμφθη Ηλιου ‖ **3–4** εἴ – αὐτοῦ: cf. Mt. 11,29 καὶ εὑρήσετε ἀνάπαυσιν ταῖς ψυχαῖς ὑμῶν. cf. etiam 12,43 διέρχεται δι' ἀνύδρων τόπων ζητοῦν ἀνάπαυσιν, καὶ οὐχ εὑρίσκει ‖ **28** ἄλλαξον – χορδήν: cf. Π 62,22 μεταβάλλουσι τὰς χορδάς, Π 68,34 ἄλλαξον χορδήν, Π 78,21–22 ἀλλακτέον ἡμῖν τὴν χορδήν, Π 108,21 ἄλλαττε τὴν χορδήν, et Π 264,8–9 ἄλλαξον τὴν πρὸς ἡμᾶς σου χορδὴν

7 τῶν μὲν G ‖ **12** διετείχισεν corr. Pol,310: διετύχησεν f Wes G ‖ **13** τὸ corr. Wes G: τῶν f ‖ **22** χρυσογνώμοσι Wes G: χρυσογνώμοσι vel χρυσογνωμόνων abbr. f ‖ **24** διδάσκαλον corr. Wes G: διδασκάλου f ‖ **27** ἀλλάττοι corr. Wes G: ἀλάττοι f

τὸν Ἠλίαν· οὔτε γὰρ πῦρ ἐξ οὐρανοῦ [κατάγειν] δυνατός, οὔτε δι' ἐπικλύσεως ὕδατος παραδόξως ἀνάψαι πυρκαϊάν, ἀλλὰ κἂν ἐν 30 ἀλλοτρίῳ πυρὶ αὐτὸς ἐν ἱλαρᾷ καταφλεχθείη. Ἔχει γὰρ (νὴ τὴν ἱεράν σου ψυχήν!) ἐπιδεξίως πρὸς ἅπασαν πρᾶξιν, κρείττονά τε καὶ χείρονα, καὶ οὔτε ὁλοφαής ἐστιν, οὔτε ὁλοκνεφής, καὶ οἷον ἐπαμφότερός τις καὶ ἀμφιπρόσωπος, Δώριος ὁμοῦ [καὶ Φρύγιος, δι]άτονος καὶ ἐναρμόνιος, Ἕλλην καὶ βάρβαρος, εὐσχήμων ὁμοῦ 35 καὶ ἀσχήμων. [Νῦν μὲν ψάλλει τ]ὰ τοῦ Δαυῒδ μέλη, ὀστράκου δ' αὖθις μεταπεσόντος, τοὺς Τιμοθέου αὐλοὺς αὐτίκα [μεταχειρί]σαιτο· πᾶσαν ἀλλάττει φωνὴν κατὰ τὸ αἴνιγμα τῆς Σφιγγός, πᾶσαν ἀμείβει μορφὴν κατὰ τὸν Πρωτέα τὸν Φάριον· παντοδαπὸν ζῷόν ἐστιν, Τυφῶνος πολυπλοκώτερος, μέλος θελκτήριον, 40

29–30 οὔτε[1] – πυρκαϊάν: cf. III Reg. 18,31–38 ‖ **32–34** πρὸς – ἀμφιπρόσωπος: cf. Π 288,15–20 δυοῖν ὄντοιν ἄκροιν ἀρετῆς καὶ κακίας ... ἐξ ἀμφοῖν μεμόρφωται ἀκριβῶς ‖ **34** Δώριος – Φρύγιος: cf. proverbium ἀπὸ Δωρίου ἐπὶ Φρύγιον, CPG I 384 (nr. 38) et II 302 (nr. 61); cf. Psel. Περὶ τῶν ψαλμῶν πρὸς τὸν … Μιχαὴλ τὸν Δούκαν … = Theol. II 1,125–126 et Π 108,1–2 et Π 288,23 ‖ **34–38** Δώριος – μεταχειρίσαιτο: cf. Π 288,22–25 ᾄσεται τὰ ἱερὰ ᾄσματα, εἶτα δὴ μεταβαλὼν συνεξορχήσεται, καὶ τὴν γλῶτταν ἀπὸ τοῦ Δωρίου μέλους μεταμείψει ἐπὶ τὸ Φρύγιον, κἂν ἐπιβριμήσαιο τούτῳ [...ca. 8 litt....] τῆς μεταποιήσεως, ἐπὶ τὸ πρῶτον ἀθρόον σχῆμα μεταβαλεῖται **37** τοὺς – αὐλούς: cf. e.g. Suda τ 620 Τιμόθεος γὰρ ὁ αὐλητὴς ἔτι πρόσθεν, ὅν ποτε αὐλοῦντα λέγουσι τῆς Ἀθηνᾶς τὸν ὄρθιον νόμον ἐπικαλούμενον, ἐς τοσόνδε ἐκπλῆξαι Ἀλέξανδρον τοῖς μέλεσιν, ὥστε μεταξὺ ἀκούσαντα ἀναΐξαι ἐπὶ τὰ ὅπλα ‖ **38–39** κατὰ – Σφιγγός: cf. Psel. Λόγος εἰς … Κωνσταντῖνον τὸν Μονομάχον = Or. pan. 1,282 et Π 249,19; cf. etiam Psel. Ἀλληγορία περὶ τῆς Σφιγγός = Phil. min. I 44 ‖ **39** πᾶσαν – Φάριον: locus communis (ex Hom. Od. 384–386); cf. Psel. Χρονογραφία VI,152, Ἐκ τοῦ περὶ τοῦ πνεύματος λόγου εἰς τὸ 'Σαδδουκαῖοι μὲν …' = Theol. I 106,115–116, et Π 62,15–18, Π 77,26–27 = Π 130,26–27, et Π 288,29–30. cf. etiam Π 532,1–2 **40** Τυφῶνος πολυπλοκώτερος: Plat. Φαῖδρος 230a3–4 εἴτε τι θηρίον ὃν τυγχάνω Τυφῶνος πολυπλοκώτερον καὶ μᾶλλον ἐπιτεθυμμένον, εἴτε ἡμερώτερόν τε καὶ ἁπλούστερον ζῷον cum e.g. Suda τ 1227. cf. Π 134,46–47 et Π 201,72–73; cf. etiam Papaioannou 2013,176–178 ‖ **39–43** πᾶσαν – συνεξορχεῖται: cf. Π 288,28–32 καὶ βούλεται μὲν πολύμορφός τις εἶναι, ὡς ὁ μυθευόμενος ἐκεῖνος Πρωτεύς, ἁλίσκεται δὲ μᾶλλον τοῖς χείροσι. καὶ εἰσὶν

29 κατάγειν suppl. Wes G ‖ **31** ἔχει: ἐπεὶ G ‖ **34–35** καὶ Φρύγιος, διάτονος suppl. Wes G: [ca. 10 litt.]άτονος f ‖ **36** νῦν μὲν ψάλλει τὰ suppl. Wes G: [ca. 10 litt.]ὰ f ‖ **37–38** μεταχειρίσαιτο suppl. Wes G: [ca. 8 litt.]σαιτο f **38** ἀλλάττει corr. Wes G: ἀλλάττοι f

τοῖς καιροῖς μεθαρμοζόμενος, καὶ τοῖς πράγμασιν· νῦν μὲν λέων ἐστὶ βλοσυρὸν χαλάσας τὸ ἐπισκύνιον, νῦν δὲ τοῖς πιθήκοις συνεξορχεῖται· καὶ νῦν μὲν κατηφής ἐστι καθ' Ἡράκλειτον καὶ τῆς ἀνθρωπίνης καταθρηνεῖ ματαιότητος, νῦν δὲ τὸν Δημοκρίτειον
45 ὑποκρίνεται γέλωτα· κἂν δεήσῃ, καὶ τὸ τῆς στολῆς μεταμείβεται σχῆμα εἰς πᾶσαν ἰδέαν μεταμορφούμενος.

Ἕρμαιον οὖν σοι τὸ ἀγαθόν· ὃν γὰρ πανταχόσε φοιτῶν ἐξήτησας ἂν καὶ ἐθήρασας, τοῦτον αὐτεπάγγελτον ἔχεις λαβών. Χρῷο οὖν μοι τῷ παντοδαπῷ τούτῳ ἀνδρί· καὶ ἐπειδὴ οὐκ ἀμείλικτός

αὐτῷ τὰ μὲν λεόντεια βρυχήματα οἷον μιμήματα, τὰ δὲ πιθήκεια (οὕτως εἰπεῖν) πηδήματα οἰκεῖα γεννήματα καὶ τῆς φύσεως
41–43 νῦν – συνεξορχεῖται: cf. proverbium ἔσο καὶ λέων ὅπη χρὴ, καὶ πίθηκος ἐν μέρει, CPG II 168 (nr. 18) et 422 (nr. 98a); cf. etiam Psel. Χαρακτῆρες Γρηγορίου τοῦ θεολόγου, τοῦ μεγάλου Βασιλείου, τοῦ Χρυσοστόμου, καὶ Γρηγορίου τοῦ Νύσσης 128,6–13 εἰ μὲν οὖν ὥσπερ τὰς πιθήκους ὁρῶμεν ἑτοίμους εἰς μίμησιν, οὐ τῶν ἐλαττόνων, ἀλλὰ καὶ τῶν μειζόνων, οὕτω δὴ καὶ εἰ λέων τις ἐγεγόνει σώζων μὲν ἑαυτῷ καὶ τὸ βλοσυρὸν ἐπισκήνιον, εἶτα δὴ καὶ πρὸς τὰ ἤθη καὶ σχήματα τῶν ἑτέρων θηρῶν μεθηρμόζετο καὶ ἐμιμεῖτο ξύμπαντα, μὴ καταβαίνων τοῦ ἀξιώματος, αὐτὸ ἂν τοῦτο ἦν ὁ θεῖος ἀνήρ ‖ **42** βλοσυρὸν – ἐπισκύνιον: cf. Theocr. Ἡρακλίσκος = Id. 24,118 τοῖον ἐπισκύνιον βλοσυρῷ ἐπέκειτο προσώπῳ et Philostr. Jun. Εἰκόνες 871,22–23 τίς ἡ βλοσυρὸν μὲν ἐπισκύνιον ὑπὲρ ὀφθαλμῶν αἴρουσα. cf. Psel. Χρονογραφία IV,13 κεχάλαστο δ' ὅμως τὸ βλοσυρὸν τῷ θηρὶ καὶ τὸ ἐπισκύνιον οὐδαμοῦ et VI,77 τὸ δὲ ὅρμημα τούτῳ ὁποῖον λέοντος, καὶ τὸ ἐπισκύνιον βλοσυρόν et Χαρακτῆρες Γρηγορίου τοῦ θεολόγου, τοῦ μεγάλου Βασιλείου, τοῦ Χρυσοστόμου, καὶ Γρηγορίου τοῦ Νύσσης 128,9–10 λέων τις ἐγεγόνει σώζων μὲν ἑαυτῷ καὶ τὸ βλοσυρὸν ἐπισκήνιον. cf. Π 50,8–9 χάλασον τῷ λόγῳ τὸ βλοσυρόν τε καὶ ἐπισκύνιον. cf. etiam Π 120,60 ὑποχαλῶ τι τοῦ βλοσυροῦ ‖ **42–43** συνεξορχεῖται: vox Synesiana; cf. Synes. Cyren. Φαλάκρας ἐγκώμιον 6,31. cf. Π 62,24 et Π 288,22 ‖ **43–45** καὶ[1] – γέλωτα: cf. Lucian. Περὶ θυσιῶν 15, Περὶ τῆς Περεγρίνου τελευτῆς 7, et Βίων πρᾶσις 13–14 cum Ps.-Nonnus Συναγωγὴ … ἱστοριῶν … in Greg. Naz. Or. 4, hist. 37 Ἡράκλειτος καὶ Δημόκριτος … ὁμοίως τὴν τοῦ κόσμου ἀλλεπαλληλίαν διέπαιξαν, ὁ μὲν γελῶν, ὁ δὲ κλαίων. ὁ μὲν Δημόκριτος ἐγέλα συνεχῶς τὰ πράγματα, ὁ δὲ Ἡράκλειτος ἔκλαιεν. cf. Π 32,26–27 ‖ **47** ἕρμαιον … ἀγαθόν: cf. CPG II 420–421 (nr. 94) **49–51** ἐπειδὴ – ἱλαρᾶς: cf. Π 288,33 ἐπεὶ οὖν ἡ φύσις ἡμῖν δεῖταί τινος κατιοῦσα γλυκοθυμίας

42 τὸ corr. Wes G: τὸν f | πιθήκοις corr. Wes G: πυθίκοις f

ἐστιν ἡ φύσις ἡμῶν, οὐδὲ πρὸς ἅπασαν σπουδὴν ἄτρυτος, ἀλλὰ δεῖ 50
τινος καὶ παιδιᾶς ἱλαρᾶς, ὅτε δὴ δεήσει σοι καταβῆναι πρὸς
ταύτην, μήτε πρὸς κιθαριστὰς ἀποβλέψειας, μήτε πρὸς αὐλητάς,
ἀλλὰ τῷ πολυμόρφῳ χρῴο ἀντὶ παντός, καὶ βραχύ τι ἐλλιμενίσας,
καὶ τὸ τῆς ψυχῆς σκάφος ὁρμισάμενος, καὶ μετρίως ἀναπαυσάμε-
νος, αὖθις ἀνάτρεχε πρὸς τὸ πέλαγος. 55

LVII. Νικόλαος Σκληρός

πρόεδρος, κριτὴς τοῦ Αἰγαίου,
⟨κριτὴς τῶν Βουκελλαρίων (cf. infra Π LXXVI)⟩

255. Τῷ κριτῇ τοῦ Αἰγαίου ⟨Νικολάῳ τῷ Σκληρῷ (?)⟩

K-D 60 [L]

Πρώτῳ σοι αὕτη ⟨ἡ⟩ προσλαλιά: οὐκ ἀπὸ τῆς Πόλεως πρὸς τὸ
Αἰγαῖον, ἀλλ' ἢ ἐν τῇ Πόλει, ἢ ἐν τῷ Αἰγαίῳ· ἢ γὰρ ἐγὼ αὐτόθι
διὰ σέ, ἢ σὺ ἐνταῦθα δι' ἐμέ, καὶ ἐσμὲν ξενοπροσώπως ἀμφότεροι,
καὶ ἠπειρῶται, καὶ ἐπιθαλάττιοι. Ὡς οὖν αὐτόθεν ὁμιλῶν σοι καὶ
οὐκ ἐκ διαστήματος, ἐρωτῶ τὰ συνήθη: πῶς σοι τὰ τῆς ὁδοῦ; πῶς 5
σοι τὰ τῆς ζωῆς, τὰ τῶν πραγμάτων, τὰ τῶν δικῶν, τὰ τῶν
εἰσπράξεων (εἰ μὴ πέφρικας); Ἀλλὰ τί ποτε ἐρωτῶ, συνών σοι καὶ
εἰδὼς ἅπαντα; καὶ γὰρ καὶ εὐθυπόρησας, καὶ ὑγιαίνεις, καὶ κρίνεις
ἐννόμως καὶ ἀδεκάστως, καὶ τὰς εἰσπράξεις ὥσπερ εἴωθας
πέφευγας. Ὁρᾷς οἷον τὸ τῆς ἀγάπης πτερόν, ὁπόση ἡ δύναμις; ἢ 10
γὰρ αὐτόθι σοι συμπερίειμι, ἢ κἀνταῦθα μάντις εἰμί σοι καὶ τῆς
ζωῆς καὶ τῶν πράξεων.

Ὥσπερ οὖν ἀδιαστάτως ὁμιλῶ, οὕτως δὴ καὶ ἀξιῶ ἐμφανῆ
ποιῆσαι προστασίας ῥοπήν, τοῖς προϊσταμένοις προαστείων, τοῦ

LVII cf. Seibt 1976[1],93–97 ‖ **ep. 255** τὸ[1] – πτερόν: Ioann. Chrys. Ad Innocentium papam I (PG 52 535,14–15) τῆς δὲ ἀγάπης τὸ πτερὸν cum Epist. 129 (PG 52 688,57), 146 (PG 52 698,41), et 183 (PG 52 715,25–26)

50 δεῖ corr. Wes G: δὴ f ‖ **51** παιδιᾶς corr. Wes corr. G: πεδιᾶς f ‖ **ep. 255** L 32v–33r; tit. scripsi: τῷ κριτῇ τοῦ Αἰγαίου L K-D | ἡ addidi | τοῦ[1] – Πετρωνᾶ L Dölger: τῷ … Πετρωνᾷ corr. K-D

15 τε Πετρωνᾶ, καὶ τοῖς Πυργηνοῖς. Ταῦτα μὲν γὰρ ὑπὸ τὴν μονὴν τῆς Ὁμονοίας τελοῦσιν, ἡ δὲ μονὴ δεσπότιν ἔλαχε τὴν ζωστὴν τὴν κυρὰν Ἄνναν, τὴν ἀδελφὴν τοῦ Ῥαδηνοῦ· αὕτη δὲ ᾠκείωταί μοι ἐξ ἀρχαίας πρὸς τὸ τοῦ Μονομάχου γένος συνηθείας καὶ ὁμιλίας.

Ποίησον οὖν με πρὸς τὴν γυναῖκα σεμνότερον, ἐλαφρᾶς 20 ἀξιώσεως, μεγάλην τιμὴν ἀντικαταλλαττόμενος. Καὶ ὁ τὸ κτῆμα δὲ ἀπαιτῶν ἀπήτησεν ἀπὸ τῶν ἐν τοῖς δηλωθεῖσιν προσχήμασιν διανομῶν, μηδὲν περὶ τούτου προστεταγμένος. Ἀπαιτήσας οὖν καὶ ταῦτα, ἀπότισον τοῖς ἀφαιρεθεῖσι· καὶ πολλαχῶς με πρὸς τὴν ἀξιώσασαν κατακόσμησον, οὐχ ἵνα ἐρωτικὸς ταύτῃ ὀφθείην, ἀλλὰ 25 φιλότιμος ἄνευ ἔρωτος.

256. Τῷ κριτῇ τοῦ Αἰγαίου ⟨Νικολάῳ τῷ Σκληρῷ⟩

K-D 123 [L]

Τῇ λεοντῇ καὶ τῇ κερδοῖ χρηστέον ἡμῖν πρὸς τὰ πράγματα· κἂν ἀποτύχωμεν θατέρῳ μέρει τῶν ἐφετῶν, ἐπιχειρητέον θατέρῳ, ἵν' εἴ πως, ἢ παρρησίᾳ ἢ τέχνῃ, ἕλωμεν ὃ βουλοίμεθα. Ἔγωγ' οὖν ἀμφοῖν ὑπὲρ σοῦ τὸ πρῶτον χρησάμενος, συμπεπόρισμαί σοι οὐχ 5 ὅσον ἐβούλου, ἀλλ' ὅσον ὁ καιρὸς ἐδίδου· εἶθ' ὕστερον αὐτὸς τὴν τέχνην ἀφείς, τὸν ἄτεχνον λόγον προεχειρίσω. Ἀλλ' ὅ γε βασίλειος πύργος οὐ κατεσείσθη ταῖς κατ' εὐθὺ προσβολαῖς.

τὴν[1] – Ὁμονοίας: Janin 1969,383 | τὴν[2] – Ῥαδηνοῦ: de familiae Radenoi cf. Psel. Μονῳδία εἰς τὸν πρόεδρον κῦρ Μιχαὴλ τὸν Ῥαδηνόν et Polemis 1968,171–172, Gautier 1978,91–93, Stavrakos 2000,325–334 (nr. 216=219), et Karagiorgou–Charalampakis–Malatras 2016,294–296 | τοῦ Μονομάχου: Constantinus IX Monomachus (imperator: 12.VI.1042 – 11.I.1055) (Π XLIV) **1–2** τῇ λεοντῇ – θατέρῳ: cf. proverbium (CPG I 30; nr. 93) ἂν ἡ λεοντῆ μὴ ἐξικνῆται, τὴν ἀλωπεκῆν πρόσαψον. cf. Greg. Naz. Κατὰ Ἰουλιανοῦ στηλιτευτικὸς α´ = Or. 4,79 τῇ λεοντῇ τὴν κερδαλῆν ἐγκρύπτων cum Suda ε 1190 Ἐνδύεταί μοι τὴν λεοντῆν: ἐπὶ τῶν μεγάλοις ἐπιχειρούντων πράγμασιν. ἐκ μεταφορᾶς τοῦ Ἡρακλέους. cf. Psel. Χρονογραφία VI,198 τὴν κερδαλῆν ἀφεὶς, τὴν λεοντῆν ἐπενδύεται

με[2] scripsi: μὲν L K-D ‖ **ep. 256** L 60v; tit. scripsi: τῷ κριτῇ τοῦ Αἰγαίου L K-D ‖ **1** κερδοῖ: τῇ ἀλωπεκὶ suprascr. L

Οἶσθ' οὖν, ὅ τι ποιήσομεν; Χρησώμεθα καὶ ταῖς μηχαναῖς, καὶ περιδράμωμεν κύκλῳ τὸ προτεμένισμα. Καὶ ὅπῃ παρείκοι διαρρήξαντες τὸν περίβολον, ἔνδον τοῦ τεμένους γενώμεθα· ὁρῶ 10 γὰρ ἐγὼ σκοπῶν τὴν ποικιλίαν τοῦ βίου, ὡς ὀρθὸν μέν τι χρῆμα ἡ παρρησία, ἧττον δὲ τοῦ πλαγίου δεδύνηται· ἐναντίως ἤπερ ἡ διὰ τοῦ δόρατος ἔχει πληγή: ἐκεῖνο γὰρ εὐθὺ μὲν ὠσθέν, ἔπληξε· παρεκκλῖναν δέ, παρέξεσεν· ὁ δὲ λόγος τέχνῃ μὲν χρωσθείς, εἰς τὴν καρδίαν αὐτὴν βληθείς, ἐνεπάγη· ἀτέχνως δὲ εἰσχεθείς, παρὰ 15 τὸ οὖς ἐθυραύλησεν.

Οὐκ ἀπογνωστέον οὖν σοι περὶ ὧν βεβούλησαι, ἠτυχηκότι τὴν πρώτην. Ἀλλ' ὁρμητέον τὸ δεύτερον· ἴσως γὰρ—ἀλλ' ἐφεκτέον τὴν πρόρρησιν, ἵνα μή τις βάσκανος περιτρέψῃ τὸν λόγον.

257. Τῷ αὐτῷ

Τῷ κριτῇ τοῦ Αἰγαίου ⟨Νικολάῳ τῷ Σκληρῷ⟩

K-D 124 [L]

Εἰ βούλει πᾶσαν ἐν ταὐτῷ συλλέξασθαι ἀρετὴν καὶ ἀφορμὴν τῆς πρὸς τὰ κρείττω ἀναγωγῆς, τῇ θεοτόκῳ μάλιστα πρόσκεισο· καὶ ταύτης, μὴ τὰς εἰκόνας μόνον, ἀλλὰ καὶ τὰς ἀφανεῖς σέβου σκιάς, ὥσπερ δὴ καὶ ποιεῖν εἴωθας. Εἰ δέ που χειρὸς ἀνθρωπίνης χωρὶς ἐμπεφάνισται καὶ οἱονεὶ γέγραπται, ἐκεῖσε ταύτην οἴου ἀρρήτως 5

8 οἶσθ' – ποιήσομεν: cf. Psel. Πρὸς τὸν πατριάρχην κῦρ Μιχαὴλ περὶ τοῦ ὅπως ποιητέον χρυσόν 40,17 οἶσθ' οὖν ὃ ποιήσομεν; ‖ **11–16** ὀρθὸν – ἐθυραύλησεν: cf. Psel. Ἐγκώμιον εἰς τὸν … Ἰωάννην τὸν Κρουστουλᾶν ἀναγνόντα ἐν τῇ Ἁγίᾳ Σορῷ = Or. min. 37,281–286 ὀρθὸν μέν τι πρᾶγμα καὶ ὁ ἁπλοῦς λόγος ἐστίν, ἀλλ' ἧττον τοῦ πλαγίου δεδύνηται, ἐναντίως ἤπερ ἡ διὰ τοῦ δόρατος ἔχει πληγή· ἐκεῖνο γὰρ εὐθὺ μὲν ὠσθὲν ἔπληξε, παρεκκλῖναν δὲ παρέξεσεν, ὁ δέ γε λόγος τέχνῃ μὲν χρωσθεὶς εἰς τὴν καρδίαν αὐτὴν βληθεὶς ἐνεπάγη, ἀτεχνῶς δὲ εἰσχεθεὶς παρὰ τὸ οὖς ἐθυραύλησε ‖ **15–16** παρὰ – ἐθυραύλησεν: Synes. Cyren. Περὶ βασιλείας 29,27–28 θυραυλήσουσιν οἱ λόγοι περὶ τὰ ὦτα. cf. Psel. Χρονογραφία VII,171 (=VIIc7), Κατηγορία τοῦ ἀρχιερέως = Or. for. 1,1081–1083, Ἐγκώμιον εἰς τὸν … Ἰωάννην τὸν Κρουστουλᾶν ἀναγνόντα ἐν τῇ Ἁγίᾳ Σορῷ = Or. min. 37,285–286, Εἰς τὸ 'τὸ γὰρ ἦν καὶ ἔσται …' = Theol. I 87,84–85, et Π 208,62–64, Π 268,49–51, et Π 512,13–15

ep. 257 L 60v–61r; tit. L K-D

ἐφεστάναι καὶ ἀθεάτως· ὥσπερ ἐν τῇ πρὸ τῶν τειχῶν τῆς βασιλίδος πόλεως μονῇ ὦπται τοῖς πᾶσιν ἐπέκεινα θαύματος, ἣν δὴ καὶ τῆς Ἀχειροποιήτου ἐντεῦθεν κατονομάζουσι.

Δείγματα δὲ φιλοθεΐας, φιλοσοφωτάτη ψυχή, καὶ τῆς πρὸς
10 τὴν μητέρα τοῦ θεοῦ διαθέσεως οὐ τὸ ταῖς εἰκόσι προσιέναι οὐδὲ τὸ πολλάκις καταπτύξασθαι τὸ ὁμοίωμα. Ἀλλὰ τί ποτε; Τὸ μὲν πρῶτον καὶ μέγιστον: ἑαυτοὺς ἀπεικονίσαι πρὸς τὴν ἐν τῷ κρείττονι ἀρετήν· εἶτα καὶ τοῦ νεὼ ποιήσασθαι ἐπιμέλειαν ἐν ᾧ τὸ θεῖον τετίμηται, ἢ αὐτὸν καλλύνοντας, ἢ τῶν ὑπ' αὐτὸν ἀντεχομένους
15 κτημάτων.

Ὅπερ δή σε νῦν ἡ ἀχειροποίητος θεοτόκος εἰσπράττεται δι' ἐμοῦ μεσίτου. Καὶ εἴ γε μοι πείθοιο, ὁ πάντοτε μέν μοι πειθόμενος, καὶ τῶν ἐμῶν ἐξαρτώμενος λόγων, καὶ βουλόμενος ὡς πρὸς παράδειγμα βλέπειν ἐμέ, νῦν δὲ μηδὲ γράμματι ὁμιλῶν μὴδ'
20 ἐρωτῶν ὅπως ἂν τῶν καλλίστων ἰχνῶν ἔχοιο ἣν διέπεις ἀρχήν, ἀρχὴν ποίησον καὶ τῆς πρὸς τὸ θεῖον ἀκριβοῦς διαθέσεως, καὶ πρὸς τοὺς ἀκριβεστέρους τῶν φίλων τοῦ φιλίου καθήκοντος. Κἂν εἰ πάντων καταφρονήσειας, ἀλλὰ τῆς γε Ἀχειροποιήτου ἐπιμελήθητι, τῶν κτημάτων αὐτῆς ὡς οἰκειοτάτων ἀντεχόμενος κτήσεων.

25 Ἐμοὶ δὲ οὐ μέλει περὶ τῶν ἐμῶν (οἶδα γάρ, ὡς πεφρόντικας τούτων, εἰ καὶ μὴ τοσοῦτον ὅσον βεβουλήμεθα), ἀλλὰ περὶ ἐμοῦ, ὅτι οὐδέπω καὶ τήμερόν μοι γεγράφηκας.

7–8 μονῇ – Ἀχειροποιήτου: monasterion τῆς Ἀχειροποιήτου, scil. τῶν Ἀβραμιτῶν (Janin 1969,4–6, Janin 1975,441, et TIB 12,680–681), de quo cf. Π 231,1–2 et Π 232,2; cf. etiam Π 233,9–10? ‖ **27** οὐδέπω – τήμερόν: iunctura Demosthenica (e.g. Κατὰ Μειδίου = Or. 21,81, 91, et 157); cf. e.g. Greg. Naz. Epist. 145,4 et 248,1 cum Psel. Ἐγκώμιον εἰς τὸν Μεταφραστὴν … = Or. hag. 7,344

9 δείγματα corr. Polemis: δόγματα L K-D ‖ **13** τοῦ – ἐπιμέλειαν L: τοῦ ναοῦ ἀντέχεσθαι ἐπιμελῶς K-D ‖ **14** ἀντεχομένους L: ἀντέχεσθαι K-D ‖ **17** γε : om. K-D ‖ **27** οὐδέπω scripsi (cf. app. font.): οὐδέποτε L K-D

258. Τῷ αὐτῷ

Τῷ κριτῇ τοῦ Αἰγαίου ⟨Νικολάῳ τῷ Σκληρῷ⟩

K-D 125 [L]

Τὸ φροντιστήριον τὸ Μηδίκιον, εἰ μέν τις οὕτως ἐπαινεῖν βούλοιτο, αὐτόθεν ἕξει τῶν ἐγκωμίων τὰς ἀφορμάς· ἐνδιαίτημα γάρ ἐστιν ἀκριβὲς φροντιστοῦ, θαλάσσης μὲν τοσοῦτον ἀνακεχωρηκὸς ὅσον—ἀλλ' ἐρῶ προϊών—, ὀρῶν δὲ τοσοῦτον λειπόμενον, ὅσον ἡ ἀκριβῶς ὑπτία καὶ τὸ λεωφόρον πεδίον. Εἰ 5 γὰρ καταλέξαι βουληθείην ταῖς ἐπὶ γῆς χάρισιν, οὐ πάνυ τι αὐτῷ πρὸς τρόπου φανεῖται τὸ ἔδαφος· κάθηται γὰρ τοῦτο τὸ φροντιστήριον ὥσπερ ὑπὸ στεφάνῃ τῶν πέριξ ὀρῶν, καὶ ὅπῃ τις ἐντεῦθεν ἀντωπῆσαι θελήσειε, κύκλον μετέωρον ὄψεται· τῇ δὲ ⟨οὐδέν⟩, εἴ τι κάλλιστόν ἐστι γῆς, τῆς τῶν γηλόφων περιβολῆς καὶ 10 ὑπερβολῆς ἀποτειχιζούσης αὐτό, ἔνθεν μὲν εἴ τι πλόϊμον, ἐκεῖθεν δὲ εἴ τι βάσιμον.

Πεντηκοντόρῳ γοῦν ἐγὼ ταύτην ἀπείκασα, εἴ τις εἰς κοίλην τὴν ναῦν κατιέναι δυνήσεται. Καὶ ὅ γε παντάπασι τὸν ἐνδιαιτώμενον ταύτῃ λυπεῖ, ὅτι θάλασσα τοσοῦτον ἀπέχουσα, ὅσον τὴν 15 δεξιὰν ἐντείνας ψαῦσαι τοῦ ὕδατος (ἵν' ὑπερβολῇ χρήσωμαι), ὡς ἐν Ὑπερβορέοις οἰκῶν, οὐκ ἔχει ταύτην ἰδεῖν. Ἀλλ' ὁ περὶ τὸν Τάνταλον μῦθος, τοῦτο δὴ τὸ χωρίον ἐστὶν ἀκριβῶς· τοῦτο γάρ, πάσης περικυκλούσης αὐτὸ ἡδονῆς, ἀπέχει ξυμπάσης τῇ ἀποτομῇ τῶν ὀρῶν. 20

1 τὸ φροντιστήριον τὸ Μηδίκιον: cf. Janin 1975,165–168 et Mango–Ševčenko 1973,240–242 et Π 85,7, Π 91,8–9, Π 243,22, Π 349,18, Π 350,1–2, et Π 360,44–45 ‖ **17–18** ὁ – μῦθος: cf. Psel. Ἀλληγορία εἰς τὸν Τάνταλον = Phil. min. I 43 cum ⟨De servitute a secretis⟩ = Or. min. 11,42–43 Τάνταλος τὸν ὑπὲρ κεφαλῆς λίθον φοβούμενος ἢ ἐν μέσῃ πηγῇ στερούμενος τοῦ ποτοῦ et Π 390,21

ep. 258 L 61r–v; tit. L K-D ‖ **3** θαλάσσης scripsi: θαλάσσῃ L K-D ‖ **10** οὐδέν dubitanter addidi. cf. infra ἀπέχει ξυμπάσης (scil. ἡδονῆς) ‖ **19** τῇ ἀποτομῇ scripsi: τῆς ἀποτομῆς L K-D

259. Τῷ κριτῇ τοῦ Αἰγαίου ⟨Νικολάῳ τῷ Σκληρῷ⟩
ante Π 260?

S 65 [P]

Ὅπερ ἐπελαβόμην ἐνταῦθα διὰ γλώσσης εἰπεῖν σοι, τοῦτο διὰ γραφῆς ἀξιῶ. Ὁ εὐλαβέστατος μοναχὸς οὗτος καὶ καθηγούμενος τετίμηταί μοι διὰ τήν ἐπιλάμπουσαν αὐτῷ ἀρετήν, δι᾽ ἣν καὶ συνήθειαν ἔσχηκα πυκνότερόν τε ἀπιέναι εἰς τὴν μονήν, καὶ τοῖς
5 ἐκεῖσε μοναχοῖς παραβάλλειν.

Ἐγὼ μὲν οὖν λόγοις πνευματικοῖς παρ᾽ αὐτῶν βελτιοῦμαι τὰ εἰς ψυχήν· τοῖς δὲ τὸ μοναστήριον ταῖς παρ᾽ ἐμοῦ προστασίαις ἐν οἷς ἂν καὶ δύνωμαι εἰς τὸ κρεῖττον καθίσταται. Δύναμαι δὲ τοῖς φίλοις ὑμῖν πράττουσι τὰ πολιτικὰ πράγματα καὶ τὸ ὠφελεῖν
10 ἐντεῦθεν ἔχουσιν, ὥσπερ δὴ νῦν καὶ σοι μερὶς παρὰ τοῦ βασιλέως ἀποδέδοται τοῦ δύνασθαι αὐτοὺς εὖ ποιήσειν· ὁ γὰρ Αἰγαῖος ὀλίγα τινὰ τῶν κτημάτων αὐτῶν ἐκληρώσατο, ἃ κινδυνεύει ταῖς πολλαῖς ἐπηρείαις ἀπολωλέναι εἰ μὴ σὺ τὸν δυνατὸν τρόπον ἀντιποιήσαιο τούτων καὶ ἐπικουρίαν τὴν ἀποχρῶσαν δούς, τὴν
15 σύστασιν αὐτοῖς περιποιήσαιο.

Πρῶτον οὖν τὸν θεμέλιον κατάθου ἡμῖν τῆς πρὸς ἡμᾶς σου χρηστῆς διαθέσεως, καὶ γενοῦ τοῖς μοναχοῖς δι᾽ ἐμοῦ μεσίτης καὶ σωτὴρ καὶ λιμήν. Οἱ μὲν γὰρ πρός με συνδεδραμήκασιν, ἐγὼ δὲ τούτους μεταβιβάζω πρὸς σέ.

20 Μὴ οὖν ψευσθείην, μήτε τῆς πρὸς ἐκείνους ὑποσχέσεως, μήτε τῆς πρὸς σὲ φιλίας καὶ πεποιθήσεως.

4 τὴν μονήν: monasterion, τῆς Θεοτόκου τοῦ Ναρσοῦ; cf. Janin 1969,197–198, Gautier 1976b, et Π 260,1–2, Π 261,1, et Π 267,2

ep. 259 P 203v–204r; tit. scripsi: τῷ κριτῇ τοῦ Αἰγαίου P S

260. Τῷ αὐτῷ
Τῷ κριτῇ τοῦ Αἰγαίου ⟨Νικολάῳ τῷ Σκληρῷ⟩

K-D 126 [L]

Σὺ μὲν οὐ δέῃ δευτέρων περὶ τῶν αὐτῶν ἀξιώσεων. Ἀλλ᾿ ὁ τῆς τοῦ Ναρσοῦ καθηγούμενος, κἂν πολλάκις περὶ αὐτοῦ δεηθησόμεθά σου, θαυμασίως ἥδεται· οἴεται γάρ σε ἴσως μὴ ὀξέως ἀκούειν ἡμῶν, καὶ διὰ τοῦτο δεῖσθαι πολλῶν καὶ μειζόνων φωνῶν· ἢ καὶ τὸ δίς που καὶ τρὶς περὶ τοῦ αὐτοῦ αἰτεῖσθαι ἐπιμελεστέρας τίθεται 5 προνοίας, καὶ φροντίδος ἀκριβεστέρας.

Οὗτος μὲν οὖν ὅπως ἂν ἔχοι, ἐχέτω. Σὺ δέ μοι κατὰ τὰς προτέρας ὑποσχέσεις καὶ ἀξιώσεις, πρῶτον μὲν εὐμενέστερον ἴδε τὸν καθηγούμενον, καὶ οἰκειότερον πρόσφθεγξαι· ἔπειτα, τὴν δυνατὴν δίδου βοήθειαν, τὰ μὲν αὐτόθεν ἐπιμελόμενος τῶν τῆς 10 μονῆς κτήσεων, τὰ δὲ καὶ ἐπαγγελλόμενος. Ῥᾷστα δέ σοι ἄμφω, καὶ τὸ παρὸν καὶ τὸ μέλλον. Καὶ τὸ μὲν φαινόμενον, ἡμῶν τε ἀκούεις καὶ τὴν μονὴν ὠφελεῖς, τὸ δέ γε ἀληθὲς καὶ νοούμενον, πρὸς τὴν θεοτόκον τὴν χάριν διαβιβάζεις, καὶ τοὺς ἐν τῇ μονῇ τιμωμένους μάρτυρας. Ὧν εἰ μὴ ἐδεήθης ἴσως ποτέ, ἀλλὰ νῦν 15 συντελέσας τι τούτοις, ὕστερον δεηθείς, ἐπικούρους ἕξεις θερμούς.

1–2 τῆς – Ναρσοῦ: monasterion, μονὴ τῆς Θεοτόκου; cf. Janin 1969,197–198, Gautier 1976b, et Π 259,4, Π 261,1, et Π 267,2 ‖ **14–15** τοὺς – μάρτυρας: SS. Probus, Tarachus, et Andronicus

ep. 260 L 61v, F 51v–52v; tit. L K-D: om. F ‖ **1** σὺ L F: σοὶ corr. K-D | οὐ δέῃ L F: οὐδὲν K-D οὐ δεῖ prop. Diam 304 ‖ **3** σε L K-D: om. F ‖ **5** τίθεται L K-D: τίθεσαι F τιθέναι prop. Dölger ‖ **8** προτέρας L K-D: προπροτέρας F | πρῶτον L K-D: πρότερον F ‖ **9** πρόσφθεγξαι L K-D: φθέγξασθαι θέλησον F **10** ἐπιμελόμενος L K-D: ἐπιμελούμενος F ‖ **16** τι L K-D: om. F | δεηθείς L K-D: δεηθησόμενος F

261. Τῷ αὐτῷ

Τῷ κριτῇ τοῦ Αἰγαίου ⟨Νικολάῳ τῷ Σκληρῷ⟩. eodem tempore ut Π 262 et 263

K-D 127 [L]

Τῆς τοῦ Ναρσοῦ καθηγούμενός ἐστιν οὗτος ὁ τὸ γράμμα σοι δεδωκώς, μέρος δὲ τῆς μονῆς καὶ αὐτὸς (εἴποι τις ἂν) τὸ κάλλιστόν τε καὶ μέγιστον, ἐν αὐτῇ τε μονάζων, καὶ τὸν χορὸν τῶν μοναχῶν συμπληρῶν. Ὧν ἔνιοι ἐξίασι νῦν κατὰ πρόνοιαν τῶν αὐτόθι τῆς μονῆς κτημάτων, πολλῶν μὲν ὄντων, ἀσυντελῶν δέ, ἵνα μὴ λέγω ἐπιβλαβῶν.

Ἐπεὶ δὲ αὐτὸς ὑπολέλειμμαι, ἀναπληρῶ τὸ μέρος τοῦ ὑστερήματος διὰ τοῦ παρόντος γράμματος. Ἀξιῶ οὖν πᾶσαν θέσθαι πρόνοιαν καὶ τῶν ἀδελφῶν, καὶ τῶν ὑπὸ τὴν μονὴν κτημάτων, τοὺς μὲν οἰκειωσάμενον, ἐκείνων δὲ ἐπιμελησάμενον. Ἔστι δὲ νῦν, ὥσπερ πολλὴ ἡ παρὰ πολλῶν ἐπήρεια, οὕτω καὶ παντοδαπὴ ἡ βοήθεια.

Εἰ μὲν οὖν δυνατόν, κατὰ πάντα τὰ μέρη βοήθησον τῇ μονῇ· εἰ δ' οὖν, κατὰ πλείονα· εἰ δὲ μὴ τοῦτο προχωροίη, ἀλλά γε καθ' ἕν, μεγαλοπρεπέστερον δέ. Εἶτα οὐ θαυμάζεις, ὡς τὸν καλὸν ἀπολωλεκὼς Λίζικα, ᾧ μηδεὶς τῶν ὄντων ἶσος τὴν λογιότητα, τὸν σόν φημι ἀνεψιόν, γράμμασι χρῶμαι καὶ λέγειν ὅλως ἀνέχομαι; Ἀλλὰ τί δράσω; οὐ γὰρ ἐῶσί με ἀκορέστως πενθεῖν οἱ δεόμενοι.

1 τῆς τοῦ Ναρσοῦ: monasterion, μονὴ τῆς Θεοτόκου; cf. Janin 1969,197–198, Gautier 1976b, et Π 260,1–2, Π 259,4, et Π 267,2 ‖ **16** Λίζικα: Anastasius Lizix († ca. a. 1060 [Sideras 1994,135–136]; ca. a. 1070 prop. Gautier 1978,86–91]), nepos Nicolai Scleri (Π LVII), πατρίκιος et βεστάρχης, de quo Psel. Ἐπιτάφιος εἰς ⟨Ἀναστάσιον⟩ = Or. fun. I 8, et Π 36,1, Π 85,5–6, Π 150,1, Π 207,24, Π 263,4, et Π 272,90 ‖ **18** ἀκορέστως πενθεῖν: cf. Π 262,26 ἄνδρα πενθοῦντα et Π 263,9–11 ἐπικλύζεταί μοι τοῖς δάκρυσιν ἡ ψυχή, καὶ δεινῶς ταραττόμενος οὐδέν τι σοφώτερον γράφειν δεδύνημαι

ep. 261 L 61v; tit. L K-D

262. Τῷ αὐτῷ

Τῷ κριτῇ τοῦ Αἰγαίου ⟨Νικολάῳ τῷ Σκληρῷ⟩. eodem tempore ut Π 261 et 263

K-D 128 [L]

Τί ποτέ σοι τοῦτο λελόγισται, μὴ εὐθέως ἅμα καὶ ἡδέως τὸν παρ' ἐμοῦ σοι δοθέντα νοτάριον δέξασθαι, ἀλλὰ καὶ κατὰ τὴν πρώτην ἔντευξιν δυσχερᾶναι, καὶ αὖθις ἐξιόντι, γραμμάτιον ἀπολιπεῖν ἡμῖν ἀπογνώσεως; Ἐγὼ δὲ ᾤμην, ὡς εἰ καὶ τὸ μέγα ὄρος τὸν Ὄλυμπον, πρὸς δὲ καὶ τὸν Ἄθων συνεπιφορτίσομαί σοι, ἡδέως ἂν 5 ὑποδέξασθαι, καὶ προθυμότερον ἂν ὑπελθεῖν τὸν φόρτον (εἰπεῖν δὲ) καὶ γενναιότερον, ἢ ὁ Ἄτλας τὸν οὐρανόν.

Τί δή ποτε; ὅτι σοι κἀγὼ ἕτοιμος πάντα συνεπικουφίζειν τὰ ἐπαχθέστατα, καὶ συνεπεκούφισά γε καὶ πρώην (εἰ μή που ἐπιλέλησαι). Ἀλλ' ἐρεῖς, ὡς ὁ βασιλεὺς καὶ ὁ καιρός, καὶ ἡ τῶν 10 πραγμάτων δυσκολία, καὶ ὁ ἐπὶ τοῖς μεγίστοις φόβος; Ἐγὼ δέ σε τοῦτο δὴ μόνον ἐπερωτῶ: ἐχρῆν σε μηδένα ἔχειν νοτάριον, ἀλλ' αὐτόφορτον ἐξιέναι καὶ αὐτοκόνδυλον (ἵν' οὕτως ἐρῶ), ἢ κἂν γε ἡμίτομον γραφέα, ἢ σκιάν τινα ὑπογραμματεύοντος; Ἐρεῖς ὡς ἔδει τὸ δεύτερον. Διατί οὖν μὴ ὁ ἐμὸς ἀλλ' ἕτερος ἀντὶ τοῦ ἐμοῦ σοι 15 προκέκριται; ὅτι τῶν εὖ ποιούντων ἡμεῖς, τῶν δὲ ὡς ἑτέρως ἕτεροι;

Ἀλλὰ μὴ παρὰ σοὶ κριτῇ τῶν κρειττόνων τὰ χείρω προτετιμήσθω. Σὺ μὲν οὖν, ὅ τί ποτε λογισάμενος, μετηλλοίωσας ἡμῖν τὴν φιλικὴν πλάστιγγα· ἐγὼ δὲ τῆς αὐτῆς ἔχομαι γνώμης, καὶ πάλιν πέπομφα τὸν νοτάριον, ἄνθρωπον—ἀλλὰ μηδὲν εἴποιμι φορτικόν· 20 αὐτὸς γὰρ ἂν γνοίης τοῦτον αὐθημερόν.

Τί δέ, ἐβούλου μὴ οὕτω πεποιηκότα ἔχειν μέ τινα δισταγμὸν περὶ σοῦ; Πολλοῦ γε καὶ δεῖ. Ἀπηναισχύντηκα γοῦν νῦν πρὸς σέ, ἵνα μὴ αὔριον σὺ ἀπερυθριάσειας πρὸς ἡμᾶς. Σὺ δὲ ὅρα ὅ τι πεποί-

4–5 εἰ – σοι: cf. Hom. Od. 11,315–316 Ὄσσαν ἐπ' Οὐλύμπῳ μέμασαν θέμεν, αὐτὰρ ἐπ' Ὄσσῃ / Πήλιον εἰνοσίφυλλον ‖ **7** ὁ – οὐρανόν: cf. e.g. Suda α 4368 Ἄτλας: ὁ μυθευόμενος τὴν γῆν καὶ τὸν οὐρανὸν βαστάζειν ... καὶ παροιμία· Ἄτλας τὸν οὐρανόν cum CPG I 207 (nr. 67) et II 149 (nr. 57); cf. Π 159,10–11 et Π 129,5–7 ‖ **10** ὁ βασιλεύς: Constantinus X Ducas (imperator: 23/24.XI.1059 – 22/23.V.1067) (Π XVIII)

ep. 262 L 61v–62r; tit. L K-D ‖ **21** αὐθήμερον prop. Dölger

25 ηκας, ἄνδρα πενθοῦντα καὶ τῶν λογισμῶν ἐπιλελησμένον πρὸς σοφιστείαν ἄγων καὶ πιθανότητα. Ἀλλ᾽ οὐ μᾶλλον ἐπιλέλησμαι, οὐ μακρολογήσω δὲ περὶ τοῦ νοταρίου. Ἀλλὰ τοσοῦτον προστίθημι: ὁπότε δὴ τοῦτον ὁρῴης, μνημονεύοις ἐμοῦ, ἵνα κἀγὼ δι᾽ αὐτοῦ, ἐν μνήμῃ σε τίθεμαι, καὶ οὗτος δι᾽ ἐμοῦ, ὠφελείας τυγχάνῃ
30 τινός.

263. Τῷ κριτῇ τοῦ Αἰγαίου ⟨Νικολάῳ τῷ Σκληρῷ⟩

eodem tempore ut Π 261 et 262

S 25 [P]

Ἀλλ᾽ οὔτε μοι ὁ νοῦς ἐκεῖνος ὁ γεννῶν, γλυκύτατον τέκνον καὶ περιώνυμον, τὰς γενναίας ἐπιστολάς, ἀπέσβη δέ μοι καὶ τὸ πῦρ τῆς γλώττης, καὶ εἴ τι δὲ ἔτυχον ἐξ Ἀττικῶν λειμώνων δρεψάμενος τῇ τοῦ βεστάρχου ὥρᾳ διαρρυείσῃ συναπελήλυθε· μετὰ
5 γὰρ τῶν χαρίτων ἐκεῖνός μοι τέτακται καὶ ζῶν τε καὶ τεθνηκώς.

Ἀλλ᾽ ἐκεῖνος μὲν ἀπολωλὼς ἔτι ταῖς ὥραις συνηρίθμηται· καὶ τὸ διαρρυὲν αὐτοῦ μεστὸν τῆς ἄνθης ἐστίν. Ἐμοὶ δὲ καὶ ζῶντι, ὀλίγη μὲν ἡ πνοή, ὁ δὲ πυρσὸς τῶν λόγων διέσβεσται· κἄν τι λέγειν τῶν συνήθων ἐπιχειρήσω, εὐθὺς ἐπικλύζεταί μοι τοῖς
10 δάκρυσιν ἡ ψυχὴ καί, δεινῶς ταραττόμενος, οὐδέν τι σοφώτερον γράφειν δεδύνημαι.

Περὶ δὲ ὧν ἐπέσταλκας, ἐβουλόμην μὲν ὑπηρετῆσαί σου τοῖς ἐπιτάγμασι, διὰ ῥᾳδίας δέ μοι ἡ ἐπὶ τὰ τοιαῦτα τῶν ὀργάνων ὁδός, ἀπὸ τῶν γεωμετρικῶν ὑποθέσεων τὰς ἀρχὰς τῶν σχημάτων
15 ἠκριβωκότι. Ἀλλ᾽ ὅ μοι τὸ ἐπιστόλιον δούς, ὥσπερ ἐνέχυρον

25 ἄνδρα πενθοῦντα: cf. Π 261,18 ἀκορέστως πενθεῖν et Π 263,9–11 ἐπικλύζεταί μοι τοῖς δάκρυσιν ἡ ψυχή, καὶ δεινῶς ταραττόμενος οὐδέν τι σοφώτερον γράφειν δεδύνημαι ‖ **4** τοῦ βεστάρχου: Anastasius Lizix († ca. a. 1060 [Sideras 1994,135–136]; ca. a. 1070 prop. Gautier 1978,86–91]), nepos Nicolai Scleri (Π LVII), πατρίκιος et βεστάρχης, de quo Psel. Ἐπιτάφιος εἰς ⟨Ἀναστάσιον⟩ = Or. fun. I 8, et Π 36,1, Π 85,5–6, Π 150,1, Π 207,24, Π 261,16, et Π 272,90 ‖ **9–11** ἐπικλύζεταί – δεδύνημαι: cf. Π 261,18 ἀκορέστως πενθεῖν et Π 262,26 ἄνδρα πενθοῦντα

ep. 263 L 66r–v, P 197r; tit. scripsi: τῷ κριτῇ τοῦ Αἰγαίου L om. P S **1–2** γλυκύτατον – περιώνυμον L: om. P S ‖ **13** δέ L: om. P S

ἀναδούς, αὐτίκα τὸ χρέος ἐπράξατο, μηδ' ἀναγνῶναι τὸ πᾶν τοῦ γράμματος ἐνδιδούς· οὐ γὰρ ἥκων ἐνεχείρισε τὴν ἐπιστολήν, ἀλλ' ἤδη ἀποδημῶν.

Σὺ δ' ἀλλὰ νῦν ὑγίαινέ μου μᾶλλον ἢ τὸ πρότερον· καὶ ἀναπλήρου μοι τὸν ἀπολωλότα ὀφθαλμόν, γιγνόμενος (εἴ γε 20 δύναιο) τοῦ δεξιοῦ δεξιώτερος.

264. Τῷ αὐτῷ

Τῷ κριτῇ τοῦ Αἰγαίου ⟨Νικολάῳ τῷ Σκληρῷ⟩

K-D 137 [L]

Τοῦτό σε πρὸ πάντων αἰτοῦμαι, συγγνώμην μοι παρέχειν εἰ πολλάκις σοι γράφω περὶ πολλῶν· τρία γάρ εἰσι τούτου τὰ αἴτια: οἱ ἀναγκάζοντες, ἡ ἐμὴ γνώμη μὴ ἀποστρεφομένη τινά, καὶ ἡ σὴ πρὸς ἡμᾶς φιλία.

Εἰ οὖν βούλει μὴ δέχεσθαι παρ' ἡμῶν ἀξιώσεις, ἄνελε τὰς 5 προτάσεις καὶ οὐδαμοῦ τὸ συμπέρασμα· ἢ τὰς ὁμολογουμένας ἀρχάς, καὶ οὐδαμοῦ ἡ ἀπόδοσις. Εἰ δὲ ἐρυθριᾷς τὰς τρεῖς ἀνελεῖν, πρὸς τήν γε μίαν ἀπερυθρίασον. Ἄλλαξον τὴν πρὸς ἡμᾶς σου χορδήν· καὶ ἀντὶ τοῦ συμφώνου, μελῴδησόν μοι παράφορον (τοῦτο δέ ἐστι: μετάβαλε τὴν φιλίαν εἰς μῖσος)· καὶ οὔτε τις τῷ ἐμῷ 10 πυλῶνι προσκαθεδεῖται, οὔτ' ἐγώ σου θυροκοπήσω διὰ γραμμάτων τὴν ἀκοήν.

Τί ποτε ταῦτα; Τὸ Αἰγαῖον ὁ παρὼν οὗτος οἰκῶν, μᾶλλον δὲ παροικῶν, ἐπεὶ τὴν προστασίαν τῆς πατρίδος αὐτοῦ ἀνεδέξω, βούλεταί σου κατὰ τοὔνομα, προστάτου τυχεῖν. 15

21 τοῦ – δεξιώτερος: cf. Greg. Naz. Περὶ τῆς ἐν διαλέξεσιν εὐταξίας = Or. 32,6 τοῦ δεξιοῦ ποιουμένη τι δεξιώτερον et Π 141,28 ‖ **5–6** τὰς – συμπέρασμα: termini ex Aristotelis Analyticis prioris et posterioris et e commentariis **6–7** τὰς – ἀπόδοσις: voces neoplatonicae ‖ **8–9** ἄλλαξον – χορδήν: cf. Π 62,22 μεταβάλλουσι τὰς χορδὰς, Π 68,34 ἄλλαξον χορδήν, Π 78,21–22 ἀλλακτέον ἡμῖν τὴν χορδήν, Π 108,21 ἄλλαττε τὴν χορδήν, et Π 254,28 ἄλλαξον καὶ αὐτὸς τὴν χορδήν

16 ἀναδούς P S: δούς L ‖ **19** ἢ L P: καὶ S ‖ **ep. 264** L 66v–67r; tit. L: ⟨τῷ κριτῇ τοῦ Αἰγαίου⟩ K-D

Τί ποτ’ οὖν αὐτῷ ποιήσεις; Ἀπαλλάξεις ἐπηρειῶν μιτάτων μονοπροσώπων; ποίας δεσπόζοντα γῆς, ὅς γε ἐπάγεται αὐτῷ τὴν σκηνήν. Ἀλλὰ τὰ τέλη συστείλῃς εἰς ἔλαττον; ὑπὲρ ποίας αὔλακος; ὑπὲρ ποίου οἰκήματος; τοσοῦτον γὰρ αὐτῷ τὸ περιὸν τῆς πενίας,
20 ὅτι καὶ αἱ ἀφορμαὶ ἐπιλελοίπασι τοὺς μέλλοντας τοῦτον εὐεργετεῖν. Μία χάρις αὐτῷ, ἀφικνεῖσθαι πρὸς σέ, καὶ ἀξιοῦσθαι σῆς ὁμιλίας· εἰ δέ που τις παρεμπέσοι καιρός, καὶ ὠφελείας τινός. Καὶ οὐ λέγω εἰς ὑπηρεσίαν τοῦτον προσκεῖσθαί σοι, ἀλλ’ εἰ βούλει ποτὲ θεματικοῖς προστάξεις ἐγχειρίσαι τινάς, ἔστω καὶ οὗτος τῶν
25 ἐπιταχθησομένων, γραμματικός τε ὢν (ὡς λέγει) καὶ ἔμπειρος περὶ τὰ τοιαῦτα.

265. Τῷ κριτῇ τοῦ Αἰγαίου ⟨Νικολάῳ τῷ Σκληρῷ⟩
a. 1064/1065 [cf. Oikonomidès 1960,64]

S 79 [P]

Περὶ πολλῶν καὶ ἄλλων ἠξίωσα τὴν ὑπέρτιμόν σου ψυχήν, ἀλλ’ οὐχ οὕτως ἐκείνων μοι μέλει, ὡς τῆς ἱερᾶς τοῦ μητροπολίτου Κυζίκου ψυχῆς· ἔστι γὰρ ὁ ἀνήρ, ὡς ἂν καὶ αὐτὸς εἰκάσαις ἰδών, πλήρης μὲν θείας ἁπλότητος, καὶ οἷος ὁ Ξηροχωραφίτης ἐκεῖνος,
5 ὃν μάλιστα τῶν ἄλλων πεφίληκα, μεστὸς δὲ συνέσεως, καὶ τῆς ἀρχιερεῖ πρεπούσης τάξεώς τε καὶ καταστάσεως, καὶ διὰ ταῦτα ἀγαπώμενος ἐμοὶ καὶ τιμώμενος.

Εἰ μὲν οὖν ἐμὲ ἀποχρῶντα οἴει πρὸς ἀρετῆς κατανόησιν, μηκέτι πλέον ἐξετάσεις περὶ τοῦ ἀνδρός, ἀλλ’ ἐμοὶ λέγοντι πίστευ-
10 σον, ὡς ἔστι φίλος θεῷ· εἰ δ’ οὖν, αὐτὸς δοκίμασον καὶ εὑρήσεις ὡς οὐ διημαρτημένος ἐγὼ τῆς περὶ τούτων κρίσεως.

Τὸ δ’ ἐπὶ τούτῳ ἐστίν, οὐ τιμῆσαι μόνον τὸν ἄνδρα, ἀλλὰ καὶ ὠφελῆσαι τὸν δυνατὸν τρόπον. Ἦν μὲν γὰρ καὶ πάλαι ἡ θρυλλουμένη αὕτη μητρόπολις ἐκλελειμμένον (ἵν’ οὕτως εἴπω) ὑπὸ τῆς

2–3 τῆς – ψυχῆς: Romanus? (de quo cf. Π LIV)

16 μιτάτων L: μετὰ τῶν K-D μετάτων Drexl 1941 (corr. Dölger) ‖ **17** αὑτῷ scripsi: αὐτῷ L K-D ‖ **ep. 265** L 54v–55r, P 206r–v; tit. scripsi: τῷ κριτῇ τοῦ Αἰγαίου L om. P S ‖ **9** μηκέτι L: μηδέν τι P S ‖ **10** ὡς[1] L: καὶ ὡς P S **11** τούτων L: τοῦτον P S ‖ **12** τούτῳ L: τούτοις P S

ἀνωμαλίας τῶν χρόνων ἐρείπιον· κατασείσαντος δὲ οὕτω πέρυσι 15
τοῦ θεοῦ, τὸ πᾶν αὕτη τοῦ τρυγίου τῆς τοῦ θεοῦ ὀργῆς ὑπεδέξατο.
Δεῖται οὖν συχνῆς χειρὸς διορθουμένης αὐτήν. Ἀλλ' ἡμεῖς οὐκ
ἀξιοῦμεν σε προσθεῖναί τι ταύτῃ, ἀλλὰ μὴ ὑφελεῖν τι τῶν αὐτῆς.
Δεῖ μὲν γὰρ καὶ τῶν δημοσίων θησαυρῶν φροντίζειν σέ, δεῖ δὲ
μᾶλλον τοῦ τιμαλφεστάτου θησαυροῦ τῆς ψυχῆς, καὶ πρὸ ταύτης 20
τοῦ θεοῦ καὶ τῶν θείων ναῶν· εἰ δ' οὖν—ἀλλὰ μὴ ἀκουσάτω τοῦ
λόγου τὸ δημόσιον ταμιεῖον. Μὴ πάντα τοῖς ἐκείνου θησαυροῖς,
ἀλλὰ πρόσθες τι καὶ τοῖς ἄνω σηκοῖς, καὶ ἀπάρξαιό γε ταύτης τῆς
ἀρετῆς ἀπὸ τῆσδε τῆς μητροπόλεως, ἧς ὁ κάλλιστος οὗτος ἀνὴρ
καθέστηκε πρόεδρος. 25

266. ⟨Τῷ κριτῇ τοῦ Αἰγαίου⟩
⟨Νικολάῳ τῷ Σκληρῷ (?)⟩

S 95 [P]

Ἀβυδηνὸς μὲν οὐκ εἰμί, φίλτατε ἀδελφέ, μηδὲ εἴην διὰ τὴν
παροιμίαν καὶ τὸ δεινὸν «ἐπιφόρημα», ὥσπερ οὐδὲ Ἰταλός, οὐδὲ
Ἀθηναῖος, οὐδὲ Αἰγύπτιος, οὐδέ σου τὸ Αἰγαῖον ἐπίσταμαι
πέλαγος, ἀλλ' οὐδὲ ἑτέρας ἔφυν πόλεως, ἢ τῆς τοῦ Βύζαντος.
Εἰσποιοῦμαι δὲ πάσαις μὲν οἰκίαις, πάσαις δὲ κώμαις, πάσαις δὲ 5
πόλεσι, πᾶσι δὲ ἔθνεσι. Καὶ οἰκειοῦταί με, ὥσπερ τὸν ποιητήν,
νῦν μὲν ἡ Χίος, νῦν δὲ ἡ Σάμος, νῦν δὲ ἄλλο τι χωρίον τῶν
Εὐρωπαίων, ἢ τῶν Ἀσιανῶν· καὶ με προϊστῶσιν αὐτῶν, ὥσπερ
οἰκιστὴν ἢ πολιοῦχόν τινα, νῦν μὲν κατ' ἄνδρα ἕκαστος, νῦν δὲ

15–16 κατασείσαντος – θεοῦ[1]: 23.IX.1063 (cf. Oikonomidès 1960,64) ‖ **16** τοῦ[2] – ὀργῆς: Greg. Naz. Ἐπιτάφιος εἰς τὸν πατέρα … = Or. 18,25 θεοῦ μὲν ὀργῆς τρυγίαν τινὰ καὶ πιστεύομεν καὶ ἀκούομεν ‖ **1–2** Ἀβυδηνὸς – ἐπιφόρημα: cf. Suda α 100 ὅταν ἀκαίρως τινὸς ἐπιφανέντος ἀηδία τις ᾖ, εἰώθαμεν λέγειν Ἀβυδηνὸν ἐπιφόρημα cum CPG I 1 (nr. 1) et II 1 (nr. 1); cf. etiam Karath. 48 **6** ὥσπερ – ποιητήν: cf. e.g. Suda o 251 Ὅμηρος ὁ ποιητής … ὁμοίως δὲ καὶ τὴν πατρίδα ἀμφίβολος διὰ τὸ ἀπιστηθῆναι ὅλως εἶναι θνητὸν τῷ μεγέθει τῆς φύσεως. οἱ μὲν γὰρ ἔφασαν γενέσθαι Σμυρναῖον, οἱ δὲ Χῖον, οἱ δὲ Κολοφώνιον, etc… . ὁ αὐτὸς παραχειμάζων ἐν τῇ Σάμῳ …

16 τοῦ[2] – ὀργῆς P S: τῆς τοῦ θεοῦ ὀργῆς τοῦ τρυγίου L ‖ **18** σε L: om. P S ὑφελεῖν L: ἀφελεῖν P S | αὐτῆς L: αὐτοῦ P S ‖ **23** ἀλλὰ L: om. P S ‖ **ep. 266** P 211r, O 202r–v; tit. scripsi ⟨τῷ κριτῇ τοῦ Αἰγαίου?⟩ S

10 κατὰ πόλιν ἕκαστοι, ἢ ὁμοῦ τι σύμπαντες. Δύναμαι δὲ παρὰ πᾶσιν, ὁπόσα ὑμεῖς κατὰ μέρος, καὶ (ἵνα τι σεμνολογήσωμαι) οὐκ εἰς ὀφρῦν δὲ ἀνάγω τὸν λόγον, ἀλλ' εἰς ἤθους χρηστότητα. Ἄρχων ἀρχόντων εἰμί· καὶ ὥσπερ οἱ φιλόσοφοι τὴν ἀρχιτεκτονικὴν ἐπιστήμην ἐπὶ τοῖς πολιτικοῖς λόγοις παραλαμβάνουσιν εἰς
15 παράδειγμα, ἑτέραις τέχναις κελευομένην καὶ ἐπιτάττουσαν, οὕτω δὴ καὶ αὐτὸς ὑμῖν γίνομαι. Πλὴν τοσούτῳ διαφέρω τοῦ ἀξιώματος, ὅτι οὐκ ἐπιτάττω, ἀλλ' ἀξιῶ. Ὥσπερ δὴ καὶ νῦν περὶ τοῦ τὴν ἐπιστολὴν δόντος ποιοῦμαι πρὸς σέ· ἐπιξενοῖ γάρ με καὶ οὗτος, μόνον οὐ τὸν παῖδα κατακόψας ὥσπερ ὁ μῦθος ἔχει περὶ
20 τοῦ Πέλοπος, ἀλλά μοι τοὺς ἀκριβεστάτους τῶν φίλων εἰς κοινὴν συμπαραθέμενος ἐκλιπάρησιν. Βούλεται δὲ τοσοῦτον αὐτῷ παρ' ἐμοῦ γενέσθαι, ὥστε γνῶναί σε ὅτι τε φιλῶ τοῦτον, καὶ ὅτι βούλομαι γενέσθαι τι αὐτῷ ἀγαθόν.

Τοῦτο οὖν αὐτὸ παρ' ἐμοῦ ἔχε μαθών· εἰ γὰρ καὶ τοῖς μὴ
25 ἀξιώσασιν ὀφείλω τὸ πρᾶγμα, πῶς ἂν τῷ ἀνδρὶ ἀπαρνήσωμαι, τοσοῦτον καὶ διὰ τοσούτων με εἰς φιλανθρωπίαν ἑλκύσαντι; Ἄλλως τε δὲ οὐδὲ μέγα τί μοι δοκεῖ τὸ ἀξιούμενον καὶ ὑπέρσεμνον, καὶ διὰ τοῦτο εὐθέως κατένευσα. Εἰ δ' ἴσως λανθάνει με μέγιστον ὄν, αὐτὸς ἂν ἐνδείξαιο, τὸν ἄνδρα οἰκειωσάμενος· τοῦτο
30 γὰρ αὐτῷ τῆς ἀξιώσεως τὸ κεφάλαιον.

12–13 ἄρχων ἀρχόντων: cf. Num. 3,32 καὶ ὁ ἄρχων ἐπὶ τῶν ἀρχόντων, Deut. 33,5 καὶ ἔσται ἐν τῷ ἠγαπημένῳ ἄρχων συναχθέντων ἀρχόντων λαῶν, et e.g. Greg. Naz. Εἰς Γρηγόριον Νύσσης = Or. 11,2 ὁ μὲν ἄρχων ἀρχόντων, καὶ ἱερεὺς ἱερέων ‖ **13–15** ὥσπερ – ἐπιτάττουσαν: cf. Aspas. In Eth. Nic. 4,28–5,7 et 6,1–5 δόξειε δ' ἄν, φησί, τῆς κυριωτάτης καὶ μάλιστα ἀριτεκτονικῆς· τοιαύτη δὲ ἡ πολιτική· ἔχει γὰρ τὰ ὑπάρχοντα τῇ ἀρχιτεκτονικῇ· καὶ γὰρ προστάττει πάσαις ταῖς λοιπαῖς ἐπιστήμαις. cf. Psel. Περὶ αἰσθήσεως καὶ αἰσθητῶν = Phil. min. II 8 (17,7–15) et Π 118,23–24 ‖ **19–20** οὐ – Πέλοπος: cf. e.g. Ps.-Nonnus Συναγωγὴ … ἱστοριῶν … in Greg. Naz. Or. 4, hist. 4 ἡ κατὰ τὴν Πέλοπος κρεουργίαν et in Or. 39, hist. 9 ἡ περὶ τῆς Πέλοπος κρεουργίας

16 ὑμῖν O: lacunam indicavit P om. S ‖ **28** τοῦτο P O: ταῦτα S

267. ⟨Τῷ κριτῇ τῶν Αἰγαίου⟩
⟨Νικολάῳ τῷ Σκληρῷ (?)⟩

S 135 [P]

Εἴ τί σοι τῶν ἐμῶν μέλει, λογιώτατε ἀδελφέ (μέλει δὲ πάντως εἰ μὴ σαυτοῦ ἐπιλέλησαι), μελέτω καὶ τῆς μονῆς τῶν Ναρσοῦ· ὅπερ γάρ ἐστι τοῖς ἄλλοις ἡ πατρίς, τὸ περιεκτικώτατον τῶν ἄλλων χωρίων, τοῦτο ἐμοὶ ὡς ἐν μεγίστῃ μικρὰ ἡ μονὴ αὕτη· γεγέννημαι γὰρ περὶ αὐτὴν καὶ ἀνατέθραμμαι ἐν αὐτῇ, καὶ εἴωθα 5 τροφεῖα κομίζειν ἀεὶ τῇ ἀναθρεψαμένῃ. Οἱ δὲ μοναχοὶ οὐδ' ὡς οἰκήτορα μόνον τῆς μονῆς, ἀλλὰ καὶ ὡς κτήτορά με βιάζονται καὶ εἰσποιοῦνται ἑαυτοῖς. Ἐγὼ δὲ οἰκοδόμος μὲν οὐκ εἰμὶ τῆς μονῆς, κοσμήτωρ δὲ κατά γε τὸ δυνατόν· κοσμῶ δὲ οὐ χρώμασιν, ἀλλὰ συνεισφοραῖς τῶν γε προσηκόντων αὐτοῖς. 10

Σύμπνευσον οὖν μοι καὶ αὐτὸς τῇ περὶ τὴν μονὴν συμμαχίᾳ, καὶ τὴν ναῦν αὐτῶν ἀκύμαντον ἐπὶ Ἀτλαντικοῦ πελάγους διατήρησον, καὶ ἐλλιμένισον τῷ Πειραιεῖ, εἴ που μετὰ τοῦ ὀνόματος σώζοις τὴν ἀξίωσιν· εἰ δ' οὖν, εὐαγῶς διαβίβασον· ἢν δὲ δύνῃ, ἐπίταξον καὶ τοῖς κύμασιν, ἢ καὶ τοῖς πνεύμασι μὴ ἀθρόως 15 ἐμπεσεῖν τῇ ὁλκάδι. Οὕτως ἀβάπτιστος διατηρηθείης τοῖς πειρασμοῖς καὶ ἀκύμαντος τοῖς τῶν περιστάσεων κύμασιν.

268. Τῷ προέδρῳ Νικολάῳ τῷ Σκληρῷ
eodem tempore ut Π 269, Π 270, et Π 271

K-D 37 [L]

Τὸ μὲν γράμμα σου, λογιώτατε ἀδελφέ, ὁποῖον ὁ παρὰ τῷ

2 τῆς – Ναρσοῦ: monasterion, τῆς Θεοτόκου; cf. Janin 1969,197–198, Gautier 1976b, et Π 259,4, Π 260,1–2, et Π 261,1 ‖ **15** ἐπίταξον – κύμασιν: Luc. 8,24–25 ὁ δὲ διεγερθεὶς ἐπετίμησεν τῷ ἀνέμῳ καὶ τῷ κλύδωνι τοῦ ὕδατος ... τίς ἄρα οὗτός ἐστιν ὅτι καὶ τοῖς ἀνέμοις ἐπιτάσσει καὶ τῷ ὕδατι, καὶ ὑπακούουσιν αὐτῷ; cf. Π 200,32 ‖ **1–2** ὁ – δοθείς: cf. Hom. Il. 14,214–223 ἦ, καὶ ἀπὸ στήθεσφιν ἐλύσατο κεστὸν ἱμάντα / ποικίλον, ἔνθα δέ οἱ θελκτήρια πάντα τέτυκτο ... ἔπειτα ἑῷ ἐγκάτθετο κόλπῳ et Π 68,22–29

ep. 267 P 219r–v; tit. scripsi: ⟨τῷ κριτῇ τῆς Ἑλλάδος?⟩ S ‖ **ep. 268** L 20r–21r; tit. L K-D

ποιητῇ κεστός, παρὰ τῆς Ἀφροδίτης τῇ Ἥρᾳ δοθείς, ἢ μᾶλλον τὰ τοῦ Θρᾳκὸς Ὀρφέως ἐμμελῆ κρούματα. Ἐγὼ δὲ καὶ τῇ τοῦ Δαυῒδ κιθάρᾳ τοῦτο ἀπείκασα, πονηροῦ κατεπᾳδούσῃ πνεύματος. Ἀλλά 5 φασιν οἱ φιλόσοφοι ὅτι, τῷ δρῶντι, ἐπιτηδειότατον δεῖ τὸ πάσχον εἶναι· τοῦτο δὲ πολλάκις οὐ παρὰ τὴν φύσιν ἀμφοτέρων, ἀλλὰ καὶ παρὰ τὸν καιρόν, καθ' ὃ τὸ ποιοῦν ἀσθενεῖ τε καὶ εὐσθενεῖ, καὶ τὸ πάσχον ὑπείκει τῷ δρῶντι ἢ ἀντιτυπεῖ.

Τοιοῦτος οὖν ὁ παρὼν καιρός, ἀντίθετος τοῖς σοῖς μέλεσιν ὤν. 10 Οἶμαι δὲ καὶ τὸν Ὀρφέα, μὴ πάντοτε πρὸς τὴν δρῦν καὶ τὴν πίτυν δύνασθαι, μὴδ' ὑφέλκειν τοὺς θῆρας τῇ τῆς ᾠδῆς ἁρμονίᾳ, ἀλλ' ὁπηνίκα τὰ μὲν δένδρα ἁπαλώτερα ὄντα ἐτύγχανεν, οἱ δέ γε θῆρες, τῆς θοίνης παυσάμενοι, καὶ τῆς ἐπὶ τῷ θηρᾶν ἀγριότητος, εὐδιάσειστα τὰ ὦτα παρεῖχον τῷ μελουργῷ. Ὅτι μὲν γὰρ ἡμερό- 15 τητος πλήρης ἡ τοῦ βασιλέως ἡμῶν ψυχή, ἀμφότεροι συμφωνήσαιμεν· ἀλλ' ὁ βάρβαρος, ἀλλ' ὁ πόλεμος, ἀλλ' ἡ πρὸς τοῦτον παρασκευή, ἀλλ' αἱ περὶ τῶν στρατευμάτων φροντίδες, καὶ τὸ δεῖν πόρρω τῶν βασιλείων ἱππάσασθαι, καὶ τἆλλα, οὐκ ἀφῆκαν αὐτῷ ἐπὶ τῆς ἕξεως τὴν πραότητα· ὅθεν οὐδ' εὐπαράδεκτος τούτῳ πρὸς 20 ἑτέρους λόγους ἡ ἀκοή. Ἀλλ' εἰ μὲν ᾖ τις κομίζων γωρυτόν, ἢ παλτόν, ἢ συνηρμοσμένον θώρακα, ἢ βέλος ἐπτερωμένον, ὁ δὲ αὐτίκα προτείνει τὴν χεῖρα, καὶ τὴν ἀκοὴν τῷ λέγοντι δίδωσι, καὶ

2–3 τὰ – κρούματα: cf. e.g. Them. Χαριστήριος τῷ αὐτοκράτορι … 209c5 τοῖς κρούμασι τοῖς Ὀρφέως cum Psel. Ἐγκώμιον εἰς τὸν … Ἰωάννην τὸν Κρουστουλᾶν ἀναγνόντα ἐν τῇ Ἁγίᾳ Σορῷ = Or. min. 37,166–168 et Π 63,5–6 et Π 76,49–50 ‖ **3–4** τῇ – πνεύματος: I Reg. 16,23 καὶ ἐγενήθη ἐν τῷ εἶναι πνεῦμα πονηρὸν ἐπὶ Σαουλ καὶ ἐλάμβανεν Δαυιδ τὴν κινύραν καὶ ἔψαλλεν ἐν τῇ χειρὶ αὐτοῦ, καὶ ἀνέψυχεν Σαουλ, καὶ ἀγαθὸν αὐτῷ, καὶ ἀφίστατο ἀπ' αὐτοῦ τὸ πνεῦμα τὸ πονηρόν ‖ **5–6** τῷ – εἶναι: cf. e.g. Iambl. Περὶ τῶν αἰγυπτίων μυστηρίων 4,8,5–11 … ἡ δὲ κατ' ἐπιτηδειότητα τοῦ ποιοῦντος πρὸς τὸ πάσχον πολυειδὴς ποίησις et Procl. In Alc. 122,7–9 … τῶν δὲ τὴν κατ' ἐπιτηδειότητα δύναμιν προειληφότων. διττὴ γὰρ ἡ δύναμις, ἡ μὲν τοῦ ποιοῦντος, ἡ δὲ τοῦ πάσχοντος. cf. Π 269,15 ‖ **10–14** τὸν – μελουργῷ: cf. e.g. Ps.-Nonnus Συναγωγὴ … ἱστοριῶν … in Greg. Naz. Or. 4, hist. 77,1–3 Ὀρφεὺς γέγονε μουσικός, Θρᾷξ τὸ γένος, ὃς λέγεται ὅτι οὕτω προσηνῶς ᾖδεν ὥστε ἐπακολουθεῖν τῇ ᾠδῇ αὐτοῦ τὰς δρῦς καὶ τῶν ζῴων τὰ ἄλογα, καὶ τοὺς λίθους, καὶ τοὺς ποταμούς cum Psel. e.g. Στίχοι ἰαμβικοὶ εἰς τὴν τελευτὴν τῆς Σκληραίνης = Poem. 17,111 et Π 63,19–26, Π 111,97–98, et Π 248,18–19 **15** τοῦ βασιλέως: Constantinus X Ducas (imperator: 23/24.XI.1059 – 22/23.V.1067) (Π XVIII)

χειροῦταί τις ἐντεῦθεν εὐκόλως τὸν αὐτοκράτορα. Εἰ δ' ἐπιδιδοίη τις τούτῳ γραφήν, ἢ ἄλλο τι τοιοῦτον προσάγοι, ἀτεχνῶς ἐπιμύει τὰ ὄμματα· κἂν προσενέγκῃς καὶ τὸν ἔμψυχον λόγον, ἐπιζυγοῖ 25 καὶ τὴν ἀκοήν· κἂν ἀναγκάσῃς ἰδεῖν ὅ τι θέλοις ἢ τι περὶ τούτου ἐρεῖν, ἴδοι μὲν ἴσως, ἀλλὰ λοξῇ τῇ κόρῃ, καὶ εἴποι μέν, ἀλλ' ἐκμελὲς καὶ τραχύ.

Θαυμασίαν δὲ τὴν τοῦ καιροῦ δύναμιν ὁ ποιητὴς ἐπεδείξατο, ὑποκλίνας μὲν τῇ Ἥρᾳ τὸν Δία, ὁπηνίκα τοῦτον ὁ ἔρως ὑπέφλε- 30 γεν, ἐπεὶ δὲ ἐπαύσατο τοῦ ἐρᾶν, ὑπανάψας αὐτὸν ἐπὶ τὴν ἐρωμένην. Καὶ οἱ παρὰ τοῖς Ἰνδοῖς δὲ δράκοντες (λέγω δὲ οὐ τοὺς ἐλείους, ἀλλὰ τοὺς ὀρείους), κἀκεῖνοι γοῦν, πρὶν μὲν τὴν ἀκοὴν ἐπισχεῖν, εὐθήρατοι πρὸς τὴν γοητείαν εἰσίν, ἐπειδὰν δὲ τοὺς ἀκουστικοὺς πόρους συγκλείσωσιν, οὐδὲν πρὸς αὐτοὺς τὰ τῶν 35 γοήτων μειλίγματα.

Μὴ θαυμάσῃς δὲ εἰ πλήρης ἐλέους ψυχὴ ἐπὶ τὴν ἐναντίαν ἕξιν προτρέπεται αὐθωρόν· ἡ γὰρ φύσις αὕτη, ἔξω μὲν οὖσα τοῦ σώματος, ἀπαράδεκτός ἐστιν ἀλλοιώσεως καὶ τροπῆς· σώματι δὲ ποικιλίαν παντοδαπὴν ἔχοντι ἐνσκηνώσασα, καὶ ἀλλοιοῦται καὶ τρέπε- 40 ται, οὐ τοῖς συμφύτοις μόνον παθήμασιν, ἀλλὰ καὶ ὁπόσα ἔξωθεν ἐπιρρεῖ· ἔστι γὰρ αὕτη ἡ μεσότης, οὐ πρὸς ἀρετὰς μόνον καὶ κακίας, ἀλλὰ καὶ πρὸς τὰς ἐναντίας ἕξεις τῶν διαθέσεων.

Διὰ ταῦτα, φιλτάτη ψυχή, ταμιεύομαί σε τὸν ἐμὸν Ὀρφέα τῷ βασιλεύοντι, ἐν καιρῷ· καὶ οὔτε σου τὸν κεστὸν τούτῳ παρέδειξα, 45 οὔτε τὴν ἐμμελῆ λύραν ἐκίνησα, τὰς ἁρμονικὰς χορδὰς ἀναψάμενος, καὶ ἀναπετάσας αὐτῷ τὴν σὴν εὐγλωττίαν· τί γὰρ εἰ ἐγὼ μὲν τὸν λόγον ῥυθμίζω πρὸς ἐμμελεστέραν ἀνάγνωσιν καὶ ἐναρμόζω

30–32 ὑποκλίνας – ἐρωμένην: cf. Hom. Il. 14,292–353 et Π 68,22–29 **32–33** λέγω – ὀρείους: cf. Π 272,48–49 δρακόντων δὲ γένη περιέζωσται ἡ ἰνδικὴ ξύμπασα, ἀλλὰ τὸ μὲν ἰῶν ὄρειον, τὸ δὲ ἕλειον, τὸ δὲ ποτάμιον **32–36** οἱ – μειλίγματα: cf. Timoth. Gramm. Excerpta ex libris de animalibus 25,15–18 τούτους (scil. τοὺς δράκοντας) δὲ γοητεύοντες οἱ Ἰνδοὶ κοιμίζουσι καὶ ἀναιροῦσι καὶ ἀφαιροῦνται τοὺς λίθους· πολλάκις δὲ καὶ ὑπ' αὐτῶν εἰς τοὺς φωλεοὺς ἕλκονται οἱ θηρευταὶ καὶ ἀπόλλυνται. cf. Π 53,19

33 ἐλείους: τοὺς βαλτώδεις suprascr. L ‖ **42** αὕτη ex αὐτὴ corr. L ‖ **45** τὸν κεστὸν: τὸ γράμμα suprascr. L

τῇ ἀκοῇ, τῷ δὲ ἡ ψυχὴ τεθορύβηται; οὐ τοίνυν διολισθήσει τὸ
50 μέλος ὁμαλῶς πρὸς τὴν μήνιγγα, ἀλλὰ θυραυλήσει παρὰ τῇ
κοιλότητι τοῦ ὠτός. Τὴν μέντοι γε ἑτέραν κιθάραν ἣν ἐνηρμόσω
τῷ καίσαρι, ὑπέκρουσά τε ἡδέως τῷ θαυμασίῳ τούτῳ ἀνδρί· καὶ
αὐτίκα δακρύων αὐτῷ ῥεύματα τῶν ὀφθαλμῶν ἐξεχύθησαν.

Εὐτρεπίσμεθα οὖν ἄμφω, ἐγὼ μὲν ᾄσων, ὁ δὲ ἐπᾴσων τῷ
55 βασιλεῖ.

269. Τῷ Σκληρῷ Νικολάῳ

eodem tempore ut Π 268, Π 270, et Π 271

K-D 44 [L]; cf. Π 538,10–11

Εἶδον ἐγώ ποτε κεραυνόν, σοφώτατε καὶ περιπόθητε ἀδελφέ,
εὐφθάρτῳ ἐγκατασκήψαντα σώματι, καὶ μήτε διαφθείραντα
τοῦτο, μήτε τῷ προλαβόντι μολύναντα πνεύματι, εἶτα δὴ ἕτερον
ἐκ τῆς αὐτῆς ἀφειμένον χειρὸς καὶ μετὰ τῆς ἴσης δυνάμεως, καὶ
5 ἀντιτύπῳ προσραγέντα καὶ στερρῷ σώματι, καὶ ἢ διελόντα, ἢ τὸ
σύμπαν ἀποτεφρώσαντα. Εὐθὺς μὲν οὖν ἐθαύμασα εἰ, οὗ μὲν
ἰσχύειν ὑπείληπτο, οὐδὲν ἐπεπράχει, κατὰ δὲ τοῦ ἐναντίου,

49–50 οὐ – μήνιγγα: cf. Lucian. Ἀληθῆ διηγήματα 2,2 λείως … διολισθάνοντες et Περὶ τοῦ οἴκου 12,9 λείως … διολισθάνουσαν. cf. etiam Π 50,14–15 ῥᾷστα διὰ ταύτης τὸν ἐμὸν λόγον εἰς τὴν σὴν διολισθαίνειν ψυχήν et Π 187,54 οὐ διολισθαίνουσα λείως εἰς τὴν ψυχήν ‖ **49–51** οὐ – ὠτός: Synes. Cyren. Περὶ βασιλείας 29,27–28 θυραυλήσουσιν οἱ λόγοι περὶ τὰ ὦτα. cf. Psel. Χρονογραφία VII,171 (=VIIc7), Κατηγορία τοῦ ἀρχιερέως = Or. for. 1,1081–1083, Ἐγκώμιον εἰς τὸν … Ἰωάννην τὸν Κρουστουλᾶν ἀναγνόντα ἐν τῇ Ἁγίᾳ Σορῷ = Or. min. 37,285–286, Εἰς τὸ ‘τὸ γὰρ ἦν καὶ ἔσται …’ = Theol. I 87,84–85, et Π 208,62–64, Π 256,15–16, et Π 512,13–15 ‖ **52** τῷ καίσαρι: Ioannes Ducas (caesar: ca. a. 1059 sqq.) (Π XVII)

ep. 269 L 25v–26r; cf. excerptum καὶ τῷ ἐμπεφραγμένῳ … βρονταί (ll. 26–27) in a[5] 10r = Π 538,10–11 (L–D); tit. L K-D

μᾶλλον δεδύνηται. Ἐντυχὼν γοῦν τῷ ἐξηγητῇ τῆς παρὰ τὸ ὑπειλημμένον διαφορᾶς, τοσοῦτον ἐμεμαθήκειν ὅτι δεῖ τῷ θείῳ τούτῳ πυρὶ πρὸς τὸ δρᾶν, καὶ χρόνου τινός· ὅθεν παρὰ τὸ 10 ἐνδόσιμον σῶμα, ἐπεὶ διατρῖψαι τὸ πῦρ οὐκ ἐνῆν, ἡ τῆς ἐνεργείας οὐκ ἐγεγόνει ἰσχύς, ἀντιπεσὸν δὲ αὐτῷ τὸ ἀντίτυπον, ὁμοῦ τε χρόνον ἔπασχε βραχύν, καὶ ᾧ ἀντήρεισε, τούτῳ διέφθαρτο.

Ἐμοὶ δὲ καὶ τοῦτο πορισαμένῳ, καὶ ἄλλο τι ἐντεῦθεν συνῆκται, ὅτι δεῖ τῷ δρῶντι ἐπιτηδείου τοῦ πάσχοντος. Ἐμὲ γοῦν 15 αἱ βρονταὶ πτοοῦσι δεινῶς αὐτίκα καταρρηγνύμεναι, ἀλλ' οὐ τούς γε Γαλάτας (ὁ λόγος φησί)· καὶ οἱ κεραυνοὶ φοβερόν τι χρῆμα τοῖς ὀφθαλμοῖς, ἀλλ' οὐ τοῖς γε Ἰνδοῖς οὐδὲ τοῖς Αἰθίοψι· καὶ τοὺς Θεσσαλοὺς ἐξαπατῆσαι ὁ Σιμωνίδης οὐκ ἴσχυσεν, οὐχ ὡς εὖ κατεσκευασμένους, ἀλλ' ὅτι χείρους ἦσαν, ἢ ὥστε ἐκεῖθεν ἐξηπα- 20 τῆσθαι· καὶ ὁ συλλογισμὸς τὸν μὲν Ἀκαδημαϊκὸν πείθει φιλόσοφον, οὐ μὴν καὶ τὸν Πρωταγόρειον· καὶ οἱ περὶ προνοίας τοῦ Πλάτωνος λόγοι οὐ μάλα τι πρὸς τὸν Ἐπίκουρον δύνανται· καὶ ἡ τῆς τέχνης πειθὼ διατριβὴ τοῖς φιλοσοφοῦσίν ἐστι· καὶ τὸν συλλογισμὸν οὐκ οἶδεν ὁ ῥήτωρ, πλὴν ὅσον ἐνθυμούμενος τὴν ἑτέραν 25 ἀφίησι πρότασιν· καὶ τῷ ἐμπεφραγμένῳ τὸ οὖς, ἀηχόν τι χρῆμα πεφύκασιν αἱ βρονταί· καὶ ὁ πρὸς ὕλην ἐπεστραμμένος ἀπέστρα-

8–13 τῷ – διέφθαρτο: cf. Olympiod. In Mete. 202,2–11 ὁ κεραυνὸς οὐκ ἔχει τὸ καῖον· ... ἄλλος δὲ τούτου πάνυ ἐστὶ λεπτομερέστατος, ὡς ὀξύτατα διέρχεσθαι τὸ σῶμα καὶ μὴ καίειν ὅλως μηδὲ μελαίνειν· ... ἢ παχυμερεστέραν ἔχειν τὴν ὕλην τοῦ πρώτου, ὡς μὴ διιέναι ταχέως, ἀλλ' ἐμβραδύνειν καὶ μελαίνειν τὸ σῶμα· ... ἔστι δ' ὅτε καὶ καίει τὰ ἀντίτυπα σώματα ..., τὰ δὲ μανὰ διέρχεται ἀβλαβῶς cum Psel. Omn. doctr. 149 Περὶ κεραυνοῦ et Περὶ βροντῆς ... = Phil. min. I 22,12–16 ‖ **15** ὅτι – πάσχοντος: cf. e.g. Iambl. Περὶ τῶν αἰγυπτίων μυστηρίων 4,8,5–11 ... ἡ δὲ κατ' ἐπιτηδειότητα τοῦ ποιοῦντος πρὸς τὸ πάσχον πολυειδὴς ποίησις et Procl. In Alc. 122,7–9 ... τῶν δὲ τὴν κατ' ἐπιτηδειότητα δύναμιν προειληφότων. διττὴ γὰρ ἡ δύναμις, ἡ μὲν τοῦ ποιοῦντος, ἡ δὲ τοῦ πάσχοντος. cf. Π 268,5–6 ‖ **16–18** αἱ – Αἰθίοψι: Plut. Περὶ δεισιδαιμονίας 165d οὐ φοβεῖται ... οὐδὲ σεισμὸν ὁ ἐν Γαλάταις οὐδὲ κεραυνὸν ὁ ἐν Αἰθίοψιν **18–21** τοὺς – ἐξηπατῆσθαι: Plut. Πῶς δεῖ τὸν νέον ποιημάτων ἀκούειν 15d διὸ καὶ Σιμωνίδης μὲν ἀπεκρίνατο πρὸς τὸν εἰπόντα «τί δὴ μόνους οὐκ ἐξαπατᾷς Θετταλούς;» «ἀμαθέστεροι γάρ εἰσιν ἢ ὡς ὑπ' ἐμοῦ ἐξαπατᾶσθαι»

26 ab καὶ τῷ inc. excerptum Π 538,10–11 | καὶ – ἐμπεφραγμένῳ L K-D: τοῖς μὲν οὖν ἐμπεφραγμένοις Π 538,10 ‖ **27** post αἱ βρονταί des. excerptum Π 538,10–11

πται τῶν ἄνω θεωριῶν. Καλοὶ μὲν οὖν καὶ οἱ σοὶ λόγοι καὶ ἐξ ἀδάμαντος ἐφελκόμενοι δάκρυα, καλλίους δὲ ἴσως (καὶ αὐτὸς ἂν
30 συγχωρήσαις) οὓς ἐγὼ συντίθημι περὶ σοῦ· ἀλλ' (ἵνα μή τι φλαῦρον ἐρῶ) ὁ καιρὸς ἀντιπράττει ταῖς γλώτταις ἀμφοῖν. Καὶ ὅταν ὑπὸ μεσημβρίας ῥιγοῖ τις τῆς καταβολῆς ἐπελθούσης, οὐκ οἶμαι παρὰ τὸν ἥλιον τοῦτον ῥιγοῦν, ἀλλὰ παρὰ τὴν φύσιν τοῦ σώματος.

35 Σὺ μὲν οὖν καὶ γεγηρακότα με καθοπλίζεις, καὶ μονονοὺ τὴν Ἀχίλλειον ἐγχειρίζεις μελίαν, καὶ περιβάλλεις τῇ ἀσπίδι τοῦ Νέστορος· ἀλλ' ὅ γε Ἡρακλῆς αὐτός τε ἀκαταγώνιστος καὶ οἷς ἀντεμβάλλει ῥᾳδίως χειροῦται, καὶ πόρρωθεν δὲ καταδειμαίνει τῇ λεοντῇ.

40 Ἐγὼ μὲν οὖν ᾤμην ὅτι, ὥσπερ οἱ Κερκυραῖοι παρὰ τὸ συμμαχικῆς ἐστερῆσθαι δυνάμεως τῶν Κορινθίων ἡττῶντο, οὕτω δὴ καὶ αὐτός, τῷ μόνος τὸν περὶ σοῦ ἀγῶνα θαρρεῖν, καὶ μηδεμίαν συμμαχικὴν ἐπικτήσασθαι δύναμιν, μὴ κατορθοῦν ὅπερ βεβούλημαι. Αὐτὸ γοῦν τοῦτο καὶ διορθούμενος μετὰ τοῦ Τελαμωνίου
45 Αἴαντος, ἢ μᾶλλον μετὰ τῆς ἱερᾶς φάλαγγος τοῖς βασιλείοις προσέβαλον τείχεσι· καὶ (εἰ χρὴ τἀληθὲς ἐρεῖν) ἀμφότεροι τὴν περιβολὴν διελόμενοι, ἱκανῶς διεσείσαμεν, πολλαῖς ἐνδόντος ἡμῖν τοῦ πολιορκουμένου προφάσεσιν. Ἀλλὰ σὺ μὲν ἐβούλου παραυτίκα ἁλῶναι τὸν ἰσχυρόν, ὁ δὲ χρῆμά τι δυσκαταγώνιστον· καὶ γὰρ καὶ

28–29 καὶ[2] – δάκρυα: cf. e.g. Bas. Caes. Epist. 5,1,15–16 ταῦτα ποίαν ἀδάμαντος φύσιν οὐχ ἱκανὰ ἐκλῦσαι καὶ εἰς συμπάθειαν ἀγαγεῖν; cum Psel. Κατηγορία τοῦ ἀρχιερέως = Or. for. 1,2028–2029 καὶ οὐδεὶς ἐκεῖθεν ἀδαμαντίνην ἔχων καρδίαν ἀδακρυτὶ παρελήλυθεν. iunctura Pselli in Nic. Eugen. Ἀνάχαρσις ἢ Ἀνανίας 927–928 ταῦτα ... καὶ ἐξ ἀδάμαντος λίθου δάκρυον ἕλκειν ἰσχύοντα laudata ‖ **35–36** τὴν – μελίαν: Hom. Il. 21,174 μελίην Ἀχιλῆος. cf. etiam Psel. Συλλογαὶ διάφοροι καὶ ποικίλαι = Phil. min. II 13 (36,31–32) ‖ **35–37** σὺ – Νέστορος: cf. Greg. Naz. Epist. 52,1 ἐν μετοπώρῳ τὰ ἄνθη παρὰ τοῦ λειμῶνος αἰτεῖς καὶ γεγηρακότα ὁπλίζεις τὸν Νέστορα et Π 536,6–7 εἰ μὲν γεγηρακότα τὸν Νέστορα ὥπλιζον cum Hom. Il. 8,192 ἀσπίδα Νεστορέην ‖ **37–39** ὅ – λεοντῇ: cf. Π 280,56–57 Ἡρακλῆς αἱμυλίᾳ γλώττης καὶ λεοντῇ τοὺς ἀνθρώπους κατηγωνίζετο ‖ **40–41** οἱ – ἡττῶντο: Thuc. 1,31–55 ‖ **44–45** τοῦ – Αἴαντος: ad Ioannem Ducam (Π XVII) alludit; cf. Π 268,52 ‖ **45–46** τοῖς – τείχεσι: ad Constantinum X Ducam (imperator: 23/24.XI.1059 – 22/23.V.1067) (Π XVIII) alludit

38–39 τῇ λεοντῇ corr. Diam 304: τὴν λεοντῆν L K-D

ταῖς χερσὶν ἐμπίπτων τῶν τέως δοξάντων κεκρατηκέναι, 50
διολισθαίνει καὶ οὐχ ἁλίσκεται.

Εἰ γοῦν καὶ πάντα σοι τοῦ πίθου ᾤχοντο διαρρυέντα, ἀλλά γε
αἱ ἐλπίδες ὑπὸ τοῖς χείλεσι μεμενήκασι. Δεῖ δέ σοι μεγαλοψυχίας,
καὶ μὴ αὐτίκα ζητεῖν τὴν τῶν ἐλπισμένων συναγωγήν. Κἂν μὴ τὸ
πρόθυμον μεταβάλῃς καὶ τὸ ἄγαν τῆς ἐπιθυμίας, καὶ τὸ αὐτίκα 55
ἐθέλειν τὰ διαπτάντα συναγαγεῖν, σαυτόν τε κατατρίψεις τῶν
τέως ἀνεφίκτων ἐρῶν, κἀκεῖνα οὐδὲν ἧττον οἰχήσεταί σοι πτεροφυ-
ήσαντα.

270. Τῷ Σκληρῷ Νικολάῳ

eodem tempore ut Π 268, Π 269, et Π 271

K-D 63 [L]

Εἰ καὶ τοιοῦτον ἦν ἐμοὶ τὸ δύνασθαι περὶ σοῦ, ὥστε μὴ μόνον τὰ
εὐκόλως εἰκότα συνηγορῆσαί σοι, ἀλλὰ καὶ πᾶν ὁτιοῦν παθεῖν,
ὥστε τι ἐντεῦθεν τῶν συνοισόντων περιγενέσθαι σοι, οὐκ ἂν
παρῃτησάμην (νὴ τὴν ἱεράν σου κεφαλήν!), εἰ καὶ ὑπερορίαν
κατεκρίθην, ἢ τῆς χείρονος γενέσθαι χάριν σῆς ὑπολήψεως. 5

Τοσοῦτόν ἐστι ἐμοὶ τὸ περὶ σοῦ· καὶ γὰρ εἰ μὴ ἀδελφὸς ἦν, εἰ
μὴ φίλος ἀληθής, εἰ μὴ τῆς αὐτῆς σοι παιδεύσεως κεκοινωνηκώς,
ἄνθρωπος δὲ ἀλγεῖν εἰδώς, καὶ ἀλγυνομένοις συμπαθεῖν ἐπιστά-
μενος, οὐδὲν ὁτιοῦν τῶν δυσχερῶν ὑπὲρ σοῦ παρῃτησάμην παθεῖν.
Διὰ ταῦτα συγγίνωσκέ μοι, εἰ μή σοι τὰ βεβουλημένα συγκατα- 10
πράττομαι.

Τὸ γοῦν βραχὺ τοῦτο περὶ σοῦ δέξαι ἀγώνισμα, προοίμιον
ἴσως μειζόνων ἐσόμενον ἀγαθῶν· ὡς γάρ σου τὴν πολυστένακτον
ἐδεξάμην γραφήν, περιαλγήσας εὐθὺς τὴν ψυχήν, ἀφικόμην

52–53 πάντα – μεμενήκασι: cf. Hes. Ἔργα καὶ ἡμέραι 94–98 ἀλλὰ γυνὴ χείρεσσι πίθου μέγα πῶμ᾽ ἀφελοῦσα / ἐσκέδασ᾽, ἀνθρώποισι δ᾽ ἐμήσατο κήδεα λυγρά. / μούνη δ᾽ αὐτόθι Ἐλπὶς ἐν ἀρρήκτοισι δόμοισιν / ἔνδον ἔμεινε πίθου ὑπὸ χείλεσιν οὐδὲ θύραζε / ἐξέπτη. cf. Psel. Ἀλληγορία τοῦ παρ᾽ Ὁμήρῳ Ἰθακησίου ἄντρου = Phil. min. I 45,54–61 et Π 117,27–28 et Π 134,57–58

ep. 270 L 34r–v; tit. L K-D

15 ἑσπέρας πρὸς τὸν φιλάνθρωπον αὐτοκράτορα· καί πως τὸν περὶ σοῦ λόγον εὐμεθόδως καταβαλών, καὶ τέγξας τοὺς ὀφθαλμοὺς δάκρυσιν, ἀνῴμωξά τε ἐλεεινὸν καὶ περιπαθέστερον τὰς σὰς τύχας διηγησάμην. Ὡς δὲ συγκαμφθέντα εἶδον καὶ τὸν βασιλέα τοῖς ἐμοῖς πάθεσι, καὶ αὐτήν σου τὴν ἐπιστολὴν ὑπανέγνων αὐτῷ· ὁ δέ,
20 ὥς γε δὴ κατανενόηκε, μέσην τε δέδηκται τὴν καρδίαν, καὶ μικροῦ δεῖν καὶ δακρύων κρουνοὺς ἀφῆκε τῶν ὀφθαλμῶν.

Ὅσπερ δὲ ὁ ἐκείνου τρόπος, οὐκ εὐθύς σε τοῦ πελάγους ἀφήρπασε τῶν δεινῶν, οὐδὲ εἰς ἀκλύστους λιμένας ἀπήγαγεν, ἀλλὰ καὶ τῆς ἀνάγκης τοῦ ἀφικέσθαι σε εἰς τὸ Αἰγαῖον ἀπήλλαξε,
25 καὶ εἰς τὸ σὸν κτῆμα τὰ Μιτζὰ Καθαρὰ ἀπεληλυθέναι παρεκελεύσατο· καὶ γραφή σοι βασιλικὴ περὶ τούτου ἔσταλται. Εἰ δὲ μήτε ἐπιγέγραπται, μήτε αὐτίκα ἡ δωρεά σοι τοῦ κτήματος γεγένηται, μὴ περιαλγὴς τούτων ἕνεκα γένοιο· ἄμφω γάρ σοι μετὰ ταῦτα γενήσεται, καὶ ἥ τε δωρεὰ σταλήσεται, καὶ μετ᾽ ἐπιγραφῶν τὰ
30 προσκυνητά σοι πεμφθήσονται γράμματα· ἐγὼ γὰρ ἠρωτήκειν τὸ ἔνθεον αὐτοῦ κράτος περὶ τῆς δωρεᾶς, εἴ πως αὐτίκα καὶ γραφήσεται καὶ σταλήσεται· καὶ (νὴ τὴν ἱεράν σου κεφαλήν!) οὕτως μοι εἴρηκεν: «Οὐκ ἐλεεῖς τὸν ἄνθρωπον, καὶ πέμπεις πρὸς αὐτὸν αὐτίκα τὸ γράμμα, ἀλλὰ φροντίζεις δωρεᾶς ἢ ἐπιγραφῆς; ἐγὼ
35 γὰρ ἀμφότερα τούτῳ μετὰ ταῦτα παραμυθούμενος διορθώσομαι».

Ὑποτίθεμαι γοῦν σοι εὐγνωμονῆσαι ἐπὶ τῷ γεγενημένῳ· καὶ γράψον πρὸς τὸν αὐτοκράτορα γράμμα, ἁπλούστατον μέν, πάσης δὲ γέμον εὐχαριστίας· καὶ αἴτησαι τοῦτον καὶ τὴν δωρεὰν τοῦ κτήματος, καὶ τὸ μὴ δέχεσθαι ἀνεπίγραφα γράμματα. Κἀγώ σοι
40 πάλιν περὶ ἀμφοτέρων συναγωνίσομαι· καὶ οἶμαι μὴ διαμαρτεῖν σε τῶν αἰτήσεων.

15 τὸν[1] – αὐτοκράτορα: Constantinus X Ducas (imperator: 23/24.XI.1059 – 22/23.V.1067) (Π XVIII) ‖ **23** ἀκλύστους λιμένας: iunctura saepe laudata; cf. e.g. Opp. Ἁλιευτικά 1,226 ἐν ἀκλύστοισιν ἐεργομένη λιμένεσσι et 4,450 λιμένεσσι παρ᾽ ἀκλύστοισι et Plut. Περὶ τοῦ ὅτι μάλιστα τοῖς ἡγεμόσι δεῖ τὸν φιλόσοφον διαλέγεσθαι 778c7 ἐν ἀκλύστῳ λιμένι cum Psel. Χρονογραφία VI,72, Λόγος εἰς τὴν σταύρωσιν … = Or. hag. 3a,507, Ἐγκώμιον εἰς τὴν ἀποτομὴν … Ἰωάννου = Or. hag. 8,685, Σελέντιον … παρὰ … Μιχαὴλ τοῦ Δούκα = Or. min. 3,19, Ἱστορία σύντομος 62,26, et Π 189,33, Π 275,46–47, Π 288,34–35, Π 324,13, Π 467,5, et Π 548,12–13

16 τέγξας: βρέξας in marg. L ‖ **18** συγκαμφθέντα corr. K-D: συγκαφθέντα L

Ἐγὼ δὲ οὐχ ὡς μεγάλα δυνάμενος ἴσως τινὰς ὠφελῶ, ἀλλ' ὡς πλεῖστα βουλόμενος. Εἰ δὲ ἀφελὴς ἡ ἐπιστολή, μὴ θαυμάσης· πρὸς γὰρ ἀτυχοῦντα ἄνθρωπον περιττὸν ἡγοῦμαι σοφίζεσθαι.

271. Τῷ Σκληρῷ ⟨Νικολάῳ⟩

post Π 268, Π 269, et Π 270

K-D 56 [L]

Εἰ μὲν ἀποχρῶσά σοί ἐστι παρηγορία, σοφώτατε ἀδελφὲ καὶ ὑπέρτιμε, τὸ ἀφαιρεῖσθαί σε τὴν τοῦ Αἰγαίου ἀρχήν, τῷ μέρει τούτῳ σε παραμύθησον· γέγονας γὰρ ὅπερ βεβούλησαι, καὶ ταῦτα μετ' εὐμενείας βασιλικῆς καὶ πραότητος· τὴν γὰρ πρὸς ἐμέ σου ὑπαναγνοὺς τῷ φιλανθρώπῳ ἡμῶν βασιλεῖ σοφωτάτην ἐπιστολήν, 5 καὶ τὴν φωνὴν ἐπικλάσας, μᾶλλον δὲ εἰπεῖν τῆς ψυχῆς μοι πασχούσης ἀληθινῶς ἐφ' ἑκάστῳ μέρει τῶν ἀναγινωσκομένων, καὶ πιεζομένης ἄντικρυς, καὶ τὸ σῶμα συμπιεζούσης, ὥστε καὶ δάκρυα τῶν ὀφθαλμῶν ἀποθλίβειν, ἐπὶ τοιούτοις οὖν πάθεσι, τὴν ἐπιστολὴν ἀναγνούς, μικροῦ δεῖν καὶ αὐτὸν εἰς τὴν ἴσην 10 κατεβιασάμην συμπάθειαν, καὶ αὐτίκα σοι τὴν δέησιν ἀπελύσατο. Μὴ θαυμάσης δὲ εἰ μὴ καθαρῶς ἐξεικονίζει ἡ λύσις τὴν τοῦ λελυκότος συμπάθειαν· εἴθισται γὰρ τῷ ἀνδρὶ μή, ὥσπερ τῇ ψυχῇ ἀλγεῖν ἐπικέκλασται, οὕτω δὴ καὶ τῇ γλώττῃ συγκαταβαίνειν, ἀπόρρητον τὸ πάθος φυλάττοντι, καὶ μὴ αὐτίκα γνωστὸν τῷ 15 ἱκέτῃ, ἵνα μὴ πάντῃ τεθαρρηκὼς οὗτος, καταλύσῃ τὴν πρὸς ἐκεῖνον ἀναφοράν.

Ἀλλ' ὅπερ ἐγὼ βαθύτερον αὐτῷ καθεώρακα, τοῦτο δὴ ποιοῦμαί σοι ἔκφορον, ὅτι σοι καὶ ταῖς τύχαις συνήλγησε, καὶ τὸ χρῶμα μετήλλαξεν, ὅπερ ἐν ταῖς συμπαθείαις δεικνύειν εἴωθε, καὶ αὐτίκα 20 βεβούλευται φιλανθρωπότερον περὶ σοῦ, καὶ ὑπεψιθύρισέ τινι πρὸς οὗς, τῶν τὰς φιλανθρωπίας πεπιστευμένων, καὶ περὶ τοῦ ἀφαιρεθέντος σοι κτήματος ἐπύθετο πολλάκις ἐμοῦ, ποδαπόν τε εἴη, καὶ ὅτι μάλιστα τῶν ἐν ταῖς γεωργίαις ἀφθόνων, καὶ βουλόμενόν τι

5 τῷ – βασιλεῖ: Constantinus X Ducas (imperator: 23/24.XI.1059 – 22/23.V.1067) (Π XVIII)

ep. 271 L 31r–v; tit. scripsi: τῷ Σκληρῷ L K-D ‖ **24** ἀφθόνων scripsi: ἀφθόνως L K-D post ἀφθόνως lacunam prop. K-D

25 εἰπεῖν περὶ τούτου αὐτίκα αὖθις ἐπέσχε, καὶ ἐπηγγείλατο μὲν εὐθύς, τὸ δὲ τῆς εὐεργεσίας εἶδος ἐταμιεύσατο.

Οἶδα μὲν οὖν ὅτι σοι εἰς καρδίαν τὸ βέλος τῆς λύπης ἠρήρεισται, καὶ ἔδει τὸν ἰώμενον, τὸ βέλος πρότερον ἐξελεῖν, εἶθ' οὕτως τὸ τραῦμα μαλάττειν τε καὶ συνδεῖν. Ἀλλ' ἴσως ὁ τὴν ἰατρείαν
30 πεπιστευμένος τῶν ἡμετέρων σωμάτων τε καὶ ψυχῶν, ἀρχικωτέραις χρώμενος ἐπιστήμαις, οὐκ αὐτίκα τοῖς τετρωμένοις ἐπιχειρεῖ, ἀλλ' εἰδὼς ὅτε μὲν δεῖ καθαίρειν, ὅτε δὲ κενοῦν, καὶ ὅτε δεσμεῖν, ὅτε δὲ μαλάττειν, ἐς τοὺς ἐπιτηδείους καιροὺς καὶ τὰ εἴδη τῶν θεραπειῶν ἀναβάλλεται. Καὶ πᾶς μὲν νοσῶν, αὐτίκα βούλεται τοῦ
35 νοσοποιοῦ πάθους ἀπηλλάχθαι, καὶ ὁ τῷ νοσοῦντι προσκαθήμενος τοῦτο αὐτὸ τῷ νοσοῦντι, τὸ θεραπευθῆναι, ἐξαιτεῖ· ὁ δὲ ἐς τρίτην, καὶ ἐς τετάρτην, πολλάκις δὲ καὶ ὑπερενιαυτίζει.

«Μένε» οὖν «ἀτρέμας σοῖς ἐν δεμνίοις» (τοῦτο δὴ τὸ τῆς τραγῳδίας)· καὶ τὰς μερικωτέρας τέως ἰάσεις μὴ ἀπώθει, μέχρις
40 ἂν τῆς τελεωτέρας θεραπείας τύχῃς, καὶ τοῦ τε νοσήματος ἀπαλλαγῆς καὶ τοῦ συμπτώματος.

272. Τῷ κριτῇ τῶν Θρᾳκησίων ⟨Νικολάῳ τῷ Σκληρῷ (?)⟩ περὶ τῶν δηγματιζόντων ὄφεων

G[2] 19 [a[2]], Karp 2 [a[2]]

Εἰ μὲν ἑτέρων πασχόντων, ἀδελφὲ λογιώτατε, ἐπὶ τοῖς αὐτοῖς τῶν ὄφεων δήγμασι, καὶ ἐγκολπιζομένων μὲν τὰ θηρία, ἢ καὶ στεφανουμένων, εἶτα μέντοι γε πληττομένων, ὁ θαυμαζόμενος οὗτος, ἢ παντάπασίν ἐστιν ἀπαθής, ὡς μηδὲ τὴν ἐπιδερμίδα
5 διαιρεῖσθαι, ἢ διαιρεῖται μὲν τὸ σῶμα, οὐκ ἀλγύνεται δὲ τὴν καρδίαν, ἀλλ' ὥσπερ ἀντιπαθῆ τινα φύσιν κεκλήρωται, καὶ πρὸς τὰ κέντρα καὶ πρὸς τοὺς ἰούς, καὶ πρὸς τὰ δήγματα, ἀγαίμην ἂν

38 μένε – δεμνίοις: Eurip. Ὀρέστης 258

29 τραῦμα corr. K-D: τράμα L ‖ **ep. 272** a[2] 142r–145r; tit. scripsi (cf. ll. 89–90 τῇ ἀνεψιᾷ σου … τῇ τοῦ ἀποβεβιωκότος Λίζικος γαμετῇ): τοῦ Ψελλοῦ, τῷ κριτῇ τῶν Θρᾳκησίων περὶ τῶν δηγματιζόντων ὄφεων a[2] G[2] Karp
6 ἀντιπαθῆ scripsi: ἀντιπαθῶς a[2] G[2] Karp

καὶ αὐτός, οὐ μὴν δὲ καὶ λύσεως παντάπασιν ἀπορήσαιμι. Εἰ δ' ὥσπερ ἄθηρ μὲν ἡ Κρήτη ἱστορεῖται, οὕτω δὴ καὶ τὰ ἐν Ἰωνίᾳ θηρία οὐ τρέφει ἐν τοῖς ὀδοῦσιν ἰόν, ὥσπερ Ἀττικοὶ παρίαι, οὓς οἱ τελεσταὶ στεφανούμενοι, εὐίαζον τὴν διονυσιακὴν ἐκείνην φωνήν, τὶ θαυμάζεις, εἰ δεδοικότων ἄλλων τῶν ἀδήκτων θηρίων προσάψασθαι, οὗτος καὶ ἀπαιωρεῖται ταῦτα καὶ ταινιοῦται, καὶ περίκειται καὶ κατακεκόλπισται, τῷ ἐνδεεῖ τοῦ φρονήματος, περισσότερος τὴν τόλμαν γινόμενος; Εἰ δ' οὐχὶ τοῦτο, ἀλλ' οὗτος μόνος ἐν Ἰωνίᾳ κατατολμᾷ καὶ τῶν ὄφεων καὶ τῶν ἔχεων, τάχα δ' ἂν καὶ τῶν λυσσοδήκτων κυνῶν, ὅρα μήποτε μελαγχολικώτερον αὐτῷ τὸ ἐν ταῖς φλεψὶν αἷμά ἐστιν ἢ ὑπόπικρον, τῆς χοληδόχου μὲν ἐμπεφραγμένης αὐτῷ κύστεως, συναναδιδομένης δὲ χολῆς ἐν τοῖς ἀγγείοις τῷ αἵματι. Εἰ δὲ καὶ ὑπότραχυ τὸ δέρμα αὐτῷ, διὰ τοῦτο καὶ δυσδιαίρετον· αἰσθάνεται γὰρ καὶ τὰ ἄλογα ζῷα τῆς ἀνιώσης ποιότητος, καὶ οὐκ ἂν πίοι οὔτε πικρῶν πηγῶν, οὔτε ποταμῶν ἁλμυρῶν.

8–9 *εἰ δ' – ἱστορεῖται*: cf. Plut. Πῶς ἄν τις ὑπ' ἐχθρῶν ὠφελοῖτο 86c ἐπεὶ δὲ χώραν μὲν ἄθηρον ὥσπερ ἱστοροῦσι τὴν Κρήτην εὑρεῖν ἔστι cum Greg. Naz. Περὶ τῆς ἀνθρωπίνης φύσεως = Carm. 1,2,14,49 χώρην μέν τιν' ἄθηρον ἀκούομεν, ὥς ποτε Κρήτην. cf. etiam Arist. Περὶ θαυμασίων ἀκουσμάτων 836b27–29 ἐν Κρήτῃ λύκους καὶ ἄρκτους τούς τ' ἔχεις, ὁμοίως δὲ καὶ τὰ παραπλήσια τούτοις θηρία οὔ φασι γίνεσθαι διὰ τὸ τὸν Δία γενέσθαι ἐν αὐτῇ cum Aelian. Περὶ ζῴων ἰδιότητος 3,32 et 5,2 ‖ **10–11** *ὥσπερ – φωνήν*: cf. Dem. Περὶ στεφάνου = Or. 18,260 ἐν δὲ ταῖς ἡμέραις τοὺς καλοὺς θιάσους ἄγων διὰ τῶν ὁδῶν, τοὺς ἐστεφανωμένους τῷ μαράθῳ καὶ τῇ λεύκῃ, τοὺς ὄφεις τοὺς παρείας θλίβων καὶ ὑπὲρ τῆς κεφαλῆς αἰωρῶν, καὶ βοῶν 'εὐοῖ σαβοῖ,' καὶ ἐπορχούμενος 'ὑῆς ἄττης ἄττης ὑῆς' cum Ioann. Sic. In Hermog. Περὶ ἰδεῶν 384,9–20 «καὶ μὴν καὶ τὸ τοὺς ὄφεις τοὺς παρίας»· ὄφις ἐστὶν Ἀττικὸς ὁ παρίας, παρειὰς ἔχων μεγάλας· ἀβλαβὴς μὲν ἀνθρώποις εἰς δῆξιν, τῶν δ' ἄλλων ὄφεων ἀναλωτικός, ὡς Εὔδημος ὁ Ἀργεῖος ἐν τοῖς περὶ τῶν ῥητόρων ζητουμένοις φησίν· ... «ἐν δὲ ταῖς ἡμέραις τοὺς καλοὺς θιάσους ἄγων, διὰ τῶν ὁδῶν τοὺς ἐστεφανωμένους τῷ μαράθῳ καὶ τῇ λεύκῃ καὶ τοὺς ὄφεις τοὺς παρίας θλίβων καὶ βοῶν, εὐοῖ, εὐοῖ»· «υἷις, υἷις, ἄττις, ἄττις»· ἐπιφωνήματα δὲ ταῦτα Διονυσιακά. cf. Π 111,141 et Π 488,63–64

8 λύσεως : λύσιν Karp ‖ **10** παρίαι (more byzantino) a²: παρεῖαι corr. G² Karp **11** τελεσταὶ corr. G² Karp: τελεταὶ a² | εὐίαζον corr. Lau,6: ἐβίαζον a² G² Karp **14** κατακεκόλπισται G² corr. Karp: κατακεκεκόλπισται a² | ἐνδεεῖ Karp: ἐνδεεὶ a² G² ‖ **15** περισσότερος G² corr. Karp: περισσώτερος a² ‖ **22** ποιότητος corr. G² Karp: πιότητος a²

Οἱ δὲ παρὰ φύσιν χυμοὶ τοῖς σώμασιν γίνονται μὲν καὶ διὰ
25 πνεῦμα ἀρχέγονον, ἐπὶ τῇ καταβολῇ τοῦ γεννῶντος σπέρματος,
καὶ προσάρματα δὲ πολλάκις πικρόχολα τὸ αἷμα παρανοθεύουσι.
Χαρακτηρίσαις δὲ τὸν ἐν τούτῳ χυμὸν τῷ φαινομένῳ τοῦ χρώματος, εἰ πελιδνὸν εἴη, εἰ χλωρόν, εἰ ὑπόπυρρον, εἰ πυρρόν. Τὰ μὲν
γὰρ σημεῖα λάβοις μελαίνης χολῆς, τὰ δὲ πληθούσης ξανθῆς. Οἷς
30 δὲ καὶ τὰ σπλάγχνα πεπύκνωται, ὡς μὴ ῥᾳδίως καθικνεῖσθαι
αὐτῶν τὸν ἰόν, ἐκείνοις ἐξεναντίωται πρὸς τὰ ἰοβόλα ἡ φύσις.

Οὐ πᾶν δὲ θηρίον ὀφιῶδες καὶ ἰοβόλον ἐστίν. Ἀλλ' ἡ μὲν
κανθαρὶς σκοτοδίνης πληροῖ τὸν προσενεγκάμενον αὐτίκα, καὶ
ἐλλιπέστερον αὐτῷ τὸ πνεῦμα ποιεῖ· ἡ δὲ βούπρηστις ἐξογκοῖ,
35 ὑδέρῳ παραπλησίως· ἡ δὲ σαλαμάνδρα οἰδίσκει τὴν γλῶτταν καὶ

27–29 χαρακτηρίσαις – ξανθῆς: cf. Aet. Λόγοι Ἰατρικοί v 45 κεχρωσμένον δὲ συμμέτρως τῷ χολώδει χυμῷ, τουτέστιν ὑπόπυρρον ... τούτων δὲ πονηρότερα τό τε ἄκρως πυρρόν, χολῆς γὰρ ξανθῆς ἀκράτου σημεῖον, τὸ δὲ μέλαν τῆς μελαίνης ἢ αἵματος αὐτόθι κατοπτηθέντος καὶ τὸ πελιδνὸν ψῦξιν καὶ νέκρωσιν τῶν ἐντὸς ἐνδεικνύμενον cum Psel. Πόνημα ἰατρικὸν ἄριστον δι' ἰάμβων = Poem. 9,431–441 ‖ **32–34** ἡ – ποιεῖ: Paul. Aeg. Epit. med. 5,31 τοῖς τὴν κανθαρίδα προσενεγκαμένοις ... λειποθυμίαις τε καὶ ἄσαις καὶ σκοτοδίνῳ περιπίπτουσιν. cf. Ps.-Diosc. Περὶ δηλητηρίων … 1 et Eutecn. Παράφρασις εἰς τὰ Νικάνδρου Ἀλεξιφάρμακα 4 ‖ **34–35** ἡ – παραπλησίως: Paul. Aeg. Epit. med. 5,32 τοῖς δὲ βούπρηστιν πεπωκόσι δοκεῖ κατὰ τὴν γεῦσιν ὅμοιόν τι βρωμώδει συναισθάνεσθαι, παρακολουθεῖ δὲ ἄλγημά τε στομάχου καὶ κοιλίας σφοδρὸν ὄγκος τε τῆς κοιλίας, καὶ ὁμοίως ὑδρωπικοῖς. cf. Ps.-Diosc. Περὶ δηλητηρίων … 3 et etiam Eutecn. Παράφρασις εἰς τὰ Νικάνδρου Ἀλεξιφάρμακα 11 καὶ ὄγκος περὶ τὴν γαστέρα τούτου ἐγείρεται πολύς, καὶ τοῖς ὑδέρῳ περιπεπτωκόσιν ἔοικε τὴν χροιάν ‖ **35–36** ἡ – ἔκλυσιν: Paul. Aeg. Epit. med. 5,33 τοῖς δὲ σαλαμάνδραν λαβοῦσι παρέπεται γλώσσης φλεγμονὴ καὶ λαλιᾶς ἐμποδισμὸς καὶ τρόμος μετὰ νάρκης τινὸς καὶ ἐκλύσεως. cf. Ps.-Diosc. Περὶ δηλητηρίων … 4, Eutecn. Παράφρασις εἰς τὰ Νικάνδρου Ἀλεξιφάρμακα 20, et etiam Aet. Λόγοι Ἰατρικοί xiii = Περὶ δακνόντων ζῴων καὶ ἰοβόλων 56 παρέπεται δὲ τοῖς λαβοῦσι τὴν σαλαμάνδραν, γλώσσης φλεγμονή, διανοίας ἀποδισμός, τρόμος μετά τινος νάρκης καὶ ἐκλύσεως

26 πικρόχολα corr. Karp: μικρόχολα a^2 G^2 ‖ **28** ὑπόπυρρον corr. G^2: ὑπόπυρον a^2 Karp

νάρκην ἐμποιεῖ τῇ φύσει καὶ ἔκλυσιν· ὁ δὲ πιτυοκάμπης ἐκπυροῖ τὸ σῶμα· φρῦνος δὲ καὶ ἕλειος βάτραχος ἐπιφέρουσιν οἰδήματα σώματι, μετ' ὠχρότητος· Λίβυσσα ἀσπὶς τὸν πρὸς τὸ φύσημα αὑτῆς ἀποβλέψαντα ἀποκτείνει ῥᾷστα· γίνεται δὲ ἐν τῇ Λιβύῃ φαλάγγιον, ἐν μέσῃ τῇ γαστρὶ τὸ στόμα λαχόν, καὶ ἔστιν 40 ἀποκτεῖναι τάχιστον.

Ἡ δὲ τῶν Ἰνδῶν γῆ πολυφάρμακόν τι χρῆμα καὶ τῶν ἰοβόλων θηρίων πολύγονον· βόσκει δὲ ὄφεις, χρόας μὲν ἐοικότας πορφύρᾳ τῇ βαθυτάτῃ, λευκὴν δὲ προβεβλημένους τὴν κεφαλήν· καὶ δάκνειν μὲν ὄφις ἥκιστός ἐστιν, οὗ δ' ἂν κατεμέσῃ, τοῦδε τὸ μέλος 45 διασαπῆναι ἀνάγκη πᾶν. Σκορπίων δέ, ὁ μὲν ἄρρην ἐστὶ χαλεπώτατος, ὁ δὲ θῆλυς πραότατος. Δρακόντων δὲ γένη περιέζωσται ἡ ἰνδικὴ ξύμπασα, ἀλλὰ τὸ μὲν αὐτῶν ὄρειον, τὸ δὲ ἕλειον, τὸ δὲ ποτάμιον, ἰοβόλα δὲ οὐ ξύμπαντα· εἰ δὲ καὶ πάντα φαίη τις, ἀλλὰ

36–37 ὁ – σῶμα: Paul. Aeg. Epit. med. 5,34 πύρωσίς τε καθ' ὅλον τὸ σῶμα. cf. Ps.-Diosc. Περὶ δηλητηρίων … 2 et etiam Aet. Λόγοι Ἰατρικοί xiii = Περὶ δακνόντων ζῴων καὶ ἰοβόλων 53 τοῖς ὑπὸ Πιτυοκάμπης δηχθεῖσιν … πύρωσίς τε καθ' ὅλον τὸ σῶμα ‖ **37–38** φρῦνος – ὠχρότητος: Paul. Aeg. Epit. med. 5,36 φρῦνος δὲ ἢ ἕλειος βάτραχος προσενεχθεὶς ἐπιφέρει οἴδημα σώματος μετὰ ὠχρότητος. cf. Ps.-Diosc. Περὶ δηλητηρίων … 31, Eutecn. Παράφρασις εἰς τὰ Νικάνδρου Ἀλεξιφάρμακα 21, et etiam Aet. Λόγοι Ἰατρικοί xiii = Περὶ δακνόντων ζῴων καὶ ἰοβόλων 58 οἴδημα δὲ παρέπεται μετ' ὠχρότητος ‖ **38–39** Λίβυσσα – ῥᾷστα: Aelian. Περὶ ζῴων ἰδιότητος 3,33 ἡ Λίβυσσα δ' ἀσπίς, ἀκούω, τὸν πρὸς τὸ φύσημα αὐτῆς ἀντιβλέψαντα τυφλοῖ τὴν ὄψιν· ἡ δὲ ἄλλη οὐ τυφλοῖ μέν, ἀποκτείνει δὲ ῥᾷστα ‖ **39–41** γίνεται – τάχιστον: Aelian. Περὶ ζῴων ἰδιότητος 3,36 τὸ φαλάγγιον …γίνεται δὲ ἐν τῇ Λιβύῃ, καὶ ἔχει πόδας μικρούς· στόμα δὲ εἴληχεν ἐν μέσῃ τῇ γαστρί, καὶ ἔστιν ἀποκτεῖναι τάχιστον. cf. Π 485,19 φαλάγγιον ἰοβόλον ‖ **42–46** ἡ δὲ – πᾶν: Aelian. Περὶ ζῴων ἰδιότητος 4,36 ἡ τῶν Ἰνδῶν γῆ … πολυφάρμακόν τε καὶ τῶν βλαστημάτων τῶνδε δεινῶς πολύγονον εἶναι … οὗτος ὁ ὄφις … χρόαν δὲ ἔοικε πορφύρᾳ τῇ βαθυτάτῃ. λευκὴν δὲ κεφαλὴν … καὶ δάκνειν μὲν ἥκιστός ἐστι … οὗ δ' ἂν κατεμέσῃ, ὡς ἀκούω, ἢ ἀνθρώπου τινὸς ἢ θηρίου, τοῦδε τὸ μέλος διασαπῆναι ἀνάγκη πᾶν ‖ **46–47** σκορπίων – πραότατος: Aelian. Περὶ ζῴων ἰδιότητος 6,20 σκορπίων μὲν ὁ ἄρρην ἐστὶ χαλεπώτατος, ὁ δὲ θῆλυς δοκεῖ πραότερος ‖ **48–49** τὸ[1] – ποτάμιον: cf. Π 268,32–33 λέγω δὲ οὐ τοὺς ἐλείους, ἀλλὰ τοὺς ὀρείους

36 πιτυοκάμπης (more byzantino) a²: πιτυοκάμπτης corr. G² Karp **38** Λίβυσσα corr. Karp: Λίβυς καὶ a² G² ‖ **39** ἀποκτείνει corr. Karp: ἀποκτένει a² corr. ἀποκτέννει G² ‖ **40** στόμα corr. Karp: σῶμα a² G² ‖ **45** οὗ δ' : οὐδ' G² **48** αὐτῶν : ἰῶν Karp

50 τὰ μὲν αὐτίκα ἀναιρεῖ, τὰ δὲ οὐκ ἐξεμεῖ τὸν ἰόν, ἢ ἀναβάλλεται τὴν ἀναίρεσιν. Γνοίης δ' ἂν ἰδιαίτερον ὄφιν, εἰ τὸν στόμαχον αὐτοῦ ἴδοις λεπτὸν καὶ μακρόν, ἀδηφάγον τε καὶ παμβορώτατον· ἀνίσταται δὲ καὶ ὀρθῶς, καὶ ἐπ' ἄκρας ἵσταται τῆς οὐρᾶς, ἄπους δὲ ὤν, εἶτα ἕρπει ὤκιστα.

55 Γράφω δὲ ταῦτα, οὐχὶ πολυμαθεῖ σοι πεποιημένος ἐπίδειξιν, ἀλλ' ὅτι μὴ πᾶς ὄφις ὀλέθριον, μηδὲ παντὸς σκορπίου θανατηφόρον τὸ κέντρον. Τὸ δέ γε λοιπόν, εἰ καὶ ἀπὸ τῶν αὐτῶν ἅπαντες στοιχείων ξυγκείμεθα, εἴτε κενῶν καὶ ἀτόμων ὡς Δημοκρίτῳ δοκεῖ, εἴτε ὄγκων καὶ πόρων ὡς Ἀσκληπιάδης, εἴτε τῶν 60 πολυθρυλλήτων τεσσάρων, μετὰ τοῦ νείκους καὶ τῆς φιλίας, ὡς Ἐμπεδοκλῆς δοξάζει ἐν ἔπεσιν, εἴτ' ἐξ ὁμοίων μερῶν, ὡς Ἀναξαγόρας φησίν, εἴθ' ἑτέρων τινῶν ἀρχῶν (τί γὰρ δεῖ καταλέγειν ξυμπάσας τὰς τῶν φυσικῶν δόξας;), εἰ γοῦν ἐκ τῶν αὐτῶν ἅπαντες, ἀλλ' οὐκ ἐπὶ τοῖς αὐτοῖς ὁμοίως πάθεσιν, ἢ διὰ τὰς διαφόρους 65 γενέσεις, ὡς Σέξτῳ δοκεῖ τῷ Πρωταγορείῳ, ἢ διά τινας αἰτίας ἐν τοῖς σπλάγχνοις κειμένας, ἢ διὰ φύσεως ἰδιοτροπίαν.

51–54 τὸν – ὤκιστα: Aelian. Περὶ ζῴων ἰδιότητος 6,18 οἱ ὄφεις ἑαυτοῖς συνεγνωκότες τὸν στόμαχον λεπτὸν καὶ μακρὸν ἔχουσιν, ὅμως ὄντες ἀδηφάγοι καὶ παμβορώτατοι, ὡς Ἀριστοτέλης λέγει, ἀνίστανται ὀρθοὶ καὶ ἐπ' ἄκρας τῆς οὐρᾶς ἑστᾶσι, καὶ ἡ τροφὴ κατολισθάνει αὐτοῖς, καὶ ἐς τὸν ὄγκον τοῦ σώματος ἀποχωρεῖ· ἄποδες δὲ ὄντες εἶτα ἕρπουσιν ὤκιστα **57–62** εἰ – ἀρχῶν: cf. Sext. Emp. Πυρρώνειαι ὑποτυπώσεις 3,31–32 οἱ δὲ περὶ τὸν Ἐμπεδοκλέα καὶ τοὺς Στωικοὺς πῦρ ἀέρα ὕδωρ γῆν ... Δημόκριτος δὲ καὶ Ἐπίκουρος ἀτόμους, Ἀναξαγόρας δὲ ὁ Κλαζομένιος ὁμοιομερείας, ... Ἡρακλείδης δὲ ὁ Ποντικὸς καὶ Ἀσκληπιάδης ὁ Βιθυνὸς ἀνάρμους ὄγκους cum Psel. Εἰς τὸ ῥητὸν τῆς πρώτης ὁμιλίας τῆς Ἑξαημέρου ... = Theol. I 6,69–95 ‖ **64–65** διὰ – γενέσεις: Sext. Emp. Πυρρώνειαι ὑποτυπώσεις 1,40 ... λόγον καθ' ὃν ⟨παρὰ⟩ τὴν διαφορὰν τῶν ζῴων οὐχ αἱ αὐταὶ ἀπὸ τῶν αὐτῶν ὑποπίπτουσι φαντασίαι. τοῦτο δὲ ἐπιλογιζόμεθα ἔκ τε τῆς περὶ τὰς γενέσεις αὐτῶν διαφορᾶς καὶ ἐκ τῆς περὶ τὰς συστάσεις τῶν σωμάτων παραλλαγῆς **66–78** διὰ – ἐκινδύνευε: Sext. Emp. Πυρρώνειαι ὑποτυπώσεις 1,81–84 κατὰ δὲ ἰδιοσυγκρισίας διαφέρομεν ὡς ἐνίους κρέα βόεια πετραίων ἰχθυδίων ῥᾷον πέττειν καὶ ὑπὸ Λεσβίου οἰναρίου εἰς χολέραν περιτρέπεσθαι. ἦν δέ, φασίν, γραῦς Ἀττικὴ τριάκοντα ὁλκὰς κωνείου ἀκινδύνως προσφερομένη, Λῦσις δὲ καὶ μηκωνείου τέσσαρας ὁλκὰς ἀλύπως ἐλάμβανεν ... Ἀθηναγόρας δὲ ὁ Ἀργεῖος ὑπὸ σκορπίων καὶ φαλαγγίων ἀλύπως ἐπλήσσετο, οἱ δὲ καλούμενοι

55 πολυμαθεῖ corr. Karp: πολυμαθή a[2] πολυμαθῆ G[2] ‖ **58** κενῶν corr. G[2] Karp: καινῶν a[2] ‖ **63** γ' οὖν Karp

Ἔνιοι γοῦν κρέα βόεια πετραίων ἰχθύων ῥᾷον πέττουσι· καὶ Λέσβιος οἶνος ἕτερον εἰς χολέραν περιτρέπει· Ἀττική δέ τις γραῦς τριάκοντα ὁλκὰς κωνείου ἀκινδύνως προσεφέρετο· Λῦσις δὲ μηκωνείου τεσσάρων ἀλύπως ἐλάμβανεν· Ἀθηναγόρας δὲ ὁ Ἀργεῖος ὑπὸ 70 σκορπίων καὶ φαλάγγων ἀκινδύνως ἐπλήσσετο· οἱ δὲ ἀντιπέραν τῆς Μερόης παρὰ τὸν Ἀστάπουν ποταμὸν οἰκοῦντες Αἰθίοπες σκορπίους καὶ ὄφεις καὶ τοὺς παραπλήσια ἀκινδύνως ἐσθίουσι· τοὺς δὲ Τεντυρίτας (ἔθνος δὲ οὗτοι Αἰγύπτιον) παρίασιν οἱ κροκόδειλοι· τοὺς δὲ καλουμένους Ψυλλεῖς δάκνουσι μὲν ὄφεις καὶ 75 ἀσπίδες, οὐ βλάπτουσι δέ· Ῥουφῖνος δὲ ὁ Χαλκιδεύς, πίνων ἐλέβορον ὥσπερ τι τῶν συνήθων προσφερόμενος ἔπεττε· Χρύσερμος δὲ ὁ Ἡροφίλειος, εἴ ποτε πέπερι προσηνέγκατο, καρδιακῶς ἐκινδύνευε· Τιβέριος δὲ ὁ καίσαρ ἐν σκότῳ ἑώρα· ἱστορεῖ καὶ Ἀριστοτέλης Θάσιόν τινα ᾧ ἐδόκει ἀνθρώπου εἴδωλον πρὸ τῶν ὀφθαλμῶν διὰ 80 παντὸς φαίνεσθαι.

Οὕτως ἐνίοις εἰσὶν ἰδιότητες ἄρρητοι. Ἐμοὶ τὸ φάρμακον ἡ ἀλόη δυσωδεστάτη ἁπάντων δοκεῖ, καὶ οὐκ ἂν αὐτῷ προσενέγ-

Ψυλλαεῖς οὐδ' ὑπὸ ὄφεων ἢ ἀσπίδων δακνόμενοι βλάπτονται, οἱ δὲ Τεντυρῖται τῶν Αἰγυπτίων οὐ βλάπτονται πρὸς τῶν κροκοδείλων. ἀλλὰ καὶ Αἰθιόπων οἱ ἀντιπέραν τῆς Μερόης παρὰ τὸν Ἀστάπουν ποταμὸν οἰκοῦντες σκορπίους καὶ ὄφεις καὶ τὰ παραπλήσια ἀκινδύνως ἐσθίουσιν. καὶ Ῥουφῖνος δὲ ὁ ἐν Χαλκίδι πίνων ἐλλέβορον οὔτε ἤμει οὔτε ὅλως ἐκαθαίρετο, ἀλλ' ὥς τι τῶν συνήθων προσεφέρετο καὶ ἔπεσσεν. Χρύσερμος δὲ ὁ Ἡροφίλειος εἴ ποτε πέπερι προσηνέγκατο, καρδιακῶς ἐκινδύνευεν ... Ἄνδρων δὲ ὁ Ἀργεῖος οὕτως ἄδιψος ἦν ὡς καὶ διὰ τῆς ἀνύδρου Λιβύης ὁδεύειν αὐτὸν μὴ ἐπιζητοῦντα ποτόν. Τιβέριος δὲ ὁ Καῖσαρ ἐν σκότῳ ἑώρα. Ἀριστοτέλης δὲ ἱστορεῖ Θάσιόν τινα ᾧ ἐδόκει ἀνθρώπου εἴδωλον προηγεῖσθαι αὐτοῦ διὰ παντός

68 χολέραν corr. Karp: χολαίραν a² χολέρας corr. G² ‖ **70** ἐλάμβανεν corr. Karp: ἐλάμβανε a² G² | Ἀργεῖος corr. Karp: Ἀρεῖος a² G² ‖ **71** ἀντιπέραν corr. Karp: ἀντιπέρας a² G² ‖ **74** Τεντυρίτας corr. G² Karp: Τιντυρίτας a² | παρίασιν corr. G² Karp: παρείασιν a² ‖ **75** καλουμένους corr. G² Karp: καλλουμένους a² Ψυλλεῖς (more byzantino; cf. Ps.-Zonar. Lex. Ψ 1875,20) a² G²: Ψυλλαεῖς corr. Karp ‖ **76–77** ἐλέβορον (more byzantino) a²: ἐλλέβορον corr. G² ἐλλέβορον corr. Karp ‖ **77** ἔπεττεν corr. Karp ‖ **78** Ἡροφίλειος corr. Karp: Ἡρόφιλος a² G² | προσηνέγκαιτο corr. Karp | ἐκινδύνευε G² corr. Karp: ἐκινδύνεβε a² **79** καίσαρ a²: καῖσαρ G² Karp ‖ **82** ἐνίοις εἰσὶν : ἐν ἰοῖς εἴσιν Karp **83** δυσωδέστατον Karp

κοιμι· εἷς δέ μοι τῶν περὶ τοὺς ἀγρούς, ὥσπερ ἐγκρυφίαν ἐσθίει, ἢ
85 ἰπνίτην, ἢ κλιβανίτην. Οἶδα δὲ καί τινα τῶν παρ' ἡμῖν ἐπιφανῶν,
οὗ τὸ ὄνομα ἑκὼν ὑπερβήσομαι, ὃς οὔτε ψύλλας οὔτε φθείρας
βόσκει τῷ σώματι· πόσους δὲ καὶ τεθέαμαι, ὃ σὺ θαυμάζεις ἴσως
ἅπαξ ἰδών, ὄφεις διὰ χειρὸς ἔχοντας, καὶ ὑπὸ τῷ κόλπῳ θερμαί-
νοντας; Νὴ τὴν ἱεράν σου κεφαλήν! ἔστι παρὰ τῇ ἀνεψιᾷ σου
90 γραΐδιον, τῇ τοῦ ἀποβεβιωκότος Λίζικος γαμετῇ, ὃ δὴ τοσοῦτον
ἐστὶ τοῖς ὄφεσι συνηθέστατον, ὅτι καὶ καθεύδουσα περιελίττει τὰ
θηρία τοῖς σπλάγχνοις, τὰ δὲ ἥδεται, ὥσπερ νεογιλὰ περιπλεκό-
μενα τὴν τροφόν.

Μὴ οὖν ἴσως καὶ τὰ Ἰωνικὰ ταυτὶ θηρία ἀδηκτότατά εἰσι τοῖς
95 προχειριζομένοις καὶ ἀλυπότατα; Εἰ δ' οὖν, ἐπιλέλυταί σοι τὸ
ἄπορον, ἔκ τε τῆς ἰδιοτροπίας, καὶ ἐξ ὧν προσφυῶς σοι ἠτυμολό-
γηκα.

LVIII. Ῥωμανὸς Σκληρός

273. Τῷ Σκληρῷ Ῥωμανῷ

ca. a. 1057 [cf. Seibt 1976[1],80]?

K-D 68 [L]

Ἔχοις καλῶς ὁ ἐμὸς καὶ ἀρχαῖος, καὶ νέος αὐθέντης, καὶ λίαν
καλῶς, καὶ πολλάκις τοῦτο, ἢ μᾶλλον ἀεί, ὅτι δὴ καὶ καλλίστη
τυγχάνεις ψυχή, καὶ τῷ κάλλει ταύτης ἀντιλάμπει λαμπρῶς τὸ
τοῦ σώματος. Ὅλος γοῦν τυγχάνων καλός, ἀπὸ τῆς ψυχῆς, ἀπὸ

84 ὥσπερ ἐγκρυφίαν: cf. III Reg. 17,13 καὶ εἶπεν πρὸς αὐτὴν Ηλιου ... ποίησον ἐμοὶ ἐκεῖθεν ἐγκρυφίαν μικρόν? cf. etiam Π 167,57–58, Π 327,13–16, et Π 372,9–10 ‖ **85–86** τινα – ὑπερβήσομαι: Sergios ⟨Hexamilites?⟩ (Π LVI) **86–87** ὃς – σώματι: cf. Psel. Πρὸς τὸν μαθητὴν αὐτοῦ Σέργιον εἰπόντα μήποτε δηχθῆναι ὑπὸ ψύλλης = Or. min. 26 ‖ **90** τοῦ – Λίζικος: Anastasius Lizix († ca. a. 1060 [Sideras 1994,135–136]; ca. a. 1070 prop. Gautier 1978,86–91]), nepos Nicolai Scleri (Π LVII), πατρίκιος et βεστάρχης, de quo Psel. Ἐπιτάφιος εἰς ⟨Ἀναστάσιον⟩ = Or. fun. I 8, et Π 36,1, Π 85,5–6, Π 150,1, Π 207,24, Π 261,16, et Π 263,4 ‖ **LVIII** Ῥωμανὸς Σκληρός: cf. Seibt 1976[1],76–85

84 τοὺς corr. G^2 Karp: τῶν a^2 ‖ **ep. 273** L 36v–37r; tit. L K-D

τοῦ σώματος, ἀπὸ τοῦ ἤθους, ἀπὸ τῆς γνώμης, ἀπὸ τῆς 5
μεγαλοπρεποῦς φύσεως, καὶ εὐγενοῦς προαιρέσεως, καὶ πάντων ἐν
μετουσίᾳ τῶν καλῶν γένοιο, τῶν τε κατὰ φύσιν, καὶ τῶν ὑπὲρ
φύσιν, τῶν τε αἰσθητῶν, καὶ νοητῶν, τῶν τε σωματικῶν, καὶ τῶν
ἀσωμάτων. Διατί γὰρ καλὸς ὢν τὸ σῶμα καὶ τὴν ψυχήν, μὴ διὰ
μὲν τὸ καλὸν σῶμα τὰ σωματικὰ εὐτυχήσεις καλά, διὰ δὲ τὴν 10
καλὴν ψυχὴν τῶν νοητῶν εὐμοιρήσεις καλῶν; ἀγαθὸν γὰρ τὸ θεῖον
καὶ ὑπερπλῆρες τῆς ἀγαθότητος, καὶ οὐκ ἐκ μέρους προχέει τῶν
ἀγαθῶν τὴν πηγήν, ἀλλὰ τοῖς ἐξ ὅλων τῶν μερῶν ἀγαθοῖς, ὅλην
ὑπερβλύζει τὴν ἀγαθότητα.

Διάγοις οὖν ἀλύπως, ζῴης εὐδαιμόνως, ὄναιο τῶν παμφόρων 15
σοι χωρίων, θηρεύοις ὁπόσα τῶν ζῴων βούλει, τοξεύοις ἐπιδεξίως,
κατευστοχοίης, ἄρκτων τε καὶ παρδάλεων, καὶ λεόντων αὐτῶν.
Ἐπὶ πᾶσι καὶ πρὸ πάντων, ἐναγκαλίζοιό μοι τὸν νέον Σκληρόν,
τὸ τοῦ σπλάγχνου σπλάγχνον, καὶ ἐνστερνίζοιο, καὶ καταφιλοίης
δι᾽ ὅλου τοῦ σώματος. Εἰ δὲ καὶ τῷ πάππῳ ἀπείκασται καὶ 20
ἠκρίβωκέ σου καὶ τοῦ σώματος τὴν μορφὴν καὶ τῆς ψυχῆς τὴν
ἰδέαν, τοῦτο δὴ δῶρον θεοῦ, καὶ κρεῖττον εὐχῆς. Εἰ δὲ καὶ ἐν
βραχεῖ σώματι ἀξιωματικὸν ἔχει τὸ ἦθος, καὶ ἀναφέρει πρὸς τὸ
γένος τὰς τῶν ὀμμάτων βολάς, τοῦτο ὑπερφυὲς τὸ εὐτύχημα.

Ἀλλ᾽ ἐγώ σοι οὔτε τὸν πάππον εἶδον, οὔτε τὸν πατέρα τεθέα- 25
μαι· ἡ φήμη δὲ τούτους γενναίους ἄνδρας καὶ εὐγενείας ἔχει ἀγάλ-
ματα. Σὲ δὲ ἰδὼν καὶ ἀκριβῶς εἰδώς, καὶ πολλάκις παρακύψας εἰς
τὴν ψυχήν σου, καὶ τὸν πρὸ τοῦ χρόνον τὰ κατὰ πάντων σοι
σχεδὸν ἐχαριζόμην πρωτεῖα· καὶ νῦν οὐδὲν ἔλαττον ὁπότε καὶ τῆς
τοῦ κολακεύειν ὑποψίας ἠλευθέρωμαι, τοῖς ἡμιθέοις ἐκείνοις 30
ἀπεικάζω σαφῶς. Εἰ γοῦν τὸν πάππον μόνον ἐξεικονίζει ὁ ἔγγο-
νος, μὴ κατηφὴς ἔστω εἰ τοῖς προπάπποις καὶ ἐπιπάπποις οὐκ
ἀφωμοίωται· τί γὰρ ἂν ἐκεῖνοι ἐπλεονέκτησαν τοῦ πᾶσαν ἔχοντος,

12 ὑπερπλῆρες – ἀγαθότητος: cf. e.g. Procl. Περὶ τῆς κατὰ Πλάτωνα θεολογίας 2,57,2–3 τῆς … ὑπερπλήρους ἀγαθότητος ‖ **24** τὰς – βολάς: cf. Hom. Od. 4,150 ὀφθαλμῶν τε βολαί, iunctura Homerica saepe laudata, cf. Psel. Ἐπιτάφιος εἰς τὴν ἑαυτοῦ μητέρα 548–549, Χρονογραφία V,28, Ἐγκωμιαστικὸς εἰς … Μιχαὴλ τὸν Κηρουλλάριον = Or. fun. I 1,58,43–44, et Π 184,48, Π 186,36, et Π 484,20–21 ‖ **25** τὸν πάππον: Romanus Sclerus (cf. Seibt 1976[1],60–65)?

15 ζῴης corr. K-D: ζώοις L

τήν τε πολιτικὴν καὶ στρατιωτικὴν ἀρετήν; Ἀλλὰ μηδὲ σκυθρω-
35 παζέτω, εἰ μὴ εὐθὺς τὸ πατρῷον, ἢ τὸ παππῷον ἀξίωμα ἔσχηκεν·
ἀνθήσει γὰρ αὐτίκα οἷα κυπάριττος, καὶ πολὺς αὐτῷ καὶ πρὸ τῆς
ἥβης ἐπιβρίσει καρπός, καὶ πρὸς τὰς τῆς ψυχῆς ὑπερβολὰς
αὐξηθήσεται. Ἐρριζώσθω μόνον· καὶ μήτε τις αὐτὸν περιδράμοι
ἄφθα, μήτε πονέσαι τὰ οὖλα, μὴ τὸ βρέγμα, μὴ τοὺς κροτάφους,
40 ταῦτα δὴ τὰ τοῖς παιδίοις ἐνοχλοῦντα παθήματα· ἀλλὰ ἀναβαίνοι
τε καὶ αὐξάνοιτο, κατὰ τὰ εὐθαλῆ τῶν φυτῶν καὶ ὑψίκομα.

LIX. Συνετός

μητροπολίτης Βασιλαίου

274. Τῷ μητροπολίτῃ Βασιλαίου Συνετῷ
post a. 1064 [cf. Grumel 1989,387–388, nr. 904]

K-D 32 [L]; cf. Π 538,12–21 et 31–41

Τί δέ μοι μετὰ τῶν περδίκων τὰ γράμματα, τιμία ψυχή; ἄνευ
γὰρ περδίκων οὐκ ἐξῆν; ἢ τὸ τῆς ἐπιστολῆς βάρος ταῖς τῶν
περδίκων ἐπελαφρύνεται πτέρυξιν; ἢ καὶ τὸ τῆς παροιμίας
ἐνταῦθα διαγινώσκεται, «αἴξ φορτίον ἀχθεινόν, ἐπίθετέ μοι τὸν
5 βοῦν»;

36 ἀνθήσει – κυπάριττος: cf. Psel. Χρονογραφία VII,80, Ἐπιτάφιος εἰς τὴν ἑαυτοῦ μητέρα 546, et Ἐπιτάφιος εἰς Εἰρήνην καισάρισσαν = K-D I 21 (159,14–15) ‖ **LIX** Βασιλαίου: scil. Iuliopolis Galatiae urbs; cf. TIB 4,181–182
4–5 αἴξ – βοῦν: proverbium, CPG II 592 (nr. 63c) οὐ δύναμαι τὴν αἶγα φέρειν κἀπιτίθετε μοι βοῦν. cf. etiam Π 538,15

38 αὐξηθήσεται corr. K-D: αὐξηνθήσεται L ‖ **39** ἄφθα corr. K-D: ἅφθα L
ep. 274 L 15v–16r; cf. duo excerpta τί δέ μοι … τὸ Βασίλαιον (ll. 1–16) et ἐκ παιδείας γάρ … μὴ ἐκεῖνος (ll. 16–25) in a[5] 10r = Π 538,12–21 et 31–41 (L–D); tit. L K-D ‖ **1** ab τί δέ μοι inc. excerptum Π 538,12–21 | τιμία ψυχή om. Π 538,12 ‖ **2** ἢ τεττίγων post περδίκων add. Π 538,13 | ἐξῆς a[5] L-D
3 ἐπελαφρίζεται Π 538,14 | ἢ om. Π 538,14 ‖ **4** διαγιγνώσκεται Π 538,15
ἀχθηνόν a[5] L-D

Τί δὲ καὶ καταψεύδῃ τοῦ Βασιλαίου, ὦ τοσοῦτον σὺ τὴν πενίαν ὑποκρινόμενε; Οὐκ εἰς γονὰς σπερμάτων ἐπιτηδεία; οὐκ αἰγίβοτος; οὐ τὴν πόαν δαψιλής; οὐ τὰ μὲν αὐτῆς ὄρεια, τὰ δὲ πεδιάδες ἱππήλατοι; Ἐγὼ δὲ οἶδα καὶ λουτροῖς αὐτόθι χρησάμενος, καὶ θερμοῖς αὐτομάτοις ἐπινηξάμενος. Καί μοι ὁ τηνικαῦτα πρόεδρος 10 καὶ θήλειαν ἵππον προσήνεγκεν, ἀκριβῶς μέλαιναν καὶ λιπόσαρκον, καὶ στρωμνὰς μαλακάς, αἷς τε ἐπικείμεθα καὶ αἷς ὑποκείμεθα. Εἰ μή που ἀθρόον πάντα μετέβαλε, καὶ ὀλύνθους ἡ ἄμπελος ἤνεγκεν;

Ἐγὼ δέ σοι πάντων παραχωρῶ, πλὴν τῶν ἐπιστολῶν· οὐ γὰρ 15 καὶ τούτων τὸν καρπὸν ἠλλοίωσε τὸ Βασίλαιον· ἐκ παιδείας γάρ, ἀλλ' οὐκ ἐκ πεδίων ἡ φορά, καὶ ἐκ ψυχῶν, ἀλλ' οὐκ ἐξ ὀρῶν. Σοῦ δέ γε ἕνεκα ἀναπληρωθεῖεν μὲν αἱ φάραγγες, διομαλισθεῖεν δὲ αἱ τραχύτητες, καὶ δρυπετεῖς γίνοιντο οἱ καρποί, καὶ «ἡ πίτυς ὄγχνας ἐνέγκοι» (τοῦτο δὴ τὸ βουκολικόν)· καὶ ἀπολαύοις αὐτῶν, 20 εἰ βούλει, καὶ πάντων καὶ μόνος καὶ κατὰ μόνας, καὶ φθόνος οὐδείς. Ἐμοὶ δὲ ἀρκεῖ τὰ βιβλία, καὶ ὅσα ἐκεῖθέν μοι φύεται. Κἂν ταῦτά τις ἀφέλοι, οὐ νεμεσήσω· στραφείην γὰρ αὐτίκα πρὸς τὸν

7–9 οὐκ – ἱππήλατοι: cf. Hom. Od. 4,605–607 ἐν δ' Ἰθάκῃ … / αἰγίβοτος, καὶ μᾶλλον ἐπήρατος ἱπποβότοιο. / οὐ γάρ τις νήσων ἱππήλατος οὐδ' εὐλείμων, … Ἰθάκη δέ τε καὶ περὶ πασέων ‖ **13–14** ὀλύνθους – ἤνεγκεν: Cant. 2,13 ἡ συκῆ ἐξήνεγκεν ὀλύνθους αὐτῆς / αἱ ἄμπελοι κυπρίζουσιν. cf. etiam Psel. Ἑρμηνεία τοῦ Ἄισματος … πρὸς τὸν … Μονομάχον = Poem. 2,550–554 et Π 538,17–18 ‖ **19–20** ἡ – ἐνέγκοι: Theocr. Θύρσις ἢ ᾠδή = Id. 1,133 καὶ ἁ πίτυς ὄχνας ἐνείκαι. cf. Π 284,47; cf. etiam Π 538,34

6–9 τί δὲ – ἱππήλατοι: om. Π 538 ‖ **10** ἐπινηξόμενος a[5] L-D ‖ **10–12** καί μοι – λιπόσαρκον: om. Π 538 ‖ **12–13** αἷς[1] – καὶ : om. Π 538 ‖ **12** αἷς[2] corr. K-D: οἷς L ‖ **14** ἤνεγκεν : ἤνεγκεν· ῥοδοφυὴς ὄρπηξ ἀντὶ κάλυκος ἡδυπνόου δυσώδη καρπὸν ἤνθησεν Π 538,18–19 ‖ **15** πάντα Π 538,19 | οὐ : καὶ Π 538,20 **16** ἠλλοίωσε – Βασίλαιον : ἠλλοίωσαν αἱ φιάλαι Π 538,20–21 des. excerptum Π 538,12–21 | ab ἐκ παιδείας γάρ inc. excerptum Π 538,31–41 ‖ **17** ψυχῶν : ψυχῶν καὶ εὐχρηστοτάτων ἠθῶν Π 538,32 | ὀρῶν : ὀρῶν καὶ πανδοχείων Π 538,32–33 (scripsi) ὅρων καὶ πανδοχείων a[5] L-D ‖ **18** δὲ om. Π 538,34 **19** γίνονται Π 538,34 ‖ **20** ὄχνας Π 538,35 | ἐνέγκει Π 538,35 | δὴ corr. K-D Π 538,35: διὰ L | ἀπολαύεις Π 538,36 ‖ **21** εἰ – πάντων : καὶ πάντων εἰ βούλει Π 538,36 | φθόνος : φθόνος τοῖς γε νοῦν ἔχουσιν ἐν τούτοις Π 538,37 ‖ **22** ἐμοὶ: ἡμῖν Π 538,37 | ὅσα – φύεται : ὁπόσοι ἐκεῖθέν μοι φύονται καρποί Π 538,38 **22–23** κἂν ταῦτά τις: κἀνταῦθα τίς Π 538,39

θεόν. Οὗ μέ τις οὐκ ἂν ἀφαρπάσοι ποτέ· ποῦ γὰρ ἀπενέγκοι, οὗ
25 μὴ ἐκεῖνος;

LX. Φερέβιος

μοναχός

275. Τῷ μοναχῷ Φερεβίῳ

eodem tempore ut Π 388 [vid. epistolarum ordinem in P]?

S 167 [P]

Ἔδει μέν, ἀδελφὲ Φερέβιε, μήτε ἀναγνῶναι τὸ φλύαρόν σου γραμμάτιον καὶ πάντῃ ἀνοητότατον, μήτε πρὸς τοῦτο ἀπολογήσασθαι. Ἀλλ' ἐκεῖνο μὲν ἠπατήθην (ᾤμην γὰρ μετριοφρονῆσαί σε καὶ παρακαλεῖν ὥστε καθόδου τυχεῖν),
5 ἀντιγραφῆς δὲ ἐμῆς σε ἀξιῶ, οὐ δι' ἄλλο τι, οὐδὲ βουλόμενος πρὸς τὴν σὴν ἐπιστολὴν ἀντιφλυαρεῖν (μὴ γὰρ τοσοῦτον τῶν φρενῶν ἐκσταίην, μηδὲ τῶν βιβλίων ὀναίμην ἐφ' οἷς ὁ σύμπας ἐμοὶ βίος ἐστί, μηδὲ τῆς πνευματικῆς φιλοσοφίας, ἧς τὸ μέν τι τετύχηκα, τὸ δὲ βουλοίμην ἄν, τὸ δὲ ἐν προθύροις εἰμί, τὸ δὲ ψιλὰς ἐκείνης
10 εἰσδέδεγμαι τὰς φωνάς), ἀλλ' ἵνα μὴ δοκῇς εἶναί τις ἀπὸ τῆς ἀναισχυντίας καὶ ἰταμότητος.

Ἑταῖρε Φερέβιε, πολλὰ δοκεῖ καμεῖν τὸν εὐθυδρομοῦντα πρὸς ἀρετήν, ὥστε ἐς τὸ τῆς παρρησίας εἶδος ἀναδραμεῖν· οὐ γάρ ἐστι

6–7 μὴ – ἐκσταίην: cf. Psel. Ὑπὲρ τοῦ νομοφύλακος κατὰ τοῦ Ὀφρυδᾶ = Or. for. 3,129, Μονῳδία ἐπὶ Ῥωμανῷ ῥαιφερενδαρίῳ = Or. fun. I 9,2,34–35, Εἰς τὸ παροιμιακὸν … 'ἡ σοφία ᾠκοδόμησεν …' = Theol. I 7,97 et Π 113,13, Π 167,13, Π 251,27, et Π 503,1–2 ‖ **7–8** μηδὲ – φιλοσοφίας: Synes. Cyren. Epist. 43,37 οὕτω τῆς ἱερᾶς φιλοσοφίας ὀναίμην. cf. Π 76,6–7, Π 112,84, et Π 201,66–67 ‖ **9** ἐν προθύροις: cf. Plat. Φίληβος 64c1 τοῦ ἀγαθοῦ νῦν ἤδη προθύροις cum Plot. V,9,2,25–26 et Procl. e.g. In Tim. **II** 267,20–21 et Psel. Ἐγκωμιαστικὸς εἰς … Μιχαὴλ τὸν Κηρουλλάριον = Or. fun. I 1,30,12–13, Ἐγκώμιον εἰς Ἰωάννην … Εὐχαΐτων … = Or. pan. 17,144–145, et Περὶ τῶν ἰδεῶν ἃς ὁ Πλάτων λέγει = Phil. min. II 33 (113,12) et Π 103,26–27 et Π 125,100–101

24 ἀφαρπάσει Π 538,40 | ἀπενέγκοι : ἀπενέγκοι μοι Π 538,40–41 ‖ **25** ἐκεῖνος: des. excerptum Π 538,31–41 ‖ **ep. 275** P 227r–228r; tit. P S

τοῦ παντός, οὐδὲ τῶν προχείρων καὶ ἐν μέσῳ κειμένων, ὥστε καὶ
βασιλεῖς ἐλέγχειν βούλεσθαι, καὶ ἀρχιερέων καθάπτεσθαι, καὶ 15
νομοθέτην ἅπασι γίνεσθαι, καὶ φυλοκρινεῖν ἑκάστῳ τό τε λεγόμε-
νον καὶ πραττόμενον, ἀλλ' ἢ θεοῦ μόνου τοῦ καὶ καρδίας ἐμβατεύ-
οντος καὶ νεφροὺς δοκιμάζοντος, καὶ τὸ τῆς ψυχῆς βάθος ὅσον
ἐστὶν ἄνωθεν ἐποπτεύοντος, ἢ τοῦ θεῷ προσανέχοντος καὶ
θεωροῦντος τὰ ἄδυτα καὶ ἐντὸς τοῦ καταπετάσματος ἱσταμένου, 20
καὶ ἀπὸ τῶν ἐν τῷ ἱλαστηρίῳ σημαινομένων τοῦ μέλλοντος
λαβόντος τὴν πρόγνωσιν, καὶ ἄνωθεν ἕλκοντος τοῦ λόγου τὴν
δύναμιν.

Εἰ δέ τις πόρρωθεν τῶν θείων σεβασμάτων ἑστήκοι, καὶ οὐδ'
ὅσον ἐν προτεμενίσμασιν, ἀλλ' οὐδὲ περιρραντηρίων ἢ καθαρσίων 25
ἠξίωται, οὐδὲ τὸν νοῦν τῷ πνεύματι προεκάθηρεν, οὗτος εἴ τι
λέγοι νομοθετῶν ἢ διαταττόμενος, ληρεῖν ἄντικρυς ἔοικε. Καὶ ἐπὶ
τοῦτον Ἕλληνες μὲν τὴν κύλικα τοῦ φαρμάκου πληροῦσι, βασιλεῖς
δὲ Ῥωμαίων τοὺς δημίους ὁπλίζουσιν· ὥσπερ γὰρ οὔτε τῷ μὴ

17–18 θεοῦ – δοκιμάζοντος: Ps. 7,10 ἐτάζων καρδίας καὶ νεφροὺς ὁ θεός et Ier. 11,20 κύριε κρίνων δίκαια δοκιμάζων νεφροὺς καὶ καρδίας, 17,10 ἐγὼ κύριος ἐτάζων καρδίας καὶ δοκιμάζων νεφρούς, et 20,12 κύριε δοκιμάζων δίκαια συνίων νεφροὺς καὶ καρδίας cum e.g. Roman. Mel. Κοντάκιον εἰς τὴν … ἀνάστασιν = Cant. 40,10,1 ὁ τὰς καρδίας ἐρευνῶν / καὶ τοὺς νεφροὺς ἐμβατεύων et Leo VI Sap. Hom. 22,91–92 θεοῦ τοῦ καρδίας ἐμβατεύοντος καὶ νεφρούς. cf. Psel. Εἰς τὸ 'περιεπάτει ὁ θεὸς …' = Theol. I 72,136 ‖ **25–26** οὐδὲ – ἠξίωται: cf. Philo Jud. Περὶ τῶν Χερουβίμ 95–96 ἄχρι τῶν ἀδύτων … ἔξω περιρραντηρίων cum Greg. Nys. Εἰς τὴν προσευχήν, Λόγος γ' 246,1–2 ἐπειδὰν εἰς τὸ ἄδυτον εἰσάγῃ προσευξόμενον τῷ θεῷ τὸν ἱερέα, πρῶτον μὲν καθαρσίοις τισὶ καὶ περιρραντισμοῖς ἀφαγνίζει τὸν εἰσιόντα et etiam Elias (olim David) In Cat. 121,8–9 τὰ μὲν περιρραντηρίοις καὶ θειώσεσιν ἔοικε, τὰ δὲ προτελείοις καὶ αὐταῖς ταῖς μυήσεσι. cf. Psel. Χρονογραφία VI,45 ἡ πρόδρομος χάρις τῆς γλώττης προτέλεια ἐκείνῳ καὶ περιρραντία τῶν ἐμῶν ἀδύτων ἐγένετο, Psel. Περὶ χαρακτήρων συγγραμμάτων τινῶν 49,21–23 ἐπὶ τῶν τελετῶν· ἐκεῖ μὲν γὰρ τὰ προτέλεια καὶ τὰ περιρραντήρια πρότερον, εἶτα τὸ ἐς τὰ ἄδυτα διαβῆναι, et etiam Π 79,16–17 εἴσω τῶν περιρραντηρίων γενέσθαι, ἢ καὶ αὐτοῦ παρὰ τοῖς ἀδύτοις καταπετάσμασιν, et Π 134,67–68 ἁγνεύθητι πρότερον, εἶτα μυήθητι· περιρραντίσθητι, καὶ οὕτως ἐντὸς τοῦ ἀδύτου γενοῦ. cf. etiam Πρὸς τὸν πατριάρχην κῦρ Μιχαὴλ περὶ τοῦ ὅπως ποιητέον χρυσόν 32,19–21 ‖ **29** τοὺς – ὁπλίζουσιν: Synes. Cyren. Φαλάκρας ἐγκώμιον 21,3 εἰκότως οὖν ἐπ' αὐτοῖς οἱ μὲν νόμοι τοὺς δημίους ὁπλίζουσιν, οἱ δὲ κηπουροὶ τὰς Ἀττικὰς ῥαφανίδας φυτεύουσιν, αἷς εὐθύς, ἐπειδὰν ἁλῷ τις, τιμωρίας ἀπάρχονται cum infra l. 86 τῶν Ἀττικῶν ῥαφανίδων

30 γεωμέτρῃ ἀνεῖται τὰ σχήματα, οὔτε τῷ μὴ ἀριθμητικῷ οἱ τῶν ἀριθμῶν γνώμονες, οὔτε τῷ μὴ ἀποδεικτικῷ τὰ προλαμβανόμενα τοῦ συλλογισμοῦ ἀξιώματα, καὶ καθεξῆς ἐπὶ πάντων (ἵνα μὴ ἐπὶ τοῖς τοιούτοις δοκῶ σεμνύνεσθαι), οὕτως οὐδὲ τῷ μὴ πνευματικῷ ἀνδρὶ τὰ τῆς πνευματικῆς τελειότητος· τῷ γὰρ ἁμαρτωλῷ εἶπεν ὁ
35 θεός: «ἵνα τί σὺ διηγῇ τὰ δικαιώματά μου, καὶ ἀναλαμβάνῃς τὴν διαθήκην μου ἐπὶ στόματός σου;».

Πνευματικὸς δέ ἐστιν ἄνθρωπος, ὁ πνευματικοῖς συγκρίνων πνευματικά, «ὁ πάντας μὲν ἀνακρίνων, αὐτὸς δὲ μηδενὸς ἀνακρινόμενος», κατὰ τὸν θεῖον φάναι ἀπόστολον. Πνευματικός ἐστιν ᾧ
40 πνεῦμα εὐθὲς ἐν τοῖς ἐγκάτοις μυστικῶς ἐγκαινίζεται, ᾧ καρδία κτίζεται παρὰ θεοῦ καθαρά. Πνευματικός ἐστιν ὁ διαταγὴν παρὰ τοῦ κρείττονος τῆς ἐνταῦθα νομοθεσίας δεξάμενος, ὁ καρδίαν συντετριμμένην κτησάμενος, ὁ τοὺς ἀπορρήτους τῆς θείας σοφίας εὑρηκὼς θησαυροὺς καὶ ἐν ἀρρήτοις καὶ ἀπορρήτοις ἀναγνοὺς

35–36 ἵνα – σου: Ps. 49,16 ‖ **37–39** πνευματικὸς – ἀνακρινόμενος: I Cor. 2,15 ὁ δὲ πνευματικὸς ἀνακρίνει πάντα, αὐτὸς δὲ ὑπ' οὐδενὸς ἀνακρίνεται. cf. Psel. Εἰς τὸ εὐαγγελικὸν … 'πνεῦμα ὁ θεός …' = Theol. I 76,125, Ἐκ τοῦ εἰς τὴν Πεντηκοστὴν θεολογικοῦ λόγου· 'οἶδε μὲν τρέφειν καὶ πέντε ἄρτοις' = Theol. I 78,24, et Π 11,33 ‖ **40–41** πνεῦμα – καθαρά: Ps. 50,12 καρδίαν καθαρὰν κτίσον ἐν ἐμοί, ὁ θεός, καὶ πνεῦμα εὐθὲς ἐγκαίνισον ἐν τοῖς ἐγκάτοις μου **42–43** ὁ – κτησάμενος: Ps. 50,19 θυσία τῷ θεῷ πνεῦμα συντετριμμένον, καρδίαν συντετριμμένην καὶ τεταπεινωμένην ὁ θεὸς οὐκ ἐξουθενώσει et Od. 7,39 ἀλλ' ἐν ψυχῇ συντετριμμένῃ καὶ πνεύματι ταπεινώσεως προσδεχθείημεν. cf. Psel. Τῷ αὐτῷ βασιλεῖ (scil. Κωνσταντίνῳ τῷ Μονομάχῳ) = Or. pan. 3,52, Ἀλληγορία τοῦ 'οἱ δὲ θεοὶ πὰρ Ζηνὶ …' = Phil. min. I 42,112–113, Ἀπόδειξις … τῆς τοῦ κυρίου ἐνσωματώσεως … πρὸς τὸν σουλτᾶνον ἀπὸ τοῦ βασιλέως = Theol. II 3,446 ‖ **44–45** ἐν – γράμμασιν: cf. Psel. Λόγος τοῦ ὑπερτίμου ὃς ἐπικέκληται σελέντιος = Or. min. 4,33 ἄρρητά τινα νοήματα καὶ ἀπόρρητα, Δημηγορία εἰς τὸν βασιλέα τὸν Δούκαν = Or. pan. 14,6 τὴν ἄρρητον καὶ ἀπόρρητον ἐπὶ σὲ τοῦ θεοῦ πρόνοιαν, Ἑρμηνεία περὶ τῶν εἰκοσιτεσσάρων στοιχείων … πρὸς … Ἰωάννην τὸν λιβελλίσιον = Phil. min. I 36,624 ἀπόρρητά τε καὶ ἄρρητα τὰ ἐν τούτῳ περιεχόμενα, Π 111,2–3 τῶν ἀρρήτων καὶ ἀπορρήτων, et Π 202,83–84 μυχὸς γῆς ἄρρητος καὶ ἀπόρρητος

γράμμασιν, ὁ τὴν ψυχὴν οἷον ἱστίον ἐξαπλώσας τῷ λόγῳ, καὶ 45
πρὸς τοὺς ἄνω οὐριοδρομήσας πυρσοὺς καὶ εἰς τοὺς ἀκλύστους
κατάρας λιμένας. Πνευματικός ἐστιν ὁ τῷ πνεύματι πτερωθείς,
καὶ τοσοῦτον ἀναβὰς ἐς τὰ τῆς γνώσεως ἄπειρα πέρατα, ὅσον
καταβέβηκεν ἐς τὰς ἀβύσσους τῆς ἱερᾶς ταπεινώσεως, καὶ παρὰ
μέρος τὸν τοιοῦτον σταδιοδρομῶν δίαυλον, ὥστε τὸν αὐτὸν καὶ 50
ὑπερκεῖσθαι πᾶσι παντάπασι, καὶ πάντων εἶναι ἐπέκεινα.

Εἰ δέ τις ἢ ἀπὸ τῶν ἄστρων προλέγοι τὰ μέλλοντα, ἢ ἀπό
τινων ἐνηχημάτων ἐνύλων πνευμάτων, ἢ ἀπὸ εἰσκρίσεών τινων
δαιμονίων φύσεων, ἢ πυθόχρηστος εἴη, ἢ χρηστηριάζοι, ἢ αὐτὸς
πλάττοι τὰ δοκοῦντα τοῖς πολλοῖς ἀδιάγνωστα, οὗτος κἂν μυριά- 55
κις ἀληθεύῃ καὶ ὡς ἑστῶτα ὁρῴη τὰ μέλλοντα, πόρρω τῆς θείας
προγνώσεως ἕστηκε.

Σοὶ δέ, κάλλιστέ μοι Φερέβιε, οὐδέν ἐστι σημεῖόν τι ἐμφαῖνον
ἐποπτείαν, ἢ θεοφάνειαν· οὐ βλέμμα πεπληρωμένον αἰδοῦς, οὐ
λόγος τῷ θείῳ ἠρτυμένος ἅλατι, οὐκ ἦθος συνεσταλμένον, οὐ 60
προσώπου σύννοια, οὐ σχῆμα αὐτόθεν φιλόσοφον ἰδέαν ἐπιδεικνύ-
μενον. Ἐῶ λέγειν ὁπόσα σοι παρὰ πάντων ἐπιφημίζεται, ὅτι

45–47 ὁ – λιμένας: cf. Greg. Nys. Εἰς τὰς ἐπιγραφὰς τῶν ψαλμῶν 60,18–20 τὴν τοῦ πνεύματος χάριν, ἣ διὰ τῶν νοητῶν ἱστίων τῷ θείῳ λιμένι τὴν ψυχὴν ἐνορμίζει, κυβερνῶντος τοῦ λόγου καὶ πρὸς τὸν πλοῦν κατευθύνοντος cum Theod. Stud. Sermones Catech. Magn. 65 (182,24–25) τὰ ἱστία τῆς ψυχῆς ἀναπετάσωμεν et Π 200,15–16 τὸ ἱστίον τοῦ νοῦ πετάσας πρὸς οὐρανόν, ὑπὸ τοῖς ἄνω πυρσοῖς πρὸς τοὺς θείους κατῆρας λιμένας. cf. etiam Π 189,32–33 πρὸς τοὺς ἄνω πυρσοὺς ἀφορῶν, εἰς ἀκλύστους λιμένας καθορμίζεις τὴν ναῦν **46–47** ἀκλύστους … λιμένας: iunctura saepe laudata; cf. e.g. Opp. Ἁλιευτικά 1,226 ἐν ἀκλύστοισιν ἐεργομένη λιμένεσσι et 4,450 λιμένεσσι παρ' ἀκλύστοισι et Plut. Περὶ τοῦ ὅτι μάλιστα τοῖς ἡγεμόσι δεῖ τὸν φιλόσοφον διαλέγεσθαι 778c7 ἐν ἀκλύστῳ λιμένι cum Psel. Χρονογραφία VI,72, Λόγος εἰς τὴν σταύρωσιν … = Or. hag. 3a,507, Ἐγκώμιον εἰς τὴν ἀποτομὴν τοῦ πανευφήμου προφήτου Προδρόμου καὶ βαπτιστοῦ Ἰωάννου = Or. hag. 8,685, Σελέντιον δημηγορηθὲν παρὰ βασιλέως κῦρ Μιχαὴλ τοῦ Δούκα = Or. min. 3,19, Ἱστορία σύντομος 62,26, et Π 189,33, Π 270,23, Π 288,34–35, Π 324,13, Π 467,5, et Π 548,12–13 ‖ **59–60** οὐ[2] – ἅλατι: Col. 4,6 ὁ λόγος ὑμῶν πάντοτε ἐν χάριτι, ἅλατι ἠρτυμένος (cf. etiam Karath. 97–98). cf. Psel. Ἐγκωμιαστικὸς εἰς … Μιχαὴλ τὸν Κηρουλλάριον = Or. fun. I 1,58,9–10 et Π 387,5–6

κύβοις καὶ κοττάβοις ἐκδέδωκας σεαυτόν, καὶ αὐλητρίδας νομίζεις, καὶ γαστρὸς ἥττησαι, καὶ ἐπαγέλλῃ τοῖς συμπόταις συσσίτια,
65 λυρῶν τε κτύποις παρατυγχάνεις, καὶ ἡδέως ἂν ἐπὶ τῆς ὀρχήστρας αὐτὸς ἐξορχήσαιο.

Οὐκ ἔστι τὸ θεῖον καὶ ἱερὸν πνεῦμα οὕτως ἕτοιμον εἰς περίληψιν ἵν' ὥσπερ τὰ πτηνὰ ἁλώσιμον γίνηται καὶ τῷ τυχόντι τῶν θηρατῶν. Σὲ δὲ τίς ἄρα καὶ τῷ καθ' ἡμᾶς βίῳ κατέπεμψεν ἄνωθεν;
70 Ἐπὶ ποῖον δὲ καὶ ἀναβέβηκας ὄρος Σίναιον, ὥστε ἀφεῖναι μὲν κατόπιν τοὺς ἑβδομήκοντα, ἐντὸς δὲ τοῦ γνόφου γενέσθαι καὶ πλάκας θεοχαράκτους δέξασθαι; Ἀπὸ δὲ ποίας ἀγγέλων διαταγῆς τὴν περὶ ἡμᾶς νομοθεσίαν εἰσδέδεξαι; Ποῖος δέ σοι τῶν Χερουβὶμ τῇ λαβίδι τὸν ἄνθρακα ἐνεχείρισεν, ὃς χθές που καὶ πρώην (ἵνα μὴ
75 τήμερον λέγω) διὰ τῆς ἀγορᾶς ἐσόβεις, ἐν τηλίοις καὶ καπηλείοις κατηναλακὼς τὴν ζωήν; Οὐ βρύει σοι ἡ ἄθεσμος γλῶττα τὰ ἀγυρτικὰ καὶ ἐρωτικὰ ῥήματα;

Εἶτα δὴ ἐπὶ τούτοις καὶ βούλει φιλοσοφεῖν, κἀμοὶ παρεξετάζειν τὸν βίον; Ὅτι ἐντὸς ἀνακτόρων γίνομαι καὶ βασιλεῦσι συγγί-

63–64 κύβοις – συσσίτια: Synes. Cyren. Δίων 1,4 ἀλλὰ καὶ κοττάβοις ἐδεδώκει, καὶ αὐλητρίδας ἐνόμιζεν, καὶ ἐπήγγελλεν ἐπὶ τούτοις συσσίτια. cf. etiam Aeschin. Κατὰ Τιμάρχου 75 καὶ πολυτελῆ δεῖπνα δειπνῇ ἀσύμβολον, καὶ αὐλητρίδας ἔχῃ καὶ ἑταίρας τὰς πολυτελεστάτας, καὶ κυβεύῃ. cf. Psel. Ἱστορία Σύντομος 101 κοττάβοις ἑαυτὸν ἐκδεδώκει καὶ κύβοις, γαστρί τε κοίλῃ ἐχρήσατο καὶ αὐλητρίδας ἐνόμιζε καὶ μίξεσι παρανόμοις ἠγάλλετο καὶ ἐπήγγελλεν ἐπὶ τούτοις συσσιτία ‖ **65** λυρῶν – παρατυγχάνεις: Philostr. Βίοι σοφιστῶν I,20 (513,5–7) λυρῶν τε καὶ αὐλῶν κτύποις οὐδ' ἐπὶ σκηνῆς ἔτι παρετύγχανεν ‖ **70–72** ἐπὶ ποῖον – δέξασθαι: Exod. 19–31 (19,1 καὶ Μωυσῆς ἀνέβη εἰς τὸ ὄρος τοῦ θεοῦ, 24,1–2 ἑβδομήκοντα τῶν πρεσβυτέρων Ισραηλ, καὶ προσκυνήσουσιν μακρόθεν τῷ κυρίῳ· καὶ ἐγγιεῖ Μωυσῆς μόνος πρὸς τὸν θεόν, αὐτοὶ δὲ οὐκ ἐγγιοῦσιν, 20,21 Μωυσῆς δὲ εἰσῆλθεν εἰς τὸν γνόφον, 31,18 πλάκας λιθίνας γεγραμμένας τῷ δακτύλῳ τοῦ θεοῦ), locus in Psello saepe laudatus; cf. e.g. Psel. Κατηγορία τοῦ ἀρχιερέως = Or. for. 1,2398–2401, Εἰς τὸ 'θεὸς θεοῖς ἑνούμενός τε καὶ γνωριζόμενος' = Theol. I 64,170–172, et Εἰς τὸ λεῖπον τοῦ 'λαμπρότητα θεοῦ καὶ ἰδεῖν καὶ παθεῖν' = Theol. I 94,2–5 etc.; cf. etiam Π 174,1–2, Π 202,155–164, Π 210,4–5, Π 507,36–40, et Π 515,12–14 **73–74** ποῖος – ἐνεχείρισεν: Is. 6,6 καὶ ἀπεστάλη πρός με ἓν τῶν σεραφιν, καὶ ἐν τῇ χειρὶ εἶχεν ἄνθρακα, ὃν τῇ λαβίδι ἔλαβεν ἀπὸ τοῦ θυσιαστηρίου **75–76** ἐν – ζωήν: Synes. Cyren. Epist. 45,5–6 ἐκ παιδὸς ἐν τηλίᾳ καὶ κύβοις καὶ καπηλείοις καλινδηθείς

65 παρατυγχάνεις scripsi: περιτυγχάνεις P S

νομαι; Εἰ μὲν ὡς χρησμοὺς δώσων, ἢ τὸ ἐσόμενον μαντευσόμενος, 80
ἢ ἐμαυτὸν εἰσωθῶν εἰς τὰ ἄδυτα μὴ βουλομένων τῶν βασιλέων,
θῆγε τὴν γλῶτταν ἐπὶ τὴν κωμῳδίαν. Εἰ δ' ὥστε κατανουθετή-
σων, ἢ πείσων ἐπὶ τὰ κρείττονα, ἢ γνώμην εἰσάξων λυσιτελοῦσαν
ἐπὶ τοῖς πράγμασι, μεμπτέος παρὰ τοῦτο, ἢ παντάπασιν ἐπαινε-
τέος, ὦ πάντα σὺ τολμῶν τε καὶ φλυαρῶν καὶ πᾶσαν ἐξεμῶν 85
ἀκαθαρσίαν, ὥστε τῶν Ἀττικῶν ῥαφανίδων δεῖσθαι εἰς κάθαρσιν;

Τοῦτο δέ σου πάντων θαυμάζω, ὅτι καὶ παιδεύσεως ἀντιποιῇ
καὶ λογίους ἐπιστολὰς βούλει δημιουργεῖν. Ἐμοὶ δέ σου τὸ
γράμμα ἀντὶ πάσης ἤρκεσε παιδιᾶς τε καὶ χάριτος· οὐ γὰρ οἶδα εἴ
τις ἕτερος ἐν τοσούτοις στίχοις τοσούτους σολοικισμοὺς περιέπλε- 90
ξεν. Ἐπαινῶ σου τὸ «κατὰ ἀνθρώποις», καὶ τὴν «ἀνάρετον
σοφίαν», τὰς καινὰς ταύτας συντάξεις καὶ τὴν καινοτέραν ὀνομα-
σίαν, καὶ τὴν ἡρμοσμένην συνθήκην, καὶ τὸ τῆς λέξεως εὔκροτον,
καὶ τὴν ἄφατον καλλιρρημοσύνην, καὶ τὴν Ἀττικὴν γλῶσσαν, ἢ
τὴν πνευματικὴν χάριν. Οὐ σκότον που ὑποδύσεαι; Ἢ τὴν Ἄϊδος 95
κυνέην σαυτῷ περιθέμενος τοῖς ὑπὸ τὸν Τάρταρον δαίμοσι συναρι-
θμήσειας σεαυτόν;

Εἰ δὲ σεμνύνοιο τῇ ἐπιγραφῇ «Τῷ μὴ θεοῦ ὁ θεοῦ», ἀντάκουε
καὶ τῆς ἐμῆς: «Ὁ ὑπέρτιμος (κἂν βούλῃ κἂν μὴ βούλῃ), τῷ
ἀπαιδεύτῳ, τῷ ἀναισχύντῳ, τῷ ἀνεπερυθριάστῳ, τῷ ἰταμῷ, τῷ 100
χρησμολόγῳ, τῷ πυθοχρήστῳ, τῷ φλυάρῳ, τῷ ἀμαθεῖ, τῷ
ἀναισθήτῳ, τῷ ἀκολάστῳ, τῷ τε πεπλανημένῳ ἀπὸ θεοῦ, τῷ κατὰ
βασιλέων φλυαροῦντι, τῷ κατὰ ἀρχιερέων ἀναισχυντοῦντι, τῷ μὴ
εἰδότι μηδὲν μήτε τῶν θείων, μήτε τῶν ἀνθρωπίνων».

86 τῶν – ῥαφανίδων: cf. Synes. Cyren. Φαλάκρας ἐγκώμιον 21,3 εἰκότως οὖν ἐπ' αὐτοῖς οἱ μὲν νόμοι τοὺς δημίους ὁπλίζουσιν, οἱ δὲ κηπουροὶ τὰς Ἀττικὰς ῥαφανίδας φυτεύουσιν, αἷς εὐθύς, ἐπειδὰν ἁλῷ τις, τιμωρίας ἀπάρχονται cum Aristoph. Νεφέλαι 1083 τί δ' ἢν ῥαφανιδωθῇ πιθόμενός σοι τέφρᾳ τε τιλθῇ; cf. supra l. 29 τοὺς δημίους ὁπλίζουσιν ‖ **95–96** Ἄϊδος κυνέην: Hom. Il. 5,845; cf. CPG I 15–17 (nr. 41) et II 4 (nr. 16) et 649 (nr. 85); cf. etiam Psel. Πρὸς τὸν λοίδορον ῥίψαντα χάρτην = Or. min. 7,4, et Π 209,42, Π 249,41 ‖ **99** κἂν[1] – βούλῃ[2]: cf. Synes. Cyren. Epist. 71,5–6 κἂν βούληται κἂν μὴ βούληται. cf. Psel. Κατηγορία τοῦ ἀρχιερέως = Or. for. 1,1806, Π 96,8, et Π 433,22–23 **101** χρησμολόγῳ: vox ex Herodoto (cf. 1,62), cf. Π 249,48–49

99 βούλῃ … βούλῃ scripsi: βούλοιο … βούλοιο P S

105 Εἰ δὲ δεῖ κἀμέ ποτε προειπεῖν τι ἐσόμενον ὃ μηδέποτε ἐπετήδευσα, ἀποφανοῦμαί σοι νῦν ὅτι δαρήσῃ πολλάς, ἐνταῦθά τε καὶ κατὰ τὸν αἰῶνα τὸν μέλλοντα, καὶ ξανθήσῃ τοῖς ὄνυξι, καὶ τὴν γλῶτταν ἀποτμηθήσῃ, ἐφ' οἷς οὕτως κατὰ πάσης ἀπηναισχύντηκας κεφαλῆς.

110 Μῶν, φίλε Φερέβιε, οἶδα καὶ αὐτὸς ἀντεπιστέλλειν καὶ ἀντεπιγράφειν, ἢ οὔ;

LXI. Ἐπιφάνιος Φιλάρετος

πρωτοασηκρῆτις (ca. a. 1060 – a. 1067?)

276. Τῷ πρωτοασηκρῆτις Ἐπιφανίῳ τῷ Φιλαρέτῳ

ca. a. 1060 – a. 1067 [cf. Riedinger 2010,29–30]? ca. a. 1060 – a. 1061 [cf. Gkoutzioukostas 2011,193]?

S 169 [P]

Καί τίνι τῶν λόγων ταμιεύσῃ τὰς προχοάς, ἀδελφὲ φίλτατε, εἰ μὴ πρὸς ἡμᾶς τὰς φλέβας τῶν σῶν ἀναστομώσεις πηγῶν καὶ (εἴ γε βούλει καὶ τοσοῦτον δίδως ἡμῖν) τὸ σὸν ῥεῖθρον ἐμβαλεῖς εἰς τὴν θάλασσαν; Μέχρι δὲ τίνος ἡμεῖς οἰχομένοις μὲν σοφοῖς
5 συνεσόμεθα, καὶ ταῖς σκιαῖς ἐκείνων συνομιλήσομεν, ἐμψύχων δὲ γλωσσῶν ἀφεξόμεθα; ἠτυχήκαμεν γάρ, ὥσπερ δὴ τἆλλα, καὶ δὴ καὶ τὰ Παναθήναια ἢ Πανελλήνια, καὶ οὐδεὶς παρ' ἡμῖν, οὔτε Περικλῆς, οὔτε Θεμιστοκλῆς, ἀλλ' ἀτυχοῦσα ἡ βάρβαρος εὐτυχεῖ,

106 δαρήσῃ πολλάς: Luc. 12,47 ὁ δοῦλος ... μὴ ἑτοιμάσας ἢ ποιήσας πρὸς τὸ θέλημα αὐτοῦ δαρήσεται πολλάς. cf. Π 275,106 ‖ **LXI** cf. Psel. Χρυσόβουλλος = Or. for. 7,24–25 ὁ μάγιστρος Ἐπιφάνιος καὶ πρωτοασηκρῆτις et passim πρωτοασηκρῆτις: ⟨et μυστικός?⟩ cf. Gkoutzioukostas 2011,99–103

ep. 276 U 177v–178r, P 228r–v; tit. scripsi: τῷ πρωτοασηκρῆτις τῷ Φιλαρέτῳ U Ἐπιφανίῳ πρωτοασηκρῆτις τῷ Φιλαρέτῳ P

ὥσπέρ τινος Πηνειοῦ μεταποιοῦντος αὐτῆς τὴν ἅλμην καὶ μεταβάλλοντος, ἡ δὲ Ἀρέθουσα τέως ἕστηκεν ἄνυμφος, οὔπω 10 περιελιττομένου καὶ περὶ ταύτην τοῦ ῥεύματος.

Ἐχρῆν δὲ οὐχ οὕτως, ἀλλὰ τῷ δεδομένῳ φαρμάκῳ χρῆσθαι παρὰ τῆς φύσεως, καὶ ποιεῖν ἀποστολιμαίους ἡμῖν τὰς Ἑλληνίους φωνάς· ἴσως γάρ τί σοι καὶ παρὰ τοῦ ἐμοῦ ἠχείου ἀπήχησε, καὶ ἦν ἄν σοι τοῦτο λύσις τῶν δεσμῶν τῆς ψυχῆς· οὐ γὰρ ἀγνοῶ τὸν 15 ἐμὸν Ἐπιφάνιον, ὅτι νεοτελής ἐστι τὰ τῆς τοῦ βασιλέως αὐλῆς ἄδυτα καὶ μυστήρια, καὶ δεῖται τῶν περιαθρούντων, καὶ κατεπᾳδόντων, καὶ πρὸς τὴν μύησιν εἰσαγόντων κατὰ καιρόν.

Ἔγωγ' οὖν σοι πολλάκις ταῖς ἐπῳδαῖς κατεφάρμαξα τὴν ψυχήν, καὶ κατέστειλα μὲν οἰδοῦσαν, ἀνήγειρα δὲ πεπτωκυῖαν, 20 καὶ ἀπὸ τῶν ἀκροτήτων εἰς τὴν μεσότητα περιήγαγον. Εἴ τι γοῦν σοι καὶ τῶν ἐμῶν ἐπιστολῶν ὄφελος, μὴ πάνυ τι μεταβάλλου τοῖς πράγμασι, μηδὲ ταχείας λάμβανε τὰς ῥοπάς, ἀλλὰ πεφύλαξο μὲν μὴ πολλῶν ἀκούειν, εἰ δὲ μὴ τοῦτο, μὴ πᾶσιν εἶναι ἐνδόσιμον· μηδὲ ἐνδύου τοῖς λογισμοῖς, ἀλλ' ὥσπερ τις πέτρα παράλιος, εἰς 25 ἀφρὸν τὰς προσβολὰς τῶν κυμάτων διάλυε. Κἂν ἅπαξ μεγαλοψυχήσῃς, οὔτέ τί σοι τῶν ἀηδῶν ἔτι προσβαλεῖ· κἂν προσβάλῃ δέ, οὐδὲν δράσει δεινόν.

9–11 ὥσπέρ – ῥεύματος: ad Alpheium (e non Peneium) et Arethusam refert; cf. Pind. Nem. 1,1 ἄμπνευμα σεμνὸν Ἀλφεοῦ cum scholiis et e.g. Suda λ 3821 Ἀλφειὸς ... δυόμενος διὰ τῆς Ἀδριάδος θαλάσσης τὸ πέλαγος καὶ μηδαμῶς τῇ ἁλμυρίδι μιγνύμενος, Ach. Tat. Τὰ κατὰ Λευκίππην καὶ Κλειτοφῶντα 1,18,1–2 γίνεται δὲ καὶ γάμος ἄλλος ὑδάτων διαπόντιος ... διὰ γὰρ τῆς θαλάσσης ὁ ποταμὸς ὡς διὰ πεδίου τρέχει. ἡ δὲ οὐκ ἀφανίζει γλυκὺν ἐραστὴν ἁλμυρῷ κύματι ... καὶ ἐπὶ τὴν Ἀρέθουσαν οὕτω τὸν Ἀλφειὸν νυμφοστολεῖ, et Greg. Naz. Εἰς τὸν μέγαν Βασίλειον ... = Or. 43,21 cum Ps.-Nonnus Συναγωγὴ ... ἱστοριῶν ... in Greg. Naz. Or. 43, hist. 9 περὶ τοῦ Ἀλφειοῦ, etc.; cf. etiam Π 363,8 et Π 483,16–17 ‖ **16** τοῦ βασιλέως: Constantinus X Ducas (imperator: 23/24.XI.1059 – 22/23.V.1067) (Π XVIII)

9 Πεινειοῦ S ‖ **11** περιελιττομένου U: περιελισσομένου P S ‖ **13** Ἑλληνίους P S: Ἑλληνίου U ‖ **14** παρὰ : περὶ S ‖ **16** τοῦ P S: om. U ‖ **17** περιαθρούντων περιῳδούντων prop. Rie,14 ‖ **18** μύησιν U (cf. Rie,15): μίμησιν P S ‖ **25** μηδὲ U: μὴ P S ‖ **26** διάλυε U: παράλυε P S ‖ **27** προσβαλεῖ U Malt[4],28: προσβάλῃ P προσβάλη S

LXII. Χασάνης

βεστάρχης, κριτὴς Μακεδονίας

277. Τῷ βεστάρχῃ καὶ κριτῇ Μακεδονίας τῷ Χασάνῃ

post a. 1057 (cf. l. 5 τὸν πρόεδρον)

S 38 [P]

Ἀλλ' ἐμεμψάμην ὡς τὰ πολλὰ ἀπεσταλκότα καὶ τὸν φιλόσοφον ἀγνοήσαντα, ἀλλ' ἐμεμψάμην; Μὴ οὕτω μανείην!

Ἐπῄνεσα μὲν οὖν ὡς καὶ τὸν φίλτατον τοσούτοις δεξιωσάμενον, καὶ ὡς ἀπηντηκότα κατὰ λόγον πρὸς ἄμφω, πρὸς μὲν τὸν
5 φιλόσοφον τῇ ποιότητι, πρὸς δὲ τὸν πρόεδρον τῇ ποσότητι, ἀμφοῖν δὲ πρὸς τὸν ποθούμενον.

Ἀξιῶ οὖν καὶ αὐτὸς μὴ μεμφθῆναι εἰ μή τι ἀξίως τῶν ἀπεσταλμένων καὶ τῆς σῆς γνώμης εἰρήκαμεν.

278. Τῷ αὐτῷ

Τῷ βεστάρχῃ καὶ κριτῇ Μακεδονίας τῷ Χασάνῃ

S 39 [P]

Δικαίαν σοι (ὡς οἶμαι) ἀξίωσιν ταύτην προτείνομαι περὶ τοῦ νοταρίου Μιχαήλ· ἀξιῶ γὰρ ἀποσταλῆναι αὐτὸν πρὸς τὴν οἰκίαν αὐτοῦ, τῆς γυναικὸς αὐτοῦ νοσήματι ἁλούσης δεινῷ, ἧς οὐδὲν προτιμητέον αὐτῷ ἐστιν, οὔτε κέρδος, οὔτ' ἄλλο τι. Καὶ ἔσται μὲν
5 οὐδεμία τῷ ἀνθρώπῳ ὄνησις ἐκδήμιον ἴσως ἰδόντι τὸν βίον· ἀλλ' ἡ

LXII cf. Cheynet II,639 ‖ **2** μὴ – μανείην: iunctura saepe in Luciano laudata, cf. e.g. Ἀναβιοῦντες ἢ Ἁλιεύς 37 et Ἑταιρικοὶ διάλογοι 2,4; cf. etiam e.g. Ael. Arist. Πρὸς Πλάτωνα ὑπὲρ τῶν τεττάρων 126,26 et Suda μ 145. cf. Psel. Κατηγορία τοῦ ἀρχιερέως = Or. for. 1,2768, Ἐγκώμιον εἰς … Νικόλαον μοναχὸν … = Or. fun. I 10,1,12, Ἐγκώμιον εἰς τὴν φθεῖρα = Or. min. 28,121, Εἰς τὸ 'νοῦς μὲν οὖν ἤδη καὶ αἴσθησις' = Theol. I 90,85, et Π 7,51, Π 55,12, Π 100,13, Π 131,18–19, Π 139,62, Π 145,49, Π 209,3–4, Π 291,31–32, et Π 454,105 **5** τὸν πρόεδρον: cf. Π 1,32, Π 177,4, Π 368,2, et Π 488,43

ep. 277 P 199r (P[1]) et 229v (P[2] ; cf. Π 279=S[2]), B 189r (cf. Π 279=S[2]); tit. P S **1** τὰ P[1]: καὶ P[2] B | ἀπεσταλκότα P[1] P[2] S: ἀποσταλέντα B ‖ **5** ποιότητι P[1] P[2] S: πιότητι B ‖ **7** καὶ P[2] B S[2]: om. P[1] S ‖ **ep. 278** P 199r; tit. P S

σχέσις οὐ λογίζεται τοῦτο, ἀλλὰ καὶ τὸ ἅπαξ ἰδεῖν τὸ ποθούμενον ἐν εὐεργετήματι τίθεται.

Αὐτός τε οὖν ἀσχάλλει αὐτόθι ἐπὶ τῷ ἤδη θανάτῳ τῆς γυναικός, κἀκείνη οὐ φέρει ἀποδημοῦσα τὴν τοῦ ἀνδρὸς διάστασιν. Ἴσως οὖν τεθνήξεται, ἴσως δὲ ζήσεται. 10

Μέτρησον οὖν αὐτῷ εἰς ἡμέραν τῆς ὁδοῦ τὸ διάστημα. Καὶ μετὰ τὸ γενέσθαι ἐπὶ τῆς οἰκίας, τρεῖς καὶ τέσσαρας ἡμέρας αὐτῷ χάρισαι, ὡς ἂν ἢ θρηνήσῃ τὴν γυναῖκα, ἢ εὐθυμήσῃ ἰδών, καὶ ταχὺ πάλιν ἐλεύσεται πρὸς σέ. Καὶ οἶδα μὲν ὅτι παρὰ καιρὸν βούλεται εἰσελθεῖν, ἀλλ' ὅμως συγγνώμην αὐτῷ πᾶς τις ἀπονείμῃ 15 τῆς τοιαύτης ἐπιθυμίας καὶ προθυμίας. Καὶ πρόϊδε πάντων σὺ ὁ διακριτικώτατος καὶ εὐσυνείδητος.

279. Πρὸς τὸν βεστάρχην καὶ κριτὴν Μακεδονίας τὸν Χασάνην

S 172 [P]

Οὐκ οἶδα πότερον ὠνοῦμαι τὰς παρ' ὑμῶν χάριτας, ἢ πιπράσκω τοὺς λόγους. Ὅτι μὲν γὰρ ἀλλακτικῆς ἐστιν εἶδος τὸ καθ' ἡμᾶς πρᾶγμα, τῶν ὁμολογουμένων ἐστίν. Ὑμεῖς μὲν γὰρ λόγους παρ' ἐμοῦ, πράγματα δ' ἐγὼ παρ' ὑμῶν ἐμπορεύομαι· ἀλλ' ἀγνοῶ, πότερον ὠνοῦμαι, ἢ πωλῶ, ἢ μηδέτερον, ἀλλὰ τὸ ὅλον 5 ἀντάμειψις. Καὶ πάλιν ἀμφισβητῶ, τίς ὁ τὰ πλείω διδούς, τίς μὲν χάλκεια χρυσείων, τίς δὲ χρύσεια χαλκείων ἀλλάττεται. Σὺ μὲν ἴσως ἐρεῖς ὅτι σὰ τὰ χρυσᾶ, ἐγὼ δὲ ἀμφισβητήσω, μᾶλλον δὲ ὁ ἁπλοῦν τι εἰπὼν τοῖς ὅλοις αἱρήσω· εἰ γὰρ μηδέν τι τῷ λόγῳ

1–2 πιπράσκω – λόγους: cf. Herm. In Phaedr. 209,29–210,2 λογογράφους δὲ ἐκάλουν οἱ παλαιοὶ τοὺς ἐπὶ μισθῷ λόγους γράφοντας· ἦσαν γάρ τινες τῶν ῥητόρων πιπράσκοντες λόγους τοῖς λέγουσιν εἰς τὰ δικαστήρια, ῥήτορας δὲ ἔλεγον τοὺς δι' ἑαυτῶν λέγοντας ‖ **2–3** ὅτι μὲν – ἐστίν: cf. Plat. Σοφιστής 223c9 τῆς τοίνυν ἀλλακτικῆς δύο εἴδη λέγωμεν, τὸ μὲν δωρητικόν, τὸ δὲ ἕτερον ἀγοραστικόν cum Them. Σοφιστής 297b–299c ‖ **6–7** τίς[2] – ἀλλάττεται: Hom. Il. 6,235–236 ... τεύχε' ἄμειβε / χρύσεα χαλκείων, cf. Psel. Εἴς τινα κάπηλον γενόμενον νομικόν = Or. min. 14,4, Πρὸς τὸν πατριάρχην κῦρ Μιχαὴλ περὶ τοῦ ὅπως ποιητέον χρυσόν 40,13, et Π 250,8

16 τοιαύτης scripsi: αὐτῆς P S ‖ **ep. 279** P 229v, B 188v–189r; tit. P S: πρὸς τὸν βεστάρχην καὶ κριτὴν Μακεδόνος τὸν Χαασάν B ‖ **5** πότερον ὠνοῦμαι P S: ὠνοῦμαι πότερον B

10 ἀντισταθμᾶται, πόσης ἂν εἶεν ὁλκῆς αἱ παρ' ἡμῶν χάριτες;

Πλὴν ἀλλὰ νικᾶτε τῷ ῥήματι· τὸ γὰρ ἀντιδιδόμενον ἀφ' ὑμῶν χρυσὸς ἄντικρυς, ὥσπερ νῦν ἡ παρὰ σοῦ λαμπροτάτη φορολογία. Ὡς σοὶ χαλκοῦν τὸ ἐμόν! Ἀλλ' οὐχ ὃ μὴ χρυσοῦν, τοῦτο χαλκοῦν· οὔτε γὰρ ἀντίθετα τὰ ὀνόματα, οὔτε (εἴ τις συγχωροίη) ἄτερ 15 μεσότητος, ὥστε οὐκ ἐξ ἀνάγκης ὁ λόγος χαλκοῦς, ἀλλ' ἴσως χρυσοῦ τιμιώτερος, καὶ πάλιν αὐτὸς τῷ λόγῳ κρατῶ.

Ἢν δὲ βούλῃ καὶ αὖθις τὸ σόν· ἐρεῖς γὰρ ὡς τὰ τῶν παρ' ὑμῖν κάλλιστα ἢ χρυσᾶ ἢ εἰκασμένα χρυσῷ. Χρυσοειδῆ μὲν αὐτὰ καὶ ἡλιώδη, ὥστε καὶ τὸν λόγον, ἢ χρυσοῦν φήσομεν, ἢ χρυσοειδῆ· 20 ἀλλὰ χρυσὸς μὲν ἄντικρυς οὐδαμῶς, χρυσοειδὴς ἄρα· ὃ δὲ χρυσῷ ἀπείκασται, τοῦτο χρυσοῦ ἔλαττον· ὡς οὕτω τῶν παρ' ἐμοῦ τὰ παρὰ σοῦ κρείττονα!

Ἀλλ' ἄκουσον, ὦ λογιώτατέ μοι τῶν ὁμιλητῶν· ὁ γὰρ περισσὸς οὕτως χρυσός, φόρος, καὶ τέλος, καὶ λειτουργία, καὶ ὄφλημα, 25 καὶ τἆλλα τῶν ἀτιμοτάτων κατονομάζεται· ὁ δὲ λόγος, νοῦ μὲν γέννημα, φῶς δὲ νοήματος, λογικῆς δὲ ἄνθος ζωῆς.

Ἀλλ' οὕτω μὲν ταῦτα. Τῷ δέ γε φορολόγῳ τούτῳ, πατρίς μὲν ὁ Εὔξεινος πόντος, οἶκος δὲ βαθὺς καὶ πλοῦτος πολύς, ἀμφιέννυται δὲ πτωχικῶς, οὐκ οἶδ' ὅ τι βουλόμενος· δέον γὰρ ἄλλως, ὁ δὲ τῶν 30 πατρῴων ἐθῶν οὐκ ἀφίσταται· ἔστι δ' οὕτω φιλόπατρις, ὥστε αὐτοῦ τε βούλεσθαι καὶ κατοικεῖν καὶ φορολογεῖν.

18–19 χρυσοειδῆ – ἡλιώδη: cf. Philostr. Εἰκόνες 1,1,2,13 χρυσοειδὲς καὶ ἡλιῶδες cum Arist. Περὶ χρωμάτων 793a13–14 τὸ γὰρ χρυσοειδὲς γίνεται, ὅταν τὸ ξανθὸν καὶ τὸ ἡλιῶδες πυκνωθὲν ἰσχυρῶς στίλβῃ ‖ **25–26** ὁ – νοήματος: Greg. Naz. Περὶ τῆς ἐν διαλέξεσιν εὐταξίας = Or. 32,27 λόγος νοῦ γέννημα et Εἰς τὸ ἅγιον Πάσχα = Or. 45,30 ὦ λόγε θεοῦ … νοῦ τοῦ μεγάλου γέννημα cum Ioann. Damasc. Ἔκδοσις ὀρθοδόξου πίστεως 13,91–94 λόγος … ἐστὶ καὶ ἡ φυσικὴ τοῦ νοῦ κίνησις, καθ' ἣν κινεῖται καὶ νοεῖ καὶ λογίζεται οἱονεὶ φῶς αὐτοῦ ὢν καὶ ἀπαύγασμα … πάλιν λόγος ἐστὶν ἄγγελος νοήματος

10 ἀντι[...]θμᾶται B | ὁλκῆς P S: ὀλκῆς B | ἡμῶν P S: ὑμῶν B ‖ **12** ἡ – σοῦ B: παρὰ σοῦ ἡ P S | λαμπροτάτη : [ca. 10 litt.] B ‖ **14** οὔτε[1] : [....] B ‖ **16** κρατῶ : [.....] B ‖ **17** σόν ἐρεῖς : σ[....]εῖς B | ἡμῖν S ‖ **18** εἰκασμένα – καὶ : [...]ασμένα χρυς[.] χρ[..]οειδῆ μ[ca. 9 litt.] B ‖ **19** ἡλιώδη P S: ἡλιοειδῆ B ‖ **20** χρυσὸς : χρ[....] B ‖ **24** οὕτως P S: οὗτος B ‖ **25** μὲν P S: μέν ἐστι B ‖ **28** πολύς P S: βαθὺς B

Εἰ μὲν οὖν αὐτῷ ταῦτα οὕτω συμβαίη, δεξιωτέραν εὑρήσει τὴν τύχην· εἰ δ' ἄλλως, ἀλλ' ἡμῖν τὸ χρέος ἀπώφληται· ἐγώ τε γὰρ ἠξίωκα, καὶ σὺ προτεθύμησαι.

280. Εἰς τὸν αὐτόν

Πρὸς τὸν βεστάρχην καὶ κριτὴν Μακεδονίας τὸν Χασάνην

S 189 [P]

Οὐκ οἶδα πότερον ἐγὼ τῆς σῆς εὐγνωμοσύνης καθέστηκα αἴτιος, ἢ σὺ τῆς ἐμῆς περὶ σὲ φιλίας καὶ διαθέσεως, ἢ θάτερον θατέρου πέφυκεν αἴτιον, ὡς εἶναι ἄμφω συναίτια; ὁμοῦ τε γὰρ σὺ πρὸς φιλοτιμίαν διερεθίζεις ἐμέ, κἀγὼ σὲ πρὸς εὐχαριστίαν κινῶ. Πλὴν ἐγὼ μὲν οὐ δοκῶ τι χαρίζεσθαί σοι, εἴτε ὑπὸ συνηθείας ἁλώσιμος 5 ὢν τῷ τοιούτῳ πάθει, εἴτε πρὸς ἀλήθειαν πρὸς τοῦτο κεκινημένος. Σὺ δὲ τὸ μηδαμῇ μηδαμῶς ὂν οὕτως ἐξαίρεις τῷ λόγῳ, οὕτως οὐσίαν ποιεῖ τὸ ἀνύπαρκτον, ὡς οἴεσθαί με τέχνῃ σε τοὺς λόγους σοφιστικῇ δημιουργεῖν. Καὶ οὐ τοῦτό φημι ὅτι φείδομαι γλώττης, ὅταν ὑπὲρ σοῦ δέῃ ταύτην κινεῖν, ἀλλ' ὅτι πολλοῖς τοῦτο διδούς, 10 οὐχ οὕτω τὴν παρὰ τῶν ἄλλων κομίζομαι χάριν.

7 τὸ – ὂν: iunctura philosophica; cf. e.g. Alex. Aphrod. In Metaph. 674,5–6 et Synes. Cyren. Περὶ ἐνυπνίων 19,1,4–5 et Psel. Κατηγορία τοῦ ἀρχιερέως = Or. for. 1,2202 εἰς τὸ μηδαμῇ μηδαμῶς ὂν περιάγειν et Συλλογαὶ διάφοροι καὶ ποικίλαι = Phil. min. II 13 (66,4) μὴ ὂν τὸ μηδαμῇ μηδαμῶς

33 δ' P S: δὲ B | ἡμῖν P S: ὁ μὲν B ‖ **34** post προτεθύμησαι epist. Π 277 (cf. supra) add. P et B: ἀλλ' ἐμεμψάμην ὡς καὶ πολλὰ ἀπεσταλκότα [ἀποσταλέντα B] καὶ τὸν φιλόσοφον ἀγνοήσαντα; ἀλλ' ἐμεμψάμην; μὴ οὕτω μανείην. ἐπήνεσα μὲν οὖν ὡς καὶ φίλτατον τοσούτοις δεξιωσάμενον, καὶ ὡς ἀπηντηκότα κατὰ λόγον πρὸς ἄμφω, πρὸς μὲν τὸν φιλόσοφον τῇ ποιότητι [πιότητι B], πρὸς δὲ τὸν πρόεδρον τῇ ποσότητι, ἀμφοῖν δὲ πρὸς τὸν ποθούμενον. ἀξιῶ οὖν καὶ αὐτὸς μὴ μεμφθῆναι εἰ μή τι ἀξίως τῶν ἀπεσταλμένων καὶ τῆς σῆς γνώμης εἰρήκαμεν ‖ **ep. 280** P 236v, B 189r–v; tit. scripsi: om. P S τοῦ αὐτοῦ εἰς τὸν αὐτ[όν] (scil. πρὸς τὸν βεστάρχην καὶ κριτὴν Μακεδόνος τὸν Χαασάν) B ‖ **1–3** οὐκ οἶδα – συναίτια: ὡρ(αῖον) in marg. B **2** τῆς – φιλίας P S: τῆς περὶ σὲ φιλίας ἐμῆς B ‖ **8** ποιεῖ P S: πιεῖς B **9** σοφιστικῇ δημιουργεῖν P S: δημιουργεῖν σοφιστικῇ B ‖ **10** δέῃ B: δέοι P S **11** οὐχ οὕτω P S: οὐχὶ B

Οἶσθ' οὖν ὅπως διαιτῶ τῷ πράγματι. Καὶ σὺ λίαν εὐγνωμονέστατος, καὶ ὥσπερ βαθύγειος ἄρουρα βραχεῖάν τινα λαμβάνων τοῦ εὐγνωμονεῖν ἀφορμήν, πλείονα τὸν στάχυν τῆς εὐχαριστίας
15 καρποφορεῖς. Αἱρεῖ δέ σε τῶν ἐμῶν οὐ τὸ φιλάδελφον μόνον καὶ συμπαθές, ἀλλὰ καὶ ἡ τῶν λόγων ὥρα, καὶ ἡ ἁρμονία τῶν λέξεων, καὶ ὁ ῥητορικὸς νοῦς, καὶ ἡ τῶν μορίων τοῦ λόγου συνθήκη, καὶ ὅσοις ἄλλοις τὸ τεχνικῶς γράφειν χαρακτηρίζεται.

Καὶ ὅτι μὲν τὴν γνῶσιν τούτων συνείληφα, οὐκ ἂν ἀρνηθείην·
20 ἦ γὰρ ἂν ἐλέγξῃ με καὶ ὁ σοφιστικὸς θρόνος καὶ τὰ πολλὰ περὶ τῆς τέχνης συγγράμματα. Οὐ μὴν οὕτως θέλγω τὰς τῶν πολλῶν ἀκοάς. Θέλγονται μὲν γὰρ ἅπασαι ὅσαι κατήκοοι τῶν ἐμῶν ῥυθμῶν, ἀλλ' οὐχ οὕτως ὡς σύ· καὶ γὰρ ἀτεχνῶς ἔοικάς μοι ἐφ' ἑκάστῃ τῶν ἐμῶν λέξεων ἐνθουσιᾷν καὶ κροτεῖν καὶ πηδᾶν, ἴσως δὲ
25 καὶ ὀρχεῖσθαι· τοῦτο γὰρ καὶ Σωκράτην ἀνέπειθε δρᾶν ἡ τῆς γεωμετρίας ἀπόδειξις. Καὶ οὐ πρὸς ὕβριν ὁ λόγος, ἐπεὶ καὶ Δαυῒδ

13 ὥσπερ – ἄρουρα: Sym. Metaphr. Κλήμεντος τῶν Πέτρου ἐπιδημιῶν κηρυγμάτων ἐπιτομή 159,4 ὥσπερ εἰς βαθύγειόν τινα καὶ λιπαρὰν ἄρουραν cum Ioann. Chrys. Εἰς τὸ Πάτερ, εἰ δυνατόν ἐστι … 1 (PG 51 31,39–40), In Genesim, Hom. 9 (PG 51 76,18–19), De Eleazaro et septem pueris 1 (PG 63 525,9–10), etc.; cf. Psel. Omn. doctr. 186,6 ‖ **19** τὴν – συνείληφα: cf. Psel. Εἰς τὸ 'κἂν τις οἴηται τῷ ἁπλῆς εἶναι φύσεως …' = Theol. I 86,9–11 ὁ γοῦν τὴν ψυχικὴν οὐσίαν ἢ νοερὰν ἀπὸ μέρους εἰδὼς τὴν πᾶσαν τούτων γνῶσιν συνείληφεν ‖ **20** ὁ – θρόνος: dum Psellus πρόεδρος/ὕπατος τῶν φιλοσόφων erat (1047–)? cf. Π 174,49, Π 185,44, Π 196,38–45, et Π 498,9–10; cf. etiam 111,134, 280,47, Π 388,11, et 455,34–35? ‖ **25–26** Σωκράτην – ἀπόδειξις: Xen. Συμπόσιον 2,16–17 καὶ ἐγὼ μέν, ἔφη, πάνυ ἂν ἡδέως, ὦ Συρακόσιε, μάθοιμι τὰ σχήματα παρὰ σοῦ. καὶ ὅς, Τί οὖν χρήσῃ αὐτοῖς; ἔφη. Ὀρχήσομαι νὴ Δία, cf. etiam Psel. Εἰς τὸν Λογγίβαρδον Ἰωάννην καταναγκάζοντα αὐτὸν εἰς τὸ ἑρμηνεῦσαι τάχιον τὰ μαθήματα = Or. min. 18,82 ‖ **26–29** Δαυῒδ – ἀντεπεχείρησε: II Reg. 6,16 et 21 καὶ ἐγένετο τῆς κιβωτοῦ παραγινομένης ἕως πόλεως Δαυιδ καὶ Μελχολ ἡ θυγάτηρ Σαουλ διέκυπτεν διὰ τῆς θυρίδος καὶ εἶδεν τὸν βασιλέα Δαυιδ ὀρχούμενον καὶ ἀνακρουόμενον ἐνώπιον κυρίου καὶ ἐξουδένωσεν αὐτὸν ἐν τῇ καρδίᾳ αὐτῆς ... καὶ εἶπεν Δαυιδ πρὸς Μελχολ Ἐνώπιον κυρίου ὀρχήσομαι· ... καὶ παίξομαι καὶ ὀρχήσομαι ἐνώπιον κυρίου, cf. etiam Psel. Ἐγκώμιον εἰς τὴν ἀποτομὴν … Ἰωάννου = Or. hag. 8,140–141

13 βαθύγειος scripsi: βαθύγεως P S βαθύγειως B | βραχεῖάν – λαμβάνων P S: βραχεῖαν λαμβάνων τινὰ B ‖ **18** γράφειν : γράφεσθαι S ‖ **19** συνείληφα P S: κατείληφα B ‖ **20** ἦ B: ἢ P S ‖ **23** καὶ γὰρ P S: σὺ γὰρ B ‖ **24** ἐμῶν P S: om. B
25 γὰρ P S: δὲ B ‖ **26–27** ἐπεὶ – ἀλώσιμος : [ca. 14 litt.]ώσιμος B

ἁλώσιμος τῷ πάθει γέγονεν, ὅτε τὴν κιβωτὸν ἀνεσώσατο, καὶ πρὸς τὴν τοῦ Σαοὺλ θυγατέρα, διαλοιδορησαμένην αὐτῷ τὴν ποιὰν κίνησιν, θείως ἀντεπεχείρησε.

Τοῦτο δὲ οὐ τὴν ἐμὴν ἐλέγχει σοφίαν ἴσως, ἀλλὰ τὴν σὴν 30 ἀνακαλύπτει φιλοσοφίαν· τρεῖς γὰρ τάξεις ταύτας τίθησιν ὁ λόγος, δι' ἃς ὁ τῶν κρειττόνων ἀνάγεται ἐραστής: τὴν ἐρωτικήν, τὴν φιλόμουσον, καὶ τὴν φιλόσοφον. Τὴν γέ τοι ἁρμονίαν μὴ ἐν μέλεσι μόνον ἡγοῦ, ἀλλὰ καὶ ἐν ἔπεσι καὶ λόγῳ πεζῷ· γίνονται δὲ κατακώχιμοι, οἱ μὲν τοῖς αὐλήμασι, οἱ δὲ τοῖς ῥυθμοῖς, οἱ δὲ ταῖς 35 ἁρμονίαις τῶν λόγων· ἔστι δὲ διάφορα καὶ τὸ θέλγον καὶ τὸ θελγόμενον.

Ἀλλὰ σὺ τῇ ἐμῇ μούσῃ τεθήρασαι, καὶ πρὸς ταύτην κορυβαντιᾷς ἄντικρυς· καίτοι γε (νὴ τὴν ἱεράν σου ψυχήν!) φιλοσοφίαν μὲν τιμῶ, ῥητορικὴν δὲ ἐπαινῶ· ἐπαινῶ δὲ οὕτως, ὥσπερ οἱ ἠπειρῶται 40 τὴν θάλασσαν· «Χαῖρε» γάρ «μοι, ὦ θάλασσα» ὁ βοηλάτης φησίν· ἀλλὰ καὶ ὁ ναυτικὸς τὴν μὲν μικρὰν ἐπαινεῖ ναῦν, ἐπὶ δὲ τῇ μεγάλῃ τὰ φορτία τίθησι. Καὶ βουλοίμην ἂν τῇ φιλοσοφίᾳ παραρ-

31–33 τρεῖς – φιλόσοφον: cf. Plat. Φαῖδρος 248d2–4 ἀνδρὸς γενησομένου φιλοσόφου ἢ φιλοκάλου ἢ μουσικοῦ τινος καὶ ἐρωτικοῦ et Procl. In Remp. I 59,4–7 etc. καὶ τρεῖς ἐποίησεν τοὺς τὸν ἀναγωγὸν καὶ ἐπιστρεπτικὸν ἑλομένους βίον ... τὸν φιλόσοφον, τὸν ἐρωτικόν, τὸν μουσικόν et In Eucl. 21,4–7 ὁ δὲ ἐν τῷ Φαίδρῳ Σωκράτης τρεῖς ἡμῖν παραδίδωσι τοὺς ἀναγομένους, οἳ καὶ τὸν πρώτιστον αὐτοῦ συμπληροῦσι βίον· τὸν φιλόσοφον, τὸν ἐρωτικόν, τὸν μουσικόν ‖ **35** κατακώχιμοι – αὐλήμασι: Synes. Cyren. Δίων 18,4 καὶ μένουσι χρόνον ὑπόσυχνον τοῖς αὐλήμασι κατακώχιμοι (cf. etiam Suda κ 597); cf. Π 110,41–42 ‖ **43–44** βουλοίμην – κατοικεῖν: Ps. 83,11 ἐξελεξάμην παραρριπτεῖσθαι ἐν τῷ οἴκῳ τοῦ θεοῦ μᾶλλον ἢ οἰκεῖν ἐν σκηνώμασιν ἁμαρτωλῶν, cf. etiam Psel. Χρονογραφία III,15, Ἕτερος λόγος πρὸς … Κωνσταντῖνον τὸν Μονομάχον = Or. pan. 4,189–191, Εἰς τὸν … μητροπολίτην Μελιτηνῆς = Or. fun. I 5,3,26–30, et Ἐγκώμιον εἰς … Νικόλαον μοναχὸν … = Or. fun. I 10,15,15–17

27 ὅτε B: ὅταν P S ‖ **28** τοῦ – διαλοιδορησαμένην : [ca. 25 litt.]ρησαμένην B **30** τὴν[1] – σοφίαν : [ca. 20 litt.] B ‖ **31** γὰρ P S: om. B ‖ **31–32** ταύτας – ἐραστής : [ca. 26 litt. ... ἃς ὁ … ca. 16 litt. ... γ ... ca. 13 litt. τ]ὴν B **32–33** τὴν φιλόμουσον : [......]όμουσον B ‖ **33** καὶ – φιλόσοφον : [..........]σοφον B ‖ **34** ἔπεσι P B S: τοῖς ἔπεσι ante corr. P ‖ **35** κατακώχιμοι scripsi: κατακώφιμοι P S καταχ[......] B | αὐλήμασι : αὐλή[....] B ‖ **37–38** θελγόμενον. ἀλλὰ: θελγόμεν[.....]ὰ B ‖ **41** θάλασσα B: θάλαττα P S ‖ **42** ναυτικὸς B: ναυπηγὸς P S

ριπτεῖσθαι, ἢ ἐν σκηνώμασι τῆς ῥητορικῆς κατοικεῖν, ἀλλ' (οὐκ
45 οἶδ' ὅπως) θάτερον διώκων, ὑπὸ θατέρου κατείλημμαι, καὶ
φιλοσοφίαν κοσμοῦντα, ἡ τέχνη κοσμεῖ. Καὶ προκάθημαι μὲν τῶν
δυεῖν τούτων κόσμων καὶ μεθόδων, ἀλλὰ πρὸς μὲν τὴν ἀφοσιοῦ-
μαι, τὴν δὲ πρεσβεύω· καὶ βαδίζοντι πρὸς τὴν ἐλαίαν καὶ τὴν
συκῆν καὶ τὴν ἄμπελον, ἡ ἐρινεὸς καὶ βάτος μοι περιπέπλεκται·
50 ἅτινα δὴ αἱ τῶν ἐμῶν λόγων εἰσὶν ἀδιήγητοι χάριτες.

Τούτων ἑάλως μετὰ πλειόνων καὶ σύ. Καὶ τὸ πρόχειρον
ἀγαπᾷς, καὶ τὸ προβεβλημένον τοῦ λόγου ποθεῖς· τὸν δὲ φιλόσο-
φον ὄγκον (οὐκ οἶδ' ὅπως) ἀποτροπιάζῃ. Διὰ ταῦτα δὴ καὶ ἡμεῖς
διπλῇ τοὺς λόγους μετακεχειρίσμεθα, πῇ μὲν αἱμύλως καὶ πολιτι-
55 κῶς, πῇ δὲ φιλοσόφως καὶ αὐχμηρῶς, ἵν' εἰ μὴ ἀμφοτέρῳ, θατέρῳ
αἱρήσομεν τὸν ὁμιλητήν. Οὕτω καὶ Ἡρακλῆς αἱμυλίᾳ γλώττης
καὶ λεοντῇ τοὺς ἀνθρώπους κατηγωνίζετο· καὶ πρὸς μὲν φιλοσο-

46–47 προκάθημαι – μεθόδων: dum Psellus πρόεδρος/ὕπατος τῶν φιλοσόφων erat (1047–)? cf. Π 174,49, Π 185,44, Π 196,38–45, et Π 498,9–10; cf. etiam 111,134, 280,20, Π 388,11, et 455,34–35? ‖ **48–49** τὴν[2] – ἄμπελον: cf. Hom. Od. 24,246 οὐ συκῆ, οὐκ ἄμπελος, οὐ μὲν ἐλαίη ‖ **49** ἡ – περιπέπλεκται: cf. Psel. Κατηγορία τοῦ ἀρχιερέως = Or. for. 1,1806–1811 ὥσπερ γὰρ εἴ τις ἅπαξ εἰς ἐρινεὸν καὶ βάτον ἐμπεπτωκώς—φυτὰ δὲ ταῦτα ἀκάνθαις ἐξηνθηκότα καὶ ἐπιμήκεις τοὺς κλάδους βλαστάνοντα—ὅσῳπερ ἂν ἀπολύειν ἑαυτὸν ἐπιχειρῇ τῶν ἀκανθῶν, τοσούτῳ προσπεριπλέκει ἑαυτῷ ταῦτα καὶ οὐκ ἂν ῥᾷστα ἐκεῖθεν ἀπαλλαγείη ‖ **43–50** καὶ βουλοίμην – χάριτες: cf. Π 125,97–99 οὕτω δὴ κἀγὼ τῇ ῥητορικῇ τὴν φιλοσοφίαν συντίθημι, καὶ πρὸς ἀμφοτέρας δι' ἀμφοτέρων ἁρμόζομαι, Π 126,103–105 καὶ δίδου ἐξ ἑκατέρων κρατήρων παρὰ μέρος ἀρρύεσθαι, ἢν μὴ βούλῃ τοῦτον, ἢ νοῦν ἔχειν ἄγλωττον παρὰ μόνην φιλοσοφίαν, ἢ γλῶτταν ἄνουν παρὰ μόνην ῥητορικήν, et Π 134,39–41 ἔστι δέ, ὦ λῷστε, καὶ φιλοσοφία ῥητορική, καὶ ῥητορεία φιλόσοφος, θάτερον δὲ μέρος πολιτικόν (φασιν οἱ πολλοί). cf. etiam Papaioannou 2013,29–50 ‖ **51–52** τὸ πρόχειρον … καὶ τὸ προβεβλημένον τοῦ λόγου: Herm. In Phaedr. 54,21 τοὺς λόγους, μὴ προχείρους δὲ μηδὲ προβεβλημένους ‖ **55** φιλοσόφως – αὐχμηρῶς: cf. Τιμαρίων 36-37 φιλοσόφως καίτοι γε καὶ αὐχμηρῶς ἐσταλμένους ‖ **56–57** Ἡρακλῆς – κατηγωνίζετο: cf. Π 269,37–39 ὅ γε Ἡρακλῆς αὐτός τε ἀκαταγώνιστος καὶ οἷς ἀντεμβάλλει ῥᾳδίως χειροῦται, καὶ πόρρωθεν δὲ καταδειμαίνει τῇ λεοντῇ

47 κόσμων καὶ B: om. P S ‖ **48** βαδίζοντι B: βαδίζοντα P S **52** προβεβλημένον : προβ[..]λ[...]ον B ‖ **53** ἀποτροπιάζῃ P S: ἀποτροπιάζεις B | διὰ P S: om. B | ἡμεῖς P S: ἐμοὶ B ‖ **55** ἀμφοτέρῳ P S: ἀμφότερον B **57** λεοντῇ τοὺς : λεον[......] B

φίαν ἡ λεοντῆ λόγον ἔσχηκεν, ἡ δὲ περιβολὴ τῆς γλώττης ἄντικρυς ἐστι ῥητορικὸν ἐπιτήδευμα.

Ἆρ' οὖν σὲ μὲν οὕτως αἱρῶ τοῖς ἐμοῖς λόγοις, ὑπὲρ δὲ σοῦ λέγων ἑτέραν ἠχὴν μεθαρμόσομαι; Πολλοῦ γε καὶ δεῖ. Ἀλλὰ τότε δὴ καὶ τὴν λύραν χορδολογῶ, καὶ παρεσκεύασμαι ὡς ἐμμελέστερον ᾄσω, καὶ μεταβάλλω συχνῶς, ἄλλην ἐπ' ἄλλῃ τὴν ἁρμονίαν ποιούμενος, καὶ τοῖς ἐμοῖς ῥυθμοῖς ἀκοὴ πᾶσα ἁλώσιμος. Οὐδέν τι πλέον ἐρῶ ἵνα μὴ κομπάσω τὸ πρᾶγμα. 60 65

Τοὺς δὲ Ῥοδινώτας οὐκ οἶδα πότερον σὺ πέφευγας, ἢ ἐκεῖνοί σε πεφεύγασιν, ἐπεὶ καὶ ἀσύμβατά πως θρασύτης καὶ ἐπιείκεια, βάρβαρον ἦθος καὶ τρόπος φιλόσοφος· τὸ δὲ ἀξιωματικὸν τῆς σῆς πρὸς εὐγνωμοσύνην ψυχῆς, ἀγριωπῶν μὴ καταβίβαζε χάρισι, μηδὲ τοὺς ἀστέρας ἐπιθόλου ἀχλύϊ, μηδὲ συσκίαζε νέφει τὸν ἥλιον· ἀρκετὰ γὰρ ἡμῖν ἐκεῖνα: ὁ ἥλιος, ὁ ἀστήρ, τὸ ἀξίωμα. 70

LXIII. Εὐστράτιος Χοιροσφάκτης († Aug. 1071, Manzikert)

μάγιστρος, πρωτονοτάριος τοῦ δρόμου

281. Τῷ Χοιροσφάκτῃ

a. 1068, militiis ab Romano IV Diogene inceptis; eodem tempore ut Π 25, Π 21, et Π 152 [vid. epistolarum ordinem in L] et etiam Π 24, Π 151, Π 282a = Π 282b, Π 22, et Π 283; cf. etiam Π 292 et Π 504?

K-D 147 [L]

Οὐδὲ γρῦ ὁ Χοιροσφάκτης τὰ πρὸς ἡμᾶς; Ἡμεῖς δὲ αὐτὸν καὶ μνήμαις ἔχομεν καὶ ἐν ὁμιλίαις σοφῶν περιφέρομεν· καὶ οὐκ ἔστιν ὅτε ἐπιλελήσμεθα. Ἀλλ' οἶδα ὅ τι ἀπολογήσῃ· φήσεις γάρ, ὡς οὐ πάνυ θαρρεῖς τὰς πρός με ἐπιστολάς. Καὶ (ἵνα μὴ πολλὰ ἐρῶ) πῶς τὰς ζώσας ὁμιλίας θαρρεῖς; Ῥᾳθυμίας ταῦτα (ἵνα μὴ ἀφιλίας 5

LXIII † Aug. 1071, Manzikert: cf. Mich. Attal. Ἱστορία 167 ‖ **1** οὐδὲ γρῦ: proverbium, cf. Suda γ 461 ... Ἀριστοφάνης Πλούτῳ· καὶ ταῦτ' ἀποκρινομένου τοπαράπαν οὐδὲ γρῦ, ο 779 οὐδὲ γρὺ λόγων ἀψάμενος ... Ἰουλιανός, τ 730 τὸ Δίωνος γρῦ. cf. Π 24,1, Π 144,45, et Π 437,5

64 οὐδέν P S: καὶ οὐδέν B ‖ **69** χάρισιν B ‖ **ep. 281** L 71v–72r; tit. L K-D

ἐρῶ) προκαλύμματα. Γράφε θαρρούντως ἀφελῶς καὶ ἰδιωτικῶς, πρὸς φίλον ἀληθινόν, καὶ τῆς μὲν ἐν γλώττῃ σοφίας καταφρονοῦντα, ἐραστὴν δὲ ὄντα τῆς ἁπλοϊκωτέρας καὶ ἀληθοῦς.

Ὁ δὲ Γορδιασοῦ, ἡμέτερος ὤν, ἀτυχεῖ νῦν τὰ πολλά· ἐπίκειται
10 γὰρ αὐτῷ ἰσχυρῶς ὁ Ματιάνης ἐπίσκοπος. Κατάλλαξον οὖν αὐτὸν τῷ ἀνδρί· εὐμενῶς δὲ καὶ τοῦτον ὑπόδεξαι, ἵνα γνῷ οἷον φίλον ὁ ὑπέρτιμος τὸν Χοιροσφάκτην εὐτύχηκεν.

282a. ⟨Τῷ μαγίστρῳ Εὐστρατίῳ καὶ πρωτονοταρίῳ τοῦ δρόμου τῷ Χοιροσφάκτῃ⟩

a. 1068, militiis ab Romano IV Diogene inceptis; eodem tempore ut Π 22 et Π 283 [vid. epistolarum ordinem in D] et etiam Π 25, Π 281, Π 21, Π 152, Π 24, et Π 151; cf. etiam Π 292 et Π 504? versio prima [O; cf. D]; cf. Π 282b = versio altera [P et D]

ined. [O]

Λαμπρότατε ἀδελφέ, μᾶλλον δὲ τὰ συνήθη καὶ εἰωθότα, ποθεινοτάτη ψυχή, ἐγὼ μὲν παρὰ φιλοσοφ[ίας μαθὼν ὡς οὐ διΐ]στανται ἀλλήλων οἱ διὰ φιλίας ἀληθοῦς ἡνωμένοι (ἔστι γὰρ θάτερος ἐν θατέρῳ, καὶ ἑκάτερος ἑκάτερον ἀγαλματοφορεῖ ἐν τῇ

9 ὁ δὲ Γορδιασοῦ: episcopus (vel abbas?) in Gordiason (TIB 2 183–4), de quo cf. etiam Π 21,11, Π 25,28, Π 152,4, et Π 292,4 ‖ **10** Ματιάνης ἐπίσκοπος: ad quem Π 292? de Matiane cf. TIB 2, 231 ‖ **4** ἀγαλματοφορεῖ: vox Philonica; cf. e.g. Περὶ τῆς κατὰ Μωυσέα κοσμοποιίας 18 cum Suda α 136 ἀγαλματοφορούμενος: ἀγάλματα ἤτοι τύπους τῶν νοηθέντων φέρων ἐν ἑαυτῷ. οὕτως Φίλων. cf. Π 209,53 et Π 282b,4

ep. 282a O 486r; P 218r, D 268r = Π 282b (versio altera); tit. scripsi (cf. Π 282b = P S): deest O D ‖ **1** τὰ – εἰωθότα O (cf. Malt[2],188) Π 282b,1 (D): καὶ συνήθης καὶ εἰωθυῖα καὶ P ‖ **2** ἐγὼ O: ἔχω Π 282b,2 ‖ **2–3** φιλοσοφίας – διΐστανται scripsi (cf. Π 282b,2–3): φιλοσοφ[ca. 15 litt.]στανται O ‖ **3** ἀλλήλων O: ἀπ' ἀλλήλων Π 282b,3 ‖ **4** θάτερος scripsi (cf. Π 282b,4): ἕτερος O | ἑκάτερον ἀγαλματοφορεῖ scripsi (cf. Π 282b,4): ἑ[ca. 13 litt.]τοφορεῖ O

οἰκείᾳ ψυχῇ, οὐ χαλκοῦν τινα καὶ σφυρήλατον, ἀλλ' αὐτοφυῆ καὶ αὐ[τόχυτον), νῦν] οὐ πάνυ τι τῷ λόγῳ τούτῳ τυγχάνω ἁλώσιμος· ἔχων γάρ ὅλον ἐν τῇ ψυχῇ καὶ νοητῶς [ἀναθεωρῶν, ὅτι] μὴ καὶ τοῖς ὀφθαλμοῖς σε θεωρῶ, ἔλαττον ἔχειν οὗ βούλομαι ἥγημαι (ἵνα μὴ λέγω ὅτι ἐ[στέρημαι τοῦ παντός])· εἰ γὰρ καὶ ὑψηλότερόν τι πρᾶγμα φαντασία αἰσθήσεως, ἀλλ' ἐκείνη μὲν εἰδωλικῶς ἀνατυποῖ τὸ [ποθούμενον], αἴσθησις δὲ αὐτὴν ἔχει τὴν φύσιν τοῦ ζητουμένου. 5 10

Πότε οὖν ἴδοιμι; Πότε τὰ κοινὰ καὶ εἰωθότα συνομιλήσαιμι; Ὡς ἐκκέχυταί μοι (νὴ τὴν ἱεράν σου ψυχήν!) ἐπ' αὐτῶν ἡ ψυχή· καί με σφοδραὶ ὠδῖνες ἐρώτων περὶ τούτου κατέχουσι· καὶ ἤδη 15

5–6 οὐ – αὐτόχυτον: cf. Πρὸς τὸν λοίδορον ῥίψαντα χάρτην = Or. min. 7,114–115 ὥσπερ ἔνια τῶν ἀγαλμάτων αὐτόχυτον ἢ σφυρήλατον τὸν γέλωτα ἴσχει. cf. Π 282b,5–6. iunctura in Ann. Comn. Ἀλεξιὰς XIII 2,1 εἶπες ἂν χαλκοῦς ἀνδριάντας ὁρᾶν καὶ αὐτοχύτους τινὰς στρατιώτας et Mich. Ital. Epist. 22 (170,18) ὡς πάντες καθάπερ τινὲς αὐτόχυτοι καὶ αὐτοχάλκευτοι ἀνδριάντες laudata? ‖ **2–6** ἐγὼ – ἁλώσιμος: cf. Π 385,1–5 ἤκουσα πολλάκις σοφοῦ τινος λέγοντος, ὡς ἡ νοερὰ τῶν ψυχῶν ὁμιλία ἀκριβεστέρα τῆς διὰ τῶν σωμάτων παρουσίας ἐστί. καὶ με ὁ εἰπὼν ἐθηράσατο παρευθύ· ἔχει γὰρ ὁ λόγος ἐπηρμένην διάνοιαν. ἀλλὰ νῦν βασανίζων τὸν νοῦν, οὔτε τῷ εἰρηκότι οὔτε ἐμαυτῷ πέπεισμαι. cf. Π 282b,2–6 ‖ **14** ὡς – ψυχή: cf. Π 118,79–80 καί μοι ἐκκέχυται πρὸς ἀμφοτέρους ὑμᾶς ἡ ψ[υχή] et Π 282b,13–14. iunctura Pselliana in Eumath. Macremb. Τὸ καθ' Ὑσμίνην καὶ Ὑσμινίαν δρᾶμα 11,17,24 ἐγὼ δ' ὅλην ὑφ' ἡδονῆς ἐκκέχυμαι τὴν ψυχήν, Nic. Chon. Χρονικὴ Διήγησις 444,23–24 πρὸς δέ γε τὴν θεομήτορα τοσαύτην ἔτρεφε πίστιν, ὡς καὶ τὴν ψυχὴν ἐκκεχύσθαι ταῖς εἰκόσιν αὐτῆς laudata? ‖ **15** ὠδῖνες ἐρώτων: cf. e.g. Procl. Περὶ τῆς κατὰ Πλάτωνα θεολογίας 2,57,1 τῶν ὠδίνων λήγει καὶ τοῦ ἔρωτος. cf. Π 282b,15

6 αὐτόχυτον νῦν scripsi: αὐ[ca. 10 litt.] O αὐτόχυτον. νῦν δὲ Π 282b,6 ‖ **7** ὅλον O: σε ὅλον Π 282b,7 | ἀναθεωρῶν ὅτι scripsi (cf. Π 282b,7): [ca. 12 litt.] O ‖ **8** σε O: om. Π 282b,8 | οὗ βούλομαι scripsi (cf. D et Malt[2],188): οὐ βούλομαι O τοῦ βουλομένου P ‖ **9** ἐστέρημαι – παντός scripsi (cf. Π 282b,9): ἐ[ca. 15 litt.] O **10** πρᾶγμα O: χρῆμα Π 282b,10 | εἰδωλικῶς O (cf. Malt[2],188) Π 282b,10 (cf. D et Alb): εἰδωτικῶς P ‖ **11** ποθούμενον scripsi (cf. Π 282b,11): [ca. 10 litt.] O **13** μᾶλλον δὲ πότε κοινῇ τῷ βασιλεῖ παρασταίημεν post συνομιλήσαιμι add. Π 282b,13 ‖ **14** ἐπ' αὐτῶν O: om. Π 282b,15 ‖ **15** περὶ τούτου O: om. Π 282b,16

που ἀπείρηκα περιμένων τὴν ὑμετέραν ἐπάνοδον. Ὑμεῖς δὲ ἄρα λελή[θατε] ἐπέκεινα τῆς Ἰνδικῆς ἐλαύνοντες.

Ἀλλὰ ταῦτα μὲν θεῷ καὶ ὑμῖν μελήσει· ἴσως γὰρ σμικροπρεπὴς [ἐγὼ] καὶ μικρόψυχος, τὸ δὲ καθ' ὑμᾶς, μεγαλεπήβολον καὶ
20 βαθύγνωμον. Καὶ τὸ μὲν μέτρον τοῦ ἀμέτρου φιλοσοφώτερον, τὸ δὲ ἄμετρον τοῦ μέτρου πληθυντικωτέρον καὶ ἐρασμιώτερον τοῖς πράγμασι. [ca. 12 litt.] ἐπιλήσῃ ποτέ, ἣν μὴ βούλῃ ἐπιλελῆσθαι παρὰ θεοῦ, ἀλλὰ μνημόνευέ μου καὶ τῶν παίδων τῶν λο[γικῶν· οὗτοι] γὰρ ἐν ταῖς σαῖς χερσὶν εἰ ἐγὼ ἀποβιῴην ἀνατέθηνται παρ'
25 ἐμοῦ, ὧν μοι μάλιστα μέλει ἢ τῆς ψυχῆς.

16 ὑμεῖς (et supra l. 13 ⟨ὑμᾶς⟩): amici Pselli in Cappadocia militiis ab Romano IV Diogene inceptis; cf. e.g. Π 283,9 ὑμῖν τοῖς ἀγαπῶσί με ‖ **17** ἐπέκεινα – ἐλαύνοντες: proverbium; cf. Bas. Caes. Epist. 1,31–33 ἐπέκεινα ἄν σε καὶ Νύσης τῆς Ἰνδικῆς ἐλθεῖν ἀγόμενον, καί, εἴ τι ἔσχατον τῆς καθ' ἡμᾶς οἰκουμένης χωρίον cum Areth. Δημηγορία ἐπιτραπέζιος ὑπὸ παρουσίᾳ Λέοντος τοῦ εὐσεβοῦς βασιλέως = Scr. min. 61 (29,14–15) καὶ Νύσσαν ὑπερβαίνων τὴν Ἰνδικήν. cf. etiam Eustath. Thess. In Dion. perieg. 625,7–13 Νύσσαι δέ, φασί, διάφοροι, Αἰθιοπικὴ, Ἀραβικὴ, Εὐβοϊκὴ ... εἰσὶ δὲ καὶ ἄλλαι Νύσσαι, ὡς οἱ τὰ Ἐθνικὰ γράψαντες λέγουσι. Φασὶ δὲ τοὺς περὶ τὴν Νυσσαίαν Ἰνδικὴν ταύτην ὁδὸν ὄντας καὶ τοὺς περὶ τὸ Νυσσαῖον ὄρος τοῦτο οἰκοῦντας ἀνθρωποφάγους εἶναι. cf. Π 282b,16–17 ‖ **19–20** μεγαλεπήβολον – βαθύγνωμον: cf. Π 282b,21–22 cum Π 138,15–16 τῇ σῇ βαθυγνώμονι καὶ μεγαλεπηβόλῳ ψυχῇ et Π 140,22 ψυχήν, τὴν ὄντως μεγαλεπήβολόν τε καὶ βαθύγνωμον ‖ **23** μνημόνευέ – λογικῶν: cf. Π 118,65 τὰ φίλτατα et 92 μέμνησθέ μου τῆς παρακαταθήκης· τίς αὕτη; τὰ φίλτατα? | τῶν[1] – λογικῶν: cf. Psel. Εἰς τὸ 'αἰὼν γὰρ οὔτε χρόνος …' = Theol. I 88,91 ὦ παῖδες ἐμοί, οὓς λογικῶς ὠδίνησα καὶ ἀπέτεκον

16 που O: om. Π 282b,15 | τὴν ὑμετέραν O (cf. Malt[2],188): σου τὴν Π 282b,15 ὑμεῖς O (cf. Malt[2],188): σὺ Π 282b,16 ‖ **17** λελήθατε scripsi: λελή[....] O λέληθας Π 282b,16 | Ἰνδικῆς Νύσσης Π 282b,16 | ἐλαύνοντες O: ἐλαύνων. οὐδ' ἱκανά σοι τὰ κατωρθωμένα, ἀλλ' εἰ μὴ καὶ τὴν θάλασσαν καὶ τὴν γῆν παραστήσεις σύμπασαν, οὐκ ἀρκεῖν οἴει Π 282b,17–18 ‖ **18** ταῦτα scripsi (cf. Π 282b,20): τούτων O | ὑμῖν O (cf. Malt[2],188): σοὶ Π 282b,20 ‖ **19** ἐγὼ scripsi (cf. Π 282b,21): [...] O | καθ' ὑμᾶς O (cf. Malt[2],188): κατὰ σέ Π 282b,21 ‖ **20** μέτρον O Π 282b,22 (cf. D et Malt[2],188): μέτριον P ‖ **21** ἐρασμιώτερον O Π 282b,23 (cf. D et Malt[2],188): ἐρασμιώτατον P ‖ **21–22** post τοῖς πράγμασι des. Π 282b **22** ἐπιλελῆσθαι scripsi: ἐπιμελῆσθαι O ἐπιμελεῖσθαι Malt[2],188 ‖ **23** παίδων τῶν O: πάντων Malt[2],188 ‖ **24** λο[γικῶν· οὗτοι] scripsi: λόγων· οὗτοι dubitanter prop. Malt[2],188

282b. Τῷ μαγίστρῳ Εὐστρατίῳ καὶ πρωτονοταρίῳ τοῦ δρόμου τῷ Χοιροσφάκτῃ

a. 1068, militiis ab Romano IV Diogene inceptis; eodem tempore ut Π 22 et Π 283 [vid. epistolarum ordinem in D] et etiam Π 25, Π 281, Π 21, Π 152, Π 24, et Π 151; cf. etiam Π 292 et Π 504? versio altera [retractatio? Pselli?], codd. P et D; cf. Π 282a = versio prima [O]

S 124 [P]

Λαμπρότατε ἀδελφέ, μᾶλλον δὲ τὰ συνήθη καὶ εἰωθότα, ποθεινοτάτη ψυχή, ἔχω μὲν παρὰ φιλοσοφίας μαθὼν ὡς οὐ διΐστανται ἀπ' ἀλλήλων οἱ διὰ φιλίας ἀληθοῦς ἡνωμένοι· ἔστι γὰρ θάτερος ἐν θατέρῳ, καὶ ἑκάτερος ἑκάτερον ἀγαλματοφορεῖ ἐν τῇ οἰκείᾳ ψυχῇ, οὐ χαλκοῦν τινα καὶ σφυρήλατον, ἀλλ' αὐτοφυῆ καὶ αὐτόχυτον. Νῦν δὲ οὐ πάνυ τι τῷ λόγῳ τούτῳ τυγχάνω ἁλώσιμος· ἔχων γάρ σε ὅλον ἐν τῇ ψυχῇ καὶ νοητῶς ἀναθεωρῶν, ὅτι μὴ καὶ τοῖς ὀφθαλμοῖς θεωρῶ, ἔλαττον ἔχειν οὗ βούλομαι ἥγημαι (ἵνα μὴ λέγω ὅτι ἐστέρημαι τοῦ παντός)· εἰ γὰρ καὶ ὑψηλότερόν τι χρῆμα

4 ἀγαλματοφορεῖ: vox Philonica; cf. e.g. Περὶ τῆς κατὰ Μωυσέα κοσμοποιίας 18 cum Suda α 136 ἀγαλματοφορούμενος: ἀγάλματα ἤτοι τύπους τῶν νοηθέντων φέρων ἐν ἑαυτῷ. οὕτως Φίλων. cf. Π 209,53 et Π 282a,4 ‖ **5–6** οὐ – αὐτόχυτον: cf. Πρὸς τὸν λοίδορον ῥίψαντα χάρτην = Or. min. 7,114–115 ὥσπερ ἔνια τῶν ἀγαλμάτων αὐτόχυτον ἢ σφυρήλατον τὸν γέλωτα ἴσχει. cf. Π 282a,5–6. iunctura in Ann. Comn. Ἀλεξιὰς XIII 2,1 εἶπες ἂν χαλκοῦς ἀνδριάντας ὁρᾶν καὶ αὐτοχύτους τινὰς στρατιώτας et Mich. Ital. Epist. 22 (170,18) ὡς πάντες καθάπερ τινὲς αὐτόχυτοι καὶ αὐτοχάλκευτοι ἀνδριάντες laudata? ‖ **2–6** ἔχω – ἁλώσιμος: cf. Π 385,1–5 ἤκουσα πολλάκις σοφοῦ τινος λέγοντος, ὡς ἡ νοερὰ τῶν ψυχῶν ὁμιλία ἀκριβεστέρα τῆς διὰ τῶν σωμάτων παρουσίας ἐστί. καὶ με ὁ εἰπὼν ἐθηράσατο παρευθύ· ἔχει γὰρ ὁ λόγος ἐπηρμένην διάνοιαν. ἀλλὰ νῦν βασανίζων τὸν νοῦν, οὔτε τῷ εἰρηκότι οὔτε ἐμαυτῷ πέπεισμαι. cf. Π 282a,2–6

ep. 282b P 218r, D 268r; O 486r = Π 282a (versio prima); tit. P S: deest D Π 282a ‖ **1** τὰ – εἰωθότα D Π 282a,1: καὶ συνήθης καὶ εἰωθυῖα καὶ P S ‖ **2** ἔχω P D S: ἐγὼ Π 282a,2 ‖ **3** ἀπ' P D S: om. Π 282a,3 ‖ **4** θάτερος P D S Π 282a,4 (scripsi): ἕτερος O ‖ **6** αὐτόχυτον. νῦν δὲ P D S: αὐτ[ca. 10 litt.] O αὐτόχυτον, νῦν Π 282a,6 (scripsi) ‖ **7** σε ὅλον P D S: ὅλον Π 282a,7 | ἀναθεωρῶν ὅτι P D S: [ca. 12 litt.] O ‖ **8** θεωρῶ P D S: σε θεωρῶ Π 282a,8 | οὗ βούλομαι D (cf. Malt[2],188), Π 282a,8 (scripsi): οὐ βούλομαι O τοῦ βουλομένου P S **9** ἐστέρημαι – παντός P D S: ἐ[ca. 15 litt.] O | χρῆμα P D S: πρᾶγμα Π 282a,10

10 φαντασία αἰσθήσεως, ἀλλ' ἐκείνη μὲν εἰδωλικῶς ἀνατυποῖ τὸ ποθούμενον, αἴσθησις δὲ αὐτὴν ἔχει τὴν φύσιν τοῦ ζητουμένου.

Πότε οὖν σε ἴδοιμι; Πότε τὰ κοινὰ καὶ εἰωθότα συνομιλήσαιμι; Μᾶλλον δὲ πότε κοινῇ τῷ βασιλεῖ παρασταίημεν; Ὡς ἐκκέχυταί μοι (νὴ τὴν ἱεράν σου ψυχήν!) ἡ ψυχή· καί με σφοδραὶ 15 ὠδῖνες ἐρώτων κατέχουσι· καὶ ἤδη ἀπείρηκα περιμένων σου τὴν ἐπάνοδον. Σὺ δὲ ἄρα λέληθας ἐπέκεινα τῆς Ἰνδικῆς Νύσσης ἐλαύνων, οὐδ' ἱκανά σοι τὰ κατωρθωμένα, ἀλλ' εἰ μὴ καὶ τὴν θάλασσαν καὶ τὴν γῆν παραστήσεις σύμπασαν, οὐκ ἀρκεῖν οἴει.

13 τῷ βασιλεῖ: Romanus IV Diogenes (imperator: 1.I.1068 – a. 1071) (Π XIV) **13–14** ὡς – ψυχή: cf. Π 118,79–80 καί μοι ἐκκέχυται πρὸς ἀμφοτέρους ὑμᾶς ἡ ψ[υχή] et Π 282a,14. iunctura Pselliana in Eumath. Macremb. Τὸ καθ' Ὑσμίνην καὶ Ὑσμινίαν δρᾶμα 11,17,24 ἐγὼ δ' ὅλην ὑφ' ἡδονῆς ἐκκέχυμαι τὴν ψυχήν, Nic. Chon. Χρονικὴ Διήγησις 444,23–24 πρὸς δέ γε τὴν θεομήτορα τοσαύτην ἔτρεφε πίστιν, ὡς καὶ τὴν ψυχὴν ἐκκεχύσθαι ταῖς εἰκόσιν αὐτῆς laudata? ‖ **15** ὠδῖνες ἐρώτων: cf. e.g. Procl. Περὶ τῆς κατὰ Πλάτωνα θεολογίας 2,57,1 τῶν ὠδίνων λήγει καὶ τοῦ ἔρωτος. cf. Π 282a,15 **16–17** ἐπέκεινα – ἐλαύνων: proverbium; cf. Bas. Caes. Epist. 1,31–33 ἐπέκεινα ἄν σε καὶ Νύσης τῆς Ἰνδικῆς ἐλθεῖν ἀγόμενον, καί, εἴ τι ἔσχατον τῆς καθ' ἡμᾶς οἰκουμένης χωρίον cum Areth. Δημηγορία ἐπιτραπέζιος ὑπὸ παρουσίᾳ Λέοντος τοῦ εὐσεβοῦς βασιλέως = Scr. min. 61 (29,14–15) καὶ Νύσσαν ὑπερβαίνων τὴν Ἰνδικήν. cf. etiam Eustath. Thess. In Dion. perieg. 625,7–13 Νύσσαι δὲ, φασί, διάφοροι, Αἰθιοπικὴ, Ἀραβικὴ, Εὐβοϊκὴ ... εἰσὶ δὲ καὶ ἄλλαι Νύσσαι, ὡς οἱ τὰ Ἐθνικὰ γράψαντες λέγουσι. Φασὶ δὲ τοὺς περὶ τὴν Νυσσαίαν Ἰνδικὴν ταύτην ὁδὸν ὄντας καὶ τοὺς περὶ τὸ Νυσσαῖον ὄρος τοῦτο οἰκοῦντας ἀνθρωποφάγους εἶναι. cf. Π 282a,17

10 εἰδωλικῶς D (cf. Alb) Π 282a,10 (cf. O et Malt[2],188): εἰδωτικῶς P S e quo falsum LBG lemma ‖ **11** ποθούμενον P D S: [ca. 10 litt.] O ‖ **12** σε P D S: om. Π 282a,13 ‖ **13** μᾶλλον – παρασταίημεν P D S: om. Π 282a,14 ‖ **14** ἡ ψυχή P D S: ἐπ' αὐτῶν ἡ ψυχή Π 282a,14 ‖ **15** ἐρώτων P D S: ἐρώτων περὶ τούτου Π 282a,15 | ἤδη που Π 282a,15–16 | σου τὴν P D S: τὴν ὑμετέραν Π 282a,16 (cf. Malt[2],188) ‖ **16** σὺ P D S: ὑμεῖς Π 282a,16 (cf. Malt[2],188) | λέληθας P D S: λελήθατε Π 282a,17 (scripsi) λελή[....] O | Νύσσης P D S: om. Π 282a,17 **17** ἐλαύνων P D S: ἐλαύνοντες Π 282a,17 ‖ **17–18** οὐδ' – οἴει P D S: om. Π 282a

Ἀλλὰ ταῦτα μὲν θεῷ καὶ σοὶ μελήσει· ἴσως γὰρ σμικροπρεπὴς ἐγὼ καὶ μικρόψυχος, τὸ δὲ κατὰ σέ, μεγαλεπήβολον καὶ 20 βαθύγνωμον. Καὶ τὸ μὲν μέτρον τοῦ ἀμέτρου φιλοσοφώτερον, τὸ δὲ ἄμετρον τοῦ μέτρου πληθυντικωτέρον καὶ ἐρασμιώτερον τοῖς πράγμασι.

283. Τῷ μαγίστρῳ Εὐστρατίῳ καὶ πρωτονοταρίῳ τοῦ δρόμου τῷ Χοιροσφάκτῃ

a. 1068, militiis ab Romano IV Diogene inceptis; eodem tempore ut Π 282a = Π 282b et Π 22 [vid. epistolarum ordinem in D] et etiam Π 25, Π 281, Π 21, Π 152, Π 24, et Π 151; cf. etiam Π 292 et Π 504?

G 25 [D]

Σύψυχε ἀδελφέ μου Χοιροσφάκτα, τοῦτο δὴ τὸ ἀοίδιμον καὶ ἀθάνατον ὄνομα καὶ μάλιστα ἐμοὶ ποθεινότατον, πότε σοι ἐνετειλάμην μὴ ἐπιστέλλειν μοι; Προφάσεις πλάττεις τοῦ μὴ θέλειν δι᾽ ἐπιστολῶν προσφωνεῖν μοι· ἀφορμὰς ἐνθυμῇ ἀργίας καὶ ἀναπαύσεως, καὶ τοῦτο εἰκότως· τῷ γὰρ περὶ πολλὰ στρεφομένῳ 5 καὶ ἀσχολουμένῳ, καὶ ἡ βραχεῖα φροντὶς βαρύ τι φορτίον δοκεῖ. Ἀλλὰ μὴ γράφε πολυστίχους ἐπιστολάς· ἐγὼ γὰρ ἀρκούντως ἔχω καὶ τῆς βραχείας σου προσφωνήσεως.

Ἔστιν οὖν ὅτε, φίλτατε ἀδελφέ, ἐν μέσοις ὑμῖν τοῖς ἀγαπῶσί με ἀναστρεφόμενος καὶ διαλεγόμενος, οὐ πάνυ τι μέγα ᾠόμην τὴν 10 ὁμιλίαν ὑμῶν· οὗ γὰρ ἀπέλαυον, οὐκ ἐφρόντιζον. Νυνὶ δὲ στερη-

20–21 μεγαλεπήβολον – βαθύγνωμον: cf. Π 282a,19–20 cum Π 138,15–16 τῇ σῇ βαθυγνώμονι καὶ μεγαλεπηβόλῳ ψυχῇ et Π 140,22 ψυχήν, τὴν ὄντως μεγαλεπήβολόν τε καὶ βαθύγνωμον

19 ταῦτα P D S Π 282a,18 (scripsi): τούτων O | σοὶ P D S: ὑμῖν Π 282a,18 (cf. Malt²,188) ‖ **20** ἐγὼ P D S: [...] O | κατὰ σέ P D S: καθ᾽ ὑμᾶς Π 282a,19 (cf. Malt²,188) ‖ **21** μέτρον D (cf. Malt²,188) Π 282a,20: μέτριον P S **22** ἐρασμιώτερον D (cf. Malt²,188) Π 282a,21: ἐρασμιώτατον P S ‖ **22–23** post τοῖς πράγμασι des. P D S: [ca. 12 litt.] ἐπιλήσῃ ποτέ, ἣν μὴ βούλῃ ἐπιλελῆσθαι [ἐπιμελῆσθαι O] παρὰ θεοῦ, ἀλλὰ μνημόνευέ μου καὶ τῶν παίδων τῶν λο[γικῶν· οὗτοι] γὰρ ἐν ταῖς σαῖς χερσὶν εἰ ἐγὼ ἀποβιῴην ἀνατέθηνται παρ᾽ ἐμοῦ, ὧν μοι μάλιστα μέλει ἢ τῆς ψυχῆς post πράγμασι Π 282a,22–25 ‖ **ep. 283** D 270r–271r; tit. D G ‖ **1** σύψυχε: an σύμψυχε scribendum? cf. LBG s.v. σύψυχος ‖ **11** ἀπέλαυον corr. G: ἀπέλαβον D

θεὶς τῆς ἱερᾶς ὑμῶν ξυναυλίας, καὶ πόρρω γενόμενος τῶν κοινῶν συνόδων τε καὶ συλλόγων, πλήττομαι δεινῶς τὴν ψυχήν· οὐ γὰρ ἔχω ὁρᾶν ὁμοίους ὑμῖν. Ζῶ δὲ περὶ τὰ βιβλία, καὶ τὰς ἀψύχους
15 ὁμιλίας τῶν συγγραψαμένων αὐτά.

Ἀθυμήσας δὲ καὶ μικροψυχήσας περὶ τὰ παρόντα, τότε ἐπινοοῦμαι πλάσματά τινα παρηγορίας μικρᾶς: ἀνατυποῦμαι τὰς μορφὰς ὑμῶν, τὰς ὁμιλίας, τὰς διαλέξεις, ὡς συνῆμεν ἀλλήλοις, ὡς τὰ μὲν ἐπαίζομεν, τὰ δὲ ἐσπουδάζομεν· ἐνθυμοῦμαι τὴν ἱλαρὰν
20 τοῦ Ἰασίτου ψυχήν, τοὺς ἡδεῖς γέλωτας· ἀνατυποῦμαι τὴν σὴν ἐπιεικεστάτην ψυχήν, τὸ παρ’ ἀμφοτέρων εἰς ἀλλήλους θάρσος ὑμῶν, ὡς ἐπίστευσεν ἅτερος θατέρῳ ὡς ἑαυτῷ, ὡς οὐδὲν σκολιὸν ἐν ἀμφοῖν, ἀλλὰ πάντοτε καὶ ἐν παντὶ πράγματι, τὸ εὐθὺ τῆς γνώμης ἑκατέρων ἐξέλαμπε.

25 Τούτοις ἐμαυτὸν τῆς πολλῆς ὀδύνης ἀνακαλοῦμαι· καὶ τῇ σκιαγραφίᾳ τῆς ἀληθείας, ἡδονήν τινά μοι ἐμποιῶ τῇ ψυχῇ. Καὶ εἰ τὰ πλάσματα οὕτω με διατίθησι, τί οὐκ ἂν ποιήσῃ τὰ πράγματα, πρὸ δὲ τούτων τὰ γράμματα; μέσα γὰρ ταῦτα τίθημι τῶν τε πλασμάτων καὶ τῶν πραγμάτων.

30 Εἰ δὲ καὶ ἐνετειλάμην σοι μὴ ἀσχολεῖσθαι περὶ τὰς πρός με ἐπιστολάς, ἀλλὰ νῦν, ἀναλύων τὰς ἀνοήτους ἐκείνας ἐντολάς, καὶ προτρέπομαι καὶ καταλιπαρῶ πολλάκις μοι τῆς αὐτῆς ἡμέρας (εἰ οἷόν τε ἦν) καὶ λέγειν καὶ γράφειν, μὴ σοφά τινα μηδὲ καλλιρρήμονα, ἀλλὰ κοινά τε καί ⟨συνήθη⟩ (νὴ τὴν ἀγαθήν σου ψυχήν!)·
35 καὶ τοῦτο πολλάκις ἐνθυμούμενος ἥδομαι, ὅτι κοινῇ μετὰ τοῦ Ἰασίτου συγκαθήμενοι, διαμνημονεύοιτέ μου, καὶ πολλοῖς ἐπαίνοις τιμᾶτε.

Ἀλλ’ ὑμῖν μὲν ὑπὲρ τούτου, μισθὸς εἴη πολὺς παρὰ τοῦ θεοῦ. Ἐγὼ δὲ ἀλγῶ καὶ ἐφ’ ὑμῖν ὅτι μὴ ἔχω ὁρᾶν, μάλιστα δὲ περὶ τοῦ
40 αὐθέντου μου τοῦ βασιλέως. Οὗ δὴ πλεῖστον χρόνον στερούμενος

14–15 ζῶ – αὐτά: cf. Π 504,7–11 ὅμως ζῶ ἐπὶ τοῖς βιβλίοις· πάντα γὰρ συλλεξάμενος, ἐν μέσῳ τούτων ἐμαυτὸν ἵδρυσα· καὶ ὥσπερ ἐν πολυανθεῖ λειμῶνι γενόμενος, ἄλλο τι ἐξ ἄλλου καρποῦμαι καὶ δρέπομαι. ἀλλ’ ἄψυχος ὁ λειμὼν οὗτος, οὐχ οἷος ὁ παρ’ ὑμῖν, ὁ ζῶν καὶ ἔμπνους, καὶ ἀρτιμελὴς καὶ βιώσιμος ‖ **20** τοῦ Ἰασίτου: (Leon?) Iasites (Π XXIII) ‖ **33–34** καλλιρρήμονα: vox ex Dion. Halicarn.? (cf. e.g. Dem. 18) ‖ **40** τοῦ βασιλέως: Romanus IV Diogenes (imperator: 1.I.1068 – a. 1071) (Π XIV)

22 ὑμῶν D: ἡμῶν dubitanter prop. G ‖ **34** συνήθη addidi: lacunam indicavit G

κάθημαι, περιχαίνων αὐτοῦ τὴν ἐπάνοδον, ὥσπερ ἂν εἴ τις ἀκορέστως διψῶν εἴ τινά που ἴδοι πηγὴν ποτίμου νάματος· ἀντέστραπται γάρ μοι παρ' ἐλπίδα τὰ δόξαντα, καὶ ἐν οἷς καιροῖς ἀναπνεῦσαι ἠλπίκειν βραχύ τι, πάντῃ ἀπωλιγώρησα. Αἴτιον δὲ τοῦ πράγματος οὐ κακοήθειά τις, ἀλλ' ἡ τοῦ χρόνου περίπτωσις· 45 ὥσπερ ἂν εἴ τις, πρὸς ἀνατολὴν οἰκῶν, ἴδῃ ἐγγύθι τὸν ἥλιον ἀνατέλλοντα, ἐφ' ᾧ ἐλλαμφθήσεσθαι ᾤετο, εἶτα τοῦτον ἀφαιρεθείη παρὰ τῆς τύχης, καὶ ὁ μὲν ἀλλαχόσε τὰς ἀκτῖνας ἀφίησι, ὁ δὲ τούτων ἀλγεῖ στερούμενος.

Ἐρωτῶ δέ, φιλτάτη ψυχή: τίς ἡ πολλὴ αὐτόθι διατριβή, καὶ 50 μάλιστα ἐπὶ τοσούτοις τοῖς κατορθώμασιν; πρὸς σὲ γὰρ πάντα θαρρήσας ἐρῶ· τίς ἡ ἀκόρεστος τῶν ἀριστευμάτων ἐπιθυμία; Συνέστη στρατόπεδον οἷον οὐδέποτε ὥσπερ ἀκούομεν· ἤρκει τοῦτο μόνον, κἂν εἰ μηδὲν ἕτερον τοῦ αὐτοῦ ἐνιαυτοῦ προσεγένετο. Πεφυγάδευται ὁ μέγας ἐχθρός, ὃς ἠλπίζετο ἀντὶ μεγάλου κύματος 55 καλύψαι τὴν γῆν. Πολέμου συρραγέντος, τρόπαιον μέγα κατὰ βαρβάρων ἐστήσατε. Τῶν ἐθνῶν τὰ μὲν ὑποκύπτει, τὰ δὲ πεφρίκασι, τὰ δὲ δουλοπρεπέστατα σπένδεται. Τί μὴ τῶν μὲν τὴν φυγήν, τῶν δὲ τὴν σπονδὴν δεχόμεθα, ἀλλὰ βουλόμεθα ἐν μησὶν ὀλίγοις καὶ τὴν γῆν οὐρανὸν ἀπεργάσασθαι; 60

Πρὸ πάντων ἐπιπλήττω σοι τῷ φρονιμωτάτῳ. Διατί ὁπηνίκα ὁ σουλτάνος τοῖς ὅλοις ἐξαπορήσας, φυγῇ (ἵν' οὕτως εἴπω) τὴν οἰκείαν ἐπορίσατο συντήρησιν, τοῦ κρατίστου βασιλέως ἡμῶν τὰς συντάξεις καὶ τὰς στρατηγίας μεμαθηκώς, οὐ παραυτίκα ἐβροντήσατε 65 ἀπὸ τῶν αὐτόθεν σάλπιγξιν ἀντὶ γραμμάτων χρησάμενοι, ἵνα πάντες τῷ ἀπροσδοκήτῳ καταπλαγείησαν, ἀλλὰ διετέθητε ὥσπερ οὐδενὸς καινοῦ γεγονότος;

Πλὴν ἐγὼ πρὸς πάντας ἀντὶ πάντων ἐξήρκεσα, εἰ καί μου λόγος οὐδείς, ἢ βραχύς· μυριόγλωσσος γὰρ (ἵν' οὕτως εἴπω) ὑπὲρ τοῦ αὐθέντου μου τοῦ βασιλέως καὶ ὑμῶν γίνομαι, ἐν θεάτροις ἐν 70 συλλόγοις ἁπανταχῇ. Εἰ μὲν γὰρ ἄλλο τί ἐστιν ὃ αὐτὸς ἀγνοῶ,

62 ὁ σουλτάνος: Alp Arslan (sultanus: a. 1063 – a. 1072)

50 τίς D: τί G ‖ **63** συντήρησιν scripsi: συντηρίαν D G ‖ **66** τῷ – καταπλαγείησαν scripsi (cf. Psel. Χρονογραφία V,37 τῷ ἀπροσδοκήτῳ καταπλαγεῖσα): τὸ ἀπροσδόκητον κατεπλάγησαν D G ‖ **71** ἁπανταχῇ D: ἁπανταχοῦ G

καὶ οὐδὲν τοῦ πυρὸς ἔσβεσται, ἔσται καὶ αὖθις ἐν ταῖς χερσὶν ὑμῶν τὰ σβεστήρια ὄργανα. Εἰ δὲ σπινθῆρες ὀλίγοι τῆς μεγάλης πυρκαϊᾶς κατελείφθησαν, καινὸν οὐδέν· καὶ γὰρ μετὰ τὸ κατευνα-
75 σθῆναι τὸν κλύδωνα, λεπτά τινα κυμάτια τῇ γῇ προσαφρίζουσι, ἀλλ' αὐτίκα συναπολήγουσιν.

LXIV. Ψηφᾶς

μάγιστρος

284. Τῷ μαγίστρῳ τῷ Ψηφᾷ
ca. a. 1055 – a. 1056; ante 31.VIII.1056

S 198 [P], H-M 88–90 [cf. 152–153 et 667] [P]

Πυνθάνῃ παρ' ἡμῶν τὰ περὶ ἡμῶν, ἀδελφέ; Οὐκοῦν ἀκούοις ἄν, τὰ μὲν παρὰ τῆς αὐτοκρατορίσσης βασιλίδος, τῆς θείας ὄντως ψυχῆς, τῆς φωτοδότιδος καὶ ἀνεκλείπτου τὸ φῶς σελήνης, (εἰ δεῖ καὶ τοῦτο εἰπεῖν) λαμπρά, καὶ οὔμενουν ὑπερβολὴν ἔχοντα,
5 εὐφημίαι, ἐπαγγελίαι, χάριτες, πάντα προσθήκην οὐκ ἔχοντα· τὰ δὲ παρὰ τοῦ καλλίστου δεσπότου, τῆς φιλοσόφου γνώμης, τῆς καθαρᾶς συνειδήσεως, (πῶς ἂν εὐφήμως συγκαλυψάμενος εἴποιμι;) αὐτὸ τοῦτο φιλόσοφα καὶ πρὸς τὸν τρίβωνα.

2 τῆς[1] – βασιλίδος: Theodora (post a. 980 – 31.VIII.1056), imperatrix (11.I.1055 – 31.VIII.1056) ‖ **6** τοῦ – δεσπότου: Leon Paraspondylus († post a. 1057), μοναχός, πρωτοσύγκελλος (ca. a. 1055 – a. 1057) (Π LI)

72 οὐδὲν D: οὐθὲν G ‖ **ep. 284** L 74v–75v, P 238r; tit. scripsi: τῷ αὐτῷ (scil. τῷ μαγίστρῳ τῷ Ψηφᾷ) L τῷ Ψηφᾷ P S H-M ‖ **2** αὐτοκρατορίσσης L: αὐτοκράτορος P S H-M ‖ **3** ἀνεκλείπτου L corr. H-M: ἀνεκλήπτου P S **5** εὐφημίαι L: εὐφημίας P S H-M ‖ **8** φιλόσοφα – τρίβωνα P S H-M: φιλόσοφε καὶ πρὸς τρίβωνα L

Ἀφ’ οἵων οὖν ἐλπίδων καταβεβήκαμεν (νὴ τὴν τριπόθητόν σου ψυχὴν πρὸς ἣν οὐδὲν ἀπόρρητον ἔχω!). Οὐδένα οὕτως τῶν πάντων 10 ἠγάπησα ἢ ἐπῄνεσα, καί τινων ἀπορρήτων πολλάκις συνεκοινώνησα· εἴπω τὸ μεῖζον; πρὸς τὸν ἐκείνου βίον τὸν ἐμὸν ἤλαυνον, καὶ φιλοσοφοῦντι συνεφιλοσόφουν· καὶ πάντα τρόπον τῶν πραγμάτων ἀπεσπώμην (ὡς οἶσθα) καταβιαζόμενος. Καὶ ἐπειδὴ τῶν ἀρχείων προέστη ὁ ἄνθρωπος, εὐθὺς ἐγὼ τὰς ὀφρῦς ἐσπακώς, ἐφρόνουν τι 15 μεῖζον ὡς τῶν κρειττόνων τευξόμενος. Ὅθεν τὴν πρώτην οὐδὲν ἠνωχληκώς, ἐθαύμαζον διότι μέλλοι. Ἔπειτα πλήξας, εὐθὺς ἀναστομώσειν ἤλπιζον τὴν πηγήν. Ὡς δ’ ἔγνων ὅτι τοῦ Μωσέως ὑστέρημαι, πολλὰς προσεθέμην πληγάς, αἰσχυνόμενος (πῶς ἂν εἴποις;), ἀλλ’ ὅμως ἔπληττον. 20

Ἀλλὰ σὺ μὲν ἴσως ποταμοὺς προσδοκήσεις ἀκούσεσθαι· ἴσως δὲ καὶ τὰς ἀκοὰς ἔφραξας, διὰ τὸ μὴ καταβεβροντῆσθαι. Ἄνες τὴν χεῖρα· οὐδεὶς γάρ σοι προσβαλεῖ ἦχος· πᾶσι γὰρ ἡμεῖς ἀκατάλληλοι: οἰκονομείοις, πτωχοτροφείοις, τοῖς ἐκ τοῦ ταμείου, τοῖς ἐκ τοῦ πρυτανείου· οἱ τὰς πρώτας ἀρχὰς πάλαι παραιτησάμενοι (ὦ 25 γῆ καὶ ἥλιε!), τῷ δὲ τοῦ παπᾶ Σαβίνου τριμήνῳ (φεῦ!) προσωρμί-

9–10 νὴ – ψυχὴν: cf. Synes. Cyren. Epist. 79,8 νὴ τὴν ἱεράν σου καὶ τριπόθητον κεφαλήν et 86,1–2 πρὸς τὴν ἱεράν σου καὶ τριπόθητον κεφαλήν. cf. Π 42,20, Π 64,1, Π 65,21–22, Π 68,36, Π 122,1, Π 180,2, Π 183,14–15, Π 193,15–16, Π 198,5–6, Π 211,56–57, Π 494,2–3. cf. etiam Psel. Ἐγκωμιαστικὸς εἰς … Μιχαὴλ τὸν Κηρουλλάριον = Or. fun. I 1,61,30, Περὶ τῶν ἰδεῶν ἃς ὁ Πλάτων λέγει = Phil. min. II 33 (111,24–25), et Π 394,19–20 ‖ **17–19** πλήξας – ὑστέρημαι: cf. Exod. 17,6 καὶ πατάξεις τὴν πέτραν, καὶ ἐξελεύσεται ἐξ αὐτῆς ὕδωρ. cf. Psel. Ὑπὲρ τοῦ νομοφύλακος κατὰ τοῦ Ὀφρυδᾶ = Or. for. 3,388, Λόγος τοῦ ὑπερτίμου ὃς ἐπικέκληται σελέντιος = Or. min. 4,159–160, Ἕτερος λόγος πρὸς … Κωνσταντῖνον τὸν Μονομάχον = Or. pan. 4,480–481, Ἀλληγορία τοῦ ‘οἱ δὲ θεοὶ πὰρ Ζηνὶ …’ = Phil. min. I 42,4–5, Εἰς τὸ ‘πέρας τοῦ μυστηρίου …’ = Theol. I 93,78–79, et Π 351,33–34 et Π 390,38–39 **25–26** ὦ – ἥλιε: Dem. Περὶ στεφάνου = Or. 18,127. cf. e.g. Greg. Naz. Epist. 5,5 cum Π 112,95–96, Π 128,1, Π 146,157–158, Π 157,8, Π 202,1–2, et Π 285,17 **26** τῷ – τριμήνῳ: cf. Π 285,22 τὸ τοῦ Σαβίνου μοι δίδοται τρίμηνον

14 ἀπεσπώμην … καταβιαζόμενος P S H-M: κατεβιαζόμην … ἀποσπώμενος L ‖ **14–16** καὶ ἐπειδὴ – τευξόμενος P S H-M: om. L ‖ **17** μέλλοι L corr. H-M: μέλοι P S ‖ **26–27** προσωρμίσαμεν L: προσηρμόσαμεν P S H-M

σαμεν· οἱ τὴν Πόλιν τοῖς λόγοις κοσμήσαντες· οἱ τὴν τῆς παιδεύσεως φήμην τοῖς τῆς οἰκουμένης πέρασι παραπέμψαντες· οἱ μηδ' ὁτιοῦν εἶδος παραλελοιπότες ἀσκήσεως· οἱ τῇ φύσει μόνῃ
30 διδασκάλῳ πρὸς πᾶσαν χρησάμενοι μάθησιν· οἱ τὰ γένη τῶν φιλοσοφιῶν μόνοι τῶν πάντων (λεγέσθω γὰρ καὶ τιτρωσκέσθωσαν οἱ βασκαίνοντες) ἀκριβώσαντες, τὰ τῶν Ἑλλήνων, τὰ τῶν Χαλδαίων, τὰ τῶν Αἰγυπτίων, τὰ τῶν Ἑβραίων· οἱ τὰς ἱερὰς βίβλους φιλοσόφως καὶ μετ' ἐπιστασίας ἐξηγησάμενοι κρείττονος·
35 οἱ τὰς τέχνας καταστησάμενοι, καὶ τὰς μεθόδους λεπτύναντες· οἱ μηδὲν τῆς Ἰταλῶν σοφίας ἀπολειπόμενοι, μηδὲ τῆς τῶν πραγμάτων τύρβης ἣν ἐπιστήμην οἱ πολλοί φασιν· οἱ τὸ σχεδιάζειν ἀνανεωσάμενοι, καὶ πρᾶγμα πάντῃ τὸν αἰῶνα ἐκλελοιπὸς τῷ βίῳ καινοτομήσαντες· οἱ διδάσκαλοι μόνοι τῶν πάντων ἐπιγραφόμε-
40 νοι.

Πρὸς τὸν Ἀγρόν, φίλτατε, πρὸς τὸν Ἀγρόν (ἔστι γάρ μοι πρὸς ἑσπέραν βραχὺ κτησείδιον)· ἐκεῖσε οὖν ἀπελθών, καταδύσομαι. Ἐρώτησον οὖν τὸν δεσπότην μου, εἰ μὴ πάνυ προσέχει τὸν νοῦν τοῖς πράγμασιν, εἰ καὶ ταῦτα ἡμῖν ἀκατάλληλα: ἔπαυλις ἔρημος,
45 καὶ βουφορβίων αὔλια, καὶ βοτήρων καταγωγαί. Πρόσθες (εἰ βούλει) καὶ ταῦτα: «σοφοὶ σοφοὺς ἔσωζον» ὡς λόγος, νῦν δ'

27–40 οἱ[1] – ἐπιγραφόμενοι: cf. Psel. Ἐπιτάφιος εἰς τὴν ἑαυτοῦ μητέρα 1685–1931, Χρονογραφία VI,36–40, Π 111,47–54 ἐντεῦθεν καὶ φιλοσοφίας ἄττα ἐξέμαθον, καὶ τὴν γλῶτταν ταῖς σοφιστικαῖς τέχναις ἐκάθηρα, καὶ γεωμετρίαν τοῖς ἐφ' ἡμῖν συμπεπόρισμαι, πρῶτος ἐπιβαλών, καὶ μουσικῆς λόγους ἐξεύρηκα, καὶ τῶν περὶ τὴν σφαῖραν κινήσεων οὐκ ὀλίγα διωρθωσάμην, καὶ τῶν ἡμετέρων λόγων τὴν ἐπιστήμην ἀκριβεστέραν ἐποιησάμην, καὶ θεολογίας ἐξεθέμην διδάγματα, καὶ τὸ τῆς ἀλληγορίας βάθος ἀνέπτυξα, καὶ πᾶσαν (ἀλλά με φθόνου μὴ βάλοι βέλος!) ἐπιστήμην ἠκρίβωσα, et Π 177,4–9 κατὰ τοῦ πᾶν ἀνεγνωκότος μάθημα καὶ ὑπὲρ πάντας ἀνθρώπους ταλαιπωρήσαντος, φημὶ δὴ ῥητορικήν, γεωμετρίαν, μουσικήν, ῥυθμικήν, ἀριθμητικήν, σφαιρικήν, νομικήν (κἂν Ἕλληνες ἀπαρέσκωνται), ἱερατικήν, θεολογικήν, ὅσα ἔγνωσται, ὅσα οὐκ ἔγνωσται, ὅσα μηδεὶς τῶν πάντων ‖ **41** τὸν Ἀγρόν[2]: cf. Mango–Ševčenko 1973,259–267 et Π 243,23 **45** βουφορβίων – καταγωγαί: Dion. Halicarn. Ῥωμαϊκὴ ἀρχαιολογία 2,2,1 τέως δὲ ἦν αὔλια βουφορβίων τε καὶ ποιμνίων καὶ τῶν ἄλλων καταγωγαὶ βοτήρων ‖ **46** σοφοὶ – ἔσωζον: Plut. Anton. 80,4 τοῦτον ἀεὶ τὸν στίχον ἀναφθεγγόμενος (fr. adesp. 422 N.2)· «σοφοὶ σοφοὺς σῴζουσιν, ἂν ὦσιν σοφοί»

34 κρείττονος L: μείζονος P S H-M ‖ **45** βουφορβίδων H-M

ἄναντα πάντα, καὶ ἡ πίτυς ὄχνην ἐνέγκοι. Ἐπὶ πᾶσι τοῦτο ἐπάγαγε: «Γένοιτό σοι ὁ τῆς ζωῆς ὅρος ἀνεξάλλακτος· μὴ δεηθείης ἑτέρων μηδέποτε· μηδὲ θυροκοπήσαις οὖς λασιόκωφον (ὡς βαρὺ τὸ πρᾶγμα, καὶ μᾶλλον ἐμοὶ καὶ σοὶ τοῖς φιλοσοφοῦσι)· 50 μηδ' ἐντύχοις δεσπόταις ἀγνώμοσιν (οἷον καὶ τοῦτο)· ἀλλὰ μετὰ τοῦ σχήματος πρὸς οὐρανοὺς ἀναχθείης· ἐμοῦ δὲ ἢ ἐν κρείττοσι φρόντιζε, ἢ μηδ' ἐν χείροσι».

Ταῦτά μοι πρὸς τὸν δεσπότην, προσπίπτων αὐτῷ καὶ μὴ ἀνεὶς κυλινδούμενος, μέχρις ἂν τὰς ὀφρῦς ἐπινεύσῃ σοι πρὸς τὴν 55 αἴτησιν, ἵνα «μὴ δυοῖν» (ὡς ὁ Θουκυδίδης φησί) «διαμάρτωμεν», τοῦ τε ἀπηναισχυντηκέναι, καὶ τοῦ μὴ τετυχηκέναι. Σὺ δὲ χαῖρε τὸ τῆς ἀρχαιοπρεποῦς φύσεως λείψανον, τὸ τῆς καταψυγείσης ἀγάπης ἀκμαιότατον ζώπυρον.

285. Τῷ αὐτῷ

Τῷ μαγίστρῳ τῷ Ψηφᾷ. ca. a. 1055 – a. 1056; ante 31.VIII.1056

S 199 [P]

Σπουδάζεις ὑπερβαλέσθαι με ταῖς χάρισι, δικαιοτάτη ψυχὴ καὶ ποθεινοτάτη ἐμοί, τὰ μὲν διδούς, τὰ δ' ὑπισχνούμενος; Ἀλλ' ἐγὼ οὐχ ὑπερβληθήσομαι· ἐπειδὴ γὰρ τῶν ἄλλων καταφρονήσας τοὺς λόγους ἠγάπησας, εὖ γέ τοι ποιῶν (τί γὰρ τοῦ λόγου κρεῖττον;),

47 ἡ – ἐνέγκοι: Theocr. Θύρσις ἢ ᾠδή = Id. 1,133 καὶ ἁ πίτυς ὄχνας ἐνείκαι. cf. Π 274,19–20; cf. etiam Π 538,34 ‖ **49** οὖς λασιόκωφον: cf. Plat. Φαῖδρος 253e1–5 ὁ δ' αὖ σκολιός ... περὶ ὦτα λάσιος, κωφός, cum Psel. Ἐξήγησις τῆς Πλατωνικῆς ἐν τῷ Φαίδρῳ διφρείας τῶν ψυχῶν καὶ στρατείας τῶν θεῶν = Phil. min. II 7 cum Χρονογραφία IV,36 et VI,13, et Π 134,11–18 et Π 214,22–23 ‖ **56** ἵνα – διαμάρτωμεν: Thuc. 3,53,2 νῦν δὲ φοβούμεθα μὴ ἀμφοτέρων ἅμα ἡμαρτήκαμεν

47 ἄναντα L: ἄλλα P S H-M ‖ **ep. 285** L 74v, P 238r–v; tit. P S: τῷ μαγίστρῳ τῷ Ψηφᾷ L ‖ **4** τοι L: σοι P S

5 ἐγὼ δὲ τούτων πατήρ, τὰ μὲν ἐν στήθεσιν ὠδίνων, τὰ δ' ἐν κιβωτίοις ἔχων, πῶς ἂν νικηθήσομαι παρὰ σοῦ; ὅσον γὰρ ἐξ ἡμῶν ἀπαρρύσῃ, πολλαπλάσιον αὖθις ἀπογεννήσομεν.

Ἀλλ', ὦ γενναῖε, πόσης ἄν με τιμῆς ἐπρίω εἴπερ εἰς τὸ πωλητήριον εὗρες; Ἔχεις οὖν με δοῦλον μὴ ὠνησάμενος· δοῦλον ἀλλὰ 10 φίλτατον, δοῦλον ἐλεύθερον, τὸ μεγαλοπρεπὲς κἀν τοῖς προστάγμασιν ἔχοντα, ὑπηρετήσοντα πρὸς ἃ βούλει σπουδαιότερον καὶ εὐνοϊκώτερον.

Σύγγνωθι δέ μοι εἴ, τί σε βραχὺ ἐρωτήσας ἐρώτημα, αὖθις ἐπενέγκω βραχύτερον: πόσους ἴσους ἐμοὶ τὸ μέγα τοῦ Βύζαντος 15 χωρίον ἐκτήσατο; Ἴσως εὑρεθεὶς εἴποι τις ὡς οὐδένα. Τίνος δὲ ἄλλου οὕτω καταπεφρόνηκε, καὶ ταῦτα ἀπερυθριάσαντος πρὸς τὴν αἴτησιν (ὦ γῆ καὶ ἥλιε!), καὶ τῆς βασιλίδος τῆς χρυσῆς ὄντως ψυχῆς εὐμενῶς ἐπινευσάσης μοι τὴν ὑπόσχεσιν; Τίς δὲ τῶν πάντων εἰς μίαν τὴν ἑαυτοῦ ψυχὴν πάντα συνέλεξε τὰ μαθήματα 20 μετὰ τῆς πολιτικῆς ἐπιστήμης, κἂν οἱ πολλοὶ τρύζωσιν; Οὐχ ἑκοντὶ δὲ πάλαι πᾶσαν παρῃτησάμην ἀρχήν; Νῦν δὲ ἀντὶ πάντων (ὢ τῆς συμφορᾶς!) τὸ τοῦ Σαβίνου μοι δίδοται τρίμηνον (ὢ συμφορᾶς ἀνυποίστου καὶ πάλιν!).

5 τούτων (scil. τῶν λόγων) πατήρ: iunctura platonica saepe laudata; Plat. Φαῖδρος 257b2 τὸν τοῦ λόγου πατέρα. cf. Psel. Μονῳδία ἐπὶ Ῥωμανῷ ῥαιφερενδαρίῳ = Or. fun. I 9,2,15, Ἐγκώμιον εἰς … Νικόλαον μοναχὸν … = Or. fun. I 10,25,28, Εἰς τὸ 'τρισσὴν γέννησιν οἶδεν ὁ λόγος' = Theol. I 25,80, Εἰς τὸ 'ἀπ' ἄρτι ὄψεσθε …' = Theol. I 28,82, Εἰς τὸ 'οὗτος ὁ νῦν καταφρονούμενος …' = Theol. I 59,194, Εἰς τὸ 'οὔτε τοῦ πατρὸς ἐκστάντος τῆς ἀγεννησίας' = Theol. I 68,71, Εἰς τὸ 'καινοτομοῦνται φύσεις' = Theol. I 69,128, et Π 209,58–59 τὸν πατέρα τῶν λόγων ‖ **17** ὦ – ἥλιε: Dem. Περὶ στεφάνου = Or. 18,127. cf. e.g. Greg. Naz. Epist. 5,5 cum Π 112,95–96, Π 128,1, Π 146,157–158, Π 157,8, Π 202,1–2, et Π 284,25–26 | τῆς βασιλίδος: Theodora (post a. 980 – 31.VIII.1056), imperatrix (11.I.1055 – 31.VIII.1056) ‖ **18–19** τίς δὲ … μαθήματα: cf. Psel. Περὶ παραδόξων ἀκουσμάτων = Phil. min. I 32,100–102 ἐγὼ δὲ … τὰ πλείω τῶν μαθημάτων συνελεξάμην et Π 126,43–44 τὰς μὲν μεθόδους ἁπάντων συνέλεξα ‖ **20** κἂν – τρύζωσιν: cf. Greg. Naz. Σχετλιαστικὸν ὑπὲρ τῶν αὐτοῦ παθῶν = Carm. 1,1,19,72 (ed. White) πολλοὶ μὲν τρύζεσκον ἐμοῖς παθέεσσιν ἄπιστοι ‖ **22** τὸ – τρίμηνον: cf. Π 284,26 τῷ δὲ τοῦ παπᾶ Σαβίνου τριμήνῳ

7 ἀπογεννήσομεν P S: ἀπογεννήσομαι L ‖ **8** εἴπερ εἰς L: εἰ παρὰ P S **9** δοῦλον[2] L: δοῦλον δὲ P S ‖ **16** οὕτω L: οὕτως P S | καὶ ταῦτα L: καὶ ταῦτα καὶ P S ‖ **20** τρύζωσιν L: γρύζωσιν P S ‖ **21–23** νῦν – πάλιν P S: om. L

Ἀλλὰ σὺ μὴ οὕτω ποιοίης· μή, πρὸς τῶν λόγων αὐτῶν, οὓς ποθεῖν ἤρξω, οἵ σε καὶ στεφανώσουσιν ἐν καιρῷ, μετὰ δικαίας 25 γνώμης τούτους προχειρισάμενον.

LXV. Ἁγιοαναστασίτης

⟨ἐπίσκοπος⟩

286. Τῷ Ἁγιοαναστασίτῃ

Pselli?

K-D 23 [K]

Εἰ καὶ μὴ κατὰ ῥοῦν ἀπήντηκέ μοι τὰ πράγματα πρότερον, σεβασμιώτατε καὶ ἅγιε δέσποτα, μηδὲ κατὰ νοῦν προσεγένετο, καὶ ὡς συνεθέμην σοι, τὴν σὴν εὐλάβειαν προσκαλεσαμένῳ ἐφ' ᾧ κοινῶν ἁλῶν μετασχεῖν, καὶ σὺν ἡμῖν ἀριστῆσαι, ἴσως δὲ καὶ λουτρῶν ἀπολαῦσαι, καὶ διὰ ταῦτα ψευδηγορῶν ἑάλων, καὶ τὸν 5 τοσοῦτον λέοντα παροργίσας, καὶ τὸ ἀπ' ἐκείνου οὐ πλησιάσαι, οὐκ ἀντιβλέψαι, οὐ προσειπεῖν, οὐ προσαγορεῦσαι τετόλμηκα, ἀλλὰ νῦν ἐνευκαιρήσας, καὶ τῶν πολλῶν φροντίδων ἀπαλλαγείς, καὶ ἀδείας τυχών, καὶ προσαγορεύω σε, καὶ κατασπάζομαι, καὶ προσλαλῶ σοι, καὶ διὰ τῆσδε μου τῆς γραφῆς, «ἧκε», φάσκω, 10 «εἴξας ᾧ θυμῷ, θεοείκελε δέσποτα, ὡς ἐμοί γε αἰσχύνη ψεύσασθαι τὴν ὑπόσχεσιν, καὶ ἐν Καρὸς μοίρᾳ δοκεῖν τιθέμενον τὴν φιλίαν

1 κατὰ ῥοῦν: proverbium, CPG I 267 (nr. 82) et II 73 (Nr. 38) et 474 (nr. 59); cf. Psel. Ὅτε παρητήσατο τὴν τοῦ πρωτοασηκρῆτις ἀξίαν = Or. min. 8,95 **1–2** κατὰ ῥοῦν ... κατὰ νοῦν: cf. Psel. Ὅτε παρητήσατο τὴν τοῦ πρωτοασηκρῆτις ἀξίαν = Or. min. 8,95–96 βασιλεῖ, κατὰ ῥοῦν δὲ τούτῳ τὰ πράγματα φέροιτο ... εἰ δέ τις ἐπὶ νοῦν ἄγοι ... ‖ **4** κοινῶν – μετασχεῖν: locus communis; cf. Psel. Ἐπιτάφιος εἰς τὴν ἑαυτοῦ μητέρα 1127 et Π 111,153–154 **11** εἴξας – θυμῷ: Hom. Il. 9,598 ‖ **12** ἐν – μοίρᾳ: proverbium, CPG I 405 (nr. 60) et II 405 (nr. 39) cum Hom. Il. 9,378 ἐν Καρὸς αἴσῃ. cf. etiam Psel. Χρονογραφία III,12 et IV,47, Κατηγορία τοῦ ἀρχιερέως = Or. for. 1,2746–2747, et Π 75,17, et Π 208,34

ep. 286 K 83v; tit. K K-D

σου. Ἧκε οὖν ἐς αὔριον, τοῦτο λογιζόμενος μάλιστα, ὡς οὔτε πρότερον ψευδόμενος ἐπ' ἐμοὶ τὰ αἴσχιστα ἐπινοεῖν σοι δέδωκα,
15 καὶ νῦν ὅτε καιρὸς τὴν σὴν μετακαλοῦμαι σεμνότητα».

LXVI. Βεστάρχης

287. 〈Τῷ βεστάρχῃ〉

ad eundem vestarcham ut Π 304?

S 100 [P]

Χρυσέ μου βεστάρχα, ὁ διοικητὴς οὗτος πρωτόζευκτός ἐστι πῶλος εἰς τὰς ἀπαιτήσεις· νῦν γὰρ πρώτως ὑπὸ τῷ ἅρματι τῶν εἰσπράξεων γέγονε. Δεῖται οὖν ἡνιόχου ἀκριβοῦς τε καὶ ἐπιστήμονος, ἐξ αὐτῆς ἀφετηρίας ἡνιοχήσοντος τοῦτον καὶ ἐπὶ τὸν
5 καμπτῆρα κατευθυνοῦντος· ἀρτιμαθὴς γὰρ ὢν τοῦ δημοσικοῦ δρόμου, δέδοικε τὰς ὑπερδρομὰς καὶ παρατροπάς.

Ἐπίθες οὖν αὐτῷ καὶ σὺ τὴν ἡνίαν· καὶ μήτε ἐνδώσεις αὐτῷ τὸν χαλινὸν ὥστε ἄτακτα φέρεσθαι, μήτε (ἵνα πάντῃ σε θεατροκοπήσω) ἀνείρξῃς αὐτὸν καὶ ἀποστενώσῃς, ὥστε παρεγκλινῆ
10 ποιῆσαι καὶ ἑτερόγναθον· μὴ τοίνυν ἐπιβαρήσῃς αὐτῷ τὸν ῥυμόν, ἀλλὰ συνεζευγμένον καὶ ἀπόλυτον στήσας, τὸ μὲν ὑποδίδου αὐτῷ τὴν ἡνίαν, τὸ δὲ ἀνάκοπτε.

13 ἧκε – αὔριον: cf. Lucian. Ἑρμότιμος ἢ περὶ αἱρέσεων 82,20 ἧκέ μοι ἐς αὔριον ‖ **1** χρυσέ – βεστάρχα: cf. Π 304,1 χρυσέ μου βεστάρχα ‖ **4** ἐξ – ἀφετηρίας: cf. proverbium, CPG II 145 (nr. 18) ἀπὸ γραμμῆς (= ἀπὸ πρώτης ἀφετηρίας); cf. Psel. Ἕτερος λόγος πρὸς … Κωνσταντῖνον τὸν Μονομάχον = Or. pan. 4,75, Ἐγκώμιον εἰς Ἰωάννην … Εὐχαΐτων … = Or. pan. 17,64, Ἐκ τοῦ τῆς Πεντηκοστῆς λόγου, εἰς τὸ 'ἔστι διαφορὰ χαρισμάτων' = Theol. I 60,87–88, et Π 242,5. cf. etiam Π 34,27–28, Π 144,37–38, Π 146,2–3, et Π 195,6 **10** ἑτερόγναθον: cf. CPG II 424 (nr. 3); cf. Χρονογραφία VII,58 et Ἐμβραδυνάντων τῶν μαθητῶν τῇ τῆς σχολῆς ξυνελεύσει = Or. min. 22,42–44 et Π 28,57, Π 59,22, Π 134,14, Π 287,10, et Π 516,46

ep. 287 P 211v; tit. S

LXVII. ⟨Δούξ Ἀντιοχείας⟩

288. ⟨Τῷ δουκὶ Ἀντιοχείας (?)⟩
ad Nicephoritzen (Π XLVI) [cf. Π 188, Π 189 et Π 190 cum K-D 8]? ad Ioannem Ducam (Π XVII) [cf. Π 43 et Π 77]?

S 154 [P]

Ἀλλ' ὁ Ἠλίας οὗτος οὔτε ἐξ αἰθέρος οὔτε εἰς αἰθέρα, οὔτε μὴν ἀπὸ τοῦ Καρμήλου ὄρους, ἀλλ' ἀπὸ μηχανῆς σοι καὶ αὐτοσχέδιος. Ἥκει δὲ μετὰ τῆς ἐπωμίδος ἢ ἐξωμίδος. Εἰ μέν τινα Ἰεζάβελ ἀποδιδράσκων, αὐτὸς ἂν εἰδείη· τέως γοῦν ἔοικε δεινήν τινα φεύγων Ἐριννὺν καὶ πρὸς ἐσχατιὰς γῆς ἀφικνούμενος. Ἐμοὶ δὲ 5 συμβούλῳ χρησάμενος παρὰ τίνας πρώτως ἀφίξεται καὶ τίσιν ὁδηγοῖς ἐπὶ τὰ τῆς γῆς πέρατα χρήσαιτο, παρὰ σὲ ἥκει, ὁμοῦ μὲν τὴν Κοίλην Συρίαν ὀψόμενος (νὴ τὴν σὴν ἱερὰν κεφαλήν!), ἐκ ποι[ca. 12 litt.] ἡγεμονεύουσαν. Οἶσθ' οὖν ὃ ποιήσεις; Τέως μὲν δὴ παρὰ σεαυτῷ τὸν ἄνδρα κατασχὼν ἔχε, ὥσπερ ὁ Αἴολος τὸν 10 Ἰθακήσιον, εἶτα δὴ ἐς ἀσκόν, τοὺς ἐπιζεφυρίους ἀνέμους συρράψας καὶ παρασχών, ἐπὶ Λιβύην ἢ Ἀσίαν ἀπόπεμψον· δεῖ γάρ σοι πονοῦντι περὶ τὰ μεγάλα καὶ ἀναπαύσεως ὁποίαν οὗτος

1 ὁ – οὗτος: de eoque cf. Π 77,9–10 = Π 130,10–11, Π 188,6, Π 219,2, Π 220,3, Π 253,1, Π 254,1, Π 326,1, Π 327,1, et Π 450,1. cf. etiam Π 543,1? | εἰς αἰθέρα: IV Reg. 2,11 ‖ **1–2** ἀπὸ – ὄρους: III Reg. 18,19–20 et 42; cf. Psel. Ἐγκώμιον εἰς τὴν ἀποτομὴν … Ἰωάννου = Or. hag. 8,111 et Λόγος εἰς … τὸν Μονομάχον = Or. pan. 2,635 et Π 219,8 ‖ **2** ἀπὸ μηχανῆς: proverbium; CPG I 210 (nr. 84) et II 12 (nr. 78) et 297 (nr. 41), cf. Psel. Χρονογραφία VI,171, Χρυσόβουλλος = Or. for. 7,65, Λόγος εἰς … Κωνσταντῖνον τὸν Μονομάχον = Or. pan. 1,219 et 280, Ἕτερος λόγος πρὸς … Κωνσταντῖνον τὸν Μονομάχον = Or. pan. 4,405–406, Ἐκ τοῦ περὶ υἱοῦ λόγου, τὸ 'καὶ πολλούς, ὃ φρίττω λέγων, Χριστοὺς ἀνθ' ἑνὸς' ἡ μετὰ θάρσους θερμότης πεποίηκεν = Theol. I 44,44, Εἰς τὸ 'ἢ βούλεται μοῖραν …' = Theol. I 62,102, et Π 166,1–2, Π 175,11, Π 248,11, Π 319,8, et Π 467,2–3 ‖ **3** τινα Ἰεζάβελ: III Reg. 19,1–4; cf. Psel. Πρὸς τὸν Σαββαΐτην = Poem. 21,65 et Π 327,7 ‖ **4–5** δεινήν – Ἐριννὺν: cf. e.g. Suda ε 2994 Ἐριννύς: καταχθόνιος δαίμων κακοποιός. cf. Psel. Περὶ φιλίας πρὸς τοὺς ἀνεψιοὺς τοῦ πατριάρχου κῦρ Μιχαήλ = Or. min. 31,248–249 ‖ **10–12** ὥσπερ – παρασχών: Hom. Od. 10,19–26; cf. Psel. Εἰς τὸ ῥητὸν τοῦ Ἰὼβ … 'καὶ ὁ διάβολος παρέστη … = Theol. I 32,56–57

ep. 288 P 223v–224r; tit. dubitanter scripsi ‖ **9** lacunam indicavit P

παρέχεται.

15 Καὶ ἵνα σοι φιλοσοφώτερον περὶ τοῦ ἀνδρὸς διαλέξωμαι, δυοῖν ὄντοιν ἄκροιν ἀρετῆς καὶ κακίας, καὶ τῆς μὲν τῇ μοναδικῇ χαρακτηριζομένης ζωῇ (λέγω δὲ μοναδικὴν ζωὴν τὴν ἐπὶ τὰ κρείττω μονότροπον), τῆς δὲ (ἀλλὰ μή μοι κακίσῃς τὴν γλῶτταν) τῇ καπηλικῇ βιοτῇ, αὐτὸς ἵνα μηδεμίαν χώραν τῶν ἄκρων ἀφήσει
20 κενήν, τὴν μέσην ἐβάδισε καὶ ἐξ ἀμφοῖν μεμόρφωται ἀκριβῶς. Καὶ ὁπότερον βούλει τοιοῦτός ἐστι· συνεπορθρίσει γάρ σοι καὶ ᾄσεται τὰ ἱερὰ ᾄσματα, εἶτα δὴ μεταβαλὼν συνεξορχήσεται, καὶ τὴν γλῶτταν ἀπὸ τοῦ Δωρίου μέλους μεταμείψει ἐπὶ τὸ Φρύγιον, κἂν ἐπιβριμήσαιο τούτῳ [ca. 8 litt.] τῆς μεταποιήσεως, ἐπὶ τὸ
25 πρῶτον ἀθρόον σχῆμα μεταβαλεῖται. Καὶ ἀτρεμήσει μὲν αὐτῷ τὰ ὄμματα, αἱ δὲ χεῖρες ἠρέμα τὸ στῆθος ἐπικαλύψουσι, καὶ τὼ πόδε ὄψει οὐ παραλλὰξ ἀλλ' ἡρμοσμένω· καὶ αὖθις ὡς αἱ τοῦ Εὐρίπου μεταβολαὶ ἐπὶ τὸ ἄναντες χωρήσει τοῦ ῥεύματος. Καὶ βούλεται μὲν πολύμορφός τις εἶναι, ὡς ὁ μυθευόμενος ἐκεῖνος Πρωτεύς,

15–20 δυοῖν – ἀκριβῶς: cf. Π 254,32–34 πρὸς ἅπασαν πρᾶξιν, κρείττονά τε καὶ χείρονα, καὶ οὔτε ὁλοφαὴς ἐστιν, οὔτε ὁλοκνεφής, καὶ οἷον ἐπαμφότερός τις καὶ ἀμφιπρόσωπος ‖ **22** συνεξορχήσεται: vox Synesiana; cf. Synes. Cyren. Φαλάκρας ἐγκώμιον 6,31. cf. Π 62,24 et Π 254,42–43 ‖ **23** ἀπὸ – Φρύγιον: proverbium; cf. CPG I 384 (nr. 38) et II 302 (nr. 61); cf. Psel. Περὶ τῶν ψαλμῶν πρὸς … Μιχαὴλ τὸν Δούκαν … = Theol. II 1,125–126 et Π 108,1–2 et Π 254,34 ‖ **22–25** ᾄσεται – μεταβαλεῖται: cf. Π 254,34–38 Δώριος ὁμοῦ [καὶ Φρύγιος, διά]τονος καὶ ἐναρμόνιος, Ἕλλην καὶ βάρβαρος, εὐσχήμων ὁμοῦ καὶ ἀσχήμων· [νῦν μὲν ψάλλει τ]ὰ τοῦ Δαυῒδ μέλη, ὀστράκου δ' αὖθις μεταπεσόντος, τοὺς Τιμοθέου αὐλοὺς αὐτίκα [μεταχειρί]σαιτο ‖ **27–28** αἱ – μεταβολαὶ: proverbium; cf. CPG I 222 (nr. 39) et II 100 (nr. 76), et Greg. Naz. Κατὰ Ἰουλιανοῦ στηλιτευτικὸς α´ = Or. 4,72; cf. Π 419,7–8 ‖ **29** ὁ – Πρωτεύς: locus communis (ex Hom. Od. 4,384–386); cf. Psel. Χρονογραφία VI,152, Ἐκ τοῦ περὶ τοῦ πνεύματος λόγου εἰς τὸ 'Σαδδουκαῖοι μὲν …' = Theol. I 106,115–116, et Π 62,15–18, Π 77,26–27 = Π 130,26–27, et Π 254,34. cf. etiam Π 532,1–2

24 lacunam indicavit P

ἁλίσκεται δὲ μᾶλλον τοῖς χείροσι. Καὶ εἰσὶν αὐτῷ τὰ μὲν λεόντεια 30
βρυχήματα οἷον μιμήματα, τὰ δὲ πιθήκεια (οὕτως εἰπεῖν) πηδή-
ματα οἰκεῖα γεννήματα καὶ τῆς φύσεως.

Ἐπεὶ οὖν ἡ φύσις ἡμῖν δεῖταί τινος κατιοῦσα γλυκοθυμίας,
ὑποδέξεταί σε ὁ τούτου λιμὴν ἐκ τοῦ σχεδὸν καταβαίνοντα,
ἄκλυστος μὲν οὐδαμῶς, οὐ περιθραύων μέντοι τὴν ναῦν. Εἰ δέ [ca. 35
9 litt.] ἡ σανὶς καί [ca. 10 litt.] ἀσφαλῶς ἀραρυῖα, οὐδὲ βραχύ τι
παρα[ca. 10 litt.] ὁποῖος αὐτὸς πεπυκνωμένος τοῖς λογισμοῖς καὶ
πόρρωθεν παρεσκευασμένος ταῖς ἐμβολαῖς καὶ πᾶσιν ἀτίνακτος,
ἐγὼ μὲν ἠρέμα σοι τὸν ἄνδρα προσάγω, τά τε σπουδαῖα τούτου
παραδεικνύς, καὶ τὰ ἀσπούδαστα παραγγέλλων· εἰ δὲ προσωτέρω 40
οὗτος χωροίη, σὸν ἂν εἴη ἀντιχωρῆσαι ἐνδότερον.

Λέγω γοῦν αἰνιττόμενος ὅτι αὐτὸς γεγράφηκε τὴν ἐπιστολήν·
ἔστω οὖν τὸ εἰρημένον κατὰ τὸν Ἀριστοτελικὸν λόγον, «ἐκδεδομέ-

30–32 τὰ – πηδήματα: proverbium; cf. Greg. Pard. In Hermog. περὶ μεθόδου δεινότητος 1228,25–1229,1 ἔστι δὲ καὶ ἕτερον πάρισον τὸ λεγόμενον οὕτω πάρισον καθόλου, ὡς παρὰ τῷ θεολόγῳ [sic]· ἄλλα μὲν λεόντων ὁρμήματα, ἄλλα δὲ πιθήκων μιμήματα et fortasse Greg. Naz. Κατὰ Ἰουλιανοῦ στηλιτευτικὸς α´ = Or. 4,112 ἐδείχθη γὰρ ἂν τίνα μὲν ἀνθρώπων κινήματα, τίνα δὲ πιθήκων μιμήματα, cf. Ioann. Maurop. Λόγος εἰς ... Βασίλειον τὸν μέγαν, Γρηγόριον τὸν θεολόγον, καὶ Ἰωάννην Χρυσόστομον 116,30–117,1 et Nic. Chon. Epist. 8 (212,15–16); cf. Π 78,25–26, Π 108,8–9, et Π 149,40–41 **28–32** καὶ βούλεται – φύσεως: cf. Π 254,39–43 πᾶσαν ἀμείβει μορφὴν κατὰ τὸν Πρωτέα τὸν Φάριον· παντοδαπὸν ζῷόν ἐστιν, ... νῦν μὲν λέων ἐστὶ βλοσυρὸν χαλάσας τὸ ἐπισκύνιον, νῦν δὲ τοῖς πιθήκοις συνεξορχεῖται ‖ **33** ἐπεὶ – γλυκοθυμίας: cf. Π 254,49–51 ἐπειδὴ οὐκ ἀμείλικτός ἐστιν ἡ φύσις ἡμῶν οὐδὲ πρὸς ἅπασαν σπουδὴν ἄτρυτος, ἀλλὰ δεῖ τινος καὶ παιδιᾶς ἱλαρᾶς **34–35** λιμὴν ... ἄκλυστος: iunctura saepe laudata; cf. e.g. Opp. Ἁλιευτικά 1,226 ἐν ἀκλύστοισιν ἐεργομένη λιμένεσσι et 4,450 λιμένεσσι παρ᾽ ἀκλύστοισι et Plut. Περὶ τοῦ ὅτι μάλιστα τοῖς ἡγεμόσι δεῖ τὸν φιλόσοφον διαλέγεσθαι 778c7 ἐν ἀκλύστῳ λιμένι cum Psel. Χρονογραφία VI,72, Λόγος εἰς τὴν σταύρωσιν ... = Or. hag. 3a,507, Ἐγκώμιον εἰς τὴν ἀποτομὴν τοῦ πανευφήμου προφήτου Προδρόμου καὶ βαπτιστοῦ Ἰωάννου = Or. hag. 8,685, Σελέντιον δημηγορηθὲν παρὰ βασιλέως κῦρ Μιχαὴλ τοῦ Δούκα = Or. min. 3,19, Ἱστορία σύντομος 62,26, et Π 189,33, Π 270,23, Π 275,46–47, Π 324,13, Π 467,5, et Π 548,12–13 ‖ **36** ἀσφαλῶς ἀραρυῖα: cf. Hom. Il. 21,535 αὖτις ἐπανθέμεναι σανίδας πυκινῶς ἀραρυίας ‖ **43–44** ἐκδεδομένον – ἐκδεδομένον: Plut. Alex. 8 Ἀριστοτέλης ἀπολογεῖται περὶ τῶν λόγων ἐκείνων, ὡς καὶ ἐκδεδομένων καὶ μὴ ἐκδεδομένων

35 lacunam indicavit P ‖ **36** lacunam indicavit P ‖ **37** lacunam indicavit P

νον καὶ οὐκ ἐκδεδομένον». Πολλὰ δ' οὖν καὶ οὗτος καινὰ ὥσπερ ὁ
45 Αἰσχύλος δραματουργήσειε καὶ σὺ ἀντεξεύροις καινότερα.

LXVIII. Δούξ Δυρραχίου

289. Τῷ δουκὶ Δυρραχίου

K-D 133 [L]

Καὶ τίς ἄλλος τοιοῦτος, ὁποῖος εἶ σύ, φίλους αἰδούμενος, πενήτων ἀντιποιούμενος, λογίους τιμῶν, σοφοὺς ἀγαπῶν, οὐχ ὁμιλοῦντας μόνον ἀλλὰ καὶ γράφοντας; Ἔγωγ' οὖν ᾔδειν, ὅτε σε ὑπὲρ τοῦ δεῖνος ἠξίουν, ὅτι δι' ἐμὲ πάντα ποιήσεις εἰς τὸν ἄνθρωπον ὁπόσα
5 δεῖ φίλον ὑπὲρ φίλου ἀξιώσαντος πράττειν.

Ὁποῖα μὲν οὖν εἰς αὐτὸν ἐνεδείξω, καὶ οἵας κατεβάλου χάριτας, καὶ ὅσων ὠφελειῶν ἠξίωσας, αὐτὸς ἂν εἰδείης ὁ δεδρακώς, κἀκεῖνος ὁ πεπονθώς. Οἷα δὲ πρὸς ἐμὲ ἐκεῖνος γεγράφηκε, παρ' ἐμοῦ μάνθανε. Σωτῆρά σε καὶ θεὸν ἀνακηρύττει ὁ ἄνθρωπος,
10 ἵν' ἐν ὀλίγῳ δηλώσω τὸ πᾶν. Οὐδὲν δὲ ἧττον κἀμέ, τῶν αὐτῶν προσρήσεων ἀξιοῖ, ὡς μεσίτην ὑπὲρ αὐτοῦ πρὸς τὴν σὴν γεγονότα ψυχήν. Εἰ γοῦν θεοὶ δι' αὐτοῦ ἐγώ τε καὶ σύ, ποιήσωμεν ὅπερ δὴ καὶ ὁ κύριος ποιεῖ θεός. Πληρώσωμεν αὐτῷ τὴν εὐεργεσίαν, καὶ τέλεον ὥσπερ ἐξ ᾅδου, τῶν τοῦ δημοσίου περιπλοκῶν αὐτὸν
15 ἐξαγάγωμεν.

Εἰ μὲν οὖν αὐτόθι ἦν κοινωνῶν σοι τῶν πράξεων, καὶ χερσὶ καὶ ποσὶ καὶ παντὶ μέρει τοῦ σώματος, ἐπεκούρησα ἂν τῷ ἀνθρώπῳ, καὶ ἀνέσωσα πάσης εὐθύνης καὶ ἐνοχῆς. Ἐπεὶ δὲ οὐ τηλικαύτας ἔχω τὰς χεῖρας, ὥστε δὴ ἐπεκτείνεσθαι ἀπὸ τοῦ Βυζαντίου εἰς τὸ
20 Δυρράχιον, ἀφεὶς δὴ ταύτας, χρῶμαι τῇ γλώττῃ. Καὶ Στεντόρειόν

44–45 καινὰ – δραματουργήσειε: cf. Ioann. Tzetz. Schol. in Aristoph. ranas 836,21–22 καινοτέραις γὰρ ὁ Αἰσχύλος κέχρηται λέξεσι ‖ **20–21** Στεντόρειόν – φωνὴν: proverbium; cf. Hom. Il. 5,785 Στέντορι … μεγαλήτορι χαλκεοφώνῳ, et Π 298,22, Π 477,7–8, et Π 541,6–7

ep. 289 L 63r–v; tit. L K-D ‖ **4** ποιήσεις corr. K-D: ποιήσας L ‖ **11** προσρήσεων corr. K-D: προρρήσεων L

σοι ἐντεῦθεν φωνὴν ἐπαφίημι: σῶσον δὴ τὸν ἄνθρωπον· καὶ ἀνάγαγε ἐκ λάκκου ταλαιπωρίας καὶ ἀπὸ πηλοῦ ἰλύος· καὶ στῆσον ἐν εὐρυχώρῳ τοὺς πόδας αὐτοῦ, ἵνα καὶ οἱ σοὶ ἐπὶ τῆς ἀρραγοῦς σταῖεν πέτρας, καὶ πρὸς τὴν εὐρυχωρίαν τοῦ παραδείσου βαδίσαιεν. 25

LXIX. ⟨Ἐπίσκοπος Μαδύτου⟩

290. ⟨Τῷ ἐπισκόπῳ Μαδύτου⟩
post a. 1057; eodem tempore ut Π 228, Π 229, Π 291, et Π 368?

K-D 1 [K]

Ἀνακηρύττει σου τὴν ἱερὰν καὶ μεγάλην ψυχήν, σεβασμιώτατε δέσποτα, ὁ δοῦλός σου ὁ τῆς Μαδύτου βασιλικός· ἀνακηρύττει δὲ ἐπί τε ἄλλαις πολλαῖς ἀρεταῖς, καὶ ἐπὶ τῇ πρὸς αὐτὸν φιλανθρωπίᾳ καὶ ἀγαθότητι. Τοῦτο δὲ οὐκ ἄλλοθέν ποθεν περιγίνεται, ἢ ⟨ἀπὸ⟩ τῆς πρὸς ἡμᾶς σου καθαρᾶς καὶ ἀδόλου 5 φιλίας· ἐμὲ γὰρ ἀγαπῶν, στέργεις καὶ τοὺς ἐμούς· καὶ βουλόμενος ἐμοί τι χαρίσασθαι, ἐκείνων ἀντιποιῇ. Καὶ (νὴ τὴν ἱεράν σου ψυχήν!) διὰ ταῦτα οὐδ' ἀνταλλάττομαι τὸ βασιλικάτον ἐγὼ ἑτέρου τινὸς μείζονος πράγματος, ἵν' ἔχοιμι τοῦτο τῆς πρὸς σὲ φιλίας ἐμπύρευμα. 10

Ἀλλὰ σὺ ὠφελεῖν μὲν καὶ εὐεργετεῖν τοὺς ἐμοὺς προῄρησαι. Αὐτὸ δὲ τοῦτο γράφειν πρὸς ἡμᾶς οὐ βεβούλησαι· ὅθεν ἐξ ἡμισείας ἡμῖν δίδως τὰς χάριτας. Εἰ γοῦν βούλει τελέως ἡμᾶς εὐεργετεῖν, καὶ τοῦ βασιλικοῦ μᾶλλον ἀντέχου ἢ πρότερον, καὶ γραφὰς ἡμῖν ἐπίστελλε φιλικάς. Εἰ μὲν γὰρ ἑώρας τὰ ἐμὰ γράμματα σοφά τε 15

21–23 καὶ – αὐτοῦ: Ps. 39,3 καὶ ἀνήγαγέν με ἐκ λάκκου ταλαιπωρίας καὶ ἀπὸ πηλοῦ ἰλύος καὶ ἔστησεν ἐπὶ πέτραν τοὺς πόδας μου ‖ **LXIX** Μαδύτου: cf. TIB 12,501–504 ‖ **2** ὁ[2] – βασιλικός: de quo cf. Π 228,8–9, Π 291,2, et Π 368,4; et etiam Π 229,1? ‖ **9–10** φιλίας ἐμπύρευμα: cf. Π 298,32; cf. etiam Theod. Cyz. Epist. A,30,16 ὡς ἀγάπης ἐμπύρευμα καὶ ὡς εἰκόνα φιλίας, et Mich. Chon. Epist. 56,15 ὡς ἐμπυρεύματα μαραινομένης φιλίας

ep. 290 K 62v; tit. scripsi: ⟨τῷ βασιλεῖ Κωνσταντίνῳ Μονομάχῳ?⟩ K-D
5 ἀπὸ add. K-D

καὶ περιττά, ἐδεδίεις ἂν μὴ δεύτερος ἔλθῃς ἀντεπιστέλλων· ἐπεὶ δέ σοι ἰδιωτικὰ πέμπω, τοῖς ἴσοις ἀμείβου γράμμασιν.

291. ⟨Τῷ ἐπισκόπῳ Μαδύτου⟩
post a. 1057; eodem tempore ut Π 228, Π 229, Π 290, et Π 368?

S 148 [P]

Σὺ μέν, ἡγιασμένη ψυχή, ἀπέτισάς μοι τὸ χρέος· μᾶλλον δέ (εἰ δεῖ μὴ ληρεῖν), τὴν χάριν τελεωτάτην ἀπέδωκας· ἦν γὰρ ἐπὶ σοὶ κείμενον τὸ ἀποφλῆσαι τὸ χρέος ἢ καταθεῖναι τὴν χάριν. Ἐγὼ δὲ εἰς ἔργον μὲν οὐκ ἤνεγκα τὸ ἐπίταγμα, οὐ ῥαθυμήσας περὶ τοῦτο,
5 ἀλλὰ τὸν καιρὸν εὐλαβούμενος· ὁποῖος δὲ οὗτος νῦν, ἀκοῇ ἂν εἰδείης καὶ φήμαις πολλαῖς. Πολλάκις δέ σου μνήμην ποιούμενος πρὸς τὸν αὐτοκράτορα, καὶ πόρρωθεν προοιμιαζόμενος τὴν παράκλησιν, αὐτὸ τοῦτο ἀπητούμην: «Τίς ὁ ἀνὴρ καὶ πῶς μὴ εἰσεληλύθει τανῦν κοινῇ μετὰ τῶν ἄλλων ἀρχιερέων συμμεθέξων
10 ἐμοὶ τῶν τῆς βασιλείας καλῶν;»

Δεῖ γοῦν ἡμῖν τῆς σῆς ἐν τῇ Πόλει παρουσίας· δεῖ πάντως διὰ πολλά, ὧν τὸ καιριώτατον, προσκυνῆσαί σε τὸ πάνδημον καὶ κοινωφελὲς ἀγαθόν, φημὶ δὴ τὸν βασιλέα ᾧ μηδεὶς τῶν πάντων ὅμοιος, οὔτε τὴν ἀρετήν, οὔτ' ἄλλό τι τῶν τῆς ψυχῆς ἀγαθῶν.
15 Πολλῶν γοῦν ἀνθ' ἑνὸς τύχῃς, ἅμα δὲ καὶ τὸ εἰκὸς ἐκπληροῖς. Τί δέ σε οὕτως εἷλεν ἡ Μάδυτος, ὥστ' ἐπὶ τοσοῦτον χρόνον ἀφαρπᾶσαι τῆς Πόλεως; Ἐλθέ ποτε καὶ ἡμῖν· καὶ θέασαι μὲν τὴν ἡγεμόνα τῶν πόλεων, κοινώνησον δὲ καὶ λόγων τοῖς φίλοις, τοὺς δὲ καὶ τὸ εἰωθὸς προσαγόρευσον.

20 Εἰ μὲν οὖν οὕτω γένοιτο, ῥᾷστόν σοι καὶ τὸ αἴτημα καὶ εἴ τι ἕτερον βούλοιο. Εἰ δὲ παντάπασιν ἀπέγνως τὴν εἰς τὴν Πόλιν εἴσοδον, γνώρισον τοῦτο γράμματί σου ἑνί. Καὶ βραχὺν μέν τινα χρόνον καρτέρησον· ἔπειτα ἔγγραφον δέησιν ἔχθου τῷ βασιλεῖ, δῶρόν τε αὐτῷ στεῖλον τὸ τοῦ παρ' ὑμῖν ἐπισήμου ἁγίου εὐῶδες

1–2 εἰ – ληρεῖν: Dem. Περὶ στεφάνου = Or. 18,297 et Περὶ τῆς παραπρεσβείας = Or. 19,262. cf. Π 118,21–22 ‖ **7** τὸν αὐτοκράτορα: Constantinus X Ducas (imperator: 23/24.XI.1059 – 22/23.V.1067) (Π XVIII)? ‖ **24** τοῦ – ἁγίου: S. Euthymius, ep. Madytorum (ca. a. 989 – a. 996; BHG 654)

ep. 291 P 222v; tit. scripsi: ⟨τῷ ἐπισκόπῳ? Μαδύτου⟩ S ‖ **17** τὴν : τὸν S

μῦρον ἢ ἔλαιον· καὶ γενήσεταί σοι τοῦ χρυσοβούλλου ἡ ἐπικύρω- 25
σις.

Τέως δὲ νῦν ἀντέστραπται ὡς ἐκέλευσας. Εἰς δὲ τὸ τῆς γραφῆς σου ἀκροτελεύτιον, παρηνίξω τι περὶ τοῦ βασιλικοῦ· εἶτα δὴ καὶ μηδὲν δέον κατὰ σεαυτοῦ ἐξεφώνησας. Πρὸς μὲν οὖν τοὺς σοὺς λόγους καὶ (ἵν' οὕτως εἴπω) ἀποτροπιασμούς, πλέον αὐτὸς 30 παρ' ἐμαυτοῦ πέπεισμαι, ἢ σὺ λέγειν ἐπεχείρησας (μὴ γὰρ τοσοῦτον μανείην εἰ μὴ τὸν πρόεδρον Μαδύτου γινώσκοιμι!). Τὸ δέ γε ἐμὸν βούλημα, μὴ ἑτερότροπον γένοιτο ἢ ὡς ἔχει νῦν· ἔχει δὲ μηδένα ἐθέλειν ἀδικεῖν, μήτε τὸ πλέον ἔχειν τοῦ δεδομένου, μήτε τὸ ἔλαττον. Ἀλλ' οὐκ ἄν τις γένοιτο τῶν ἐμῶν κατ' ἐμέ. 35

LXX. ⟨Ἐπίσκοπος Ματιάνης⟩

292. ⟨Τῷ ἐπισκόπῳ Ματιάνης⟩

a. 1068? eodem tempore ut Π 25, Π 281, Π 21, Π 152, Π 24, Π 151, Π 282a = Π 282b, Π 21, et Π 283; cf. etiam Π 504?

S 131 [P]

Καὶ τίς ἄν με μεταπεῖσαι δυνήσεται ἄλλο τι φρονῆσαι περὶ τὴν σὴν τιμιότητα ὧν ἐξ ἀρχῆς ἐγνώκειν καὶ γνοὺς τεθαύμακα; Μὴ τοῦτο οἴου· οὐχ οὕτως ἐγὼ εὔκολος ὥστε μεταπίπτειν ῥᾳδίως καὶ μεθαρμόζεσθαι. Τὸν δὲ σεμνοπρεπέστατον Γορδιασοῦ, διὰ σοῦ

28 τοῦ βασιλικοῦ: de quo cf. Π 228,8–9, Π 290,2, et Π 368,4; cf. etiam Π 229,1? ‖ **31–32** μὴ – μανείην: iunctura saepe in Luciano laudata, cf. e.g. Ἀναβιοῦντες ἢ Ἁλιεύς 37 et Ἑταιρικοὶ διάλογοι 2,4; cf. etiam e.g. Ael. Arist. Πρὸς Πλάτωνα ὑπὲρ τῶν τεττάρων 126,26 et Suda μ 145. cf. Psel. Κατηγορία τοῦ ἀρχιερέως = Or. for. 1,2768, Ἐγκώμιον εἰς … Νικόλαον μοναχὸν … = Or. fun. I 10,1,12, Ἐγκώμιον εἰς τὴν φθεῖρα = Or. min. 28,121, Εἰς τὸ 'νοῦς μὲν οὖν ἤδη καὶ αἴσθησις' = Theol. I 90,85, et Π 7,51, Π 55,12, Π 100,13, Π 131,18–19, Π 139,62, Π 145,49, Π 209,3–4, Π 277,2, et Π 454,105 ‖ **LXX** Ματιάνης: cf. TIB 2,231 ‖ **4** τὸν … Γορδιασοῦ: episcopus (vel abbas?) in Gordiason (TIB 2 183–4), de quo cf. etiam Π 21,11, Π 25,28, Π 152,4, et Π 281,9

ep. 292 P 219r; tit. scripsi

5 ἐγνωκὼς καὶ φίλον αὐτὸν ἐμαυτῷ ποιήσας, βουλοίμην ἂν (εἴ γε καὶ δυναίμην) πᾶν εἴ τι καλὸν αὐτῷ προσπορίσασθαι. Οὔτε οὖν ἐκεῖνος καταμέμφεται τὴν σὴν σεμνοπρέπειαν, ἀλλ' ἀξιοῖ τυχεῖν εὐμενεστέρας τῆς σῆς ἡγιασμένης ψυχῆς· οὔτε ἐγὼ γέγραφα καταιτιώμενος, ἀλλὰ συμβιβάζων σε πρὸς τὴν ἐκείνου φιλίαν καὶ 10 οἷον ἐξιλεούμενος.

Εἰ μὲν οὖν ἀλλήλοις εἰς μίαν γνώμην συνέλθοιτε, ἀγαπῴην ἄν· εἰ δ' οὖν, ἐπεί με κοινὸν καθίζετε δικαστήν, ἐγὼ καὶ δικάσω καὶ διαιτήσω ἀμφοτέροις τοῖς μέρεσι καὶ ἀποφανοῦμαι συγκραθῆναι αὖθις ὑμᾶς εἰς ἀρραγεστάτην φιλίαν νῦν μᾶλλον ἢ πρότερον.

15 Τὰ ἀπεσταλμένα βρώσιμα ἀπέλαβον καὶ ἀπεδεξάμην, εἰ καὶ ἀλλότριον ἐμοὶ ἡ τροφή.

LXXI. Ἐπίσκοπος Παρνασοῦ

293. Τῷ ἐπισκόπῳ Παρνασοῦ

K-D 75 [L]

Καὶ τίς οὕτω καλός, οὕτω σεβάσμιος, ὡς ὁ πρόεδρος Παρνασοῦ, οὐκ ἐπιλανθανόμενος φίλων, οὐ φειδόμενος οὔτε πραγμάτων, οὔτε χρημάτων, εἰς θεραπείαν ὧν ἀγαπᾷ; ἄλλα γὰρ ἐπ' ἄλλοις

5–6 βουλοίμην – δυναίμην: cf. Synes. Cyren. Epist. 95,62–63 οὐδ' ἂν εἰ δυναίμην βουλοίμην, πάντως δὲ οὐδ' ἂν εἰ βουλοίμην δυναίμην. cf. etiam Psel. Χρονογραφία VI,171 οὐδ' εἰ πάνυ βουλοίμην, τοῦτο δυναίμην ἄν, Σελέντιον δημηγορηθὲν παρὰ βασιλέως κῦρ Μιχαὴλ τοῦ Δούκα = Or. min. 3,85 βουλοίμην μέν, εἴ γε δυναίμην, Ἑρμηνεία εἰς τὸ ῥητὸν τῆς Κλίμακος = Theol. I 30,7 οὔτε βουλοίμην εἰπεῖν, οὔτ' εἰ βουλοίμην, δυναίμην ἄν, Π 23,69 ὃ βουλοίμην, οὐ δῆτα δὴ καὶ δυναίμην, Π 30,1 βουλοίμην ἂν καὶ πάνυ βουλοίμην (εἴ γε δυναίμην), Π 79,15–16 βουλοίμην γὰρ (εἴ γε καὶ δυναίμην), Π 99,26 εἴ γε δυναίμην, βουλοίμην δέ, Π 111,19–20 οὔτε δυναίμην ἂν εἴ γε βουλοίμην, οὔτε βουλοίμην εἴ γε δυναίμην, Π 200,34–37 σὺ μὲν γὰρ καὶ βούλοιο ἅμα καὶ δύναιο· ἐγὼ δὲ βουλοίμην μὲν (καὶ μάρτυς ἐπὶ τῷ λόγῳ θεός), δυναίμην δ' οὐ πάνυ, ἀλλ' ἔλαττον ἢ βουλοίμην· εἰ δὲ γενναίως βουλοίμην, πάντως δ' ἂν καὶ δυναίμην, et Π 514,1–2 βουλοίμην ἄν … (εἴ γε δυναίμην) ‖ **LXXI** Παρνασοῦ: cf. TIB 2,252-253

ep. 293 L 39r

ποταμηδὸν ἐπιχέεις ἡμῖν· νῦν μὲν τυρούς, νῦν δὲ ταρίχη, νῦν δὲ βούτυρον, νῦν δὲ κατ' αὐτὸ πάντα, ὥσπερ νῦν. 5

Ἐγὼ δέ, εἰ καὶ μὴ τοιαύταις ἐπιστολαῖς ἐχρῶ πρὸς ἡμᾶς, ἀπὸ μόνης οὖν σε τῆς ἀρετῆς ἐξεθείαζον. Κἂν μὴ τηλικοῦτος ὑπῆρχες τὴν φρόνησιν καὶ τὴν σύνεσιν, ἀποχρῶσά μοι πρὸς εὐφημίαν ἐγίνετο ἂν ἡ πρὸς ἡμᾶς σου διάθεσις. Νῦν δὲ καὶ τοῦτο κἀκεῖνο, καὶ ἄλλα πλείονα ἀνακηρύττει τὴν σὴν ψυχήν. Καὶ μήτε σὺ 10 λήγοις ποτὲ τῆς τοιαύτης προθέσεως, οὔτε ἐγώ σε τῶν ἐγκωμίων στερήσαιμι. Ἐγὼ μὲν γὰρ πλουτῶ λόγοις, σὺ δὲ πλουτεῖς πράγμασιν.

Ἀντιδώσομεν οὖν ἀλλήλοις δαψιλῶς τὰ οἰκεῖα· σὺ μὲν ἅπερ εἴωθας, ἐγὼ δὲ τὰς ἀπὸ τῶν λόγων χάριτας· ἥν τε αὐτὸς φαίης ἂν 15 προστασίαν καὶ ἀντίληψιν καὶ λέγοις ἀεί, ἐγὼ δὲ οὐκ οἶδα εἴ τινός σοι τούτων ποτὲ μεταδέδωκα.

294. Τῷ ἐπισκόπῳ Παρνασοῦ

ca. a. 1059 – a. 1067; eodem tempore ut Π 49 [vid. epistolarum ordinem in codd. L et P]

S 62 [P]

Καὶ τίς οὕτω καλὸς ὡς ὁ τιμιώτατος Παρνασοῦ; Τίς οὕτω μεμνημένος φιλίας καὶ ἀποδιδοὺς χάριτας, καὶ φίλους αἰδούμενος, καὶ εὐεργέτας σεβόμενος, καὶ πάντα τρόπον αὐτοῖς χαριζόμενος; Ἐγὼ μὲν οὖν οὐκ οἶδα εἴ τίς ἐστιν ἕτερος κατὰ τὴν σὴν ἀρετήν· εἰ δ' ἔστιν, ἀγαπῴην ἄν, καὶ θαυμάζω τὸν ἄνδρα τοῦτον, καὶ τίθεμαι 5 μετὰ τῶν κρειττόνων.

Οὐ τοίνυν ἐπαιτιῶμαί σε εἰ μὴ πολλάκις γράφεις πρὸς ἡμᾶς, ἀλλ' ὥσπερ ἐκ διαστημάτων· οἶδα γὰρ ὅτι μνημονεύεις ἀεί, κρεῖττον δὲ τοῦ γράφειν τὸ μνημονεύειν. Εἰ δὲ καὶ προσθήσεις τοῖς γράμμασιν, ἔτι σε μᾶλλον ἀγαπήσομεν καὶ θαυμάσομεν. Τὸν 10 αὐτὸν δέ σοι καὶ ἡμεῖς τρόπον καὶ μνημονεύομέν σου τῆς ἀρετῆς, καὶ τοῖς οὐκ εἰδόσιν αὐτὸν ἱστοροῦμεν. Ὁπηνίκα δὲ καὶ τοῖς τῆς τιμιότητος σου ἐντύχωμεν γράμμασι, τηνικαῦτά σε καὶ θερμότερον περιπλεκόμεθα, καὶ τὴν ἱεράν σου κατασπαζόμεθα κεφαλήν.

7 σε corr. K-D: σοι L ‖ **ep. 294** L 53r, P 203v; tit. L: ⟨τῷ ἐπισκόπῳ Παρνασοῦ⟩ S ‖ **1** καλῶς S

15 Ἐπεὶ δὲ καὶ γράμμα ἡμέτερον πρὸς τὸν ὑπέρτιμον ἐζήτησας καίσαρα, γέγραπταί σοι καὶ τοῦτο καὶ τὸ τούτου ἰσότυπον· καὶ ἔσταλται ἄμφω. Καὶ ἀκριβῶς ἴσθι, ὅτι συμβαλεῖταί σοι εἰς τὴν πρὸς αὐτὸν παρρησίαν τε καὶ οἰκείωσιν.

Τὸ δὲ βούτυρον μετὰ τῶν λοιπῶν δεξάμενοι, πῶς ἂν εἴπῃς 20 ἀπεδεξάμεθα;

LXXII. Ἡγουμένος τῆς μονῆς τῶν Σμιλάκων

295. Τῷ ἡγουμένῳ τῆς μονῆς τῶν Σμιλάκων

K-D 113

Δύο τινὲς μοναχοὶ προσῆλθόν μοι, ἐλεεινὰς ἀφιέντες φωνάς, καὶ δεόμενοι ἐπὶ τὴν σὴν αὖθις ποίμνην ἐλθεῖν, κακῶς ἐκεῖθεν ἀπορραγέντες.

Τοσοῦτον οὖν ἀξιῶ: εἰ μὴ ὑπάρχει τὸ ἁμάρτημα αὐτῶν ἀσύγ-5 γνωστον, εἰ μὴ δυσπαραίτητον ἔχεις πρὸς αὐτοὺς τὴν ὀργήν, ἀλλὰ παιδεύσας, βούλει πάλιν ἰάσασθαι, σύστειλον δι’ ἐμὲ τὸν τῆς παιδείας καιρόν· δέος γὰρ μὴ μᾶλλον νοσήσωσιν ἢ ἀτακτήσωσιν, πόρρωθεν καθεστηκότες τῆς σῆς ἐπιστήμης καὶ κυβερνήσεως.

15 γράμμα ἡμέτερον: ad Π 49 refert? ‖ **15–16** πρὸς – καίσαρα: Ioannes Ducas (Π XVII) ‖ **LXXII** τῆς – Σμιλάκων: cf. Janin 1975,181

16 καὶ τοῦτο P S: τοῦτο L ‖ **17** ἄμφω L: καὶ ἄμφω P S ‖ **19** τὸ L: τὸν P S
ep. 295 L 58v; tit. L K-D

LXXIII. Κουράτωρ Κύπρου

cf. Π 407

296. Τῷ κουράτορι Κύπρου

ca. a. 1059 – a. 1067

K-D 80

Χαίρω οὕτως σου κατευοδοῦντος, καὶ διευθύνοντος ἐν πᾶσι καιροῖς τὰ πράγματα· ἐγὼ γὰρ πολλάκις μεγαληγορῶν περὶ σοῦ πρὸς τὸν κράτιστον ἡμῶν βασιλέα, ἐὰν καὶ τὴν ἀπὸ τῶν πραγμάτων μαρτυρίαν προσλάβω, μεγαλοφωνότατος ἐπαινέτης τῶν σῶν γίνομαι πράξεων. Ἀλλὰ καὶ ὁ βασιλεὺς νῦν μᾶλλόν σε κατενόησεν· 5 καὶ ἀποδέχεταί σου καὶ τοῦ φρονήματος καὶ τῆς προθυμίας. Θαυμάζει δέ σε καὶ τῆς εὐτυχίας· πλέον δὲ πάντων ἀπεδέξατο, ὅτι κατέστησας τὴν νῆσον, καὶ ἐκυβέρνησας τὰ ἐν αὐτῇ καλῶς, καὶ μετήνεγκας εἰς γαλήνην τὴν ταραχήν. Καὶ ὁ καῖσαρ δὲ καὶ ἐπαινεῖ καὶ μεγαλύνει τὰ σά, καὶ ὅλος προστάτης σου μέγας 10 ἐστίν.

Εἰ δὲ καὶ ⟨μὴ⟩ παραυτίκα ἀμοιβαὶ τῶν πόνων σου γίνονται, μὴ μικροψυχήσῃς· ἐλεύσεται γὰρ θεοῦ θέλοντος καὶ ἡ ἀντίδοσις. Μόνον σύ προσθήκας ἐπινόει τοῖς κατορθώμασι· «ῥανίς δὲ ἐνδελεχοῦσα, πέτραν κοιλαίνει», ὥσπερ ἀκήκοας. Ἔχεις δὲ κἀμὲ τῶν 15 σῶν κατορθωμάτων συλλήπτορα, ἀνακηρύττοντα τὰ σὰ καὶ ἀποδεικνύντα ἀντάξια πολλῶν ἀμοιβῶν.

ep. 296 ca. a. 1059 – a. 1067: cf. Cheynet 1990,73 ‖ **5** ὁ βασιλεὺς: Constantinus X Ducas (imperator: 23/24.XI.1059 – 22/23.V.1067) (Π XVIII) ‖ **9** ὁ καῖσαρ: Ioannes Ducas (Π XVII) ‖ **14–15** ῥανίς – κοιλαίνει: proverbium; cf. CPG II 632–633 (nr. 19) cum Choeril. Sam. Fr. 11 (ed. Bernabé) πέτρην κοιλαίνει ῥανὶς ὕδατος ἐνδελεχείῃ et ῥανὶς ἐνδελεχοῦσα κοιλαίνει πέτραν. cf. etiam Psel. Κανὼν κατὰ τοῦ Ἰακώβου = Poem. 22,86, Ὑπὲρ τοῦ νομοφύλακος κατὰ τοῦ Ὀφρυδᾶ = Or. for. 3,223–225, et Π 10,17–18, et Π 507,23–24

ep. 296 L 40v; tit. L K-D ‖ **12** μὴ add. K-D

LXXIV. Κριτὴς τῶν Ἀνατολικῶν

varii?

297. Τῷ κριτῇ τῶν Ἀνατολικῶν

K-D 82 [L]

Ὁ τιμιώτατος μητροπολίτης Ἀμοραίου οὐ δυσχεραίνει μὲν τὴν τῶν μονοπροσώπων ὀφειλήν, ἀβαρεστέραν δὲ ἑαυτῷ γενέσθαι βούλεται τὴν ἀπόδοσιν· τὸ δέ ἐστιν, ἵνα μὴ αὐτόθι, ἀλλ᾽ ἐνταῦθα ἀποδῷ τὰ ὀφειλόμενα. Ἔστι δὲ τοῦτο ἐλαφρότερον μὲν ἴσως τῷ
5 μητροπολίτῃ, τοῖς δὲ ἀπαιτοῦσι καὶ τοῖς λαμβάνουσι ἴσον τῷ αὐτόθι· οὐ γὰρ εἰ ἐξ ὀλίγων ἢ μακρῶν τῶν διαστημάτων ὁ παραλαμβάνων τὰ μονοπρόσωπα πολυπραγμονεῖ, ἀλλ᾽ εἰ καλά τε εἴη, καὶ πίονα, καὶ οὐ πάντας τοὺς γαλακτώδεις ὀδόντας ἀποβεβληκότα. Οἷα δὴ ὁ μητροπολίτης ἐνταῦθα ἀποδώσειν
10 κατεπαγγέλλεται· μᾶλλον δὲ ὁποῖα ἀρέσει τῷ τὴν βασίλειον φάτνην πεπιστευμένῳ.

Ποίησον οὖν ἐπιτελῆ καὶ τὴν τοῦ μητροπολίτου αἴτησιν, καὶ τὴν ἐμὴν ἀξίωσιν. Καὶ ὠφέλησον τοῦτον, μηδὲν καθυφεὶς τοῦ δικαίου, μήτε τοῦ ποσοῦ, μήτε τοῦ ποιοῦ· μετὰ γὰρ τῆς νομισθεί-
15 σης ποσότητος, οὐδ᾽ ἡ ποιότης τούτῳ τῶν ἀποδοθησομένων μονοπροσώπων ἔλαττον ἕξει.

Χάρισαι οὖν καὶ αὐτῷ καὶ ἐμοί, ὃ σοὶ μὲν οὐκ ἔλαττον σχήσει, ἡμῖν δὲ, ἐκείνῳ μὲν ὠφέλειαν, ἐμοὶ δὲ χάριν ἐπιμετρήσει.

298. Τῷ κριτῇ τῶν Ἀνατολικῶν

S 41 [P]

«Τί ἐμοὶ καὶ σοί», περίβλεπτε κύριέ μου καὶ λογιώτατε πάντων

1 ὁ – Ἀμοραίου: Theoctistus? cf. Oikonomidès 1960,67 ‖ **1** τί – σοί: Ioann. 2,4 λέγει αὐτῇ ὁ Ἰησοῦς, «τί ἐμοὶ καὶ σοί, γύναι; οὔπω ἥκει ἡ ὥρα μου» cf. etiam Luc. 8,28 (et Marc. 5,7) «τί ἐμοὶ καὶ σοί, Ἰησοῦ υἱὲ τοῦ θεοῦ τοῦ ὑψίστου; δέομαί σου, μή με βασανίσῃς»

ep. 297 L 40v–41r; tit. L K-D ‖ **17** σοὶ K-D: σὺ L ‖ **18** post ἡμῖν δὲ lacunam prop. K-D sed vid. Malt[5],250–252 ‖ **ep. 298** P 199v; tit. P S

ἀνδρῶν; μέχρι τούτου μοι τῷ ἔπει χρηστέον, τὰ δ' ἄλλα καὶ μάλα μεταβλητέον· ἦλθες γὰρ ἐν καιρῷ μεγαλῦναι ἡμᾶς· τί τοῦτο; ὅτι λογιότητι πάντας ὑπερβαλών, ἔτι καὶ τοῖς φιλικοῖς καθήκουσιν ὑπερέβαλες. 5

Ἐγὼ δέ σε οὐ ταύτῃ μόνον θαυμάζω, ἀλλὰ καὶ ὅτι τοῖς περὶ φιλίας λόγοις ὡμιληκὼς καὶ τὰ ἐκεῖθεν περὶ ταύτης μεμαθηκὼς δόγματα, οὐκ εἰς πολλοὺς διαιρεῖς τὴν διάθεσιν τῆς ψυχῆς, ἵνα μὴ κατὰ τοὺς διαιρουμένους τῶν ποταμῶν λεπτοί σοι οἱ τῆς ἀγάπης χείμαρροι εἶεν. Ἀλλὰ πρὸς μὲν τοὺς ἄλλους ἀφοσιοῖς τοὺς τῆς 10 φιλίας θεσμούς· ἐμοὶ δὲ μόνῳ ὅλῳ ἐπικλύζεις τῷ πελάγει τῆς ἀρετῆς, οὕτω μετ' ἤχου, ὡς ἐπὶ πάντα τὰ πέρατα τῆς γῆς τὸν φθόγγον ἀκουσθῆναι τῆς περὶ ἡμᾶς σοῦ καθαρᾶς διαθέσεως. Ὅθεν καὶ πλατεῖαν ἐφ' ἡμᾶς τοῖς καταπονουμένοις ἀνέῳξας τὴν ὁδόν· ἄλλοι γοῦν ἐπ' ἄλλοις συρρέουσιν, ὁμοῦ τε κηρύττοντες ὅπως 15 ἀλλήλους ἀντηγαπήκαμεν, ἅμα δέ με καὶ πρὸς τὴν σὴν εὐμένειαν ὑπὲρ ἑαυτῶν προβαλλόμενοι.

Οἱ μὲν οὖν ἄλλοι μετρίως πως τὴν πρὸς ἀλλήλους διάθεσιν ἀνεκήρυττον. Ὁ δὲ Σωζοπόλεως—ἀλλὰ πῶς ἂν εἴποιμι; οὗτος γὰρ τἆλλα ἰσχνὸς ὢν τὴν φωνὴν καὶ λεπτὸς τὸ φθέγγεσθαι, 20 ἐπειδὴ τοῦ περὶ ἡμῶν λόγου κατήρξατο, τὰς Τυρρηνικὰς ὑπερῆρε σάλπιγγας, Στέντορος ἤχησε μεγαλοφωνότερον, «τοῦτο φιλία» βοῶν, «τοῦτο ἀγάπης ὅρος ἀκρότατος, τοιαύτη τῶν ἐλλογίμων ἀνδρῶν ἡ διάθεσις». Ὡς δὲ κατέτεινε λέγων, εἶτα πυκνότερον ἤσθμαινεν ὑπὸ τῆς ἄγαν προθυμίας, ἐπέσχον ἐγώ, ὥστε καὶ αὖθις 25 πνεῦμα συλλέξαι καὶ οὕτως βοᾶν. Καὶ κατὰ τοὺς ἐπεχομένους τῶν ἀγωγῶν, ἀπείρῳ αὖθις ἐπέρρευσε τῷ κρουνῷ.

Ὑπὲρ οὗ αἰσχυνθεὶς ἐγὼ εἰ, τοιοῦτος τυγχάνων περὶ ἡμᾶς, μὴ ἀναλόγου τῆς ἀντιδόσεως τεύξεται, ἐπὶ τὴν περὶ αὐτοῦ ἦλθον ἀξίωσιν. Ἀξιῶ οὖν ὡς φιλόσοφος πρὸς φιλόσοφον (σὺ δὲ οὐκ 30 ἀγνοεῖς ὡς φιλῶ καθόλου τὸ γένος), καὶ τῶν μερικῶν ἀπεχόμενον.

19 Σωζοπόλεως: urbs in Pisidiae (cf. ODB 1933) ‖ **21–22** τὰς – σάλπιγγας: proverbium; cf. Greg. Naz. Epist. 10,2 τὰς Τυρρηνικὰς ὑπερεφώνησα σάλπιγγας ‖ **22** Στέντορος – μεγαλοφωνότερον: proverbium; cf. Hom. Il. 5,785 Στέντορι … μεγαλήτορι χαλκεοφώνῳ, et Π 289,21–22, Π 477,7–8, et Π 541,6–7

Τί οὖν ὅ φημι; Πᾶν εἴ τί σοι πρὸς ἡμᾶς φιλίας ἐμπύρευμα ἐπὶ τοῦτον τὸν ἄνδρα ἀναλόγως τῆς πρὸς ἡμᾶς διαθέσεως ἀναμέτρησον. Τίμησον ὡς ἀρχιερέα· αἰδέσθητι ὡς χρηστὸν τὸ ἦθος, καὶ τὸν
35 τρόπον ὑπέρσεμνον· φίλησον ὡς φιλίαν εἰδότα τιμᾶν· τὸν τῆς δικαιοσύνης ὅρον ἐπὶ τοῖς τῆς αὐτοῦ ἐπισκοπῆς δεῖξον πράγμασι· «στίλβωσον τὴν ῥομφαίαν» ἐπὶ τοὺς αὐτὸν (ὥς φησιν) ἀδικήσαντας (ῥομφαία δὲ τοῦ δικαίου ἡ διὰ γλώττης τομή, ὅταν καὶ μάλιστα νόμοις στοιχῇ)· ἀνθύβρισον τοὺς ὑβρίσαντας, πράγμασιν
40 ἀτιμάζων τοὺς ὑβρικότας ἐν ῥήμασι· καὶ (ἵνα τὸ πᾶν συλλεξάμενος εἴπω) τοιοῦτος πρὸς αὐτὸν φάνηθι δικαστής, οἷος οὗτος περὶ τὴν ἡμετέραν φιλίαν διαιτητής.

Ἂν οὕτω ποιήσῃς, καὶ ἐπισταλάξῃς αὐτῷ τὸν τῆς δικαιοσύνης ὑετὸν πρώϊμόν τε καὶ ὄψιμον, ἔτι μάλιστα τὴν αὔλακα τῆς τούτου
45 ψυχῆς πρὸς εὐκαρπίαν εὐφημίας πολυγονωτέραν δείξεις· καὶ ἐπανατελεῖ πλουσιώτατον τὸν τῆς εὐχαριστίας στάχυν ἡμῖν, καὶ πλείονα ἢ πρότερον τὸν τῆς δικαιοσύνης ἀμφοῖν ἐπιδείξει καρπόν.

LXXV. Κριτὴς Βολεροῦ

299. Τῷ κριτῇ Βολεροῦ

K-D 89 [L]

Μοναστήριον ὑπέσχετό μοι δωρήσασθαι ὁ Θεόκτιστος, ἐπὶ πολλοῖς προηγησαμένοις εἰς αὐτὸν παρ' ἐμοῦ καλοῖς. Ἐπεφορτίσατο δέ μοι (ἵνα οὕτως εἴπω) οὐ μοναστήριον, ἀλλὰ

32 φιλίας ἐμπύρευμα: cf. Π 290,9–10; cf. etiam Theod. Cyz. Epist. A,30,16 ὡς ἀγάπης ἐμπύρευμα καὶ ὡς εἰκόνα φιλίας, et Mich. Chon. Epist. 56,15 ὡς ἐμπυρεύματα μαραινομένης φιλίας ‖ **37** στίλβωσον – ῥομφαίαν: Ps. 7,13 ἐὰν μὴ ἐπιστραφῆτε, τὴν ῥομφαίαν αὐτοῦ στιλβώσει. cf. Psel. Ἐγκώμιον εἰς τὴν ἀποτομὴν … Ἰωάννου = Or. hag. 8,617–618, Λόγος εἰς … Κωνσταντῖνον τὸν Μονομάχον = Or. pan. 1,144, Εἰς τὸν σεισμὸν … = Phil. min. I 30,237, et ⟨In locum Psalmi 34⟩ = Theol. II 41,17–18 ‖ **44** ὑετὸν – ὄψιμον: Deut. 11,14 καὶ δώσει τὸν ὑετὸν τῇ γῇ σου καθ' ὥραν πρόιμον καὶ ὄψιμον cum Osee 6,3, Ioel 2,23, Zach. 10,1, et Ier. 5,24; cf. Psel. Ἐξήγησις εἰς τὸν θεολογικὸν δεύτερον λόγον …' = Theol. I 103,102 et Π 507,2–3 et Π 513,9

ep. 299 L 43v; tit. L K-D ‖ **1** Θεόκτιστος K-D: abbr. incerta L

ψευδωνύμως μὲν οὕτως ὀνομαζόμενον, γήδιον δέ τὸ λυπρότατον
καὶ παντάπασιν ἀπορώτατον, ὃ μήτε σπείρεται, μήτε θερίζεται· 5
οὐ μόνον γὰρ ἐγὼ ἄχρι καὶ κόκκου ἑνὸς ἀπὸ τοῦ τοιούτου οὐκ
ἔλαβόν ποτε, ἀλλὰ καὶ οἱ νῦν αὐτῷ προσκαθήμενοι λιμώττουσι
λιμὸν ἰσχυρόν. Ὅμως ἐγὼ οὐκ ἀπεβαλόμην τὴν δωρεὰν τῆς
τοιαύτης ἀκάρπου γῆς, μελετῶν περιποιήσασθαι ταύτην καὶ
ἐργάσασθαι, καὶ προσθήκην τινὰ ἐκ τῶν παρακειμένων αὐτῇ 10
τοπίων ποιήσασθαι.

Ἀξιῶ οὖν σε οὐχὶ μὴ κατασκηνῶσαι ἐν τῇ μονῇ· οὐδὲ γὰρ ἂν
οὐδ' αὐτὸς θελήσῃς ποτέ· οὐ γὰρ ἀστεΐζων γράφω, ἀλλ' ἀληθεύων,
ὅτι ἐρημοτόπιόν ἐστι παντελῶς, ὀνομάζεται δὲ τὰ Δοβρόσοντος,
ἄξιον τῆς βαρβαρικῆς ταύτης ἐπωνυμίας διὰ τὸ βάρβαρόν τινα 15
προσήκειν ἐν αὐτῷ κατοικεῖν. Οὐ τοῦτο τοιγαροῦν ἀξιῶ, ἀλλ' ἵνα
διαγνοίης, εἴ γε δέχεται ἴασιν τὸ κατὰ τὴν ἐμὴν ὑπόληψιν ἀπηγο-
ρευμένον τόπιον. Κἂν δέχηται, ἰάσομαι· εἰ δ' οὖν, ἀπογνώσομαι.
Μηδὲ σὺ παραυτίκα ἀπογνῷς τὸ νοσῶδες χωρίον, ἀλλὰ καὶ
ἐπίσκεψαι καὶ περιποίησαι ὡς σὸν τὸ ἀλλότριον, μᾶλλον δὲ καὶ 20
οὕτως σόν, διὰ τὴν τῆς φιλίας κοινότητα.

LXXVI. Κριτὴς τῶν Βουκελλαρίων

varii? Νικόλαος Σκληρός? cf. etiam Π 306

300. Τῷ κριτῇ τῶν Βουκελλαρίων

post a. 1067 [cf. Riedinger 2010,30]?

K-D 65 [L]

Ὁ Βουκελλάριος οὗτος, ἐνδοξότατε κύριέ μου καὶ ἠγαπημένε
ἀδελφέ, προσῆλθέ μοι πρὸ ἡμερῶν ὀλίγων, λέγων, ὡς δεδικαίωται

4 γήδιον – λυπρότατον: cf. Hom. Od. 13,243 λυπρὴ (scil. γαῖα) cum Π 340,6–7 κτηματίτζιον λυπρότατον ‖ **14** τὰ Δοβρόσοντος: in regione Thessalonicae; cf. Oikonomidès 1984,211 et Π 378,54–55 ‖ **LXXVI** Νικόλαος Σκληρός: cf. Seibt 1976[1],93

4 μὲν Dölger: μὴ L K-D | λυπρότατον L: λυπηρότατον K-D ‖ **ep. 300** L 35v–36r, A 46v (fin. mut.); tit. L A K-D ‖ **1–2** κύριέ – ἀδελφέ A: κῦρ μου L K-D ‖ **2–3** post δεδικαίωται μὲν spatium ca. 15 litterarum reliquit A

μὲν πάλαι παρ' ἐμοῦ, καταδεδίκασται δὲ ὕστερον ἐπ' αὐτῇ τῇ ὑποθέσει, ἐφ' ᾗ τὴν δικαίωσιν εἴληχε, παρὰ τοῦ μετ' ἐμὲ δικά-
5 σαντος ἐν τῷ θέματι, τοῦ Μωροχαρζάνη. Φησὶ δὲ τοῦτον μὲν ἐπιφέρεσθαι πρακτικὸν τῆς ἐμῆς κρίσεως, ἐκεῖνον δὲ πρᾶξιν αὖθις ἔγγραφον τῆς τοῦ Μωροχαρζάνη ἀντικρίσεως.

Ταῦθ' ὁ μὲν εἶπεν, ἐγὼ δὲ πρώτην μὲν αὐτῷ ἀφῆκα φωνήν, ὡς οὐδείς μοι λόγος τῆς τοῦ ἀντιδικάσαντος κρίσεως, τὸ ἀντιφιλοτι-
10 μεῖσθαι καὶ ἀντεγκαλεῖν ἤδη που καταλελυκότι. Ἔπειτα δὲ πλεῖστά με καταλιπαρήσαντι, ταύτην ἐπιδέδωκα τὴν γραφήν, μὴ εἰδὼς (μὰ τὴν ἀγάπην σου!) μήτε εἰ ἐδίκασα, μήθ' ὃ ἀπεφηνάμην. Θαυμάζω δέ, εἰ ἐξετάσαντος ἐμοῦ ⟨τὴν⟩ ὑπόθεσιν, καὶ ἀναταξαμένου ἐν γράμμασιν, ὁ Μωροχαρζάνης ἄλλο τι διέγνωκε περὶ αὐτῆς,
15 ἄνθρωπος τὸ οἰκεῖον μέτρον εἰδώς.

Εἰ δ' ἴσως ἠναντιώθη μοι, ἐμοὶ μὲν οὐδέν τοι μέλον ἐστί, τὸ δὲ κοινὸν τῶν δικαζόντων ἀνήρηται νόμιμον. Πλὴν ἡ ἐνδοξότης σου δοκιμασάτω τὴν ὑπόθεσιν, καὶ τὴν δικαίως ἔχουσαν ἀπόφασιν καὶ ἔγκρινον καὶ βεβαίωσον, μηδενὸς τῶν δικασάντων ἐπιστραφείς,
20 ἀλλὰ τῆς ἀληθείας μόνης γενόμενος.

301. Τῷ κριτῇ τῶν Βουκελλαρίων

K-D 83 [L]

Ὁ διοικητὴς Ἀγκύρας ἐμοὶ καὶ τῶν εὐπόρων καὶ τῶν δικαίων (ὡς οἶμαι) ἀπαιτητῶν. Δεῖται δὲ τῆς σῆς ἀντιλήψεως εἰς τὴν τῶν δημοσίων εἴσπραξιν. Καὶ τετύχηκε μὲν ταύτης ὥς γε γεγράφηκε, δεῖται δὲ καὶ αὖθις.

5 Ὥσπερ οὖν μὴ γνοὺς ὡς ἐμὸς οὗτος, ἀντελάβου δικαστικῶς, οὕτω νῦν μεμαθηκώς, ὅτι οἰκεῖος ἐμοί, ἀντιποιοῦ φιλικῶς. Εἰ δὲ καὶ τὰ πρῶτα δι' ἐμὲ τούτῳ συνήργησας, ἔστω καὶ τὰ δεύτερα κατὰ τὸν αὐτὸν σκοπὸν τῆς δικαιοπραγίας, μὴ πρὸς ἐμὲ μόνον

5 τοῦ Μωροχαρζάνη: cf. Π 464,9 et 16; de familiae Morocharzane cf. Wassiliou-Seibt I 364–365 (Nr. 806)

13 τὴν add. K-D ‖ **16** τοι corr. K-D (Maas): μοι L ‖ **3–20** πάλαι – γενόμενος L K-D: πάλαι πρὶν παρ' ἐμοῦ τὸ πρᾶγμα ἔλθοι, ἀποδότω τῷ ἐγγυητῇ, ἵνα οὗτος αὖθις ἀποδοὺς ταῦτα τῷ ἀπολέσαντι τῆς εὐθύνης ἀπαλλαγῇ A (= Π 518) ‖ **ep. 301** L 41r; tit. L K-D

λογιζόμενος τὴν ἀναφοράν, ἀλλὰ καὶ πρὸς τὸν μισθαποδότην θεόν. 10

302. Τῷ αὐτῷ
Τῷ κριτῇ τῶν Βουκελλαρίων

K-D 84 [L]

Ὁ μάγιστρος κῦρ Γρηγόριος αὐτὸ τοῦτο ἠξίωσέ με γράψαι σοι, ὅπερ δὴ σὺ ἐκ βασιλικῆς πράττεις κελεύσεως· βούλεται γὰρ ἵνα διαχωρίσῃς τοὺς ὅρους τῶν ἰδίων κτημάτων, καὶ ὅσα μὲν αὐτοῖς προσήκει, ἀποδώσῃς καὶ περιορίσῃς, ὅσα δὲ τοῖς βασιλικοῖς κτήμασι, πάλιν ἐκείνοις ἀποκληρώσῃς, καὶ ποιήσῃς αὐτῶν τὴν 5 δεσποτείαν ὧν κέκτηται ἄμαχον. Τὸ δὲ ἀξιούμενον μάλιστα τοῦτό ἐστιν, ἵνα δικαίως καὶ φιλανθρώπως τὴν διαίρεσιν τῶν ἀμφισβητουμένων ποιήσῃς, καὶ μὴ προσθῇς τῷ σεκρετικῷ μέρει, ἀλλὰ τῷ δικαίῳ λόγῳ στοιχήσῃς.

Εἰ μὲν οὖν ἔστι σοι σχολὴ ἀρτίως διελεῖν τοὺς τόπους, καὶ 10 ἀποδοῦναι ἑκατέροις τὰ ἴδια, ποίησον κατὰ τὰ ἐντεταλμένα σοι, καὶ ὥσπερ δὴ ἀξιοῦμεν καὶ ἡμεῖς. Εἰ δὲ βούλει περαιτέρω προϊέναι καὶ ταμιεύῃ ἐς ὕστερον τὴν διαίρεσιν, τοσοῦτον ἡμῶν ἄκουσον: παράγγειλον τῷ δεῖνι, μὴ ὑφελεῖν τι ἢ παρασπάσαι τῶν σήμερον παρὰ τῷ μαγίστρῳ δεσποζομένων, ἀλλὰ ἀναμεῖναι τὴν σὴν ἐξέτα- 15 σιν καὶ διαίρεσιν, κἂν εἴ τι πρὸ τῆς σῆς ἀκριβείας ἐκαινοτόμησαν οὗτοι περὶ τὰ τοῦ μαγίστρου κτήματα, παραχωρῆσαι τούτῳ τῆς ἀρχαίας δεσποτείας, καὶ μηδὲν πρὸ τῆς σῆς ἐξετάσεως καὶ δικαιώσεως πολυπραγμονεῖν.

Δύο οὖν σοι ἐντεῦθεν τὰ κάλλιστα πράττεται: δικαιοσύνη, καὶ 20 φιλία πρὸς ἡμᾶς καθαρά· μᾶλλον δέ σοι ταῦτα μὲν καὶ πρὸ τοῦ κατώρθωται, σύμβολα δὲ τῶν κατωρθωμένων δειχθήσονται νῦν. Ἐπὶ πᾶσι καὶ τοῦτό σοι ἀληθέστερον ἐρῶ: κήδομαι τοῦ μαγίστρου ὡς μὴ ἐξαρκοῦντος βοηθεῖν ἑαυτῷ· καὶ ὅπερ αὐτὸς δύναμαι συνεισφέρω τῷ ἀνδρί· δύναμαι δὲ οὐδὲν μὲν παρ' ἐμαυτῷ, πολλὰ 25 δὲ παρὰ τοῖς φίλοις ὑμῖν.

9–10 τὸν – θεόν: cf. Mt. 20,8 ἀπόδος αὐτοῖς τὸν μισθὸν, et Π 102,16–17, Π 226,10, et Π 412,13

ep. 302 L 41r–v; tit. L K-D

303. Τῷ κριτῇ τῶν Βουκελλαρίων

K-D 92 [L]

Σὺ μὲν ὅπως ἂν ἐθέλοις ἔχε πρὸς τὸν δεῖνα, εἴτε εὐμενῶς εἴτε ἀπεχθῶς. Ἐγὼ δὲ καὶ τῶν οἰκείων ἐξ ἀρχῆς ἕξομαι (καὶ ἐθῶν καὶ ἠθῶν), καὶ οὐδείς με τοῦ ἀγαθοῦ τούτου σκοποῦ ἀφαιρήσεται (φημὶ δὴ τοῦ ἐλεεῖν ἄνθρωπον). Εἰ μὲν γὰρ ἐκείνῳ βοηθῶν τῷ σῷ
5 ἠναντιούμην σκοπῷ, ἢ περὶ ἐκείνου τοὺς λόγους ποιούμενος, κατήγορος εἱστήκειν σοῦ καὶ τῆς σῆς ὑπολήψεως, ἔχοις ἄν τί μοι καὶ μέμψασθαι· εἰ δ' οὐδὲν οὐδαμοῦ ἐκείνῳ συνηγορῶν, τὸ σὸν παραπλέκω ὄνομα, τί δὴ βοᾷς μὴ τυπτόμενος, ἢ ἐπικλίνεις μὴ τοξευόμενος; Εἶτα δὴ καὶ τίνος ἐκεῖνος παρ' ἡμῶν ἀπολέλαυκεν
10 ἀγαθοῦ, τὰ πρῶτα μὲν ἐν ἀδέσμῳ τηρούμενος φυλακῇ, νῦν δὲ τῷ δοκεῖν ἀποδρᾶναι εἰς χείρονας ὑπονοίας ἐμπεπτωκώς;

Σὺ μὲν οὖν ἐπισκήπτεις ἡμῖν, μὴ βοηθεῖν ἀνδρὶ κινδυνεύοντι· ἐγὼ δὲ παραινέσαιμι ἄν σοι, χεῖρα τῷ ἐμπεπτωκότι εἰς βόθρον ὀρέξαι, κἂν δυσμενὴς ᾖ κἂν ἀπεχθὴς κἂν τὰ μέγιστα ἠδικηκώς.

15 Κρῖνε οὖν παράλληλα τὴν σὴν ἐπιστολήν, καὶ τὴν ἐμήν. Ἢ παρὰ γενναίοις δικασταῖς ταύτας ποίησον· καὶ εἰ μὲν καταψηφιοῦνται τῆς ἐμῆς, ἔχου τῆς σῆς· ⟨εἰ δ' οὔ⟩, μὴ αἰσχυνθῇς κατακολπίσασθαι τὴν ἐμήν. Φίλον δὲ σαυτὸν ἡμῖν μνώμενος, ἴσθι βεβουλευμένος εὖ· οὐδεὶς γὰρ ἡμῖν φίλοις χρησάμενος, ἐφ' οἷς ἔγνω
20 μεταβεβούλευται.

ep. 303 L 44v; tit. L K-D ‖ **4** δὴ scripsi: δὲ K-D ‖ **17** εἰ δ' οὐ addidi

LXXVII. Κριτὴς Δρουγουβιτείας
⟨βεστάρχης⟩

304. Τῷ κριτῇ Δρουγουβιτ⟨είας⟩
ad eundem vestarcham ut Π 287?

K-D 90 [L]

Χρυσέ μου βεστάρχα καὶ ὅ τι βούλει τῶν καλῶν ὀνομάτων, φίλτατε περιπόθητε ἀνεψιέ, σύντεκνε, ἰσόψυχε ἀδελφέ, πρῶτον μὲν ὑγιαίνοις, ἔπειτα καὶ κερδαίνοις ἀπὸ δικαίων, μνημονεύων δὲ καὶ ἡμῶν, τῶν οὐ μόνον μνημονευόντων σου, ἀλλὰ καὶ ἐν ψυχῇ περιφερόντων σε. Ὁ δὲ συγγενὴς ἡμῶν ὀλίγον ἐγκαρτερήσας ἐν 5 τῇ Πόλει διὰ τὴν ῥόγαν αὐτοῦ ἐξῆλθεν ἰδοὺ πρὸς σέ.

Προσπάθει οὖν καὶ ἐλέει αὐτὸν ὡς ἐμόν· καὶ ὠφέλει κατὰ τὸ δυνατόν, καὶ μνημόνευε ὧν πρὸς σὲ εἴρηκα λόγων· παραγγελίαν γὰρ καὶ παρ' ἐμοῦ ἐδέξατο, ὑποτάσσεσθαί σοι ἐν πᾶσι, καὶ σπουδάζειν κτᾶσθαι τὴν εὐμένειάν σου, διὰ ταπεινότητος καὶ 10 συμμέτρου ὠφελείας. Καὶ σὺ δὲ ἀρχὴν ἤδη τοῦ πράττειν εἰληφώς, θεμέλιόν σου τῶν πράξεων καταβαλοῦ κάλλιστον, καὶ κτῆσαι μάλιστα ἀγαθὸν ὄνομα, ἢ πλοῦτον πολύν.

305. Τῷ αὐτῷ
Τῷ κριτῇ Δρουγουβιτείας

K-D 91 [L]

Οὗτος ἐκεῖνος περὶ οὗ ἡ ἀξίωσις, λογιώτατε πάντων ἀνδρῶν, καὶ ἐμοὶ φίλτατε.

1 χρυσέ – βεστάρχα: cf. Π 287,1 χρυσέ μου βεστάρχα ‖ **2** ἀνεψιέ: cf. Π 374,6 σὸς δὲ γνησιώτατος ἀνεψιός (metropolitae Amasiae)? | ἰσόψυχε: Ps. 54,14 ἄνθρωπε ἰσόψυχε. cf. Psel. Λόγος εἰς τὴν σταύρωσιν = Or. hag. 3a,794, Π 53,26, Π 92,1, Π 100,1, Π 163,1, Π 209,1–2, Π 462,2, Π 494,1, Π 508,1, Π 551,1, et Π 553,1

ep. 304 L 43v–44r; tit. scripsi: Δρουγουβιτ´ L Δρουγουβίτου K-D ‖ **6** ῥόγαν K-D: ῥόγα L ‖ **ep. 305** L 44r–v; tit. L K-D

Ἐξῆλθεν οὖν θαρρῶν ἐμοί τε καὶ σοί, ὅτι τε πρὸς φίλον καὶ παρὰ φίλου πέμπεται καὶ ᾠκείωται. Ἔστι δὲ (νὴ τὴν ἱεράν σου
5 ψυχήν!) καὶ ὁ ἄνθρωπος τῶν κάλλιστα μὲν ὑπηρετεῖν δυναμένων, ἥκιστα δὲ πλεονεκτεῖν βουλομένων, τὴν γνώμην ὀξύς, τὸ φρόνημα μέτριος, φιλοσοφεῖν εἰδὼς ἐν καιροῖς, ὀλίγοις ἀρκούμενος, κεφάλαιον τοῦ λόγου, τῆς ἐμῆς παιδείας μετεσχηκώς, οὐχ ὅση λόγοις κοσμεῖ τὴν ψυχήν, ἀλλ' ὅση ῥυθμίζει τὸ ἦθος, ὃ μάλιστα
10 τῷ παρόντι καιρῷ καὶ τῇ σῇ γνώμῃ λυσιτελεῖ.

Οὗτος μὲν οὖν τοιοῦτος, καὶ τοιούτου δεσπότου εὐτύχηκε. Σὺ δὲ εἰ μὴ διὰ γραμμάτων ἡμῖν ὁμιλεῖς, οὐδὲ τὴν διὰ γλώττης ὁμιλίαν ἡδέως προσήνεγκας· οὐ γὰρ ἡ ἀλήθεια τὴν σκιάν, ἀλλὰ καὶ ἡ σκιὰ τὴν ἀλήθειαν δείκνυσιν. Ἐπίστελλε οὖν ὁποίᾳ βούλει
15 τῇ γλώττῃ, εἴτε τῇ Ἀττικῇ, εἴτε τῇ κοινῇ. Ἀττικίζων μὲν γὰρ τεύξῃ καὶ ἀττικίζοντος· εἰ δέ γε κοινολεκτοίης, τῶν συντρόφων καὶ ἡμεῖς ῥημάτων ἑξόμεθα. Πλὴν ἐν ἑκάστῳ κρατῆρι, ὁ κοινὸς τοῦ ἤθους ἐγκεχύσθω σοι χαρακτήρ· καὶ ἡ διάφορος τῶν ὀνομάτων συνθήκη τὸ μονοειδὲς τῆς γνώμης μὴ ἀλλαττέτω. Μηδὲ δέδιθι ὅτι
20 βροντῶσιν ἐντύχῃς ἡμῖν αὐτὸς ἠρέμα προσπνέων· ἴσμεν γὰρ καὶ ὡς Ἑλλησποντίαι καταβαίνειν λαμπρῶς, καὶ ὡς Ζέφυροι περιπνεῖν ὁμαλῶς.

21 ὡς Ἑλλησποντίαι: cf. Psel. Σελέντιον δημηγορηθὲν παρὰ βασιλέως κῦρ Μιχαὴλ τοῦ Δούκα = Or. min. 3,97 et Ἐγκώμιον εἰς Ἰωάννην … Εὐχαΐτων … = Or. pan. 17,273 | ὡς[1] – λαμπρῶς: ὡς Ἑλλησποντίαι καταβαίνειν λαμπρῶς: Hermog. Περὶ ἰδεῶν 1,6,7 ὡς ὁ Ἀριστείδης ... « ... καὶ κατέβαινεν Ἑλλησποντίας λαμπρός» ‖ **21–22** ὡς[2] – ὁμαλῶς: cf. Suda ζ 41 Ζεφυρία πνοή: … καὶ Ζεφύριον πνεῦμα. Ζέφυρος γὰρ λεῖος ἄνεμος et Π 200,23–24 πνεῦμα ἐπεγείρειν οἷος ὁ Ζέφυρος, ἡδὺς ὁμοῦ καὶ λεῖος. cf. etiam Hom. Il. 19,415 πνοιῇ Ζεφύροιο (cf. Od. 4,402 et 10,25), Eurip. Φοίνισσαι 211 Ζεφύρου πνοαῖς, etc. cum Π 43,59 ὥσπερ Ζεφύρου πνεῦμα et Π 122,74 ὥσπερ Ζεφύρου πνοαῖς

14 ὁποίᾳ scripsi: ὁποῖα L K-D

LXXVIII. Κριτὴς τῶν Θρᾳκησίων

varii? cf. Π XLIX (⟨Βασίλειος (?)⟩ Ξηρός) et Π LVI (Σέργιος ⟨Ἐξαμιλίτης (?)⟩)

306. ⟨Τῷ κριτῇ τῶν Θρᾳκησίων (?)⟩ (vel ⟨Τῷ κριτῇ τῶν Βουκελλαρίων⟩?)
post a. 1060

S 180 [P]

Αἰδοῖ τοῦ τῆς φιλαδελφείας ὀνόματος, φιλαδελφότατε ἀδελφέ, φιλῶ τὸ χωρίον τὴν Φιλαδέλφειαν. Μᾶλλον δὲ (ἵνα τὸ ἀληθέστερον ἐρῶ), ὀφειλέτης εἰμὶ τοῖς χωρίταις ἀρχαίας ὑποδοχῆς καὶ ἀποδοχῆς· ἐξενοδοχήθην γὰρ παρ' αὐτοῖς ὁπότε τῷ Καταφλῶρον ἐκείνῳ εἱλώτευον, ἄρτι ἀφ' ἥβης γενόμενος καὶ τὴν 5 εὐθὺ Μεσοποταμίας μετ' αὐτοῦ διϊών. Ἦν δὲ τηνικαῦτα (ἵνα παλιλλογήσω), καθὼς καὶ αὐτὸς οἶσθα, μειράκιον οὔπω γενειάσκον· εἶτα δὴ καὶ τὰς κρίσεις τοῦ θέματος πιστευθείς, παρ' αὐτοῖς αὖθις κατήχθην· καὶ με φιλοφρονέστερον οἱ ἄνδρες ὑποδεξάμενοι, τῆς προσηκούσης ἐμοὶ (ὥσπερ εἰκὸς) 10 ἀντιφιλοφροσύνης τετυχήκασι.

Τανῦν δὲ αὖθις ἐν βαθείᾳ ἰδόντες τῇ πολιᾷ, ἐγνώρισαν ἀκριβῶς· καὶ ἀνιστόρησάν μοι καὶ τὴν πρώτην καὶ τὴν δευτέραν καταγωγήν· καὶ φιλαδελφότατα (οἰκείως ἐρεῖν) διετέθησαν πρὸς ἐμέ, ἄλλος ἄλλο τί μου μέρος καταφιλοῦντες καὶ ξύμπαντες τοῖς 15 ἐμοῖς ποσὶ προσκνυζόμενοι· καὶ προσμειδιῶντες ἡδὺ καὶ θαυμάζοντες, ὅτι μοι, ἀντὶ τῆς ὑποξάνθου ποτὲ τριχός, ὑπαργυρίζουσα ἀκριβῶς ἐγεγόνει ἡ κεφαλή, μικροῦ δεῖν εἰς δάκρυά με κατήγα-

LXXVIII Κριτὴς – Θρᾳκησίων: cf. Cheynet 1999,240–241 ‖ **ep. 306** τῶν Θρᾳκησίων: cf. Cheynet 2017,48 | τῶν Βουκελλαρίων: cf. Riedinger 2010,19–22 et 25–26 et Gkoutzioukostas[2] ‖ **4–5** τῷ Καταφλῶρον: cf. Loukaki 2013,359

ep. 306 P 233r; tit. scripsi: τῷ κριτῇ Φιλαδελφείας S ‖ **5** Καταφλῶρον scripsi : κατ(ὰ) φλῶρ(ον) P κατὰ Φλῶρον S | ἀφ' ἥβης scripsi: ἀφήβης P S

γον, ἐπειδὴ καὶ τοιοῦτος ἐγὼ τὴν ψυχήν, θῆλυς ἀτεχνῶς καὶ
20 εὐσυμπάθητος.

Ἠλέησα οὖν (νὴ τὴν ἱεράν σου ψυχήν!) τοὺς τοῦ χωρίου οἰκήτορας ὡς ἀρχαίους ὑποδοχέας ἐμοὶ γεγονότας καὶ πολλάκις μοι τὴν φιλοφροσύνην ἐπιδειξαμένους. Εἶτα δὴ καὶ ἠρώτησα: «πῶς ὑμῖν τὰ παρὰ τοῦ δικαστοῦ»; Καὶ πάντες δι' εὐφήμου σε
25 φωνῆς ἀνεκρότησαν, ἄλλος ἄλλο τι τῶν σῶν ἀρετῶν συνείροντες, ἀγροίκῳ μὲν τῇ γλώττῃ, εὐστόχῳ δὲ τῇ γνώμῃ. Ὡς δὲ καὶ τὴν ἐμὴν πρὸς σὲ φιλίαν τούτοις ἐγνώρισα, πρὸς δὲ καὶ ὅτι με διὰ πάσης ἔχεις αἰδοῦς, γονυπετεῖς αὖθίς μοι γεγονότες, πολλά μου κατεδεήθησαν δι' ἐμοῦ μεσίτου, χρηστοτέρου σου καὶ φιλανθρωπο-
30 τέρου τυχεῖν. Ἔστι δέ τις αὐτοῖς ἀμφιβαλλόμενος ὑποτελεσμός, μᾶλλον δὲ ἀναντίρρητος· αὐτοὶ γὰρ ἔφασαν παρ' ἑτέρων ὑποτελεῖσθαι, οὐκ αὐτοὺς ἑτέροις ὑποτελεῖν.

Οἶδα μὲν οὖν ὅτι πᾶν ὃ ἂν γνῷς σύ, τοῦτο δίκαιον καὶ τῷ νόμῳ κἀμοὶ συνδοκεῖ. Εἰ δέ τι καὶ παρὰ τὴν ἐμὴν φιλίαν διακινδυ-
35 νεύσεις, τοῦτο οὐχ' ἧττον δίκαιον ἢ φιλάνθρωπον. Μηδὲ τοῦτο δὴ παραγνοίης, ἀλλὰ τῇ διαίτῃ τῆς ὑποθέσεως τὴν ἐμὴν ἐγκαταμίξας φιλίαν ἴσως ἕτερόν τι γνοίης παρὰ τὰ ἐγνωσμένα ἐννομώτερόν τε καὶ δικαιότερον· αἱ γὰρ δεύτεραι καὶ τρίται τῶν πραγμάτων ἐπιβολαὶ ἀλλοιοῦσι τὰς προτέρας διαγνώσεις ὡς ἐπιπολαιοτέρας
40 τυχὸν οὐκ εἰς βάθος ἀφικομένας τοῦ πράγματος. Οὕτω δὴ καὶ Ἀριστοτέλης καὶ Πλάτων ἕτερα ἐδόξασαν προϊόντες καὶ οὐκ ᾐσχύνθησαν τὰς τῶν νοημάτων μεταβολάς.

Ὅμως οὐ λανθάνω σε πολλῷ τῷ σοφίσματι χρώμενος καὶ ἐνάγων σε τῇ συμπαθείᾳ τῶν χωριτῶν. Οἶσθ' οὖν ὃ ποιήσεις;
45 Ζυγοστάτησον τὴν ἐμὴν φιλίαν καὶ τὸ ἀκριβὲς δίκαιον, καὶ δὸς ὅτῳ βούλει τὴν ῥοπήν.

19–20 ἐπειδὴ – εὐσυμπάθητος: cf. Π 51,12 πρὸς δὲ τὴν φύσιν θῆλύς εἰμι. cf. etiam Π 128,42–43 εἰ μὲν θηλείας τοῦτο ψυχῆς, οὐ πάνυ τι οἶδα, ἐμοὶ γοῦν τὸ ἦθος τέως οὕτω διατετύπωται, καὶ ἡ φύσις. cf. etiam Papaioannou 2013,195-215 ‖ **40–41** καὶ – προϊόντες: cf. Π 400,21–23 καὶ τοῦτο πάντως Πλάτωνες οἴδασιν, ἀγένητον ταύτην νομοθετοῦντες καὶ γεννητὴν ἐν διαφόροις λόγοις et Psel. Εἰς … Κωνσταντῖνον τὸν Ξιφιλῖνον, ἀξιώσαντα αὐτὸν μεταβαλεῖν τὸ … Ὄργανον ἀπὸ τοῦ ἀσαφοῦς ἐπὶ τὸ σαφές = Phil. min. I 5,60–61 τούτῳ (scil. Arist.) δὲ καὶ πλείους αἱ δόξαι τοῦ αὐτοῦ πράγματος καὶ ἀνόμοιαι

24 παρὰ P Mil 271: περὶ S ‖ **31** αὐτοὶ : αὐτοῖς prop. Rie,20

Ἀλλὰ πάλιν σοι ἐπαφῆκα τὸν χαλινὸν καὶ νεύσεις περὶ τοὺς σοὺς νόμους τούς τε ἀρχαίους καὶ τοὺς νεαροπρεπεῖς· ἀλλ' ἐγὼ οὐ τοῦτο βούλομαι, ἀλλ' ἵνα τι δι' ἐμὲ ἀγαθὸν τοῖς χωρίταις ἐπινοήσῃς. Αἰδέσθητι δὲ καὶ τὴν ἐπιστολὴν ὅτι, εἰ καὶ μὴ ἀνθοῦσα (ἀγροικικὴ γὰρ τοῖς ὀνόμασιν), ἀλλὰ πολύστιχος. Σοὶ δὲ ἀρκέσει καὶ νεῦμα φιλάνθρωπον πρὸς αὐτοὺς ἀντίρροπον τῇ ἐμῇ ταύτῃ ἐπιστολῇ. 50

307. Τῷ κριτῇ τῶν Θρᾳκησίων

K-D 61 [L]

Ἴσως ἀγνοεῖς, φίλτατέ μοι πάντων ἀνδρῶν, τὸ τοῦ νοταρίου σου ὄνομα. Μόσχος οὖν αὐτῷ τὸ ἐπιφημισθὲν ἀπὸ τῆς γενέσεως. Εἰ μὲν εὐώδης, οὐκ οἶδα· ἀρωματικώτατος δὲ τὴν προσωνυμίαν, καὶ ἀπὸ τῆς Ἰνδῶν χώρας καταπεφοιτηκώς. Εἰ δὲ καὶ ἐξ ἐλαφείου δέρματος τὴν γένεσιν εἰληφώς, αὐτὸς ἂν εἰδείη, καὶ ὁ τοῦτον 5 γεννήσας πατήρ, ἢ (τό γε ἀληθέστερον εἰπεῖν) ἡ γεννησαμένη.

Ἀλλὰ ταῦτα μέν, ὥστε ἐπιμειδιάσαι σε, ἀηδῶς ἔχοντα, καὶ τῆς προβολῆς καὶ τῆς ἐξελάσεως. Ὁ δὲ ἄνθρωπος, ὅσον ἐγὼ αὐτὸν τοῦ ἤθους κατέλαβον, καὶ τὰ πρὸς τὸν δεσπότην πιστός, καὶ τὰ πρὸς ὠφέλειαν ὀλιγαρκής. Γνοίης δ' ἂν καὶ αὐτὸς δοκιμάζων τὴν 10 τούτου ψυχήν. Κἂν μὴ πρὸς τὴν σὴν γνώμην τὸν οἰκεῖον βίον ῥυθμίσειε, μαστίγωσον αὐτὸν ἀρκούσαις πληγαῖς, καὶ δίδαξον διὰ τῶν πλευρῶν σωφρονεστέραν ἔχειν τὴν χεῖρα· ἐγὼ γὰρ οὐχ ὡς δυνάστης ἐπιτάττω τοῖς φίλοις (οὔτε γὰρ εἰμι· μὴ γένοιτό ποτε!), ἀλλ' ὡς ὁμότιμος καὶ ἰσοπολίτης ἀξιῶ τούτους περὶ ὧν ἂν βούλω- 15 μαι· καὶ τυγχάνων, ὁμολογῶ χάριτας, καὶ πρὸ πάντων σοὶ τῷ εὐγενεῖ καὶ τὸ γένος καὶ τὴν ψυχήν.

308. Τῷ κριτῇ τῶν Θρᾳκησίων

K-D 66 [L]

Παλαιᾶς δίκης νέον ὁ παρὼν ἐπορίσατο ψήφισμα· τὸ γὰρ ἀντικρινόμενον αὐτῷ μέρος, δυναστείαις ἐπερειδόμενον, πρὸς τὸ

ep. 307 L 33r; tit. L K-D ‖ **ep. 308** L 36r; tit. L K-D

συμπέρασμα τῆς δίκης ἀντίσχυε. Καὶ οὐδὲ νῦν τὸ ἀκόλουθον τέλος τῇ ἀγωγῇ εὕρατο, εἰ μὴ ὁ δικαιότατος καὶ φιλανθρωπότατος
5 ἡμῶν βασιλεὺς ἀκροατὴς τῆς ἐγκλήσεως γεγονὼς ψηφίσασθαι τοῖς δικασταῖς κατὰ νόμους παρεκελεύσατο.

Εἴ τις οὖν σοι φροντὶς καὶ βασιλικῆς κρίσεως καὶ φιλίας τῆς πρὸς ἡμᾶς, καὶ πρὸ τούτων τῆς τοῦ δικαίου φυλακῆς, διὰ πάσης νομικῆς βοηθείας τῷ ἀνδρὶ ἐπικούρησον. Καὶ μηδὲ πρὸς τὴν
10 εὐτέλειαν νῦν ἀπίδῃς αὐτῷ τοῦ σχήματος· ἦν γὰρ ὅτε τῶν εὐπορωτάτων καὶ εὐπαρύφων ἦν, ἀλλὰ δυσκολωτέρας πειραθεὶς τύχης, καὶ πονηροῖς καὶ φιλαπεχθήμοσιν ἀνθρώποις προσκεκρουκώς, τὴν πρώην εὐδαιμονίαν κατῄσχυνεν ἑαυτῷ, καὶ τὸν πλοῦτον εἰς πενίαν μετήλλαξεν.

15 Ἀλλὰ σὺ γενοῦ ἀνταγωνιστὴς αὐτῷ πρὸς τὴν τύχην, μᾶλλον δὲ συναγωνιστὴς πρὸς τὴν κρείττω μερίδα, ἡμῶν τε ἕνεκα, καὶ τῆς προσούσης σοι δικαστικῆς εὐθύτητος.

309. Τῷ κριτῇ τῶν Θρᾳκησίων

K-D 130 [L]

Ἐρᾷ καὶ αὖθις τῆς Παιωνίας ὁ καὶ πρὶν ταύτης ἐρῶν βασιλικὸς κληρικός· καὶ ἀπόπειραν πάλιν ποιεῖται περὶ τοῦ πράγματος· καὶ προκαταλαμβάνεταί σου τὴν σφραγίδα καὶ τὴν προχείρισιν.

Εἰ μὲν οὖν προέλαβεν, ἐλπίδας ἴσως ἕξει περὶ οὗ καὶ προέδρα-
5 μεν· εἰ δ' οὖν, μάτην τὸν τοσοῦτον ἐξέπλευσεν πλοῦν, ἢ αὐτὸς ἴσως πλεύσας, ἢ ἑτέρῳ τὸν ἀπόπλουν ἐπιτρεψάμενος. Ἐμὲ δὲ (ὡς οἶδας) ἐπισύρονται πολλοὶ εἰς τὰς ἀξιώσεις, οὐκ οἶδα ἢ ὡς πάντας ἀγαπῶντα, ἢ ὡς παρὰ πολλῶν ἀγαπώμενον (οὐ γὰρ ἂν εἴποιμι δι' ἀρχικὴν δύναμιν).

10 Εἴτε οὖν ἀγαπᾷς, δείξεις ἐν τοῖς πράγμασι τὴν διάθεσιν· εἴτε ὅτι ἀγαπῶ πιστεύσεις, τὴν τῆς ἀγάπης οὐδὲν ἧττον δοίης ἀντίδοσιν. Ὁ δέ γε δεῖνα ὅτι ἔστιν ἄξιος πρὸς τὴν ἐπισκοπήν, πολλῶν ἀκούω ταῦτα μαρτυρούντων αὐτῷ.

4–5 ὁ – βασιλεὺς: Constantinus X Ducas (imperator: 23/24.XI.1059 – 22/23.V.1067) (Π XVIII)?

11 εὐπαρύφων: καθαρῶν suprascr. L ‖ **ep. 309** L 62v; tit. L K-D ‖ **1** ἐρᾷ L: ἔαρ K-D

310. Τῷ αὐτῷ
Τῷ κριτῇ τῶν Θρᾳκησίων

K-D 131 [L]

Σὺ μὲν ἴσως ἐλάττω τὸν νοτάριον εὐηργέτηκας· ὁ δὲ μείζονά σοι τὴν εὐφημίαν ὧν ἐπεπόνθει ποιεῖ· τὸ δὲ ἔλαττον τεκμαιρόμενος λέγω, ἐπεὶ μὴ ἔχοι ὑπερβολὴν ἐγκωμίων ὁ ἔπαινος.

Δυοῖν οὖν θάτερον: ἢ σὺ τὴν ἀγαθοεργίαν ἰσόμετρον τοῖς ἐγκωμίοις ἀπέργασαι, ἢ ἐκεῖνος ἐλαττωσάτω τὴν εὐφημίαν. Ἀλλ' 5 εἰ δεῖ τὸν ἥττονα χείρω γενέσθαι, πῶς ἂν καταβαίη πρὸς τοῦτο ὁ μείζων; Λείπεται οὖν σὲ γενέσθαι σεαυτοῦ κρείττονα, καὶ διδόναι οὐ τῷ Σύρῳ ἀφορμήν, ἀλλὰ τῷ ἰσοπολίτῃ ἀνδρί. Ἀλλὰ μηδὲ πρὸς σαυτὸν παραμέτρει τοὺς ὑπὸ σέ. Σοὶ μὲν γὰρ ἡ ἀδωροληψία καὶ τὸ τῆς ὠφελείας βραχὺ μείζονα οἴσει καρπόν· οὗτος δέ, εἰ τοῦ συμμέ- 10 τρου αὐτόθεν ἀποτεύξεται, ποῦ τὸ πλέον εὑρήσει; Εἰς τί δὲ αὐτῷ καὶ ἡ ἐμὴ ἀξίωσις συμβαλεῖται (λέγω δὲ τὴν ἀπὸ τῆς ἐμῆς δεξιᾶς εἰς τὰς σὰς χεῖρας παρακαταθήκην), εἰ μὴ μείζονα παρὰ σοὶ τῶν ἄλλων δυνήσεται. Εἰ δὲ καὶ σοφίας μέρος ἡ περὶ τὸ ὑποχείριον ἀρίστη οἰκονομία, ἆρ' οὖν εἰ τοσαύτην οὗτος ἀνύσας ὁδόν, «μακράν 15 τε καὶ ἀργαλέαν» κατὰ τὸν σὸν ποιητήν, εἶτα μὴ τυχὼν τοῦ προσήκοντος, οὐ δόξει μὴ καλῆς τετυχηκέναι οἰκονομίας; Ἀλλὰ μὴ σύ γε, μὴδ' οὕτω κρίνῃς, καὶ ταῦτα ἤδη προειληφὼς τὸ ἀξίωμα. Τὴν δὲ ἡμετέραν ποῦ θήσεις φιλίαν; Ἢ παρὼν μὲν καὶ τῷ φίλῳ συνών, ᾔδεις τοὺς ὅρους τὴν ἀρετῆς, ἀπὼν δὲ ἐπιλέλησαι; 20

Πλὴν οὐκ ἐπελαθόμην τοῦ προοιμίου τῆς ἐπιστολῆς· οὐ γὰρ ὡς ἀθετήσαντα τὰς συνθήκας ἐλέγχω, ἀλλ' ὡς ἐκ παντὸς τρόπου ἐγκωμίων λειπόμενον. Εἰ δὲ ἠλήθευεν ὁ ἐγκωμιαστής, ἆρά γε καὶ ὑπὲρ τὴν κορωνίδα τὸ ἔργον;

8 οὐ – ἀνδρί: cf. Liban. Ἐπιτάφιος ἐπὶ Ἰουλιανῷ = Or. 18,242 ὡς εἴη τῷ Σύρῳ (i.e. Libanio) δεδωκὼς ἀφορμὴν εἰς λόγον. cf. Π 28,21–22 ‖ **15–16** μακράν – ἀργαλέαν: Hom. Od. 4,393 et 483 δολιχὴν ὁδὸν ἀργαλέην τε. cf. etiam Π 399,21 ‖ **24** ὑπὲρ – κορωνίδα: cf. Karath. 141

ep. 310 L 62v–63r; tit. L K-D

311. Τῷ κριτῇ τῶν Θρᾳκησίων

K-D 150 [L]

Ὁ Θρακήσιος ὁ συγγενής μου ἔπεμψέ μοι γραφήν, μυρίων γέμουσαν συμφορῶν, ὧν ὡς λέγει παρὰ τῶν κουρατόρων ὑφίσταται. Καταφεύγει οὖν πρὸς σέ, ὡς πρὸς λιμένα σωτηρίας, ἵνα παρὰ σοὶ καὶ λιμενευθῇ καὶ ἐκδικηθῇ.

5 Εἴ τις οὖν σοι λόγος ἡμῶν, φάνηθι τῷ ἀνθρώπῳ ἐν καιρῷ προστάτης καὶ ἐκδικητής· καὶ δεῖξον οἷος φίλος ἐμοὶ τυγχάνεις ὤν. Πίστευσόν μοι, εἰ εἶδον κυνάριόν σου ὑπό τινος ἐπηρεαζόμενον, ἐβοήθησα ἂν αὐτῷ κατὰ δύναμιν, καὶ ἀπεσόβησα τὸν ἐπηρεάζοντα. Μὴ οὖν καὶ σὺ ἀνάσχῃ ὁρῶν ἐμὸν συγγενῆ κινδυνεύοντα,
10 μηδὲ καταδέξῃ πονηροὺς ἀνθρώπους βλάπτοντάς τε ὁμοῦ τοῦτον καὶ συκοφαντοῦντας· ἐὰν γάρ σε ἴδωσι προσκείμενον αὐτῷ καὶ βοηθοῦντα, καὶ ὑποταγήσονται αὐτῷ καὶ ποιήσουσι πάντα τὰ δέοντα.

312. Τῷ αὐτῷ

Τῷ κριτῇ τῶν Θρᾳκησίων

K-D 151 [L]

Περὶ τοῦ δεῖνος καὶ πρότερον ἠξίωσα· καὶ νῦν μάλιστα ἀξιῶ, ὅτε δεῖται τῆς σῆς βοηθείας.

Βοήθησον οὖν αὐτῷ ἐπηρεαζομένῳ καὶ ζημιουμένῳ πολλά· οἱ γὰρ τοιοῦτοι (ὡς ἀκριβῶς οἶδα) ὑποβολιμαῖοί εἰσι (μὰ τὴν
5 ἀγάπην σου!), καὶ σπουδάζουσι πάντα τρόπον ἀπελαθῆναι τὸν ἄνθρωπον τῆς δουλείας αὐτοῦ. Ἀλλὰ σὺ γενοῦ αὐτῷ ἐν καιρῷ ἀντιλήπτωρ καὶ βοηθός· καὶ ποίησον προσήκουσαν τὴν ἐκδίκησιν, ἵνα γνόντες οἱ πονηροὶ τὴν σὴν πρὸς αὐτὸν εὐμένειαν, ἀπόσχωνται τῶν ἐπιτηδευμάτων αὐτῶν.

ep. 311 L 72r–v; tit. L K-D ‖ **1** Θρακήσιος dubitanter scripsi: α^{θρ} abbrev. in L πρωτόθρονος K-D ‖ **ep. 312** L 72v; tit. L K-D ‖ **9** αὐτῶν : αὑτῶν corr. Diam 304

313. Τῷ αὐτῷ

Τῷ κριτῇ τῶν Θρᾳκησίων

K-D 152 [L]

Ὁ τὴν παροῦσαν γραφὴν ἐπιδούς σοί ἐστι μὲν ἐμός, ἠδίκηται δὲ ὡς ἀλλότριος. Ἐδεήθη δὲ ἐπὶ τούτῳ καὶ βασιλικῆς δυνάμεως καὶ δικαστικῆς ψήφου, καὶ τῆς ἐπὶ χεῖρας ταύτης βασιλικῆς γραφῆς, ὡς ἂν εὐμενῶς δεχθῇ παρὰ σοῦ καὶ κριθῇ δικαίως, ὅπερ δὴ ποιεῖν εἴωθας. 5

Ἡ μὲν οὖν βασιλικὴ γραφὴ προστάττει σοι ποιῆσαι τὰ δίκαια, καὶ ἡ τῶν δικαστῶν ψῆφος ὑποτίθεταί σοι τὸ εἶδος ἴσως τῆς κρίσεως. Ἐγὼ δὲ ἀξιῶ ἵν' εὐμενῶς ἴδοις τὸν ἄνθρωπον ὡς ἐμόν, καὶ τῆς σῆς ἡμέρου ἀξιώσῃς ψυχῆς, ὡς ἂν γνοίη, ὅτι παρὰ φίλῳ ἐμῷ δικάζεται δικαστῇ. 10

314. Τῷ αὐτῷ

Τῷ κριτῇ τῶν Θρᾳκησίων

K-D 153 [L]

Ὁ μὲν πρόξενός σοι τοῦ νοταρίου τούτου γενόμενος οὐκ οἶδα μὲν ὅστις ἂν εἴη, ἔστι δὲ ἴσως τῶν μεγάλα δυναμένων εἰς σέ. Ἐγὼ δὲ τοσαῦτα οἶδα περὶ αὐτοῦ ὅτι ἔστιν καὶ εὐφυὴς ἄνθρωπος, καὶ πρὸς πᾶσαν δουλείαν εὐεπιχείρητος, καὶ σύντομος εἰ καί τις ἄλλος, καὶ τὰ εἰς τοὺς δεσπότας πιστός. 5

Εἰ μὲν οὖν ὁ ἐγχειρίσας σοι τὸν ἄνθρωπον ταῦτα τούτῳ προσεμαρτύρησεν, ἀληθεστάτην τὴν μαρτυρίαν νόμισον· εἰ δ' οὖν, παρ' ἐμοῦ ταύτην ἔχε λαβών. Καὶ οἶδα ὡς οὐκ ἄν με παραγράψαιο, καὶ ἔνοχον ψευδομαρτυριῶν ἡγήσαιο, ὁ ἐξ ἀρχῆς με καὶ ἠγαπηκὼς καὶ τετιμηκώς, καὶ τεκμήριά μοι φιλίας ἀληθεστάτης παρεσχηκώς. 10 Ἴσθι γοῦν καὶ τὸ ἐμόν, ὡς τὰ πρῶτά σε τῶν φίλων ἥγημαι· καί σοι προσμαρτυρῶ καὶ ἀγαθὸν ἦθος, καὶ ψυχῆς σύνεσιν, καὶ γνώμην ἐλευθέραν, καὶ πᾶν εἴ τι ἄλλο καλόν.

ep. 313 L 72v; tit. L K-D ‖ **ep. 314** L 72v; tit. L K-D

315. ⟨Τῷ κριτῇ τῶν Θρᾳκησίων⟩
⟨τῷ Ξηρῷ⟩? ante Π 316?

K-D 248 [L, Taf[1]], Taf[1] 66 [P], PG[2] 66 [Taf[1]]

Ὁ νοτάριος οὗτος (μᾶλλον δὲ τί φημι νοτάριον ὃν δὴ κάλλιον πτωχὸν ὀνομάσαι Θρᾳκήσιον;)· οὗτος οὖν ὁ πτωχὸς Θρᾳκήσιος, ἀποστελλόμενος παρ' ἐμοῦ εἰς τὸ ὑπὸ σὲ θέμα ἐφ' ᾧ τινα προσήκουσαν ἐμοὶ δουλείαν ἀνύσαι, ἠξίωσέ με, μετὰ τὸ ταύτην
5 ἐκπληρῶσαι, ὑπὸ τὴν σὴν γενέσθαι ἀντίληψιν, καὶ βραχείας τινὸς ὠφελείας τυχεῖν.

Σκόπησον οὖν οἷος ἐγὼ σὸς φίλος, ὅτι βέβαιος, ὅτι ἀληθής, καὶ τὸ περὶ οὗ ἡ ἀξίωσις ὁποῖον, ὅτι εὐπετές, καὶ καταπραχθῆναι ῥᾴδιον, καὶ ἀντεξετάσας τοῦτο πρὸς τὴν φιλίαν ἡμῶν, ἀνενδοιά-
10 στως κατάπραξον· ὁ γὰρ νοτάριος οὗτος, οὔτε ἵππον κεκτημένος πολλήν, οὔτε μεγάλων ἐπιθυμῶν κερδῶν, ἐλάχιστόν τι μέρος φανεῖται τῷ θέματι. Εἰ δὲ σὺ διὰ τὴν ἡμετέραν φιλίαν εὐμενῶς αὐτὸν ἴδοις, οὐδὲ τὸ ἐλάχιστον τοῦτο φανεῖται.

316. Τῷ κριτῇ τῶν Θρᾳκησίων
ad fratrem Xeri (Π XLIX)? post Π 315?

K-D 254 [L, Taf[1]], Taf[1] 72 [P], PG[2] 72 [Taf[1]]

Παράδειγμά σοι ἔστω τῆς πρὸς ἐμέ σου καθαρωτάτης φιλίας καὶ διαθέσεως ὁ σὸς μὲν ἀπὸ φύσεως ἀδελφός, ἐμὸς δὲ ἀπὸ πνεύματος, ἔν τε ἄλλοις, καὶ ἐν τῷ παρόντι νοταρίῳ καὶ ὁμωνύμῳ τοῦ σοῦ θέματος (αὐτόθεν γὰρ ὡρμημένος, τὴν τῆς ὑπὸ σὲ ἐπαρχίας
5 προσηγορίαν ἐκτήσατο). Περὶ γὰρ τούτου ἠξίωσα πρὸς ἐκεῖνον ἐν γράμμασιν· ὁ δέ, ἀσμένως προσηκάμενος τὴν ἀξίωσιν, τά τε ἄλλα

1–2 ὁ νοτάριος – Θρᾳκήσιος: de quo cf. etiam Π 316,1–2? ‖ **3–4** τῷ – θέματος: de quo cf. etiam Π 315,3?

ep. 315 L 96r–v, P 256v; tit. K-D ‖ **1–3** ὁ νοτάριος – ἀποστελλόμενος P Taf[1] K-D: ὁ δεῖνα ἀποστελλόμενος L ‖ **3** εἰς – θέμα P Taf[1] K-D: om. L **8** καταπραχθῆναι : καταπροαχθῆναι Taf[1] ‖ **10** ὁ – οὗτος P Taf[1] K-D: οὗτος γὰρ L ‖ **ep. 316** L 38v (= L[1]) et 89v (= L[2]), P 257r; tit. L[1]: om. L[2] P ‖ **1** καθαρωτάτης L[1] L[2] K-D: om. P Taf[1] ‖ **3** καὶ ἐν L[1] L[2]: κἀν P Taf[1] K-D ‖ **3–4** καὶ[2] – θέματος L[1] P Taf[1] K-D: om. L[2]

εὖ τοῦτον πεποίηκε, καὶ μετὰ τῶν γνησιωτάτων αὐτοῦ ἀνθρώπων ἠρίθμησεν. Ἐφείλκετο δὲ τοῦτον καὶ εἰς ὃ μετετέθη θέμα· ὁ δέ γε, σφόδρα φιλόπατρις ὤν, αὐτόθι καταμένειν ἠθέλησεν.

Εἰ μὲν οὖν βούλει πρὸς παράδειγμα βλέπειν, τὸν ἀδελφὸν 10 ἰδών, τὰ ὅμοια περὶ τὸν ἄνθρωπον ποίησον· εἰ δὲ σαυτὸν ἔχεις παράδειγμα τῆς πρὸς ἡμᾶς φιλίας σου, ταῖς προλαβούσαις χάρισιν, ὁμοίαν τὴν περὶ τοῦ νοταρίου προσάρμοσον. Καὶ δεξάμενος τοῦτον εὐνοϊκῶς, τά τε ἄλλα προστάτης αὐτοῦ γενοῦ καὶ τῆς προσηκούσης αὐτῷ οἰκίας ἀντιποιοῦ. Ἀλλὰ τί περὶ πολλῶν αἰτοῦ- 15 μαι; Εἰ γὰρ συναρίθμιον μόνον τοῖς ὑπὸ σὲ ποιήσεις, αὐτόματα τἄλλα τῷ πρώτῳ τούτῳ εὐεργετήματι ἕψεται.

LXXIX. Κριτὴς Καππαδοκίας

cf. Π VIII (Βασίλειος)

317. Τῷ κριτῇ Καππαδοκίας

S 158 [P]

Καππαδόκαι οὗτοι καὶ μοναχοὶ ὡς ὁρᾷς καὶ φίλοι ἐμοί ὅπερ ἀγνοεῖν ἔοικας.

Τί ποτ' οὖν ἀπηριθμησάμην ταῦτα; ἵνα καὶ ὡς ἐπαρχεώτας, καὶ ὡς θεῷ καθωσιωμένους, καὶ ὡς ἐμοὶ διὰ φιλίαν προσήκοντας, τὸ μὲν περιποιῇ, τὸ δὲ σέβῃ, τὸ δὲ ἀγαπᾷς. Τὸ μὲν γὰρ πάλαι 5 τοῖς ἀνδράσι κεχρεώστηκας, τὸ δὲ ὡς ἀναγκαῖον ἀπαιτῇ, τὸ δέ σοι κατὰ συλλογισμὸν πρόεισιν· εἰ γὰρ σὺ μὲν φίλος ἐμός, ἐγὼ δὲ τῶν ἀνδρῶν, τὸ λοιπὸν αὐτὸς σύναξον· σὺ γὰρ καὶ συμπερανεῖς τὴν ὑπόθεσιν συναφθεὶς αὐτοῖς διὰ μέσων ἡμῶν.

Ἀρκεῖ ταῦτα πρὸς ἄνδρα σοφόν· τὸ γάρ τοι κεφάλαιον, τὴν 10 πρὸς τοὺς μοναχούς σε φιλίαν ἀπητήσαμεν, τοὐντεῦθεν δὲ δι' ἃ φιλεῖν ἐθέλουσιν, αὐτὸς ἀποδώσεις.

7 ἀνθρώπων L[2] P Taf[1] K-D: om. L[1] ‖ **8** γε P Taf[1] K-D: om. L[1] L[2] ‖ **14** αὐτοῦ L[2] P Taf[1] K-D: αὐτῷ L[1] ‖ **15** οἰκίας L[2] P Taf[1] K-D: οἰκείας L[1] ‖ **17** τούτῳ L[2] P Taf[1] K-D: τούτου L[1] ‖ **ep. 317** P 225r–v: tit. P S

LXXX. Κριτὴς τῶν Κατωτικῶν

varii. cf. Π XXXVIII (⟨Βασίλειος⟩ Μαλέσης) et Π XLVI (Νικηφορίτζης)

318. Πρὸς τὸν κριτὴν τῶν Κατωτικῶν

S 26 [P]

Ἄνθρακες ὁ θησαυρός, ἀδελφὲ φίλτατε; Καὶ εἰ τὰ τῆς κλεινῆς Ἑλλάδος χωρία τὰ πολυάρατα, ἢ πολυΰμνητα, ἀφ' ὧν οἱ Μαραθωνομάχοι, καὶ ἀφ' ὧν οἱ Φίλιπποι ἐκεῖνοι καὶ οἱ Ἀλέξανδροι, οὐκ ἀποχρῶντά σοι εἰς διατριβὴν καὶ διατροφήν, τί
5 ποτ' ἂν ἄλλο μέρος τῆς οἰκουμένης εἰς ὑποδοχὴν ἐξαρκέσῃ σοι;

Ἆρ' οὖν οἱ πολλοὶ τῆς Ἀττικῆς λόγοι, καὶ ὅσα περὶ τοῦ Πειραιέως οἱ πάλαι σοφοὶ συνεγράψαντο, πάντα ψευδῆ τε καὶ μάταια, καὶ τηνάλως ἐψοφημένα; Ὅρα οὖν ὅποι μετασταίης, εἰ μή που λέγεις τὴν εὐτυχῆ Ἀντιόχειαν, καὶ τὴν χρυσῆν Ἀλεξάν-
10 δρειαν, καὶ τὴν εὐδαίμονα Ἀραβίαν. Ἀλλὰ δέδοικα μήπως καὶ ταῦτα, ὥσπερ αἱ βρονταὶ ἀθρόον ἀποκτυπήσαντα, εἶτα δὴ ἄναυδα καὶ οὐδαμοῦ τῆς γῆς ἀκουόμενα. Εἰ δέ μοι συμβούλῳ χρᾷ, τῆς παλαιᾶς ἀναμνήσθητι παροιμίας, καὶ Σπάρταν λαχών, ταύτην κόσμει· νῦν γὰρ πάντα συγκέχυται, καὶ τὸ ἐξαίρετον οὐδαμοῦ·
15 ἀλλ' ὅ τε ἄκατος, ὅ τε γαυλός, ἥ τε τριήρης, ὅ τε μυοπάρων, πάντα βυθίζονται, καὶ οὐδὲν ἐπ' ἰσχυρᾶς τρόπιδος ἕστηκε. Κρεῖτ-

LXXX κριτὴς τῶν Κατωτικῶν: Βασίλειος Μαλέσης, ut Duyé 1972 et De Vries-Van der Velden 1996? cf. etiam Kazhdan–Ljubarskij 1973 et Limousin 1999,307–308 ‖ **1** ἄνθρακες ὁ θησαυρός: proverbium; CPG I 32 (nr. 1) et II 9 (nr. 52) cum Karath. 97 ‖ **10** τὴν – Ἀραβίαν: Eurip. Βάκχαι 16 Ἀραβίαν τ' εὐδαίμονα, iunctura saepissime laudata; cf. Π 3,7 ‖ **13–14** Σπάρταν – κόσμει: proverbium; CPG I 307 (nr. 16) et 314 (nr. 46) et II 209 (nr. 78) et 772 (nr. 86) cum Karath. 47–48; cf. Psel. Πρὸς τοὺς βασκήναντας αὐτῷ τῆς τοῦ ὑπερτίμου τιμῆς = Or. min. 9,71, Εἰς τὸν Λογγίβαρδον Ἰωάννην καταναγκάζοντα αὐτὸν εἰς τὸ ἑρμηνεῦσαι τάχιον τὰ μαθήματα = Or. min. 18,97, et Πρὸς τὸν Σαββαΐτην = Poem. 21,245

ep. 318 L 12r–v, P 197r; tit. scripsi: τοῦ αὐτοῦ πρὸς τὸν κριτὴν τῶν Κατωτικῶν L om. P S ‖ **5** σοι P S: σου L ‖ **8** ὅποι L: ὅπου P S ‖ **11** ἄναβδα P **12** χρᾷ P S: χρῷο L ‖ **13** παροιμίας P S: ἱστορίας L

τον δὲ βραχέα σιτεῖσθαι, ἢ παντάπασι τῶν ἀλφίτων ἐστερῆσθαι· οὐ γὰρ ἂν ἐμβαίης εἰς καλλίονα ναῦν.

Εἰ δ' αὐτὸς ἄλλό τι μαντεύοιο, ἔχου τοῦ σαυτοῦ τρίποδος· ἐγὼ γάρ σοι τὸ συμφέρον ἀπεφηνάμην. 20

319. Τῷ κριτῇ τῶν Κατωτικῶν

K-D 55 [L]

Οὐχ ὡς ἀπολογήσασθαί σοι, ἀδελφὲ περιπόθητε, τὴν ἐπιστολὴν ἐποιησάμην πρὸς σέ, ἀλλ' ὥστε με χαριεντίσασθαι, καὶ βραχύ τι περιμειδιᾶσαι, πρὸς τὸν κάλλιστον τῶν φίλων καὶ οἰκειότατον. Σὺ δὲ ὥσπερ ἐμοῦ ἐπιτείναντος τὴν κατηγορίαν, καὶ θερμότερον τῇ καταφορᾷ χρησαμένου, οὕτως ἐπιμελέστερον ἀπολελόγησαι. 5

Ἐῴκεις οὖν μοι σκιαμαχεῖν ἀναγινώσκοντι τὴν ἐπιστολήν, καὶ δικαστικὸν μὲν εἰδωλοποιεῖν βῆμα, κριτὴν δὲ τὸν Μίνω καθίζειν ἐκ μηχανῆς. Ἀλλ' οὐδείς σου, βέλτιστε, κατηγόρηκεν. Ἀλλ' ἐγώ τε πρῶτος δι' εὐφήμου γλώττης ἄγω τὰ σά, καί μοι πάντες ξυνέπονται, τῆς ἐμῆς ἐξηρτημένοι φωνῆς. Τί δ' ὅτι καὶ 10 μνημονεύεις ἐμοῦ, τῷ γράμματί σου προστέθεικας; Ἆρ' οὖν καὶ δυνήσῃ ἀμνημονεῖν; Οὐ τοίνυν θαυμαστόν, ἀλλὰ τοὐναντίον εἰ μου λήθην ἐλάμβανες.

Τὸν δέ γε βεστάρχην προσεκύνησα μὲν οὐδαμῶς, ἵνα μὴ δόξω παίζειν, ἢ διαπαίζειν αὐτόν· κατεφίλησα δὲ ὅτι τοιαύτης τετύχη- 15 κας παρ' ἡμῖν ὑπολήψεως. Σὺ δὲ ὅ τι μὲν αὐτόθεν δρῴης, εἰδείης

7 κριτὴν – Μίνω: cf. Plat. Γοργίας 523e7–8 ἐποιησάμην δικαστὰς ὑεῖς ἐμαυτοῦ ... Μίνω τε καὶ Ῥαδάμανθυν. cf. Psel. Εἴς τινα κάπηλον γενόμενον νομικόν = Or. min. 14,91–92 et Π 193,5, Π 413,5–7, et Π 453,23–24 ‖ **8** ἐκ μηχανῆς: proverbium; CPG I 210 (nr. 84) et II 12 (nr. 78) et 297 (nr. 41), cf. Psel. Χρονογραφία VI,171, Χρυσόβουλλος = Or. for. 7,65, Λόγος εἰς … Κωνσταντῖνον τὸν Μονομάχον = Or. pan. 1,219 et 280, Ἕτερος λόγος πρὸς … Κωνσταντῖνον τὸν Μονομάχον = Or. pan. 4,405–406, Ἐκ τοῦ περὶ υἱοῦ λόγου, τὸ 'καὶ πολλούς, ὃ φρίττω … = Theol. I 44,44, Εἰς τὸ 'ἢ βούλεται μοῖραν …' = Theol. I 62,102, et Π 166,26, Π 175,11, Π 248,11, Π 288,2, et Π 467,2–3 |βέλτιστε: vox Platonica (cf. e.g. Plat. Ἀπολογία Σωκράτους 24e1); cf. Π 95,86, Π 145,31, Π 146,2, 84, 147, et 160, et Π 407,32

19 σαυτοῦ P S: σοῦ L ‖ **ep. 319** L 30v–31r; tit. L K-D ‖ **1** ἀδελφὲ περιπόθητε corr. K-D: ἀδελφέ καὶ περιπόθητε L

ἂν αὐτός· φήμας δὲ ἐνταῦθα περὶ σαυτοῦ γενναίως περιηχεῖς. Εἰ μὲν οὖν μετὰ τῆς κρείττονος φήμης καὶ τὸ βαλάντιον στατήρων πληροῖς, ὑπέρευγε τῆς ἐπινοίας· εἰ δὲ θάτερον παρὰ θάτερον ἔχοις,
20 γνῶθι ὡς λόγος ἔργου σκιή.

320. Τῷ κριτῇ τῶν Κατωτικῶν ⟨τῷ μαγίστρῳ⟩
ad eundem ut Π 321; ad eundem magistrum ut Π 332?

K-D 69 [L]

Ὁ τιμιώτατος Λαρίσσης, ἐστὶ μὲν τῷ ὄντι καὶ σεμνότατος ἄνθρωπος, καὶ σεβάσμιος τὴν ψυχήν, ἔστι δὲ καὶ φίλος ἐμός. Δεῖται δὲ ἐν πολλοῖς τῆς σῆς ἀντιλήψεως. Ἐμοὶ δὲ εἰ καὶ πολλοὶ φίλοι τυγχάνουσιν, ἀλλ' οὐδεὶς τοιοῦτος ὁποῖος σύ· καὶ ὁ μακρὸς
5 χρόνος τὴν πρὸς ἀλλήλους φιλίαν, καὶ ἀπέδειξε καὶ ἠκρίβωσε. Διὰ ταῦτα θαρρούντως ἀξιῶ σου τὴν ὑπέρτιμον καλλονήν, τῆς σῆς προθέσεως καὶ ἀγάπης τὸν μητροπολίτην ἀξιοῦν, ἀντιποιεῖσθαί τε τῆς κατ' αὐτὸν μητροπόλεως, καὶ ὅλως ἐμφανίζειν αὐτῷ τὸ μέτρον τῆς πρὸς ἐμέ σου ἀγάπης, ἵνα καὶ οὕτως ἔχῃ γινώσκειν ὅτι οὐ
10 σφάλλομαι περὶ τὰς τῶν φίλων ἐπιλογάς.

321. Τῷ αὐτῷ
Τῷ κριτῇ τῶν Κατωτικῶν ⟨τῷ μαγίστρῳ⟩. ad eundem magistrum ut Π 332?

K-D 70

Τὴν γραφήν σου ἐκομισάμην, ἐν ᾗ ἐπηρώτας με, τί δεῖ ποιῆσαι τὰ νομίσματα, ἅπερ ἀπὸ τοῦ δεῖνος ἀπήτησας. Φημὶ οὖν ἀποδοῦναί σε ταῦτα τῷ δεῖνι, οὐχ ὥστε εἰς ἑαυτὸν ἀναλῶσαι ταῦτα, ἀλλ' ὥστε οἰκοδομῆσαι τὰ καταλυθέντα παροικοτόπια.
5 Ἐγὼ δὲ καινὸν οὐδὲν ποιῶ τῶν σῶν προϊστάμενος, τοῦτο μέν, καὶ ὡς ὡμολόγησα φιλίᾳ πρὸς σέ, τοῦτο δέ, καὶ ὡς φυσικῷ πάθει

20 λόγος – σκιή: dictum Democriti (DK 68 B 145); cf. e.g. Synes. Cyren. Περὶ βασιλείας 29

ep. 320 L 37r; tit. scripsi (cf. Π 321): τῷ κριτῇ τῶν Κατωτικῶν L K-D **ep. 321** L 37r–v; tit. L K-D ‖ **6** φιλίᾳ corr. K-D: φιλίαν L

πρὸς ἔλεον τῶν δυστυχούντων κινούμενος. Κἂν μὴ τοιοῦτος δὲ ἦν, ἀλλ' ἥ γε δεσπότις τοῦ οἴκου σου τοιοῦτον ἄν με ἐποίησε. Τηλικοῦτον χρῆμα εὐτύχησας, μάγιστρε. Καὶ εἶδον μὲν οὐδαμῶς κατ' ὄψιν, ἡ δέ μοι ἀκοὴ καὶ τοὺς μὴ εἰδότας ἐπληροφόρησεν ὀφθαλ- 10 μούς· καὶ χαῖρε ἐπὶ τῷ πράγματι. Σὺ δὲ οὐκ εἰς μακρὰν ὄψει ἐκείνην τε καὶ ἡμᾶς, ὥς γε οἴομαι· τοσοῦτον γὰρ οὐκ εἰσελήλυθας, ὅσον οἱ προβαλλόμενοι ἐξεληλυθέναι οὐ βούλονται.

322. Τῷ κριτῇ τῶν Κατωτικῶν

eodem tempore ut Π 381, Π 379, et Π 403 [vid. epistolarum ordinem in L]

K-D 74 [L, S], S 32 [P]

Περίβλεπτε κύριέ μου καὶ ἠγαπημένε ἀδελφέ, εἰ καλλονὴν ἤθους, εἰ χρηστότητα τρόπων, εἰ ἀδολωτάτην διάθεσιν ἐπιποθεῖς διὰ χρόνου θεάσασθαι, εἰ φίλον ἐμὸν ἐν μέσῃ καρδίᾳ κατασκηνώσαντα, ἰδού σοι οὗτος παρίσταται, ὁ κάλλιστος πάντων ἀνθρώπων καὶ τὴν ἀρετὴν καὶ τὸ γένος ἐπίσημος, κατακριθεὶς μὲν (δεῖ γὰρ οὕτως 5 εἰπεῖν) ὑπερόριον ἀποδημίαν καὶ πρᾶξιν φορολογίας, τιμήσων δὲ σύμπαντας τοὺς πράκτορας, τῇ τε τοῦ τρόπου αἰδεσιμότητι, καὶ τῇ δικαιοσύνῃ τῶν ἀπαιτήσεων.

Τοῦτον εἰ ἴδοις εὐμενῶς καὶ γνησίως, εἰ φιλικῶς περιπτύξῃ, εἰ φίλτατον ἡγήσῃ καὶ οἰκειότατον, κατάλληλόν τι καὶ πρέπον 10 ποιήσεις τῇ βελτίστῃ σου διαθέσει· ψυχαγωγηθήσῃ δὲ καὶ αὐτός (πῶς ἂν εἴποις;), μεταστήσας τὴν σεαυτοῦ ψυχὴν ἀπὸ περιέργων ἀνθρώπων εἰς καθαρώτατον καὶ ἀπράγμονα, ὥσπερ οἱ τὸν ἥλιον, ἀχλύος οὔσης καὶ χειμῶνος ἐπικειμένου, ἀνατέλλοντα θεασάμενοι.

8 ἥ – σου: cf. Π 332,19 ἡ μαγίστρισσα? ‖ **4–8** οὗτος – ἀπαιτήσεων: Chrysobalantites. cf. Π 379,9, Π 381,4–6, et Π 403,11; cf. etiam Stavrakos 2000,411–412 (nr. 283)

ep. 322 L 38v–39r (= L[1]) et 85r (= L[2]), P 198r–v; tit. L[1] L[2]: τῷ κριτῇ Πελοποννήσου καὶ Ἑλλάδος P ‖ **1** περίβλεπτε – ἀδελφέ P S: om. L[1] L[2] K-D **3** μέσῃ καρδίᾳ L[1] L[2] K-D: καρδίᾳ μέσῃ P S ‖ **7** τοὺς L[1] L[2] K-D: om. P S | τοῦ om. S ‖ **9** περιπτύξῃ L[2] P K-D S: περιπτύξεις L[1] ‖ **10** καὶ πρέπον L[2] P K-D S: om. L[1] ‖ **12** εἴποις L[1] L[2] K-D: εἴπῃς P S

15 Καὶ εἴης μοι τοιούτοις ἀνδράσι συνομιλῶν καὶ τῆς ἐντεῦθεν εὐθυμίας πληρούμενος.

323a. Τῷ αὐτῷ

Τῷ κριτῇ τῶν Κατωτικῶν. versio prima [L et P]; cf. Π 323b = versio altera [v¹]

S 33 [P]

Ὁ τῶν Ἀθηνῶν διοικητής, ἐνδοξότατε κύριέ μου, μόλις ποτὲ τὴν θρυλλουμένην Ἑλλάδα ἰδών, ὡς τὴν Σκυθῶν θεασάμενος, τὴν ἑαυτοῦ τύχην ἀπολοφύρεται. Καὶ οὔτε ἡ Ποικίλη τοῦτον εὐφραίνει Στοά, οὐχ ἡ νέα Ἀκαδημία, οὐχ ὁ Πειραιεύς· ἀλλ' ἡ ποικίλη τῶν
5 Ἀθηναίων γνώμη ποικίλας αὐτῷ τὰς συμφορὰς δίδωσιν.

Ἀλλ' οὗτος μέν, βελτίστη ψυχή, ἅτε τῆς ἡμετέρας μουσικῆς ἄμοιρος, πείθειν οὐκ οἶδε τὴν Ἑλλάδα τὰ δημόσια τούτῳ καταβάλλειν χρέα. Πεῖσον γοῦν αὐτός, εἰ μὲν βούλει λόγοις, εἰ δ' οὖν ἔργοις καὶ ἀπειλαῖς· καὶ ἀπόδος ἡμῖν τὸν ἄνθρωπον, μὴ πάνυ
10 τὴν Ἑλλάδα μισήσαντα, ἀλλ' ἔχοντά τι καὶ ὑπὲρ ταύτης εἰπεῖν.

1–5 μόλις – δίδωσιν: cf. Synes. Cyren. Epist. 136,7–14 ὡς οὐδὲν ἔχουσιν αἱ νῦν Ἀθῆναι σεμνὸν ἀλλ' ἢ τὰ κλεινὰ τῶν χωρίων ὀνόματα. καθάπερ ἱερείου διαπεπραγμένου τὸ δέρμα λείπεται γνώρισμα τοῦ πάλαι ποτὲ ζῴου, οὕτως, ἐνθένδε φιλοσοφίας ἐξῳκισμένης, λείπεται περινοστοῦντα θαυμάζειν τὴν Ἀκαδημίαν τε καὶ τὸ Λύκειον καὶ νὴ Δία τὴν Ποικίλην Στοάν, τὴν ἐπώνυμον τῆς Χρυσίππου φιλοσοφίας, νῦν οὐκέτ' οὖσαν ποικίλην (cf. etiam Epist. 54,12–15). cf. Π 118,49–51

15 τοιούτοις – συνομιλῶν L¹ L² K-D: τοῦτον καὶ ὁρῶν καὶ συνομιλῶν P S **ep. 323a** L 55v, P 198v; v¹ (in collectione epistolarum selectarum) 95r = Π 323b (versio altera); tit. L: om. P Π 323b⟨τῷ αὐτῷ (scil. τῷ κριτῇ Πελοποννήσου και Ἑλλάδος)⟩ S ‖ **1** ἐνδοξότατε – μου P S Π 323b,1: om. L **2** θρυλλυμένην v¹ ‖ **3** τύχην L P S: ψυχὴν Π 323b,3 | οὔτε : εὔτε v¹ ‖ **6** βελτίστη ψυχή P S: om. L ‖ **4–10** οὐχ ἡ νέα – εἰπεῖν: οὔτε τι ἄλλο τῶν ἐν αὐτῇ Π 323b,4

323b.

versio altera [retractatio?] in cod. v[1]; cf. Π 323a = versio prima [L et P]

Mai 25

Ὁ τῶν Ἀθηνῶν διοικητής, ἐνδοξότατε κύριέ μου, μόλις ποτὲ τὴν θρυλλουμένην Ἑλλάδα ἰδών, ὡς τὴν Σκυθῶν θεασάμενος, τήν ἑαυτοῦ ψυχὴν ἀπολοφύρεται. Καὶ οὔτε ἡ ποικίλη τοῦτον εὐφραίνει στοά, οὔτε τι ἄλλο τῶν ἐν αὐτῇ.

324. Τῷ αὐτῷ

Τῷ κριτῇ τῶν Κατωτικῶν

S 34 [P]

Καὶ οὗτος ἐμός, τιμιωτάτη καὶ ἁγία ψυχή, καὶ τοῦτο σός.

Ἀντιποιητέον οὖν σοι τῶν σῶν ἢ καὶ ἐμῶν (εἰς ταὐτὸ γὰρ ὁ λόγος ἥκει φέρων ἄμφω)· αἱρέσεως γὰρ αὐτῷ δοθείσης ἑλέσθαι ὃ βούλεται τῶν θεματικῶν πρωτονοταράτων, κατὰ γνώμην ἐμὴν τὸ τῆς σῆς ἐπαρχίας προείλετο. Καὶ τοῦτο κατὰ λόγον· ἐκείνην γὰρ 5 ὑπέδυ τὴν σκηνήν, ἣν στερρότερος ὑπερείδει κίων· ἐπειδὴ γὰρ ἠκηκόει, ὅτι μοι ὁ φίλτατος πάντων ἀνδρῶν τῆς Ἑλλάδος προΐσταται, τὴν τῆς Ἑλλάδος εἴσπραξιν τῶν ἄλλων προκέκρικε.

Πρόστηθι οὖν τοῦ ἀνδρός. Μᾶλλον δὲ γενοῦ χειμαζομένῳ λιμὴν εὔδιος· ἐγὼ γὰρ χειμῶνι προσεικάζω τὴν Ἀττικήν, ἢ καὶ 10 χειμῶνος χείρονι· αὐτοὶ γὰρ οἱ ἔμποροι τῆς νεὼς τὰ κύματα

ep. 323b v[1] (sylloge anonyma epistolarum selectarum) 95r; L 55v, P 198v = Π 323a (versio prima); tit. τῷ αὐτῷ (scil. τῷ κριτῇ Πελοποννήσου και Ἑλλάδος) Π 323a ‖ **1** ἐνδοξότατε – μου v[1] Π 323a,2: om. L ἐνδοξότατε Mai **2** θρυλλουμένην Mai, Π 323a,2: θρυλλυμένην v[1] ‖ **3** ψυχὴν v[1] Mai: τύχην Π 323a,3 | οὔτε Mai Π 323a,3: εὔτε v[1] ‖ **4** οὔτε – αὐτῇ v[1] Mai: οὐχ ἡ νέα Ἀκαδημία, οὐχ ὁ Πειραιεύς· ἀλλ’ ἡ ποικίλη τῶν Ἀθηναίων γνώμη ποικίλας αὐτῷ τὰς συμφορὰς δίδωσιν. ἀλλ’ οὗτος μέν, βελτίστη ψυχή, ἅτε τῆς ἡμετέρας μουσικῆς ἄμοιρος, πείθειν οὐκ οἶδε τὴν Ἑλλάδα τὰ δημόσια τούτῳ καταβάλλειν χρέα. πεῖσον γοῦν αὐτός, εἰ μὲν βούλει λόγοις, εἰ δ’ οὖν ἔργοις καὶ ἀπειλαῖς· καὶ ἀπόδος ἡμῖν τὸν ἄνθρωπον, μὴ πάνυ τὴν Ἑλλάδα μισήσαντα, ἀλλ’ ἔχοντά τι καὶ ὑπὲρ ταύτης εἰπεῖν Π 323a,4–10 ‖ **ep. 324** L 55v–56r, P 198v; tit. L: om. P ⟨τῷ αὐτῷ (scil. τῷ κριτῇ Πελοποννήσου και Ἑλλάδος)⟩ S ‖ **1** τιμιωτάτη – ψυχή P S: om. L ‖ **4** πρωτονοταράτων L: πρωτονωταράτων P S ‖ **5** γὰρ P S: om. L

ἐπεγείρουσι, καὶ ἀναζέουσι τὸ κλυδώνιον. Ἀλλὰ σὺ τοὺς μὲν ἡσυχάζειν πεῖσον, τοῦτον δὲ ἀκταῖς ἀκλύστοις προσόρμισον, διὰ τὴν φυσικὴν καλοήθειαν, διὰ τὴν πρός ἡμᾶς σου φιλίαν, διὰ τὴν
15 πρὸς τοὺς δεομένους φιλανθρωπίαν.

325. Τῷ κριτῇ τῶν Κατωτικῶν

ad Malesen (Π XXXVIII) [cf. Ljubarskij 2004,164]?

K-D 86 [L]

«Ὥς σε ποθεῖ καὶ ἀσπάζεται» ὁ νοτάριος (ἵν' εἰς καιρὸν τοῖς θεολογικοῖς χρήσωμαι ῥήμασι)· τὸ γὰρ ὀλίγον φανεὶς ἀπεκρύψατο. Εἰς τοῦτον ἄρα τῷ ῥήτορι ἤνικται· ὁμοῦ γὰρ εἶδεν ἡμᾶς, καὶ μεταστραφείς, ἀπῆρε πρὸς σέ. Ἐρᾷ δέ σου, οὐ τῆς
5 χειρὸς τοσοῦτον, ὅσον τῆς γλώττης καὶ τῆς ψυχῆς· ᾗ γὰρ ὑποκινεῖς ἴυγγι, τῷ θελκτικῷ τοῦ λόγου, ταύτῃ οὗτος συρόμενος ἕλκεται. Ἐβούλετο μὲν γὰρ ὅλον εἶναί σε κιθάραν, καὶ μᾶλλον ἔχειν ἐν ταῖς χερσὶν τὸ ψαλτήριον, ἵνα τούτῳ τῷ μέρει τὸν ἐρῶντά σου ἔθελγες· ἐπεὶ δὲ τὰς μούσας ὅλας ἐνδέδυσαι, μᾶλλον δέ σε τῶν
10 ἄλλων χαρακτηρίζει ἡ Καλλιόπη, συμπαρούσης αὐτῇ καὶ τῆς Ἐρατοῦς, ᾧ μᾶλλον νικᾷς τούτῳ πλέον νενίκηται· καὶ ἰδοὺ πρὸς τὸν Ὀρφέα ὁ ἄνθρωπος.

Ἄναψον οὖν αὐτῷ τὰς ἁρμονικὰς χάριτας. Καὶ νῦν μᾶλλον τὰς χορδὰς ἔντεινε, καὶ χρῷό μοι ταῖς μεταβολαῖς· τὸ γὰρ μονοειδὲς
15 ἀτερπές, κἂν ᾖ μουσικώτατον· τὸ γὰρ σὸν παναρμόνιον, ἀντὶ

13 ἀκταῖς ἀκλύστοις: cf. e.g. Opp. Ἁλιευτικά 1,226 ἐν ἀκλύστοισιν ἐεργομένη λιμένεσσι et 4,450 λιμένεσσι παρ' ἀκλύστοισι et Plut. Περὶ τοῦ ὅτι μάλιστα τοῖς ἡγεμόσι δεῖ τὸν φιλόσοφον διαλέγεσθαι 778c7 ἐν ἀκλύστῳ λιμένι cum Psel. Χρονογραφία VI,72, Λόγος εἰς τὴν σταύρωσιν … = Or. hag. 3a,507, Ἐγκώμιον εἰς τὴν ἀποτομὴν τοῦ πανευφήμου προφήτου Προδρόμου καὶ βαπτιστοῦ Ἰωάννου = Or. hag. 8,685, Σελέντιον δημηγορηθὲν παρὰ βασιλέως κῦρ Μιχαὴλ τοῦ Δούκα = Or. min. 3,19, Ἱστορία σύντομος 62,26, et Π 189,33, Π 270,23, Π 275,46–47, Π 288,34–35, Π 467,5, et Π 548,12–13 ‖ **1** ὥς σε – ἀσπάζεται: Greg. Naz. Εἰρηνικὸς β′ = Or. 22,1 ὡς λίαν σε ποθῶ καὶ ἀσπάζομαι

12 ἐπαγείρουσι S ‖ **ep. 325** L 42v; tit. L K-D ‖ **6** λόγου post corr. L: λόγου· ἰξὺς ἰξύος, ἡ ὀσφῦς ante corr. L λόγου, ὁ Ὀρφεύς corr. K-D ‖ **11** νενίκηται corr. Malt[5],252–253: νενίκηκε L K-D

τελείου συστήματος ὄν, μετακαλεῖται παντοδαπῶς. Ὥσπερ οὖν αὐτὸς τεθήραταί σου τῇ καλλιρρημοσύνῃ τῆς λέξεως, οὕτω δὴ καὶ σὺ τούτῳ εὐθήρατος γενοῦ ταῖς χερσίν, ἵν' ὁμοῦ θέλξῃς καὶ θηρῶν καὶ θηρώμενος.

Σὺ δὲ τί μὴ γράφεις συνεχέστερον πρὸς ἡμᾶς, φίλους σοι ὄντας 20 ἀληθεῖς, καὶ τὰ σὰ δι' εὐφήμου γλώττης ἄγοντας; Ἄρξαι οὖν τοῦ καλοῦ τούτου πράγματος· καὶ ὁμίλει διὰ τῶν γραμμάτων ἡμῖν, οἷς καὶ κατὰ πρόσωπον ἐντυγχάνων, πολλὴν ἐτίθεις σπουδήν. Ὁ δὲ παρὼν ἀπολαυσάτω καὶ τῆς γνώμης καὶ τῆς χειρός· οἶδα γάρ, ὡς καὶ γινώσκεις τὸν ἄνδρα καὶ φίλον εἶχές ποτε τῶν καιρῶν. 25

326. Τῷ κριτῇ τῶν Κατωτικῶν

S 153 [P]

Ἐβούλετο μὲν ὁ μοναχὸς οὗτος Ἠλίας, μηδὲν περίγειον ἢ ἔχειν ἢ ἐννοεῖν, κατὰ τὸν ὁμώνυμον αὐτῷ καὶ ἀκτήμονα, ἀλλ' ἀφεῖναι μὲν ἀπὸ τῶν πρακτικῶν ἀρετῶν, καὶ πᾶσαν τὴν νοερὰν διαπεράσαντα διακόσμησιν, αἰθεροδρομῆσαι πρὸς τὸν θεὸν καὶ πρὸς τοὺς ἀπορρήτους λιμένας ἐγκαθορμίσασθαι. 5

Ἐβούλετο μὲν οὕτως καὶ λίαν ἐσφάδαζεν· ἀλλὰ τὸ σύνοικον σῶμα, ἀλλὰ τὸ βαρὺ φορτίον, ἀλλὰ τὸ γεῶδες σκῆνος, ἀλλὰ τὸ

16 τελείου συστήματος: cf. Ptolem. Ἁρμονικά 2,4,5 τέλειον δὲ σύστημα λέγεται τὸ περιέχον πάσας τὰς συμφωνίας etc. ‖ **1** ὁ – Ἠλίας: de eoque cf. Π 77,9–10 = Π 130,10–11, Π 188,6, Π 219,2, Π 220,3, Π 253,1, Π 254,1, Π 288,1, Π 327,1, et Π 450,1. cf. etiam Π 543,1? ‖ **3–4** τὴν νοερὰν … διακόσμησιν: iunctura neoplatonica; cf. e.g. Procl. Περὶ τῆς κατὰ Πλάτωνα θεολογίας 5,6,6–10 cum Psel. e.g. Περὶ τῶν μετὰ θεὸν καὶ περὶ θεὸν τεταγμένων διακόσμων καὶ τάξεων = Theol. I 112 ‖ **6–8** τὸ – ἐφόλκιον: cf. Sap. Sol. 9,15 φθαρτὸν γὰρ σῶμα βαρύνει ψυχήν, καὶ βρίθει τὸ γεῶδες σκῆνος νοῦν πολυφρόντιδα. cf. etiam Psel. Λόγος τοῦ ὑπερτίμου ὃς ἐπικέκληται σελέντιος = Or. min. 4,68–70 τὸ σῶμα ἡμῶν τὸ παχὺ καὶ ἀντίτυπον … βαρὺ καὶ βρῖθον ἐφόλκιον, Περὶ τοῦ διὰ τί εἰσιν οἱ ἄγγελοι πτερωτοὶ … = Theol. II 38,14–15 βρίθοντος τοῦ γεώδους σκήνους καὶ κάτω ῥέοντος, et Π 206,30–34 et Π 210,31–37

ep. 326 L 44v–45r, P 223v; tit. L: om. P S ‖ **1** μὲν P S: om. L ‖ **2–4** ἀφεῖναι – διακόσμησιν P S: om. L ‖ **4** πρὸς[1] – θεὸν P S: om. L | πρὸς[2] L: εἰς P S ‖ **7** τὸ[1] – σκῆνος P S: τὸ γεῶδες σκῆνος, ἀλλὰ τὸ βαρὺ φορτίον L

βρῖθον ἐφόλκιον, πολλάκις ἀφορμηθέντα, κατέσχε, καὶ ἀναπτάντα κατήνεγκε, καὶ κατέσυρεν ἐφαλλόμενον· καὶ δὶς ἀποπειραθέντα
10 τοῦ πράγματος καὶ πολλάκις, αἱ αὐταὶ ἀνάγκαι κατέσπασαν. Καὶ οὔτε ἡ πρὸς οὐρανὸν αὐτῷ ῥᾴστη ἀνάβασις, οὔτε ἡ ἐπὶ γῆς αὐτάρκης διατριβή.

Ζῇ δὲ οὐχ ἑαυτῷ μόνον (κοῦφον γὰρ ἂν ἦν αὐτῷ τὸ κακόν), ἀλλὰ καὶ μητρὶ ἐπ' αὐτόν, τὰς ἐλπίδας ἐχούσῃ, καὶ φατρίᾳ τινὶ
15 συγγενικῇ. Διὰ ταῦτα στέλλεται ἀποδημίας μακράς, νῦν μὲν πρὸς ἄρκτον ἀναβαίνων, νῦν δὲ καταίρων πρὸς νότον. Μερίζεται δὲ καὶ ἀνατολαῖς ἡλίου, καὶ δύσεσιν, οὐχ ἵνα γνοίη, πόσον ἀφέστηκε τῶν Βρεττανίων ἡ Θούλη, οὐδ' ὅπως ὁ πολυύμνητος ὠκεανὸς περιελίσσει τὴν γῆν, οὐδὲ τίνες μὲν οἱ πρὸς ἀνατολάς, τίνες δὲ οἱ πρὸς
20 ἑσπέραν Αἰθίοπες, ἀλλ' ὅπως ἂν τοῖς ὑμετέροις κόλποις ἐγκαθορμίσηται, καί τι σχοίη ἐκεῖθεν ἀγώγιμον· «πλανήτης γὰρ ὁ βίος» αὐτῷ (ἵν' εἴπω τι καὶ φιλόσοφον), ἐπεὶ καὶ Πλάτων τρὶς ἀναμε-

17–18 οὐχ – Θούλη: cf. Strab. Γεωγραφικά 1,4,2,5–8 διὰ Θούλης (ἥν φησι Πυθέας ἀπὸ μὲν τῆς Βρεττανικῆς ἓξ ἡμερῶν πλοῦν ἀπέχειν πρὸς ἄρκτον, ἐγγὺς δ' εἶναι τῆς πεπηγυίας θαλάττης) ‖ **18–19** οὐδ' – γῆν: cf. Strab. Γεωγραφικά 4,1,1,17–19 τὰ μὲν ὁ ὠκεανὸς περιείληφεν ἀρξάμενος ἀπὸ τῶν βορείων ἄκρων τῆς Πυρήνης μέχρι τῶν ἐκβολῶν τοῦ Ῥήνου ‖ **19–20** οὐδὲ – Αἰθίοπες: cf. Strab. Γεωγραφικά 1,2,25,9–10 δύο εἰσὶ καθ' ἡμᾶς Αἰθίοπες, οἱ μὲν πρὸς ἀνατολὰς οἱ δὲ πρὸς δύσεις. cf. Psel. Πρὸς τὸν οἰκεῖον γραμματικόν = Or. min. 17,24 (cum Hom. Od. 1,23) ‖ **21–22** πλανήτης – αὐτῷ: cf. Eurip. Ἡρακλεῖδαι 878 ξένοι πλανήτην εἴχετ' ἄθλιον βίον cum e.g. Heliod. Αἰθιοπικά 5,6,2,5 et 7,12,2,6–7. cf. Psel. Ἐπιτάφιος εἰς τὴν ἑαυτοῦ μητέρα 1192–1193 ‖ **22–24** Πλάτων – Σικελίας: Philostr. Τὰ ἐς τὸν Τυανέα Ἀπολλώνιον 1,35,5–7 cum Suda αι 349 Πλάτων δὲ τρὶς ἀναμετρῆσαι λέγεται τὴν Χάρυβδιν ὑπὲρ πλούτου Σικελικοῦ. cf. etiam Psel. Ἑρμηνεία περὶ τῶν εἰκοσιτεσσάρων στοιχείων ... πρὸς ... Ἰωάννην τὸν λιβελλίσιον = Phil. min. I 36,215–216 et Πρὸς τὸν πατριάρχην κῦρ Μιχαὴλ περὶ τοῦ ὅπως ποιητέον χρυσόν 32,14–16 ‖ **22–27** Πλάτων – Ἀννίκερις: cf. Suda π 1707 τρὶς δὲ ἐν Σικελίᾳ Πλάτων ἦλθε πρὸς τοὺς τυράννους Διονυσίους· καὶ ἐπράθη ὑπὸ τοῦ τυράννου. ἐπρίατο δὲ αὐτὸν Ἀννίκερίς τις Λίβυς cum e.g. Olympiod. In Alc.

8 ἀφορμηθέντα P S: ἀποπειραθέντα L ‖ **8–9** καὶ – κατήνεγκε P S: om. L **9** ἐφαλλόμενον P S: ἀφαλλόμενον L ‖ **9–10** καὶ² – κατέσπασαν P S: om. L **13** δὲ P S: γὰρ L ‖ **15** διὰ – μακράς P S: διὰ τοῦτο στέλλεται ἀποδημίαν μακρὰν L | νῦν P S: ποτὲ L ‖ **15–16** πρὸς – ἀναβαίνων P S: ἀναβαίνων δὲ πρὸς θάλασσαν L ‖ **16** νῦν – καταίρων P S: ἄλλοτε δὲ καταβαίνων L **19–20** τίνες¹ – Αἰθίοπες P S: om. L ‖ **22** ἵν' – φιλόσοφον P S: ἢ καὶ φιλόσοφος L

τρῆσαι τὴν Χάρυβδιν λέγεται, καὶ τοσαυτάκις τὸν στενὸν αὐλῶνα διεληλυθέναι τῆς Σικελίας.

Ἀλλ' ἐκεῖνος μὲν τοῖς Διονυσίοις ἐντετυχηκώς, οὐ μόνον οὐδὲν 25 τῆς φιλοσοφίας ἀπώνατο, ἀλλὰ μικροῦ δεῖν καὶ ἐπέπρατο, καὶ ἐξωνεῖται αὐτὸν ὁ Αἰγινήτης Ἀννίκερις. Οὗτος δὲ μὴ τοιούτων τύχοι ξενίων, ἀλλ' οἵων παρὰ τοῖς Φαίαξι τετύχηκεν Ὀδυσσεύς· καὶ ἐπανέλθοι τῶν σῶν ἐν χερσὶ τὰ σύμβολα φέρων χειρῶν, ὅπως ἂν ἥ τε μήτηρ αὐτῷ ἀναβιῴη, καὶ ὁ τῶν συγγενῶν συγχορεύσειεν 30 ὅμιλος.

327. Τῷ αὐτῷ

Τῷ κριτῇ τῶν Κατωτικῶν

K-D 93 [L]

Ἔστι τις καὶ παρ' ἡμῖν Ἠλίας τῷ μεταρσίῳ ἀντίθετος· πρόσγειος γὰρ καὶ ὑπεραναπτῆναι τῆς γῆς μὴ δυνάμενος, καίτοι γε πολλὰ τῶν ἐν τοῖς θεάτροις διφρηλάταις ἑπόμενος, καὶ συναναβῆναι τούτοις ἐπὶ τοῦ αὐτοῦ τετολμηκὼς ἅρματος, ἵνα ἐκμελετηθείη αὐτῷ ἡ πρὸς τὸν ἀέρα πτῆσις καὶ κίνησις. Τρέχει δὲ ἔτι παρὰ 5 Λύδιον ἅρμα τὸ τοῦ Θεσβίτου, καὶ τὴν ἅμιλλαν οὐ πάνυ θαρρεῖ· τὴν γάρ τοι Ἰεζάβελ οὐδαμῶς οὗτος πεφόβηται, ἀλλὰ γενναίως ἀνθίσταται, καὶ (τοῦτο δὴ τὸ πάλαι ῥηθέν) «ἀντεμβάλλει ταῖς αὐτοῦ ἐμβολαῖς». Οὐδὲ τεσσαρακονθήμερον ἀποδιδράσκει ὁδόν,

2,121–133 κρατηθεὶς ὑπ' αὐτοῦ παρεδόθη Πόλλιδι τῷ Αἰγινήτῃ ἐμπορευομένῳ εἰς Σικελίαν πρὸς πρᾶσιν. ὁ δὲ ἀγαγὼν αὐτὸν εἰς Αἴγιναν εὗρεν Ἀννίκεριν ἐκεῖ τὸν Λίβυν μέλλοντα πλεῖν ἐπὶ τὴν Ἦλιν ἐφ' ᾧ τεθρίππῳ ἀγωνίσασθαι etc.

28 οἵων – Ὀδυσσεύς: cf. Hom. Od. 5,35–37 etc. ‖ **1** Ἠλίας: de eoque cf. Π 77,9–10 = Π 130,10–11, Π 188,6, Π 219,2, Π 220,3, Π 253,1, Π 254,1, Π 288,1, Π 326,1, et Π 450,1. cf. etiam Π 543,1? ‖ **5–6** παρὰ – ἅρμα: proverbium; CPG I 274 (nr. 28) ‖ **7** τὴν – Ἰεζάβελ: III Reg. 19,1–4; cf. Psel. Πρὸς τὸν Σαββαΐτην = Poem. 21,65 et Π 288,3 ‖ **8–9** ἀντεμβάλλει – ἐμβολαῖς: Synes. Cyren. Epist. 5,102 καὶ ἀντεμβάλλῃ ταῖς ἐμβολαῖς ‖ **9–10** οὐδὲ – αὐτόν: cf. III Reg. 17,9–16 et 19,8 cum Luc. 4,25–26

26 καὶ ἐπέπρατο P S: πέπρατο μᾶλλον δὲ καὶ ἐπέπρατο L ‖ **28** τύχοι P S: τύχῃ L ‖ **29** ὅπως P S: ὡς L ‖ **30** συγχορεύσειεν P S: χορεύσειεν L ‖ **ep. 327** L 45r–v; tit. L: ⟨τῷ κριτῇ τῶν Κατωτικῶν⟩ K-D

10 οὐδὲ δεῖται χήρας ξενιζούσης αὐτόν· ἔγνωκε γὰρ ὁμόσε ταῖς συζυγίαις χωρεῖν. Ἐν μέρει δὲ καὶ «παρθενοπίπας» ἐστὶν ἀτεχνῶς, καὶ «κέρᾳ ἀγλαός», κατὰ τὸν τοῦ Πριάμου Ἀλέξανδρον (τὴν μέντοι γε κόμην, ἀλλ' οὐ τὸ γένειον). Τρέφει δὲ τοῦτον οὐκ ἐγκρυφίας ἄρτος ἐκ δρακὸς ἀλεύρου παροπτηθείς, ἀλλὰ λιπαρὰ
15 τράπεζα καὶ μάζα τροφῶν· τοὔλαιον δὲ οὐχ ὁ καμψάκης αὐτῷ ἐπιρρεῖ, ἀλλὰ φιλοτιμότερον τοῦτο ἐκ πιθάκνης ἀρύεται. Καὶ τό γε θαυμασιώτερον: ὅτι κλείειν μὲν καὶ ἀνοίγειν τὸν οὐρανὸν οὐ μέλον αὐτῷ, τοὺς δὲ τῆς γῆς μυχοὺς ἐρευνᾷ, καὶ θᾶττον μὲν ὑποδύεται τούτους, θᾶττον δὲ ἄνεισι, κατὰ τοὺς σπαρτικοὺς
20 ἐκείνους καὶ αὐτοφυεῖς Γίγαντας. Ἀνιστᾷ δὲ οὐχ ἅπαξ, ἀλλὰ καὶ πολλάκις τὴν φύσιν αὐτῷ νεκρωθεῖσαν· καὶ (ὅλως εἰπεῖν) καταχθόνιός ἐστιν οὗτος Ἠλίας, ἀλλ' οὐ μετάρσιος.

328. Τῷ κριτῇ τῶν Κατωτικῶν

K-D 154 [L]

Σὺ μὲν ὡς ἔοικεν ἐπελάθου τῆς πρὸς σὲ φιλίας ἡμῶν. Ἐγὼ δὲ ἐν μνήμῃ σε περιφέρω ἀεί· οὐ μόνον δέ, ἀλλὰ καὶ ἐν γράμμασι προσεφώνησα. Σὺ δὲ οὐδεμίαν γραφὴν ἐξαπέστειλας πρὸς ἡμᾶς· ἐχρῆν δὲ οὐχ οὕτως.

11–12 παρθενοπίπας – Ἀλέξανδρον: Hom. Il. 11,385 τοξότα λωβητὴρ κέρᾳ ἀγλαὲ παρθενοπῖπα ‖ **13–16** τρέφει – ἐπιρρεῖ: III Reg. 17,12–16. cf. Psel. Εἰς … Κωνσταντῖνον τὸν Ξιφιλῖνον, ἀξιώσαντα αὐτὸν μεταβαλεῖν τὸ … Ὄργανον ἀπὸ τοῦ ἀσαφοῦς ἐπὶ τὸ σαφές = Phil. min. I 5,45–46 et Σύνοψις διὰ στίχων σαφῶν καὶ πολιτικῶν περὶ πασῶν τῶν ἐπιστημῶν γενομένη πρὸς τὸν εὐσεβέστατον βασιλέα κῦριν Μιχαὴλ τὸν Δούκαν = Poem. 6,320 et Π 167,57–58, Π 272,84, et Π 372,9–10 ‖ **19–20** τοὺς – Γίγαντας: cf. Hes. Θεογονία 185 γείνατ' (scil. Γαῖα) Ἐρινῦς τε κρατερὰς μεγάλους τε Γίγαντας cum Psel. Λόγος εἰς … Κωνσταντῖνον τὸν Μονομάχον = Or. pan. 1,228, et Π 31,62–63 et Π 390,26; iunctura laudata in Ann. Comn. Ἀλεξιὰς XII 5,1,10 ὥσπέρ τινας γίγαντας αὐτοφυεῖς ἀναβλαστανούσης

14 δρακὸς corr. K-D: δαρκὸς L ‖ **16** πιθάκνης corr. K-D: πιθνάκης L hic suprascr. μικρὸν ὑπολήνιον L ‖ **18** μέλον corr. K-D: μέλλον L ‖ **21** ὅλως corr. K-D: ὅλος L ‖ **ep. 328** L 73r; tit. L K-D

Ἀλλ’ οὖν πάντα οἴσει φιλία καὶ πάσχουσα καὶ ἀκούουσα. Ὁ δὲ τὴν παροῦσαν γραφὴν ἐγχειρίσας σοι φίλος μοί ἐστιν ἀρχαῖος (μὴ θάψω σε)· ἀπολαύει δὲ τῆς φιλίας μου τοῦτο μόνον τὸ δι’ ἐμὲ τιμᾶσθαι παρὰ τῶν ἐν Πελοποννήσῳ καὶ Ἑλλάδι δικαστῶν. 5

Ἀπόδος οὖν αὐτῷ καὶ σὺ ταύτην τὴν συνεισφοράν· καὶ δεῖξον ὅτι με φιλεῖς. Τὸ γοῦν ἐντεῦθεν, καὶ γνησιώτερον προσομίλει τῷ ἀνθρώπῳ καὶ οἰκειότερον ὑποδέχου· καὶ ὅλως γνώτω ὁ ἄνθρωπος ὠφέλειάν τινα παρὰ σοῦ μετὰ τὸ ἀναγνῶναί σε τὴν παροῦσαν γραφήν. Περὶ δέ γε φιλίας, σὺ μὲν ὅπως βούλει, ἔχε πρὸς ἡμᾶς· ἡμᾶς δὲ οἱ καιροὶ ἔδειξαν, καὶ ἴσως δείξουσιν, ὁποῖοι φίλοι σοι καθεστήκαμεν. 10 15

329. Τῷ [κριτῇ τῶν Κατωτικῶν (?)]

S 20 [P]

Μὴ θαυμάσῃς εἰ φίλος Ἀθηναίων καὶ Πελοποννησίων καθέστηκα. Τοὺς μὲν καθ’ ἕνα δι’ ἄλλο τι καὶ ἄλλο ἀγαπῶ αἴτιον· κοινῇ δὲ πάντας, διὰ Περικλέα, καὶ Κίμωνα, καὶ τοὺς ἀνέκαθεν φιλοσόφους καὶ ῥήτορας· δεῖ γὰρ τοὺς παῖδας ἀγαπᾶσθαι διὰ τοὺς πατέρας, κἂν μὴ τοὺς χαρακτῆρας αὐτῶν διασώζωσι. Διὰ ταῦτα γοῦν καὶ περὶ ἑτέρων Ἀθηναίων ἠξίωσα, καὶ περὶ τοῦ παρόντος νῦν ἀξιῶ· ὃς δὴ μετὰ τῆς κοινῆς τοῦ φιλεῖν αἰτίας, καὶ πατρῷός μοι φίλος ἐστί. 5

Τὸ μὲν οὖν μετὰ δικαιοσύνης τοῖς αὐτοῦ προσιέναι πράγμασιν οὐκ αἰτῶ (ποιήσεις γὰρ κἂν μή τις παρακινῇ)· τὸ δὲ ἐλεεῖν, καὶ προσηνῶς ὁρᾶν, καὶ τοῦτο μετὰ τοῦ δικαστικοῦ ἀξιώματος. 10

330. ⟨Τῷ κριτῇ τῶν Κατωτικῶν (?)⟩

S 134 [P]

Ἀπόδημος ὢν πλεῖστον χρόνον ὁ ἐπίσκοπος Κορώνης τῆς οἰκείας ἐπισκοπῆς, δεῖταί σου τῆς ἐπὶ ταύτῃ ἀντιλήψεως, ἵνα μήτε τοῖς

6–7 μὴ – σε: proverbium, cf. Π 237,5 cum Drexl (BZ 40 [1940] 405) et Karpozelos (JÖB 38 [1988] 260–261)

ep. 329 P 196v; tit. scripsi: τῷ P (post τῷ lacunam indicavit P) τῷ ….. S
ep. 330 P 219r; tit. scripsi: ⟨τῷ κριτῇ Πελοποννήσου⟩ S

γείτοσι, μήτε τοῖς ἄλλοις πλεονεκτικοῖς τὸν τρόπον, εἰς διαρπαγὴν τὰ ταύτης γένοιτο κτήματα.

5 Ἀρκεῖ δέ σοι πρὸς τοῦτο λόγος φιλάνθρωπος εἷς, πᾶσαν ἀναστεῖλαι καὶ γλῶσσαν καὶ χεῖρά κατ' αὐτοῦ προθυμουμένην ἢ πράττειν, ἢ λέγειν. Καὶ τοῦτο δὲ ἴστω ἡ λαμπρότης σου, ὅτι νοτάριός τις τῶν τῷ ὑπερσεβάστῳ λογοθέτῃ αὐτόθι δεδουλευκότων, ὑπόμνημα κατὰ τοῦ ἐπισκόπου πλάσας, ἀντιδίκοις δή τισιν 10 αὐτοῦ ἐνεχείρισε, τὴν τοῦ λογοθέτου χεῖρα ἐν τῇ ὑπογραφῇ ἀκριβωσάμενος. Ὅπερ δὴ καὶ αὐτὸς γνούς, καὶ πρὸς τὸν πρὸ σοῦ δικαστήν, οἶμαι δὲ καὶ πρὸς σὲ γραφὴν περὶ τούτου πεποίηκα. Ὅρα οὖν μὴ ἐντεῦθεν ἐξαπατηθείης, ὁμολογουμένου (ὥς φασιν) ὄντος τοῦ πλάσματος.

331. 〈Τῷ κριτῇ τῶν Κατωτικῶν〉

S 141 [P]

Αὐτὰ βοᾷ τὰ πράγματα, κἂν τῇ φωνῇ σιωπᾷς· ὁ γὰρ εὐεργετούμενος παρὰ σοῦ Χριστοφόρος ὁ συγγενής μου ἐξάκουστα τὰ σὰ ἐξ Ἑλλάδος εἰς τὴν Κωνσταντινούπολιν ἐποιήσατο, μακρὰς ἐπιστολὰς αὐτόθεν πρός με περὶ σοῦ ἐκτιθείς· συνδεδραμήκατε 5 γὰρ σύ τε ὁ εὐεργετῶν κἀκεῖνος ὁ εὐεργετούμενος, ὁ μὲν εἰς τὸ εὐεργετεῖν, ὁ δὲ εἰς τὸ εὐχαριστεῖν, περιδέξιοι καὶ φιλοτιμότατοι.

Ἔχου τοίνυν τῶν συντρόφων ἠθῶν καὶ ἐθῶν, καὶ προστίθει τοῖς σοῖς προτερήμασι, καὶ σαυτὸν ἔχε τῶν σῶν πράξεων παράδειγμα. Δυοῖν δὲ ὄντοιν περὶ ὧν ἠξίωκά σε, τοῦ τε συγγενοῦς μου 10 καὶ τῶν ἀγαλμάτων, τὸ μὲν ἀπέδωκας, πρὸς δὲ τὸ λοιπὸν εἰσέτι τυγχάνεις ὑπόχρεως.

8 τῷ – λογοθέτῃ: Theodorus Alopus (Π III)? ‖ **1** αὐτὰ – πράγματα: iunctura saepe laudata; cf. e.g. Dion. Halicarn. Ῥωμαϊκὴ ἀρχαιολογία X 13,4

11 γνούς : ἀναγνούς S ‖ **ep. 331** P 220r; tit. scripsi: 〈τῷ κριτῇ? τῆς Ἑλλάδος〉 S

332. ⟨Τῷ κριτῇ τῶν Κατωτικῶν τῷ μαγίστρῳ⟩

ad eundem magistrum ut Π 320 et Π 321?

S 146 [P]

Θαυμάζεις, ὑπέρτιμε ἀδελφέ, ὅτι διὰ τιμῆς ἄγω τὰ σά, καὶ τὴν προσήκουσαν εἰς σὲ φυλάττω διάθεσιν. Καὶ τί τοῦτο καινόν; εἰ γὰρ καὶ πρὸς τοὺς τυχόντας τῶν ἀνθρώπων καὶ τοὺς ἅπαξ ἡμῖν ὁμιλήσαντας τὸν τῆς φιλίας ἀπαραποίητον χαρακτῆρα φυλάττομεν, πῶς οὐ χρὴ μᾶλλον εἰς σὲ τὴν τοιαύτην ἰδέαν 5 διατηρεῖν, ὃν τὰ μὲν πρῶτα ἐν τοῖς πρώτοις τῶν φίλων ἐτίθεμεν, εἶτα δὴ καὶ κατὰ πνευματικὴν κοινωνίαν εἰσεποιήσαμεν ἑαυτοῖς, καὶ μετοχῇ γένους ἐτιμήσαμεν (εἰπεῖν δὲ καὶ ἀντετιμήθημεν); οὐ γὰρ ψευδόμεθα οὔτε τὰς πρὸς τοὺς φίλους ἐπαγγελίας, οὔτε τὴν τοῦ γένους κοινωνίαν, οὐ τοῦ σωματικοῦ, οὐ τοῦ πνευματικοῦ. Καὶ 10 εἴ μοι κατὰ τὴν πρόθεσιν τῆς ψυχῆς, καὶ δύναμις ἀναλογοῦσα παρῆν, ἔδειξα ἄν σοι ὁποῖος ἐγὼ καὶ φίλος καὶ συγγενής. Ἀλλ᾽ ὁ καιρὸς οὐ δίδωσιν ἡμῖν ἐγκαυχήσασθαι, οὐδέ τι καταπράξασθαι ἐπαίνου καὶ διηγήσεως ἄξιον.

Τὸ γοῦν ἐφ᾽ ἡμῖν, καὶ ἠγαπήσαμεν καθαρῶς, καὶ εἰλικρινέ- 15 στερον ἔτι φιλήσομεν, καὶ σοῦ καὶ τῶν σῶν ἀντιποιησόμεθα, τὰ μὲν ἐπισκεπτόμενοι, τὰ δὲ παραμυθούμενοι, καὶ οὐδενὸς ἀμελοῦντες τῶν φερόντων εἰς ὄνησιν· ἔστι γὰρ (νὴ τὴν καλλίστην σου ψυχήν!) καὶ ἡ μαγίστρισσα ἀξία τοῦ παρ᾽ ἡμῶν καὶ παραμυθεῖσθαι καὶ ἐπισκέπτεσθαι, καὶ εἰκὼν ἀκριβὴς τῆς σῆς εὐγενεστάτης 20 ψυχῆς· κατ᾽ ἶσον γάρ σοι καὶ τιμᾷ ἡμᾶς καὶ (οὕτως εἰπεῖν) σέβεται.

Πλὴν καὶ τοῦτο ἴσθι ὅτι δύο πληγὰς ἡ θαυμασία αὕτη γυνὴ ἐδέξατο· μίαν μὲν ἀρρωστίᾳ περιπεσοῦσα δεινῇ, καὶ τὴν πλευρὰν ὀδυνηθεῖσα σφοδρῶς, εἶθ᾽ ὕστερον τρωθεῖσα δεινότερον ἐπὶ τῇ 25 πλασθείσῃ περὶ σοῦ φήμῃ· καὶ εἰ μὴ παρῆν αὐτός, τὰ μὲν παραμυθούμενος, τὰ δὲ πλαττόμενος, παρῴκησεν ἂν τῷ ᾅδῃ ἡ ψυχὴ αὐτῆς. Νῦν δὲ βραχύ τι ἀνένευσε.

19 ἡ μαγίστρισσα: cf. Π 321,8 ἥ γε δεσπότις τοῦ οἴκου σου? ‖ **27–28** παρῴκησεν – αὐτῆς: Ps. 93,17 παρὰ βραχὺ παρῴκησεν τῷ ᾅδῃ ἡ ψυχή μου; cf. Π 57,11–12

ep. 332 P 222r–v; tit. scripsi: ⟨ἀνωνύμῳ μαγίστρῳ καὶ κριτῇ⟩ S

Σοὶ δὲ περὶ τῶν κατὰ σὲ πραγμάτων τοσοῦτον παραινῶ· μήτ’
30 ἀφειδέστερον ἐμβίβαζε σαυτὸν ταῖς κρίσεσι, μήτε τοὺς ἐγκαλοῦν-
τας παντάπασι παραιτοῦ. Τὸ μὲν γὰρ ὀχληρόν, τὸ δὲ παρὰ τὸ
δικαστικὸν ἀξίωμα. Τῶν δὲ ὑποθέσεων ἐκείνας ἑλοῦ δικάζειν ὅσαι
λυσιτελεῖς τοῖς χωρίταις γενήσονται.

Σὺ μὲν οὖν ὅπως ἂν διαπράττῃς οὐκ οἶδα ἐς τὸ ἀκριβές· ἐγὼ
35 δὲ τοιούτων διηγημάτων περὶ σοῦ τὰς βασιλικὰς καταπληρῶ
ἀκοάς. Περὶ δὲ διαδοχῆς ἀποσαφῆσαί σοι τὸ ἀληθὲς οὐ δεδύνημαι.
Ὁρῶ μὲν γὰρ τὸν βασιλέα πρὸς τὸ πρᾶγμα ἑτοιμαζόμενον ἐπὶ
πάντων ὁμοίως θεματικῶν δικαστῶν, αὖθις δὲ ἐπεχόμενον ὁπόταν
τις αὐτὸν εὐκαίρως ἀνείρξῃ τοῦ ἐγχειρήματος.

333. ⟨Τῷ κριτῇ τῶν Κατωτικῶν⟩

S 147 [P]

Ὥσπερ εἰσὶν ἔνιοι τῶν Μακεδόνων κατὰ τὸν δημώδη λόγον
κακότυχοι, καὶ οὐ πάντες Φιλιππίζοντες ἢ Ἀλεξανδρίζοντες, οὕτως
εἰσί τινες καὶ τῶν Κατωτικῶν ἁπλούστατοι καὶ ἀγαθώτατοι
ἄνθρωποι, μήτε φαίνοντες, μήτε ἐνδεικνύμενοι, μήτε προβαλ-
5 λόμενοι ἐν δικαστηρίοις, μήτε δεδιότες τὴν ἐπωβελίαν, μήτε τὴν
ἐξούλης γυμνάζοντες. Τούτων εἷς ἐστι καὶ ὁ θαυμάσιος οὗτος
Προκόπιος, (ὥς γέ μοι δοκεῖ) ἄνθρωπος καὶ εὐπορώτατος καὶ
δικαιότατος, καὶ φρονιμώτατος, καὶ ἀγαθώτατος, καὶ τὴν ἐμὴν
φιλίαν διὰ ταῦτα κτησάμενος.

10 Ἔδει γοῦν σε εἰ καὶ μὴ τοιοῦτος ἦν, ἀλλ’ ἔν γε τούτῳ τῷ πρὸς
ἐμὲ ᾠκειῶσθαι, ἀντίρροπον τοῦτο μόνον ἡγεῖσθαι τῶν λοιπῶν
ἀντιθέσεων. Ἐπεὶ δὲ καὶ τοῦτό ἐστι, καὶ τἄλλα συνδεδραμήκασι,

1–2 ὥσπερ – Ἀλεξανδρίζοντες: proverbium non inveni ‖ **5** τὴν ἐπωβελίαν: cf. e.g. Suda ε 2830–2832 ἐπωβελία: πολλῶν εἰς χρήματα συκοφαντούντων τοὺς ἐπιεικεῖς καὶ ἀπράγμονας τῶν πολιτῶν … Ἀθηναῖοι ζημίαν ἔταξαν κατὰ τῶν ἐγκαλούντων ὀβολὸν ἐκτείνειν, εἰ μὴ καθ’ ὧν ἐνεκάλουν, τούτους ἕλοιεν. ταύτην τὴν ζημίαν ἐπωβελίαν ὠνόμασαν etc. ‖ **5–6** τὴν ἐξούλης: cf. Suda ε 1816 ἐξούλης: ὄνομα δίκης, ἣν ἐπάγουσιν οἱ φάσκοντες ἐξείργεσθαι τῶν ἰδίων κατὰ τῶν ἐξειργόντων. εἴρηται μὲν οὖν τοὔνομα ἀπὸ τοῦ ἐξίλλειν, ὅπερ ἐστὶν ἐξείργειν καὶ ἐξωθεῖν καὶ ἐκβάλλειν etc.

ep. 333 P 222v; tit. scripsi ‖ **4–5** προσβαλλόμενοι S ‖ **6** ἐξ οὔλης S

δι' ἀμφότερα, ἢ διὰ πάντα, τὰ πρῶτα τῆς οἰκειώσεως ἐχέτω παρὰ σοὶ ὁ ἀνήρ, ὡς ἂν γνώσηται ὁπόσα ἐγὼ καὶ πόρρω τῶν φίλων δεδύνημαι. 15

LXXXI. Κριτὴς τῶν Κιβυρραιωτῶν

varii? cf. Π XLII (Μιχαήλ) et Π LIII (Πόθος)

334. Τῷ κριτῇ τῶν Κιβυρραιωτῶν

ad fratrem Ioan. Maurop. [ut L]? ad Pothum (Π LIII)?

K-D 47 [L]

Φίλτατε ἀδελφέ, οὐ πάντας ἄρα κακοὺς ὁ Κιβυρραιώτης φύειν εἴωθεν (ὥς γε μοι δοκεῖ), ἀλλ' ἔστι τις ἐν αὐτῷ καὶ μερὶς ἐλαχίστη τοῦ ἀγαθοῦ, ἐπεὶ μηδέ τι τῶν ὑπὸ σελήνην (ὡς μεμάθηκας) τῶν δυεῖν ἀντικειμένων μερίδων ἄμικτόν ἐστι θάτερον παρὰ θάτερον· ὁπότε μηδὲ τὴν ὕλην οἱ φιλόσοφοι ἀξιοῦσιν ἀμέθεκτον τοῦ καλοῦ· 5

3–4 μηδέ – θάτερον[2]: cf. Psel. Εἰς τὸ 'ὄψει τὰ ὀπίσθια' = Theol. I 26,99–104 εἰ δὲ τὰ ὑπὸ σελήνην ἑτεροούσια καὶ ἄλλως ἄλλοτε ἔχοντα, θαυμάζειν οὐ χρή· ἡ γὰρ ἀπὸ τῶν ὄντων πρόοδος εἰς τὰ τελευταῖα προϊοῦσα ἀμυδροῦται καὶ μεταβάλλεται· εὕροι δ' ἄν τις κἀνταῦθα τὸ κάλλος καὶ τὴν τάξιν κρυπτόμενα, ἐπεὶ καὶ τὰ τῶν σωμάτων ὡραῖα καὶ χρωμάτων ἑτερότησι καὶ ὄγκων ὑφέσεσι καὶ ἐπαναστάσεσι τὸ κάλλος συνερανίζονται ‖ **5** μηδὲ – καλοῦ: cf. e.g. Psel. Omn. doctr. 100 Εἰ κακὸν ἡ ὕλη ‖ **5–7** μηδὲ – ἕνωσιν: cf. Psel. Ἐγκωμιαστικὸς εἰς … Μιχαὴλ τὸν Κηρουλλάριον = Or. fun. I 1,5,40–46 εἰ μὲν γὰρ ἁπλῶς ὕλη τις ἦν ἀνείδεος τὰ ἡμέτερα σώματα, ἐχρῆν δι' αὐτὸ τοῦτο ἀποδιοπομπεῖσθαι τοῦ λόγου τὸ ἄμορφον αἶσχος, καὶ αὐτὸ δὴ τοῦτο τελευταῖον καὶ ὑλικώτατον· ἐπεὶ δὲ καὶ ἐξ ἐνύλων εἰδῶν συμπεπήγαμεν, οὐκ ἀτιμαστέον μᾶλλον ἡμῖν διὰ τὴν ὕλην τὰ σώματα, ἢ τιμητέον διὰ τὸ εἶδος, ὃ δὴ ἄνωθεν ἀπὸ τοῦ νοεροῦ προεληλυθὸς ἐς τὰ σώματα λῆξαν ἀχώριστον ἔμεινε et Π 122,41–42 καὶ ἡ ὕλη τὸ εἶδος ἐνδέδυται, καὶ ὅροι ταύτης μὲν τὰ ἔνυλα εἴδη ‖ **5–11** μηδὲ – ἄπεισι: cf. Arist. Metaph. 1070b19–20 ἀρχαὶ εἰσὶ τρεῖς, τὸ εἶδος καὶ ἡ στέρησις καὶ ἡ ὕλη et passim cum Psel. Εἰς τὸ 'τίς οὐσία θεοῦ;' = Theol. I 56,26–38 δύο τῶν ὄντων ἔσχατα θεὸς καὶ ὕλη, ἀλλ' ὁ μὲν κατὰ τὴν ἄνοδον, ἡ δὲ κατὰ τὴν κάθοδον, καὶ μετὰ τὴν ὕλην οὐδέν. τίς οὖν οὐσία ὕλης; πότερον δὲ ὄν ἐστιν αὕτη ἢ τῶν οὐκ ὄντων; εἰ μὲν γὰρ ὄν, πῶς

ep. 334 L 27v–28r; tit. scripsi: τῷ κριτῇ τῶν Κιβυρραιωτῶν τῷ ἀδελφῷ τοῦ Εὐχαΐτων (de quo cf. etiam Π 161?) L K-D

ἐρᾷ γὰρ καὶ αὐτὴ τοῦ εἴδους, καὶ ἀμφιέννυται τοῦτο λαβοῦσα, καὶ οὐ φεύγει τὴν ἕνωσιν· καὶ ἡ στέρησις δὲ φεύγουσα, οὐδ' οὕτω κακή, οὐδὲ μάχεται τῷ ἀγαθῷ· τὸ γὰρ ἐναντίον τινὶ δεῖ φύσιν ἔχειν καὶ στερρότητα πρὸς αὐτό, ἵνα καὶ ἀντικείμενον ᾖ πάντοθεν,
10 ἡ δὲ ὑπ' οὐδενείας τῆς οἰκείας ὑπάρξεως, ὥσπερ ἀμενηνή τις σκιά, ὑποφεύγει τὸ εἶδος, ἢ ὑποστελλομένη ὑποχωροῦσα ἄπεισι. Τί ποτ' οὖν ταῦτά φημι; Ὅτι καὶ τὸ παρ' ἡμῖν ἀγαθὸν ἐπιμιξίαν ἔχει τοῦ χείρονος, καὶ τὸ φαῦλον τῷ καλλίονι κέκραται. Καὶ ὁ Κιβυρραιώτης οὖν κακὸς μὲν ἴσως διὰ τοὺς πολλούς, ἀγαθὸς δὲ
15 διὰ τοὺς ὀλίγους. Ὧν ἐστι καὶ ὁ ἐπίσκοπος οὗτος.

Ἀλλὰ μηδὲ τοῦτον καθ' ἑαυτὸν παντάπασιν ἐξετάσας, ἐάν τινα εὕρῃς τοὐναντίου παρασποράν, ἢ ἐμὲ ἐψεῦσθαι οἰήσῃ, ἢ τοῦτον ἀποκρινεῖς μὲν τοῦ Ἰσραηλιτικοῦ γένους, συντάξεις δὲ τοῖς ἀλλοφύλοις· οὐδεὶς γὰρ τῶν καθ' ἡμᾶς παρὰ τὴν εἰρημένην ἕξιν
20 ἐστίν, ἀλλ' ὥσπερ ἀπὸ τοῦ μεδίμνου, τὸν μὲν σῖτον αἱρούμεθα, τὴν αἶραν δὲ καὶ τὴν ζειὰν ἀποκρίνομεν, οὕτω σὺ ἀπὸ τῶν οἷς ὁμιλεῖς ἠθῶν ἐκλεγόμενος τὰ βελτίονα, τὰ χείρω μηδὲ εἰδέναι προσποιοῦ· καὶ οὕτως, οὐδέν σοι φανείη τῶν ἀνθρωπίνων κακόν. Καὶ ὁ ποιητὴς δὲ τὸν Πάτροκλον, τοῖς Ἀχιλλείοις ὅπλοις κοσμήσας,

ἀνείδεος; γνώρισμα γὰρ τῶν ὄντων τὸ εἶδος. εἰ δὲ οὐκ ὄν, πῶς ὡς ὂν παρὰ τοῖς φιλοσόφοις ὁρίζεται; ἀζώαν γὰρ ταύτην καὶ ἀσώματόν φασι καὶ φάντασμα ὑποστάσεως, καὶ μηδὲν μὲν οὖσαν, πάντα δὲ ὑποκρινομένην, παίγνιον ὑπάρξεως, εἴδωλον καὶ σκιὰν φεύγουσαν ἀεὶ καὶ εἰς τὸ μὴ ὂν ἀνατρέχουσαν. δός μοι τῆς ὕλης τὸν λόγον, καὶ τότε σοι κἀγὼ ἀντιδώσω τῆς θείας οὐσίας τὸν ὁρισμόν. εἰ δὲ τῶν ὄντων τὸ ἔσχατον ἀγνοεῖς, πῶς τὸ πρῶτον ἐπειράθης καταλαβεῖν; ἀλλ' ἐατέον τὴν ὕλην. τίς δὲ λόγος στερήσεως; τὸ δὲ εἶδος ὁποῖον; πῶς δὲ ἐξ ὕλης καὶ εἴδους φύσεων ἀσωμάτων σῶμα συνιστᾷς; πῶς δὲ πρὸς ἄλληλα συνάπτεται; τίς ὁ λόγος τῆς συναφῆς; κατὰ ποίους λόγους ἁρμονικοὺς συνελήλυθε; cf. etiam Arist. Κατηγορίαι 12a26 στέρησις δὲ καὶ ἕξις λέγεται μὲν περὶ ταὐτόν τι et passim cum e.g. Greg. Naz. Λόγος θεολογικὸς τρίτος, περὶ Υἱοῦ = Or. 29,12 ἐπειδὴ τὸ ἀγέννητον καὶ τὸ γεννητὸν ἀντίκειται ἀλλήλοις, ὡς ἕξις καὶ στέρησις et Psel. Εἰ τὸ 'ἀλλ' εἰ ταὐτὸν τῷ πατρὶ ὁ υἱὸς κατ' οὐσίαν, ἀγέννητος δὲ ὁ πατήρ, ἔσται τοῦτο καὶ ὁ υἱός' = Theol. I 24,111–148
10 ἀμενηνή – σκιά: Philo Jud. Περὶ τῶν ἐν μέρει διαταγμάτων 1,28 τὰ τοιαῦτα εἴδωλα καὶ ἀμενηναὶ σκιαί ‖ **24–26** τὸν – μίμησιν: cf. Hom. Il. 16,279 sqq.

11 τὸ εἶδος scripsi; an τὴν ἕξιν scribendum? (cf. app. font.): τὸ ἦθος L K-D
17 τοὐναντίου K-D: τοὐναντίον abbr. L

Ἀχίλλειόν τι πνέοντα τοῖς Τρωσὶν ἔδειξε, καὶ κατώρθωκε πολλὰ ὁ 25
ἥρως κατὰ τὴν μίμησιν. Οὕτω τοιγαροῦν κἀγώ σοι τῷ Ἕκτορι
τῷ κορυθαιόλῳ, καὶ προηγουμένῳ τοῦ λογικοῦ στρατοῦ, τὸν
ἐπίσκοπον, τοῖς ἐμοῖς λόγοις ὡς ἀπαστράπτουσιν ὅπλοις ἐξοπλί-
σας, ἐξέπεμψα.

Γενέσθω γοῦν αὐτῷ ἀντὶ τῆς ἀληθείας ἡ μίμησις· καὶ τινά σοι 30
τὰ ἐμὰ ὅπλα ἰσχὺν ἐπιδειξάτω ἄμαχον. Κἂν διὰ τὸ γένος καὶ
τοῦτον μισεῖς, ἀλλὰ διὰ τὸν ἐμὸν λόγον, ὃν θαυμάζειν εἴωθας ἀεί,
τίμησον.

335. Τῷ κριτῇ τῶν Κιβυρραιωτῶν τῷ γεγονότι πρωτονοταρίῳ τοῦ δρόμου

S 107 [P]

Ὃ οὐκ ἂν ᾠήθημεν, ἀλλὰ μετὰ τῶν ἄλλων καὶ τὸ σὸν δὴ τοῦτο
πεπόνθαμεν, ἀδελφὲ λογιώτατε. Ἀλλ' ἐγὼ οὐ τοιοῦτος· «ἐν μέσῳ
δὲ τῶν σῶν σκορπίων», τὸ τοῦ προφήτου φᾶναι, «ἐγὼ οἰκῶ», τοῖς
μὲν ἐμφράττων τὸ στόμα, τοὺς δ' ἀναιρῶν, τοὺς δὲ πείθων μὴ
δάκνειν· τίνα; σὲ τὸν ἀπόδημον. 5

Ἀλλά σοι λόγος οὐδείς, καὶ ταῦτα λόγων, καὶ τούτων τῶν
ὑπὲρ σοῦ. Ἀλλ' ἀφήσω τοῦτο τὸ μέρος, καὶ συγκεχωρήσθω σοι
ἀλήπτῳ τυγχάνειν καὶ συνηγορίας ἀπροσδεεῖ. Τἆλλα δέ σοι ποῦ;
Τὰ πρὸς ἡμᾶς, τὰ παρ' ἡμῶν, ὅσα τε ῥητά, καὶ ὅσα ἀπόρρητα, ὧν
τὰ μὲν τοῦ λόγου, τὰ δὲ τῆς σκηνῆς; Οἴχεται πάντα, ἀπελήλαται! 10
Τέτλαθι κραδίη, ἀλλὰ καὶ θάρρησον· οὐ γὰρ ἄν ποτε κύντερον
τλαίης· τοῦτο γάρ σοι τῆς ἀτυχίας ὅρος ὁ ἔσχατος· ἔδει γὰρ ἐπεὶ
φιλοσοφεῖν εἱλόμην αὐτός, ἀφιλοσόφους ὑμᾶς ἐλεγχθῆναι.

Σὺ δ' ἴσως ἀναγινώσκων τὸ γράμμα, ἠρέμα διασείσεις τὸ
πρόσωπον, καὶ διαπορήσεις, ἢ καὶ ἐρεῖς, ἐφ' ὅτῳ ταῦτα, καὶ τίς ὁ 15
σκοπὸς τῆς ἐπιστολῆς, καὶ τί σὺ ποιῶν παρὰ τὸν λόγον ἐλήλεγ-

26–27 τῷ – κορυθαιόλῳ: iunctura Homerica (cf. e.g. Il. 2,816) ‖ **2–3** ἐν – οἰκῶ: Ez. 2,6 ἐν μέσῳ σκορπίων σὺ κατοικεῖς ‖ **11–12** τέτλαθι – τλαίης: Hom. Od. 20,18 τέτλαθι δή, κραδίη· καὶ κύντερον ἄλλο ποτ' ἔτλης. cf. Psel. Μονῳδία εἰς τὸν πρόεδρον κῦρ Μιχαὴλ τὸν Ῥαδηνόν 104–105 et Συλλογαὶ διάφοροι καὶ ποικίλαι = Phil. min. II 13 (32,14–15), et Π 335,11–12

ep. 335 P 213r; tit. P S

ξαι; Τί ποιῶν; Αὐτὸ τοῦτο ὃ μὴ ἔδει ποιεῖν (ἵνα βραχεῖ λόγῳ δηλώσω τὸ πᾶν): μὴ διὰ μνήμης ἔχων, μὴ διὰ γραφῆς ὁμιλῶν, μὴ δεικνὺς τὸ ἀρχαῖον φίλτρον ἀκίνητον.

20 Οἶδ' ὅτι πολλὰ ἐρεῖς πρὸς ταῦτα καὶ ἀπολογήσῃ· ἀλλ' ἐμὲ ἴσθι, ῥητορείας μὲν ἁπάσης καταφρονοῦντα, ἀληθείας δὲ τυγχάνοντα ἐραστήν. Εἰ μὲν οὖν, τοῦ ἀπολογεῖσθαι ἀφέμενος, ἐν πρωτολογίαις δὲ σαυτοῦ κατήγορος γεγονὼς ἐπὶ τὴν ἀρχαιολογίαν ἥξεις ἡμῶν (οὕτω γὰρ νῦν αὐτὸς ἐκλαμβάνω τοὔνομα), ἐγκλήματός σε ἀφήσω παντός. Ἢν δ' ἄλλως ποιήσῃς, οὔτε προσήσομαι, 25 καὶ τὴν γραφὴν ὧν ἐγκέκληκα, ἀκριβεστέραν ἐπάξω σοι.

LXXXII. Κριτὴς Μακεδονίας

varii? cf. Π LXII (Χασάνης) et Π LIII (Πόθος)

336. ⟨Τῷ κριτῇ Μακεδονίας (?)⟩

K-D 172 [L]

Ὁ δεῖνα ἐμὸς ἦν φίλος πάλαι καὶ γνώριμος· ζῶντι δὲ ἐν μηδενὶ δυνηθεὶς βοηθῆσαι αὐτῷ, νῦν τετελευτηκότι, πειρῶμαι ἐπικουρεῖν. Μᾶλλον δέ, ὁ μὲν ἤδη καὶ τοῦ βοηθεῖσθαι ἐστέρηται, ἡ δὲ αὐτοῦ γαμετὴ τὴν ὑπὲρ ἐκείνου ἐπικουρίαν ζητεῖ. Πλὴν εἰ ὅμοια αὐτῇ 5 προσγενήσεται καὶ ἐν Μακεδονίᾳ, οἷα καὶ ἐν τῷ Λυκανδῷ, ἅμα τῷ ἰδεῖν σε ὑποστρεψάτω.

Ἀξιῶ οὖν ἵνα περὶ πάντων διερευνήσῃς τῶν προσόντων ἐκείνῳ, ὧν τε οἴκοθεν εἶχεν, καὶ ὧν ἀπὸ τῶν τοῦ δημοσίου ἀπαιτήσεων προσεκτήσατο, καὶ μηδὲν ἀπολωλέναι. Προσέτι ἀξιῶ ἵνα καὶ εἴ τι 10 τῷ δημοσίῳ ἀπὸ τῆς ἐκείνου ὀφείλεται ἀπαιτήσεως, καὶ τοῦτο ἀπαιτηθῆναι τῇ προστάξει σου. Οἶδα μὲν γὰρ ὅτι δυσχερής ἐστιν ἡ τῶν ἀπολωλότων ἀνεύρεσις, καὶ μάλιστα ὅταν ὁ τὴν ἀπώλειαν ὑποστὰς ἀφαιρεθῇ διὰ θανάτου τὸν ἀπὸ τῆς γλώττης ἔλεγχον. Ἀλλ' ἐπειδὴ τῇ εἰλικρινεῖ φιλίᾳ καὶ τῷ στερρῷ τῆς φρονήσεως 15 εὐπόριστα καὶ τὰ ἄπόριστα πέφηνε, ἀμφότερα δὲ τῇ σῇ ψυχῇ μεμαρτύρηται, εὖ οἶδα ὅτι πάντα μὲν ἐξετάσεις ἐπιμελῶς, πάντα

ep. 336 L 95r–v; tit. scripsi: ⟨κριτῇ τινι⟩ K-D ‖ **4** αὐτῇ corr. K-D: αὐτῷ L
5 Λυκανδῷ corr. K-D: Λικανδῷ L

δὲ εὑρήσεις ἀνελλιπῶς· καὶ οὔθ’ ὁ δημόσιος στερηθήσεται τῶν ἰδίων, οὔτε ὁ ἐκείνου βίος εἰς παντελὲς ἀφανισθήσεται.

337. Τῷ κριτῇ Μακεδονίας

ad Pothum (Π LIII)?

S 50 [P]

Ἡ φιλόκαλός σου ψυχή, περίβλεπτε κύριε μου καὶ ἀδελφὲ ἠγαπημένε, οἴκοθεν τὴν πρὸς τὰ καλὰ σύνεσιν ἔχουσα, οὔτε φωνῶν δεῖται τῶν ἔξωθεν, οὔτε γραμμάτων, οὔτε ἄλλως τῶν ἐπὶ ταῦτα παρορμώντων καὶ τὴν τούτων ὑποτιθεμένων φιλίαν καὶ δίωξιν. Διὰ ταῦτα οὐ πάλαι σε περὶ τοῦ ἐπισκόπου Πανίου 5 προεθυμήθημεν ἀξιοῦν, εἰδότες ὡς αὐτὸς οἴκοθεν οἰκειώσῃ τὸν ἄνδρα σαυτῷ, καὶ τῆς σῆς ἐν μετοχῇ ποιήσεις μεγαλοφροσύνης καὶ συνέσεως. Ἔστι μὲν γὰρ καὶ ἄλλως καλός, ἀρχικαῖς δὲ φιλίαις καὶ μάλιστα προσφυέστατος, τῷ τε γλυκεῖ τοῦ ἤθους καὶ τῷ πολιτικῷ τοῦ φρονήματος· οὐ γὰρ ἱερᾶσθαι θεῷ μόνον δεδύνηται, 10 ἀλλὰ καὶ ἀνθρώποις προσομιλεῖν δεξιῶς, καὶ πρὸς ἄμφω κατὰ τὸ ἶσον μέτρον μερίζεσθαι εὐφυῶς.

Μὴ θαυμάσῃς δέ, εἰ μὴ ἀξιώσας πρότερον περὶ τοῦ ἀνδρὸς τῶν αἰτιῶν ἕνεκα ὧν εἴρηκα, ἀθρόον νῦν μεταβέβλημαι· μὴ γὰρ βουλόμενος ἀσυντελὴς αὐτῷ φανῆναι καὶ φίλος μέχρις ὀνόματος, ὃ δὴ 15 προείληφε, τοῦτο διὰ τοῦ παρόντος αὐτῷ μνηστεύομαι γράμματος, τὴν σὴν φημὶ καλοκἀγαθίαν, καὶ τὸ οἰκείως πρὸς τὸν ἄνθρωπον ἔχειν, καὶ τὸ μὴ ἐν ἴσῳ τῶν ἄλλων λογίζεσθαι, ἀλλὰ νέμειν τι πλέον αὐτῷ τῆς σῆς δικαστικῆς ἰσχύος καὶ τοῦ ἀκριβοῦς σου φρονήματος, διά τε τἆλλα καὶ τὸ παρ’ ἡμῶν ἠξιῶσθαί σε. 20

5 Πανίου: cf. ODB 1571

ep. 337 P 200v–201r, O 288v, A 44v–45r; tit. O A: τῷ κριτῇ Μακεδόνων P S
1 φιλόκαλός P O S: φιλόσοφός A ‖ **1–2** περίβλεπτε – ἠγαπημένε O (cf. Malt[2],191) A: om. P S ‖ **2** τὰ καλὰ O A: τὸ καλὸν P S ‖ **3** ἄλλως O A: ἄλλων P S | ἐπὶ O A: πρὸς P S ‖ **5** ταῦτα P O S: τοῦτο A ‖ **11** δεξιῶς P O S: δεξιός A **16** τοῦτο – παρόντος O A: διὰ τοῦ παρόντος τοῦτο P S ‖ **20** ἠξιῶσθαί O A: ἀξιοῦσθαί P S

Ἀλλὰ δέδωκας περὶ οὗ ἀντιβολοῦμεν; Χάρισαι οὖν μοι βραχὺ τὴν σὴν γλῶτταν, καὶ πρὸς τὸν ἐπίσκοπον τοσοῦτον εἰπέ, ὅτι «διὰ τὸν ἀξιώσαντα, τὸ πλέον νέμω σοι τῆς αἰδοῦς».

338. ⟨Τῷ κριτῇ Μακεδονίας (?)⟩

eodem tempore ut Π 383 [vid. epistolarum ordinem in P]

S 149 [P]

Ὅλος ὁ Γάνος τὸ ὄρος ἐμοὶ μὲν πρεσβείαν πεποίηται διὰ τοῦ Πρώτου αὐτῶν τοῦ θαυμασίου καὶ τιμίου γέροντος. Ἐγὼ δέ σε ἀμεσιτεύτως ἀξιῶ, πρῶτα μὲν ἵνα δὴ αὐτὸν τὸν γέροντα τὸν τοῦ ὄρους Πρῶτον διὰ πάσης ἕξεις τιμῆς (εἰ γὰρ εἰς ὀφθαλμόν σου
5 ἔλθοι ὁ ἄνθρωπος, καὶ ὁμιλήσεις αὐτῷ, θαυμάσεις αὐτοῦ τὴν φύσιν)· ἔπειτα καὶ εἴ τις τῷ γέροντι χρεία τῆς σῆς βοηθείας ἐστὶν ἐν οἷς πεπίστευται πράγμασι, τὸν δυνατὸν τρόπον ἀνθέξῃ αὐτοῦ. Εἰ δὲ καὶ ἑτέρων τῶν τοῦ ὄρους μοναστῶν ὑπερασπίζειν δεδύνησαι, κοινωφελὲς ἀγαθὸν σαυτὸν πᾶσι κατάστησον· εἰ δὲ τοῖς
10 πράγμασιν ἐξαπορεῖς, ἀλλὰ τῇ γε ἐπιεικείᾳ καὶ τῷ χρηστῷ ἤθει εὐμενῶς τούτοις διάλεξαι· καὶ εἰ μὲν δύνῃ, πᾶσι τρόποις, εἰ δ' οὖν, ἑνί γε θεράπευσον.

339. Πρός τινα κριτὴν τυγχάνοντα Μακεδόνιον

K-D 7 [K]

Θάρσει τὸ ἐπ' ἐμοί, περιπόθητε ἄνερ: μήτε γὰρ ἅψαιτό σου Μῶμος, οὔτε μὴν ἅψεται. Τὸ μὲν γὰρ εὐχόμενος λέγω, τὸ δὲ καυχώμενος· ἦ γὰρ οὐ τολμήσει γλῶσσα βάσκανος ἐπὶ σέ, ἢ οὐκ ἰσχύσει ἀναισχυντήσασα· εἴτε γάρ τις ἐξ ἀριστερῶν ἐπιχειρήσει
5 βαλεῖν σε, αὐτὸς ἐκ δεξιῶν ἑστὼς ἀμυνοῦμαι· εἰ δὲ ἐκεῖνος ἐξ ὑπερδεξίων τὴν εἰσβολὴν ποιήσεται, ἐγὼ ἐξ εὐωνύμων αὐτῷ

1 ὁ – ὄρος: cf. TIB 12,374–376 ‖ **1–2** πρεσβείαν – γέροντος: cf. Π 383
1–2 μήτε – ἅψεται: cf. Soph. frg. 257 (Radt) οὐ γὰρ ἔσθ' ὅπως / σπουδῆς δικαίας μῶμος ἅψεταί ποτε etc. cf. etiam Π 375,35–40

22 τοσοῦτον O A: τοῦτο P S ‖ **ep. 338** P 222v; tit. scripsi ‖ **ep. 339** K 71v; tit. K K-D ‖ **3** ἦ scripsi: ἢ K K-D ‖ **6** ὑπερδεξίων corr. K-D: ὑπερδεξιῶν K

ἀντιστήσομαι· κἂν πολλαὶ χεῖρες εἶεν αἱ πλήττουσαι, ἀρκέσει πρὸς αὐτὰς μόνον ἡ ἐμὴ δεξιά· εἰ δὲ κατὰ μυριάδας αἱ γλῶσσαι προσβαλεῖν σοι τολμήσαιεν, ἀλλ᾽ ἐγὼ ὑπερφωνήσω ταύτας, εὐηχέστερον ἐκείνων φθεγγόμενος. 10

Θαρρούντως οὖν ἔχου τῶν πραγμάτων καὶ τὴν μέσην ὁδὸν χώρει, μήτε πᾶσιν ὑπείκων, μήτε πρὸς ἅπαντας ἀνθιστάμενος.

LXXXIII. Κριτὴς τῶν Ὀπτιμάτων

varii?

340. Τῷ κριτῇ τῶν Ὀπτιμάτων

K-D 51 [L]

Οὐ πάνυ τι χαλεπόν, κῦρ μου, τὸν εὐτυχοῦντα τῷ πλείονι κατά τι μέρος ἔλαττον ἀτυχεῖν· ὅταν δέ τις πρὸς οἷς ἀφήρηται κινδυνεύῃ καὶ ὃ δοκεῖ ἔχειν ἀφαιρεθῆναι, τοῦτο παγχάλεπον.

Ὁποῖα δὴ πέπονθεν ὁ ἡμεδαπὸς φίλος, ὁ νῦν μὲν τό, πάλαι δὲ τό· τούτῳ γὰρ ἀπολωλεκότι πάντα, μερίς τις ὀλίγη, καὶ αὕτη 5 ἀλλοτρία, εἰς παραψυχὴν καταλέλειπται, κτηματίτζιον λυπρότατον μηδὲν ἔχον ἐν τῇ κατὰ σὲ ἐπαρχίᾳ, ἔχουσα. Ἀλλ᾽ οἵ γε χωρῖται τὰ εἰωθότα καὶ ἐπὶ τούτῳ τολμῶσιν.

Εἰ μὲν δέδοται μὴ ἐπέχεσθαι τὸν χωρίτην ἀδικεῖν ἐθέλοντα, ἔστω τὸ τόλμημα ἀνεκδίκητον· εἰ δ᾽ ὁ νόμος καὶ κατὰ τούτου 10 ἰσχύει, γενοῦ σὺ τοῦ νόμου μὲν ὑπέρμαχος, τῷ δὲ ἀδικουμένῳ σύμμαχος· καὶ ἀπάλλαξον τὸν ἄνθρωπον γειτόνων πονηρῶν, (πῶς

11 τὴν – ὁδὸν: cf. Greg. Naz. Συντακτήριος = Or. 42,16 τὴν μέσην βαδίζοντες καὶ βασιλικήν et Epist. 165,2 οὔτε τὸ λίαν ἀπαθὲς ἐπαινῶ, οὔτε τὸ ἄγαν περιπαθές· τὸ μὲν γὰρ ἀπάνθρωπον, τὸ δὲ ἀφιλόσοφον. ἀλλὰ δεῖ τὴν μέσην βαδίζοντα, τῶν μὲν ἄγαν ἀσχέτων φιλοσοφώτερον φαίνεσθαι, τῶν δὲ φιλοσοφούντων ἀμέτρως ἀνθρωπικώτερον. cf. etiam Psel. Χρονογραφία VI,173 et VII,163 (=VIIb42), Ἱστορία σύντομος 105, et Π 100,71–72 et Π 120,50–51 ‖ **6–7** κτηματίτζιον λυπρότατον: cf. Hom. Od. 13,243 λυπρή (scil. γαῖα) cum Π 299,4 γήδιον δέ τὸ λυπρότατον

ep. 340 L 29r–v; tit. L K-D ‖ **2** κινδυνεύῃ K-D: κινδυνεύει L ‖ **6–7** λυπρότατον L: λυπηρότατον K-D

ἂν δειξαίμην τὸ τῆς κακίας αὐτῶν κεφάλαιον εἰ μὴ οὕτως ἐρῶ;) χωριτῶν.

341. Τῷ αὐτῷ

Τῷ κριτῇ τῶν Ὀπτιμάτων

K-D 52 [L]

Φίλος τίς μοι τῶν ἐνταῦθα κατὰ ψυχὴν ἠξίωσέ με περὶ τοῦ δεῖνος, ἀπὸ χωρίου τοῦ δεῖνος τυγχάνοντος, ἀδικουμένου ἐπὶ τόποις τισὶ παρὰ τῶν οἰκητόρων χωρίου δεῖνος, ὡς ἂν (εἴ που δυναίμην) βοηθήσαιμι τῷ ἠδικημένῳ.
5 Διὰ τοῦτο ἀξιῶ σε ἵνα ἴδῃς εἰ ἔχει δικαιώματα ὁ ἄνθρωπος, καὶ δικαιώσῃς αὐτόν, κατὰ τὴν τούτων περιοχήν· οὐ γὰρ περὶ ἀδικοῦντός σε ἀξιῶ, ἀλλὰ περὶ ἀδικουμένου. Πλήρωσο οὖν μοι καὶ φίλου λόγον, καὶ δικαιοσύνης, καὶ τυχέτω τῶν δικαίων ὁ ἀδικού-μενος ἄνθρωπος, ἵνα μετὰ τοῦ δεῖξαί σε οἷος φίλος ἐμοὶ τυγχάνεις,
10 ἕξῃς καὶ μισθὸν δικαιοκρισίας παρὰ τῷ θεῷ.

342. Τῷ κριτῇ τῶν Ὀπτιμάτων

S 55 [P]

Σοφωτάτη καὶ δικαιοτάτη ψυχή, οἵων μὲν ἐπειράθη κακῶν ὁ ἄνθρωπος οὗτος, καὶ οἵαις περιπέπτωκε συμφοραῖς ἀπὸ συκοφαντίας ἀνθρώπων τὸ πλεῖστον, ἴσως οὐδὲ αὐτὸς ἀγνοεῖς. Ἔγωγ᾽ οὖν παρατυχὼν αὐτῷ κρινομένῳ πολλάκις, ἐθαύμασα τὴν
5 τῶν πονηροτάτων ἀνθρώπων ἰσχύν· καὶ (νὴ τὴν ἱεράν σου ψυχήν!) εἰ μὴ βραχύ τι τούτῳ συνεπικούρησα, διεφθάρη ἂν παντάπασι ταῖς ἐκείνων γλώσσαις παρασυρείς. Μόλις δὲ νῦν τῶν περιεχουσῶν αὐτὸν διωλισθηκὼς περιστάσεων, τὴν πατρίδα κατέλαβε, καὶ πρὸς σὲ τὸν σώζειν δυνάμενον εὐθὺς ἐξέδραμεν.
10 Ἴδε οὖν εὐμενῶς καὶ οἰκτείρησον, καὶ τὸν δυνατὸν τρόπον ἐπικούφισον αὐτῷ τὸ βάρος τῶν ὀδυνῶν, καὶ τῇ συνήθει δικαιο-σύνῃ χρησάμενος, δικαίαν αὐτῷ ποίησον περὶ ὧν κατηγορήθη,

ep. 341 L 29v; tit. L K-D ‖ **ep. 342** L 53v–54r, P 202r; tit. L: om. P S
11 ὀδυνῶν L: ἀλγεινῶν P S

τήν τε διαίρεσιν καὶ τὴν ἀπόφασιν· οὗτος γὰρ ὥς γέ μοι κατεπηγ-
γείλατο, βίον τινὰ ἀπραγμονέστερον ἀνθαιρήσεται, καὶ ἀπερίερ-
γον ζήσει ζωήν, καὶ οὐδεμίαν ἀπό γε τοῦ νῦν παρέξει τοῖς 15
συκοφαντεῖν αὐτὸν βουλομένοις λαβήν.

343. Τῷ αὐτῷ

Τῷ κριτῇ τῶν Ὀπτιμάτων

K-D 106 [L], S 60 [P]

Καὶ βραχεῖα ἡ ἐπιστολή, λογιωτάτη μοι ψυχή, καὶ βαρεῖα. Διὰ
τοῦτο γοῦν, οὐδὲ εἰς μῆκος ἐκτέταται, ἵνα μή σοι φορτικώτατος
δόξω, ἐπεργαζόμενος τὸ ἀβούλητον· ἀπείργω γάρ σε καθίσματος
(βαβαὶ τῆς βαρύτητος!), καὶ ταῦτα δικαστὴν τοῦ Ὀπτιμάτων
τυγχάνοντα θέματος, μόλις ἀρκοῦντος καὶ ταξεώτῃ ἑνί. 5

Πλὴν οὕτως ἐγὼ τὸν λόγον ποιοῦμαι. Ὁ δέ με περὶ τῆς
τοιαύτης ἀξιῶν ἀξιώσεως οὐκ ἀφαιρεῖταί σε καθίσματος (ὥς
φησιν), ἀλλὰ μὴ καινοτομεῖν παρακαλεῖ. Εἰ μὲν οὖν αὐτὸς
ἀληθεύει, εἰς τὸ ἀβαρὲς τὸ βαρὺ περιέστηκεν· εἰ δὲ ἴσως ἐγώ, εἰ
μὲν δυνατόν, τὸ πᾶν ἀποτίναξον ἄχθος· εἰ δ᾿ οὖν, ἐπελάφρισον 10
τοῦτο τῷ αἰτοῦντι, εἰ μὲν βούλει κατ᾿ ἰσομοιρίαν, εἰ δ᾿ οὖν—ἀλλ᾿
αὐτὸς μαθηματικῶς τοῦ μερισμοῦ τὸν λόγον ποίησον.

344. Τῷ αὐτῷ

Τῷ κριτῇ τῶν Ὀπτιμάτων

S 75 [P]

Πολλὰ δύνασθαι φιλίαν πεπίστευκα, καὶ μάλιστα εἰ τύχοι ἐν
δραστηρίοις καὶ φρονίμοις ῥιζωθεῖσα ψυχαῖς· ὁποία δὴ καὶ ἡ σὴ
πέφυκε συνετωτάτη καὶ ἐν ἀπόροις εὐπορωτάτη.

13 τὴν L: om. P S ‖ **14** ἀνθαιρήσεται L: διαθήσεται P S ‖ **ep. 343** L 54r, P 202v–203r, V 79r, v[4] 129r (= V), r fasc. 20 (= v[4]); tit. L: τῷ κριτῇ τῶν Ὀπτιμάτων P S τοῦ αὐτοῦ ἑτέρα ἐπιστολή V ⟨τῷ κριτῇ τῶν Ὀπτιμάτων⟩ K-D ‖ **1** καὶ[1] L K-D: om. P V S | λογιωτάτη – ψυχή P V S: om. L K-D ‖ **2** τοῦτο : ταῦτα S ‖ **11** τοῦτο – αἰτοῦντι L K-D: τῷ αἰτοῦντι τὸ βάρος P V S **12** ποίησον L K-D: ποιήσεις P V S ‖ **ep. 344** L 54r–v, P 206r; tit. L: om. P S **2** δραστηρίοις – φρονίμοις L: φρονίμοις καὶ δραστηρίοις P S

Προοιμιάζομαι δὲ ταῦτα ἀξίωσίν σοι μέλλων προτεῖναι περὶ
5 τοῦ παρόντος Βασιλείου. Ὃς δὴ εὐγενέστατος ὢν ἀνθρώπων, καὶ
συνετώτατος, προσθήσω δὲ καὶ ἀνδρειότατος, οὐκ ἀρκοῦσαν ἔχει
τὴν χορηγίαν τῶν ἀναγκαίων· εἰ δὲ καὶ ἀρκοῦσαν, ἀλλὰ μόλις καὶ
πόνῳ συντόνῳ καὶ καμάτῳ πολλῷ. Ἀλλ' ἐπιπεφόρτισται αὐτῷ
συνωνή, ἣν ἀχθηφορεῖν μὴ δυνάμενος, μικροῦ δεῖν ἄφωνος εἰς γῆν
10 καταπέπτωκεν.

Ἡ μὲν οὖν ἀξίωσις, ἐπελαφρῦναι αὐτῷ τὸ ἄχθος τοῦ φορτίου·
εἰδὼς δὲ ὅσα μέλλεις ἐρεῖν εὔλογα πρὸς τὴν τῆς ἀξιώσεως παραί-
τησιν, τοῦτό σοι μόνον προστίθημι, ὅτι πρὸς τὴν σὴν πλατεῖαν
φρόνησιν, ἄπορον οὐδὲν οὐδὲ ἀδύνατον. Πλατυνεῖς δὲ αὐτὸν ἔτι καὶ
15 τῷ μέτρῳ τῆς φιλίας ἡμῶν. Κἂν οὕτω ποιήσῃς, εὐτύχησεν ἐν
ἀτυχίαις ὁ Μελισσηνός, δεσπότου τυχὼν νικᾶν εἰδότος τὴν τῆς
τύχης δυσχέρειαν.

345. Τῷ αὐτῷ

Τῷ κριτῇ τῶν Ὀπτιμάτων

S 76 [P]

Οὐδὲν ὡς ἔοικε, κατὰ τὸν παρόντα χρόνον, τοῦ ἀναισχυντεῖν
ἰσχυρότερον· οἱ γὰρ τῆς Ἀλέας ἔποικοι οὔτε ἡμῶν φείδονται, οὔτε
σοῦ, οὔτε τοῦ δικαίου, οὔτε τοῦ θεοῦ· ἀλλὰ παντὶ τρόπῳ
σπουδάζουσι τοὺς Λυσοκρανίτας ἐξοικίσαι τοῦ ἰδίου χωρίου· καὶ
5 διωκόμενοι γὰρ καὶ τυπτόμενοι, καὶ καταδικαζόμενοι, οὐ
παύονται τοῦ ἐγκαλεῖν.

Ὅμως καὶ αὖθις ἐκρίθη παρὰ τοῦ δικαιοτάτου βασιλέως
ἡμῶν, καὶ ἐκράτησε τὸ δόξαν ἐμοὶ καὶ ἀποφανθέν. Εἰ μὲν οὖν
στέρξουσι τὴν καταδίκην κἂν νῦν οἱ Λυσοκρανῖται, ἔσται τὰ κεκρι-
10 μένα κύρια· εἰ δ' οὖν, αὖθις φλυαρείτωσαν. Τῆς σῆς δέ ἐστι καὶ

5 Βασιλείου (Μελισσηνοῦ. cf. infra l. 16): cf. Seibt I 261 ‖ **7** τοῦ – βασιλέως: Constantinus X Ducas (imperator: 23/24.XI.1059 – 22/23.V.1067) (Π XVIII)?

5 παρόντος Βασιλείου P S: τοῦ δεῖνος L | ἀνθρώπων P S: ἄνθρωπος L ‖ **7** εἰ – ἀρκοῦσαν P S: om. L ‖ **9** συνωνή prop. Oikonomidès 1996,71(92): συγγομή L P S e quo falsum LBG lemma? ‖ **16** Μελισσηνός P S: δεῖνα L ‖ **ep. 345** L 54v, P 206r; tit. L: om. P S ‖ **2** ἔποικοι L: ἐπίσκοποι P S ‖ **4** Λυσοκρανίτας P S: δεῖνας L ‖ **9** οἱ Λυσοκρανῖται P S: om. L ‖ **10** σῆς δέ L: δὲ σῆς P S

φρονήσεως καὶ δυνάμεως καταναγκάσαι τούτους στοιχῆσαι τῷ δικαίῳ καὶ ἄκοντας.

LXXXIV. Κριτὴς τοῦ Ὀψικίου

varii? cf. Π XX (Ζώμης) et Π LIII (Πόθος)

346. Τῷ κριτῇ τοῦ Ὀψικίου

K-D 81 [L]

Ἐλαφρὸν πρᾶγμα δι' ἐμοῦ αἰτεῖταί σε ὁ τοῦ Μελίου βεστάρχης, μὴ ἐνοχληθῆναι αὐτόθι τὴν μονὴν αὐτοῦ ἕνεκεν τοῦ ὀφείλοντος ἀπαιτηθῆναι μονοπροσώπου. Αὐτὸς ἐνταῦθα τοῦτο ἀποδώσειν κατεπαγγέλλεται· καὶ οὐ ψεύσεται ὁ ἄνθρωπος. Ἐγὼ δὲ τούτῳ ἐπέσκηψα, καὶ γραφὴν πρὸς σὲ ποιήσασθαι περὶ τῆς τοιαύτης 5 ἐπαγγελίας καὶ ἐπιδόσεως, καὶ ὑπογράψαι ταύτην δι' οἰκείας χειρός, ἵνα ἔχοις τὸ ἀναμφίβολον. Μᾶλλον μὲν οὖν συντήρει τὸ μοναστήριον τοῦ ἀνθρώπου τούτου καὶ τὰ ὑπ' αὐτὸ κτηματίτζια· ἀπροστάτευτος γάρ ἐστιν παντάπασιν ὁ ἄνθρωπος, καὶ δεῖται πολυχειρίας εἰς σύστασιν τοῦ οἰκείου βίου. 10

Οἷς μὲν οὖν ἐστι δύναμις ὑπὲρ αὐτοῦ ἀξιοῦν, ἀξιώσουσι καὶ ἀξιοῦσιν ὡς ὁρᾷς· οἷς δὲ τὰς ἀξιώσεις πληροῦν, πληρούτωσαν, ἵνα καὶ τοὺς ἀξιοῦντας θεραπεύσωσι, καὶ τόν περὶ οὗ ἡ ἀξίωσις, ὠφελῶσιν.

347. Τῷ αὐτῷ

Τῷ κριτῇ τοῦ Ὀψικίου

K-D 107 [L]

Πένης μὲν ὁ ἐπιδιδούς σοι τὸ γράμμα, ἀλλ' ἐμοὶ προσήκων, καὶ διὰ ταῦτα παρὰ σοὶ κριτῇ πλουσιώτατος καὶ τρισόλβιος. Ἀλλ'

LXXXIV cf. Cheynet 1999,240

ep. 346 L 40v; tit. L K-D ‖ **ep. 347** L 56r–v; tit.: τῷ αὐτῷ (scil. τῷ κριτῇ τοῦ Ὀψικίου = Π 198) L ⟨τῷ κριτῇ τοῦ Ὀψικίου⟩ K-D

ὅμως πένης, καί τινι γειτονοῦντι ἐπηρεάζειν αὐτῷ βουλομένῳ ἐκκείμενος· ἀφαιρεῖται γὰρ τὰς συκαμίνους αὐτοῦ, καὶ τῶν
5 προσηκόντων τοπίων ἀλλοτριοῖ. Ὁ δὲ κατέφυγε μὲν ἐπὶ τὸν μέγιστον ἡμῶν αὐτοκράτορα, καὶ γραφὴν εἰς σὲ περὶ τούτου ἐπορίσατο. Κατέφυγε δὲ καὶ πρὸς ἡμᾶς, καί σοι ταύτην τὴν φιλικὴν ἀξίωσιν ἔσχηκεν· ἀξιοῦμεν γὰρ εὐμενῶς τε αὐτὸν ἰδεῖν δι' ἡμᾶς, καὶ οἶκτον λαβεῖν, ὧν πέπονθέν τε καὶ ὁσημέραι ὑφίσταται,
10 παῦσαι μὲν τὸν ἀδικοῦντα αὐτὸν ἢ καὶ χρημάτων ζημιῶσαι ἐφ' οἷς αὐτὸν ἐζημίωσε, ἀποκαταστῆσαί τε αὐτῷ καὶ ἅπερ ἀδίκως ἀφήρηται, ἔπειτα καὶ ὑπομνήματί σου κατοχυρῶσαι τὸν ἄνθρωπον, τοῦ μηκέτι αὖθις ἐξ ἐφόδου παθεῖν τὸν ἀδικοῦντα αὐτόν.
15 Ταῦτα δὲ πάντα καὶ τὸ βασιλικὸν ἴσως σοι γράμμα παρακελεύεται. Ἀλλ' ἡμεῖς οὐ τῇ ἐκεῖθεν δυνάμει, ἃ πράξεις ὑπὲρ τοῦδε λογισόμεθα, ἀλλὰ τῇ πρὸς ἡμᾶς σου φιλίᾳ τὰ πραχθησόμενα ἡγησόμεθα.

348. Τῷ αὐτῷ

Τῷ κριτῇ τοῦ Ὀψικίου

K-D 108 [L]

Ἀναμνήσθητι ὅτι ἡ τῶν Μεγάλων Κελλίων λαύρα ὑπὸ τὴν ἐμὴν χεῖρα τελεῖ. «Ἀναμνήσθητι» δὲ ἔγραψα, ἵνα μή τις τῶν ταξεωτῶν καὶ αὖθις ἐπηρεάσῃ αὐτήν. Ἡ μὲν γὰρ δικαστοῦ καθίσματος ἠλευθέρωται, καὶ πάσης ἁπλῶς ὑποδοχῆς· καὶ μαρτυρεῖ τοῦτο
5 σύμπας ὁ Ὄλυμπος· καὶ τῶν πρὸ ἐμοῦ δὲ χαριστικαρίων, οὐδεὶς ἐπηρεάσθη ποτὲ εἰς κριτοῦ ὑποδοχήν, ἀλλ' οἵ γε προελεύσιμοι ἀνεμπόδιστον ἔχουσι τὴν γλῶσσαν πρὸς πᾶσαν συκοφαντίαν. Πέρυσι γοῦν σε μικροῦ δεῖν πέπεικα ἂν ἐκεῖθέν τι λαβεῖν, εἰ μὴ τὸ ἐμὸν προέλαβε γράμμα.
10 Ἀναμνήσθητι γοῦν καὶ τοῦτο, καὶ τὴν πρὸς ἡμᾶς σου ἀγάπην ἧς οὐδὲ ἐπελαθόμην ποτέ· καὶ τοῖς ταξεώταις ἐπίταξον τῆς λαύρας ἀποχωρεῖν, ἵνα ἡμεῖς μηδέποτε ἀποχωρῶμεν τῶν σῶν.

1 ἡ – λαύρα: cf. Janin 1975,160–161; cf. Π 198,15, Π 349,2–3, et Π 360,44

ep. 348 L 56v; tit.: L K-D

349. Τῷ αὐτῷ
Τῷ κριτῇ τοῦ Ὀψικίου. ad Zomem (Π xx) [cf. Ljubarskij 2004,156]?

S 77 [P]

Διὰ σὲ τὸν ἐκ μέσης ἡμᾶς ἀγαπῶντα ψυχῆς, καὶ ἑτέραν ἀλλοτρίαν κτῆσιν προσεκτησάμεθα. Τίνα ταύτην; τὴν ἐν τῷ Ὀλύμπῳ λαύραν τῶν Μεγάλων Κελλίων. Ἐπεκτησάμεθα δέ, ἀκηκοότες ὡς ἐλευθέρα ἐστὶν καὶ καθίσματος δικαστικοῦ, καὶ τῶν γιγνομένων ἐπηρειῶν· εἰ γὰρ καὶ βραχεῖα ἐστὶ ἡ ἀπὸ τῶν κτηματιτζίων αὐτῆς 5 πρόσοδος, ἀλλ' ἡμεῖς ἐπειδὴ ἀνεπηρέαστόν ἐστι τὸ ταύτης γεώργιον, καὶ ἥ τε ἄμπελος τῇ μονῇ τὸν βότρυν καρποφορεῖ, ἥ τε αὖλαξ τὸν στάχυν τοῖς μοναχοῖς ἀναδίδωσιν, ἀλλ' οὐκ εἰς διάρπαγμα κεῖται τῶν ἐπηρεάζειν αὐτὰ βεβουλημένων, διὰ ταῦτα προθύμως προσηκάμεθα τὴν βραχεῖαν καὶ ἀνεπηρέαστον τῶν 10 κτημάτων συνεισφοράν· ἔστι γὰρ παρὰ τῇ λαύρᾳ βασιλικὸν ἔγγραφον, πᾶσαν πονηρὰν κατὰ τῆς μονῆς ἀναστέλλον ὑπόνοιαν. Ἀλλ' ὁ οἰκοδεσπότης, ᾧ ἂν ἐγχειρίσῃ τὴν τοῦ οἰκέτου ἐπίσκεψιν, οὐ τὰ περιῳκοδομημένα μόνον, ἀλλὰ μὴν καὶ τὰ ὕπαιθρα ἀνατίθησιν, ἢ μᾶλλον οὐ τούτων, ἀλλὰ κἀκείνων ἐμπιστεύει τὴν 15 φυλακήν.

Τοιοῦτόν γοῦν τι κἀγὼ ποιεῖν νῦν βεβούλημαι καὶ σοι πάντα τὰ ἐμὰ ἀνατίθημι, τὰ Καθαρά, τὸ Μηδίκιον, τὰ Κελλία, ὀνόματα (μὰ τὴν ἱεράν σου ψυχήν!) μεγάλα καὶ πολυθρύλλητα, ἐπιζήμια δὲ μᾶλλον ἢ ἐπικερδῆ, καὶ τότε κύκλῳ κατασφαλιζομένων ἡμῶν 20 ταῦτα, καὶ ἀθιγῆ ποιούντων πάσαις χερσίν. Ἔγωγ' οὖν εἰ μή σε αὐτόθι ἔχοιμι δικαστήν, ἀποταξαίμην ἂν πᾶσιν αὐτοῖς· ὁπότε γὰρ σοῦ αὐτὰ περιέποντος οὐδὲν παρ' οὐδενὸς αὐτῶν κομιζοίμεθα,

2–3 τὴν – Κελλίων: cf. Janin 1975,160–161; cf. Π 198,15, Π 348,1, et Π 360,44 **18** τὰ Καθαρά: cf. Janin 1975,158–60; cf. Π 360,44 et Π 484,25–26 | τὸ Μηδίκιον: cf. Janin 1975,165–168 et Mango–Ševčenko 1973,240–242 et Π 85,7, Π 91,8–9, Π 243,22, Π 258,1, Π 350,1–2, et Π 360,44–45

ep. 349 L 56v–57r, P 206r; tit. L: om. P S ‖ **3** λαύραν L: λάβραν P S **4–5** καὶ[1] – ἐστὶ L: om. P S ‖ **5** κτηματιτικίων (sic) S e quo falsum LBG lemma ‖ **6** ἡμεῖς L: om. P S ‖ **9** ἐπηρεάζειν αὐτὰ L: ταύτην ἁρπάζειν P S **10** προθύμως L: προθύμως ἡμεῖς P S ‖ **11** λαύρᾳ L: λάβρᾳ P S ‖ **14** τὰ περιῳκοδομημένα L: τὸν περιῳκοδομημένον P S | μὴν P S: om. L ‖ **17** γοῦν L: om. P S | ποιεῖν – βεβούλημαι P S: ποιῶ L ‖ **20** κύκλῳ L: κύκλωσε P S

ποία ἐλπίς ἐκεῖθέν τι προσλήψεσθαι, ἑτέρου ταῦτα διαμοχλεύον-
25 τος;

350. Τῷ κριτῇ τοῦ Ὀψικίου

K-D 140 [L]

Μοναχὸς μὲν ἀπὸ τοῦ Μηδικίου οὗτος· τὸ δὲ Μηδίκιον σόν ἐστι μοναστήριον, ἐπειδήπερ ἐμόν, ὀνόματος μὲν παρὰ πολλοῖς ἠξιωμένον, ἐμοὶ δὲ ἀνώνυμον πάντῃ δοκεῖ, εἰ μὴ ὅτι Μηδίκιον ἐπωνόμασται. Καὶ εἰ μὴ σὺ τὴν χεῖρα ὑπεῖχες αὐτῷ, παντάπασιν
5 ἂν ἐξωλόθρευτο.

Ἥκουσιν οὖν ἐμοὶ ὁσημέραι οἱ μοναχοί, δύο ταῦτα εὐχαριστοῦντες, ὅτι τε δεσπότης αὐτοῖς ἐγώ εἰμι καὶ ὅτι φίλῳ τοιούτῳ τὴν τῆς μονῆς ἐπέτρεψα ἐπιμέλειαν. Τοῦτο γοῦν αὐτό σοι τὸ γράμμα γνωρίζει· καὶ προσέτι αἰτεῖ, τῆς οἰκείας τε γνώμης
10 ἔχεσθαι, καὶ τῆς αὐτῆς προνοίας τοὺς μοναχοὺς ἀξιοῦν, καὶ τό γε ἐπ' αὐτοῖς καὶ ἐμοὶ ἄσιτόν σε ἅπαξ τοῦ ἔτους διημερεύειν.

Τοῦτο μὲν οὖν ἤδη καὶ πεποίηκας καὶ ποιεῖς. Τὴν δὲ ἐπὶ τῷ ὕδατι δίκην ἐδίκασας μὲν καὶ ἀπεφήνω τοσοῦτον, ὅσον τοὺς μοναχούς, ἀποδείξαντας ἀρχαίαν αὐτοῖς εἶναι τὴν τοῦ ὕδατος
15 δεσποτείαν, νομέας ἀντὶ δεσποτῶν ἀποφανθῆναι· ἔδεισας γὰρ (ὡς οἶμαι) τὸν ἀφήλικα καὶ διὰ ταῦτα μετρίαν αὐτῷ τὴν καταδίκην ἐπήνεγκας. Ἀλλ' εἰ μὲν ὁ πατήρ, ἀδικήσας, αὐτῷ τὸ ἐξ ἀδικίας προσγεγενημένον ἐκληροδότησεν, ἐχρῆν ἄρα μὴ ἀπαντήσαντα, εἰς τὸ δικαστήριον πολλάκις προσκεκλημένον, ἐς ἀγωγήν τινα
20 τοῦτον ὕστερον ταμιεύσασθαι. Ἐπεὶ δὲ πέρυσιν οὔπω αὐτὸς ὁ ἀφῆλιξ τὸ τῆς μονῆς κέκλοφε δίκαιον καὶ τούτου φανερὰ ἡ ἀπόδοσις, μάτην (ὡς οἶμαι) εἰ παντάπασι καταδικάσαι πεφόβησαι.

Σκέψαι οὖν κατὰ σεαυτὸν αὖθις τὸ πρᾶγμα. Καὶ εἰ μὲν οὕτως ὑπολήψῃ, ὥσπερ καὶ αὐτὸς ὑπείληφα, μεταποίησόν σου τὸ τῆς
25 πράξεως ἔγγραφον· καὶ ἀπόδος τῇ μονῇ πληρέστατον τὸ δικαίωμα. Εἰ δ' οὖν, ἀλλ' ὑπόγραψον τὸ γενόμενον πρακτικόν· καὶ

1–2 τὸ – μοναστήριον: cf. Janin 1975,165–168 et Mango–Ševčenko 1973,240–242 et Π 85,7, Π 91,8–9, Π 243,22, Π 258,1, Π 349,18, et Π 360,44–45

ep. 350 L 68r–v; tit. L K-D

ἔστω καινότητος ἄκουσμα, ὡς ὁ τελεώτατος τῶν φιλούντων ἡμᾶς ἀτελῆ τὴν χάριν τοῖς τελείοις δεδώρηται, διὰ τὸν ἀτελῆ μὲν τὴν ἡλικίαν, τελεωτάτην δὲ τὴν πονηρίαν.

351. Τῷ αὐτῷ

Τῷ κριτῇ τοῦ Ὀψικίου

K-D 187 [L, V]

Πυνθάνῃ μου τί δήποτε τῶν κλινῶν τὰ διάφορα σχήματα βούλεται, καὶ διατί τὰ μὲν πρὸς τῇ κεφαλῇ μέρη μετεωρότερα, τὰ δὲ πρὸς τοῖς ποσὶ ταπεινότερα, καὶ τί δήποτε, ἐπὶ τῶν σοβαρῶν μάλιστα οἰκιῶν, τὰ μὲν πέριξ οὐδὲν πλέον ὅ τι μὴ ξύλα εἰργασμένα ὑπὸ τερέτρου τε καὶ πελέκεως, τὸ δὲ μέσον ἀκριβῶς 5 σχοινίοις διάπλοκον· «τί γὰρ» φαίης ἂν «μὴ τὸ σύμπαν τοῦ σχήματος ἐκ θατέρου μόνον ἀλλὰ καὶ ἐκ θατέρου;»

Οἶμαι γοῦν ἐγὼ μηδεμίαν εἶναι πρὸς τὴν ἐρώτησιν φυσικωτέραν ἀπόκρισιν. Εἰ δέ τις ὡς ὁμολόγημα τιθείη τὸ σχῆμα Ἑλληνικῆς εἶναι περιεργίας, καὶ ὡς οὐδὲν τοῖς ἀνδράσιν ἐκ παρέργου τῶν 10 πάντων γέγονεν, εἰκάζω μηδ᾿ ἐν ᾧ καιρῷ καταδαρθάνειν ἡμᾶς χρεὼν ἐπιλελησμένους δεῖν εἶναι τοῦ τῆς κεφαλῆς ἀξιώματος, μηδὲ τὸ σύμπαν ὑπτίους ἀνακεκλίσθαι, ἀλλὰ καὶ τότε μετεωροτέρους εἶναι τὰ κρείττονα μέρη τοῦ σώματος, καὶ πρὸς οὐρανὸν καὶ κειμένους ἀνεγηγέρθαι. 15

Ὑπαγκώνια γοῦν διὰ ταῦτα ταῖς κλίναις δεδημιούργηται, καὶ προσκεφάλαια ἐπιτέθειται. Τρόπον γοῦν τινα καὶ κειμένοις ἡμῖν, στάσιν ἐπενόησαν οἱ σοφοί, καὶ συνανώρθωται τῷ σώματι ἡ ψυχή. Ἐπεὶ δὲ τὸ τῆς ἀνακλίσεως σχῆμα ἄλλο τι ἐδάφιον δοκεῖ γεηρόν, τέσσαρσι δὲ τμήμασι τὸ πρωτότυπον περιγέγραπται (ἑῴῳ τε 20 μέρει καὶ ἀρκτῴῳ, καὶ τοῖς ἀντικειμένοις), τὸ μὲν ὅσον μετεωρότερον τοῦ τῶν κλινῶν σχήματος τῇ ἄρκτῳ ἀπείκασται (μετεωρίζεται γὰρ καὶ αὕτη ἀπὸ τοῦ βορείου πόλου), τὰ δ᾿ ἄλλα τοῖς τρισὶ τμήμασι. Διὰ ταῦτα καὶ τὸ ἀντικείμενον ἐκείνῳ τεταπείνωται·

ep. 351 L 68v–69r, V 159v–160v, v[4] 219v–220r (= V); tit. L: τοῦ αὐτοῦ ἐπιστολή V ⟨τῷ κριτῇ τοῦ Ὀψικίου⟩ K-D ‖ **2** μέρη L K-D: om. V ‖ **4** πλέον L: om. V K-D ‖ **6** σύμπαν L: πᾶν V K-D ‖ **8** γοῦν V K-D: γὰρ L ‖ **10** ὡς L K-D: om. V ‖ **19** τὸ L K-D: om. V ‖ **20** τμήμασι L K-D: σχήμασι V ‖ **21** ἀρκτῴῳ L: τῷ ἀρκτῴῳ V K-D ‖ **23** αὕτη ἀπὸ L K-D: αὐτὸ ὑπὸ V

25 κάτεισι γὰρ ὁ νότιος πόλος ἀντικείμενος, τοῦ βορείου μετεωριζομένου· καὶ ἀνατολῆς μὲν ἂν ἔχοι λόγον, ἀφ' οὗ δεξιὰ κεκίνηται χείρ, δύσεως δέ, ἀφ' οὗ ἡ λαιά. Ἡ δὲ μέση διαπλοκή, ἐπειδὴ πολύκενόν ἐστιν ὕφασμα, τὸν ἀέρα εἰκότως ἐξεικονίζει· ἐξύφανται γὰρ καὶ οὗτος τρόπον τινὰ πολλὰς ἔχει κενότητας.

30 Ταῦτα εἰ μὲν οὕτως τοῖς πρώτως δημιουργήσασι τὰς κλίνας νενόηνται, ἔστω δὴ κατὰ τὴν ἐκείνων ἔννοιαν διηρμηνευμένα· εἰ δ' ἀπολαυστικώτερον μᾶλλον, ἢ φιλοσοφώτερον ὁ τεχνιτευσάμενος τὴν κλίνην συνέθετο, ἀλλ' ὅ γε φιλόσοφος λόγος οὐκ ἐκ πηγῶν μόνον ἀρύεσθαι ὕδατα δύναται, ἀλλὰ καὶ ἐκ πετρῶν.

352. Τῷ κριτῇ τοῦ Ὀψικίου

K-D 142 [L], S 24 [P]

Εἰ μὲν οὖν τὴν κέδρον κατατινάσσῃς ἵν' ὀλολύξωσιν αἱ πίτυες, καὶ τύπτῃς τὸν λέοντα ἵνα φοβηθῶσιν αἱ κῦνες, ἐπαινῶ μὲν τὴν οἰκονομίαν, ζητῶ δὲ τὸ μέτρον τῆς ὑποκρίσεως. Εἰ δ' οὐδὲν ἠδικηκότα λυπεῖς, ἀδικεῖς μὲν νόμους, παρ' ὧν τὸ δικάζειν
5 δικαίως πεπίστευσαι, ἀδικεῖς δὲ φιλίαν, ἣν καὶ νόμων ὑπερτέραν τίθῃς. Ἀλλ' ἡμεῖς ἢν ἀφήσεις τὴν ὀργὴν τῷ νοταρίῳ, οὐδὲν ἠδικῆσθαι οἰησόμεθα· ἀλλὰ τὸ μὲν γενόμενον, ὁποῖον ἂν ᾖ, δικαίας κολάσεως θήσομεν, τὸ δὲ γενησόμενον, δι' ἡμετέραν

33–34 οὐκ – πετρῶν: cf. Exod.17,6 καὶ πατάξεις τὴν πέτραν, καὶ ἐξελεύσεται ἐξ αὐτῆς ὕδωρ. cf. Psel. Ὑπὲρ τοῦ νομοφύλακος κατὰ τοῦ Ὀφρυδᾶ = Or. for. 3,388, Λόγος τοῦ ὑπερτίμου ὃς ἐπικέκληται σελέντιος = Or. min. 4,159–160, Ἕτερος λόγος πρὸς … Κωνσταντῖνον τὸν Μονομάχον = Or. pan. 4,480–481, Ἀλληγορία τοῦ 'οἱ δὲ θεοὶ πὰρ Ζηνὶ …' = Phil. min. I 42,4–5, Εἰς τὸ 'πέρας τοῦ μυστηρίου …' = Theol. I 93,78–79, et II 284,18–19 et II 390,39 ‖ **1** τὴν – πίτυες: proverbium, cf. Zach. 11,2 ὀλολυξάτω πίτυς, διότι πέπτωκεν κέδρος cum e.g. Greg. Naz. Συντακτήριος = Or. 42,6 et Suda ο 192 ὀλολυζέτω πίτυς, ὅτι πέπτωκε κέδρος: τουτέστι τῶν ἰσχυρῶν πιπτόντων τὰ ἀσθενέστερα παιδευέσθωσαν καὶ σωφρονιζέσθωσαν

25 ἀντικείμενος L: ἀντικειμένως V K-D ‖ **27** ἐπειδὴ L: ἐπεὶ V K-D **28** ἐξύφανται V K-D: ἐξύφα^τ L ‖ **29** κενότητας L K-D: κατατομάς V ‖ **33** γε L K-D: τε V ‖ **ep. 352** L 70r–v, P 197r; tit. L K-D: om. P S ‖ **1** οὖν L K-D: om. P S ὀλολύζωσιν S ‖ **1–2** τὴν – λέοντα P S: [ca. 60 litt.] L om. K-D ‖ **2** αἱ κῦνες P S: οἱ λέοντες L K-D ‖ **6** τίθῃς L K-D: τιθῇς P ἀντιθῇς S

ἀξίωσιν, ἐπιεικοῦς προαιρέσεως. Καὶ εἰ μὲν βούλει, χρῶ πάλιν μετὰ τὴν ἐλευθερίαν τῷ νοταρίῳ. Εἰ δ' οὐ βούλει, μηδὲ παραχρῶ, 10
ἀλλ' ἔντειλαι βαδίσαι τὴν ἐπὶ τὴν Πόλιν· οὐ γὰρ ἄχθος σοι ἐπεφορτίσαμεν, ἀλλ' αὐτὸ δὴ μᾶλλον ἐπηλαφρίσαμεν.

353. Τῷ αὐτῷ

Τῷ κριτῇ τοῦ Ὀψικίου

K-D 143 [L]

Καὶ οὗτος ἐμός ἐστιν. Ἀλλ' ἐπειδὴ ἐνταῦθα ὢν οὐ πάνυ με εὐεργέτην εὐτύχηκε, τοῦ συμβάντος μοι πάθους ἀπασχολήσαντός με τοῦ παλατίου, ἐδεήθη μου αὐτόθι προνοίας τυχεῖν, δι' ἐμοῦ τε καὶ σοῦ, ἐμοῦ μὲν ἀξιοῦντος, σοῦ δὲ πληροῦντος τὴν ἀξίωσιν. Αἰτεῖ δὲ ὁ γέρων οὐ μεγάλα τινά, ἀλλ' ὅσα δὴ παρέχεις αὐτὸς καὶ τοῖς 5
μὴ αἰτοῦσιν: εὐμένειαν, φιλανθρωπίαν, τιμήν, καὶ οἰκείωσιν.

Ἀξίωσον οὖν τούτων ἁπάντων τὸν θαυμάσιον τουτονί· καὶ τὰ ἥδιστα ταῦτα χάρισαι, μηδὲν τῶν σῶν ἀφαιρούμενος· ἔστι γὰρ καὶ διὰ τὴν πολιὰν καὶ τὸν τρόπον αἰδέσιμος, εἰ δὲ βούλει, καὶ διὰ τὸν φίλον ἐμέ· προσκέκρουκε δὲ καὶ δυσκόλοις πολλοῖς, καὶ δεῖται 10
ἀναψυχῆς. Ἀνάπαυσον οὖν, ὅσον δύνῃ, τὸν ἄνθρωπον, τῆς ὁμοίας καὶ αὐτὸς δεόμενος ἀναψύξεως.

354. Τῷ αὐτῷ

Τῷ κριτῇ τοῦ Ὀψικίου

K-D 144 [L]

Εἴτε πλέον ἡ ἄμεσος ὁμιλία τῆς διὰ τῶν γραμμάτων προσλαλιᾶς δύναται, ὁ νοτάριος οὗτος καὶ συγγενὴς ἐμοὶ (οὐ γὰρ ἀποκρύψομαι) ταύτης τετύχηκε (πολλάκις γάρ σε ἐν τῇ Πόλει περὶ αὐτοῦ ἠξίωσα)· εἴτε ἐγγράμματος φωνὴ τῆς ζώσης ἀκριβεστέρα, ἰδοὺ καὶ ταύτην λαβὼν ἐγκεχείρικέ σοι· καὶ οὐκ ἂν 5
ἔχοις εἰπεῖν ὡς ἔγραψα μὲν οὐκ ἠξίωσα δέ, ἢ ἠξίωσα μὲν οὐκ

2 ὁ – ἐμοὶ: de eodem notario cf. etiam Π 114,22 et Π 115,15?

11 τὴν Πόλιν L K-D: τῇ Πόλει P S ‖ **12** ἐπηλαφρίσαμεν P S: ἐπελαφρίσαμεν L K-D ‖ **ep. 353** L 70v; tit. L K-D ‖ **ep. 354** L 70v–71r; tit. L K-D

ἔγραψα δέ.

Ἀλλ' οὐδ' ἂν ἐκεῖνο προενέγκοις ὡς ἀλλότριος ὁ νοτάριος, καὶ ὀλίγη μοι περὶ τούτου φροντίς· αὐτόθεν γὰρ καὶ ἀφ' αἵματος ἡ
10 πρὸς αὐτόν μοι προσπάθεια. Ἀλλ' οὐκ ἐπειδὴ [ἐκ τοῦ] τοιούτου γένους, [....]ων ἐντεῦθεν ἐρᾷ καὶ πρὸς ἐμὲ ἀναφέρει τὰ πορίζόμενα· μεμίμηται γάρ μου τὸν τρόπον, καὶ οὐχ ἧττόν ἐστιν ἐντεῦθέν μοι συγγενής, ἢ τοῦ γένους. Μὴ θαυμάσῃς δὲ ὅτι ἀναξίως ἐμοῦ βιοῖ· αἱ γὰρ τῆς εὐτυχίας πηγαὶ οὐ πολλαχόθεν ἡμῖν
15 ἀνεῴχθησαν, οὐδ' ἐκεῖναι πρὸς ἡμᾶς ἐπωχετεύθησαν ἐπικλύζουσαι, ἀλλ' ἡμεῖς πρὸς ἐκείνας ἀναδεδραμήκαμεν, καὶ μόλις που μίαν αὐτῶν, ὑπὸ πέτρην κεκρυμμένην εὑρηκότες, ἀνεστομώσαμεν. Καὶ δεδοικότες μή ποτε οὐκ ἀρκέσῃ τὸ ναμάτιον ἡμῖν τε καὶ πολλοῖς, οὐ πᾶσι χανδὸν τοῦτο ἐξηρευξάμεθα, ἀλλ' ὥσπερ θεωρι-
20 κοῦ διάδοσιν νέμοντες, μέρος τι ἑκάστῳ τῶν συγγενῶν ἀποδεδώκαμεν. Τοῦ δὲ κέρματος καὶ οὗτος τετύχηκε, καὶ τυγχάνει γε ἑκάστοτε τοῖς ἐμοῖς φίλοις ἐγχειριζόμενος· ὧν σύ, τὰ πρῶτα τυγχάνων, τῶν ἄλλων ἐν τῇ πρὸς αὐτὸν διαθέσει ὑπέρκεισο.

355a. Τῷ κριτῇ τοῦ Ὀψικίου
versio prima [L]; cf. Π 355b = versio altera [A]

K-D 155 [L]

Ἵνα μὴ εὐθὺς ἐκπλήξω εἰπών, στῆσον τοὺς λογισμούς, ἵν' ἐρρωμένως ἀκούσῃς· ἢ φράξον ἠρέμα τὴν ἀκοήν, ἵνα μὴ ἀθρόον εἰς τὴν καρδίαν ἀφίκηται ἡ φωνή.

14–17 αἱ – ἀνεστομώσαμεν: cf. etiam Psel. Χρονογραφία VI,42 ἀλλ' ὅτι μὴ ἐκ ῥεούσης πηγῆς, εἴ τί μοι σοφίας μέρος συνείλεκται, ἠρανισάμην· ἀλλ' ἐμπεφραγμένας εὑρηκώς, ἀνεστόμωσά τε καὶ ἀνεκάθηρα, καὶ ἐν βάθει που τὸ νᾶμα κείμενον, σὺν πολλῷ ἀνείλκυσα πνεύματι ‖ **19–20** ὥσπερ – διάδοσιν: Ael. Arist. Παναθηναϊκός 105,20 καθάπερ θεωρικοῦ τινος διάδοσιν ἐπιστήσαντες et Πρὸς Πλάτωνα περὶ ῥητορικῆς 100,28 ὥσπερ θεωρικοῦ διάδοσιν διελεῖν

10 ἐκ τοῦ scripsi: [.̓...῀.] L ἐστι τοῦ suppl. K-D ‖ **11** [....]ων scripsi: [...΄.ων] L [.. τῶν] K-D ‖ **ep. 355a** L 75v–76r; A 40r–v = Π 355b (versio altera); tit. L K-D: τοῦ αὐτοῦ ἐπιστολαί A ‖ **1–10** ἵνα μὴ εὐθὺς – κἀγὼ L K-D: πολλάκις γράψας καὶ διὰ πολλῶν αἰτήσας πολλά, οὐδέποτε ἠτήθην παρὰ τῆς σῆς σεμνοπρεπείας μικρὸν ἢ μέγα. ἐγὼ Π 355b,1–2

Τίς οὖν ἡ τοῦ λόγου βροντή; Ἔσταλταί σοι παρ' ἡμῶν ὁ νοτάριος. Ἀλλὰ πότερον, κατεπλάγης ἀκούσας, ἢ φραξάμενος 5
ἐρρωμένως ὑπέστης τὴν προσβολήν; Ἀλλ' εἰ μὲν μὴ τὴν ἔφοδον προσδόκησας, ἐξέπληξεν ἄν σου καὶ τοὺς λογισμοὺς ἡ φωνή· εἰ δ' αὐτὸς ἐπηγγείλω καὶ τὴν πυλίδα παρήνοιξας καὶ τὴν πάροδον τῷ ὑπογραμματεῖ ἐξωμάλισας, οἶμαί σε μὴ πάνυ καταβεβροντῆσθαι πρὸς τὴν ἠχώ. Κἀγὼ δὲ αἰσχυντηλότατος ὢν πρὸς τοὺς ἄλλους εἰς 10
τὰς τοιαύτας συστάσεις, πρὸς σὲ μόνον οὐκ ἐρυθριῶ, ὅτι με μὴ πάρεργον φιλίας πεποίησαι, ἀλλά μοι τὸν τοῦ φίλτρου κρατῆρα ὅλον ἐκέρασάς τε καὶ ἐξεκένωσας, οὐδὲν δὲ ἧττον καὶ σύμπνουν τῇ σῇ καθαρωτάτῃ ζωῇ.

Εἰ μὲν οὖν καὶ αὐτὸς οὕτως ἔχεις περὶ ἡμᾶς, ὥσπερ ἡμεῖς περὶ 15
σέ, βουλοίμην ἂν τοῦτο. Ἐγὼ δέ σε καὶ ἀναπνέω, καὶ οὐκ οἶδ' ὅ τι φήσαιμι πρὸς ἔνδειξιν συμπνοίας καὶ ὁμονοίας. Καὶ οὐκ ἐμαυτῷ ἐναντιοῦμαι, οὐδὲ τὰς ἐμὰς ἀθετῶ φωνάς. Ὅτι μὲν γὰρ φιλεῖς, καὶ ὅτι ἐκ μέσης καρδίας, ἐπίσταμαι· ὅτι δὲ τοσοῦτον ὅσον ἐγώ, δέομαι θείας φωνῆς συμμαρτυρούσης μοι τὴν βεβαίωσιν. 20

Ἀλλ' ἑτέραν ἐτράπην ὁδὸν πρὸς ἑτέραν ὁρμήσας. Περιττὸν γοῦν μοι δοκεῖ τὴν σὴν ἀξιοῦν ψυχήν, ὅπως εὖ ποιήσῃς τὸν ἀποστάτην νοτάριον· ἀρκεῖ γὰρ αὐτῷ ὅτι ἔσταλται παρ' ἐμοῦ· τὰ δ' ἄλλα προσθήσεις αὐτός.

8 τὴν[1] – παρήνοιξας: cf. Psel. Εἰς τὸ 'ἔστι τοίνυν ἐξετάσαι πρᾶγμα καὶ δόγμα' = Theol. I 100,70–71 πυλίδα τινὰ τῷ τείχει λεληθότως ἀνέῳξε καὶ πάροδον ἐκεῖθεν ἐφ' ἑαυτὸν δέδωκε τῷ ἐχθρῷ, Π 53,3–4 εἴ που εὕροις ἀνεῳγυῖαν πυλίδα, ὡς ἂν λάθῃς εἰσεληλυθώς, et Π 146,133 παραδύῃ λεληθότως ἐς τὴν τῆς φιλοσοφίας πυλίδα ‖ **11–12** με – πεποίησαι: Greg. Naz. Εἰς τὸν μέγαν Βασίλειον ... = Or. 43,59 ταύτης τῆς ἐπινοίας δέδοικα μὴ καὶ αὐτὸς ἐγενόμην πάρεργον. cf. Psel. Χρονογραφία VII,136 (=VIIb15) κἀγὼ τῆς στρατείας πάρεργον γίνομαι et Π 122,49 καὶ αὐτὸς πάρεργον τῆς ἀναβολῆς ἐγενόμην. cf. Π 355b,7

10 εἰς L K-D: πρὸς Π 355b,3 ‖ **11** ἐρυθριῶ L K-D: ἐρυθριῶ, τὸν μόνον ἐν πᾶσι καὶ πρὸ πάντων καὶ ὑπὲρ πάντας, καὶ (ναὶ νὴ τὴν τιμίαν σου κεφαλήν!) ἀσύγκριτον πρὸς πάντας καὶ ἀπαράμιλλον. τίποτ' οὖν οὐκ ἐρυθριῶ; Π 355b,4–7 | μὴ L K-D: om. Π 355b ‖ **12** μοι L K-D: om. Π 355b ‖ **13** οὐδὲν – σύμπνουν L K-D: καί με σύμπνουν πεποίησαι, οὐδὲν δὲ ἧττον καὶ σύμπλουν Π 355b,8–9 ‖ **22** γοῦν L K-D: οὖν Π 355b,17

355b.
versio altera [retractatio?], in cod. A; cf. Π 355a = versio prima [L]

ined. [A]

Πολλάκις γράψας καὶ διὰ πολλῶν αἰτήσας πολλά, οὐδέποτε ἡττήθην παρὰ τῆς σῆς σεμνοπρεπείας μικρὸν ἢ μέγα. Ἐγὼ δὲ αἰσχυντηλότατος ὢν πρὸς τοὺς ἄλλους πρὸς τὰς τοιαύτας συστάσεις, πρὸς σὲ μόνον οὐκ ἐρυθριῶ, τὸν μόνον ἐν πᾶσι καὶ πρὸ
5 πάντων καὶ ὑπὲρ πάντας, καὶ (ναὶ νὴ τὴν τιμίαν σου κεφαλήν!) ἀσύγκριτον πρὸς πάντας καὶ ἀπαράμιλλον. Τίποτ᾽ οὖν οὐκ ἐρυθριῶ; ὅτι με ⟨μὴ⟩ πάρεργον φιλίας πεποίησαι, ἀλλά ⟨μοι⟩ τὸν τοῦ φίλτρου κρατῆρα ὅλον ἐκέρασάς τε καὶ ἐξεκένωσας, καί με σύμπνουν πεποίησαι, οὐδὲν δὲ ἧττον καὶ σύμπλουν τῇ σῇ
10 καθαρωτάτῃ ζωῇ.

Εἰ μὲν οὖν καὶ αὐτὸς οὕτως ἔχεις περὶ ἡμᾶς, ὥσπερ ἡμεῖς περὶ σέ, βουλοίμην ἂν τοῦτο. Ἐγὼ δέ σε καὶ ἀναπνέω, καὶ οὐκ οἶδ᾽ ὅ τι φήσαιμι πρὸς ἔνδειξιν συμπνοίας καὶ ὁμονοίας. Καὶ οὐκ ἐμαυτῷ ἐναντιοῦμαι, οὐδὲ τὰς ἐμὰς ἀθετῶ φωνάς. Ὅτι μὲν γὰρ φιλεῖς, καὶ
15 ὅτι ἐκ μέσης καρδίας, ἐπίσταμαι· ὅτι δὲ τοσοῦτον ὅσον ἐγώ, δέομαι θείας φωνῆς συμμαρτυρούσης μοι τὴν βεβαίωσιν.

7 με – πεποίησαι: Greg. Naz. Εἰς τὸν μέγαν Βασίλειον ... = Or. 43,59 ταύτης τῆς ἐπινοίας δέδοικα μὴ καὶ αὐτὸς ἐγενόμην πάρεργον. cf. Psel. Χρονογραφία VII,136 (=VIIb15) κἀγὼ τῆς στρατείας πάρεργον γίνομαι et Π 122,49 καὶ αὐτὸς πάρεργον τῆς ἀναβολῆς ἐγενόμην. cf. Π 355a,11–12

ep. 355b A 40r–v; L 75v–76r = versio prima; tit.: τοῦ αὐτοῦ ἐπιστολαί A τῷ κριτῇ τοῦ Ὀψικίου Π 355a ‖ **1–2** πολλάκις γράψας – ἐγὼ A: ἵνα μὴ εὐθὺς ἐκπλήξω εἰπών, στῆσον τοὺς λογισμούς, ἵν᾽ ἐρρωμένως ἀκούσῃς· ἢ φράξον ἠρέμα τὴν ἀκοήν, ἵνα μὴ ἀθρόον εἰς τὴν καρδίαν ἀφίκηται ἡ φωνή. τίς οὖν ἡ τοῦ λόγου βροντή; ἔσταλταί σοι παρ᾽ ἡμῶν ὁ νοτάριος. ἀλλὰ πότερον, κατεπλάγης ἀκούσας, ἢ φραξάμενος ἐρρωμένως ὑπέστης τὴν προσβολήν; ἀλλ᾽ εἰ μὲν μὴ τὴν ἔφοδον προσδόκησας, ἐξέπληξεν ἄν σου καὶ τοὺς λογισμοὺς ἡ φωνή· εἰ δ᾽ αὐτὸς ἐπηγγείλω καὶ τὴν πυλίδα παρήνοιξας καὶ τὴν πάροδον τῷ ὑπογραμματεῖ ἐξωμάλισας, οἶμαί σε μὴ πάνυ καταβεβροντῆσθαι πρὸς τὴν ἠχώ. κἀγὼ Π 355a,1–10 ‖ **2** ἠτήθην A ‖ **3** πρὸς[2] A: εἰς Π 355a,11 ‖ **6** ἀπαράμιλον A ‖ **4–7** τὸν – ἐρυθριῶ A: om. Π 355a ‖ **7** μὴ addidi (cf. Π 355a,11): om. A | μοι addidi (cf. Π 355a,12): om. A ‖ **8–9** καί – σύμπλουν A: οὐδὲν δὲ ἧττον καὶ σύμπνουν Π 355a,14

Ἀλλ' ἑτέραν ἐτράπην ὁδὸν πρὸς ἑτέραν ὁρμήσας. Περιττὸν οὖν μοι δοκεῖ τὴν σὴν ἀξιοῦν ψυχήν, ὅπως εὖ ποιήσῃς τὸν ἀποστάτην νοτάριον· ἀρκεῖ γὰρ αὐτῷ ὅτι ἔσταλται παρ' ἐμοῦ· τὰ δ' ἄλλα προσθήσεις αὐτός. 20

356. Τῷ κριτῇ τοῦ Ὀψικίου
ante Π 357?

S 43 [P]

Ἔδει μὲν διὰ τὴν συγγένειαν πεπαρρησιασμένως ἐπιστέλλειν πρὸς τὴν σὴν ἐνδοξότητα, περὶ ὧν ἂν βούλομαι. Ἀλλ' ἐγὼ δι' αὐτὸ τοῦτο μᾶλλον αἰδοῦς τε ἐμπίπλαμαι, καὶ πρὸς τὰς ἀξιώσεις ὑπεσταλμένος εἰμί, ἵνα μὴ καταχρᾶσθαι δόξω τῷ γένει.

Τί οὖν; Χρὴ διὰ τοῦτο καὶ τὴν σὴν μεγαλόνοιαν ὑπεροπτικῶς 5 ἔχειν ἐμοῦ, καὶ καταφρονεῖν ἀξιοῦντος, καὶ δι' ὃ μᾶλλον ἔδει πάντα πληροῦν, διὰ τοῦτο ἀθετεῖν ταῦτα; Πολλοῦ γε καὶ δεῖ. Τῇ μὲν γὰρ παρρησίᾳ τὸ ἐπαχθὲς ἀκολουθεῖ καὶ τὸ αὔθαδες· τῇ δὲ ὑποχωρήσει καὶ ὑποστολῇ τὸ μηδὲν ἡγεῖσθαι φορτικὸν τὸν πρὸς ὃν ἡ ἀξίωσις. Μακρηγορῶ δὲ ταῦτα, βουλόμενός σε ἐνάγειν εἰς τὸ 10 μηδ' ὁτιοῦν τῶν ἐμῶν ἐν παρέργου σοι μοίρᾳ λελογίσθαι.

Ὁ γοῦν χρυσοτελὴς τοῦ σοῦ θέματος, τῆς πρός με οἰκειώσεως καὶ φιλίας τετυχηκώς, αἰτεῖται καὶ τὴν σὴν εὐτυχῆσαι δι' ἐμὲ ἡμερότητα καὶ εὐμένειαν. Οἶδα μὲν οὖν ὡς ἀρκέσεις τούτῳ, φυσικῶς ταῦτα ἐπιδιδούς· εἰ δὲ παρὰ τοὺς ἄλλους αὐτῷ φανείης 15

12 ὁ γοῦν χρυσοτελής: de quo cf. etiam Π 357,3–4?

17 οὖν A: γοῦν Π 355a,22 ‖ **ep. 356** L 76r, U 153v, P 199v–200r, F 52v–53v, A 42r–v; tit. scripsi: τῷ κριτῇ τῶν Θρᾳκησίων L πρὸς τὸν κριτὴν τοῦ Ὀψικίου U τῷ κριτῇ Ὀψικίου P S πρὸς τὸν κριτὴν τοῦ Ὀψικίου A om. F ‖ **2** ἂν L U A F: om. P S | βούλομαι L P A S: βούλωμαι U ‖ **3** τε om. S ‖ **4** ὑπεσταλμένος L U P A S: συνεσταλμένος F | καταχρᾶσθαι δόξω L P S: καταχρῶμαι U A F ‖ **5** τοῦτο : ταῦτα S | ὑπεροπτικῶς L U A F: ἐντροπικῶς P S e quo falsum LBG lemma **6** ἐμοῦ L P F S: ὁμοῦ U A | ἀξιοῦντος L F: ἀξιοῦν U P A S | δι' ὃ P A F S: διὸ L U ‖ **8** γὰρ L U A F: om. P S ‖ **9–10** τὸν – ἀξίωσις L U A F: τὴν πρὸς σὲ ἀξίωσιν P S ‖ **11** μηδ' L U P A S: μηδὲν F | παρέργου L P F S: παρέργῳ U A **13** αἰτεῖται : αἰτεῖ, ὡς A ‖ **14** μὲν οὖν P F S: μὲν L U A ‖ **15** δὲ L U P A S: δὲ καὶ F | αὐτῷ φανείης L U A F: φανείης αὐτῷ P S

ἡμερώτερος καὶ χρηστότερος, τὴν τῆς ἐμῆς ἀξιώσεως ἐντεῦθεν ἐκεῖνος προσθήκην γνώσεται.

357. Τῷ [κριτῇ τοῦ Ὀψικίου (?)]

post Π 356?

S 21 [P]

Τοιοῦτός ἐστιν ὁ ἀληθὴς φίλος, ἐνδοξότατε καὶ περίβλεπτε ἀδελφέ, οἷος μὴ ὑπερτιθέμενος τὰς τῶν φίλων ἀξιώσεις, μηδὲ βραδύνων περὶ τὴν τούτων ἐκπλήρωσιν· μαρτυρεῖ γάρ σε τοῦτο ὁ τοῦ θέματος χρυσοτελής, ὑπὲρ οὗ ἐγώ σε φθάσας ἱκέτευσα· ἐχρῆν 5 γάρ σε, καλλίστη ψυχή, μετὰ τῶν λοιπῶν ἀρετῶν, καὶ τῇ τῆς φιλίας κατακεκοσμῆσθαι ἀκρότητι, καὶ μὴ ἐν ταῖς τῶν φιλούντων παρουσίαις, πολὺ δὲ μᾶλλον ἐν ταῖς ἀπουσίαις τὸ καθαρὸν τῆς ἀγάπης δεικνύειν.

Ἡ δὲ παροῦσα γραφὴ ἔστω σοι καὶ τῶν προγεγενημένων 10 ἀνθομολόγησις, καὶ τῶν ἐσομένων διέγερσις· ὀφείλεις γὰρ τὰς τῶν φίλων εὐχαριστίας πέρας ὁμοῦ καὶ ἀρχὴν τῶν σῶν τίθεσθαι πράξεων, καὶ φθάνειν μὲν τὰς ἀνθομολογήσεις ταῖς χάρισιν, ἀμείβεσθαι δὲ ταύτας εὐποιΐαις δευτέραις.

Ἔστω οὖν σοι καὶ αὖθις διὰ φροντίδος ὁ χρυσοτελής· καὶ ἣ 15 κατεβάλου δι᾽ ἡμᾶς εἰς αὐτὸν ἀρχῇ, ἀνάλογον ἐπίθες τέλος.

358. ⟨Τῷ κριτῇ τοῦ Ὀψικίου (?)⟩

S 102 [P]

Εἰ μὲν ὑγίαινες, βελτίστη ψυχή, ἐγεγόνει ἄν σοι καὶ τὸ γραμμάτιον ὁποῖον ἂν ἐρρωμένου σώματος ἀναλαμβάνῃ ψυχή. Ἐπεὶ δέ σοι (ὥσπερ ἀκούω) ἡ σύντροφος ἀρρωστία ἐπίτασιν προσειλήφει κακώσεως, ἵνα μὴ παρὰ τὸν εἰκότα λόγον καὶ τὴν 5 τέχνην ποιοίημεν, ἐν οὐ καιρῷ ἐφιέντες τῇ γλώσσῃ καὶ

3–4 ὁ – χρυσοτελής: de quo cf. etiam Π 356,12?

16 τὴν L U P A S: om. F ‖ **16–17** ἐντεῦθεν ἐκεῖνος U A F: ἐκεῖνος ἐντεῦθεν L ἐνταῦθα οὗτος P S ‖ **ep. 357** P 196v; tit. dubitanter supplevi: τῷ P (post τῷ lacunam indicavit P) τῷ ..... S ‖ **ep. 358** P 211v; tit. scripsi

ἀβρυνόμενοι οὐδὲν δέον, ὥσπερ ὁ Ἰσοκράτης ἐν δυσχερείαις πραγμάτων τῇ περὶ τὸν λόγον ἀγλαΐᾳ χρώμενος, ἁπλῶς οὑτωσὶ καὶ ἀφελῶς καὶ συντετμημένως, καὶ γράφω καὶ ἀξιῶ: ὁ Νικαεὺς οὗτος ἐμός ἐστι· καὶ ἐλέει τοῦτον δι' ἐμέ.

359. Τῷ κριτῇ ⟨τοῦ⟩ Ὀψικίου

K-D 243 [Taf[1]], Taf[1] 61 [P], PG[2] 61 [Taf[1]]

Τῷ Χοιροσφάκτῃ ἐκείνῳ Μιχαήλ, περίβλεπτε κύριέ μου, υἱός ἐστιν ἐνταῦθα μετὰ μητρὸς κοσμιώτατος, σεμνότατος μὲν καὶ λογιώτατος, οὔπω δὲ βίου δραξάμενος εὐκλεοῦς. Ὅθεν τὴν τύχην ἰδὼν ἀντικειμένην αὐτῷ, συνέστειλέ τε τὸν ἑαυτοῦ βίον, καὶ ζῇ γλίσχρως καὶ ἐνδεῶς ἀπὸ βραχυτάτης εἰσόδου τοῦ ἐν τοῖς Πυθίοις 5 αὐτοῦ κτήματος.

Ἀλλ' ἥ γε συμπαρομαρτοῦσα τούτῳ πονηρὰ τύχη καὶ κατὰ πόλεις καὶ κατ' ἀγροὺς ἐνοχλεῖν εἴωθεν. Ὅθεν ἐπανέστησε τοῖς τὸ προάστειον αὐτοῦ διοικοῦσιν ἄνδρα βιαιότατον, γειτονοῦντα αὐτῷ, ἀγρότην μὲν καὶ τῶν ἀνωνύμων, τὴν βίαν δὲ καὶ τὰς χεῖρας κατ' 10 οὐδὲν τοῦ Ἡρακλέος δεύτερον. Οὗτος τὸν μὲν ὕβρισε τῶν οἰκετῶν αὐτοῦ, τὸν δὲ ἐμαστίγωσε, κατὰ δὲ τοῦ ἀναθρεψαμένου αὐτὸν πρεσβυτάτου ἀνδρὸς οὐδεμιᾶς ὕβρεως ἐφείσατο ἢ πληγῆς.

Ὁ μὲν οὖν (ὥς φασιν) ἐπὶ ταῖς ἀφορήτοις αἰκίαις τὰς τελευταίας ἀφίησιν ἀναπνοάς. Οὗτος δὲ λίαν τοῦ πρεσβύτου κηδόμενος 15 κατέφυγεν ἐπ' ἐμὲ ἀξιῶν ἀξιῶσαί σε δίκας λαβεῖν παρὰ τοῦ ὑβρικότος περὶ ὧν πέπονθε.

Τοῦτο οὖν αὐτὸ ἀξιῶ. Σὺ δὲ καὶ φίλος καὶ δικαστὴς ὤν, ὡς μὲν δικαστὴς τοὺς νόμους τοῖς ἀδικηθεῖσι περισώσοις· ὡς δὲ φίλος οὐκ εἰς ἀναβολὴν θήσοις τὸ πρᾶγμα, ἀλλὰ ταχεῖαν ἐνέγκοις ἀπόφασιν. 20

6–7 ὥσπερ – χρώμενος: fontem non inveni ‖ **1** τῷ Χοιροσφάκτῃ … Μιχαήλ: cf. Laurent 1981,114? ‖ **5** τοῖς Πυθίοις: Janin 1975,99–101

ep. 359 P 256r, Y 119v (des. mut.); tit. K-D: τῷ κριτῇ Ὀψικίου P Taf[1] om. Y **1** περίβλεπτε – μου P Taf[1] K-D: om. Y ‖ **2** μετὰ μητρὸς Y: om. P Taf[1] K-D σεμνότατος Y: om. P Taf[1] K-D ‖ **3** post βίου folia ceciderunt, itaque epistulae finis deest in Y ‖ **12** ἀνατεθραμμένου Taf[1] K-D ‖ **16** παρὰ P corr. K-D: περὶ Taf[1] ‖ **20** θήσοις corr. K-D: θήσεις P Taf[1] | ἐνέγκοις corr. K-D: ἐνέγκῃς P Taf[1]

360. ⟨Τῷ κριτῇ τοῦ Ὀψικίου⟩
ad Zomem (Π xx) [cf. Ljubarskij 2004,146]?

K-D 200 [O]

[Ἐμο]ὶ δὲ εἰ καὶ πλείους ἐπιστολὰς ἔπεμψας, ἀδελφὲ περιπόθητε, ἡμεῖς δὲ οὐδὲ μίαν αὐτῶν ἀπειλήφαμεν. Ὄμνυμι τὴν ἱερὰν σου ψυχήν, ὅτι ταύτῃ σου πρώτῃ καὶ μόνῃ τῇ ἐπιστολῇ ἐνετύχομεν. Ἦ στερηθείην ἂν τῆς ἐμῆς γλώττης, ἢ τῆς γε περὶ τοὺς λόγους
5 δυνάμεως, εἴ γε σοι μὴ ἀποκρινώμεθα καὶ ὁμιλοῦντι καὶ ἐπιστέλλοντι· οὐ γὰρ παρόντα φιλοῦμεν μόνον, ἀλλ' ἀποδημοῦντος, ἐπὶ μάλιστα ἐρῶμεν· καὶ εἰ μὴ αἱ μνῆμαι τῶν σῶν ἠθῶν, ἢ αἱ ἀναμνήσεις τῶν πρὸς ἡμᾶς σου χαρίτων, παρεμυθοῦντό μοι τὴν ψυχήν, ἀπολώλειν ἂν ὥσπερ ἀπερρηγμένος τοῦ συμφυοῦς.
10 Ἀφεὶς οὖν ἡμῖν ἐγκαλεῖν, ἀνδράσι συνετωτέροις τὰ πρὸς ἡμᾶς γράμματα πίστευε, ἵν' ἔχοιεν, καὶ διδόναι καὶ λαμβάνειν ἐπιστολάς. Ἐγὼ δέ σοι, καὶ μὴ γράφων, γράφοντι ἔοικα· ὁμιλῶ γάρ σοι ταῖς φαντασίαις, καί σε ὁρῶ τῷ τῆς ψυχῆς ὄμματι. Κἂν μὴ αὐτὸς πέμψῃς ἐπιστολήν, ἐγὼ δέ σε ἐν στέρνοις ἀποκρινόμενον ἔχω·
15 τοιοῦτον γὰρ ὁ φιλόσοφος: ἀπόλυτός ἐστι τὴν ψυχήν, καὶ οὐ κατέχεται σώματι, οὐδὲ τοῖς αἰσθητοῖς περιείργεται ὀφθαλμοῖς,

9 ὥσπερ – συμφυοῦς: cf. Π 201,40–41 τὸ μὲν διαιρεθείς σοι τῆς συμφυοῦς καὶ συμπνόου ψυχῆς. cf. etiam Greg. Naz. Εἰς τὸν μέγαν Βασίλειον … = Or. 43,80 ἡμιθνὴς δὲ Γρηγόριος καὶ ἡμίτομος, τῆς μεγάλης ἀπερρωγὼς συζυγίας cum etiam Psel. Ἐπιτάφιος εἰς τὴν ἑαυτοῦ μητέρα 907 et Π 118,61 et Π 117,8–10? cf. etiam Π 538,8–9 ‖ **13** τῷ – ὄμματι: locus Platonicus (Πολιτεία 533d2 τὸ τῆς ψυχῆς ὄμμα) saepe laudatus, cf. e.g. Greg. Naz. Εἰς τὸν μέγαν Βασίλειον … = Or. 43,41, et Psel. Ἐπιτάφιος εἰς τὴν ἑαυτοῦ μητέρα 1063, Ἐγκωμιαστικὸς εἰς … Μιχαὴλ τὸν Κηρουλλάριον = Or. fun. I 1, 61,43, Λόγος εἰς τὴν σταύρωσιν = Or. hag. 3a,635, et Π 210,50 et Π 211,10 **15–16** τοιοῦτον – σώματι: Plat. Φαίδων 65a1–2 ὁ φιλόσοφος ἀπολύων ὅτι μάλιστα τὴν ψυχὴν ἀπὸ τῆς τοῦ σώματος κοινωνίας. cf. Psel. Χρονογραφία VI,212 (=VIa,8) τρεῖς γὰρ μερίδας ταῖς τῶν ψυχῶν προσαρμόζω κατανοῶν καταστάσεσι: τὴν μὲν, ὅταν αὐτὴ βιώῃ καθ' ἑαυτήν, ἀπολυθεῖσα τοῦ σώματος, ἀτενῆ τε καὶ οὐ πάνυ τὸ ἐνδόσιμον ἔχουσαν· τὰς δέ γε λοιπὰς μερίδας τῷ μετὰ σώματος αὐτῆς βίῳ κατείληφα et Π 251,42, Π 455,25–26, et Π 498,24–25; cf. etiam Π 211,18 οὐ νοῦς ἐστιν ἀπόλυτος, ἀλλὰ ψυχὴ σώματι συνδεθεῖσα

ep. 360 O 201v–202r; tit. K-D ‖ **1** ἐμοὶ suppl. K-D (p. 349): οὐαὶ prop. Maas (K-D p. xvii) ‖ **4** ἦ K-D: ἢ O ‖ **12** σοι^2 corr. Diam 304: σε O K-D

οὐδὲ δεσμώτης ἐστὶν ὅροις περιγραπτοῖς· ἀλλ' ἐλευθεριάζει, ἀρρήτοις πτερώμασι, καὶ ὅπου δ' ἂν εἶεν οἱ ἐρασταὶ καὶ ἐρώμενοι, ἢ παρ' Ἰνδοῖς, ἢ παρὰ Βραχμᾶσι, κἂν εἰς ἔσχατα γῆς ἀφίκωνται, εὐθὺς εὑρίσκει τούτους τῇ ἀνεπισχέτῳ τῶν νοημάτων φορᾷ. 20

Σὲ δὲ οὐδὲ πόρρωθεν ἔχων ἀναζητῶ. Ἀλλ' ἐν μέσῃ καρδίᾳ ἐνστέρνισμαι· καὶ ὁπόταν δὴ βούλωμαι (βούλομαι δὲ πάντοτε), προχειρίζομαί σου τῆς ψυχῆς τὸ ἦθος, τοῦ προσώπου τὸ εἶδος, ἔπειτα δή σε, καὶ κατασπάζομαι, καὶ εἰς διαλόγους κινῶ. Οὐ τοίνυν ἀπόδημος ἐξ ἡμῶν γέγονας (μὴ τοῦτο οἴου), ἀλλ' ἐγγὺς εἶ 25 τῶν φιλούντων καὶ οὐ διέσχισαι τῆς τούτων ψυχῆς. Ἀλλὰ φιλοσωματεῖς καὶ οὕτω δὴ τῶν φιλτάτων ἐρᾷς; Βραχὺν οὖν μοί τινα χρόνον καρτέρησον· οἶδα γάρ σοι τὸν βασιλέα οἰκείως διατιθέμενον, κἂν γράψῃς ἐπὶ καιροῦ τὴν εἰς τοὺς οἰκείους ἐπιζητῶν εἴσοδον, οὐκ ἀτυχήσεις (ὡς οἶμαι), εἰ μάλιστά σοι τῇ αὐτῇ γνώμῃ 30 διακονήσω.

Ἀλλὰ πυνθάνῃ μου περὶ ὧν ἔσχον πονήρως εἰ ἀπολέλυμαι. Ἐρῶ οὖν σοι, ὡς οὐχ εἷς ἡμᾶς κατεῖχε δεσμός, ἀλλὰ πολλοὶ καὶ ποικίλοι. Τὰ μὲν οὖν ἐκ κεφαλῆς ἄχρις ὀμφαλοῦ, ἠλευθέρωμαι. Ἐκεῖθεν δὲ οἱ πόδες δεχόμενοι ῥεύματα, ὀκλάζουσι πρὸς τὴν 35 κίνησιν. Ὅθεν, ἐν μὲν τοῖς ἰσοπέδοις, διατρίβω τὼ πόδε· βαθμίδα δὲ κλίμακος οὔπω ἀναβῆναι δεδύνημαι, ἀλλ' οὐδ' ὑπερανεστηκὸς γήπεδον. Ἀπρόϊτος γοῦν ἔτι διὰ ταῦτά εἰμι· καὶ οἶδα μὲν ὅτι τοῦ πάθους ἀπαλλαγήσομαι, δέδοικα δὲ μὴ πολυήμερόν μοι γενήσεται. 40

Ἀλλὰ κἂν αὐτός μοι ἔρρωσο ὅλῳ τῷ σώματι, ἵν' ἔχω οὕτως καὶ αὐτὸς ἐρρῶσθαι, τοῦ εὐρώστου σοι κοινωνῶν. Μὴ ἐπιλάθῃ δέ, φίλτατε ἀδελφέ, μήτε τῶν Καθαρῶν, μήτε τῶν Κελλίων, μήτε τοῦ Μηδικίου. Ἔγωγ' οὖν καὶ καθηψάμην σου ἐν ἑτέρᾳ ἐπιστολῇ, ἀκούσας ὅτι τῶν Κελλίων παραψαῦσαι διανενόηκας, ἔνθα μηδείς 45 τις τῶν πρὸ σοῦ παρέξυσε δικαστής. Ἀλλ' οἶμαι, γραμμάτων ἐμῶν

43 τῶν Καθαρῶν: cf. Janin 1975,158–60; cf. Π 349,18 et Π 484,25-26 | τῶν Κελλίων: cf. Janin 1975,160–161; cf. Π 198,15, Π 348,1, et Π 349,2–3 **43–44** τοῦ Μηδικίου: cf. Janin 1975,165–168 et Mango–Ševčenko 1973,240–242 et Π 85,7, Π 91,8–9, Π 243,22, Π 258,1, Π 349,18, et Π 360,44–45

30 ἀτυχήσεις corr. K-D: εὐτυχήσεις O ‖ **39–40** γενήσεται O K-D: γένηται (an recte?) corr. Diam 304 ‖ **42** ἐπιλάθου corr. Diam 304 ‖ **44** σου corr. Diam 304: σοι O K-D

ἐρῶν, νύττεις δὴ πόρρωθεν τὴν πλευράν, ἵν' ἔχοις καὶ μακρόθεν προσομιλεῖν μοι. Ἐγὼ δὲ πράως ἔχων, οἶδα καλλύνειν τὰ γράμματα· δυσόργως δέ, ἀκοσμήτους ποιῶ τὰς ἐπιστολάς. Μὴ οὖν
50 ἐκείνως, ἀλλ' οὕτως ἐκκαλοῦ συλλαβάς.

361. Τῷ [κριτῇ τοῦ Ὀψικίου (?)]

S 18 [P]

Ὁ τιμιώτατος ἐπίσκοπος τῶν Νουμερικῶν γράμμα ἐμὸν ἐπιφέρεται, ἐν ᾧ δὴ ἐμφέρεται ἀδικία προελευσιμαίων τινῶν, ἣν καὶ αὐτὸς ἐπεβοᾶτο, κἀγὼ προσεμαρτύρησα. Βουλόμενον οὖν με εἰς ἐκδίκησιν διαναστῆναι τοῦ πράγματος, ὁ βασιλεὺς διεδέξατο.
5 Ὃ γοῦν ἐγὼ ὑστέρησα, ἀναπληρῶσαι τὴν σὴν ἀξιῶ ἐνδοξότητα.

LXXXV. Κριτὴς Παφλαγονίας

varii?

362. Τῷ κριτῇ Παφλαγονίας
ante Π 363

K-D 109 [L]

Ὁ νοτάριος οὗτος τοσαῦτα ἐπὶ σοὶ ἐλπίζει, ὁπόσα δὴ ἡμεῖς ἐπὶ τῷ θεῷ. Ἐθάρρησε γοῦν ἀφικέσθαι πρὸς σέ, ὥς τινος ὠφελείας τευξόμενος. Κἀγὼ μὲν ἀπετρεπόμην αὐτὸν τοῦ ἐγχειρήματος, τήν τε ὁδὸν λέγων ὡς μακρά, καὶ τὸν καιρὸν ὅτι χειμέριος, καὶ τὸ
5 ἄδηλον τῆς παραδοχῆς. Ὁ δὲ περὶ μὲν τοῦ ἀδήλου οὐδὲ ἠμφισβήτει τὸ σύνολον· ἔλεγε γὰρ ἀκριβῶς εἰδέναι, ἑτοίμως

47 νύττεις – πλευράν: iunctura biblica? cf. Ioann. 19,34 εἷς τῶν στρατιωτῶν λόγχῃ αὐτοῦ τὴν πλευρὰν ἔνυξεν ‖ **1** τῶν Νουμερικῶν: cf. Janin 1975,106 et 109 et Mango–Efthymiadis 1997,172–173 ‖ **1** ὁ νοτάριος etc.: de eodem ipso de quo dicitur in epist. Π 363,9–10 τῷ νοταρίῳ etc.

ep. 361 P 196r; tit. scripsi: τῷ P (post τῷ lacunam indicavit P) τῷ ..... S τῷ ⟨κριτῇ τῶν Βουκελλαρίων⟩ prop. Rie,16 et 24 ‖ **ep. 362** L 57r–v; tit. L K-D

τοῦτον παρὰ τῆς σῆς βελτίστης παραδεχθῆναι ψυχῆς. Τὰ δὲ ἄλλα δυσχερῆ μὲν καὶ αὐτὸς ἐτίθετο, ἀλλ' ἥ γε περίστασις καὶ ἡ τῶν ἀναγκαίων ἔνδεια πεπείκασι τοῦτον πάντων καταφρονῆσαι.

Ἀφίκετο τοίνυν ὡς ὁρᾷς πρὸς σέ, πολλὰ μὲν διαβὰς ὄρη, πολὺν 10 δὲ ὑπομείνας κρυμόν. Μὴ οὖν ψευσθείη τὰς ἐλπίδας· μηδὲ διαμάρτῃ σου τῆς χρηστότητος. Ἀλλ' ὑποδεχθείη παρὰ σοῦ· καὶ ὠφεληθείη τὰ μέτρια. Οἶδα γὰρ ἀκριβῶς, ὡς οἱ παρόντες καιροὶ στενοί πώς εἰσιν εἰς ὠφέλειαν, καὶ τοῖς τῶν θεμάτων δικασταῖς, καὶ τοῖς ὑπηρετουμένοις αὐτοῖς· τὸ γὰρ ἀκριβὲς τοῦ βασιλέως 15 ἡμῶν τὰς ἁπάντων χεῖρας ἐπέσχεν. Ἀλλ' ὅμως ἡ ἀγαθότης σου νικῴη τούτῳ τοῦ καιροῦ τὴν στενότητα· καὶ τὸ σύμπαν, μὴ εἴη μάτην δραμών· ἀλλ' εὕροι τι τῆς τε ὁδοῦ καὶ τοῦ χειμῶνος ἀντάξιον.

363. Τῷ αὐτῷ

Τῷ κριτῇ Παφλαγονίας. post Π 362

K-D 110 [L]

Ἀλλὰ νῦν οὐκ ἀξιοῦμεν, λογιωτάτη καὶ καλλίστη ψυχή, ἀλλ' εὐχαριστοῦμεν, ἐφ' οἷς ἀξιώσαντες τετυχήκαμεν· ὅτι γὰρ ὁ φυτευθεὶς ἐν τῇ ψυχῇ σου λόγος ἐμὸς καρπὸν αὐτόματον ἤνεγκεν. Ὁ τῆς ὀπώρας γευσάμενος ἐμαρτύρησε, καὶ τῇ τοῦ καρποῦ φορᾷ, καὶ τῷ γλυκεῖ τῆς ὀπώρας. Καὶ τοῦτο ἐγὼ πρὸ πάντων θαυμάζω, 5 ὅτι μὴ σὺ μόνον δι' ἅλμης ῥέων γλυκὺς ἀναδέδειξαι, ἀλλὰ καὶ εἴ τις σοι προσπελάσειεν, ἀναπέπλησται τῆς γλυκύτητος καὶ διασχίζει τὴν ἅλμην, ὥσπερ ὁ Ἀλφειὸς τὴν θάλασσαν.

Ἀπέχομεν οὖν σοι τὴν τῆς φιλίας χάριν· καὶ σύν γε τῷ νοταρίῳ τὰς μείζονας ὁμολογοῦμέν σοι χάριτας. Τοιοῦτόν ἐστι 10

8 ὥσπερ – θάλασσαν: cf. Pind. Nem. 1,1 ἄμπνευμα σεμνὸν Ἀλφεοῦ cum scholiis et e.g. Suda λ 3821 Ἀλφειὸς ... δυόμενος διὰ τῆς Ἀδριάδος θαλάσσης τὸ πέλαγος καὶ μηδαμῶς τῇ ἁλμυρίδι μιγνύμενος, Ach. Tat. Τὰ κατὰ Λευκίππην καὶ Κλειτοφῶντα 1,18,1–2, Greg. Naz. Εἰς τὸν μέγαν Βασίλειον ... = Or. 43,21 cum Ps.-Nonnus Συναγωγὴ ... ἱστοριῶν ... in Greg. Naz. Or. 43, hist. 9 περὶ τοῦ Ἀλφειοῦ, etc.; cf. etiam Π 276,9–11 et Π 483,16–17 **9–10** τῷ νοταρίῳ: de eodem ipso de quo dicitur in epist. Π 362,1 ὁ νοτάριος etc.

ep. 363 L 57v; tit. L K-D

ψυχὴ χρηστοτάτη ὁμοῦ καὶ γενναία. Οἷς μὲν γὰρ χρηστεύεται, ἀγαθῶν πάντως παρεκτικὴ τοῖς αἰτοῦσι γίνεται· οἷς δὲ τὸ γενναῖον ἐπιδείκνυται, οὐ μεταβάλλει τὴν καλοήθειαν, ἀλλ' ἐπιτείνει μᾶλλον καὶ ἐπαυξάνει τοῖς πράγμασιν. Ἐπεὶ δὲ καρπο-
15 φόρον σοι ἄνω φυτὸν ὁ λόγος ἀπέδειξε, νῦν μᾶλλον, τοῦ χειμῶνος παρῳχηκότος, τὴν ὀπώραν ἡμῖν ἐπίδειξον, ἀπὸ τοῦ ἔαρος ἐναρξάμενος. Καὶ τρυγάτω σε διηνεκῶς ὁ πρωτονοτάριος, τὸ μὲν τοῖς ἡμετέροις ἀρδόμενον γράμμασι, τὸ δὲ ταῖς ἐπιρροαῖς τῆς σῆς ἐμφύτου χρηστότητος αὐξανόμενον.

364a. Τῷ κριτῇ Παφλαγονίας

ca. a. 1057 – a. 1058? ante 2.II.1059; eodem tempore ut Π 365 [vid. epistolarum ordinem in codd. O et A]; versio prima [P, O, et A]; cf. Π 364b = versio altera [a[1]]

S 49 [P], H-M 68–69 [P]

Ὅτε σου τὴν γραφὴν ἐδεξάμην, περίβλεπτε κύριέ μου καὶ περιπόθητε ἀδελφέ, τηνικαῦτα τῆς συνήθους ἀλγηδόνος ἐλεύθερος γεγονώς, ἑτέροις ἐξηταζόμην νοσήμασι· πολλῶν γάρ μοι νοσημάτων καὶ συμπτωμάτων συμπτεπτωκότων ἐν διαφόροις
5 καιροῖς, οὔποτε τοιαύτης ᾐσθάνθην δυσφορίας τε καὶ κακοπαθείας· οἱ γὰρ πρὸ μικροῦ ἐπισυμβεβηκότες μοι πόνοι οὓς καὶ αὐτὸς ἐπίστασαι, ἀρχαί μοι γεγόνασι τῶν συμβεβηκότων ἀρρωστημάτων· καὶ ὅσον τὸ μέτρον τοῦ μεγέθους ἦν τῶν προηγησαμένων, τοσοῦτον ἦν τὸ μέτρον τοῦ μήκους τῶν

2–10 τῆς – ἐπισυμβεβηκότων: cf. Π 365,2–5 μετὰ γὰρ τὸ ἀπαλλαγῆναι τῆς συνήθους ἀλγηδόνος, ἑτέροις περιπέπτωκα ἀρρωστήμασιν, ὧν δὴ κατ' ὀλίγον ὑπορρεόντων, τὸ τῆς ἀνορεξίας μοι καὶ ἀπεψίας ἐναπομεμένηκε σύμπτωμα

ep. 364a P 200v, O 288v–289r, A 45r; a[1] 374r–v = Π 364b (versio altera); tit. P O A S H-M: ἐπιστολὴ βαρβάρου τινός Π 364b ‖ **1–2** καὶ – ἀδελφέ O A Π 364b,1–2: om. P S H-M ‖ **2–3** τῆς – νοσήμασι: ἔμπλεως γεγονὼς ἡδονῆς, τῆς κατεχούσης με ἠλευθερώθην ἀλγηδόνος Π 364b,2–3 ‖ **4** καὶ συμπτωμάτων P O S H-M: om. Π 364b ‖ **4–5** νοσημάτων – καιροῖς: συμπτωμάτων καὶ νοσημάτων καὶ ἀρρωστημάτων ἐν διαφόροις καιροῖς ἐντυχών Π 364b,4–5 **5** οὔποτε P O S H-M: οὐδέποτε A | ᾐσθάνθην – κακοπαθείας: κακοπαθείας καὶ ἀσθενείας πεῖραν ἔλαβον Π 364b,5–6 ‖ **6** μικροῦ P O S H-M: καιροῦ A

ἐπισυμβεβηκότων. 10

Νῦν οὖν βραχύ τι τῶν δυσχερῶν ῥαΐσας, καὶ πρὸς τὸν μέγιστον ἡμῶν αὐτοκράτορα ἀφικνοῦμαι, καὶ περὶ ὧν ἐμοὶ μέλει τὰς ἐντυχίας πρὸς αὐτὸν ποιοῦμαι. Τίνος δέ μοι μέλει τοσοῦτον, ὁπόσον σοῦ τῆς φιλτάτης καὶ ἱερᾶς κεφαλῆς;

Ἀλλ' ἐρῶ σοι τἀληθές· οὔπω ἀκριβῶς περὶ τῶν σῶν ἀρετῶν 15 διείλεγμαι πρὸς τὸν αὐτοκράτορα, ἀκροβολίζομαι δὲ πόρρωθεν ἵνα κατὰ βραχὺ τὸν ὑπὲρ σοῦ ἀγῶνα ποιήσωμαι. Καὶ θάρρει τό γε τῆς ἀληθείας μέρος ἐπὶ τῷ σῷ ἀληθῶς φίλῳ Μιχαήλ· θεμέλιον γάρ σοι φιλίας ἀληθοῦς ἀρχῆθεν καταβαλόμενος, οὐκ ἐκστήσομαι τῆς οἰκοδομῆς· ἀλλ' ἀρρενωπὸν τὴν πρὸς σέ μου ἀγάπην θέμενος, 20 μαλακῶν καὶ θηλυτέρων οὐ φροντίσω φρονημάτων· οὐ γὰρ δι' ἑτέρους ἠγάπησα σέ, ἀλλὰ διὰ σὲ ἄλλους.

Ἐλπίδας οὖν ἐπ' ἐμοὶ ἔχε ἀγαθάς· κἂν δύνωμαί τι τῷ βίῳ, σὺ πρῶτος αἰσθήσῃ τῆς ἐμῆς ἰσχύος τε καὶ δυνάμεως, ὁ κάλλιστος πάντων ἀνδρῶν, καὶ φίλος ἀληθής τε καὶ ἀκριβής. 25

364b. * Ἐπιστολὴ βαρβάρου τινός

versio altera [retractatio post-byzantina?] in cod. a[1]; cf. Π 364a = versio prima [P, O, et A]

ined. [a[1]]

Ὅτε σου τὴν γραφὴν ἐδεξάμην, περίβλεπτε κύριέ μου καὶ περιπόθητε ἀδελφέ, τηνικαῦτα ἔμπλεως γεγονὼς ἡδονῆς, τῆς

11–12 τὸν – αὐτοκράτορα: Isaacius Comnenus (imperator: 1.IX.1057 – 22.XI.1059) (Π XXXII)

10 ἐπισυμβεβηκότων P A S H-M: ἐπισυμβαινόντων O ‖ **6–10** οἱ – ἐπισυμβεβηκότων om. Π 364b ‖ **13** αὐτὸν P S H-M: κράτος αὐτοῦ O A ‖ **11–18** καὶ πρὸς – Μιχαήλ: πρὸς σὲ ἀφίξομαι, καὶ τὴν φιλτάτην καὶ ἱεράν σου κεφαλὴν ὄψομαι Π 364b,7–8 ‖ **19** καταβαλλόμενος Π 364b,9 **19–20** ἀρχῆθεν – οἰκοδομῆς P O S H-M: om. A ‖ **21** φροντίσω P O S H-M: φροντίζω A ‖ **20–21** ἀλλ' – φρονημάτων om. Π 364b ‖ **23** δύνωμαί P O S H-M: δύναμαί A ‖ **24** πρῶτα S ‖ **23–24** ἐλπίδας – ἐμῆς: ὡς οὖν ἐλπίδας ἀγαθὰς ἐπὶ σοὶ ἔχω, οὕτω καὶ σὺ ἐν ἐμοί· καὶ κἂν δύναμαί τι τῷ βίῳ, σὺ πρῶτος αἰσθήσῃ τῆς Π 364b,11–12 ‖ **24–25** κάλλιστος – ἀνδρῶν P O S H-M: πάντων ἀνδρῶν κάλλιστος A ‖ **ep. 364b** a[1] 374r–v; P 200v, O 288v–289r, A 45r = Π 364a (versio prima); tit. a[1]: τῷ κριτῇ Παφλαγονίας Π 364a

κατεχούσης με ἠλευθερώθην ἀλγηδόνος· πολλῶν γάρ μοι συμπτωμάτων καὶ νοσημάτων καὶ ἀρρωστημάτων ἐν διαφόροις
5 καιροῖς ἐντυχών, οὔποτε τοιαύτης κακοπαθείας καὶ ἀσθενείας πεῖραν ἔλαβον.

Νῦν οὖν βραχύ τι τῶν δυσχεριῶν ῥαΐσας, πρὸς σὲ ἀφίξομαι, καὶ τὴν φιλτάτην καὶ ἱεράν σου κεφαλὴν ὄψομαι· θεμέλιον γάρ σοι φιλίας ἀληθοῦς ἀρχῆθεν καταβαλλόμενος, οὐκ ἐκστήσομαι τῆς
10 οἰκοδομῆς· οὐ γὰρ δι' ἑτέρους ἠγάπησα σέ, ἀλλὰ διὰ σὲ ἄλλους.

Ὡς οὖν ἐλπίδας ἀγαθὰς ἐπὶ σοὶ ἔχω, οὕτω καὶ σὺ ἐν ἐμοί· καὶ κἂν δύναμαί τι τῷ βίῳ, σὺ πρῶτος αἰσθήσῃ τῆς ἰσχύος τε καὶ δυνάμεως, ὁ κάλλιστος πάντων ἀνδρῶν καὶ φίλος ἀληθής τε καὶ ἀκριβής.

3–4 κατεχούσης – συμπτωμάτων a[1]: τῆς συνήθους ἀλγηδόνος ἐλεύθερος γεγονώς, ἑτέροις ἐξηταζόμην νοσήμασι Π 364a,2–3 ‖ **5–6** κακοπαθείας – ἔλαβον a[1]: ἠσθάνθην δυσφορίας τε καὶ κακοπαθείας· οἱ γὰρ πρὸ μικροῦ ἐπισυμβεβηκότες μοι πόνοι οὓς καὶ αὐτὸς ἐπίστασαι, ἀρχαί μοι γεγόνασι τῶν συμβεβηκότων ἀρρωστημάτων· καὶ ὅσον τὸ μέτρον τοῦ μεγέθους ἦν τῶν προηγησαμένων, τοσοῦτον ἦν τὸ μέτρον τοῦ μήκους τῶν ἐπισυμβεβηκότων Π 364a,5–10 ‖ **8** ὄψομαι scripsi: ὄψαιμαι a[1] ‖ **7–8** πρὸς – ὄψομαι a[1]: καὶ πρὸς τὸν μέγιστον ἡμῶν αὐτοκράτορα ἀφικνοῦμαι, καὶ περὶ ὧν ἐμοὶ μέλει τὰς ἐντυχίας πρὸς αὐτὸν ποιοῦμαι. τίνος δέ μοι μέλει τοσοῦτον, ὁπόσον σοῦ τῆς φιλτάτης καὶ ἱερᾶς κεφαλῆς; ἀλλ' ἐρῶ σοι τἀληθές· οὔπω ἀκριβῶς περὶ τῶν σῶν ἀρετῶν διείλεγμαι πρὸς τὸν αὐτοκράτορα, ἀκροβολίζομαι δὲ πόρρωθεν ἵνα κατὰ βραχὺ τὸν ὑπὲρ σοῦ ἀγῶνα ποιήσωμαι. καὶ θάρρει τό γε τῆς ἀληθείας μέρος ἐπὶ τῷ σῷ ἀληθῶς φίλῳ Μιχαήλ Π 364a,11–18 **9** καταβαλόμενος Π 364a,19 ‖ **9–10** τῆς οἰκοδομῆς a[1]: τῆς οἰκοδομῆς· ἀλλ' ἀρρενωπὸν τὴν πρὸς σέ μου ἀγάπην θέμενος, μαλακῶν καὶ θηλυτέρων οὐ φροντίσω φρονημάτων Π 364a,20–21 ‖ **11–12** ὡς – τῆς a[1]: ἐλπίδας οὖν ἐπ' ἐμοὶ ἔχε ἀγαθάς· κἂν δύνωμαί τι τῷ βίῳ, σὺ πρῶτος αἰσθήσῃ τῆς ἐμῆς Π 364a,23–24

LXXXVI. Κριτὴς Χαρσιανοῦ

varii?

365. Τῷ κριτῇ Χαρσιανοῦ

ca. a. 1057 – a. 1058 [cf. Cheynet 1999,234]? ante 2.II.1059; eodem tempore ut Π 364a [vid. epistolarum ordinem in codd. O et A]

S 73 [P], H-M 68–69 [P]

Ἔτι ἀρρωστῶν, περίβλεπτε κύριέ μου καὶ περιπόθητε ἀδελφέ, τὴν σὴν ἐδεξάμην γραφήν· μετὰ γὰρ τὸ ἀπαλλαγῆναι τῆς συνήθους ἀλγηδόνος, ἑτέροις περιπέπτωκα ἀρρωστήμασιν, ὧν δὴ κατ' ὀλίγον ὑπορρεόντων, τὸ τῆς ἀνορεξίας μοι καὶ ἀπεψίας ἐναπομεμένηκε σύμπτωμα. 5

Τρὶς γοῦν καὶ μόλις ἀρκῶν ἀφότου σὺ τῶν ὧδε ἀπῆλθες, τῷ βασιλεῖ προσωμίλησα, εἰς τὸ παλάτιον ἀπελθών. Ἀλλὰ νῦν τοῦ χειμῶνος καταλαβόντος, θερμότερος γέγονα, καὶ πρὸς τὴν πέψιν ἑτοιμότερος, καὶ πυκνότερον βαδίζειν ἐκεῖσε βεβούλευμαι. Κἂν τύχω δεξιῶν τῶν πραγμάτων, καὶ εὐμενοῦς τῆς βασιλικῆς ἀκοῆς, 10 τοσαῦτα ἐρῶ περὶ σοῦ, ὅσα οὐδ' ἂν αὐτὸς εἰπεῖν ἐπεχείρησας.

Πλὴν ἴσθι ὡς συνεκεφαλαιώθη τὸ πᾶν τῆς τοῦ βασιλέως δυνάμεως (ὡς αὐτὸς ἔγνωκα) εἰς τὸν πρόεδρον καὶ πρωτοβεστιάριον· αὐτὸς γοῦν ἐστιν ὁ πάντα δυνάμενος, καὶ τοὺς ὑπὲρ πάντων λόγους προσφέρων τῷ βασιλεῖ. Κἀγὼ οὖν εἴ τι δυνήσομαι περὶ 15

2–5 μετὰ – σύμπτωμα: cf. Π 364a,2–10 τῆς συνήθους ἀλγηδόνος ἐλεύθερος γεγονώς, ἑτέροις ἐξηταζόμην νοσήμασι· πολλῶν γάρ μοι νοσημάτων καὶ συμπτωμάτων συμπτεπτωκότων ἐν διαφόροις καιροῖς, οὔποτε τοιαύτης ᾐσθάνθην δυσφορίας τε καὶ κακοπαθείας· οἱ γὰρ πρὸ μικροῦ ἐπισυμβεβηκότες μοι πόνοι οὓς καὶ αὐτὸς ἐπίστασαι, ἀρχαί μοι γεγόνασι τῶν συμβεβηκότων ἀρρωστημάτων· καὶ ὅσον τὸ μέτρον τοῦ μεγέθους ἦν τῶν προηγησαμένων, τοσοῦτον ἦν τὸ μέτρον τοῦ μήκους τῶν ἐπισυμβεβηκότων **6–7** τῷ βασιλεῖ: Isaacius Comnenus (imperator: 1.IX.1057 – 22.XI.1059) (Π XXXII) ‖ **13–14** τὸν – πρωτοβεστιάριον: Constantinus Leichudes (Π XXXV) (cf. Weiss 1973,96), ante 2.II.1059

ep. 365 P 205v, O 288v, A 45r; tit. P O A H-M: τῷ κριτῇ Χαρσινοῦ S ‖ **1** ἔτι P O S H-M: ὅτι A | καὶ – ἀδελφέ O: om. P A S H-M ‖ **7** ἀπελθών P O S H-M: προσελθών A ‖ **11** ἐπεχείρησας O: ἐπεχείρεις P S H-M ἐπεχείρισας A ‖ **15** οὖν P A S H-M: γοῦν O

σοῦ, δι᾽ αὐτοῦ τοῦτο δυνήσομαι. Ὅθεν μηδένα τῶν ἁπάντων ἀξίου (βλαβήσῃ γὰρ ἐντεῦθεν μᾶλλον ἢ ὠφεληθήσῃ)· ἀλλὰ πρὸς αὐτὸν σύνθες δουλικωτάτην γραφήν. Ἐγὼ δὲ ταύτην ἐπιδοὺς καὶ ἀφορμὴν εὑρηκώς, ἐρῶ πρὸς αὐτὸν ὑπὲρ σοῦ ὁπόσα δεδύνημαι·
20 ἐμοὶ γὰρ τοῦτό ἐστι χρέος πρὸς σὲ συγγενικόν, μὴ φείδεσθαι πρὸς τοὺς δυναμένους τῶν ὑπὲρ σοῦ ῥημάτων· τὸ δέ γε τῆς σπουδῆς ἀποτέλεσμα κεῖται ἐπὶ τῷ θεῷ.

Ἴσθι δὲ καὶ τοῦτο, ὡς νῦν πρῶτον γράμματα ἐδεξάμην παρὰ σοῦ· ἀξίωσιν δὲ παρὰ τοῦ ὀσπητίου σου, ἢ ἀποστολήν, οὐδ᾽
25 ἡντιναοῦν· ἀλλ᾽ οὐδὲ περὶ ὧν ἔγραψας πρὸς βασιλέα οἶδα, οὐδὲ ὁ ἄνθρωπος αὐτὸς ὁ ἀποκομιστὴς τῶν γραμμάτων παρεγένετο, ἢ ἐθεάθη μοι. Ἐγὼ μὲν οὖν καὶ χωρὶς τῆς τοιαύτης περιόδου, τὸ ἐμὸν ὑπὲρ σοῦ ποιήσω· πλὴν ἔδει καὶ ταῦτα προσεῖναι.

366. Τῷ κριτῇ Χαρσιανοῦ

S 121 [P]

Ἐβουλόμεθα πολλάκις, ποθούμενε ἀδελφέ, διὰ συλλαβῶν ὁμιλῆσαί σοι, καὶ μὴ ἐφευρίσκοντες γραμματοκομιστὴν ἐπιτήδειον, εἰργόμεθα τῆς προθυμίας καὶ ἄκοντες. Νῦν δὲ καιροῦ εὐθέτου λαβόμενοι, καὶ ἀφορμῆς εὐλόγου δραξάμενοι, καὶ
5 προσαγορεύομεν καὶ ἀσπαζόμεθα τὸν ἡμῖν ποθούμενον.

Ἔρρωσο.

LXXXVII. ⟨Μάγιστρος (Μιχαήλ?)⟩

367. ⟨Τῷ μαγίστρῳ (Μιχαήλ?)⟩

S 97 [P]

Φίλτατέ μοι πάντων ἀνδρῶν καὶ συνετώτατε μάγιστρε, ὅτε σου

19 δεδύνημαι P O S H-M: δυνήσομαι A ‖ **20** ἐμοὶ P O S H-M: ἐμοὶ μὲν A
23 πρῶτα S ‖ **25** πρὸς : εἰς S ‖ **28** προσεῖναι P A S H-M: παρεῖναι O
ep. 366 P 217v; tit. P: τῷ κριτῇ Χαρσινοῦ S ‖ **ep. 367** P 211r–v; tit. scripsi: ⟨τῷ μαγίστρῳ Μιχαήλ⟩ S

τὰς ἐπιστολὰς εἰς χεῖρας λάβω καὶ γνῶ δι᾽ αὐτῶν τὸ καταφλέγον πῦρ τὴν ψυχήν σου, οὐκ ἔχω τι δράσω, ἢ τίνα σοι προσάξω παραμυθίαν. Ὃ γοῦν ἐπὶ τῇ ἐμῇ δυνάμει καὶ προθυμίᾳ ἐστίν, αὐτίκα εἰς ὑπόμνησιν ἄγω τὸν φιλάνθρωπον ἡμῶν βασιλέα ὧν τε 5 πέπονθας, καὶ ὧν αὐτός σοι κατεπηγγείλατο. Καὶ εὑρίσκω τοῦτον κοινωνόν σοι τῶν παθημάτων καὶ τοῖς σοῖς κακοῖς ἐπισχετλιάζοντα, καὶ πολλάκις τὸ «ὁ κῦρ Μιχαήλ μου» ἐπιφωνοῦντα καὶ προστιθέντα ἅπερ σοι γέγραφα.

Καὶ οἶδας ὅτι ὁ δεόμενος βασιλέως, ἐπειδὰν τοιούτων ἀκούσῃ 10 λόγων, προσκυνεῖ βαθὺ καὶ ἀφίσταται τῆς δεήσεως, ἵνα μὴ φορτικὸς δόξῃ καὶ ὀχληρὸς καὶ παροξύνῃ μᾶλλον τὴν τοῦ βασιλέως ψυχήν· οὐ γὰρ τῆς ἐμῆς γλώττης φείδομαι, ἀλλά σοι τοὺς λόγους ἐν κρίσει οἰκονομῶ. Τὸ δὲ κατελθεῖν σε εἰς Πύλας ἰαθησόμενον ἵνα μὴ δόξῃ γενόμενον πλήρωσις ἀξιώσεως, οὔτε ἠξίωσα, οὔτε ἀξιώσω 15 ποτέ. Ἕξομαι δὲ τῶν πρώτων αἰτήσεων μέχρις ἂν δῷ θεὸς χρηστὸν ἀποτέλεσμα.

LXXXVIII. Μάγιστρος, βεστάρχης, καὶ στρατηγὸς Ἀβύδου

368. Τῷ μαγίστρῳ βεστάρχῃ καὶ στρατηγῷ Ἀβύδου

post a. 1057 (cf. l. 2 πρόεδρος), post Π 228; eodem tempore ut Π 229, Π 290, et Π 291?

S 165 [P]

Ἰδού σε, λαμπρότατε κύριέ μου καὶ εὐγενῶν εὐγενέστατε, ὁ μὲν φίλτατος, εἰ μὲν βούλει Ψελλός, ἢν δὲ μή, πρόεδρος, εἰ δ᾽ οὖν, ὅπως ἂν ἐθέλοις, καὶ προσαγορεύω διὰ τοῦ παρόντος γράμματος, καὶ περὶ τοῦ παρόντος βασιλικοῦ ἀξιῶ, μᾶλλον δὲ περὶ ἐμαυτοῦ.

14 Πύλας: cf. Janin 1975,99–101 ‖ **2** πρόεδρος: cf. Π 1,32, Π 177,4, Π 277,5, et Π 488,43 ‖ **4** τοῦ – βασιλικοῦ: de quo cf. Π 228,8–9, Π 290,2, et Π 291,28; cf. etiam Π 229,1?

ep. 368 L 35v, U 163v (des. mut.), P 227r, A 46r; tit. U: τῷ στρατηγῷ Ἀβύδου L A, τῷ μαγίστρῳ καὶ στρατηγῷ Ἀβύδου P S ‖ **1** ὁ μὲν U A: ὁ L P S

5 Ὁ μὲν γὰρ μακαρίτης βασιλεὺς κῦρ Κωνσταντῖνος ὁ Μονομάχος διὰ χρυσοβούλλου γραφῆς ἐμοὶ τοῦτο δεδώρηται εἰς ἀναφαίρετον ἐξουσίαν, ἐγὼ δὲ τὸν ἄνδρα τοῦτον τῶν ἄλλων μᾶλλον προελόμενος, διὰ τὴν τοῦ ἤθους ἁπλότητα, κατ' ἐνιαυτὸν εἰς τὴν τοιαύτην προχειρίζομαι λειτουργίαν· ὅν, ἡμῶν χάριν, οὐδεὶς τῶν
10 αὐτόθι ἀδικεῖν ἐπεχείρησεν, εἰ μὴ ὁ πρὸ βραχέος τὴν τούρμαν ἀφῃρημένος Ἀπλοκοννήσου, ὃς καὶ τὰ τῆς πονηρίας ἐπίχειρα παραυτίκα εὕρατο.

Εἰ μὲν οὖν ὁ ἐκεῖνον διαδεξάμενος μὴ περαιτέρω τῶν ἰδίων προνομίων χωροίη, μηδὲ κρίνειν ἐθέλοι, ὧν μόνος τὰς κρίσεις ὁ
15 βασιλεὺς ἔχει, ἀγαθός τέ ἐστι καὶ παρ' ἡμῶν τῶν ἀξίων ἐπαίνων τεύξεται. Εἰ δὲ καὶ οὗτος τὸν τῆς τούρμας παραμείβει κανόνα, καὶ τὰ τῷ βασιλικῷ δεδομένα ἑαυτῷ εἰσποιεῖται, τηνικαῦτα γενοῦ αὐτὸς ἀνθ' ἡμῶν καὶ τῷ βασιλικῷ καὶ τῷ τουρμάρχῃ, τῷ μὲν ἐπικουρῶν, τὸν δὲ ἀνείργων τοῦ ἀδικεῖν.

20 Πλὴν τοῦτο ἴσθι, ὡς πᾶσαν ἂν δύναμιν ἐκ βασιλέως ἐπ' αὐτὸν ἐκινήσαμεν, ἐλεούμενοι ὡς οἶσθα παρὰ τοῦ κράτους αὐτοῦ, καὶ μηδενὸς ἀποτυγχάνοντες ὧν δεόμεθα· ἀλλ' εἰδότες ὅτι σὺ τὸ πᾶν ἀρκέσεις, τῇ σῇ φιλίᾳ περιεγράψαμεν τὴν τοιαύτην ὑπόθεσιν. Δεῖξον οὖν ὡς ἐκεῖνος εἶ ὁ πολλάκις ἐπαγγειλάμενος τρὶς τῆς
25 ἑβδομάδος πρὸς ἡμᾶς ἀφικνεῖσθαι καὶ ἐπισκέπτεσθαι. Ἀλλὰ τούτου μὲν τοῦ λόγου μὴ πεφυλαγμένου, ἀφίημί σε· εἰ δὲ νῦν ψεύσῃ τὴν πρὸς ἡμᾶς φιλίαν, τότε σε γράψομαι ἀδικοῦντα. Ἵν'

5 βασιλεὺς – Μονομάχος: Constantinus IX Monomachus (imperator: 12.VI.1042 – 11.I.1055) (Π XLIV) ‖ **10–11** ὁ – Ἀπλοκοννήσου: de quo cf. Π 228,15–16; cf. TIB 12,245 et 390 ‖ **20** βασιλέως: Isaacius Comnenus (imperator: 1.IX.1057 – 22.XI.1059) (Π XXXII)?

5 ὁ μὲν – Μονομάχος U P A S: ὁ γὰρ Μονομάχος L ‖ **6** ἐμοὶ τοῦτο L U A: μοι τοῦτον P S ‖ **7** τῶν – μᾶλλον L P A S: μᾶλλον τῶν ἄλλων U ‖ **9** τοιαύτην … λειτουργίαν: U P A S: τοιαύτας … λειτουργίας L ‖ **10–11** τὴν – ἀφῃρημένος L P S: ἀφῃρημένος τὴν τούρμαν U A ‖ **11** πονηρίας U P A S: πλημμελίας L ἐπίχειρα: post ἐπί– folia ceciderunt, itaque epistulae finis deest in U **12** εὕρατο L A: εὕρετο P S ‖ **13** μὴ L A: om. P S ‖ **14** χωροίη L P S: χωρήσῃ A μόνος P S: μόνον L μόνων A ‖ **15** ἔχει P A S: ἔχοι L | τέ L P S: om. A **17** δεδομένα L P S: ἀδόμενα A ‖ **18** αὐτὸς L P S: καὶ αὐτὸς A | τουρμάρχῳ A **20** τοῦτο P A S: om. L | ἂν L P S: om. A ‖ **23** ἀρκέσεις L P S: ἀρκέσει A | φιλίᾳ L P S: φιλανθρωπίᾳ A

οὖν τὴν κατηγορίαν ἐκφύγῃς, τοῖς οἰκειοτάτοις τὸν βασιλικὸν καταρίθμησον, ἥμερον ἄνθρωπον καὶ εὐθῆ καὶ ἀπόνηρον.

LXXXIX. Μαΐστωρ τῶν Χαλκοπρατίων

369. Τῷ μαΐστωρι τῶν Χαλκοπρατίων, ὅταν ἀπεστάλησαν αὐτῷ τὰ ἀργυρᾶ τοῦ κλητωρίου καὶ οὐ παρέλαβεν αὐτὰ διὰ τὸ ζητεῖν πλείονα

S 168 [P]

Οὐκ οἶδα πότερον αὐτὸς ἐφιλοσόφησας, λογιώτατε ἀδελφέ, χρημάτων καταφρονήσας, ἢ ἐγὼ μεταδοὺς ὧν ἔχω τοῖς πλείοσιν. Ἀλλὰ τὸ μὲν ἐμὸν ἀκριβῶς εἰλικρινὲς καὶ φιλόσοφον· οὐ γὰρ ἔχει τις εἰπεῖν ὅτι δι' ἄλλο τι τὴν κοινωνίαν πεποίημαι, ἢ δι' ὃ πεποίηκα. Τὸ δὲ σὸν οὐ πάντῃ λευκόν, ἀλλ' ἀχλὺν ἕλκον, καὶ 5 ἐπιμεμιγμένον τῷ μέλανι· εἴποι γὰρ ἄν τις ὡς οὐ καταπεφρόνηκας, ἀλλ' ὅτι ἱμείρῃ τοῦ πλείονος. Μᾶλλον δὲ αὐτὸς καὶ τὴν ὑποψίαν διέλυσας, καὶ τὸν συλλογισμὸν προὔλαβες, αὐτὸ τοῦτο σαυτοῦ κατηγορήσας ὃ ἔδει, εἰ παρ' ἑτέρου τὴν γραφὴν ἔφυγες, ἐν αἰσχύνῃ τίθεσθαι· οὐ γὰρ ἐκδεδανεισμένον (ὡς οἶσθα) 10 ἀπώφληκά σοι ἀργύριον, οὐδ' ὡς ἐκτετισμένον (εἰ μὴ τὸ κεχαρισμένον), ἀλλὰ πρῶτος καταβαλὼν καὶ προφάσεις εὐγνωμοσύνης ποιούμενος· σὺ δὲ δέον εὐχαριστεῖν, ἀλλοτρίᾳ γνώμῃ τὴν χάριν ἠμείψω.

Καὶ εἰ μὲν λόγους διδούς, διπλασίους ἀπήτουν ὧν δίδωμι, 15 φιλοσόφως ἂν τὴν εἴσπραξιν ἤνεγκα. Ἐπεὶ δὲ χρημάτων ἐστὶν ἡ

5 τὸ – λευκόν: cf. Proc. Gaz. Εἰς τὰ ᾄσματα τῶν ᾀσμάτων ἐξηγητικῶν ἐκλογῶν ἐπιτομή PG 87,2 1692,9 Ὠριγένους … λευκός, ἐπειδὴ ὁ Θεὸς ἀληθινός. cf. Π 83,6–7 λευκοὶ τὴν κλῆσιν, ἵνα καὶ ὁ λόγος ἀληθὴς ᾖ

ep. 369 P 228r, B 189v–190r; tit. P S: τοῦ αὐτοῦ (scil. τοῦ Ψελλοῦ) B **9–10** τὴν γραφὴν ἔφυγες: [ca. 15 litt.] B ‖ **10** γὰρ : […] B ‖ **11** ἀργύριον – ἐκτετισμένον : ἀργύρι[ca. 18 litt.]ον B | μὴ τὸ : [….] B ‖ **12–13** προφάσεις – δέον : προφά[ca. 32 litt.] B ‖ **13–14** ἀλλοτρίᾳ γνώμῃ P S: ἀλλοτρίου γνώμης B ‖ **15** διδούς – ἀπήτουν : δι[ca. 16 litt.]ήτουν B | δίδωμι : [ca. 6 litt.] B

χάρις μετάδοσις, ὁ τὸ πλέον αἰτῶν, αὐτός τε φιλοχρηματίας ἁλίσκεται ἐγκλήματι, καὶ τὸν διδόντα διερεθίζει πρὸς ἄμυναν. Καὶ τοῦ μὲν λόγου ὡς ἀπὸ πηγῆς ῥέοντος, οὔτε τὸ τριτημόριον
20 δέχῃ τοῦ ῥεύματος, οὔτε τὸ ἥμισυ· ἀλλ' οὐδὲ πρὸς τὴν πηγὴν παραγίνῃ ποτέ, ὥσπερ οἱ τὰς ἐμπορίας ζητοῦντες ἵνα γνῶσι τὰς ἀπαρχὰς τῆς ὀχετηγίας. Ἀργυρίου δὲ ἀπαριθμουμένου, οὔτε τὸ μέτρον λαβὼν ἀγαπᾷς, ἀλλ' ὡς τοῦ παντὸς ἀπεστερημένος βοᾷς, οὐ τῷ δεδομένῳ τὴν φιλόσοφον γνώμην ἐπιδεικνύς, ἀλλὰ τῷ
25 λειπομένῳ (ὡς ἂν αὐτὸς εἴποις) τὴν φιλόπλουτον φύσιν ἀνακαλύπτων.

Καὶ εἰ μὲν τῆς δόσεως ἡ περίοδος τὴν ἀνακύκλησιν εἶχε συνεχῆ τε καὶ ἀδιάκοπον, ἔδει σε δυσχεραίνειν πρὸς τὸ ἐλλελειμμένον τῆς ἀποκαταστάσεως. Ἐπεὶ δὲ τυχαία μᾶλλον ἡ χάρις ἢ
30 περιοδική, διατί μὴ τὸ αὐτόματον ἀγαπᾷς, ἀλλὰ τὴν ἀρχαίαν ζητεῖς φορὰν καὶ ἐγκύκλιον; Διατί δὲ μὴ τἆλλα προσαπαιτεῖς τῇ ἀρχαιότητι: τὸ φιλόσοφον βῆμα, τοὺς κρατῆρας, τὴν τράπεζαν, τοὺς λόγους, τὴν εὐφημίαν; Ἓν δὲ τῶν πάντων αἰτεῖς, καὶ οὐδὲ τοῦτο ἁπλοῦν ἀλλὰ ποικίλον, καὶ τὸ ὅλον διπλάσιον, καὶ ταῦτα
35 ὁρῶν ὅτι οἱ ταῖς τῶν λόγων πηγαῖς προσκαθήμενοι, τοῦ μὲν τοιούτου νάματος χανδὸν σπῶσι, τοῦ δ' ἑτέρου μέτρον ἕκαστος ὡρισμένον λαβὼν ἄπεισιν.

Εἰ δὲ μὴ ἀπεμέτρησά σοί τι τῶν ἐμῶν, οὐκ ἂν ἐκαρτέρησας; Πῶς οὖν, μηδὲν μὲν εἰληφώς, οὐκ ἔχεις βοᾶν, λαβὼν δέ, ὡς
40 ἀπεστερημένος ἐπεγκαλεῖς; Οὐκ οἶσθα ὅτι χειμῶνος μὲν ὕσαντος τοῦ θεοῦ, ἂν μὴ ῥαγδαῖος γένηται ὁ ὑετός, δυσχεραίνομεν, καὶ

31 φορὰν – ἐγκύκλιον: iunctura philosophica; cf. e.g. Procl. Περὶ τῆς κατὰ Πλάτωνα θεολογίας 1,63,17 ‖ **35–36** οἱ – σπῶσι: cf. Lucian. Περὶ τῶν διψάδων 9 ἐμφοροῦμαι χανδὸν et Suda ι 437 χανδὸν ἐμφορουμένων τῶν ἀνθρώπων τῆς δικαιοσύνης τοῦ κρίνοντος. cf. etiam Π 43,33 χανδὸν ἐμφορῇ μου τοῦ νάματος. iunctura Pselliana in Mich. Ital. Epist. 14 (143,7–8) et etiam Man. Strabor. Or. ad … Alexium I Comnenum 1 (181,14–16), Euth. Mal. Μονῳδία … ἐπὶ τῷ τάφῳ τοῦ ἁγιωτάτου Θεσσαλονίκης κυρίου Εὐσταθίου 3,8–9, et Euth. Torn. Μονῳδία εἰς τὸν ὑπέρτιμον Νέων Πατρῶν 4,15–17 laudata?

17 χάρις μετάδοσις : χάρ[ca. 12 litt.] B ‖ **21** τὰς ἐμπορίας B: τὰς ἐμπόρους P S τοὺς πόρους corr. Wei[2],190 | ἵνα γνῶσι B: ἀγνῶσι P S ‖ **22** ἀπαρχὰς B: ἀρχὰς P S | ἀπαριθμουμένου P S: ἀπηριθμήμενου B ‖ **24** τῷ δεδομένῳ P S: τοῦ διδομένου B ‖ **28–29** ἐλλελειμμένον P S: ἐκλελυμένον B ‖ **29** ἢ B: οὐ P S

παρὰ τὸν καιρὸν τὰς ψεκάδας τιθέμεθα, καὶ σημειούμεθα τὰς νεφέλας, θέρους δὲ καὶ τὰς σταγόνας ἀποδεχόμεθα, καὶ τὴν τοῦ ἀέρος ὑγρότητα ἐν τῇ μεγίστῃ τίθεμεν ἡδονῇ; Ἢ περὶ μὲν τοὺς καιροὺς οὕτω χρὴ διατίθεσθαι, ἄλλως δὲ περὶ τὰ πράγματα 45 στρέφεσθαι;

Τὸ κεχηνὸς ἐκείνου τοῦ κρατῆρος ἀκριβῶς νῦν ἐπιπέφρακται. Οὐκ ἔστιν ἄλογος ἡ φορά, ἀλλὰ γεωμετρικὴ καὶ ῥητή· καὶ ὡς φιλοσόφοις ἡμῖν, βραχὺ μὲν τὸ ἐκ τῶν χρημάτων μέτρον, πλεῖον δὲ τὸ ἐκ τῶν λόγων ἐποχετεύεται. Οὐκ ἔστιν ἡ χάρις ὥσπερ 50 διάττουσα ἀστραπή, ἀλλ' ὥσπερ σεληνιακὴ φύσις ἐπὶ πλεῖστον χρόνον τῷ σχήματι παραμένουσα.

Εἰ μὲν οὖν φιλόσοφος εἶ, δεῦρο παρ' ἡμᾶς, καὶ μυοῦ τὰ τῆς φιλοσοφίας ἀπόρρητα. Εἰ δὲ φιλοχρήματος, ἴθι παρὰ τοὺς τῆς Αἴτνης κρατῆρας· εἰ γὰρ καὶ τὸ χρυσοῦν πνεῦμα ἐκεῖθεν ἀπέλιπεν, 55 ἀλλὰ σήραγγάς τινας τῆς γῆς διελθόν, ἀφ' ἑτέρου αὐλῶνος τὸ χρυσοῦν ἀπερεύγεται ῥεῖθρον. Ἀλλ' ἡ σελευκὶς τὸν ἀττάκην, ἐσθίουσα μέν, οὐ κορέννυται, οὐ λιμώττει δὲ μὴ ἐσθίουσα. Τοιοῦτόν τι καὶ αὐτὸς πέπονθας, καὶ μηδὲν μὲν λαβὼν ἐπλούτεις, λαβὼν δὲ ὡς τοῦ παντὸς ἐλλελειμμένος, τὰ ἄνω κάτω ποιεῖς, 60 ὥσπερ αἱ βραχύτεραι τῶν ὀπῶν· ἐκεῖναι γὰρ ἢ οὐδόλως τὸ ἐπιρρέον προσδέχονται, ἢ ἅπαξ δεξάμεναι καὶ τοῦ στομίου τι παρανοίξασαι, τὸ πᾶν ἐπισπῶνται. Ἀλλ' ἔστιν ἕτερον ἄγγος, αὐλῶνα μέσον ἀνέχον, καμπύλῳ ἐπικεκαλυμμένον σίφωνι, πλῆρες ὕδατος, μᾶλλον δὲ βραχεῖ τινι μέρει λειπόμενον, ὅσον πλησίον 65 που παραχεῖσθαι τὸ ὕδωρ τοῦ περὶ τὸν αὐλῶνα στόματος. Τοῦτο ἂν ὑπερβλύσαν τὸν αὐλῶνα ἔχχυσιν δέξηται, τὸ πᾶν ἀποχεῖται,

54–57 τοὺς – ῥεῖθρον: cf. Strab. Γεωγραφικά 6,2,8? ‖ **57–58** ἡ – κορέννυται: cf. Suda σ 199 σελευκίς: ὄρνεόν ... ἀκόρεστον ‖ **60** τὰ – κάτω: proverbium, CPG II 61 (nr. 61) cum Karath. 92; cf. Psel. Πρὸς τοὺς βασκαίνοντας αὐτῷ = Or. min. 10,42, Περὶ τῆς χρυσῆς ἁλύσεως = Phil. min. I 46,98–99, et II 177,11

47 κρατῆρος : [...]τεροῦ B ‖ **48** οὐκ P S: καὶ οὐκ B | φορά P S: φωνὴ B | ῥητή P S: ῥητορικὴ B ‖ **54** τῆς B: om. P S ‖ **55** ἀπέλιπεν B: ἐπέλιπεν P S ‖ **61** τὸ P S: τι B ‖ **62** τοῦ – τι B: τοῦ στομίου P S τῷ στομίῳ corr. Wei[2],191 ‖ **64** καμπύλῳ P S: καμπύλον B

καὶ κενὸν παρὰ δόξαν τὸ ἄγγος δείκνυται. Ὅρα μὴ καὶ σοὶ τῷ μέρει τὸ πᾶν ἐκχυθῇ τῆς οὐσίας, καὶ τηνικαῦτα τὸν φιλόσοφον
70 ἡμῖν δείξῃς οὐκ ἐν τοῖς λόγοις, ἀλλ' ἐν τοῖς πράγμασιν.

XC. Μέγας οἰκονόμος

varii?

370. Τῷ μεγάλῳ οἰκονόμῳ

K-D 121 [L]

Ὡς ὁ θαυμάσιος λογογράφος λέγει, «ἐσκιαγραφήθη» μόνον αὐτῷ ἡ τοῦ κουβουκλησίου τιμή, οὐ μὴν καὶ ἡ μορφὴ ἐξειργάσθη.

Ἐπίθες οὖν τῇ σκιᾷ καὶ τὰ χρώματα· χρυσᾶ δὲ εἴη παντὸς ἕνεκα. Εἰ δὲ καὶ τῆς ἱερᾶς ἀφήσεις φορολογίας, οὐκ ἐπιχρώσεις
5 μόνον, ἀλλὰ καὶ ἐπιγράψεις ἀθανάτω ἐπιγραφῇ· ἢν δὲ μή, δευτέρα σε περὶ τούτου ἐπιτρίψει γραφή. Ἵν' οὖν μὴ τὴν δευτέραν συμφορὰν ὑποσταίης, τῆς πρώτης καὶ μόνης τοῦτον ἀπάλλαξον, μὴ ὑπερθέμενος τὸν καιρόν· αὔριον γὰρ μεθ' ἡμῶν καὶ οὗτος ἀπαίρει.

68 ἄγγος δείκνυται: cf. Psel. Ὅτε παρῃτήσατο τὴν τοῦ πρωτοασηκρῆτις ἀξίαν = Or. min. 8,168–171 τὰ δὲ Ἥρωνος καὶ Ἀρχιμήδους, ἐφ' οἷς αὐτὸς πεποίηκα χαλκεύων ἐτράνωσα ἀπὸ σίφωνός τε καμπύλου τὸ ὕδωρ ἠώρησα· καὶ τετρημένον ἄγγος ἐπέχον τοῦτο ἐποίησα ἐξ αὐτοῦ τε τοῦ στομίου δύο τῶν ὑγρῶν φύσεων ἀμίκτως ἐξέχεον cum Her. Πνευματικά I,9,22 etc. ‖ **1** ἐσκιαγραφήθη: vox saepe in Greg. Naz. laudata; cf. e.g. Εἰς τὸν μέγαν Βασίλειον … = Or. 43,12 etc.; cf. Psel. Ἐγκώμιον εἰς … Νικόλαον μοναχὸν … = Or. fun. I 10,1,15–16. cf. etiam Philostr. Βίοι σοφιστῶν II,11 (592,6–9) τὴν δὲ ἰδέαν τῶν λόγων πεποίκιλται μὲν … λείπεται δὲ αὐτῶν τοῦ ἑτοίμου, καθάπερ ἐν ζωγραφίᾳ ἡ ἄνευ χρωμάτων ἐσκιαγραφημένη μίμησις et Τὰ ἐς τὸν Τυανέα Ἀπολλώνιον 1,2,16–17 καθάπερ ζωγράφος ἐσκιαγραφημένοις ἐπιβαλὼν χρώματα

69 μέρει : [.....] B | τὸ – οὐσίας P S: τῆς οὐσίας τὸ πᾶν ἐκχυθῇ B ‖ **ep. 370** L 60r; tit. L K-D ‖ **1** ἐσκιαγραφήθη scripsi: ἐσκιογραφήθη L K-D ‖ **6** ἐπιτρίψει: παραθήξει in marg. L

371. Τῷ αὐτῷ

Τῷ μεγάλῳ οἰκονόμῳ

K-D 122 [L]

Τουτονὶ τὸν Μέλανδρον Λέοντα ἀγνοῶ. Ὁ δέ γε τοῦτον εἰδὼς ἀνδρῶν μοί ἐστι φίλτατος, καὶ ἠξίωσε ταύτην δὴ τὴν γραφὴν περὶ αὐτοῦ, πρὸς τὴν σὴν ποιῆσαι σεβασμιότητα, αὐτὸ δὴ τοῦτο ἀξιοῦσαν ὅπερ ἐκεῖνος ἠξίωσε: τῆς σῆς τυχεῖν εὐμενείας, καὶ ἐν τῷ χορῷ εἶναι τῶν ἑλιττομένων περὶ τὴν σὴν ἱερωτάτην ψυχήν. 5

Εἰ μὲν οὖν ὁ ἀνὴρ ἀγαθὸς τὸν βίον ἐστί, καὶ τὸν τρόπον ἐπιεικής, καὶ οἷον σκιάς τινας τῆς σῆς κεκτημένος ἀρετῆς, δυνηθείη ἄν μοι καὶ τὸ γράμμα αὐτόθεν πρὸς τὴν ἀξίωσιν. Εἰ δ' οὖν, ἀλλ' οἶδα καὶ τὰ ψυχρὰ τῶν σωμάτων, ὁμοῦ τῷ πυρὶ πλησιάσαντα, καὶ εὐθὺς μεταποιηθέντα πρὸς ἑτέραν ποιότητα. Τοῦτο 10 γοῦν ὁ Μέλανδρος, μέλανδρος ὤν, πείσεται, σοὶ τῷ καθαρωτάτῳ προσομιλήσας· λευκανθήσεται γὰρ ὑπὸ σαῖς ἀκτῖσι τεθείς, οὐ σωματικοῖς καθαρσίοις νιτρούμενος, ἀλλ' ὑπὸ τῇ σῇ μαρμαρυγῇ καθαιρόμενος· καὶ οὐ μέλανδρος ἔτι, ἀλλὰ λεύκανδρος γενήσεται καὶ κληθήσεται. 15

372. Τῷ μεγάλῳ οἰκονόμῳ

S 31 [P]

Δεῖξον τὸ τῆς οἰκονομίας ὄνομα, δέσποτά μου τιμιώτατε καὶ σοφώτατε, καλῶς ἐπιτεθὲν καὶ πρεπόντως σοι, τὴν ἐμὴν δεόντως οἰκονομησάμενος δέησιν· οἶδας γὰρ πάντως, λόγοις παιδευθεὶς καὶ αὐτός, ὡς εἰ μή τις εὐκαίρως τοῖς πράγμασι χρήσαιτο, καὶ κατὰ καιροὺς τοὺς προσήκοντας προσαρμόσειεν, ἄχρηστα ταῦτα 5 ταχέως ἐναπεργάζεται. Ἐγὼ δὲ οὐδὲ τοσοῦτον τὴν ἀξίωσιν ἐπαισχύνομαι εἰ, τοιοῦτος ὢν καὶ παρὰ τοιούτῳ σοφῷ, βραχεῖς τινας ἐξ ὑμῶν μεδίμνους ἐπιζητῶ, καὶ περὶ πολλοῦ ποιοῦμαι τὴν

ep. 371 L 60r–v; tit. L K-D ‖ **ep. 372** P 198r; tit. P S ‖ **1** δεῖξον: δεῖ καὶ S

ζήτησιν· πρῶτον μὲν ὅτι καὶ Ἠλίαν οἶδα παρὰ τῆς Σιδωνίας
10 ἄρτον αἰτήσαντα, καὶ τὸ τοῦ δικαίου Ἰακὼβ σπέρμα ἐν Αἰγύπτῳ
τοῦτο ποιήσαντα, ἔπειτα καὶ βαρύ μοι τοῦτο λελόγισται, τοῖς
αἰγιαλοῖς καθημέραν προσπαραγίνεσθαι, καὶ τὰς σιτηγοὺς τῶν
ὁλκάδων ἀναζητεῖν, καὶ τὰς ἰδέας ἐρευνᾶν τῶν πυρῶν, καὶ τίς μὲν
ὁ μακροκεντίτης λεγόμενος, τίς δὲ ὁ διμηνίτης καλούμενος, τίς ὁ
15 μέλας, τίς ὁ τὴν ἀρίστην σεμίδαλιν ἐργαζόμενος, καὶ ποῖος ὁ
καθαρώτατος παρὰ τούτοις ὠνόμασται, τίς δὲ ὁ κοῦφός τε καὶ
διάκενος, καὶ πόσου διαπωλεῖται τιμήματος, καὶ ἄνδρας ἐπὶ
τούτου μισθοῦσθαι, καὶ φύλακας τῶν τοιούτων ἱστᾶν, καὶ τὰ
τοιαῦτα ποικίλως περιεργάζεσθαι. Διὰ ταῦτα τὰς πολυπλόκους
20 πραγματείας ἀφείς, εὐώνως ἐξ ὑμῶν ὠνοῦμαι τὰ ἐπιτήδεια,
μικρᾶς φιλίας εὐαρίθμους μεδίμνους ἀνταλλαττόμενος· τοιοῦτον
γὰρ τοῦτο τὸ χρῆμα (φημὶ δὴ τὴν ἀγάπην τὴν ἀνυπόκριτον), τὰ
μεγάλου τιμώμενα χωρὶς ἀργυρίων εἰσπράττεται· καὶ ὅ φασι περὶ
τῶν γυπῶν οἱ τούτοις τοῖς λόγοις ἐνασχολούμενοι ὅτι χωρὶς
25 τίκτουσι τῆς τῶν ἀρρένων ἐπιπλοκῆς, τοῦτο περὶ τῆς φιλίας αὐτὸς
ἀποφαίνομαι.

Εἰ μὲν οὖν διὰ σοῦ κατὰ σκοπὸν προέλθῃ μοι τὸ αἰτούμενον,
ἐπὶ σὲ τὴν χάριν ἀναρτῶ τοῦ πράγματος ἅπασαν. Εἰ δ' οὖν, τὸ
τοῦ Ἄχαζ καὶ αὐτὸς ἀποφθέγγομαι, ὡς «οὐ μὴ αἰτήσω, οὐδ' οὐ
30 μὴ ἐκπειράσω» ἔτι περί τινος, δέσποτά μου· ἡ γὰρ μικρὰ

9–10 Ἠλίαν – αἰτήσαντα: III Reg. 17,13 καὶ εἶπεν πρὸς αὐτὴν Ηλιου ... ποίησον ἐμοὶ ἐκεῖθεν ἐγκρυφίαν μικρόν, cf. Psel. Εἰς … Κωνσταντῖνον τὸν Ξιφιλῖνον, ἀξιώσαντα αὐτὸν μεταβαλεῖν τὸ … Ὄργανον ἀπὸ τοῦ ἀσαφοῦς ἐπὶ τὸ σαφές = Phil. min. I 5,45–46 et Σύνοψις διὰ στίχων σαφῶν καὶ πολιτικῶν περὶ πασῶν τῶν ἐπιστημῶν γενομένη πρὸς τὸν εὐσεβέστατον βασιλέα κῦριν Μιχαὴλ τὸν Δούκαν = Poem. 6,320 et Π 167,57-58, Π 272,84, et Π 327,13-16 ‖ **10–11** τὸ – ποιήσαντα: Gen. 41,55–57 et 47,13–16 ‖ **23–25** καὶ – ἐπιπλοκῆς: cf. Theophyl. Sim. Διάλογος περὶ … φυσικῶν ἀπορημάτων … 23,15–24,4 πολλὰ γένη τῶν ὀρνίθων ... οὐ δεῖται τῆς τῶν ἀρρένων συμπλοκῆς πρὸς τὴν κύησιν ... τοὺς δὲ γῦπας ἀσυνδυάστως τίκτειν παρακελεύονται φύσεως νόμοι. γῦπα τοίνυν οὐκ ἔστι θεάσασθαι ἄρρενα, ἀλλὰ πᾶν τὸ γένος αὐτοῖς ἡ τοῦ θήλεος ἀπηνέγκατο φύσις cum Aelian. Περὶ ζῴων ἰδιότητος 2,46,6–7 γῦπα δὲ ἄρρενα οὔ φασι γίνεσθαί ποτε, ἀλλὰ θηλείας ἁπάσας **29–30** οὐ[1] – ἐκπειράσω: Is. 7,12 καὶ εἶπεν Αχαζ Οὐ μὴ αἰτήσω οὐδ' οὐ μὴ πειράσω κύριον

προσβολὴ καὶ τῶν ἄλλων πάντων προοίμιον, καὶ ὁ τῆς οἰκίας καπνὸς τὴν ἔνδον φλόγα αἰνίττεται.

Ἔδει μὲν οὖν με μηδὲ νῦν αἰτεῖσθαι περὶ τούτων ὑμᾶς, μεγάλας ἔχοντα τὰς ἐπαγγελίας καὶ ἄλλων ἐν προσδοκίαις ὑπάρχοντα. Ἀλλὰ τί πάθω; Κρατήρων μὲν καὶ ψυκτήρων καταφρονεῖν εἰώθα- 35 μεν ἄνθρωποι, σίτου δὲ οὐδεὶς τῶν ἁπάντων καταπεφρόνηκε. Καὶ ἵνα σοι τἀληθὲς ἐρῶ, ἐμοὶ μὲν ἀρκούντως ἐπιχορηγοῦνται τὰ ἄλφιτα, ἀλλά μοι τις αὐτόθι ἐστὶν ἀδελφή, πτωχὴ μέν, μονάζουσα δέ, καὶ διὰ ταύτην, καὶ ταύτην πρὸς ὑμᾶς ποιοῦμαι τὴν ζήτησιν.

XCI. Μητροπολίτης Ἀμασείας

373. ⟨Τῷ μητροπολίτῃ Ἀμασείας⟩

ca. a. 1059? eodem tempore ut Π 165 et Π 380 [vid. epistolarum ordinem in L] et etiam Π 166 et Π 374 [cf. De Vries-Van der Velden 1996,119–120]]

K-D 58 [L]

Προσαγορεύω τὸν τιμιώτατον Ἀμασείας, μᾶλλον δὲ τὸν ὑπέρτιμον. Ἅμα δὲ καὶ προσάγω τούτῳ τίνα; ἐμαυτόν· οὐ γὰρ ἄλλος ὁ κριτὴς παρ᾽ ἐμέ, εἰ μὴ ὅσον τῷ ἀριθμῷ διαφέρομεν, ἤγουν ταῖς ὑποστάσεσιν.

Τοιοῦτος γοῦν τῷ ἀνδρὶ φάνηθι, ὁποῖος ἂν εἰ ἐμὲ εἶδες, πρὸς 5 σὲ παραγενόμενον. Φανεῖται δέ σοι καὶ οὗτος κρείττων ἴσως, ἤπερ ἐγώ. Ἔστι μὲν γὰρ καὶ αὐτόθεν καλός (ναὶ νὴ τὴν ἱεράν σου ψυχήν!), γέγονε δὲ καλλίων ταῖς ἐμαῖς ὑποθήκαις· καὶ δεδίδακται τιμᾶν μὲν ἀρετήν, σέβεσθαι δὲ φιλίαν, καὶ πρὸ πάντων, τὸν καλὸν Ἀμασείας, τὰ πρῶτα τῶν φίλων λογίζεσθαι. 10

31–32 ὁ – αἰνίττεται: proverbium; cf. Psel. ⟨Εἰ⟩ς τὰ ὑποκείμενα ῥητὰ τοῦ ἑπτακαιδεκάτου ψαλμοῦ = Theol. I 73,30–31 ἀλλ᾽ εἴωθε φυσικῶς πρὸ τοῦ πυρὸς καπνός τις ἐπεγείρεσθαι, ἀφ᾽ οὗ δὴ τὴν φλόγα σημαινόμεθα ‖ **3** ὁ κριτής: de quo cf. Π 165,4, Π 166,39, Π 374,5, Π 375,33–34 et Π 380,9. Basilius Maleses (Π XXXVIII) (ut De Vries-Van der Velden 1996)? ‖ **5–6** τοιοῦτος – παραγενόμενον: cf. Π 165,12–13 ἵνα ἔχοις, αὐτὸν ὁρῶν, ἐμὲ καθορᾶν

ep. 373 L 32r–v; tit. scripsi: ⟨τῷ Ἀμασείας⟩ K-D

Φάνηθι γοῦν τούτῳ τὰ μὲν ἄλλα χρηστός, τὴν δὲ κλῆσιν ψευδώνυμος, μὴ Λακωνικὴν αὐτῷ ἀλλὰ Συβαριτικὴν τράπεζαν παραθέμενος.

374. Τῷ Ἀμασείας μητροπολίτῃ

ca. a. 1059? eodem tempore ut Π 165, Π 166, Π 373, et Π 380 [De Vries-Van der Velden 1996,119–120]

S 35 [P]; cf. Π 521 [K]

Ὁ μέγας Ἀμασείας καὶ σύγκελλος, ὁ τὰ πρῶτα τῆς εὐγενείας, ὁ τὰ πρῶτα τῆς λογιότητος, εἴποιμι δὲ καὶ τῆς ὁσιότητος καὶ σεμνότητος, ἀλλ' οὗτος ὁ τηλικοῦτος οὔτε ἐπιστέλλει πρὸς ἡμᾶς, οὔτε προσφωνεῖ ὀλιγοσύλλαβόν τινα προσφώνησιν τὸ «ὑγίαινε»,
5 οὐδὲ διδάσκει ὅπως αὐτῷ ὁ τοῦ Ἀρμενιακοῦ διετέθη κριτής, ὁ ἐμὸς μὲν υἱός, σὸς δὲ γνησιώτατος ἀνεψιός.

Εἰ μὲν οὖν ὥσπερ δὴ παρ' ἐμοῦ παρήγγελται, οὕτω δὴ καὶ γνώμης ἔχει πρὸς σέ, πέφευγε τὴν ἐμὴν τιμωρὸν χεῖρα. Εἰ δὲ μικρόν τι παραβέβηκε τῶν ἐμῶν ἐντολῶν, δαρήσεται πολλάς.
10 Ἀλλ' οἶμαι μὴ δαρήσεσθαι· οὕτω γὰρ αὐτὸν ἐξεπαίδευσα ὡς μὴ δεῖσθαι πληγῶν, ἀλλ' ἀξιοῦσθαι τιμῶν. Εἰ δὲ καὶ τῶν παρὰ σοῦ ἐπαίνων τύχῃ, καὶ ἐν καιρῷ καὶ πρὸς ὃν δεῖ, τοῦτο τὸ εὐκταιότατον· ὁ γὰρ Σαββαΐτης πολλαῖς αὐτὸν καταπλύνει ταῖς ὕβρεσι, συμπεριλαμβάνων καὶ σέ, οὐδὲν δὲ ἧττον κἀμέ, πόρρω καθήμενον,

12 Λακωνικὴν (τράπεζαν): cf. Proc. Gaz. Epist. 91,19–20 εἴθε δὲ καὶ τράπεζα νῦν αὖθις ἐκράτει Λακωνική | Συβαριτικὴν τράπεζαν: proverbium, CPG I 156 (nr. 87) et II 649 (nr. 83a); cf. Psel. Ἐγκώμιον εἰς τὴν ἀποτομὴν … Ἰωάννου = Or. hag. 8,566 ‖ **5** ὁ[1] – κριτής: de quo cf. Π 165,4, Π 166,39, Π 373,3, Π 375,33–34, et Π 380,9. Basilius Maleses (Π XXXVIII) (ut De Vries-Van der Velden 1996)? ‖ **6** σὸς – ἀνεψιός: cf. Π 304,2 ‖ **8–9** εἰ δὲ – πολλάς: Luc. 12,47 ὁ δοῦλος ὁ γνοὺς τὸ θέλημα τοῦ κυρίου αὐτοῦ καὶ μὴ ἑτοιμάσας ἢ ποιήσας πρὸς τὸ θέλημα αὐτοῦ δαρήσεται πολλάς. cf. Π 275,106 ‖ **13** ὁ – Σαββαΐτης: de quo cf. Psel. Πρὸς τὸν Σαββαΐτην = Poem. 21

ep. 374 L 55r–v, P 198v, V 62v–63r, v[4] 100r–v (= V), r fasc. 20 (= v[4]), K58v (excerptum = Can 2 = Π 521); tit. L: om. P τοῦ αὐτοῦ ἐπιστολή V ⟨τῷ Ἀμασείας⟩ S ‖ **1–3** ὁ τὰ – σεμνότητος: Π 521 ‖ **2** ὁσιότητος καὶ om. Π 521,3 **5** οὐδὲ L: οὔτε P V S | διετέθη L P S: διατέθηται V ‖ **6** μὲν L P S: om. V ‖ **7** οὖν L P S: om. V | δὴ[1] – ἐμοῦ L: δὴ παρ' ἡμῶν P S om. V ‖ **13** καταπλύνει – ὕβρεσι L: ταῖς ὕβρεσι καταπλύνει P V S ‖ **14** πόρρω καθήμενον P V S: om. L

καὶ τὸν βασιλέα, καὶ τὸν θεόν· διακυρίττεται γὰρ καὶ πρὸς αὐτὸν τὸν οὐρανόν, καὶ προσουδίζει μὲν τὴν κεφαλὴν τῇ γῇ, προσαρράσσει δὲ καὶ σκοπέλοις καὶ πέτραις. 15

Τῶν μὲν οὖν ἄλλων, μὴ ἔχοι φειδώ· ἐγὼ γὰρ πρῶτος αὐτῷ πρὸς τὰς φλυαρίας ἐπιβύω τὴν ἀκοήν, ἢ μᾶλλον δεχόμενος ἐπιμειδιῶ. Φειδέσθω δὲ τοῦ πρὸς κέντρα λακτίζειν, ἵνα μὴ διαμαχθείη τὰ σκέλη. 20

375. Τῷ μητροπολίτῃ Ἀμασείας

K-D 136 [L]

Ἦ τὰ τοιαῦτα γράφειν εἰδώς, ὑπέρτιμε δέσποτά μου, καὶ οὕτω μὲν συντιθέναι τὴν λέξιν, οὕτω δὲ ἐναρμόζειν τὴν ἔννοιαν, ἐφείδου γραφῶν πρὸς ἐμέ, καὶ ἐπεῖχες τὴν χεῖρα, ἄριστος ὢν κυβερνήτης καὶ οἰακίζειν ἄριστα τοὺς λόγους ἠκριβωκώς; Ἐγὼ δὲ σοφὸς μὲν ἴσως εἶναι οὐκ ἂν ἀρνηθείην, ἵνα μή τις καὶ πρός με ἐπιτωθάσειε 5 τὸ «αὕτη ἐκείνη ἡ εἰωθυῖα εἰρωνεία Σωκράτους», ἐν δέ γε τοῖς φιλικοῖς καθήκουσι, καὶ ταῖς πρὸς τοὺς φίλους ἐνδιαθέτοις ἐπιστολαῖς, οὐδὲ σοφίζεσθαι βούλομαι, οὐδὲ περιττὸς εἶναι, οὔτε τὴν συνθήκην, οὔτε τὴν μέθοδον· ἀρκέσει δέ μοι ἡ ἰδιωτεία τῆς λέξεως, καὶ τὸ ἀφελὲς κάλλος καὶ ἄτεχνον, οἷον δὴ προφαίνει καὶ 10 παροῦσα ἐπιστολή.

15 τὸν βασιλέα: Isaacius Comnenus (imperator: 1.IX.1057 – 22.XI.1059) (Π XXXII) vel Constantinus X Ducas (imperator: 23/24.XI.1059 – 22/23.V.1067) (Π XVIII)? ‖ **15–17** διακυρίττεται – πέτραις: Synes. Cyren. Epist. 41,255 διακυρίττεται τῷ θεῷ cum Αἰγύπτιοι ἢ περὶ προνοίας 1,13 τὴν κακὴν κεφαλὴν προσουδίζων τε καὶ κίοσι προσαράσσων. cf. Psel. Εἰς τὸ 'σοὶ μόνῳ ἥμαρτον …' = Theol. I 14,31–32 πρὸς αὐτὸν διακυρίττεται τὸν θεόν, τῇ κεφαλῇ μὲν ἀτεχνῶς προσαράσσων τὸν οὐρανόν ‖ **20** πρὸς – λακτίζειν: Act. 26,14 σκληρόν σοι πρὸς κέντρα λακτίζειν ‖ **6** αὕτη – Σωκράτους: Plat. Πολιτεία 337a4–5 ὦ Ἡράκλεις, ἔφη, αὕτη 'κείνη ἡ εἰωθυῖα εἰρωνεία Σωκράτους. cf. Olympiod. In Alc. 52,22–23

16 τὸν L: om. P V S ‖ **16–17** προσαρράσσει L V: προσαρράττει P προσαράττει corr. S ‖ **19** τὰς φλυαρίας L P S: τὴν φλυαρίαν V ‖ **ep. 375** L 65v–66r; tit. L K-D ‖ **1** ἦ scripsi: εἰ L K-D ‖ **6** αὕτη – Σωκράτους: ὁ Σωκράτης κατεγέλα πάντων τῶν γνωστικῶν in marg. L (cf. Ioann. Tzetz. Comm. in Aristoph. ranas, Argumentum 7–9)

Θάρρει τοιγαροῦν ἀνακεραννύμενος τῇ πρὸς ἡμᾶς φιλίᾳ διὰ τῶν γραμμάτων· καὶ γράφε ὅπως ἔχεις φύσεως, ὡς ἀποδέχομαί σου τὸ διειδὲς τῶν πηγαίων ἐπιστολῶν, καὶ οὐ ζητῶ καλλίονα τοῦ
15 προχεομένου ἐντεῦθεν ποταμόν. Τοῦτό σου μόνον κατητιασάμην, ὅτι τὸ ἐν πολλοῖς ἀποδεδειγμένον ἢ καὶ αὐτόθεν ὁμολογούμενον, τὴν πρὸς τὸν δεῖνα φιλίαν, ἐμφύτοις αὖθις ἐννοίαις ἐπειράθης ἀποδεικνύειν, τὰς ἐναντίας ὑπολήψεις τῆς σῆς διαθέσεως ἐξαρνούμενος. Ἆρ' οὐκ ἐκεῖνος εἶ ὁ σεβάσμιός μου δεσπότης, ὁ τῆς
20 Ἀμασείας πρόεδρος, ὁ πρὸς τὸ παράδειγμα τοῦ γένους ἀναδραμὼν ἢ ὁ κοσμήσας ἐκεῖνο τοῖς ἐπὶ σοῦ χρώμασιν, ὁ τὴν ψυχὴν ἀγαθός, ὁ τὴν γνώμην σεμνός, ὁ τὴν γλῶσσαν ἡδύς, ὁ φιλίας θεσμοὺς ἐπιστάμενος;

Τί γοῦν μοι τὸ σαυτοῦ ἄγαλμα δεικνύμενον, ὁποῖόν ἐστιν,
25 ἐπιχειρεῖς δεικνύειν, καὶ διερμηνεύεις αὐτὸς σεαυτόν; Ἔγωγ' οὖν (ἵνα τί σοι καὶ τῶν ἐμῶν ἀπορρήτων εἴπω), καὶ ὃν οὔπω καθεώρακα ἅπαξ ἰδών, ἀπὸ τῶν ὀφθαλμῶν ἐγνωμάτευσα· σοῦ δὲ καὶ τῆς φωνῆς ἤκουσα, καὶ τῶν ἄλλων ἐπειράθην αἰσθήσεων, καὶ τὴν ἀρετὴν ἠκρίβωσα, καὶ εἰς τὴν ψυχὴν διὰ πάντων παρέκυψα.
30 Κάλλιον γοῦν ᾔσθημαί σου, ἢ αὐτὸς σεαυτοῦ.

Βούλει γοῦν ἐν βραχεῖ παραστήσω σοι ὁποῖος εἶ τὴν ψυχήν; καὶ μή μοι μέμψαιο εἰ μὴ μακρὸν ἀποτείνω λόγον. Οἷον προσήκει

25–29 ἔγωγ' – παρέκυψα: cf. Psel. Εἰς τὸν αὐτοῦ ἔκγονον ἔτι νήπιον ὄντα = Or. min. 38,17–20 ἐπεὶ καὶ γνωματεύειν ἐγὼ δεινός, εἴπερ τις ἄλλος, καὶ διὰ τῶν αἰσθήσεων ὥσπερ θυρίδων τινῶν προκύπτειν εἰς τὴν ψυχήν, μᾶλλον δὲ αὐτὴν ὀφρύσι καὶ ὀφθαλμοῖς ἐγκαθημένην κατανοεῖν, Π 9,46–50 δεινὸς δὲ εἰ καί τις ἄλλος ἐγὼ ψυχὴν κατοπτεῦσαι δι' ἐναργῶν τινῶν συμβόλων καὶ χαρακτήρων (ἢ γὰρ μάτην ἂν εἴην ἀνεγνωκὼς φυσιογνωμικὴν τέχνην, εἰκῇ δέ μοι καὶ ὁ χρόνος τῆς περὶ ταῦτα πείρας ἀνάλωται· ἀλλ' οὐκ ἔστι ταῦτα), Π 10,55–56 δεινὸς γὰρ εἰ καί τις ἄλλος, ὥσπερ δι' ὑμένος λεπτοῦ τοῦ σώματος, καὶ καρδίαν καὶ ἧπαρ ἰδεῖν, Π 173,61–66 ἐγὼ δὲ φιλόσοφος (ὡς οἶσθα) τυγχάνων, καὶ τὴν κρίσιν ἀπαραλόγιστος, «ἐκ κεφαλῆς» (ὅ φασιν) «ἐς πόδας» κατανενόηκά σε. μεμάθηκα δέ σοι καὶ τὰ τῶν στέρνων ἐντός, καὶ τὸ χρῆμά σοι τῆς ψυχῆς οὐκ ἠγνόηκα. τοιοῦτόν ἐστι φιλόσοφος ὀφθαλμός, οὐ τοῖς σχήμασι καὶ ταῖς ἐπιφανείαις προσέχει, ἀλλ' ἐμβαθύνει τοῖς βάθεσι, et Π 451,3–4 ἔστι γάρ μοι τέχνη περὶ τοὺς χαρακτῆρας τοῦ σώματος, δι' ὧν [ἀκριβ]ῶς ἐγκύπτω εἰς τὴν ψυχήν ‖ **26** ἵνα – εἴπω: cf. Greg. Naz. Epist. 48,8 ἀνακαλύπτειν τὸ τῆς γνώμης ἀπόρρητον. cf. Π 173,82–83 et Π 455,6–7

θεῷ, τοιοῦτον ἐγώ σε ὑπείλημμαι, τοιοῦτον ὅ ποτε τοῦ σοῦ θέματος δικαστής, τοιούτου σου καὶ τὸν ἅπαντα χρόνον ὀναίμεθα. Μόνον ἐπίστελλε, μόνον πολλάκις ἡμῖν σαυτὸν ἐπιδείκνυε. Μὴ 35 θαυμάσῃς δὲ εἴ τις καὶ νῦν δαίμων Μῶμος ὀνομαζόμενος τὴν οἰκουμένην οἰκεῖ· ἔστι γὰρ τοῦ πρώτου σπέρμα διαδόσιμον ἐν πολλοῖς, καὶ ἡ τοῦ κακοῦ γένεσις τὸ γένος πληθυνεῖ μέχρι παντός. Ἀλλ' ὥσπερ σύ μοι κατὰ πολλῶν Μώμων ἀρκεῖς, οὕτω δή σοι κἀγὼ κατὰ πλειόνων ἀνθίσταμαι. Καὶ τὸ νέφος βούλεται μὲν (εἰ 40 οὕτως ἐρεῖν δεῖ) καλύπτειν τὸν ἥλιον, ἀλλὰ ταχὺ διασκίδναται διαλυθὲν ταῖς ἐκείνου μαρμαρυγαῖς. Εἰσὶ καὶ παρ' ἡμῖν ἥλιοι ἀντιλάμποντες ἀλλήλοις καὶ τῶν κακῶν ὑπερλάμποντες. Ἔα τὰ παικτὰ παίζεσθαι, καὶ παραχώρει τῷ καιρῷ τῆς ἰδίας κακίας· εἰ γὰρ τὸ Θυτήριον ἀνατεῖλάν ποτε, καί τις ἀπλανῶν ἕτερος τὰς ἐκ 45 τῶν πλανωμένων κακίας διέλυσεν, ὡς τοῖς ἀστρολόγοις δοκεῖ, πῶς οὐχ ὁ μέγας φωστὴρ ἀκαίρως ἐπανατέλλων τὴν τῶν πεπλανημένων κακοήθειαν ἐπιλύσειεν; Ἐγὼ δέ σοι καὶ ἀντηγωνισάμην πρὸς τὴν τοῦ Κρόνου κακοτροπίαν, καὶ διέλυσα τὴν ἐκείνου κακίαν οὐ τοῖς σχήμασιν, ἀλλὰ τοῖς ῥήμασιν. 50

Προσαγορεύει σε ὁ δεῖνα καὶ ἡδέως καὶ ψυχικῶς κατασπάζεται.

33–34 ὅ – δικαστής: de quo cf. Π 165,4, Π 166,39, Π 373,3, Π 374,5, et Π 380,9. Basilius Maleses (Π XXXVIII) (ut De Vries-Van der Velden 1996)? ‖ **35–40** μὴ θαυμάσῃς – ἀνθίσταμαι: cf. Π 339,1–2 μήτε γὰρ ἅψαιτό σου Μῶμος, οὔτε μὴν ἅψεται ‖ **40–41** τὸ – ἥλιον: cf. Hom. Il. 17,243 νέφος περὶ πάντα καλύπτει cum Ez. 32,7 ἥλιον ἐν νεφέλῃ καλύψω, cf. etiam Psel. Χρονογραφία 6,124, Ἕτερος λόγος πρὸς … Κωνσταντῖνον τὸν Μονομάχον = Or. pan. 4,6–7, Λόγος προσφωνηματικὸς πρὸς … Μιχαὴλ τὸν Δούκαν = Or. pan. 13,63, Τῷ αὐτῷ [scil. Rom. Diog.] ὡς ἐν ἐγκωμίῳ προσχήματι = Or. pan. 19,19–20, et Π 110,21–22 ‖ **43–44** ἔα – παίζεσθαι: cf. proverbium παίζειν ἐν οὐ παικτοῖς in e.g. Ioann. Chrys. In Rom. hom. 31,5 (PG 60,674,55), In 2 Cor. hom. 22,3 (PG 61,551,15), In Hebr. hom. 27,5 (PG 63,191,4); cf. etiam Psel. Λόγος εἰς … τὸν Μονομάχον = Or. pan. 2,501–502, ⟨Explicatio trium locorum novi testamenti (Ioann. 21,7; Mt. 3,4; Ioann. 21,9)⟩ = Theol. I 17,13, Εἰ τὸ 'ἀλλ' εἰ ταὐτὸν τῷ πατρὶ ὁ υἱὸς κατ' οὐσίαν, ἀγέννητος δὲ ὁ πατήρ, ἔσται τοῦτο καὶ ὁ υἱός' = Theol. I 24,74, et Π 65,18 ‖ **44–50** εἰ – ῥήμασιν: cf. Ps.-Erat. Catasterismi 39R ⟨π⟩ερὶ τοῦ Θυτηρίου. τοῦτό ἐστιν ἐν ᾧ πρῶτον οἱ θεοὶ τὴν συνωμοσίαν ἔθεντο, ὅτε ἐπὶ τὸν Κρόνον ὁ Ζεὺς ἐστράτευσε Κυκλώπων etc.

49 τοῦ Κρόνου : τοῦ βασιλέως suprascr. L

XCII. Μητροπολίτης Θεσσαλονίκης

ὁ γεγονὼς μαΐστωρ τῶν ῥητόρων?
⟨Μιχαὴλ [saec. XI medii]
vel Μιχαὴλ ὁ Μιτυληναῖος [ca. a. 1071 – a. 1079](?)⟩

376. Τῷ Θεσσαλονίκης, τῷ γεγονότι μαΐστορι τῶν ῥητόρων

G 18 [P, PG], Taf² 1 [P], PG¹ 1 [Taf²]

Οὐδὲν ὁ ῥήτωρ, ὅτι μὴ γλῶσσα λαμπρά, κἂν λέγῃ, κἂν γράφῃ, κἂν παιδεύῃ ῥητορικήν, κἂν φιλοσοφίᾳ τὸν νοῦν ἀσχολῇ· τὴν δὲ γλῶτταν ταύτην ἔχει τε ὁμοῦ καὶ ἀφίησιν. Καὶ διὰ ταῦτα οὔτε Ἀθηναῖος, ἢ Σπαρτιάτης ἐστίν, ἀλλὰ πολίτης τῆς οἰκουμένης, καὶ 5 ἀτεχνῶς ἀστραπὴ ἢ βροντὴ πανταχόσε περιηχοῦσά τε καὶ ἐκλάμπουσα· οὐ γὰρ μόνον ἐπιδημῶν ἡμῖν τῆς τέχνης μετεχειρίζου τὴν σάλπιγγα, ἀλλὰ καὶ ἀποδημῶν τοξεύεις ἐφ' ἡμᾶς τοὺς λόγους ὥσπερ τινὰς ὀϊστούς, καὶ τοξεύων οὐ πλήττεις, ἀλλὰ βάλλων ἠδύνεις, καὶ τὸ φάρμακον τοῦ βέλους διὰ πάσης 10 φοιτᾷ τῆς ψυχῆς. Οὕτως σου ἡ λέξις, οὕτως ὁ νοῦς, οὕτως ἡ ἁρμονία, οὕτω τὸ κάλλος τῆς φράσεως, τοιοῦτος ὁ ἐμὸς ῥήτωρ καὶ πάνδημος, καὶ ὄντως δημαίτητος, τοιαύτη ἡ ἐμὴ σειρὴν καὶ τὸ μελιχρὸν στόμα, ἡ πειθώ, ἡ ἀνάγκη, τὸ τῶν καρδιῶν θέλγητρον, τὸ τῶν ψυχῶν θήρατρον, ἡ Μοῦσα τῶν ἐννοιῶν, ἡ χάρις τῶν 15 λέξεων, τὸ γλεῦκος τῆς ἡδονῆς, ἡ φιλόσοφος Καλλιόπη, ἡ ἀμετάβλητος φύσις· ὁ αὐτὸς γὰρ ἐν Βυζαντίῳ, ἐν Θεσσαλίᾳ,

XCII cf. Gautier 1986a,161 et Chatzeantoniou 2007,289 ‖ **4** πολίτης – οἰκουμένης: Greg. Naz. Εἰς Ἥρωνα τὸν φιλόσοφον = Or. 25,3 πολίτης δὲ, σοφίᾳ μὲν, τῆς οἰκουμένης ἁπάσης ‖ **12** δημαίτητος: Synes. Cyren. Epist. 13,16–17 ἀλλ' ὅστις αὐτὸς ὑπὲρ τοῦ σωθῆναι δεῖται γενέσθαι δημαίτητος. cf. Psel. Εἰς τὸν ... μητροπολίτην Μελιτηνῆς = Or. fun. I 5,6,3

ep. 376 P 214r–v, a⁴ 10r–11v (= Taf²); tit. P Taf² G: ἐκ τῶν ἐπιστολῶν Μιχαὴλ Ψελλοῦ ἀποσταλεῖσα πρὸς τὸν μέγαν Εὐστάθιον μητροπολίτην Θεσσαλονίκης. Τῷ μητροπολίτῃ Θεσσαλονίκης, τῷ γεγονότι μαΐστορι τῶν ῥητόρων a⁴; an τῷ γεγονότι μαΐστορι τῶν ῥητόρων delendum? ‖ **3** ἔχει G: ἔχῃ P Taf² ‖ **7** μεταχειρίζεις Taf² ‖ **12** δημαίτητος G: δημαίτατος P Taf²

πόρρω τῶν Ἀθηνῶν, πρὸς αὐτῇ τῇ Ἑλλάδι, ἐν γηλόφοις, ἐν γηπέδοις, ἐν τρυφώσαις χώραις, ἐν αὐχμηρᾷ γῇ, οὐ μεταβάλλων, οὐ μετατιθέμενος, ἁπανταχοῦ εὔκροτος, εὔμουσος, εὔηχος, γλαφυρός, ἀνθηρός, μετὰ τοῦ λαμπροῦ σαφής, μετὰ τοῦ σαφοῦς 20 σεμνός, καὶ μετὰ τούτου γοργός, καὶ μετ' ἐκείνου ἀκμαῖος, μιγνὺς τὰ πάντα, κιρνῶν ἀμέσως, ἐμμέσως· τοιοῦτον γὰρ τὸ ἐμὸν σεμνολόγημα: ἂν σοφιστεύῃ, σεμνός· ἂν σεμνύνῃ, ῥητορικός· ἂν ἱερατεύῃ, δεινὸς ἱερατικός· ἂν τεχνολογῇ, εὑρετὴς ἀκριβὴς τῶν πρὸς εὐφημίαν ἀφορμῶν, μεγαλήγορος ἐπαινέτης, ὑψηλογῶν τὰ 25 σαφῆ, σαφηνίζων τὰ ὑψηλὰ μεθόδοις (φημὶ τομαῖς τισι καὶ λειότησι). Σὺ δὲ τἆλλα μὲν καλός, ἀλλ' ἐπιστέλλων, ὑπέρευγε τῆς γλυκύτητος· ὁ γάρ τοι ἐπιστολιμαῖος πρὸς ἡμᾶς λόγος μονονουχὶ φωνὴν ἀφίησιν, ὅτι φωνὴ τῆς τέχνης σύ· πλεονέκτημα γάρ σοι ὑπῆρξε μέγα πρὸς τοὺς λόγους ἡ φύσις, πρὸς τοῦτο ἴσως 30 γεγενημένη, ἵνα σοι τὸ τῆς τέχνης ἀξίωμα λαμπρότερον καὶ διαφανέστερον γένηται.

Πάλαι μὲν οὖν καθ' ἱστορίαν τῆς τοῦ μύρου ἐκδόσεως ἁπανταχόθεν τῆς οἰκουμένης πρὸς τὴν Θετταλίαν οἱ πλείους ἐφοίτων· νῦν δὲ πλείονας οἶμαι αὐτόθι βαδιεῖσθαι κατὰ κλέος τῶν τοῦ σοῦ 35 λόγου σταγόνων. Καί σε οἶμαι ζηλοτυπεῖν καὶ τὸν μάρτυρα ὅτι μὴ σωμάτων μόνον ἐφάπτεται ῥεῦμα τὸ σόν, ἀλλὰ καὶ εἰς ψυχὴν εἰσδύνει, καὶ τὰ πολλὰ ταῦτα δύναται: ἡδύνειν, ἐπαίρειν, ἐπιτείνειν, χαλᾶν, διαχέειν, δριμύττειν, λύειν, ἐπέχειν, τἆλλα ὅσα τῆς ἀντιθέτου μερίδος ἐστίν. 40

Εἰ μὲν οὖν ἡ σὴ Θεσσαλία ἐπήκοός ἐστι τῶν ἐν τῷ σῷ λόγῳ ῥυθμῶν, ἄμφω μακαρίζω τῆς εὐτυχίας: σὲ μὲν ὅτι ἔχεις ἐφ' οἷς ἂν τὴν δύναμιν ἐνδείξῃ τῶν λόγων, ἐκείνους δὲ ὅτι τοιούτου τετυχή-

17–18 ἐν[1] – γηπέδοις: cf. Ael. Herodian. (?) Ἐπιμερισμοί 14,6–7 γήλοφος, ὁ ὑψηλὸς τόπος … γήπεδον, ἡ γῆ et Psel. Χρονογραφία VI,175 τὸ πρότριτα γήλοφον τριταῖον γήπεδον, Εἰς τὸ 'κύριος ἔκτισέ με …' = Theol. I 10,83–84 γῆν εἰς γηλόφους ἀνισταμένην καὶ καθειμένην εἰς γήπεδα, Π 60,36–37 ἐν γηλόφοις, ἐν γηπέδοις, Π 88,22–23 τὰ Ῥωμαίων γήλοφά τε καὶ γήπεδα, et Π 202,113 γηλόφῳ τε καὶ γηπέδῳ ‖ **20–21** τοῦ[1] – ἀκμαῖος: ad ideas Hermogenis refert ‖ **21–22** μιγνὺς – πάντα: cf. infra l. 48 ἡ μίξις τῶν ἰδεῶν ‖ **36** τὸν μάρτυρα: S. Demetrius

21–22 μιγνὺς τὰ om. Taf[2] ‖ **22** κιρνῶν : κινῶν Taf[2] G | ἐκμέσως Taf[2]
33 μύρου : καίρου Taf[2] μαίρου corr. G

κασιν ἱερέως καὶ ῥήτορος. Εἰ δὲ ἡμίονοι παρ' ἡμιθέῳ ἑστήκασιν,
45 εὐτυχεῖς μὲν οὗτοι καὶ οὕτως· σὺ δὲ ἠτύχησας ἐν οἷς ηὐτύχησας, καὶ μάτην σοι τὸ χρῶμα διαμεμέληται καὶ τὸ πιθανὸν τῆς ἀπολογίας, καὶ ὁ ἀνθορισμός, καὶ ὁ συλλογισμός, καὶ ἡ προκατάστασις, καὶ ἡ κατάστασις, καὶ ἡ μίξις τῶν ἰδεῶν· ἡ γὰρ Ἑλλάς (ὥς γε οἶμαι) καὶ ὅσα προσοικεῖν ἔλαχε τῇ Ἑλλάδι, τινὰ δὲ καὶ ἀντοικεῖν
50 ὡς ἡ ξύμπασα Ἰωνία, πάλαι μὲν ἐπὶ τοῖς λόγοις δεδημοσίευτο, νῦν δὲ μέχρι τῆς ἱστορίας ἑστήκασι, κολωνοί τινες ὄντες μνημάτων ἀρχαιοπρεπῶν, ἐκλελειμμένα ἐρείπια.

Οἶσθα γοῦν ὃ ποιήσεις, ἵνα μή σου ἡ σοφία ἀπόληται; Λέγε παρ' ἡμῖν τοῖς ἀκούουσι, μὴ κατατείνων τὸν βρόχον, μὴ ὑπερτεί-
55 νων τὸν φάρυγγα, μὴ συμπιέζων τὸν θώρακα, ἀλλ' ὑπαγορεύων τῷ γραμματεῖ καὶ κρουνηδὸν ἡμῖν ἐγχέων τοὺς λόγους ἐν γράμμασιν. Οὕτω τοι καὶ ἡ καρδία διά τινος ἄγγους τὸ θερμὸν μὲν ἁπανταχοῖ κατασπείρει τοῦ σώματος, καὶ τὸ ἧπαρ διὰ τῆς κοίλης ἐποχετεύει τὸ αἷμα τοῖς μέρεσι, καὶ ὁ ἐγκέφαλος διὰ τοῦ νωτιαίου
60 τὴν αἴσθησιν πανταχῇ δίδωσι· ⟨οὕτω⟩ καὶ οἱ τὸ ὕδωρ πάλαι τῇ μεγαλοπόλει ἐφελκυσάμενοι τὴν μεγάλην ἐνταῦθα ἀμάραν ἐποιήσαντο, «τὸν ὑποχθόνιον καὶ ἀέριον», ὥς τις εἴρηκε, «ποταμόν». Καὶ σὺ τοιγαροῦν δι' ἐπιστολῶν ἡμῖν χορήγει τὸ νᾶμα τοῦ λόγου. Καὶ πότιζε καὶ κατάρδευε· ὡς λίαν γάρ σου τῆς γλώττης ἐρῶμεν

44 ἡμίονοι – ἡμιθέῳ: Synes. Cyren. Epist. 56,12 ὥσπερ ἐν ἡμιόνοις ἡμίθεοι. cf. Psel. Εἰς τὸ 'τίς οὐσία θεοῦ;' = Theol. I 56,15–16 et II 206,39 ‖ **47** ὁ[1] – συλλογισμός: cf. Ps.-Hermog. Περὶ εὑρέσεως 3,9,1 ὅρος καὶ ἀνθορισμὸς καὶ συλλογισμὸς καὶ λύσις τοῦ συλλογισμοῦ τέσσαρα μέν ἐστιν ὀνόματα etc. et Περὶ στάσεων 4 ὁ ὅρος διαιρεῖται προβολῇ, ὅρῳ, ἀνθορισμῷ, συλλογισμῷ etc. cum Psel. Σύνοψις τῆς ῥητορικῆς … πρὸς τὸν αὐτὸν βασιλέα [scil. Mich. Duc.] = Poem. 7,250–257 ‖ **47–48** προκατάστασις – κατάστασις: cf. Ps.-Hermog. Περὶ εὑρέσεως 2,1,1 et passim cum Psel. Σύνοψις τῆς ῥητορικῆς … πρὸς τὸν αὐτὸν βασιλέα [scil. Mich. Duc.] = Poem. 7,129–139, cf. II 134,52 **48** ἡ[2] – ἰδεῶν: cf. Hermog. Περὶ ἰδεῶν e.g. 1,1,8 περὶ πάσης τε ἰδέας λόγων ἀκριβῶς εἰπεῖν καὶ τίς ἡ μῖξις αὐτῶν etc. cum Psel. e.g. Ἐγκώμιον εἰς τὸν Μεταφραστὴν … = Or. hag. 7,236 ‖ **57–60** οὕτω – δίδωσι: cf. e.g. Galen. Περὶ σπέρματος 541,9–12 νωτιαῖον μὲν ὁ ἐγκέφαλος ἀποφύσας … ἡ καρδία δὲ τὴν μεγίστην ἀρτηρίαν … τὴν κοίλην δὲ φλέβα τὸ ἧπαρ ‖ **62** τὸν – ποταμόν: Greg. Naz. Πρὸς Ἀρειανούς, καὶ εἰς ἑαυτόν = Or. 33,6 τὸ ἄπιστον τοῦτο ἔργον, ὁ ὑποχθόνιος καὶ ἀέριος ποταμὸς

48 ὥστε Taf[2] G ‖ **60** οὕτω addidi

καὶ τῆς ἐν αὐτῇ χάριτος, καί μου ὁ τῶν ἠθῶν σου τύπος ἐγκάθηται 65
τῇ ψυχῇ, ἐνεσφράγισται δέ μου τοῖς ὠσὶ τὰ ἴχνη τῶν λέξεων, καὶ
ἡ τῆς ἁρμονίας ἠχὼ ἔτι μου τῇ ψυχῇ ἐμβομβεῖ.

Ἀλλὰ πότε ἴδω τὴν μέλισσαν; Πότε δὲ τῶν αὐτόθι σίμβλων
ἀπαναστήσῃ καὶ διαέριος γεγονὼς πρὸς τοὺς ἐνταῦθα κήπους
φοιτήσεις, καὶ περιελεύσῃ τὰ ἄνθη ἀφ' ὧν τὴν δρόσον ἀναλεξάμε- 70
νος τὸ μέλι τοῖς σίμβλοις ἐνέσταξας; Τὸ δὲ λοιπὸν τῆς πρὸς ἡμᾶς
σου ἐπιστολῆς, ἐγὼ μὲν οὔτ' ἐπεγκαλέσαιμί σοι, οὔτε προσονειδί-
σαιμι· σὺ δὲ τῶν ὁμολογιῶν μέμνησο, καὶ πρός γε τούτοις, ὅτι
κατ' αὐτοῦ τοῦ κρείττονος ἐμφύτως ὀμώμοκας. Καὶ εἴ τις εἴη τοῦ
ὅρκου λύσις, οὐκ ἂν φθάνοιμι ταύτην διδούς· εἰ δ' οὖν, μὴ γενοί- 75
μην αὐτός σοι παρενθήκη κακότητος. Σὺ δὲ διδούς, λαμβάνειν
οἴου· τοιοῦτον γὰρ πεποίηκα τὸ ἐμόν, ἵνα καὶ διδοὺς ᾖ λαμβάνων
διδῶ.

66 τὰ – λέξεων: cf. Plat. Πολιτεία 365d2 τὰ ἴχνη τῶν λόγων cum e.g. Procl. In Parm. 1042,3–4 ‖ **68–71** ἀλλὰ πότε – ἐνέσταξας: cf. Π 58,27–34 ἡ μέλισσα τὰς ἀρχὰς ἀνθολογοῦσα τοῦ μέλιτος, παρίπταται μὲν τὸ ῥόδον, παρίησι δὲ τὸ ἴον καὶ τὸ κρίνον καὶ τὸν ὑάκινθον καὶ τὸν νάρκισσον, καὶ τῷ θύμῳ προσίσταται· φυτὸν ὁ θύμος δριμύτατόν τε καὶ ἀνοσμότατον, ἀλλ' ἡ μέλισσα ἐντεῦθεν τὰς πηγὰς ἔχει τοῦ μέλιτος. ἴσως γοῦν καὶ σὺ τῶν μὲν παρὰ τοῖς ἄλλοις ῥόδων καταφρονεῖς, ἀπὸ δὲ τῶν ἐμῶν ἀνόσμων λόγων καὶ ἀηδῶν, τὴν σὴν καταμελιτοῖς γλῶσσαν, καὶ τὸ μελισταγὲς ἀποστάζεις νᾶμα, et Π 247,19–22 ταμιεῖον γὰρ σὺ σχεδῶν, καὶ (τό γε ἀληθὲς εἰπεῖν) σίμβλον, πᾶν εἴ τι κάλλιστον καὶ ὀνησιφόρον ἀπανθισάμενος ἑαυτῷ καὶ συλλέξας οἷά τις φιλεργὸς μέλισσα, καὶ σχεδῶν καλλίστων ὁμοῦ καὶ πεπονημένων. cf. etiam Psel. Περὶ χαρακτήρων συγγραμμάτων τινῶν 49,29–50,2, Π 61,4–6, Π 118,37–43, Π 125,87–90, et Π 459,20–22

66 τῶν λέξεων : τῆς λέξεως Taf[2] ‖ **72** ἐπαγκαλέσαιμί Taf[2] G ‖ **74** καὶ: ἂν Taf[2] G

377. Τῷ αὐτῷ
Τῷ Θεσσαλονίκης, τῷ γεγονότι μαΐστορι τῶν ῥητόρων

G 19 [P, PG], Taf² 2 [P], PG¹ 2 [Taf²], Cre 19 [H]; cf. Π 536,1–6 [K]

Πολλῶν ὄντων καὶ μεγάλων δι' ἅ σε θαυμάζειν προήρημαι, θαυμασιώτατε δέσποτα, ἀντὶ πολλῶν χρημάτων ἑλοίμην ἄν σου τὴν περὶ τοὺς φίλους ἁπλότητα· ἣν καὶ παρὼν σῴζεις, καὶ ἀποδημῶν συντηρεῖς. Ὁ μὲν μῦθος ποιητῶν προῆλθε, παρὰ δὲ 5 τῆς σῆς ψυχῆς ἡ καλοκαγαθία τῆς γνώμης. Διὰ ταῦτα καὶ παντὸς οὑτινοσοῦν προτεθέντος ζητήματος ἐν τοῖς ἡμετέροις συλλόγοις, εὐθὺς ἐγὼ πρὸς σὲ ἀναφέρω τὸν νοῦν· καὶ πρῶτον μὲν εὔχομαι τῷ θεῷ ὅσην εὔνοιαν ἔχων ἐγὼ πρὸς σὲ διατελῶ, τὴν αὐτὴν ἀντιλαβεῖν παρὰ σοῦ. Ἀπολήψαιμι δὲ εἰ τὸν παρόντα μοναχὸν τῆς 10 σῆς ἀντιλήψεως ἀξιώσεις, ἣν πρώτην ἐγὼ καὶ καλλίστην ἥγημαι καὶ ἐν τοῖς μάλιστα τετίμηκα.

Μὴ οὖν ἀντίθετος γενοῦ σεαυτῷ, ἀλλ' ὅμοιος ἁπανταχοῦ, ἐν τοῖς σχήμασιν, ἐν τοῖς ἤθεσιν, ὁμοιόαρκτος, ὁμοιοκατάληκτος, τέλους ἀγαθοῦ προοίμιον κάλλιστον παριστῶν, μὴ ἐξ ὑπολήψεως 15 τὸ καλὸν ἐργαζόμενος, ἀλλ' ἐκ περιουσίας τὴν περὶ σεαυτοῦ

1 πολλῶν ὄντων καὶ μεγάλων: Hermog. Περὶ στάσεων 1,1 (initium) πολλῶν ὄντων καὶ μεγάλων, ἃ τὴν ῥητορικὴν συνίστησι καὶ τέχνην ποιεῖ. cf. etiam Greg. Naz. Εἰς τὸν μέγαν Ἀθανάσιον = Or. 21,1 πολλῶν γὰρ ὄντων ἡμῖν καὶ μεγάλων, οὐ μὲν οὖν εἴποι τις ἂν ἡλίκων καὶ ὅσων, ὧν ἐκ Θεοῦ ἔχομέν τε καὶ ἕξομεν ‖ **4** ὁ μὲν – προῆλθε: Aphth. Προγυμνάσματα 1,1 (initium) ὁ μῦθος ποιητῶν μὲν προῆλθε, γεγένηται δὲ καὶ ῥητόρων κοινὸς ἐκ παραινέσεως, etc. cf. etiam Psel. ⟨Ad discipulos de philosophia et rhetorica⟩ = Or. min. 25,149–150 ‖ **10** πρώτην – καλλίστην: cf. Ps.-Hermog. Περὶ εὑρέσεως 1,1,1 (initium) ἡ πρώτη καὶ καλλίστη τῶν προοιμίων εὕρεσις etc. ‖ **13** ὁμοιόαρκτος: cf. Syrian. In Hermog. Περὶ ἰδεῶν 51,11 et 91,18 |ὁμοιοκατάληκτος: terminus grammaticus et rhetoricus

ep. 377 L 1r (inc. mut.), P 214v, H 46v–47r, r fasc. 20 (= H); cf. excerptum μὴ οὖν ... ἀφελῶς (ll. 12–18) in K 60r–v = Π 536,1–6 (Can 22); tit. P G Taf² : om. H Π 536 ‖ **5** ἡ καλοκαγαθίας Cre ‖ **9** ἀντιλαχεῖν Taf² ‖ **9–10** τῆς – ἀξιώσεις P Taf² G: ἀξιώσεις τῆς σῆς ἀντιλήψεως H Cre ‖ **12** ab μὴ οὖν inc. Π 536 **12–13** ἐν – ὁμοιοκατάληκτος P H Cre G: ἐν τοῖς σχήμασιν – ὁμοιόαρκτος Taf² om. Π 536 ‖ **14** τέλους : τέλος K | [.]ροοίμιον K ‖ **15** τὴν περὶ σεαυτοῦ: [........]τοῦ K

ἀρετὴν πᾶσιν ἐπιδεικνύς, εὑρέσεις τὰ φθάσαντα τῶν μελλόντων τιθέμενος, καὶ πρὸς ἰδέας μεταποιούμενος κρείττονας, μὴ δεινῶς τὴν σεαυτοῦ μεθοδεύων χρηστότητα, ἀλλ' ἐπιεικῶς, ἀφελῶς· εἴπερ γὰρ ἄλλο τι τῷ ἀρχιερεῖ τῶν ἀναγκαιοτάτων ἐστὶ ταῦτα εἰδέναι, τρόπους δὲ καὶ ἐπιτετηδευμένας ἰδέας περίεργόν ἐστι προσποιεῖν. 20

Τούτοις κέχρησο, μὴ κατὰ περίοδον, ἀλλὰ κατὰ συνέχειαν. Καὶ τὸ μέτρον ἐν ἅπασι φύλαττε, ἐν λέξεσιν, ἐν ὁμιλιῶν κόμμασι. Τὸ δὲ ὑπὲρ τοῦτο ἄφες τοῖς κάτω βυθοῖς· τὸ γὰρ μὴ μέχρις ὀνόματος εὐπρεπές, πῶς ἂν εἴη πραττόμενον εὐσεβές;

378. Τῷ μητροπολίτῃ Θεσσαλονίκης

G 20 [P, PG], Taf² 3 [P], PG¹ 3 [Taf²]

Ὄντος ἀναγκαίου, φιλτάτη ψυχή, εἰδέναι σε τί μὲν ὅρκος, τί δὲ ἀλήθεια, καὶ τί μὲν φιλίας δεσμός, τί δὲ ἱερατικὸς θεσμός, τῶν ἄλλων καὶ μᾶλλον, ἢ ὅτι τὸ ἐπιφώνημα λόγος ἐστὶν ἐπὶ τῷ πράγματι ἔξωθεν παρ' ἡμῶν λεγόμενος, καὶ ἡ περίοδος πολλοῖς ὑποπίπτει καὶ ποικίλοις τοῖς σχήμασι, καὶ ὅτι τῶν 5 ἐπιχειρημάτων τὰ μέν ἐστιν ἀποδεικτικά, πολιτικῆς ἑρμηνείας δεόμενα ἤτοι ἐναγωνίου, τὰ δὲ πανηγυρικά, καὶ τἆλλα ὁπόσα τῆς

16–18 εὑρέσεις … ἰδέας … μεθοδεύων … ἐπιεικῶς, ἀφελῶς: termini ex Hermogenis Arte Rhetorica ‖ **18–19** εἴπερ – εἰδέναι: Hermog. Περὶ ἰδεῶν 1,1 (initium) εἴπερ ἄλλο τι τῷ ῥήτορι τὰς ἰδέας οἶμαι τοῦ λόγου τῶν ἀναγκαιοτάτων εἶναι γινώσκειν, etc. ‖ **3–4** τὸ – λεγόμενος: Ps.-Hermog. Περὶ εὑρέσεως 4,9,1; cf. etiam Psel. Σύνοψις τῆς ῥητορικῆς … πρὸς τὸν αὐτὸν βασιλέα [scil. Mich. Duc.] = Poem. 7,317–337 et Π 146,193–195 ἐπιφώνημα: ὦ λόγοι, καὶ γνῶσις, καὶ παιδεία· ἐπιφώνημα: ἄκουε, οὐρανέ, ἄνωθεν καὶ ἐνωτίζου, γῆ· ἐπιφώνημα: τὸ πρῶτον ῥῆμα τοῦ γράμματος! ‖ **4–5** ἡ – σχήμασι: Ps.-Hermog. Περὶ εὑρέσεως 4,3,1 ἡ δὲ περίοδος οὐχ ἑνὶ ὑποπίπτει σχήματι, ὥστε αὐτὸ παραδοῦναι, ἀλλὰ πολλοῖς καὶ ποικίλοις ‖ **5–7** τῶν – πανηγυρικά: Ps.-Hermog. Περὶ εὑρέσεως 3,8,1 ἡ δὲ τάξις τῶν ἐπιχειρημάτων διπλῆ· εἰ γὰρ τύχοι τὰ μὲν αὐτῶν ἀποδεικτικὰ εἶναι πολιτικῆς ἑρμηνείας μόνης δεόμενα, τὰ δὲ πανηγυρικά

17 τιθέμενος : [ca. 9 litt.] K ‖ **18** μεθοδεύων: [.....]εύων K | post ἀφελῶς des. Π 536 ‖ **19** ab ἀρχιερεῖ inc. L | εἰδέναι : εἰ δύναιο Taf² ‖ **22** κόμμασι : σκώμμασι Taf² ‖ **ep. 378** L 51r–52r, P 201v–202r; tit. L P Taf² G ‖ **2** ἀλήθεια L P: ἀληθές Taf² G | δεσμός L: θεσμός P Taf² G ‖ **6** πολιτικῆς L: πολλῆς P Taf² G

σῆς ῥητορικῆς σοφίσματα καὶ τεχνάσματα, θαυμάζω ὅπως σε τὸ τηλικοῦτον καὶ ἀναγκαιότατον πρᾶγμα διέλαθεν.

10 Ἀλλ' ὑπόθεσιν μὲν κατασκευάζων, οἰκονομεῖν τὸν λόγον ἐπίστασαι, περιλαμβάνων πολλάκις ἐν τῇ διηγήσει τὸ παρεληλυθὸς τοῦ καιροῦ, καὶ ἐνδιασκευὼς ἀποπληρῶν τὸ ἄνω μέρος, ὡς οὐ μέλλων ἐνοχλήσειν τοῖς κάτω μέρεσιν τοῖς αὐτοῖς, διὰ τὴν τῶν μελλόντων διατύπωσιν· ἁπλοῦν δέ τι πρᾶγμα διατιθέμενος, μὴ 15 δεόμενον πολλῶν περιστάσεων, μηδὲ ποικιλωτέρας κατασκευῆς, οὐκ οἶδ' ὅπως τὴν ἀρίστην ὑπερβαίνεις οἰκονομίαν, ὥσπερ τὸ λεκτικὸν μόνον μέρος τῆς τέχνης διακριβωσάμενος, τὸν δὲ πραγματικὸν τύπον ἠγνοηκώς. Ἐγὼ δέ σοι τὸ καὶ περὶ τοὺς λόγους σοφίζεσθαι ἄχρι τῆς ἀρχιερατικῆς δίδωμι τελειότητος· 20 μετὰ δὲ ταῦτα, οὐδὲ τεχνίτην σε τοῦ λόγου προσίεμαι, οὐδ' εἰ πολλὰ κάμοις ἐπιχειρῶν τεχνικώτατα· ὅσον γὰρ εἰς τὴν σοφιστικὴν ἐμβαθύνεις, τοσοῦτον τῆς ἱερᾶς ἀποικίζῃ φιλοσοφίας.

Ἀλλὰ σύ μοι δοκεῖς μὴ ἀναχωρεῖν ἐθέλειν τῶν ἀρχαίων ἠθῶν. Καὶ οὐκ ἂν εἴποιμι ὅτι «πρὸς Κρῆτα κρητίζεις» (τοῦτο δὴ τὸ τῆς 25 παροιμίας)· Κρὴς γὰρ οὔτ' εἰμί, οὔτ' ἐκεῖθεν εἶναι βεβούλημαι. Πρὸς δὲ φιλόσοφον ῥητορεύεις, εἰδότα μὲν καὶ τὴν σὴν τέχνην, φιλοσοφεῖν δὲ μᾶλλον ἢ σοφιστεύειν ἐθέλοντα. Καὶ ἵνα σοι βραχύ τι πρὸς τὴν ἐπιστολὴν διαλέξωμαι, ἐν ᾗ τὸ πᾶν ἀποπεπληρῶσθαί σοι τοῦ πρὸς ἡμᾶς χρέους ᾠήθης, οὐκ ἔστι, λογιωτάτη ψυχή, 30 χρέους ἐκπλήρωσις τὸ λόγοις μὲν κατατιθέναι τὰς χάριτας, ἔργοις

11–14 περιλαμβάνων – διατύπωσιν: Ps.-Hermog. Περὶ εὑρέσεως 3,10,5 ἔξεστι τὸν ⟨τὰ⟩ παρελθόντα ἀπολαβόντα ἐν τῇ διηγήσει ἐνδιασκευὼς ἀποπληρῶσαι τὸ ἄνω μέρος, οὐ μέλλοντα ἐνοχλήσειν τοῖς κάτω μέρεσι τοῖς αὐτοῖς διὰ τὴν τῶν μελλόντων διατύπωσιν ‖ **16–18** τὸ – τύπον: cf. Dion. Halicarn. Περὶ συνθέσεως ὀνομάτων 1,18–23 διττῆς γὰρ οὔσης ἀσκήσεως περὶ πάντας ὡς εἰπεῖν τοὺς λόγους, τῆς περὶ τὰ νοήματα καὶ τῆς περὶ τὰ ὀνόματα, ὧν ἣ μὲν τοῦ πραγματικοῦ τόπου μᾶλλον ἐφάπτεσθαι δόξειεν ἄν, ἣ δὲ τοῦ λεκτικοῦ, καὶ πάντων ὅσοι τοῦ λέγειν εὖ στοχάζονται περὶ ἀμφοτέρας τὰς θεωρίας τοῦ λόγου ταύτας σπουδαζόντων ἐξ ἴσου ‖ **24** πρὸς – κρητίζεις: proverbium; CPG I 297 (nr. 65) et II 205 (nr. 35) et 628 (nr. 98). cf. Psel. 'Τοῦτο νῦν ὀστοῦν ἐκ τῶν ὀστῶν μου καὶ σὰρξ ἐκ τῆς σαρκός μου' = Theol. II 21,14 et Π 77,51 = Π 130,52

8 σοφίσματος καὶ τεχνάσματος Taf[2] ‖ **12** ἐνδιασκευὼς ἀποπληρῶν L: ἀποπληρῶν ἐνδιασκευὼς P Taf[2] G ‖ **13** τοῖς[1] – μέρεσιν L: om. P Taf[2] G **21** κάμοις L: κάμνοις P Taf[2] G

δὲ μηδὲν τῶν διωμολογημένων διδόναι· ἀπάτη γὰρ τοῦτο, καὶ οὐ φιλίας σύνδεσις, ἀλλ' ἀναίρεσις.

Ὁπότε γοῦν σὺ τοῦ ῥητορικοῦ προυκάθησο θρόνου, εἰ ἐπηγγείλω μὲν τὰ τῆς τέχνης ἀνακαλύπτειν τοῖς μυουμένοις ἄδυτα, εἶτα δὲ τοῦτο μὲν οὐκ ἐποίεις, ἐργαστήριον δέ τι βαναυσίας 35 τούτοις ἀνεῴγνυς, οὐκ ἄν σέ τις ψευδολογίας ἐγράψατο; Εἰ δὲ τέχνην μὲν ἡμᾶς οὐκ ἐπηγγείλω διδάσκειν, ἀλλ' ὧν παρ' ἡμῶν εἰλήφεις μισθόν, ἢ (ἵνα μὴ φορτικῶς λέγω) τῶν σῶν τι προήρησο παρέχειν ἐμοί, ὁποῖα δὲ πρὸς ἀλλήλους οἱ φιλοῦντες εἰώθασι διαμείβεσθαι, ἆρ' οἴει τὰς γραφὰς ἐκπεφευγέναι, εἴδωλα πραγμά- 40 των διδούς, ἢ μηδὲ τοῦτο, ἀλλ' ὀνόματα πραγμάτων ἔρημα, ὁποῖα οἱ σοὶ σκινδαψοί, καὶ τὸ πολυθρύλλητον βλίτυρι;

Οὕτω γοῦν καὶ τὸν Ἰξίονα ἡ τοῦ μύθου Ἥρα ἠπάτηκεν· ἐπεὶ γὰρ ἤρα ταύτης ὁ ἥρως, καταπλαγεὶς τὸ ἐκείνης κάλλος, ἡ δὲ νεφύδριόν τι παρασπασαμένη καὶ τοῦτο ἑαυτῇ ἀπεικάσασα ἐδίδου 45 τῷ Ἰξίονι πάροδον πρὸς τὸ εἴδωλον. Ἀλλ' ἐγώ σοι, λογιώτατε, Ἰξίων οὔτε εἰμί, οὔτε ἔσομαι, οὐδὲ τῆς τῶν πραγμάτων οὐσίας τὰ εἴδωλα προτιμήσαιμι, οὐδ' ἂν πρὸς ἰνδάλματα καὶ τύπους σκιαμαχήσαιμι.

41–42 ὀνόματα – βλίτυρι: David Phil. Προλεγόμενα τῆς φιλοσοφίας 1,15–2,1 τῶν γὰρ πραγμάτων τὰ μὲν ἀνύπαρκτά ἐστιν, ὡς τραγέλαφος, σκινδαψός, βλίτυρι καὶ τὰ λοιπά, ὅσα ἡ ἡμετέρα διάνοια διαπλάττεται. cf. Psel. Ἐπίλυσις εἰς τοὺς τῆς φιλοσοφίας τρόπους = Phil. min. I 49,24–25 ‖ **43–46** τὸν – εἴδωλον: de Ixioni cf. Synes. Cyren. Δίων 5,7 εἰ δὲ μὴ ὁ Ἰξίων ἀντὶ τῆς Ἥρας τὴν νεφέλην ᾑρήκει, καὶ ἠγαπήκει συνὼν τῷ εἰδώλῳ, οὐκ ἄν ποτε ἑκὼν εἶναι μεθεῖτο τῆς ἀτόπου διώξεως et Schol. in Lucianum 28,12 φασὶ γὰρ τὸν Ἰξίονα τῆς Ἥρας ἐρασθῆναι, ἐρασθέντι δὲ τὴν Ἥραν χαριζομένην αὐτῷ νεφέλην εἰς ἑαυτὴν ἀπεικάσασαν ἐᾶν Ἰξίονι χρῆσθαι ὡς ἑαυτῇ cum e.g. Ps.-Nonnus Συναγωγὴ … ἱστοριῶν … in Greg. Naz. Or. 5, hist. 32 et Suda ι 394. cf. etiam Psel. Πρὸς τὸν λοίδορον ῥίψαντα χάρτην = Or. min. 7,6–7, Ὅτε παρητήσατο τὴν τοῦ πρωτοασηκρῆτις ἀξίαν = Or. min. 8,113–114, ⟨De servitute a secretis⟩ = Or. min. 11,42–44, et Π 59,44–46, Π 390,21; cf. etiam Π 526,1–2

34 κυουμένοις Taf[2] G | ἄδυτα L: ἄρρητα P Taf[2] G ‖ **43** μύθου L: Ὁμήρου P Taf[2] G ‖ **45** τοῦτο – ἀπεικάσασα L: τούτῳ ἑαυτὴν εἰκάσασα P Taf[2] G ‖ **46** πρὸς L: πυρὸς P Taf[2] G ‖ **48–49** οὐδ' – σκιαμαχήσαιμι L: om. P Taf[2] G

50 Διὰ ταῦτα γοῦν καὶ τὴν σὴν τέχνην μισῶ, ὅτι πολιτικοῦ ἐστι μορίου εἴδωλον. Καὶ οὐδὲ ἐν τῇ σκιᾷ τοῦ γράμματος ἀναπαύομαι, ἀλλ' ἐν τῷ τῆς ἀληθείας φωτί· οὐδὲ τὸν τοῦ Πλάτωνος σοφιστὴν κατὰ τὸ προβεβλημένον τῆς λέξεως δέχομαι, ἀλλ' εἰς τὸν ἐκείνου δημιουργὸν ἀναφέρω τοὔνομα. Εἰ δέ μοι ἀντὶ τοῦ δυσφήμου
55 Δοβρόσοντος τὸ Ἠλύσιον ἐδίδους πεδίον, καὶ τὸν ἀσφοδελὸν ἐκεῖνον λειμῶνα, ἆρ' ἂν ἐδεξάμην καὶ ταῦτα λαμπρῶν ὄντων τῶν ὀνομάτων; Ἢ σὺ ᾠήθης ἂν παρέχειν τί μοι τῶν ὄντων; Ὁπότε δὴ καὶ τὸ σὸν μοναστήριον μετὰ τῶν ἀνουσίων τεταγμένον οὔτ' ἔστι καὶ δυσωνυμώτατον, ἑλοίμην ἂν τὴν δωρεὰν καὶ τὴν ἀνυπαρξίαν
60 τοῦ πράγματος; Ἡδέως δ' ἄν σου πυθοίμην· τί δέ σοι καὶ τῆς κτήσεως προσεγένετο, ἐμοῦ μὴ προσειληφότος τὸ πρᾶγμα; Οὐ τὸ πᾶν ἀπάτη καὶ γέλως καὶ τῷ ὄντι βαθεῖα φενάκη; Τὸ δὲ καὶ ἀπολογεῖσθαι περὶ οὕτω σαφοῦς χλευασίας καὶ εἰρωνείας, πηλίκον σοι εἰς τὸ μέτρον τῆς ἀρχιερωσύνης δοκεῖ;
65 Ἆρ' οὖν σὺ μὲν οὕτω φιλοτιμότατος, ἐγὼ δὲ σμικρολόγος καὶ φειδωλός; Ἀντιδωροῦμαι γοῦν σοι ὁπόσα μὲν ὁ ἑσπέριος ὠκεανὸς ἔχει, ὁπόσα δὲ ἐντὸς Ὑρκανίας καὶ τῆς Κασπίας θαλάττης ἐστί, καὶ τὴν Θούλην τὴν νῆσον, καὶ τὰ ἐκτὸς Φάσιδος, καὶ ὁπόσα ἡ

50–51 πολιτικοῦ – εἴδωλον: Plat. Γοργίας 463d1–2 ἔστιν γὰρ ἡ ῥητορικὴ κατὰ τὸν ἐμὸν λόγον πολιτικῆς μορίου εἴδωλον ‖ **52–54** οὐδὲ – τοὔνομα: cf. Procl. In Remp. I 8,23–28 τὸν γοῦν Σοφιστὴν οὕτως ἐπέγραψεν, ἐπειδὴ τοῦτ' ἦν τὸ προκείμενον εἰς τὴν ἐν ἐκείνῳ τῷ διαλόγῳ σκέψιν, ὁ σοφιστής· καίτοι καὶ περὶ τοῦ ὄντος εἴρηται μυρία καὶ περὶ τοῦ μὴ ὄντος, ἀλλὰ ταῦτα συνέωσται πρὸς τὸν περὶ τοῦ σοφιστοῦ λόγον et Π 465,6–9 ‖ **54–55** τοῦ – Δοβρόσοντος: monasterion in regione Thessalonicae; cf. Oikonomidès 1984,211 et Π 299,14 ‖ **55** τὸ – πεδίον: Hom. Od. 4,563 ἐς Ἠλύσιον πεδίον καὶ πείρατα γαίης. cf. Psel. ⟨De servitute a secretis⟩ = Or. min. 11,5–6 et Π 162,45–46 ‖ **55–56** τὸν – λειμῶνα: Hom. Od. 11,539 et 573 et 24,13 κατ' ἀσφοδελὸν λειμῶνα ‖ **62** βαθεῖα φενάκη: cf. Lucian. Ἑταιρικοὶ διάλογοι 11,3 τὰ δὲ ἄλλα φενάκη βαθεῖα et (e Psello?) Greg. Ant. Λόγος παρηγορητικὸς … Κωνσταντίνῳ τῷ Ἀπιμπιθιοὺμ 180 ‖ **66–69** ὁ – γῆ: de nominibus illorum locorum, vid. e.g. Marcian. Περίπλους τῆς ἔξω θαλάσσης

50 πολιτικοῦ L: πολιτικῆς (an recte?) P Taf² G ‖ **50–51** πολιτικοῦ – μορίου ποθεινῆς … χορίου Taf² ‖ **55** Ἀλύσιον Taf² ‖ **56** λειμῶνα L Taf² corr. G: λιμένα P ‖ **58** ἀνοσίων Taf² ‖ **59** δυσωνυμωτάτων Taf² ‖ **64** σοι: τοι Taf² ‖ **66** γοῦν L: δή P Taf² G

μεσημβρινὴ περιείληφε γῆ, ὁπόσα τε ἐντὸς ἑκατέρων τῶν ὀμφαλῶν, καὶ τὰ τῶν ἀντοίκων καὶ ἀντιπόδων ξύμπαντα. 70

Φίλτατε ἀδελφέ, σύντομόν ἐρῶ σοι λόγον. Εἰ μὲν βούλει τὰ τῆς πρὸς ἡμᾶς ἐπαγγελίας πληροῦν, ἐν πράγμασιν ἡμῖν, ἀλλὰ μὴ ἐν ὀνόμασι κύρου τὴν δωρεάν. Εἰ δ' οὖν, παραχωρῶ σοι τοῦ σοῦ, μετὰ τῶν Ἑλληνικῶν μύθων καὶ τῶν ἀνυπάρκτων πλασμάτων.

XCIII. ⟨Μητροπολίτης⟩ Κορίνθου

379. Τῷ Κορίνθου

eodem tempore ut Π 381, Π 322, et Π 403 [vid. epistolarum ordinem in L]

S 64 [P], Cre 9 [H]; cf. Π 521 [K]

Ὁ Κορίνθου, ὁ τὴν γλῶτταν πολύς, ὁ πλείων τὴν ἀρετήν, ὁ φίλτατος ἐμοὶ καὶ σεβάσμιος, οὐδὲ διὰ χρόνου φοιτᾷ πρὸς ἡμᾶς, ἀλλ' οὐδ' ἐπιστέλλει. Ἀλλὰ τὰς Ἀθήνας μόνος ἀπολαβών, καὶ πρὸς τὴν αὐτόθι μοῦσαν τὴν ἀκοὴν ἐπιστρέψας, τὰς ἐμὰς

69–70 ἐντὸς – ὀμφαλῶν: Delphi (cf. Strab. Γεωγραφικά 9,3,6) et Ogygia (cf. Strab. Γεωγραφικά 1,2,18,8–9 cum Hom. Od. 1,50); cf. etiam Mich. Ital. Epist. 17 (154,2) et Eustath. Thess. Comm. ad Hom. Od. 1,17,4–7 ἰστέον δὲ ὅτι τὴν μὲν γῆν ὁ μῦθος περί που τὴν Δελφικὴν χώραν λέγει μεσάζεσθαι, ἀετοῖς μετρηθεῖσαν ὑπὸ Διός. διὸ καὶ ὀμφαλὸς καὶ μεσόμφαλον γῆς ὁ πύθιος τόπος ὁ περὶ Δελφοὺς ἐλέγετο. τὸν δὲ ὀμφαλὸν ἤτοι τὸ μεσαίτατον τῆς ἀτλαντικῆς ἢ τῆς ὅλης θαλάσσης, ὁ ποιητὴς εἶναι πλάττει ἐκεῖ ὅπου ἡ νῆσος τῆς μυθικῆς Καλυψοῦς ‖ **70** τὰ – ἀντιπόδων: cf. e.g. Gemin. Εἰσαγωγὴ εἰς τὰ φαινόμενα 16,1 τῶν δὲ ἐπὶ γῆς κατοικούντων οἱ μὲν λέγονται σύνοικοι, οἱ δὲ περίοικοι, οἱ δ' ἄντοικοι, οἱ δ' ἀντίποδες ‖ **4–5** τὰς – ὤν: cf. Hom. Od. 12,39–54 et 197–200, locus saepe laudatus; cf. Π 121,76–80 et Π 199,31; cf. etiam Εἰς τὸ ῥητὸν τοῦ Ἰὼβ … 'καὶ ὁ διάβολος παρέστη … = Theol. I 32,59, et Π 63,31–32, Π 112,79–80, Π 117,67, Π 248,16 et 23–27, Π 445,8–10, et Π 486,5; et etiam Π 30,11, Π 76,49–50, et Π 128,36–37

69 ὁπόσα L: ὅ τί P Taf[2] G ‖ **70** ἀντοίκων L Taf[2] corr. G: αὐτοίκων P ἀντιπόδων L: ἀντιδόξων P Taf[2] G ‖ **71** ἐρῶ – λόγον L: σοι λόγον ἐρῶ P Taf[2] G
ep. 379 L 85r–v, P 203v, H 44v, K 58v (excerptum Π 521); tit. L P S: om. H **1** Κορίνθος Cre ‖ **1–2** ὁ[1] – σεβάσμιος excerptum Π 521 ‖ **3** οὐδ' ἐπιστέλλει P H S Cre: οὐδὲ ἐπιστέλλει L ‖ **4** ἐπιστρέψας L H Cre: ἐκκρεμάσας P S

5 παραπλέει σειρῆνας, καὶ ταῦτα ἄδεσμος καὶ ἐλεύθερος ὤν. Ἐγὼ δὲ οὐ τοῦτο οἴομαι· ἀλλὰ στείλας πρὸς οὐρανόν, καὶ τὴν ὀθόνην ἐκεῖσε πετάσας, ἡμῶν τῶν χθαμαλῶν ἐπιλέλησαι.

Νῦν δὲ καὶ τί σοι ἄλλο συμβέβηκεν, ἵνα πάντη ἀνεπίστροφος εἶ πρὸς ἡμᾶς; ὁ χρυσοῦς τὴν ψυχὴν Χρυσοβαλαντίτης· οὗτος γάρ, 10 οὐ διὰ τῶν λόγων, ἀλλὰ διὰ τῶν τρόπων θέλγειν τὸν ὁμιλοῦντα δυνάμενος, κατέχει καὶ παριέναι οὐ συγχωρεῖ. Ἐμὲ γοῦν ἀποδημῶν μικροῦ δεῖν ἐφειλκύσατο τῇ τῆς ἑταιρίας σαγήνῃ ἐπισυρομένος. Καὶ οὐ πλάττων λέγω, οὔ· μὰ τὸν ἐμοὶ φίλτατον ἀδελφόν! ἀλλὰ πειρώμενος τοῦ ἀνδρός, μαρτυρήσεις μοι τὴν ἀλήθειαν.

8–9 ἵνα – ἡμᾶς: notio neoplatonica saepe in Psello laudata; cf. e.g. Procl. Στοιχείωσις θεολογική 186 πᾶν δὲ τὸ ἑαυτὸ γινῶσκον πρὸς ἑαυτὸ ἐπιστρέφεται, τὸ δὲ πρὸς ἑαυτὸ ἐπιστρέφον οὔτε σῶμά ἐστι (πᾶν γὰρ σῶμα πρὸς ἑαυτὸ ἀνεπίστροφον) οὔτε σώματος ἀχώριστον (καὶ γὰρ τὸ σώματος ἀχώριστον οὐ πέφυκε πρὸς ἑαυτὸ ἐπιστρέφειν· χωρίζοιτο γὰρ ἂν ταύτῃ σώματος) cum Plat. Ἐπινομὶς 982b7–c3 τὸ δὲ ἀμετάστροφον, ὅταν ψυχὴ τὸ ἄριστον κατὰ τὸν ἄριστον βουλεύσηται νοῦν, τὸ τέλεον ἐκβαίνει τῷ ὄντι κατὰ νοῦν, καὶ οὐδὲ ἀδάμας ἂν αὐτοῦ κρεῖττον οὐδὲ ἀμεταστροφώτερον ἄν ποτε γένοιτο. cf. e.g. Psel. Περὶ τῆς χρυσῆς ἁλύσεως = Phil. min. I 46,71–81 τρία γὰρ ταῦτα πρὸς τὰς ἐκείνου τρεῖς τάξεις συντίθημι, νοῦν καὶ ψυχὴν καὶ φύσιν. ὁ μὲν οὖν νοῦς γεννῶν τὴν ψυχὴν ἀνεπίστροφός ἐστι πρὸς αὐτήν· ἔννους γὰρ ἡ ψυχὴ γίνεται οὐχ ὅτε ὁ νοῦς στραφῇ πρὸς ψυχήν, ἀλλ' ὅτε ἡ ψυχὴ στραφῇ πρὸς τὸν νοῦν. ἡ δὲ φύσις τῶν σωμάτων ἐπιστρεφομένη καὶ διοικοῦσα ταῦτα οὐκ ἐπιστρέφει πρὸς ἑαυτήν, ἐπειδὴ ἐστιν οὐσία σώματος χωριστή, ἀλλὰ συναπολήγει τοῖς σώμασιν. ἡ δὲ ψυχή, ἕως μὲν ἂν ᾖ τὸ οἰκεῖον τηροῦσα ἀξίωμα, ἀνεπιστρόφως ἔχειν πέφυκε πρὸς τὰ σώματα, εἰ δὲ τῇ δεινότητι κατασχεθῇ τοῦ εἱρμοῦ, τότε καὶ τῶν σωμάτων ἐπιμελεῖται, ὡς εἶναι τὸν μὲν νοῦν ἑαυτοῦ μόνως, τὴν δὲ φύσιν ἄλλου ἀεί, τὴν δὲ ψυχὴν ἑαυτοῦ καὶ ἄλλου, Ἐγκωμιαστικὸς εἰς … Μιχαὴλ τὸν Κηρουλλάριον = Or. fun. I 1,24 τῶν μὲν περὶ τὴν ἄνω θεωρίαν ἐσχολακότων καὶ πρὸς τὰ τῇδε γενομένων ἀνεπιστρόφων, et Π 22,3–5 τὰ μὲν χείρονα ἐπιστρέφει πρὸς τὰ κρείττονα, τὰ δὲ κρείττονα ἀνεπίστροφα τῶν χειρόνων εἰσί, Π 95,63 ἀμετάστροφος πρὸς τὰ τῇδε εἴην, et Π 459,2–3 τὸ δὲ σὸν ἀνεπιστρόφως προσανέχειν θεῷ, Π 459,7–8 ἀνεπιστρόφως ἔτι ἔχεις περὶ τὰ τῇδε, et Π 459,27 οὐδ' ἀμετάστροφον ‖ **9** ὁ – Χρυσοβαλαντίτης: cf. Π 322,4–8, Π 381,4–6, et Π 403,11; cf. etiam Stavrakos 2000,411–412 (nr. 283)

7 ἐπιλέλησαι L H Cre: ἐπιλέλησται P S ‖ **8** συμβέβημεν Cre | πάντῃ L P S: πάντῃ γε H Cre ‖ **9** Χρυσοβαλαντίτης L P S: ὁ δεῖνα H Cre ‖ **12** ἑταιρίας L H Cre: ἑταιρείας P S ‖ **14** μαρτυρήσεις L P S: ὡς συμμαρτυρήσεις H Cre

Τούτῳ τοίνυν τῷ ἀληθεῖ καὶ καλλίστῳ ἀνδρί, διὰ τὴν ἐκ τοῦ 15
τρόπου πίστιν, συμβέβηκε γενέσθαι καὶ πράκτορι. Διὰ ταῦτα
γοῦν καὶ τῆς ἐμῆς ἐδεήθη γλώττης, καὶ τῆς σῆς δεῖται χειρός.
Ἐγὼ μὲν οὖν ὡς ὁρᾷς, ἐχαρισάμην αὐτῷ τὴν ἐπιστολήν. Σύμπρα-
ξον οὖν σοι· καὶ διαβίβασον διὰ τῆς θαλάττης, ξηρὸν τὸν ἄνδρα καὶ
ἄβροχον, τεμὼν τὰ ὕδατα, καὶ τὰ μὲν φωτίζων, τὰ δὲ ἐπισκιάζων· 20
δεῖ γὰρ ὑμῖν μὲν ἀρχιερατικὴν εἶναι τὴν συντέλειαν, ἐμὲ δὲ
φιλόσοφον ὄντα, συμβολικῶς τὴν περὶ τούτου ποιεῖσθαι ἀξίωσιν.

XCIV. ⟨Μητροπολίτης⟩ Νεοκαισαρείας

380. Τῷ Νεοκαισαρείας

ca. a. 1059? eodem tempore ut Π 165 et Π 373 [vid. epistolarum ordinem in L] et etiam Π 166 et Π 374 [cf. De Vries-Van der Velden 1996,119–120]

K-D 57 [L]

Τοῦτο δὴ τὸ μέγα καὶ ὑπέρλαμπρον ὄνομα: «ὡς ἐμὲ τὸν ἐμόν»· εἰ
δὲ μή, οὐ βούλομαί τι ἐρεῖν. Ἀλλ' οὐδ' ἔσται τοῦτο τὸ «εἰ δὲ μή»,
οἶδα σαφῶς· ὁ γὰρ τοὺς ἐμοὺς λόγους τετιμηκώς, ὁ τὴν ἐμὴν
γλῶτταν δι' εὐφήμου ἄγων τῆς σῆς, πῶς τὸ ἔμψυχον τῆς ἐμῆς
φύσεως ἄγαλμα οὐκ ἂν εὐμενῶς ἴδῃς καὶ τὰ εἰκότα τιμήσῃς, καὶ 5
ταῖς χερσὶν ὅλαις περιλαβὼν καταφιλήσῃς, καὶ τὴν τῆς σῆς ψυχῆς
γνωρίσῃς τούτῳ ἰδέαν, τὴν εὔτεχνον μέν, ἁπλουστάτην δέ, οἷα τὰ
τοῦ Πολυκλείτου ἀγάλματα; Μὴ γὰρ ὅτι νέος τὴν ἡλικίαν, καὶ

19–20 διαβίβασον – ὕδατα: Exod. 14,15–31. cf. etiam Psel. Λόγος εἰς τὴν σταύρωσιν = Or. hag. 3a,692–693, Σελέντιον ἐκφωνηθὲν ἐπὶ τῶν ἡμερῶν τῆς βασιλίσσης κυρᾶς Θεοδώρας = Or. min. 1,42, Εἰς τὸ θεολογικὸν … 'ὁ μὲν χαλκοῦς ὄφις' = Theol. I 45,10–11, et Σύντομοι ἀλληγορίαι τῶν παρὰ τοῖς Ἰουδαίοις νομίμων τε καὶ ἐθῶν = Theol. I 110,45–49, et Π 390,38 ‖ **4–5** τὸ – ἄγαλμα: cf. Π 165,23–24 οὗτος ... ἄγαλμα τῆς ἐμῆς ἰδέας ‖ **7–8** τὴν – ἀγάλματα: locus communis; cf. e.g. Galen. Τέχνη ἰατρική 1,343–344 οἷος ὁ Πολυκλείτου κανὼν εἰς ἄκρον ἥκει συμμετρίας ἁπάσης. cf. Psel. Εἰς τὸ θεολογικὸν ῥητὸν τὸ 'δέον τὰ ἐναντία …' = Theol. I 19,56–60

ep. 380 L 31v–32r; tit. L: Νεοκαισαρίτῃ K-D (cf. Drexl 1941) ‖ **8** Πολυκλείτου corr. K-D: πολυκλείστου L

οἷον ἔτι ἡβάσκων ὁ τοῦ σοῦ θέματος δικαστής, διὰ τοῦτο καὶ νέον
10 αὐτὸν ὑπολήψῃ τὸν κεκρυμμένον καὶ ἐνδότερον ἄνθρωπον· ἔστι
γὰρ (νὴ τὴν ἱεράν σου ψυχήν!), βεβηκὼς μὲν τὸ ἦθος, στερρὸς δὲ
τὸν λογισμόν, κατηρτυμένος πραότητι, δικαιοσύνης ἐπιστήμην
εἰδώς, τῷ φιλανθρώπῳ δὲ μᾶλλον ἢ τῷ δικαίῳ διδούς, φίλους
σεβόμενος, ἱερέας θεραπεύειν ἐξεπιστάμενος καὶ (ἵνα τὸ πᾶν
15 συγκεφαλαιώσας ἐρῶ) τοιοῦτος οἷος βεβούλησαι.

Τὸ τηλικοῦτον γοῦν ἐγὼ χρῆμα, τὸν ἄνθρωπον τοῦτον, σοὶ
παρακατατίθημι. Καὶ φύλαξόν μοι τοῦτον ὡς θησαυρὸν τιμαλφέ-
στατον, ἀνέπαφον μὲν κλέπταις, ἀνάλωτον δὲ λῃσταῖς, καὶ τῆς
ἀπὸ τοῦ χρόνου δαπάνης ἀνώτερον· ὅσον γὰρ τὸ ἦθος ἡδύς, καὶ
20 τὴν μεγαλοψυχίαν πολύς, τοσοῦτον αὐτῷ φοβοῦμαι τοὺς σῆτας·
ἐμφύονται γὰρ οὗτοι, ὥσπερ τοῖς ἁπαλωτέροις τῶν ξύλων, οὕτω
καὶ τοῖς μαλθακωτέροις τῶν ἠθῶν. Εἰ δὲ ἡνιοχεῖν πρώτως παρα-
κεκέλευστο, ἦν δέ τις τῶν εὐμενεστάτων ἐμοὶ διφρηλάτης ἀρχαῖος
καὶ ἔντεχνος, οὐκ ἂν συνηνιόχησε τούτῳ, καὶ τῶν ἡνίων συνεπελά-
25 βετο, καὶ ἐπὶ τῆς διφρείας ἐδίδαξεν, ὅπου μὲν δεῖ τοὺς ἵππους
ἀνασειράζειν, ὅπου δὲ ἐπελαύνειν, καὶ ὅπου συνάγειν, ὅπου δὲ
διαιρεῖν;

Σὺ γοῦν ἐκεῖνος εἶ ὁ ἡνίοχος. Εἶτα «οὐ θήσεις» (ὅ φασι)
«μηρὸν» ὑπὲρ τοῦ ἀνδρός, καὶ ταῦτα οὐκ εἰς κοῖλον αὐτῷ ἵππον
30 συγκαταβαίνων, ἀλλὰ συναναβαίνων ἐπὶ τοῦ μεγίστου ὀχήματος;
Ἀλλὰ τί ποτε τὰ πολλὰ συνείρω; Εἰ μὲν τὴν παρακαταθήκην
ὁμολογεῖς, σὸν δ᾽ ἂν τὸ ἐντεῦθεν τὴν ὁμολογίαν τηρεῖν. Εἰ δ᾽
οὖν—ἀλλ᾽ οὐδὲ πάλιν «εἰ δ᾽ οὖν»· διαστολὴν γὰρ ἡ σὴ φιλία οὐ
παραδέχεται. Μέμνησθε δὲ ἄμφω ἐμοῦ, ὁπότε συμποσιάζητε, ἵνα
35 κἀγὼ ἀμφοῖν. Πηνίκα; ὁπόταν πρὸς θεὸν χεῖρας αἴρω ἱκέτιδας.

9 ὁ – δικαστής: de quo cf. Π 165,4, Π 166,39, Π 373,3, Π 374,5, et Π 375,33–34. Basilius Maleses (Π XXXVIII) (ut De Vries-Van der Velden 1996)? ‖ **28–29** οὐ – μηρὸν: proverbium; cf. Theod. Stud. Epist. 120,14–15 καὶ ὁ πονῶν, φησί, θήσει μηρόν

11 δὲ post corr. L: μὲν ante corr. L K-D ‖ **19** ὅσον post corr. L K-D: ὅσω ante corr. L ‖ **23** διφρηλάτης post corr. L K-D

XCV. Μητροπολίτης Πατρῶν

cf. Π XXXVI (Λέων, ὁ τοῦ Πατρῶν)?

381. Τῷ μητροπολίτῃ Πατρῶν

eodem tempore ut Π 322, Π 379, et Π 403 [vid. epistolarum ordinem in L]

S 111 [P]

Ζηλῶ σε, μητροπολῖτα Πατρῶν· ζηλῶ σε φίλων ἐμοὶ πάντων σεβασμιώτατε, ὅτι «τοιοῦτον καλόν» κατὰ τὸν εἰρηκότα μόνος ἕξεις ἀπολαβών.

Τί δή ποτε τοῦτο; ὃν ὁρᾷς, τὸ κάλλιστον θέαμα, τῆς καθ' ἡμᾶς πόλεως τὸ κεφάλαιον, ὃν ἀφεῖλεν ἀφ' ἡμῶν ὁ φθόνος (οὕτω γὰρ 5 εἰπεῖν δεῖ), ὑμῖν δὲ προσήνεγκε τύχη, καὶ καιρός, καὶ θεός. Νὴ τὴν τιμίαν σου γὰρ κεφαλήν! πολλοῖς ἀνδράσιν ἀγαθοῖς ἐντετυχηκώς, οὐδένα τούτου χρηστότερον τεθέαμαι καὶ καλλίονα. Ἔστι μὲν γὰρ αἰδήμων εἰ καί τις ἄλλος, ἐπὶ παντὶ λόγῳ ἔχων ἐξανθοῦν αὐτῷ τὸ ἐρύθημα, τὴν γλῶτταν οὐ μάλα πρόχειρος, τὴν ψυχὴν 10 εὐπαιδευσίας μεστός. Οὗτος δυστυχήσας τὴν ἀφ' ἡμῶν ἀναχώρησιν, εὐτύχησε τὴν παρὰ σὲ ἄφιξιν.

Φθονῶ γοῦν ὑμῖν τῆς συνουσίας· σύνεσθε γὰρ ἀλλήλοις ἀδόλως, καὶ συνδιαλέξεσθε ἀπεριέργως, καὶ φιλαλλήλως κοινῶν ἀλῶν μεταλήψεσθε. Ἀλλὰ μέμνησθε καὶ ἡμῶν, οὐχὶ ὡς σοφῶν, 15 οὐχ ὡς περιττῶν, ἀλλ' ὡς ὁμοίων τὸ ἦθος. Γενέσθαι δέ σε αὐτῷ

2 τοιοῦτον – εἰρηκότα: cf. Ps.-David et Ps.-Elias In Porph. isag. 23,17 ὡς γὰρ φησὶ καὶ ὁ Πλάτων ὅτι «τοιοῦτον καλὸν ἐν ἀνθρώποις ἐκ θεοῦ δωρηθὲν οὐδὲ ἧκέ ποτε οὐδὲ ἥξει πώποτε» cum Plat. Τίμαιος 47b1–2 φιλοσοφίας γένος, οὗ μεῖζον ἀγαθὸν οὔτ' ἦλθεν οὔτε ἥξει ποτὲ τῷ θνητῷ γένει δωρηθὲν ἐκ θεῶν **4–6** ὃν – θεός: Chrysobalantites. cf. Π 322,4.8, Π 379,9, et Π 403,11; cf. etiam Stavrakos 2000,411–412 (nr. 283) ‖ **11** εὐπαιδευσίας μεστός: Philostr. Τὰ ἐς τὸν Τυανέα Ἀπολλώνιον 3,18,16–17 εὐπαιδευσίας εἶναι μεστόν et Βίοι σοφιστῶν I,18 (510,17–18) ἐπιστολαὶ ... εὐπαιδευσίας δὲ μεσταὶ καὶ ἤθους. cf. Psel. Λόγος εἰς τὰ θαύματα τοῦ ἀρχιστρατήγου Μιχαήλ = Or. hag. 5,346

ep. 381 L 85r, P 213v–214r; tit. P S: om. L ‖ **4** ὃν L: ὧν P S ‖ **5** ὁ φθόνος L: φθόνος P S

πάντα ὁπόσα καὶ βούλεται, ἀξιῶ μέν, περιττὴ δὲ ἡ ἀξίωσις· ἐποίησας γὰρ κἂν μὴ ἠξίωσα.

XCVI. Μητροπολίτης Χαλκηδόνος

382. Τῷ Χαλκηδόνος

K-D 129 [L]

Οὐδὲ εἰκόνας; Καὶ διατί, ὁ θειότατος τῷ ὄντι δεσπότης μου;

Ἐγὼ δὲ καὶ ἱεροσυλῶ ταύτας (νὴ τὴν ἱεράν σου ψυχήν!), καὶ κέκλοφά γε πολλὰς ἀπὸ τῶν ἀδύτων· καὶ ὑπαγκαλισάμενος, τότε μὲν διέλαθον, ὕστερον δὲ ὑποπτευθείς, αὐτίκα ἀπωμοσάμην.
5 Προστέτηκα δὲ μᾶλλον ταῖς ἀμυδραῖς ταύταις γραφαῖς, ὅτι τὴν τέχνην τοῦ γραφέως ἐξεικονίζουσι. Καί μοι συνῆκται τοιαῦτα σανίδια πλείω ἄχρυσα καὶ ἀνάργυρα, ὥσπερ ἔνιοι τῶν νέων συγκλητικῶν, ἄσταυροί τε καὶ ἄβλαττοι. Ἐγὼ δὲ διδοὺς οὐκ ἀλγῶ.

XCVII. ⟨Μοναχοὶ ἐν Γάνῳ⟩

383. ⟨Τοῖς ἐν Γάνῳ μοναχοῖς (?)⟩

eodem tempore ut Π 338 [vid. epistolarum ordinem in P]

S 150 [P]

Τιμιώτατοι πατέρες, πλείων ἐστὶν ἡ ὑμετέρα ὑπόληψις περὶ ἐμὲ τῆς ἐμῆς περὶ τὸν βίον δυνάμεως. Ἔδει μὲν γὰρ πάλαι τοῖς πράγμασι χαίρειν εἰπόντα διὰ τοῦ μοναδικοῦ σχήματος, μηκέτι τούτων ἔχεσθαι καὶ ἀντέχεσθαι· πλὴν ἀπὸ τῶν λιμένων εἰς
5 θάλασσαν αὖθις ἐπαναστρέφων, οὐχ ὅλον ἐμαυτὸν τοῖς κύμασιν

XCVII Γάνῳ: cf. TIB 12: 374–376

17 ἀξιῶ μέν P S: ἀξιῶ L ‖ **ep. 382** L 62r–v; tit.: L K-D ‖ **ep. 383** P 222v–223r; tit. scripsi: ⟨τοῖς ἐν Γάνῳ? μονασταῖς⟩ S

ἐπιδέδωκα· ἀλλ' οὖν ἐπὶ κούφης καὶ ἄνωθεν ἐπινήχομαι. Ὅθεν οὐδὲ πε[ρίεστί] μοι τοσαύτη παρὰ τῶν βασιλέων ἰσχὺς ὥστε βοηθεῖν δύνασθαι καὶ χεῖρα ὀρέγειν τοῖς κινδυνεύουσιν, ἢ (ἵνα τἀληθέστερον ἐρῶ) οἱ μὲν ἐφέλκονταί με καὶ πρὸς ἑαυτοὺς ἐπισπῶνται, ἐγὼ δὲ φεύγω ἵνα μὴ ἁλώσιμος τοῖς πράγμασι 10 γένωμαι. Καὶ ὥσπερ ὁ θαλαττουργὸς πόρρω τῆς θαλάσσης γενόμενος οὐδένα ἂν δυνηθείη τῶν ἐν ταύτῃ κινδυνευόντων διασώσασθαι, οὕτω δὴ κἀγώ, τῶν πραγμάτων ὑπερκαθήμενος, οὐκ ἂν ἰσχύσαιμι τοῖς ἐν πράγμασι γενέσθαι ἐπίκουρος.

Προστῆναι μὲν οὖν με ὑμῶν καὶ τῆς καθ' ὑμᾶς μονῆς οὐ πάνυ 15 τι ἐπαγέλλομαι, δεδιὼς μὴ ἐλάττων φανείην τῆς ἐπηγγελμένης ὑμῖν προστασίας. Ὄμνυμι δὲ καὶ τὰς ὑμετέρας ἁγίας εὐχὰς ὡς οὐδέποτε προεθυμήθην ἄρξαι τινὸς ἢ κοσμικοῦ, ἢ μοναδικοῦ πληρώματος. Βοηθεῖν δὲ ὑμῖν ἐν οἷς ἂν δυναίμην καιροῖς καὶ ὑπηρετεῖν ταῖς ὑμετέραις δεήσεσι καὶ βούλομαι καὶ προτεθύμημαι, 20 εἰ μή μοι ἀντιπέσοι τὰ πράγματα καταρρέοντα ὁσημέραι καὶ μεταπίπτοντα.

Τοσοῦτον γοῦν ὑμῖν παρ' ἐμοῦ ἐπήγγελται· ἅψασθαι δὲ τῆς τελεωτέρας ὑμῶν προστασίας παντάπασιν εἰμὶ ἀθαρσής. Ὁ δὲ πεμφθεὶς ἰχθύς, ὡς μὲν παρὰ μοναχῶν σταλείς, οὐ πάνυ τι ἔχει τὸ 25 εὔλογον, ὡς δὲ παρὰ ὀγδοήκοντα, καὶ πάνυ τοῖς πέμψασι τοῦτον κατάλληλος.

6 ἐπὶ κούφης: cf. Is. 19,1 ἐπὶ νεφέλης κούφης? cf. Π 200,30 ἐπὶ κούφης αὐτὸς ἐλπίδος εἰμὶ

7 περίεστί suppl. S: lacunam indicavit P

XCVIII. Μοναχὸς καὶ ἀρχιμανδρίτης τοῦ Ὀλύμπου, μοναχὸς Ὀλυμπίτης

varii

384. ⟨Μοναχῷ Ὀλυμπίτῃ⟩

S 101 [P]

Γλυκεῖά σου ἡ ἐπιστολή, καὶ καθ' ὑπεροχὴν γλυκερωτέρα κηρίου καὶ μέλιτος. Ἀλλ' ἐμοὶ τὰ μὲν χείλη ἐγλύκανε, τὴν δ' ὑπερῴην οὐκ ἐγλύκανεν, οὐδὲ ἐστάλαξεν ἐν τῇ καρδίᾳ μου γλυκασμόν τινα, ὥστε δύνασθαι πεισθῆναι σοί ποτε ὅτι σωθήσομαι διατρίβων ἐν
5 πόλει· οἱ γὰρ περὶ τὸν Μωϋσέα καὶ οὓς εἰς παράδειγμα τέθεικάς μοι, παρ' αὐτοῦ τοῦ θεοῦ τὰς προστασίας ἐνεχειρίσθησαν, καὶ εἶχον ἀπολογίαν τῶν πράξεων, τὴν τοῦ θεοῦ πρόσταξιν· ἐγὼ δὲ τί ἀπολογήσομαι, μὴ ἐπιτραπεὶς διοίκησιν κοσμικήν;

Οὐκ ἀναπαύσομαι τοίνυν ποτὲ μέχρις ἄν, τῆς ἐνταῦθα πέδης
10 τοὺς πόδας ἐλευθερώσας, πρὸς τὸ θεῖον ὄρος δραμοῦμαι τὸν Ὄλυμπον.

385. Τῷ ἀρχιμανδρίτῃ Ὀλύμπου

K-D 112 [L]

Ἤκουσα πολλάκις σοφοῦ τινος λέγοντος, ὡς ἡ νοερὰ τῶν ψυχῶν ὁμιλία ἀκριβεστέρα τῆς διὰ τῶν σωμάτων παρουσίας ἐστί. Καὶ με ὁ εἰπὼν ἐθηράσατο παρευθύ· ἔχει γὰρ ὁ λόγος ἐπηρμένην διάνοιαν. Ἀλλὰ νῦν βασανίζων τὸν νοῦν, οὔτε τῷ εἰρηκότι οὔτε

1–5 ἤκουσα – πέπεισμαι: cf. Π 282a,2–6 ἐγὼ μὲν παρὰ φιλοσοφ[ίας μαθὼν ὡς οὐ διΐ]στανται ἀλλήλων οἱ διὰ φιλίας ἀληθοῦς ἡνωμένοι (ἔστι γὰρ θάτερος ἐν θατέρῳ … νῦν] οὐ πάνυ τι τῷ λόγῳ τούτῳ τυγχάνω ἁλώσιμος = Π 282b,2–6 ἔχω μὲν παρὰ φιλοσοφίας μαθὼν ὡς οὐ διΐστανται ἀπ' ἀλλήλων οἱ διὰ φιλίας ἀληθοῦς ἡνωμένοι· ἔστι γὰρ θάτερος ἐν θατέρῳ, … νῦν δὲ οὐ πάνυ τι τῷ λόγῳ τούτῳ τυγχάνω ἁλώσιμος

ep. 384 P 211v, O 203r; tit. scripsi (cf. G[4],19 n. 8): om. P O ‖ **1** γλυκερωτέρα P S: γλυκυτέρα O ‖ **10** δραμοῦμαι P S: διαδραμοῦμαι O ‖ **ep. 385** L 58r–v; tit. L K-D

ἐμαυτῷ πέπεισμαι· ποσάκις γάρ σοι συνανεπτερώθην τῷ πτερῷ 5
τῆς ψυχῆς; ποσάκις σοι διὰ τῶν φαντασιῶν συνωμίλησα; ποσάκις
σε διὰ τῆς μνήμης προεχειρησάμην, καὶ λόγους τοὺς μὲν ἔδωκα,
τοὺς δὲ ἔλαβον; Ἀλλ' οὔπω ἀναπέπαυμαι, ἀλλὰ ζητῶ σε τοῖς
ὀφθαλμοῖς, ποθῶ σου τῆς αἰσθητῆς ἀκοῦσαι φωνῆς, ἐρῶ τῇ χειρὶ
ψηλαφῆσαι, ὀσφρανθῆναί σου τοῦ πνευματικοῦ μύρου καὶ τοῦ 10
ῥακώδους ἐνδύματος.

Μὴ ὀναίμην μήτε τῆς οἰκείας ψυχῆς, μήτε δυνάμεως κρείττο-
νος, εἰ μή σοι βούλομαι κατὰ πάντα προσαναχρώννυσθαι. Εἴπω τί
σοι τῶν ἀπορρήτων; Οὕτω σοι καὶ τοσοῦτον συνανεκράθην, ὥστε
οἰκειοῦμαι τὰ σά. Καὶ ῥᾳθυμῶν, μερίδα τινὰ ἔχειν λογίζομαι τῆς 15
σῆς συντονίας· καὶ ἁμαρτάνων, τοῦ ἀναμαρτήτου σοι κοινωνῶ· καὶ
κατάκριτος ἴσως ὢν τῷ θεῷ, μετὰ σοῦ τοῦ ἀκατακρίτου συντέτα-
γμαι.

Εἰ μὲν οὖν ἐφ' ᾧ ζῶ ἐλεύσομαι ταχὺ πρὸς σέ, ἕξω τὸ ἐφετόν.
Εἰ δὲ ἅτερος ἡμῶν παρὰ τὸν ἕτερον γένηται, ἀλλὰ σὺ ἢ προανα- 20
πτάς, πρὸς ἑαυτὸν ἀναπτέρωσον, ἢ μετ' ἐμὲ ἐπαρθείς, διὰ τῆς
ἐμῆς πτερύχθητι καλιᾶς, εἰ καί τις ἡμῖν βραχεῖα ἀποκληρωθείη
σκηνή.

5–6 τῷ – ψυχῆς: iunctura saepissime laudata; cf. Plat. Φαῖδρος 246c1 τελέα μὲν οὖν οὖσα (scil. ἡ ψυχὴ) καὶ ἐπτερωμένη etc. cum e.g. Herm. In Phaedr. 133,2 πτερὸν τῆς ψυχῆς ἐλέγομεν τὴν ἀναγωγὸν αὐτῆς δύναμιν et Ioann. Chrys. Πρὸς Στελέχιον, καὶ περὶ κατανύξεως 1 (PG 47 411,27–28) μετεωρίζει τῆς ψυχῆς τὸ πτερὸν πρὸς οὐρανόν. cf. Psel. Ἐγκωμιαστικὸς εἰς … Μιχαὴλ τὸν Κηρουλλάριον = Or. fun. I 1,59,36, Σελέντιον δημηγορηθὲν παρὰ βασιλέως κῦρ Μιχαὴλ τοῦ Δούκα = Or. min. 3,20–21, Εἰς τὸ 'εἶδον ἄνθρωπον ἐν Χριστῷ …' = Theol. I 27,78, Εἰς τὸ 'τὸ μέν, ἵνα μένῃ …' = Theol. I 91,110, et Π 123,30–31, Π 206,30, et Π 210,37 ‖ **10** τοῦ[1] – μύρου: iunctura saepe laudata; cf. etiam Psel. Theol. II 29,21–22 πρὸς τὴν ψυχὴν ἔχουσα, ἐξ ἧς ἡ τοῦ πνευματικοῦ μύρου εὐωδία ἀτμοειδῶς ἄνεισι et Π 3,1–2 ‖ **13–14** εἴπω – ἀπορρήτων: Liban. Declam. 33,1,21 εἴπω τι τῶν ἀπορρήτων; et 34,2,19 εἴπω τι, βούλεσθε, τῶν ἀπορρήτων; cf. Psel. Σελέντιον ἐκφωνηθὲν ἐπὶ τῶν ἡμερῶν τῆς βασιλίσσης κυρᾶς Θεοδώρας = Or. min. 1,65, Εἰς … Κωνσταντῖνον τὸν Μονομάχον = Or. pan. 6,191, et Π 83,12. cf. etiam Π 210,100 ‖ **20–21** προαναπτάς: cf. Greg. Naz. Εἰς τὸν μέγαν Ἀθανάσιον = Or. 21,25 τοῖς προαναπτᾶσι συναναπτᾶν

386. Τῷ μοναχῷ καὶ ἀρχιμανδρίτῃ τοῦ Ὀλύμπου

S 185 [P]

Τοιοῦτόν ἐστιν ἀνὴρ τῷ ὄντι φιλόσοφος, πρὸς τὰς δικανικὰς τῶν ὑποθέσεων ἀπολογούμενος θεωρητικῶς. Κἀγὼ ᾔδειν μὲν ὡς οὕτως ἀπολογήσῃ, ἐποιούμην δὲ τοὺς λόγους πρὸς τὴν ὑπόθεσιν. Ἀλλ᾽ ἐπειδή με σοφιστὴν ἐν τῇ ἐπιστολῇ ἔγνωκας καὶ πόρρω τοῦ
5 τῆς φιλοσοφίας ἤθους, οὐ μᾶλλον ἐπῄνεσας τῆς ἐν τοῖς λόγοις ἁρμονίας, ἢ ἐμίσησας τῆς ἀναρμόστου πρὸς φιλοσοφίαν ἕξεως. Διὰ ταῦτα τοιγαροῦν ἀφεὶς προηγουμένως ἀπολογήσασθαι, τὸν ὑπὲρ τῆς ἡμετέρας ψυχῆς ἀνέρριψας κίνδυνον, ἀποσπᾶσαι τῆς ὕλης ζητῶν καὶ μετενεγκεῖν πρὸς θεόν.

10 Οὕτω σου τῆς διανοίας καταμαντεύομαι. Ὅσας δὲ τῶν λέξεων πρὸς ἔπαινον ἡμέτερον τέθεικας, σοφιστικῶς προσερρίφθαι οἴομαι, ἵνα μὴ τῇ τοῦ λόγου πληγῇ εἰς βάθος τὸ ξίφος δεξάμενοι, θανατωθείημεν ἢ θεραπευθείημεν· τί γάρ σοι βούλεται τὸ «θῦσαι» ἡμᾶς «τοὺς λόγους θεῷ»; ἆρ᾽ οὐχὶ δῆλον ὡς καταμέμφῃ μὴ ἐκείνους νῦν
15 ἀποθύοντας, ἀλλὰ πρὸς δόξαν συντιθέντας αὐτούς;

Ἀλλὰ ταῦτα μὲν λόγων ἴσως χάριτες καὶ ἀγχίστροφοι ἔννοιαι. Τὸ δὲ ἀληθὲς καὶ φαινόμενον ὅτι τιμιώτατός μοι δεσπότης σὺ ὑπὲρ τὴν ὕλην γενόμενος, καὶ στὰς ἔξω τοῦ σώματος, ἀποδύρῃ ὑπὲρ τοῦ ἡμετέρου νοῦ ἐν ταύτῃ βεβαπτισμένου καὶ ἀνενεγκεῖν
20 πρὸς θεὸν μὴ δεδυνημένου. Διὰ ταῦτα, τὸ μὲν τὸ θεῖον ἐκλιπαρῶν, τὰ δὲ ἡμᾶς νουθετῶν, τὰ δὲ καὶ πλήττων ἐπιστημόνως, ἄνω βλέπειν ἀξιοῖς καὶ τὸν τῆς ὕλης φόρτον ἀποθέσθαι. Ἡμεῖς δέ, τὰ

1 τοιοῦτον – φιλόσοφος: cf. Greg. Naz. Εἰς ἑαυτόν, ἐξ ἀγροῦ ἐπανήκοντα μετὰ τὰ κατὰ Μάξιμον = Or. 26,10 ἐμοὶ δὲ δοκεῖ σαφῶς τοιοῦτον εἶναί τι ὁ φιλόσοφος ‖ **12** τῇ – πληγῇ: cf. e.g. Greg. Naz. Ἀπολογητικός = Or. 2,30 οὓς τῇ πληγῇ τοῦ λόγου διεγερτέον. cf. Psel. Χρονογραφία VI,135 οὐκ ἐνεγκὼν τὴν τοῦ λόγου πληγήν ‖ **13–14** θῦσαι – θεῷ: cf. Greg. Naz. Εἰς τὸ ἅγιον Πάσχα = Or. 45,2 οὐδὲ γὰρ ἀνέχομαι, τοὺς περὶ τοῦ μεγάλου θύματος καὶ τῆς μεγίστης ἡμερῶν θύων λόγους, μὴ πρὸς Θεὸν ἀναδραμεῖν, κἀκεῖθεν ποιήσασθαι τὴν ἀρχήν ‖ **19** νοῦ – βεβαπτισμένου: cf. Synes. Cyren. Δίων 6,5 οὐ βαθύνεται πρὸς ὕλην, οὐδὲ ἐμβαπτίζει τὸν νοῦν ταῖς ἐσχάταις δυνάμεσιν. cf. Psel. Λόγος τοῦ ὑπερτίμου ὃς ἐπικέκληται σελέντιος = Or. min. 4,23–24 πραγμάτων ἐπιφοραῖς οὐ βαπτίζει τὸν νοῦν

ep. 386 P 234v; tit. P S ‖ **3** τοὺς – ὑπόθεσιν scripsi: πρὸς τοὺς λόγους τὴν ὑπόθεσιν P S ‖ **14** ἐκείνους scripsi: ἐκείνων P S

μὲν συνηθείᾳ διδόντες, τὰ δὲ καὶ τοῖς φαινομένοις δελεαζόμενοι ἀγαθοῖς, πρὸς τὸ ὄντως οὐκ ἀνανεύομεν ἀγαθόν.

Ἀλλὰ σύ γε μὴ ἀποκάμῃς ἀναχωννύων τὸν ἡμέτερον νοῦν καὶ 25 πρὸς τὸ συγγενὲς καὶ πρῶτον ἀνάγων καλόν. Ὁ δὲ μοναχὸς κῦρ Μιχαὴλ εὖ οἶδ' ὅτι σου καὶ δικαιοτέρου καὶ φιλανθρωποτέρου καὶ ἀντιληπτικωτέρου τεύξεται, τὰ μὲν ὅτι καὶ φύσεως οὕτως ἔχεις, τὰ δὲ καὶ ὅτι ἡμεῖς ἠξιώσαμεν.

387. Μοναχῷ Ὀλυμπίτῃ

Ἰωάννῃ [cf. D]?

Ag² 1 [P D], S 27 [P]

Ἡδέως σου τὰς ὀπώρας καὶ τὸν ἀπεσταλμένον ἐδεξάμην καλόγηρων, τιμιώτατε πάτερ. Ἡδέως ὅτι σε ἀγαπῶ, ἡδέως ὅτι τῆς ἐμῆς ὑπερεύχῃ ζωῆς· οὐ γὰρ μᾶλλον τοὺς δεινοὺς καὶ περινενοημένους ἄνδρας ποθῶ, ἀλλὰ τοὺς ἁπλοϊκοὺς γέροντας, ὁποῖος εἶ σύ, οἳ συνᾴδουσαν ἔχουσι τῇ καρδίᾳ τὴν γλῶτταν, οἷς ὁ 5 λόγος ἅλατι ἠρτυμένος, καὶ ἡ γραφὴ ἰδιωτικὴ μέν, ἀλλὰ πνευματική· πίστευσον γάρ μοι, τιμιώτατε πάτερ, ὅτι πολλοῖς μὲν λόγοις σοφοῖς ὡμίλησα, καὶ πολλὰ βιβλία ἀνελεξάμην, οὐκ ἐτέρφθην δὲ τοσοῦτον ἐπ' οὐδενὶ τούτων, ὅσον ἐπὶ λόγῳ ἰδιωτικῷ μὲν καὶ ἀφελεῖ, πνευματικῷ δὲ καὶ καθαρῷ· τέρπει δέ με καὶ ἦθος 10

25 ἀναχωννύων – νοῦν: Synes. Cyren. Δίων 10,3 παιδείαν μὲν ἅπασαν ἠτιμάκασιν, ὑφ' ἧς ὁ νοῦς ἀναχώννυται. cf. Psel. Ἐπιτάφιος εἰς ⟨Ἀναστάσιον⟩ = Or. fun. I 8,2,22–24 ἀμφοτέρων δὲ καὶ τῶν ἕξεων ἐχόμενος ἐπιμελῶς, ὅση τε τὸν ἐν ἡμῖν ἀναχωννύει νοῦν καὶ ὅση τὴν γλῶτταν εἰς λόγους ἐπαίρει et Εἰς τὸ 'νοῦς μὲν οὖν ἤδη καὶ αἴσθησις' = Theol. I 90,3–4 μετὰ Σωκρατικῆς ἐπιστήμης τὸν ἐγκείμενον τούτοις ἀναχωννύειν νοῦν. cf. Π 161,16–18 ὁ νοῦς … ἀναχωννύμενος ‖ **5–6** ὁ – ἠρτυμένος: Col. 4,6 ὁ λόγος ὑμῶν πάντοτε ἐν χάριτι, ἅλατι ἠρτυμένος (cf. etiam Karath. 97–98). cf. Psel. Ἐγκωμιαστικὸς εἰς … Μιχαὴλ τὸν Κηρουλλάριον = Or. fun. I 1,58,9–10 et Π 275,59–60 ‖ **7–8** πολλοῖς – ἀνελεξάμην: cf. Π 202,10–11 ἐγὼ γὰρ πολλὰς μὲν φιλοσόφους βίβλους ἀνέπτυξα, πολλοῖς δὲ ῥητορικοῖς λόγοις ὡμίλησα

ep. 387 P 197r, D 269r–v, A 45v; tit. μοναχῷ Ὀλυμπίτῃ P S Ag² : τῷ μοναχῷ Ἰωάννῃ τῷ Ὀλυμπίτῃ D μοναχῷ Ὀλυμπήτῃ A ‖ **2** καλόγηρον A ‖ **4** ποθῶ : ἀγαπῶ suprascr. A | ἀλλὰ P D S Ag²: ἀλλὰ καὶ A ‖ **5** οἳ : οἱ Ag² ‖ **6** ἠρτημένος S ‖ **7** ὅτι P A S Ag²: om. D ‖ **9** τοσοῦτον … τούτων P A S Ag²: τούτων … πάντων D ‖ **10–11** τέρπει – μοναδικόν P A S Ag²: om. D

ἄπλαστον, καὶ μοναδικόν.

Καὶ ὀναίμην ὑμῶν τῶν ἁγίων ἀνδρῶν· καὶ μὴ ἀποβιῴην πρότερον, πρινὴ βιώσαιμι μεθ' ὑμῶν.

388. Μοναχῷ Ὀλυμπίτῃ

eodem tempore ut Π 275 [vid. epistolarum ordinem in P]?

Ag² 2 [L, U, P], S 166 [P]

Σαλὲ ἡγούμενε, κατέβης ἀναβάς. Εἶτα οὐ φρίσσεις ὅτι με ἄγειν ἐπετράπης παρὰ τῆς τύχης τὸν μέγαν, τὸν γίγαντα, ὡς δοκεῖ τοῖς πολλοῖς, ὁ ποιμήν, ὁ Δαυΐδ (τοῦτο γάρ σοι χαρίζομαι); Μόνον μοι τὴν σφενδόνην συστείλας, χρῶ τῇ ποιμαντικῇ ῥάβδῳ. Καλὸν
5 μὲν γὰρ ἄμφω μεταχειρίζεσθαι, ἀλλ' ὅ γε καιρὸς θάτερον ἀνάρμοστον δέδειχε τοῖς πολλοῖς· ἠθῶν γὰρ μαλακωτάτων τυγχάνοντες, οὐ φέρουσι τὴν πληγήν. Διὰ τοῦτο, ἐν οἷς ἂν παρῇκοι, μεθάρμοζέ μοι τὸ ἦθος πρὸς ἐπιείκειαν, καὶ συμφέρου τὰ πολλὰ τοῖς πολλοῖς, ἵν' ἑνωθεὶς ἐκείνοις διὰ τῆς ὁμοιότητος, πρὸς
10 τὴν σὴν ἀνομοιότητα μεταστήσῃς, κλέψας τὴν ἐπιχείρησιν. Δέδιθι δὲ καὶ τὸν θρόνον, καὶ τὸν σκίμποδα· κἂν γὰρ ἐξ ὕλης τῆς φαυλοτάτης τυγχάνωσιν, ἀλλὰ κατά γε τὸ σχῆμα τῶν μεγάλων

2–4 τὸν¹ – συστείλας: I Reg. 17,4–51 καὶ ἐξῆλθεν ἀνὴρ δυνατὸς ἐκ τῆς παρατάξεως τῶν ἀλλοφύλων, Γολιαθ ὄνομα αὐτῷ ἐκ Γεθ, ὕψος αὐτοῦ τεσσάρων πήχεων καὶ σπιθαμῆς ... ποιμαίνων ἦν ὁ δοῦλός σου ... εἰς συλλογὴν καὶ σφενδόνην αὐτοῦ ... καὶ ἐξέτεινεν Δαυιδ τὴν χεῖρα αὐτοῦ εἰς τὸ κάδιον καὶ ἔλαβεν ἐκεῖθεν λίθον ἕνα καὶ ἐσφενδόνησεν καὶ ἐπάταξεν τὸν ἀλλόφυλον ἐπὶ τὸ μέτωπον αὐτοῦ, καὶ διέδυ ὁ λίθος διὰ τῆς περικεφαλαίας εἰς τὸ μέτωπον αὐτοῦ, καὶ ἔπεσεν ἐπὶ πρόσωπον αὐτοῦ ἐπὶ τὴν γῆν ... cf. Psel. Ἐγκώμιον εἰς Ἰωάννην … Εὐχαΐτων … = Or. pan. 17,371–376 et Εἰς τὸ 'ἔστω δὲ ὑμῶν χάριν …' = Theol. I 58,12–14 ‖ **11** τὸν θρόνον: dum Psellus πρόεδρος/ὕπατος τῶν φιλοσόφων erat (1047–)? cf. Π 174,49, Π 185,44, Π 196,38–45, et Π 498,9–10; cf. etiam 111,134, 280,20 et 47, et 455,34–35?

13 πρινὴ P S Ag²: πρὶν ἢ D ἢ A ‖ **ep. 388** L 34v, U 163r (inc. mut.), P 227r, A 45v; tit. L P A S Ag² ‖ **1** σαλέ L P S Ag²: καλὲ A | ἡγούμενε P A S Ag²: ἡγούμενος L ‖ **2** παρὰ – τύχης L A Ag²: om. P S ‖ **3** Δαυΐδ L A: μικρός P S Ag² ‖ **5** γε om. Ag² ‖ **7** διὰ τοῦτο L A: διαταῦτα P διὰ ταῦτα S Ag² ‖ **8** παρῇκοι : ἐνδίδωσι in marg. L | ab τὸ ἦθος inc. U ‖ **9** τοῖς – ἑνωθεὶς U P A S Ag²: τούτοις, ἵν' ἑνωθεὶς L

βημάτων οὐκ ἀποδέουσιν.

Ἀλλ' ἐρωτῶ σε τὸν καθηγούμενον: ἔφριξας τὴν ἄνοδον, ἢ ἠγάπησας τὴν προτίμησιν; Αἴθε τὸ πρῶτον σοι περιγέγονεν· 15 οὕτω γὰρ ποιμὴν ἔσῃ, καὶ ποιμανθήσῃ τῷ καλλίστῳ τούτῳ φόβῳ, πρὸς τὴν κρείττονα ποιμαινόμενος ἀρετήν.

XCIX. Μυστικός

389. Τῷ μυστικῷ

ante 22.XI.1059, fortasse Oct.–Nov. 1059; eodem tempore ut Π 1 et Π 41 [vid. epistolarum ordinem in P] et etiam Π 142, Π 251 et Π 391

S 114 [P]

Φιλτάτη καὶ καλλίστη ψυχή, ἡμεῖς μὲν ὑμᾶς οὐκ ἀφήκαμεν, ἀλλ' ἐν ψυχῇ περιφέρομεν· ὑμεῖς δὲ ἡμᾶς τοσοῦτον ἀφήκατε, ὥστε οὐδὲ οἴδαμεν ὅπῃ διάγετε εἰ μὴ ὅσον ἀκοῇ πυνθανόμενοι.

Εἰ μὲν οὖν πρὸς ἴσους ἦν ἡ φιλία ἡμῶν, οὐκ ἄν ποτε ἐχωρίσθημεν ἀφ' ὑμῶν· ἀλλ' ἠκολουθήσαμεν, καὶ κατεδιώξαμεν, καὶ 5 ἰχνεύσαμεν ὑμᾶς καὶ ἐθηράσαμεν· κυνηγέται γὰρ καὶ ἡμεῖς οὐ θηρῶν, ἀλλὰ ψυχῶν, οὐδὲ ἀλόγων, ἀλλὰ ἀνθρώπων. Ἐπεὶ δὲ ὁ μὲν βασιλεύς καὶ βασιλέων ἡ κορυφή, ἐγὼ δὲ ἰδιώτης καὶ μοναχὸς καὶ οὐδὲ ζητούμενος ἴσως οὐδὲ ποθούμενος, διὰ ταῦτα αἰδοῦμαι, φίλτατε ἀδελφέ, καὶ συνεῖναι καὶ γράφειν καὶ ὅλως εἰς ὄχλον ὑμῖν 10 καθίστασθαι. Καὶ εἰ μή γε πολλάκις ἀρρήτους ὅρκους ὀμνὺς ἔπειθες ὡς οὐ δυσχεραίνει τὴν ἐμὴν συνουσίαν ὁ θειότατος ἡμῶν βασιλεύς, οὐδὲ ἀποκρούεται τὰς ἐπιστολάς, οὐδ' ἂν εἶδέ μέ τις ἐν βασιλείοις παραγενόμενον.

Καταμανθάνω δὲ καὶ αὐτὸς τὴν τοῦ βασιλέως ψυχὴν ἱλαρῶς 15 πρὸς ἡμᾶς ἔχουσαν. Διὰ ταῦτα καὶ νῦν βραχύ τι γραμμάτιον γεγραφώς, ὥσπερ ἀπὸ τῆς καρδίας γράψας αὐτῆς, τῷ αὐτοκρά-

XCIX μυστικός: cf. Π LXI (Ἐπιφάνιος Φιλάρετος)? cf. etiam Π 390,1–2 (τῷ μυσταγωγῷ)? ‖ **8** βασιλεύς: Isaacius Comnenus (imperator: 1.IX.1057 – 22.XI.1059) (Π XXXII)

15 αἴθε τὸ πρῶτον σοι L U A: εἴθε σοι τὸ πρῶτον P S Ag² ‖ **16** τῷ – φόβῳ L U A Ag²: τῷ καλλίστῳ φόβῳ P S ‖ **ep. 389** P 215r; tit. P

τορι ἐξεπέστειλα. Γνώσομαι δὲ εἴ γε τοῦτο προσήκατο εὐμενῶς τῷ ἀντιγράμματι. Σοφὸν μὲν γὰρ οὐδὲν ἔχει ἡ ἐπιστολή (οὐδὲ γὰρ
20 κομπάζειν βούλομαι), ἔμφυτον δὲ χάριν καὶ ἡδονὴν τὴν ἀπὸ τῆς ψυχῆς.

Ἔσο μοι δὲ εἰδὼς ὅτι οὐκ ἄνθρωποι μόνον ἀλλὰ καὶ λίθοι σχεδόν με πληροφοροῦσι περὶ τῆς πρὸς ἡμᾶς σου διαθέσεως, καὶ ὅτι μου καὶ τῆς ὁμιλίας ἐρᾷς, καὶ τῶν λόγων, καὶ τῶν ἐπιστολῶν·
25 καὶ τεκμαίρομαι, χρηστότατε ἄνθρωπε, ὅτι σοι σπέρμα φιλόσοφον ἐγκαταβέβληται τῇ ψυχῇ· καὶ τρέφε τοῦτο καὶ αὔξανε, ἵνα βλαστήσῃς ποτὲ καρπὸν γενναῖον καὶ θρέψῃς θεόν.

C. Νοτάριοι τοῦ βασιλέως ⟨Ἰσαακίου⟩ τοῦ Κομνηνοῦ

390. Τοῖς ἐν τῷ ταξειδίῳ νοταρίοις τοῦ βασιλέως ⟨Ἰσαακίου τοῦ Κομνηνοῦ⟩

Aug.–Sept. 1059; militiis ab Isaacio Comneno inceptis; eodem tempore ut Π 17, Π 138, Π 139, Π 140, et Π 141

S 70 [P]

Τῷ κορυφαίῳ καὶ τῷ χορῷ, ἢν δὲ βούλησθε τοῖς μύσταις καὶ τῷ μυσταγωγῷ· καὶ ἵνα μηδεὶς βασκήνῃ, ἔστω μοι τέως ἄρρητος ὁ ἱεροφάντης καὶ μόναις ταῖς ὑπονοίαις ἐκκείμενος. Ἀλλὰ τί πρὸς ἀλλήλους ἐβλέψατε; Τί δὲ ἕκαστος ὑμῶν τὸν δᾳδοῦχον ἐνεθυμήθη
5 ἢ ὑπενόησεν;

Ἡμῖν γοῦν ἡ ἐπιστολὴ οὐκ ἄνωθεν καταρραγεῖσα, οὐδ᾽ ἀτεχνῶς βροντῶσα ὥσπερ τις κρείττων φωνή, ἀλλὰ κάτωθεν

22–23 καὶ – πληροφοροῦσι: cf. Luc. 19,40 λέγω ὑμῖν, ἐὰν οὗτοι σιωπήσουσιν, οἱ λίθοι κράξουσιν (locus saepe laudatus); cf. Π 139,38–39 ‖ **1–2** τῷ μυσταγωγῷ: τῷ μυστικῷ (Π XCIX)?

23 διαθέσεως scripsi exempli gratia (cf. e.g. Π 259,16–17 τῆς πρὸς ἡμᾶς σου χρηστῆς διαθέσεως); fortasse ψυχικῆς διαθέσεως scribendum: ψυχῆς P S **ep. 390** U 176r–v, P 205r–v, p[1] 144 (= P); tit. scripsi: τοῖς νοταρίοις τοῦ βασιλέως U posteriora manu τοῖς ἐν τῷ ταξειδίῳ νοταρίοις τοῦ αὐτοῦ βασιλέως P S ‖ **1–2** τοῖς – μυσταγωγῷ scripsi: [ca. 18 litt.]σταγωγῷ U τῷ μυσταγωγῷ καὶ τοῖς μύσταις P S ‖ **3** ἐκκείμενος U: ἐγκείμενος P S ‖ **6** ἡμῖν P S: ὑμῖν U | οὐδ᾽ P S: οὐδὲ U

ἀναδοθεῖσα τοῖς ὑψηλοῖς καὶ μετεώροις ὑμῖν· ὥσπερ γὰρ ὁρᾶν δοκῶ ἢ ὄρος ὑμᾶς ἀναβαίνοντας, ἢ λόφον ὑπερπηδῶντας καὶ ὑπερνεφεῖς γινομένους, ἢ εἰς τὸ βάθος τοῦ ἀέρος ἐμπίπτοντας. 10

Πόσον γοῦν ἠχήσω, καὶ ταῦτα ἀπὸ τῆς καθ' ἡμᾶς ταύτης κοιλάδος πρὸς τὴν ὑμετέραν ἀκρώρειαν; Ὦ τοίνυν μακάριοι ὑμεῖς! Καὶ αὖθις: ἀλλ' ὦ μακάριοι! Καὶ τρίτον τοῦτο: πῇ δῆτά μοι, μακάριοι, ἀνίετε καὶ μετεωρίζεσθε, πᾶν μὲν ἀναβαίνοντες νέφος, πᾶσαν δὲ ὑπερβαλλόμενοι σκοπιάν; Στῆτε μέχρι τινός· τὰ γὰρ 15 ἐπέκεινα τούτων, «Σκυθικὸν» μὲν οὐκέτι «κρύος», ἢ «πέλαγος πεπηγός», ἢ «πηλὸς ἀϊδνὴς» (ταῦτα δὴ τὰ τῶν καταγεωμετρούντων τὴν ἤπειρον), ἀλλὰ στοιχεῖον ἁπλοῦν, καὶ αἰθὴρ καὶ σῶμα κύκλῳ φερόμενον, καὶ πᾶν εἴ τι ἀπόρρητον καὶ θεσπέσιον.

Ἀλλ' ὦ τῆς ἀθρόας ὑμῶν μεταστάσεως! ὁρῶ γὰρ αὖθις ὑμᾶς 20 καταβαίνοντας, οὐχ ὥσπερ ὁ Ἰξίων ἢ πρὸ ἐκείνου ὁ Τάνταλος καὶ πρὸ τούτων Ἥφαιστος, ῥιπτουμένους ἀπὸ βηλοῦ θεσπεσίοιο, ἀλλ'

16–18 Σκυθικὸν – ἤπειρον: Plut. Thes. 1,1 ὥσπερ ἐν ταῖς γεωγραφίαις ... οἱ ἱστορικοὶ τὰ διαφεύγοντα τὴν γνῶσιν αὐτῶν τοῖς ἐσχάτοις μέρεσι τῶν πινάκων πιεζοῦντες, αἰτίας παραγράφουσιν ὅτι ... «πηλὸς ἀιδνής», ἢ «Σκυθικὸν κρύος», ἢ «πέλαγος πεπηγός» ‖ **21** οὐχ – Τάνταλος: de Ixioni e Tantalo cf., e.g., Ps.-Nonnus Συναγωγὴ … ἱστοριῶν … in Greg. Naz. Or. 5, hist. 32 περὶ τοῦ Ταντάλου ... καὶ τοῦ Ἰξίονος. cf. Psel. ⟨De servitute a secretis⟩ = Or. min. 11,42–44 τί μοι ...Τάνταλος τὸν ὑπὲρ κεφαλῆς λίθον φοβούμενος ἢ ἐν μέσῃ πηγῇ στερούμενος τοῦ ποτοῦ (τὸ γὰρ ληρῶδες ἐῶ τοῦ Ἰξίονος); de Ixioni cf. etiam Psel. Πρὸς τὸν λοίδορον ῥίψαντα χάρτην = Or. min. 7,6–7, Ὅτε παρῃτήσατο τὴν τοῦ πρωτοασηκρῆτις ἀξίαν = Or. min. 8,113–114, et Π 59,44–46 et Π 378,43–46; cf. etiam Π 526,2; de Tantalo, cf. Psel. Ἀλληγορία εἰς τὸν Τάνταλον = Phil. min. I 43 et Ὑπὲρ τοῦ νομοφύλακος κατὰ τοῦ Ὀφρυδᾶ = Or. for. 3,94–96 et Π 258,17–18 ‖ **22** Ἥφαιστος – θεσπεσίοιο: Hom. Il. 1,591 ῥῖψε ποδὸς τεταγὼν ἀπὸ βηλοῦ θεσπεσίοιο, cf. Psel. Εἴς τινα κάπηλον γενόμενον νομικόν = Or. min. 14,174, Ἐγκώμιον εἰς … Κωνσταντῖνον … τὸν Λειχούδην = Or. fun. I 2,9,32, Περὶ τῆς καταλλαγῆς Ἡφαίστου = Phil. min. 1,54,62–3 et 104–109 τὸ ἐκ ποδὸς δὲ ῥιφῆναι τὸν Ἥφαιστον 'ἀπὸ βηλοῦ θεσπεσίοιο' ὑπὸ Διὸς οὐδὲν ἄλλο δηλοῖ, καθὰ καὶ προείρηται, ἢ ὅτι πολλάκις αἱ ἄνω ἐκπυρωθεῖσαι ἀναθυμιάσεις ἐν τοῖς μετεώροις κάτω ῥιπτοῦνται, ὥσπερ οἱ κεραυνοὶ καὶ εἴ τι ἄλλο τοιοῦτο, καὶ οὐκ ἔστιν ἐπὶ πολὺ παραμεῖναι τοῖς ἄνω τόποις τοιοῦτον Ἥφαιστον, ἀλλ' ἢ ὅλως ἀφανιζόμενος λύεται καὶ σκεδάζεται ἢ κάτω βάλλεται

9–10 ἢ² – γινομένους in marg. add. P ‖ **22** ῥιπτουμένους U: ῥιπτούμενος P S

ἐν τάξει προϊόντας, καὶ ἐν μέτροις προόδων. Ἀλλὰ ποῖ χωρεῖτε; Στῆτέ μοι. Μέχρι τίνος ἡ κάθοδος; ἐς μυχοὺς γῆς, ἐς δίνας θαλάτ-
25 της, ἐς ποταμῶν κόλπους; Οὐκέτι οὐδὲ θεατοί· ἀλλ' αὖθις ἀθρόον ὥσπερ οἱ Γίγαντες, ἀναφύεσθε, καὶ πάλιν ἐφ' ὑψηλοῦ καὶ μετάρσιοι.

Ἀλλὰ τίς ποτε ὁ προπετόμενος ὑμῶν ἀετός, οὗ ἐλαφραὶ μὲν αἱ πτέρυγες, καὶ ταῦτα χρυσόπαστοι, οἱ δὲ πόδες φοινικοβαφεῖς τε
30 καὶ στίλβοντες, καὶ τὸ μὲν στῆθος στρεπτὸς κοσμεῖ λιθοκόλλητος, χρυσῆ δὲ στεφάνη τὴν κεφαλὴν περιθεῖ; Ὁ δὲ καὶ ἐπέστραπται πρὸς ὑμᾶς ξυνιέντι τῷ βλέμματι, καί τι καὶ ἦθος ταῖς ὀφρύσιν ἐπιδεικνύει; Ξυνίημι γοῦν αὐτοῦ καὶ σιωπώντων ὑμῶν, ὡς ἄρα ὁ μέγας ἐν βασιλεῦσίν ἐστιν, ὃν εἴ τις καὶ μάκαρα καὶ ἥρωα, καὶ
35 ὄλβιον καὶ μοιρηγενῆ, καὶ εἴ τι ἄλλο καλέσειε, τῶν ἐνθυμημάτων κατευστοχήσειεν. Ἐπὶ τούτῳ ὑμεῖς θαρσεῖτε εὐπετῶς καὶ τὴν ἄνοδον καὶ τὴν κάθοδον· καὶ μετὰ τούτου συμπροϊοῦσιν, οὐδὲν ἀπαντήσει δεινόν· ἀλλὰ θάλασσα μὲν διαιρεθήσεται, ὑποχωρήσει

26 ὥσπερ – ἀναφύεσθε: cf. Hes. Θεογονία 185 γείνατ' (sci. Γαῖα) Ἐρινῦς τε κρατερὰς μεγάλους τε Γίγαντας cum Psel. Λόγος εἰς … Κωνσταντῖνον τὸν Μονομάχον = Or. pan. 1,228, et Π 31,62–63 et Π 327,19–20 ‖ **28** ὁ – ἀετός: ad Isaacium Comnenum (Π XXXII) alludit ‖ **28–29** ἐλαφραὶ – πτέρυγες: Ez. 1,7 καὶ ἐλαφραὶ αἱ πτέρυγες αὐτῶν ‖ **34–35** καὶ[1] – μοιρηγενῆ: Hom. Il. 3,182 ὦ μάκαρ Ἀτρεΐδη μοιρηγενὲς ὀλβιόδαιμον. cf. etiam Ps.-Lucian. Δημοσθένους ἐγκώμιον 50 μακάρων … ἡρώων ‖ **38** θάλασσα – διαιρεθήσεται: cf. Exod. 14,16 et 21 καὶ ἔκτεινον τὴν χεῖρά σου ἐπὶ τὴν θάλασσαν καὶ ῥῆξον αὐτήν, καὶ εἰσελθάτωσαν οἱ υἱοὶ Ισραηλ εἰς μέσον τῆς θαλάσσης κατὰ τὸ ξηρόν … ἐξέτεινεν δὲ Μωυσῆς τὴν χεῖρα ἐπὶ τὴν θάλασσαν, καὶ ὑπήγαγεν κύριος τὴν θάλασσαν … καὶ ἐποίησεν τὴν θάλασσαν ξηράν, καὶ ἐσχίσθη τὸ ὕδωρ cum Ps. 135,13 τῷ καταδιελόντι τὴν ἐρυθρὰν θάλασσαν εἰς διαιρέσεις. cf. Psel. Λόγος εἰς τὴν σταύρωσιν = Or. hag. 3a,692–693, Σελέντιον ἐκφωνηθὲν ἐπὶ τῶν ἡμερῶν τῆς βασιλίσσης κυρᾶς Θεοδώρας = Or. min. 1,42, Εἰς τὸ θεολογικὸν … 'ὁ μὲν χαλκοῦς ὄφις' = Theol. I 45,10–11, et Σύντομοι ἀλληγορίαι τῶν παρὰ τοῖς Ἰουδαίοις νομίμων τε καὶ ἐθῶν = Theol. I 110,45–49, et Π 379,19–20 ‖ **38–39** ὑποχωρήσει – ποταμός: Ps. 113,3 ὁ Ιορδάνης ἐστράφη εἰς τὰ ὀπίσω ‖ **38–39** θάλασσα – ποταμός: cf. Psel. Τῷ αὐτῷ [scil. Rom. Diog.]

23 ποῖ U: πῆ P S ‖ **25** θεατοὶ U: θεατούς P S ‖ **26** ὥσπερ U: ὡς P S ‖ **31** περιθεῖ P S: om. U | ἐπέστραπται U: ἔστραπται P S ‖ **32** ξυνιέντι U: ξενήεντι P S e quo falsum LBG lemma ‖ **33** αὐτοῦ U: αὐτῷ P S ‖ **38–39** ὑποχωρήσει – ποταμός P S: ὑποχωροῦσι δὲ ποταμοὶ U

δὲ ποταμός, καὶ ὕδατα, τὰ μὲν πρῶτα βλύσουσι, τὰ δὲ τὴν πικρίαν μεταβαλεῖ. Ὑμεῖς δὲ οἱ νέοι Ἰσραηλῖται, ὁ περιούσιος λαός, μηδεὶς μήτε Ἰαννῆς εἴη, μήτε Ἰαμβρῆς, μηδὲ Ἄχαρ ὁ τοῦ Χαρμῆ, ἀλλὰ Χάλεφ ὁ τοῦ Ἰεφονῆ· ὡς ἔγωγε δέδοικα τοὺς πλείους ὑμῶν περὶ τὴν χρυσῆν γλῶτταν, καὶ τὰ τοῦ κρείττονος ἀναθήματα. Πέσοι δὲ ὑμῶν μηδεὶς ἐν τοῖς ὄρεσιν, ἀλλὰ σὺν τῷ 40

ὡς ἐν ἐγκωμίῳ προσχήματι = Or. pan. 19,41–42 καί σοι διαιρεθείη μὲν θάλασσα, ὑπαναχωρήσαιεν δὲ ποταμοί
39 ὕδατα – βλύσουσι: Exod. 17,6 καὶ πατάξεις τὴν πέτραν, καὶ ἐξελεύσεται ἐξ αὐτῆς ὕδωρ. cf. etiam Psel. Εἰς τὸ 'πέρας τοῦ μυστηρίου …' = Theol. I 93,78–79, Ἀλληγορία τοῦ 'οἱ δὲ θεοὶ πὰρ Ζηνὶ …' = Phil. min. I 42,4–5 et Π 284,17–19 et Π 351,33–34 ‖ **39–40** τά² – μεταβαλεῖ: Exod. 15,23–25 ἦλθον δὲ εἰς Μερρα καὶ οὐκ ἠδύναντο πιεῖν ἐκ Μερρας, πικρὸν γὰρ ἦν· … ἐβόησεν δὲ Μωυσῆς πρὸς κύριον· καὶ ἔδειξεν αὐτῷ κύριος ξύλον, καὶ ἐνέβαλεν αὐτὸ εἰς τὸ ὕδωρ, καὶ ἐγλυκάνθη τὸ ὕδωρ. cf. Psel. Ἐγκώμιον εἰς … Νικόλαον μοναχὸν … = Or. fun. I 10,13,3–5, Λόγος τοῦ ὑπερτίμου ὃς ἐπικέκληται σελέντιος = Or. min. 4,160, Πρὸς τοὺς ἐρωτήσαντας πόσα γένη τῶν φιλοσοφουμένων λόγων = Phil. min. I 3,164–166, Ἑρμηνεία περὶ τῶν εἰκοσιτεσσάρων στοιχείων … πρὸς … Ἰωάννην τὸν λιβελλίσιον = Phil. min. I 36,552–553, Π 13a,13–15, et Π 137,16–18. cf. etiam Psel. Ἀλληγορία τοῦ 'οἱ δὲ θεοὶ πὰρ Ζηνὶ …' = Phil. min. I 42,3–15; cf. etiam Π 13b,18–19 ‖ **38–40** θάλασσα – μεταβαλεῖ: cf. Psel. Λόγος τοῦ ὑπερτίμου ὃς ἐπικέκληται σελέντιος = Or. min. 4,158–160 ἐντεῦθεν καὶ θάλασσα τέμνεται καὶ Φαραωνιτικαὶ δυνάμεις βυθίζονται καὶ Ἀμαλὴκ καταπολεμεῖται καὶ πέτρα πηγάζει νάματα καὶ πικρὸν ὕδωρ γλυκαίνεται, Ἕτερος λόγος πρὸς … Κωνσταντῖνον τὸν Μονομάχον = Or. pan. 4,480–482 πέτραι μὲν γὰρ ἔβλυσαν νάματα καὶ πικρὰ ὕδατα εἰς ἑτέραν μετεβλήθη ποιότητα, et Ὑπὲρ τοῦ νομοφύλακος κατὰ τοῦ Ὀφρυδᾶ = Or. for. 3,384–389 μᾶλλον δὲ ὑπερανιστᾶν τε θάλασσαν διαιρουμένην διχῇ, καὶ ἱσταμένην τὴν ῥύσιν οἷα τειχίον, ποταμὸν ἐπαναστραφέντα, … ἀκρότομον πέτραν ὕδωρ πηγάζουσαν ἄφθονον, καὶ ξύλῳ γλυκαινομένην ὑδάτων πικρίαν ‖ **40–41** ὁ – λαός: Exod. 19,5, Deut. 14,2 etc. iunctura saepissime laudata ‖ **41** μηδεὶς – Ἰαμβρῆς: II Tim. 3,8 ὃν τρόπον δὲ Ἰάννης καὶ Ἰαμβρῆς ἀντέστησαν Μωϋσεῖ **41–42** μηδὲ – Χαρμῆ: Jos. 7 ‖ **42** Χάλεφ – Ἰεφονῆ: Jos. 14–15 ‖ **43** περὶ – γλῶτταν: Jos. 7,20–21 καὶ ἀπεκρίθη Αχαρ τῷ Ἰησοῖ … εἶδον … γλῶσσαν μίαν χρυσῆν … καὶ … ἔλαβον

40–41 ὁ – λαός P S: om. U ‖ **42** Χαρμῆ U: Χαρβῆ P S | Ἰεφονῆ U: Ἰεφανῆ P S

45 θείῳ καὶ βασιλεῖ καὶ στρατηγῷ Ἰησοῦ πρὸς τὴν τῆς ἐπαγγελίας εἰσέλθοιτε γῆν, οἱ μὲν γεγηρακότες, οἱ δ' ἄρτι νεάζοντες.

Εἰ δέ γε τὴν χεῖρα τοῦ γεγραφότος ἐγνώκατε, οὗτος ὑμᾶς προσφωνεῖ τε καὶ κατασπάζεται.

391. Τοῖς νοταρίοις τοῦ βασιλέως ⟨Ἰσαακίου⟩ τοῦ Κομνηνοῦ

ante 22.XI.1059, fortasse Oct.–Nov. 1059; eodem tempore ut Π 142, Π 1, Π 41, Π 251, et Π 389

S 191 [P]

Ὑμᾶς περὶ ὑμῶν ἐρωτῶ: Πῶς ἔχοιτέ μοι οἱ φίλτατοι ἀδελφοὶ καὶ τοῦ κρατίστου βασιλέως νοτάριοι; Μᾶλλον δὲ ποῦ διάγετε, καὶ ἐν τίσιν ἐστέ; Πότερον, πρὸς τῷ τέρματι τοῦ βορείου πέρατος, ἢ πρὸς τῇ ἀρχῇ τοῦ νοτίου κλίματος (οὐ γὰρ οἶδα, νὴ τὴν ὑμετέραν 5 ἀγάπην!), ἢ ὅπῃ τὰ τῆς γῆς ἀμείβετε τμήματα, ταχεῖ καὶ ἐπτερωμένῳ κινήματι;

Ἀλλὰ τί δή μοι ποιεῖτε; Μάτην δὲ ἄρα καὶ ἐρωτῶ, ὅπερ δὴ ὁρῶ διαυγῶς. Ἦ οὐχὶ ὁ μὲν κορυφαῖος ὑμῶν τὰ τοῦ χρησμοῦ ἐπισκέπτεται γράμματα, καὶ συμβιβάζει τὸ ἔπος, καὶ τὸ κεχηνὸς 10 ξυγκολλᾷ, τὴν ἱερογλυφικὴν τέχνην τεκμαιρόμενος, εἶτα δὴ ἀπευθύνων τὸ σκολιόν (μέλος δὲ τοῦτο οὕτω καλούμενον), ἑτέρῳ δίδωσιν ᾆσμα; Καὶ ὁ μὲν μελουργεῖ· ἕτερος δὲ τὴν μουσουργίαν διασημαίνεται τοῖς γράμμασι. Καὶ αὖθις ὁ μέν τις ὑμῶν μάχην διατυποῖ, καὶ σκιαγραφεῖ πόλεμον, καὶ στρατιώτην ὁπλίζει· ὁ δὲ 15 φρουρὰν φρουρίοις ἐγκατατίθησι, καὶ περὶ πρεσβειῶν διαστέλλεται. Καὶ αὖθις ἄλλος δικαστῶν παρανομούντων καθάπτεται· ὁ δ' ἐντρεχέστερός τε καὶ δραστικώτερος φόρους εἰσπράττεται, ἢ τοῖς εἰσπράττουσιν ἐγκελεύεται. Βαβαὶ δὲ καὶ τοῦ τῶν ἐπιστολῶν

45–46 τὴν – γῆν: Heb. 11,9, iunctura saepissime laudata; cf. e.g. Psel. Ἐγκώμιον εἰς τὴν ἀποτομὴν … Ἰωάννου = Or. hag. 8,188–189 ‖ **11** ἀπευθύνων – σκολιόν: cf. Is. 40,4 ἔσται πάντα τὰ σκολιὰ εἰς εὐθεῖαν, cum Psel. Συντακτήριος πρὸς τὸν βασιλέα [scil. Rom. IV Diog.] = Or. pan. 21,19 | τὸ – καλούμενον: cf. Suda σ 643 ἡ παροίνιος ᾠδή et 644 μέλος τι ὀλιγόστιχον

45 θείῳ – στρατηγῷ U: θείῳ στρατηγῷ καὶ βασιλεῖ P S ‖ **46** εἰσέλθοιτε P S: εἰσελεύσεσθε U ‖ **47** δέ γε U: δὲ καὶ P S ‖ **ep. 391** L 88v–89r, P 237r–v; tit. scripsi: τοῖς νοταρίοις τοῦ βασιλέως τοῦ Κομνηνοῦ L P S ‖ **5** ὅπῃ L: ὅτι P S **14** ὁ δὲ P S: om. L

φακέλλου, καὶ τῶν βασιλιδῶν ἐπιτάξεων, ὡς πλεῖον τὸ ἐπιρρέον τοῦ ἀπορρέοντος! καὶ τὸ μέν τι τοῦ ποταμοῦ εἰς τὴν θάλασσαν 20 ἀπερεύγεται, τὸ δὲ αὐτὸ ἐκ τῶν πηγῶν ἄνωθεν κάτεισι.

Ταῦτα μὲν οὖν καὶ ὁρᾶν δοκῶ, καὶ λεγόντων ὥσπερ ἀκούειν ὑμῶν, καὶ ἀντεπιπληττόντων ἀλλήλοις. Πότερον δέ, περὶ ταῦτα ὑμεῖς, ἢ καὶ περὶ τὸ θηρᾶν, ὡς καὶ τοὺς νόμους εἰδέναι τῆς θήρας, ἐν τάξει προϊέναι, μὴ προσοβεῖν, μὴ παρεξελαύνειν ὥσπερ ἐν 25 φάλαγγι; Ἡδὺ δὲ καὶ τὸ χρῆμα, κλεπτόμενος τοῖς ἴχνεσιν ὁ λαγώς, εἶτα δὴ καὶ ἀθρόον ἀναθορών, καὶ νῦν μὲν κατευθὺ προϊών, νῦν δὲ περιελιττόμενος καὶ καμπτόμενος, καὶ ἐπασθμαίνων τὸν δρόμον, καὶ διακλῶν τὸν θηρατὴν κῦνα.

Ἐμοὶ δὲ τεθαύμασται μᾶλλον ἡ ἰχνηλάτις Λάκαινα, ὅτι 30 φιλοσοφεῖ πῶς καὶ συλλογίζεται ἐν ὀσφρήσεσιν· ἀμέλει καὶ ἐν τρισὶν ἀπολειφθεῖσα ὁδοῖς, καὶ τὸν ἀέρα τῶν δυεῖν ἀναπνεύσασα, εἶτα δὴ τοῦ φυγάδος μὴ ὀσφρανθεῖσα θηρός, τὸν τρίτον οὐδ' ἀξιοῖ ἀναπνεῖν. Θαυμάσιον δέ τι χρῆμα καὶ ἡ πτερωτὴ θήρα, εἴτε καταφυγῆς τύχοι τὸ διωκόμενον, εἴθ' ἁλώσιμον ἀπὸ πτεροῦ 35 γένοιτο.

Ὑμεῖς δέ μοι, ἀλλὰ μηδὲ τὸν σῦν, μηδὲ τὸν κάπρον, μηδὲ τὸν τίγριν, μηδὲ τὴν πάρδαλιν! Ἢ τάχα παίζειν καὶ ὀνειρώττειν δοκῶ, περὶ θηροφονίας ἀνδράσι διαλεγόμενος, ἐπικεκυφόσιν ὡς οἱ περὶ Ἐρασίστρατον καὶ Δημόκριτον ἐν ταῖς ἀνατομαῖς τῶν 40 ὑποκειμένων καὶ ταῖς ζητήσεσιν; Ἀλλά μοι κοινῇ συναγάλλοισθε, καταπολαύοντες, εἰ μή τινος ἄλλου, τῆς γε πρὸς ἀλλήλους φιλίας καὶ ὁμονοίας.

25 μὴ προσοβεῖν (scil. θήραν): Synes. Cyren. Περὶ βασιλείας 3,20–21 σοφὸν γὰρ ἂν εἴη μὴ προσοβῆσαι τὴν θήραν ‖ **30** ἡ – Λάκαινα: cf. Suda λ 47 Λάκαινα κύων: Σοφοκλῆς· «κυνὸς Λακαίνης ὥς τις εὔρινος βάσις» (Soph. Αἴας 8) et Psel. Εἰς τὸν Λογγίβαρδον Ἰωάννην καταναγκάζοντα αὐτὸν εἰς τὸ ἑρμηνεῦσαι τάχιον τὰ μαθήματα = Or. min. 18,6 et Π 54,11 et Π 142,60–61 **39–41** ἐπικεκυφόσιν – ζητήσεσιν: fontem non inveni. ex libris Galeni?

19 πλεῖον L: πλεῖστον P S ‖ **20** ἀπορρέοντος P S: ἐπιρρέοντος L ‖ **24** καὶ[1] om. S | εἰδέναι P S: εἶναι L ‖ **25** ἐν[1] om. S ‖ **37** μηδὲ[1] : μὴ καὶ S ‖ **39** θηροφονίας L: θηροφονείας P S

CI. Ὁ ἐπὶ τῶν κρίσεων

392. Τῷ ἐπὶ τῶν κρίσεων

K-D 85 [L]

Εἰ ὅσα ἐβουλόμην τοσαῦτα καὶ ἠδυνάμην, οὐδέποτε ἂν αὐτὸς ὑπῆρχες ἐν ἐξορίαις καὶ περιστάσεσιν· ἐγὼ γὰρ ὥσπερ δή σε φίλον κατ' ἀρχὰς ὡμολόγησα, οὕτω δή σε καὶ μέχρι τοῦ νῦν ἀγαπῶ, καὶ ἀγαπήσω μέχρι παντός. Καὶ οὐκ ἐπαυσάμην τὰ περὶ σοῦ
5 φροντίζων ἀεί, καὶ τῷ κρατίστῳ περὶ σοῦ πλεῖστα διαλεγόμενος, καὶ τὰ μὲν δυσωπῶν, τὰ δὲ παρακαλῶν, τὰ δὲ δικαιολογούμενος. Ὁ δὲ καὶ ἕτοιμός ἐστι πρὸς φιλανθρωπίαν, καὶ ὑπισχνεῖταί μοι τὴν σὴν ἀνάκλησιν. Καὶ τὴν σήμερον παρακρουόμενος εἰς τὴν αὔριον τὰς ἐλπίδας περιαφίησι. Καὶ τέως (μὰ τὴν ἀγάπην σου!)
10 οὐ φαίνεται ἀπεχθῶς ἔχων πρὸς σέ (οὔτε γὰρ μνησικακεῖ σοι περί τινος πράγματος, οὔτε ὀξύρροπός ἐστιν εἰς ὀργήν), ἀλλ' ἴσως ἀπόρρητόν τι οἰκονομῶν, τὸν πρόσφορον ἀναμένει καιρὸν τῆς σῆς ἐπανόδου. Καὶ μὴ ἀθύμει τὰ πολλά· οὐδὲ γάρ τι τῶν ἀτόπων εἰς σέ διαπράξεται, οὐδὲ αὐτὸς ἀνήσω τοῦ κήδεσθαί σου καὶ τοῦ
15 παρακαλεῖν τὸ κράτος αὐτοῦ, ὥστε σοι ταχεῖαν δοῦναι τὴν ἀποκατάστασιν.

Φρονιμώτατος δὲ ἄνθρωπος χάριτι θεοῦ ⟨ὢν⟩ καὶ συνετώτατος, δέξαι τὸν πειρασμὸν ὡς θεοῦ παίδευσιν. Καὶ μὴ καταπέσῃς μηδὲ ἀπογνῷς τὴν σωτηρίαν σου· φιλάνθρωπος γὰρ ὁ παιδεύων ἡμᾶς.
20 Ἀλλὰ θάρρησον εἰς τὰ σπλάγχνα τοῦ ἀγαθοῦ, καὶ ἐπανατελεῖ σοι ταχὺ τὰ τῆς καρδίας ἰάματα.

ep. 392 L 42r–v; tit.: L K-D ‖ **17** ὢν dubitanter addidi

CII. Ὁ ἐπὶ τῶν οἰκειακῶν

varii?

393. Τῷ ἐπὶ τῶν οἰκειακῶν

S 23 [P]

Πάλιν ὄχλησις, πάλιν ἀξίωσις, καὶ πάλιν ἐγώ σοι φορτικός τις καὶ πλημμελής. Ἀλλ' οἶδα τίνι ἐπιφορτίζομαι, τίνι ἐπαχθὴς γίνομαι· ᾧ μηδέν ἐστι βάρος παρὰ χειρῶν ἐπιτιθέμενον φιλικῶν, ᾧ μηδὲν ἄχθος παρὰ γλώττης ἐπιστοιβαζόμενον εὐροούσης, οἷα δὴ τὰ ἐμὰ πρὸς τὴν σὴν Ἀτλαντικὴν καὶ γιγαντιαίαν ψυχήν, καὶ 5 ῥᾷστα τὰ βάρη τῶν φίλων ἀχθοφοροῦσαν.

Γύμνασον οὖν μοι τὴν σὴν δεξιὰν πρὸς ὑπογραφὴν καὶ γύμνωσον, καί μοι τοὺς οἰκείους μαργαρίτας (τὰ σὰ φημὶ γράμματα) αὐτὸς καὶ πλάσον καὶ σφαίρωσον, ἵνα ἡμῖν ὁρμαθὸς ᾖ ταῦτα καὶ περίαμμα κάλλιστον. Τὸ δ' αὐτὸ καὶ τοῖς ὑπὸ σὲ ἐγκελεύου 10 ποιεῖν, ἵν' ἐπειδὴ σφαιρικῆς προσηγορίας ἐμνήσθημεν, σὺ μὲν οὐρανὸς εἶ, ἀκριβὴς σφαῖρα καὶ ἴση, ἐκεῖνοι δὲ ἀστερίσκοι τῷ σῷ περιαγόμενοι νεύματι καὶ κινήματι.

394. Τῷ ἐπὶ τῶν οἰκειακῶν

S 163 [P]

Ἐγώ σε τὸν τηλικοῦτον ἐν φρονήσει καὶ γνώσει καὶ τῇ πρός με φιλίᾳ, καὶ ᾧ μηδεὶς ἂν παρεικασθείη, τανῦν περὶ νομίσματος ἀξιῶ, ὥσπερ ἂν εἴ τις μικρολόγος ἀνὴρ αἰτοίη θεὸν ἄλσος βραχὺ διδόντα παράδεισον, ἢ ψεκάδας ὀλίγας, πηγὰς ἀφιέντα.

Καὶ τό γε μεῖζον οὐκ ἀξιῶ, ἀλλὰ δικαιολογῶ. Καὶ μάρτυς 5 αὐτὸς ὁ ἀνατιθέμενος, ᾧ καὶ μαρτυρῶ προσώπῳ, φαύλῳ μὲν ἀλλὰ συγγενοῦς· συγγενῶν δὲ τίς ἂν ἀποκρούσαιτο τυραννίδα; Εἰδότι

4 γλώττης – εὐροούσης: Philostr. Βίοι σοφιστῶν II,9 (583,26–27) αὐτοσχέδιος γὰρ γλώττης εὐροούσης ἀγώνισμα. cf. Π 87,9

ep. 393 P 196v; tit. P S ‖ **4** εὐροούσης scripsi (cf. app. font.): εὐνοούσης P S
ep. 394 P 226v–227r; tit. P S

λέγω, δι' οὓς καὶ σὺ τετυράννησαι. Μήποτε δὲ οὐκ ἀπᾴδουσα ἡμῖν ἡ ἀξίωσις (φιλόσοφος γὰρ καὶ συμβεβηκυῖα, εἰ καὶ μὴ τῷ
10 πράγματι, ἀλλὰ τῷ ὀνόματι); τὸ γὰρ γένος τοῦτο, φίλτατε ἀδελφέ, ὅταν μὲν πρὸς τὴν νοητὴν ἰδέαν ἐπιστραφῇ, ὅλην ἕλκει τὴν οὐσίαν τοῦ ὄντος καὶ οὐ κορέννυται κορεννύμενον· ὅταν δὲ καταχθῇ πρὸς τὴν αἴσθησιν, τὸν πλοῦτον μεταποιεῖ τῆς ὀρέξεως ὀβολοῖς καὶ στατῆρσι περιορίζον τὴν ἔφεσιν. Ὁρᾷς οἷον ἡμῖν
15 ὄλβον νοήματος ἡ πενία τῆς αἰτήσεως ἀπεγέννησεν;

Μὴ οὖν ἀτιμάσῃς ὅτι πένησσα ἡ γεννησαμένη, ἀλλ' ὅτι παῖδας εὐδαίμονας ἀποτίκτειν οἶδε τίμησον, καὶ σεβάσθητι. Τὸ τοῦ λόγου κεφάλαιον (ἵν' οὕτως ἀφελῶς εἴπω): ἐπίδος τῇ γυναικὶ τὸ ἐπιλαγχάνον αὐτῇ νόμισμα· αὐτῇ ἐστι, νὴ τὴν τριπόθητόν σου
20 ψυχήν!

CIII. Πατριάρχης

varii

395. Τῷ πατριάρχῃ

K-D 71 [L]

Νῦν ἔγνων τὸν τιμιώτατόν μου δεσπότην καὶ μέγαν τοῦ θεοῦ ἀρχιερέα καὶ λειτουργόν· νῦν ἐπέγνων τοὺς χαρακτῆρας, τῆς ἁγίας σου τῷ ὄντι ψυχῆς· νῦν ὅτε τὸ ἀκριβὲς τῆς δικαιοσύνης ἀφείς, ἐπὶ τὸ ὕψος τῆς φιλανθρωπίας ἀνέδραμες· ἧκε γὰρ πρὸς
5 ἡμᾶς ὁ ποτὲ μὲν ἡγούμενος ἀεὶ δὲ δοῦλος τῆς σῆς ἁγιότητος, ἧκε

11–12 ὅταν – ὄντος: iuncturae neoplatonicae; cf. e.g. Psel. Πρὸς τὸν λοίδορον ῥίψαντα χάρτην = Or. min. 7,164 τὰς νοητὰς ἰδέας cum Περὶ αἰῶνος καὶ χρόνου = Phil. min. I 41,23 ἡ … τοῦ ὄντος παντελὴς οὐσία ‖ **19–20** νὴ – ψυχήν: cf. Synes. Cyren. Epist. 79,8 νὴ τὴν ἱεράν σου καὶ τριπόθητον κεφαλήν et 86,1–2 πρὸς τὴν ἱεράν σου καὶ τριπόθητον κεφαλήν. cf. Π 42,20, Π 64,1, Π 65,21–22, Π 68,36, Π 122,1, Π 180,2, Π 183,14–15, Π 193,15–16, Π 198,5–6, Π 211,56–57, Π 494,2–3. cf. etiam Psel. Ἐγκωμιαστικὸς εἰς … Μιχαὴλ τὸν Κηρουλλάριον = Or. fun. I 1,61,30, Περὶ τῶν ἰδεῶν ἃς ὁ Πλάτων λέγει = Phil. min. II 33 (111,24–25), et Π 284,9–10

19 αὐτῇ[2] corr. Messis: αὐτή P S ‖ **ep. 395** L 37v; tit. L K-D

χαρᾶς συμμιγὲς ἀφιεὶς δάκρυον, ἧκε εὐχαριστῶν, μεγαλύνων τὴν σὴν ἀρετήν, ἐγκωμιάζων, ἑαυτὸν τὰ πολλὰ αἰτιώμενος, σὲ δὲ ἐξαίρων καὶ ἀναίτιον πάντων ἀποδεικνύς.

Τοιοῦτος ἡμῖν ἔπρεπεν ἀρχιερεύς, οὐχ ὅσιος μόνον καὶ δίκαιος, ἀλλὰ καὶ συμπαθὴς καὶ φιλάνθρωπος. Εὐχαριστῶ δέ σοι κἀγώ, 10 ὅτι μοι τὴν δέησιν οὐκ ἄπρακτον ἔδειξας. Ἀλλ' ἐπισφράγισον ἀνεξικακίας τέλει τὴν καθαρὰν συμπάθειαν, καὶ μηκέτι εὐθύναι καὶ λογισμοί, ἀλλ' εὐφροσύναι καὶ χάριτες ἔστωσαν.

396. Πρὸς τὸν πατριάρχην

K-D 145 [L]

Πειρήσομαι αἴ κε τύχοιμι. Τοῦτο οὐ παρ' ἑτέρων ὑπὲρ ἑτέρων, ἀλλὰ παρ' ἐμοῦ καὶ ὑπὲρ ἐμοῦ· διό μοι «σύνες ὅ τι τοι λέγω» (φησί που Πίνδαρος), καὶ πρᾶξον ὅπερ ἐντέλλομαι. Τί ποτε τοῦτο;

397. Τῷ πατριάρχῃ λειτουργήσαντι ἐν τῇ Χαλκῇ

ad Ioannem Xiphilinum (Π L) [cf. w¹]?

S 139 [P]

Ἀπὸ τῶν σῶν κυμάτων, θεοτίμητε δέσποτά μου, ταῖς σαῖς αὖθις προσέσχον ἀκταῖς. Τέως δέ μοι πελαγίου αἰρομένου τοῦ πνεύματος καὶ τοῦ κλύδωνος εἰς ἄκρον ἐπαναστάντος, μικροῦ δεῖν

9 τοιοῦτος – ἀρχιερεύς: Hebr. 7,26; cf. Psel. Ἐγκώμιον εἰς Ἰωάννην … Εὐχαΐτων … = Or. pan. 17,730 et Π 111,180–181 ‖ **1** πειρήσομαι – τύχοιμι: Hom. Il. 5,279 πειρήσομαι αἴ κε τύχωμι ‖ **2** σύνες – λέγω: Pindar. frgm. 105a,1, iunctura saepe laudata; cf. e.g. Greg. Naz. Epist. 114,6 et Π 249,18 **ep. 397** τῇ Χαλκῇ: cf. Janin 1969,113 et 131–132 et ODB 405–406; cf. etiam Psel. Χρονογραφία VI,88 τῆς οὕτως λεγομένης Χαλκῆς Φυλακῆς, μετ' αὐτοῦ δὴ τοῦ θείου τεμένους, ὃ ὁ μέγας ἐν βασιλεῦσιν Ἰωάννης ἐκεῖνος ὁ μετὰ Φωκᾶν Νικηφόρον ἐδείματο

ep. 396 L 71r; tit. L K-D ‖ **4** lacunam post τοῦτο (fortasse recte) prop. K-D **ep. 397** P 219v–220r, w¹ 211v–212r; tit. P S: τοῦ αὐτοῦ [=τοῦ μακαρίτ(ου) ὑπερτίμου κυροῦ Μιχαὴλ τοῦ Ψελλοῦ] πρὸς τὸν πατριάρχην κῦρ Ἰωάννην τὸν Ξιφιλῖνον λειτουργήσαντα ἐν τῇ Χαλκῇ w¹ ‖ **1** μου P S: om. w¹

ἀποπνίξεσθαι ἔμελλον· κύματα δὲ ἄλλα ἐπ' ἄλλοις καὶ πνεύματα
5 ἐπὶ πνεύμασι, καὶ ἐπὶ πᾶσιν ὁ αἰθρηγενέτης Βορέης μέγα κῦμα κυλίνδων, τὸ σύνηθες πνεῦμα καὶ ἀπαραίτητον. Εἶτα δὴ σύ μοι ὁ τῶν ἀνέμων ταμίας, οὐ τῷ μὲν ἐπιτάξεις ἐπιπνεῖν ἠρέμα, τὸν δὲ τῆς φορᾶς ἀπείρξεις; ἢ σὺν τῷ Ἀπαρκτίᾳ, κινήσειας καὶ τὸν Ζέφυρον;

10 Ἀλλὰ πάντες Ἑλλησποντίαι καὶ Σκίρρωνες, χείρους καὶ τοῦ Σικελικοῦ πορθμοῦ καὶ τῆς ἐν Εὐβοίᾳ παλιρροίας, καὶ τῶν Πλαγκτῶν πετρῶν, καὶ τῆς θρυλλουμένης Χαρύβδεως, καὶ τῆς ὠκεανίτιδος καταπόσεως ἢ ἀναπόσεως. Οὐ φέρω τὸν ἐπίκυρτον ἐκτομίαν, τὸν πωγωνίαν κομήτην, τὸ μέγα τῆς κερτομίας κακόν·
15 οὐ φέρω τοὺς σοὺς δεκάρχας ἢ μοιρηγέτας, τοὺς παλαμναίους (οὕτως εἰπεῖν) καὶ ἀλάστορας. Ὢ μοι τῶν καινῶν συμφορῶν! Ἐν λιμέσι χειμάζομαι· ἐν ἐρυμνοῖς φρουρίοις πολιορκοῦμαι· ἐπὶ τῆς

5–6 ὁ – κυλίνδων: Hom. Od. 5,296 καὶ βορέης αἰθρηγενέτης, μέγα κῦμα κυλίνδων. cf. Psel. Σύνοψις τῆς ῥητορικῆς … πρὸς τὸν αὐτὸν βασιλέα [scil. Mich. Duc.] = Poem. 7,323 (cum Ps.-Hermog. Περὶ εὑρέσεως 4,9,3) et Π 27,28–29 ‖ **6–7** ὁ – ταμίας: Hom. Od. 10,21 ταμίην ἀνέμων (scil. Aeolus) **11–12** καὶ[2] – Χαρύβδεως: Hom. Od. 23,327 ὥς θ' ἵκετο Πλαγκτὰς πέτρας δεινήν τε Χάρυβδιν ‖ **12–13** τῆς[2] – ἀναπόσεως: ad Atlantidam alludit (cf. Plat. Τίμαιος 25d)? ‖ **13–14** τὸν – κομήτην: monachum Sabbaitam significat? cf. Psel. Πρὸς τὸν Σαββαΐτην = Poem. 21,98–99 ὢ μίγμα δυσκέραστον, ὢ κρᾶσις ξένη, / σπάδων κατ' αὐτὸ καὶ δασὺς πωγωνίας ‖ **15** τοὺς[1] – μοιρηγέτας: cf. Psel. Εἰς δύο τινὰς τῶν μαθητῶν αὐτοῦ λογογραφήσαντας πρὸς ἀλλήλους = Or. min. 20,43 οὔτε τοὺς δεκάρχας ὑμῶν αἰδούμενοι οὔτε τοὺς μοιρηγέτας et Εἰς τὸ 'οὐσία πρᾶγμα αὐθύπαρκτον' = Phil. min. I 7,135–136 ὃν δὲ ἑκατοντάρχην ἢ δεκάρχην ἢ μοιρηγέτην ἢ ἰλάρχην ‖ **15–16** τοὺς[2] – Ὢ: τοὺς παλαμναίους – καὶ ἀλάστορας: cf. e.g. Plut. Περὶ τῶν ἐκλελοιπότων χρηστηρίων 418b9–10 δαιμόνων … οὓς ἀλάστορας καὶ παλαμναίους ὀνομάζουσιν cum Suda α 1082 ‖ **16–17** ἐν λιμέσι χειμάζομαι: cf. Psel. Ἀπολογητικὸς ὑπὲρ τοῦ Φιλιππουπόλεως Λαζάρου καθαιρεθέντος = Or. for. 2,173–175 ἐν οἷς γὰρ εὐδίας ἀπολαύειν ἐχρῆν χειμάζομαι, κἀν τῷ λιμένι δὲ ναυαγίοις περιπίπτω χείροσιν ‖ **17–18** ἐπὶ – σαλεύομαι: cf. e.g. Greg. Naz. Εἰς τὸ ἅγιον Πάσχα = Or. 45,19 ἐπὶ τῆς πέτρας ἔρεισον, ἵνα μὴ σαλεύηταί σου τὰ κατὰ Θεὸν διαβήματα. cf. etiam Π 399,35 στῆσον ἐπὶ τῆς πέτρας

13 ἐπίκυρτον w[1]: ἐπίγραπτον P S (cf. LBG s. v.) ‖ **15** μοιρηγέτας scripsi: μοιραγέτας P S μυρηγέτας w[1]

πέτρας σαλεύομαι· ἐπετείως ἱεροσυλοῦμαι, ἀνέδην κλοποφορούμενος· χεῖρές με ἱερατικαὶ τῶν ἀδύτων ἕλκουσι καὶ σπαράττουσιν, ἢ μᾶλλον ἐν τοῖς ἀδύτοις αὐτοῖς κατατέμνουσιν. 20

Εἶτα δὴ τὸν πρῶτον ἐπαιτιώμεθα ἄνθρωπον ὅτι μυρίων ἐν τῷ παραδείσῳ τεθηλότων φυτῶν, ἑνὸς ἀπεκείρατο, καὶ τοῦτο ἀπατηθείς. Τήμερον ὁ ἱερατικὸς σύλλογος, ἐπιπηδῶν ὄχνην ἐπ' ὄχνῃ συνέθλασαν, σῦκά τε ἐπὶ σύκοις, καὶ μῆλα ἐπὶ μήλοις, καὶ σταφυλὰς ἐπὶ σταφυλαῖς διηρπάκασιν. Εἶτα δή μοι καὶ ὅλον τὸν 25 ἀνθοσμίαν ἐξήντλησαν· ἐπ' ἐμὲ τὰς χεῖρας ἐπέβαλον. Οὐκ ἰδιωτικὸν τὸ ἁμάρτημα, ἀλλὰ δημόσιον πάντῃ τὸ ἔγκλημα (ἐρῶ καὶ αὐτὸς τὸ τοῦ Δημοσθένους), ὅτι δᾳδοῦχόν με τήμερον καὶ ἱεροφάντην τυγχάνοντα οὐ κονδύλοις μόνον συνέτριψαν, ἀλλὰ καὶ κροταφιαίας ἐπήνεγκαν τὰς πληγάς. 30

Ταῦτα ἢ στῆσον, ἢ πεῖσον καρτερῶς φέρειν· εἰ δ' οὐδέτερον, ἀλλ' ἐγὼ ἀσφαλῶς αὖθις ἐλλιμενίσας, καὶ τῆς σῆς ἀντιλαβόμενος δεξιᾶς, εἰ μὲν ὑπερβήσομαι τὸν μεμαντευμένον αὖθις καιρόν, τύχης δῶρον τὸ πρᾶγμα λογίσομαι· εἰ δ' οὖν, οὐ φροντιῶ τοῦ

18–19 ἐπετείως – κλοποφορούμενος: cf. Psel. Ἐμβραδυνάντων τῶν μαθητῶν τῇ τῆς σχολῆς ξυνελεύσει = Or. min. 22,11–15 ὅθεν καὶ ἱεροσυλίας τις ὑμᾶς γράψαιτο τὰ θείοις ἀνδράσιν ἀνατεθειμένα ἀναιδῶς μάλα κλοποφορήσαντας. τοῦτο γὰρ ὑμῶν τὸ γενναιότατον καὶ πλέον τῶν ἱεροσυλούντων ὅτι ἐκεῖνοι μὲν ἐφ' οἷς ἀφαιροῦνται τῷ λάθρᾳ χρῶνται, ὑμεῖς δὲ τῷ ἐγκλήματι μετὰ τῆς ἀναιδείας ἐχρήσασθε ‖ **19** ἕλκουσι – σπαράττουσιν: cf. Plat. Πολιτεία 539b5–7 χαίροντες ὥσπερ σκυλάκια τῷ ἕλκειν τε καὶ σπαράττειν τῷ λόγῳ τοὺς πλησίον ἀεί cum e.g. Ioann. Chrys. In Genesim Hom. 11,5 (PG 53 96,3–5) καθ' ἑκάστην ἡμέραν, ὡς εἰπεῖν, ἑλκόμενος, σπαραττόμενος, καὶ δημοσίᾳ συρόμενος ὑπὸ τῶν τῷ κηρύγματι πολεμούντων ‖ **21** τὸν – ἄνθρωπον: Adam significat ‖ **26–27** οὐκ – ἔγκλημα: cf. Dem. Κατὰ Μειδίου = Or. 21,44,9–10 τὸ ἴσον τῷ δημοσίῳ προστιμᾶν οἱ νόμοι κελεύουσιν ὅσον περ δὴ τῷ ἰδιώτῃ **28–29** δᾳδοῦχόν – ἱεροφάντην: Psel. Εἰς τὸ 'ἐπλήσθησαν οἱ ἀπόστολοι …' = Theol. I 74,124–125 Ἑλλήνων δὲ παῖδες, ὧν δὴ τελευταῖος δᾳδοῦχος καὶ ἱεροφάντης ὁ Πρόκλος ἐγένετο ‖ **28–29** δᾳδοῦχόν – συνέτριψαν: cf. Dem. Κατὰ Μειδίου = Or. 21,74,1–4 ἐγὼ δ' ὑπ' ἐχθροῦ ... ὑβριζόμην, καὶ ταῦτ' ἐν ἱερῷ καὶ οἷ πολλή μοι ἦν ἀνάγκη βαδίζειν χορηγοῦντι et 72,7 ... ὅταν κονδύλοις ...

20 κατατέμνουσι w[1] ‖ **22** τοῦτο P S: τούτῳ w[1] ‖ **23** τήμερον P S: σήμερον w[1] ἐπιπηδῶν P S: ἐπειδὰν w[1] ‖ **24** συνέθλασαν P S: συνέθλασε w[1] ‖ **26** ἐξήντλησαν P S: ἐξηντλήκασι w[1] | ἐπέβαλον w[1]: ἐπέβαλλον P S ‖ **33** αὖθις καιρόν w[1]: καιρόν P S

35 πελάγους, οὐδὲ τοῦ κλύδωνος, πόρρωθεν ὁρῶν σε τὸν θεῖον πυρσὸν πρὸς ὃν συνήθως τὰς κατάρσεις ποιοῦμαι.

398. 〈Τῷ πατριάρχῃ (?)〉

S 140 [P]

Σὲ μὲν οἶδα ὅστις καὶ οἷος, τιμιώτατε δέσποτά μου, ὅτι τῶν ἀρχιερέων ὁ θαυμασιώτατος· τὸν δὲ μοναχὸν τοῦτον παντάπασιν ἀγνοῶ. Δυοῖν οὖν θάτερον: ἢ ἀγαθός ἐστιν, ἢ οὐ τοιοῦτος.

Εἰ μὲν οὖν ἀγαθὸς τῷ παναγάθῳ σοι ἐντυχὼν γενήσεται 5 ἀγαθώτερος. Εἰ δὲ τοὐναντίον, ἀλλ' ὥσπερ ἁλμυρὸν ὕδωρ γλυκεῖ πολλαπλασίῳ ἀνακερασθείς, μεταμειφθήσεται εἰς γλυκύτητα. Καὶ εἴτε ἠδίκησεν, εἴτε ἠδίκηται (ὥς φησι), δικαιοσύνης κατ' ἄμφω τεύξεται. Εἰ δὲ καὶ ἐξ ἐμοῦ ὥσπερ εὐθέτου ἀφετηρίου πρὸς τὸ σὸν ἀφῆκε πέλαγος, ἠρέμα τε εὐθυνθήσεται, καὶ ἐλλιμενίσειε γαληνό- 10 τατα, οὔρια ἀφεὶς εἰς τὸν Εὔξεινον· σὺ γὰρ τοιοῦτος, οὐ κατ' εὐφημισμὸν οὕτω καλούμενος, ἀλλ' ἐπαληθεύων τὴν κλῆσιν τοῖς πράγμασι, καὶ οὐχ ὑποδεχόμενος μόνον ἀλλὰ καὶ ξενοδοχῶν εὖ τοὺς καταίροντας.

Εἰ γοῦν ἐγὼ μὲν αὐτῷ τὰ πρυμνήσια ἔλυσα, σὺ δὲ τὰς ἀγκύ- 15 ρας ἀφήσεις, εὔκαιρος αὐτῷ εἴη καὶ ἡ ἀναγωγὴ καὶ ἡ καταγωγή.

ep. 398 P 220r; tit. dubitanter scripsi (cf. Π 397; vid. epistolarum ordinem in P) ‖ **11** εὐφημισμὸν correxi: εὐφημησμὸν P S (cf. Suda ε 3793 εὐφημησμός)

399. Ἐπιστολὴ δοθεῖσα παρὰ τοῦ τηνικαῦτα μαΐστωρος τῶν Διακονίσσης πρὸς τὸν πατριάρχην αἰτουμένου προκριθῆναι εἰς μαΐστωρα τῆς σχολῆς τοῦ ἁγίου Πέτρου

Pselli? ex persona "τοῦ μαΐστωρος τῶν Διακονίσσης" [cf. w¹]? post Π 108 [vid. epistolarum ordinem in codd. U et A]; ad Michaelem Cerularium (Π XXIX) [cf. A]? ad Constantinum Leichouden (Π XXXV) [cf. w¹]?

S 162 [P]

Τολμηρὸν τὸ γράμμα· ἀλλ' ἀναγκαῖον ἐμοί, ἁγιώτατε καὶ θεοειδέστατε δέσποτά μου, καὶ πάντοθεν ἄπορον. Σιωπῶν μὲν γὰρ τοῖς τῆς ἀθυμίας κατατιτρώσκομαι βέλεσι· λέγων δέ, θρασύτητος οὐκ ἐκφεύγω γραφήν. Ἀλλ' οὐ παρὰ σοὶ δικαστῇ εὐμενεῖ τε καὶ ἱλέῳ, καὶ ἀκροατῇ τῶν ἐμῶν ὀδυνῶν· καὶ ὕπεχέ μοι 5 καὶ νῦν τὴν κριτικωτάτην σου καὶ διακριτικὴν ἀκοήν.

Τὸν πάντα μοι τῆς ζωῆς χρόνον βιβλίοις καὶ λόγοις καταναλώσας, οὐδὲν ὅτι μὴ λεληθότως πρὸς αὐτὸ τὸ γῆρας κατήντησα, οὕτως ἀκλεές, οὕτως ἀνιαρόν, ὡς τοῖς πᾶσι κεῖσθαί με κοινὴν ὕβριν καὶ καταπάτημα· παρεώραμαι γὰρ πάντῃ καὶ καταπεφρό- 10 νημαι, καὶ ὡς σκεῦος λελόγισμαι ἄχρηστον· τῆς δὲ παιδείας ἀπωνάμην οὐδέν, ὅτι μὴ καὶ πλατὺν γέλωτα. Σὺ μὲν γὰρ ὁ

ep. 399 τῶν Διακονίσσης[1]: cf. Janin 1969,174–175 | τοῦ[2] – Πέτρου: cf. Janin 1969,399; cf. etiam Psel. Ἐπιτάφιος εἰς Νικήταν μαΐστωρα τῆς σχολῆς τοῦ ἁγίου Πέτρου = Or. fun. I 4

ep. 399 U 162r (inc. mut.), P 226v, O 288r–v, A 44v, w¹ 212r; tit. scripsi: ἐπιστολὴ δοθεῖσα παρὰ τοῦ τηνικαῦτα μαΐστωρος τῶν Διακονίσσης πρὸς τὸν πατριάρχην αἰτοῦντος τὴν σχολὴν τοῦ ἁγίου Πέτρου P S τοῦ αὐτοῦ ἐπιστολὴ δοθεῖσα παρὰ τοῦ τηνικαῦτα μαΐστωρος τῶν Διακονίσσης πρὸς τὸν πατριάρχην αἰτουμένου προκριθῆναι εἰς μαΐστωρα τῆς σχολῆς τοῦ ἁγίου Πέτρου O (cf. Malt²,191) τοῦ αὐτοῦ ἐπιστολὴ δοθεῖσα παρὰ τοῦ τηνικαῦτα μαΐστωρος τῶν Διακονίσσης πρὸς τὸν πατριάρχην κῦρ Μιχαήλ, αἰτουμένου πρὸς τὸ προκριθῆναι μαΐστορα τῆς σχολῆς τοῦ ἁγίου Πέτρου A τοῦ αὐτοῦ (= τοῦ μακαρίτ(ου) ὑπερτίμου κυροῦ Μιχαὴλ τοῦ Ψελλοῦ) πρὸς τὸν ἁγιώτατον πατριάρχην κῦρ Κωνσταντῖνον· προσώπῳ τοῦ μαΐστωρος τῶν Διακονίσσης w¹ ‖ **2** μου P O w¹ S: om. A ‖ **4** ἀλλ' O w¹ A: om. P S **4–5** δικαστῇ – ἱλέῳ P w¹ A S: εὐμενεῖ τε καὶ ἱλέῳ δικαστῇ O ‖ **6** σου P O A S: σοι w¹ | καὶ διακριτικὴν P w¹ A S: om. O ‖ **7** μοι P O w¹ S: μου A | ab βιβλίοις καὶ λόγοις inc. U ‖ **8** μὴ – γῆρας P O A S: [ca. 13 litt.] αὐτὸ τὸ γῆρας U μὴ πρὸς αὐτὸ τὸ γῆρας λεληθότως w¹ ‖ **9** ἀνιαρόν : [ca. 7 litt.] U

θειότατός μοι δεσπότης, τῆς παιδεύσεως μισθοὺς ὥσπερ ἀποδιδούς, τοῦ τηνικαῦτα ἀργοῦντος παιδευτηρίου προέστησας, ἵνα καὶ
15 οὓς ἐνεπορευσάμην λόγους πρὸς τοὺς βουλομένους διαβιβάσαιμι, καὶ τὰ παρ' ἐκείνων ἀγώγιμα ἀντιλάβοιμι. Τὸ δέ μοι γέγονεν εἰς βραχὺ ἢ οὐδὲν ὄφελος· λογοπραγεῖν γὰρ μὴ μεμαθηκώς, κενὴν τὴν ἐμπορίαν ποιοῦμαι. Τὸ δέ μοι βαρύτατον: ὅτι μοι καὶ τὸ πατρῷον ἔδαφος πόρρω ποι κείμενον τῆς σχολῆς, τῆς καθ' ἡμέραν
20 ταλαιπωρίας αἴτιον γίνεται· ἀνάγκη γάρ με βαδίζειν ὁσημέραι χαλεπὴν ὁδὸν ἀργαλέην τε, συντρίβειν τε καὶ συντρίβεσθαι, καὶ τὴν ἀγορὰν κατατρίβειν, εἰθισμένον ἐν οἰκίσκῳ πάλαι καθῆσθαι καὶ προσανέχειν βιβλίοις.

Εἶτα με ἠρώτησας ὁ ἐμὸς δεσπότης καὶ κηδεμὼν οὗ τινος
25 ἕνεκα ἐσκυθρώπακά τε καὶ κατωχρίακα; Ἐρῶ οὖν νῦν, τότε μὴ τολμήσας ποιήσασθαι τὴν ἀπόκρισιν, ὅτι μηδέν μοι θυμῆρες προσγίνεται, ὅτι μοι πᾶσα θύρα προνοίας ἀποκέκλεισται, καὶ στενά μοι πάντα τὰ τοῦ βίου προσγέγονεν.

Ἀλλ' οἴκτειρον, ἀλλ' ἐλέησον, ἀλλ' ἰάτρευσον, ἀλλ' ἀνακάλε-
30 σαι, ὁ μόνος εἰδὼς τοῖς πάσχουσι συναλγεῖν, καὶ χεῖρα ὀρέγειν, καὶ τὰς τῆς καρδίας ἀλγηδόνας ἰᾶσθαι. Ἔστι τις καὶ παιδευτῶν εἰς μείζονα παιδευτήρια προκοπή· ἔστι κἂν τούτοις πρόοδος καὶ προτίμησις· καὶ τὴν τοῦ λείποντος χώραν ὁ μετ' ἐκεῖνον ἀναπληροῖ. Ἀπάλλαξόν με τῆς ἐσχάτης διακονίας· τῷ μείζονι βαθμῷ με
35 προσβίβασον· στῆσον ἐπὶ τῆς πέτρας, πολλοῖς πειρατηρίοις κλονούμενον· μυσταγωγόν με τοῦ κορυφαίου δεῖξον χοροῦ, ἵν' ἐντεῦθεν ῥᾳδία μοι καὶ ἡ πρὸς τὰ κρείττω ἄνοδος γένηται, καὶ τῆς πρὸς τὰ κρείττω φερούσης ὁδοῦ ἐπιτυχὴς ἔσομαι.

21 χαλεπὴν – τε[1]: cf. Hom. Od. 4,393 et 483 δολιχὴν ὁδὸν ἀργαλέην τε. cf. etiam Π 310,15–16 ‖ **35** στῆσον – πέτρας: Greg. Naz. Εἰς τὸ ἅγιον Πάσχα = Or. 45,19 ἐπὶ τῆς πέτρας ἔρεισον, ἵνα μὴ σαλεύηταί σου τὰ κατὰ Θεὸν διαβήματα. cf. etiam Π 397,17–18

13 μοι U P w[1] A S: μου O ‖ **18** μοι[2] om. A ‖ **19** ποι : που A | καθ' ἡμέραν U w[1] A: καθημέραν P O S ‖ **20** ὁσημέραι P O w[1] S: om. U A ‖ **22** πάλαι P O w[1] S: πάλιν U A ‖ **23** προσανέχειν U O A: προσέχειν P w[1] S ‖ **24** με U O w[1] A: om. P S ‖ **25–26** τότε – τολμήσας U P O A S: μὴ τολμήσας τότε w[1] ‖ **26** μηδέν : οὐδέν A ‖ **32** παιδευτήρια : παιδευτήριον A ‖ **35** προσβίβασον U P O A S: προσάρμοσον w[1] | τῆς U O w[1] A: om. P S

CIV. Πρωτοασηκρῆτις

400. ⟨Τῷ πρωτοασηκρῆτις⟩

K-D 201 [O]

Σῴζεις κἀν τούτῳ, πρωτοασηκρῆτις αὐθέντα μου, τὸ πάτριον ἔθος, καὶ ἀρχαιότατον· τὸ γὰρ «φέρε» τοῦτο Ῥωμαίοις ἐστὶ σύνηθες, καὶ ὅταν κρατῶσι τῶν ἄλλων, συνεχῶς τὸ ῥῆμα προσαναφθέγγονται· ἀλλὰ Πέρσαι νικῶντες, ὀξὺ καὶ γυναικῶδες ἐπολολύζουσι.

Τὸ μὲν οὖν σὸν πρόδηλόν ἐστι· Πέρσας δέ μοι νόει τὰς 5 μοναζούσας τῆς Σακελλίνης, αἳ δὴ καθ' ὥραν ἐπανακράζουσαι, τὴν τοῦ σιγιλλίου μοι καίνισιν ἐξ ὑπογύου εἰσπράττουσι. Καὶ νενίκηκα ἂν ταύτας ἔγωγε (νὴ τὴν σὴν τοῦ αὐθέντου μου κεφαλήν!), εἰ μὴ τὴν κακὴν νίκην ἐδεδοίκειν ἀποίσεσθαι, καὶ τὴν μέλαιναν ὡς ἀληθῶς, οὐχὶ τὴν λευκήν. 10

Λουππικῖνος μὲν οὖν ἐκεῖνος, εἰ μὴ παρανομίᾳ πάντως καὶ ἀσελγείᾳ συνώλετο, σώφρων ἂν ἐν ταύταις ἐλογίσθη παρών. Ἀλλ' ὁ περιττά πως ἐγὼ τὸ σωφρονεῖν παιδευθεὶς εἴπερ ἕτερος εἰς τοὐναντίον κινδυνεύω μεταπεσεῖν· οὐκ εἰμι λίθος, πρωτασηκρῆτις αὐθέντα μου, οὐδ' ἀπὸ δρυὸς ἢ πέτρης τὴν γένεσιν ἔσχηκα, ἀλλὰ 15

2–4 τὸ – ἐπολολύζουσι: fontem non inveni. cf. Julian. Ἀντιοχικὸς ἢ Μισοπώγων 11,18–25 ἐν θυμῷ, γρηῦ, χαῖρε καὶ ἴσχεο μηδ' ὀλόλυζε; (Hom. Od. 22,411) … τῇ Ἀθηνᾷ «ὀλολυγῇ πᾶσαι,» φησί, «χεῖρας ἀνέσχον,» βαρβαρικὸν μὲν καὶ τοῦτο καὶ γυναιξὶ πρέπον et Suda o 191 ὀλολυζέτω: θρηνείτω. κυρίως ἐπὶ γυναικῶν ‖ **9–10** νίκην – λευκήν: proverbium? cf. Greg. Ant. Λόγος παρηγορητικὸς … Κωνσταντίνῳ τῷ Ἀπιμπιθιοὺμ 132–133 **11** Λουππικῖνος – ἐκεῖνος: de quo agit nescio; cf. Flavius Lupicinus 6 (PLRE I,520–521)? ‖ **15** οὐδ' – πέτρης: Hom. Il. 22,126 οὐ μέν πως νῦν ἔστιν ἀπὸ δρυὸς οὐδ' ἀπὸ πέτρης (cf. Od. 19,163); cf. etiam Plat. Ἀπολογία Σωκράτους 34d γὰρ τοῦτο αὐτὸ τὸ τοῦ Ὁμήρου, οὐδ' ἐγὼ 'ἀπὸ δρυὸς οὐδ' ἀπὸ πέτρης' πέφυκα ἀλλ' ἐξ ἀνθρώπων. cf. Psel. Βίος καὶ πολιτεία … Αὐξεντίου … = Or. hag. 1b,76 et Π 51,18 ‖ **15–17** οὐδ' – μαλθακίζομαι: cf. Π 51,18–20 οὐδ' ἀπὸ δρυός ἢ πέτρας γεγένημαι, ἀλλὰ φύσεώς εἰμι τῆς ἁπαλῆς βλάστημα, καὶ τοῖς φυσικοῖς πάθεσι μαλθακίζομαι et Π 128,15–16 ἐλέγχει δέ με τὸ ἦθος ἀφιλοσόφως ἐπὶ τοῖς φυσικοῖς διακείμενον πάθεσιν. cf. etiam Papaioannou 2013,195-215. iunctura Pselliana in Eumath. Macremb. Τὸ καθ' Ὑσμίνην καὶ Ὑσμινίαν δρᾶμα 3,7,6 ἐμαλθακιζόμην τὴν ψυχὴν laudata?

ep. 400 O 202r; tit. K-D ‖ **2** ἀρχαιότητα K-D ‖ **15** μου om. K-D

τῆς ἀπαλῆς φύσεως πέφυκα βλάστημα, καὶ τοῖς φυσικοῖς πάθεσι μαλθακίζομαι.

Εἴ τις οὖν σοι δύναμις νῦν, εἴ τις λόγος σοφίας, εἴ τις ἰσχὺς ὑπὲρ τοὺς πολλούς, «ῥῦσαι ἀπὸ ῥομφαίας τὴν ψυχήν μου» (τὸ τοῦ
20 θείου φάναι Δαυΐδ) «καὶ ἐκ χειρὸς κυνὸς τὴν μονογενῆ μου»· μονογενὴς γὰρ αὕτη μοι καὶ ἀγέννητος, καὶ τοῦτο πάντως Πλάτωνες οἴδασιν, ἀγέννητον ταύτην νομοθετοῦντες καὶ γεννητὴν ἐν διαφόροις λόγοις ὥσπερ ἐπίστασαι. Πῦρ ἀτεχνῶς ἐγώ κἂν ὕλῃ προστύχω που—τὸ ἑξῆς οὐ προσφθέγξομαι. Εἰ δὲ καὶ μία τῷ
25 γενάρχῃ πρὸς ἀπάτην ἐξήρκεσε, τί πρὸς τὰς πολλὰς ἐγὼ πείσομαι; Ἐπὶ πᾶσι καὶ πρὸ πάντων τοῦτο προλέγω σοι· εἰ μὴ τάχιον γραφήσεται τὸ σιγίλλιον, σῆψις ἀνὰ μέσον γενήσεται, καὶ μεθέξεις καὐτὸς τοῦ μύσους, ὅτι μοι ταῖς ἀναβολαῖς τὴν ἅλωσιν ἐπρυτάνευσας.

30 Τὴν δὲ ἁδρὰν τροφὴν καὶ τἄλλα μὴ εὐθὺς ἀποδοκίμαζε.

19–20 ῥῦσαι – μου: Ps. 21,21; cf. Psel. Λόγος εἰς τὴν σταύρωσιν = Or. hag. 3b,43–45 ‖ **21–23** καὶ[2] – λόγοις: cf. Plat. Φαῖδρος 245c5–246a2 ... ἐξ ἀνάγκης ἀγένητόν τε καὶ ἀθάνατον ψυχὴ ἂν εἴη et Τίμαιος 34b10–36d9 ... ἡ τῆς ψυχῆς σύστασις ἐγεγένητο cum e.g. Procl. In Tim. I 235,1–17 ... εἰ δὲ πᾶν τὸ ὁπωσοῦν γενητόν ... καὶ τὴν ψυχὴν τῶν γιγνομένων πρώτην ... καὶ οὕτω κάτωθέν τε ἀνιόντες εἰς ψυχὴν ἀπολήξομεν ὡς πρώτην τῶν γενητῶν, καὶ ἄνωθεν κατιόντες εἰς αὐτὴν ἀποπαυσόμεθα πάλιν ὡς ἐσχάτην τῶν αἰωνίων ... διὸ καὶ ὁ ἐν Φαίδρῳ Σωκράτης ἀγένητον αὐτὴν ἅμα καὶ αὐτοκίνητον ἔλεγεν ... ἀγένητον ἄρα καὶ γενητὴν αἰώνιόν τε καὶ οὐκ αἰώνιον αὐτὴν λέγοντες ὀρθῶς ἐροῦμεν et II 124,27–125,2 ταύτῃ ἅμα καὶ ἀγένητός ἐστι καὶ γενητή, δι' ἣν μὲν ἀεὶ ἔχει οὐσίαν καὶ ζωήν, ἀείζωος οὖσα καὶ ἀεὶ οὖσα, δι' ἣν δὲ ἀεὶ δέχεται, γιγνομένη ἀεὶ καὶ οὐσία καὶ ζωή, διχόθεν οὖσα, καὶ ἀφ' ἑαυτῆς καὶ ἀπὸ τῶν πρὸ αὐτῆς, καὶ δι' ἑαυτὴν μὲν ἀεὶ οὖσα, διὰ δὲ τὰ πρὸ αὐτῆς ἀεὶ γιγνομένη, μᾶλλον δὲ διὰ τὰ πρὸ αὐτῆς ἄμφω ἔχουσα, καὶ εἶναι ὅ ἐστι καὶ γίνεσθαι, δι' ἑαυτὴν δὲ θάτερον μόνον. cf. etiam Psel. Omn. doctr. 51 Πῶς ὁ Πλάτων γεννητὴν ὁμοῦ τὴν ψυχὴν καὶ ἀθάνατον ἀποφαίνεται, Πρός τινα κάπηλον μεγάλαυχον καὶ φιλοσοφοῦντα διάκενα = Or. min. 13,77 et Π 126,1–9; cf. etiam Π 538,60–61 ‖ **24–25** μία – γενάρχῃ: Eva et Adam

21 ἀγένητος K-D ‖ **22** ἀγένητον K-D

CV. Ad incertas personas

401.

ca. a. 1060 – a. 1067?

K-D 79 [L]

Ἐὰν κατὰ τὸ μέτρον τῆς ἐμῆς πρὸς ὑμᾶς φιλίας καὶ δύναμιν εἶχον εἰς τὴν ὑμετέραν βοήθειαν, πάλαι ἂν ἦτε πάντων ἀπηλλαγμένοι κακῶν· νῦν δὲ ἡ περὶ ὑμᾶς προθυμία πολλή, οὐ δύναμις δὲ καταπράξασθαι ὁπόσον καὶ βούλομαι. Ὅμως καὶ ἐπεὶ καὶ παρὰ σοῦ γραφὴν ἐδεξάμην ἀξιοῦσαν διεγερθῆναί με εἰς ὑμετέραν 5 ὠφέλειαν, καὶ τὸν βασιλέα δὲ ἤδη ὁρῶ τὰ πολλὰ φιλανθρωπευόμενον εἰς ὑμᾶς, πᾶσαν εἰσενέγκω σπουδήν, τὰ μὲν δι' ἐμοῦ, τὰ δὲ διὰ τῆς τοῦ πατριάρχου γλώττης, κινῆσαι τὸν βασιλέα πρὸς οἶκτον ὑμῶν. Μηδὲ καταιτιῶ ἡμᾶς ὅτι μὴ πάλαι βεβοηθήκαμέν σοι· ἴσως γὰρ καὶ ἐβοηθήσαμέν σοι, ἀλλ' 10 ἀπήντησεν ὁ καιρός: δεινοὶ γὰρ ἄνδρες κατηγόρησαν ὑμῶν, εἰ καὶ ψευδῆ, ἀλλ' ὅμως πιθανῶς πεπλασμένα, καὶ μετηλλοίωσαν τὴν τοῦ βασιλέως ἡμῶν φιλάνθρωπον γνώμην, καὶ παρωξύνθη καθ' ὑμῶν. Νῦν δὲ ὁ καιρὸς δέδωκε τὸ ἐνδόσιμον, καὶ τεύξεσθε (ὡς οἶμαι οὐκ εἰς μακρὰν) χρηστοτέρας μεταβολῆς. 15

Μεγαλοψύχει οὖν ἐπὶ τοῖς συμβᾶσί σοι ἀνιαροῖς, εἰδὼς ὡς οἱ κατὰ τὸν βίον πειρασμοὶ μεγάλην ὠφέλειαν προξενοῦσι τῇ ψυχῇ· σὺ γὰρ χάριτι θεοῦ φρονιμώτατος ἄνθρωπος ὑπάρχεις, καὶ ὀφείλεις πάντα ἐκ θεοῦ δέχεσθαι, καὶ μὴ ἀπελπίζειν, ἀλλὰ προσδοκᾶν τὴν τῶν λυπούντων ἀπαλλαγήν. 20

6 τὸν βασιλέα: Constantinus X Ducas (imperator: 23/24.XI.1059 – 22/23.V.1067) (Π XVIII)? ‖ **8** τοῦ πατριάρχου: Constantinus Leichudes (patriarcha: 2.II.1059 – 9/10.VIII.1075) (Π XXXV) vel Ioannes Xiphilinus (patriarcha: 1.I.1064 – 2.VIII.1075) (Π L)?

ep. 401 L 40r–v ‖ **2** ὑμετέραν corr. K-D: ἡμετέραν L ‖ **3** ὑμᾶς K-D: ἡμᾶς L

402. ⟨Κριτῇ τινι (?)⟩

K-D 94 [L]

Μὴ δυσχεράνῃς, οὐκ ἀξιοῦμεν· μηδ' ἐντεῦθεν ἀποκνήσῃς τὴν ἀνάγνωσιν τῆς γραφῆς. Ἀλλ' εὐχαριστίαν ἀποπληροῦμεν, ἐφ' οἷς οὐκ ἀπετύχομεν ἀξιώσαντες· εὐχαριστίαν, τὸ δίκαιον ὄφλημα τοῖς τε διδοῦσι καὶ τοῖς λαμβάνουσιν· ἣν ἡμεῖς εἰληφότες παρὰ τοῦ 5 λογιωτάτου Ἀριστηνοῦ, ἀνταποδιδόαμέν σοι τῷ πρώτῳ δοτῆρι τῆς εὐποιΐας.

Πλὴν οἴομαι μὴ τοσοῦτον δεδωκέναι σε τῷ ἀνδρί, ὅσονπερ ᾐτησάμεθα, ἀλλὰ δεκαπλασίως, ἢ πολλαπλασίως· ἃ γὰρ εὐφήμησε πρὸς ἡμᾶς καὶ ὅσους ἐπαίνους ἀπηριθμήσατο, ὅσην τε 10 τὴν εὐγνωμοσύνην ἐπεδείξατο σοί τε κἀμοί, οὐκ ἀφέσεως γεννημάτων ἀλλ' ἁμαρτημάτων ἐπάξια.

Ἀλλὰ βούλει τἀληθὲς ἀκοῦσαι; Πίων ὡς ἀληθῶς γῆ καὶ ἐρίβωλος ἡ τοῦ Ἀριστηνοῦ ψυχὴ πέφυκε, καὶ ἁδρὰν λαβοῦσα σπερμάτων καταβολήν, ἁδρότερον ἀναβλαστάνει τὸν ἄσταχυν. Ἀλλ' οὗτος 15 οὐδὲ θέρους μόνον τὴν τῆς καλάμης φυὴν ἀναδίδωσιν, ἀλλὰ καὶ χειμῶνος, καὶ μετοπώρου, καὶ τοῦ χρόνου παντός. Καὶ εἴης οὕτως εὐεργετῶν ἡμᾶς, καὶ ἀφορμὴ καθεστηκὼς ἡμετέρας εὐκλείας καὶ εὐφημίας, καὶ πάντοτε καὶ ἐν πᾶσι τῶν φιλικῶν καθηκόντων φροντίζων ἡμῖν.

4–5 τοῦ – Ἀριστηνοῦ: Π V ‖ **12–13** πίων … ἐρίβωλος: voces Homericae (cf. e.g. Hom. Il. 21,232 σκιάσῃ δ' ἐρίβωλον ἄρουραν, 20,385 ἐν πίονι δήμῳ, et 18,541 πίειραν ἄρουραν). cf. Psel. Χρονογραφία VI,169 τὴν ἐρίβωλον γῆν καὶ πίειραν, Τὰ πρὸς Ὄλυμπον = Or. min. 36,42 ἐρίβωλος καὶ πίων ἡ ἄρουρα, et Π 513,7–8 ‖ **12–14** πίων – ἄσταχυν: cf. Π 403,6–7 τοιοῦτόν ἐστι ψυχὴ βαθεῖα καὶ πίων, βραχύτατον μὲν σπέρμα δεχομένη, τὸν δὲ καρπὸν ἀποδιδοῦσα μυριοπλασίως

ep. 402 L 45v; tit. scripsi: τῷ Ἀριστηνῷ L K-D ‖ **13** λαβοῦσα corr. K-D: λαβοῦσαν L

403. ⟨Κριτῇ τινι (?)⟩
eodem tempore ut Π 381, Π 322, et Π 379 [vid. epistolarum ordinem in L]

K-D 253 [L, Taf[1]], Taf[1] 71 [P], PG[2] 71 [Taf[1]]

Εὐχαριστῶ σοι, κύριέ μου, ἐφ' οἷς ἀξιώσας εἰσήκουσμαι. Ἠξίωσα δὲ πρώην περὶ τοῦ ἐμοῦ συγγενοῦς, ἵν' ὡς ἐμοῦ ἀντέχῃ τούτου, καὶ τὰ δυνατὰ συνεργοίης. Κἀγὼ μὲν ὡς ᾠήθην ἐν μέρει τυχεῖν ὧν ἠξίωσα, ὁ δὲ οὐ τοῦτό με δοξάζειν πεποίηκεν, ἀλλ' ὅτι τὸ βραχύτατόν μοι ἐκεῖνο γραμμάτιον ἤρκεσεν αὐτῷ εἰς ὅλην τὴν 5 εἴσπραξιν. Τοιοῦτόν ἐστι ψυχὴ βαθεῖα καὶ πίων, βραχύτατον μὲν σπέρμα δεχομένη, τὸν δὲ καρπὸν ἀποδιδοῦσα μυριοπλασίως. Ἀλλὰ πρώην μὲν ἠξίωσα, νῦν δὲ ὡς ὁρᾷς, εὐχαριστῶ οἷς ἔτυχον· μείζων δὲ ἡ εὐχαριστία τῆς ἀξιώσεως.

Ἀντιμέτρησον οὖν καὶ σὺ τῇ εὐχαριστίᾳ πλείονα τὴν ἀντίδο- 10 σιν· καὶ γενοῦ μᾶλλον τοῦ πράκτορος ἐπιμελέστερος συνεργός, ἵν' οὗτος μὲν ἡμῖν γράφῃ ἃ τυγχάνει εὐεργετούμενος, ἡμεῖς δὲ ὑπόθεσιν ταῦτα πλείονος εὐχαριστίας ποιήσωμεν.

404. Ἀνεπίγραφος
ad kriten quendam [cf. Π 260]?

K-D 157 [L]

Περιττὴ μὲν ἡ νῦν περὶ τοῦ παρόντος ἀξίωσις· τί γὰρ δεῖ πολλάκις ἀξιοῦν τὸν ἅπαξ ἡμᾶς ἀξιώσαντας προσηκάμενον, καὶ

6–7 τοιοῦτόν – μυριοπλασίως: cf. Π 402,12–14 πίων ὡς ἀληθῶς γῆ καὶ ἐρίβωλος ἡ τοῦ Ἀριστηνοῦ ψυχὴ πέφυκε, καὶ ἁδρὰν λαβοῦσα σπερμάτων καταβολήν, ἁδρότερον ἀναβλαστάνει τὸν ἄσταχυν ‖ **6** ψυχὴ βαθεῖα: cf. Philo Περὶ τοῦ θεοπέμπτους εἶναι τοὺς ὀνείρους 1,200 ... σπείρετε, καὶ ἣν ἂν ἴδητε ψυχὴν βαθεῖαν, εὔγειον ... ‖ **11** πράκτορος: Chrysobalantites. cf. Π 322,4–8, Π 379,9, et Π 381,4–5; cf. etiam Stavrakos 2000,411–412 (nr. 283)

ep. 403 L 85v–86r, P 257r, F 39v–43v; tit. scripsi: ⟨κριτῇ τινι⟩ K-D ἐπιστολαὶ εὐχαριστίαν ἔχουσαι πρὸς φίλων γραφὰς καὶ ἑτέροις F ‖ **1** κύριέ μου L P Taf K-D: κύριέ μου καὶ αὐθέντα F ‖ **3** ὡς L P Taf K-D: om. F ‖ **5** μοι L P Taf K-D: om. F ‖ **7** μυριοπλασίως L P Taf K-D: μυριοπλάσιον F ‖ **11** συνεργός L P Taf K-D: συνεργῶς F ‖ **12** οὗτος L P Taf K-D: οὕτως F | ἡμῖν L P Taf K-D: ἡμεῖς F
ep. 404 L 86r, F 51r–v; tit. L: om. F ⟨κριτῇ τινι?⟩ K-D ‖ **1** περιττὴ L K-D: διτή F ‖ **2** ἀξιοῦν L K-D: om. F | ἀξιώσαντας L K-D: ἀξιώσαντα F

δευτέρας ἀξιώσεως μὴ δεόμενον; Ἀλλ' ἵνα μὴ παντάπασι κεναῖς σοι ταῖς χερσὶν ὀφθείη ὁ νοτάριος, τῇ παρούσῃ γραφῇ τοῦτον
5 ἐφωδιάσαμεν, ὑπόθεσιν αὐτῇ τὸν περὶ αὐτοῦ λόγον ὑποβαλλόμενοι.

Οὕτω γοῦν διατίθεσο πρὸς αὐτόν, ὡς παρόντων ἡμῶν καθ' ἑκάστην καὶ ἀξιούντων σε. Καὶ ἐμβομβείτω σου ταῖς ἀκοαῖς ἡ περὶ τούτου ἐπιστολή· καὶ ζήτω παρὰ σοὶ ἡ φιλία ἡμῶν ἐν ἀκμα-
10 ζούσῃ καὶ νεανικῇ καταστάσει, ῥωννυμένη ταῖς σαῖς περὶ ἡμῶν διηνεκέσιν ἐνθυμήσεσί τε καὶ ἀναμνήσεσιν.

405.
eodem tempore ut Π 92?

K-D 158 [L]

Σὺ μὲν ἴσως ὑπολαμβάνεις, ὅτι ἀμελῶς ἅπτομαι τῶν σῶν ὑποθέσεων, καὶ οὐκ ἐν ἰδίᾳ φροντίδι τὰ σὰ λογίζομαι. Ἀλλ' εἴπερ τις τῶν σῶν αὐτόπτης ἦν καὶ αὐτήκοος, ὧν περὶ σοῦ ποιῶ καὶ λέγω, ἐθαύμασεν ἂν τὸ μέτρον τῆς πρὸς σέ μου φιλίας. Πλὴν ἀλλ'
5 οὐδὲ τὸν κοινὸν ἡμῶν ἀδελφὸν λανθάνει τὰ κατ' ἐμὲ περὶ σοῦ· καὶ οἶμαι δῆλά σοι διὰ τῶν γραμμάτων ταῦτα ποιεῖν.

Ἀλλ' ἴσως ἐρεῖς ὅτι καὶ τί σοι ἐντεῦθεν ἐγένετο ὄφελος; Ἐγὼ δὲ νῦν οὐκ ἀπολογήσομαι πλατύτερον πρὸς τὴν τοιαύτην ἐρώτησιν· φημὶ δὲ ὅτι παρὰ μὲν τῶν ἐμῶν λόγων οὐδὲν ὠφελήθης, τὸ δέ
10 γε ἁρμόζον τῇ πρὸς ἐμέ σου φιλίᾳ ποιεῖν οὐκ ὀκνῶ. Πλὴν ἐν βραχεῖ ἄκουσον, καὶ ὅσα σοι ἐντεῦθεν κατώρθωται. Ἡμέρωταί σοι ὁ φιλανθρωπότατος ἡμῶν βασιλεύς, δι' εὐφήμου γλώττης ἄγει, τῶν κατειπόντων κατηγορεῖ, ἐπαγγέλλεταί σοι χρηστότερα. Ὁ λογοθέτης ὡς οἰκειοτάτου ἀντέχεται· ἐπαυξάνει τὸ περὶ σὲ τοῦ
15 βασιλέως συμπαθὲς καὶ φιλάνθρωπον· κατεπείγει τὰς ἐπαγγελίας. Οἱ περὶ τὸν βασιλέα, ἄλλος ἄλλο τι συνεισφέρει ταῖς ὑπὲρ σοῦ εὐφημίαις. Εἰ ταῦτα μικρά, τίνα τὰ μείζω; Καὶ οὔ φημι ἐμαυτὸν αἴτιον εἶναι τούτων, ἀλλὰ τὴν σὴν περὶ τὰς ἀνατεθείσας

12 ὁ – βασιλεύς: cf. Π 92,2–3 τοῦ κραταιοῦ καὶ ἁγίου ἡμῶν αὐτοκράτορος?
13–14 ὁ λογοθέτης: Theodorus Alopus (Π III)?

4 νοτάριος L K-D: ἄνθρωπος F ‖ **5** αὐτῇ L K-D: αὐτὸν F ‖ **8** σου F: om. L K-D
10 ἡμῖν K-D ‖ **ep. 405** L 86r–v

σοι ὑποθέσεις σπουδὴν καὶ τὴν τοῦ βασιλέως χρηστοτάτην διάθεσιν. Ἐγὼ δὲ οὐδὲν ἄλλο, ἢ ὅτι ὑφάπτω τοὺς λέγοντας· εἰ δὲ μὴ 20
τοῦτο δίδως, χαίρω ἐπὶ τοῖς σοῖς ἐπαίνοις μεγαλαυχούμενος.

Τὰ μὲν οὖν ἡμέτερα ταῦτα· τὰ δὲ παρὰ σοῦ, ἐπέλιπεν ἡμῖν καὶ τὰ γράμματα, καὶ ἡ φιλικὴ προσφώνησις οὐδαμοῦ. Εἰ δέ ποτε καὶ γράψαι θελήσειας, βαβαὶ τῶν μεθόδων· καὶ οἵας αἰτίας προσάπτεις ἡμῖν, αἷς αὐτὸς ἐνεχόμενος, ἄλλοις ταύτας προστρίβειν 25
πειρᾷ. Ἀλλ' ἡμεῖς οὔτε ἀγνοοῦμεν ὅτι τὸν σοφιστικὸν τρόπον μεταχειρίζῃ, οὔτε γινώσκοντες, δυσχεραίνομεν, ἵνα μὴ καὶ ταύτην ἐμφράξω τὴν πηγήν· ἀλλὰ σὺ καὶ τοιούτου νάματος ἡμᾶς ἀπεστέρησας.

Οὐκ αἰτοῦμεν οὖν καλλίονα γράμματα· ἀλλ' ἔστω μὲν ἡ αὐτὴ 30
αἰτία ἢ μᾶλλον ἰδέα, τὸ δὲ μέτρον ἐπαύξησον. Οἶδα δὲ ὅτι, δεινὸς ὢν καὶ ἐμμέθοδος, οὐκ ἀπορήσεις ἀπολογιῶν: ὅτι περιστοιχίζῃ τοῖς πράγμασιν, ὅτι μὴ φιλοσοφεῖν οἶδας ἐν ταῖς γραφαῖς, ἢ ῥητορεύειν ἐν λόγοις πρὸς ῥήτορα ὁμοῦ καὶ φιλόσοφον, καὶ διὰ ταῦτα ἀναβάλλῃ τὴν ἐν γράμμασι προσαγόρευσιν. Ἀλλ' ἐγὼ 35
οὐδετέραν δέξομαι τῶν ἀπολογιῶν. Ὅθεν προλαμβάνων, τοσοῦτον ἐρῶ: ὅτι ὁποῖα ποτ' ἂν ᾖ τὰ σὰ γράμματα, τεχνικώτερα ἡμῖν φαίνεται τῶν Σιβυλλείων χρησμῶν (ὁ γὰρ νοῦς οὐ δεύτερος ἐκείνων ἐστί)· φιλόσοφοι δὲ ὄντες, τὸ ἐν ταῖς λέξεσι κάλλος οὐκ ἠγαπήκαμεν. 40

406. ⟨Κριτῇ τινι⟩

K-D 255 [L, Taf[1]], Taf[1] 73 [P], PG[2] 71 [Taf[1]]

Οὐ μικρὰν παρηγορίαν τῆς σῆς στερήσεως τὰ σὰ γράμματα ἔχομεν· δοκοῦμεν γὰρ δι' αὐτῶν ὁμιλεῖν σοι, ἔμψυχον συνουσίαν τὰς ἀψύχους σου προσφωνήσεις οἰόμενοι. Παροτρύνεις δὲ ἡμᾶς ἐν τοῖς γράμμασί σου εὐφήμους φωνὰς ὑπὲρ σοῦ συνεισάγειν εἰς τὸ

38 Σιβυλλείων χρησμῶν: iunctura in Dion. Halicarn. Ῥωμαϊκὴ ἀρχαιολογία (cf. XII 67,3 etc.)

28 ἡμᾶς corr. K-D: ἡμῖν L ‖ **32** παραστοιχίζῃ K-D e quo falsum LBG lemma **36** οὐδετέραν corr. K-D: οὐδ' ἑτέραν L ‖ **ep. 406** L 86v–87r, P 257r; tit. K-D **2** σοι L K-D: om. P Taf ‖ **3** σου P Taf K-D: om. L

5 τοῦ βασιλέως συνέδριον· αὐθόρμητοι γάρ ἐσμεν εἰς τοὺς περὶ σοῦ ἐπαίνους (μάρτυς ὁ κύριος!), καὶ οὐ δεόμεθα γλώσσης διεγειρούσης ἡμᾶς. Καὶ ὅτι μὲν οὐδὲν ἔτι σοι παρ' ἡμῶν ἐπωφελὲς προσεγένετο, οὐκ ἀγνοοῦμεν. Ἴσθι δὲ ὡς ἅπαντά σοι πεπροοιμίασται, καὶ οἷον τὰ ἐπεισόδια τῆς ὠφελείας ἐγένετο· σὺν
10 ἐπαίνῳ γὰρ ὁ βασιλεὺς τοῦ σοῦ μνημονεύει ὀνόματος, καὶ χρηστότερον πρὸς τὰς ἐπελθούσας σοι συμφορὰς διατίθεται, καὶ οἷον ἕτοιμός ἐστιν ἀντεπαγαγεῖν τοῖς χείροσι τὰ βελτίονα.

Δήλωσον δὲ ἡμῖν ὁπότερον βούλει, εἰσεληλυθέναι εἰς τὴν βασιλίδα καὶ τῆς ἐνταῦθα προνοίας τυχεῖν, ἢ εἰς κρεῖττον μετατε-
15 θῆναι θέμα, ἵνα πρὸς τὸ σὸν βούλημα τὴν ἡμετέραν σπουδὴν συνεισενέγκωμεν. Πλὴν τῶν κρειττόνων θεμάτων ἃ μὲν ἄρτι τοὺς κριτὰς εἰσεδέξαντο, ἃ δὲ πάλαι ἔχει, ἕξει δὲ μέχρι πολλοῦ διὰ τὸ πλῆθος τῶν ἀνατεθεισῶν αὐτοῖς ὑποθέσεων. Ὅθεν τῶν ἄγαν μειζόνων ἀπόγνωθι, περὶ δὲ τῶν μέσων ἔστω σοι ἡ φροντίς·
20 ἀγαπητὸν γάρ, εἰ καὶ πρὸς ἓν τούτων μετατεθῇς.

407. ⟨Τῷ δουκὶ Κύπρου (?)⟩

K-D 159 [L]

Ἐδεξάμην σου τὴν γραφήν, καὶ ἐλογισάμην αὐτὴν ὡς ἔμψυχον ὁμιλίαν· οὐ γὰρ ἦν κεκομψευμένη, οὐδὲ ἀλλοτρίῳ κάλλει κοσμουμένη, ἀλλὰ τῷ φυσικῷ καὶ ἀπλάστῳ. Ὅθεν, τὰ μὲν ἐγέλων, αὐτὴν ἐπιών, τὰ δὲ ἐσεμνυνόμην, τὰ δὲ ἡδίων ἐγενόμην,
5 τὰ δὲ ἐθαύμαζόν σου τὸ μεγαλοφυὲς τῆς ψυχῆς. Ὅπερ εἴωθα ποιεῖν καὶ ὁπότε ὁμιλοῦντος ἀκούοιμί σου· ἐνεικονίζετο γάρ σε τὸ γράμμα, ὥσπερ ἡ ἐκ τῶν χρωμάτων εἰκών, τὴν ἔμψυχον μορφὴν καὶ πρωτότυπον. Μᾶλλον δὲ καὶ πλέον εἶχε τοῦτο· οὐ γὰρ ἐκ χρωμάτων συνετέθειτο, ἀλλ' ἐξ ἀπλάστων ἐννοιῶν, καὶ τῆς
10 καθαρωτάτης σου τῶν λόγων ἰδέας. Διὰ ταῦτα, εὐγενέστατε πάντων ἀνδρῶν, τοῖς σοῖς γράμμασιν ἐντυγχάνειν βούλομαι·

5 βασιλέως : μεγάλου ⟨βασιλέως⟩ Taf μεγάλου βασιλέως K-D **12** ἀντεπαγαγεῖν L: ἀντεπενεγκεῖν P Taf K-D ‖ **13** ὁπότερα Taf K-D εἰσεληλυθέναι L: εἰσεληλυθέναι σε P Taf K-D ‖ **14–15** μετατεθῆναι L K-D: om. P Taf ‖ **15–20** ἵνα – μετατεθῇς L K-D: om. P Taf ‖ **ep. 407** L 87r–v, m³ 318v–319v; tit. scripsi: om. L + ὦ καλὴ ἐπιστολή: + ἑτέρα m³ ⟨τῷ κουράτορι Κύπρου?⟩ K-D ‖ **4** ἐπιών L K-D: ἐπερχόμενος m³

μετακομίζουσι γάρ σε πρὸς τὴν ἐμὴν ψυχήν, καὶ ἀδιαστάτως ἐν τοσούτῳ τῷ διαστήματι, αἱ τῶν ἀμφοτέρων ἑνοῦνται ψυχαί.

Ἐγὼ καὶ τούτοις ἡσθεὶς ὑπερφυῶς, ἔτι μᾶλλον σεμνότερος ἐγενόμην, μὴ ἀτυχήσας περὶ ὧν φθάσας ἠξίωσα, ἀλλὰ μεῖζον ὧν 15 ᾐτησάμην εὑρηκώς. Ἐγὼ μὲν γὰρ περὶ τοῦ μὴ βεβλάφθαι τὸν ἄνθρωπον ἐποιούμην πρὸς σὲ τοὺς λόγους τῆς ἀξιώσεως· σὺ δὲ οὐ τοῦτο μόνον ἐπέδωκας, ἀλλὰ καὶ τὸ τυχεῖν ὧν οὐκ ἤλπισεν ἀγαθῶν. Τοιοῦτόν ἐστι μεγάλη ψυχὴ καὶ φιλότιμος. Ἐγὼ δὲ ἄρα ἐλάνθανον γλίσχρος ὢν καὶ φειδωλὸς ταῖς πρὸς σὲ ἀξιώσεσιν. 20 Ὅθεν καὶ ἐν ὀνείδει μοι τὴν προσθήκην ἐποίησας, ὅτι δὴ πρὸς γενναίαν καὶ πλατεῖαν ψυχὴν μέγα αἰτεῖν δεῖ, ἐγὼ δὲ τὰ σμικρότατα ᾐτησάμην, καὶ ἃ αἰσχύνη διδόναι τοῖς φιλοτίμοις. Καὶ χαίρω νικώμενος ὑπὸ σοῦ. Πλήν, οὐδ᾽ αὐτὸς τὰς μείζους ἀξιώσεις ἠγνόουν, ἀλλ᾽ εὐλαβήθην αἰτῆσαι μεγάλα, ἵνα μήτε λυπήσω 25 τυχών, μήτε ἀποτυχὼν λυπηθήσομαι.

Ὑπέδειξα δὲ καὶ τὸ γράμμα σου τῷ πατρὶ τοῦ κουράτωρος, οὐκ ἐκεῖνον πληροφορῆσαι βουλόμενος, ἀλλὰ σεμνυνόμενος ὅτι τοιούτοις ἐμαυτὸν φίλοις φέρων ἀνέθηκα. Ὁ δὲ πολλάκις ἐπελθὼν τὴν γραφήν, πλεῖστα ταύτῃ τῶν δακρύων κατέσπεισεν· καὶ 30 ὄνασθαί με ἐς τὸν ἅπαντα χρόνον τῆς σῆς φιλίας ἐπηύξατο. Ἀλλ᾽, ὦ βέλτιστε, μὴ ἐπαγγέλλου μόνον, ἀλλὰ καὶ πλήρου τὰ ἐπηγγελμένα, καὶ μὴ ἀναδύου τὰ ὡμολογημένα, καὶ τὴν πρᾶξιν μείζονα τῶν λόγων ποιοῦ, ἵνα μὴ μόνον ἐν τοῖς γράμμασιν, ἀλλὰ καὶ ἐν τοῖς πράγμασι φαιδρυνώμεθα. 35

Σὲ δὲ βούλομαι μὲν εὐτυχεῖν, οὐχ ὁρῶ δὲ ὅπως ἂν εὐτυχοίης, ἀπῳκισμένος καὶ πατρίδος καὶ φίλων καὶ συγγενῶν. Τί σοι καὶ τῇ Κύπρῳ; Τί δὲ ἐξὸν κατατρυφᾶν τῆς μεγάλης Πόλεως, καὶ τὸν βασιλέα ὁρᾶν, τὴν πολυάρατον νῆσον εἵλου οἰκεῖν, τὴν μήτε κουροτρόφον μήτε ἱπποτρόφον, μηδὲ πρὸς μίαν σύμμετρον τῶν 40 ὡρῶν, ἀλλὰ καὶ θέρους κακήν, καὶ πρὸς τὰς ἄλλας ὥρας ἀσύμμετρον; Ἐγὼ δὲ τὴν ἐντεῦθεν κακίαν ἐπιστάμενος, περὶ τοῦ κέρδους

16–17 τὸν ἄνθρωπον: curator Cypri? Π LXXIII? cf. infra l. 27 τῷ πατρὶ τοῦ κουράτωρος ‖ **32** ὦ βέλτιστε: iunctura Platonica (cf. e.g. Plat. Ἀπολογία Σωκράτους 24e1); cf. Π 95,86, Π 145,31, Π 146,2, 84, 147, et 160, et Π 319,8 **40** κουροτρόφον: vox Homerica (cf. Od. 9,27);

21 δὴ K-D: δὲ L m³ ‖ **27** πατρὶ – κουράτωρος m³: δεῖνι L K-D ‖ **31** ἐπηύξατο L K-D: ἐπεύξατο m³ ‖ **36** μὲν m³: om. L K-D

τοὺς εἰδότας ἠρώτησα. Οἱ δὲ ἔφασαν, ὡς μᾶλλον ἄν τις ἐκ πέτρας στάχυν ἀμήσαιτο, ἢ ἀπὸ τῆς Κύπρου στατῆρας πορίσαιτο. Ἀλλ’
45 ἡμῖν πάντα ἐνταῦθα ἐπιρρεῖ τὰ καλά, ἐκ μὲν τῆς πατρίδος ἡ τῶν ὡρῶν κρᾶσις, ἐκ δὲ τοῦ βασιλέως ἡ τῶν ἀγαθῶν μῖξις· τὰ μὲν γὰρ πλουτοῦμεν, τὰ δὲ τιμώμεθα.

Ἐπανέλθοις οὖν ἡμῖν τάχιστα· καὶ ἀπολαύσεις οἷα δὴ κεκοπιακὼς καὶ πεφορτισμένος τῆς παρὰ τῷ βασιλεῖ ἀναπαύσεως· καὶ
50 ἴδοιμί σε ἀπὸ τῆς παραλίου ἠπείρου πρὸς τὴν οὐρανόπολιν ταύτην στειλάμενον, καὶ ἐκ πρύμνης πρὸς ἡμᾶς ἄνωθεν κυβερνώμενον.

408. ⟨Κριτῇ τινι (?)⟩

K-D 160 [L]

Σὺ μὲν ἴσως ἡμῶν ἀπεδήμησας, ἡμεῖς δέ σοι καὶ συναπεδημήσαμεν καὶ σύνεσμεν. Πλὴν καὶ φιλόσοφος ὢν καὶ παρὰ τοὺς πολλοὺς ζῶν, οὐ τῇ συνουσίᾳ τῶν ψυχῶν ἥδομαι μᾶλλον, ἢ τῇ διαστάσει τῶν σωμάτων ἀλγῶ, καὶ φέρειν οὐ φέρω.
5 Πλάτωνες δὲ καὶ Ἀριστοτέλεις ἐρρέτωσαν, ἄλλως οἰόμενοι· ἐγὼ γὰρ ἄνθρωπός εἰμι, ψυχὴ συνδεδεμένη τῷ σώματι· διὰ τοῦτο τοῖς νοήμασι χαίρω καὶ ταῖς αἰσθήσεσιν. Εἰ δέ τις ἄνω τοῦ σώματος τὴν ἑαυτοῦ ψυχὴν ἔστησεν, εὐδαίμων οὗτός ἐστι καὶ μακάριος· ἐγὼ δέ, εἰ καὶ ἐξ ἡμισείας τῷ σώματι ζῶ, ἀγαπῴην ἄν.
10 Ἀλλὰ πότε σε ὄψομαι τὴν φιλτάτην ἐμοὶ καὶ ἡδίστην ὄψιν; Φημὶ δὲ τοῦτο, οὐχ ὅτι σε μᾶλλον τῶν ἄλλων ποθῶ, ἀλλ’ ὅτι σοι καὶ ἡ φύσις τοιαύτην ἐσχημάτισεν τὴν μορφήν. Πότε σου ἀκούσο-

51 ἐκ – κυβερνώμενον: iunctura Procliana (cf. In Crat. 71,21–22 et 88,50–51 et In Alc. I 140,8–9); cf. etiam Psel. Βίος καὶ πολιτεία … Αὐξεντίου … = Or. hag. 1a,355–356, Λόγος εἰς τὰ θαύματα τοῦ ἀρχιστρατήγου Μιχαήλ = Or. hag. 5,35, et Λόγος προσφωνηματικὸς πρὸς … Μιχαὴλ τὸν Δούκαν = Or. pan. 13,50 ‖ **5–7** ἐγὼ – αἰσθήσεσιν: cf. Synes. Cyren. Δίων 8,1 ἐπίσταμαι γὰρ ἄνθρωπος ὤν, καὶ οὔτε θεός, ἵνα δὴ καὶ ἀκλινὴς εἴην πρὸς ἅπασαν ἡδονήν, οὔτε θηρίον, ἵνα τὰς σώματος ἡδοίμην ἡδονάς et Π 111,28–30 ἐγὼ γὰρ ἄνθρωπος εἶναι ὁμολογῶ … ψυχὴ λογικὴ χρωμένη σώματι

ep. 408 L 87v–88v, m3 317v–318v; tit. scripsi: om. L ἐπιστολή m3 ⟨φίλῳ τινί?⟩ K-D ‖ **4** ἢ m3: ἀλλὰ L K-D ‖ **5** ἄλλως m3: ἀλλ’ ὅμως L ἀλλοίως corr. K-D **7** ἄνω m3 corr. K-D: ἄνων (= ἀνθρώπων) L ‖ **8** ἑαυτοῦ m3: om. L K-D ‖ **11** ποθῶ m3: φιλῶ L K-D

μαι ῥητορεύοντος, καὶ τὴν Ἰταλῶν σοφίαν ταῖς περὶ τῶν λόγων τέχναις αὐξάνοντος; Πότε συμφιλοσοφήσεις ἡμῖν, ἐξ αὐτομάτου πηγῆς τοὺς ἐπιστημονικοὺς ἀναβλύζων τῶν λόγων καὶ ψυχαγω- 15 γῶν τὰ τῶν Μουσῶν νάματα; Ἐπεὶ δὲ διττὸς παρὰ τοῖς λογίοις πέφυκεν ὁ Ἑρμῆς, τέως μὲν ὁ κερδῷος ἐχέτω σε, εἶτα δὴ ὁ τῶν Μουσῶν ἡγεμὼν μετὰ τοῦ χρυσοῦ ῥεύματος τῶν λόγων ἡμῖν ἀποδώσει σε.

Ταῦτα μὲν οὕτως ἔχοι τε καὶ ἐχέτω. Τῷ δὲ δοθέντι σοι παρ' 20 ἡμῶν συγγενεῖ, ἐπιχέοιτο μὲν καὶ τὰ παρὰ τῆς σῆς γλώττης μουσικὰ ῥεύματα (δεῖ γὰρ αὐτῷ καὶ τούτων), ἐπιχέοιτο δὲ καὶ τὰ παρὰ τῶν ἀγρῶν χρυσᾶ νάματα, εἴ τίς ἐστιν αὐτόθι τοιοῦτος ἀγρός, ὁποῖος ὁ παρὰ τοῖς Αἰγυπτίοις πάλαι, τὰ σμαράγδινα καινοτομῶν μέταλλα· δυεῖν γὰρ ἕνεκα τῶν καλλίστων, τοῦτόν σοι 25 συνεκπεπόμφαμεν: τοῦ τε τὴν ψυχὴν κάτοχον ταῖς Μούσαις γενέσθαι, καὶ τὴν χεῖρα πλήρη χρυσοῦ.

Τὰ μὲν οὖν τῶν Μουσῶν αὐτῷ εὖ προὐχώρησε· δηλοῖ δὲ τοῖς γράμμασιν ὑπεραττικίζων καὶ γλώττῃ περιτράνῳ τὰ καθ' ἑαυτὸν ἡμῖν ἀπαγγέλλων. Τὰ δὲ περὶ τὴν χεῖρα οὔ φασιν οἱ περὶ τὴν 30 οἰκίαν ἐκείνου εὐδαιμονεῖν, οἷς οὐ γλώττης δεῖ μᾶλλον ἢ χειρός. Ἐγὼ μὲν οὖν καὶ ἐνδεῶς γλώττης ἔχοντα ἐπανορθώσαιμι ἴσως καὶ ἀναπληρώσαιμι· σὺ δὲ αὐτῷ ἐκ θατέρου μέρους ἀντιπεριίστασο, ἀφ' οὗ μᾶλλον εὐδαιμονέστερον ἐκεῖνον δείξεις, καὶ ἐπεραστότερον τοῖς προσήκουσιν. Ἐπεὶ δὲ ἀρχῶν ταῦτα δεῖται, ἔστωσαν αὐτῷ καὶ 35 αἱ τοιαῦται τῶν ὑποθέσεων. Τίνα δὲ ταῦτά ἐστι; τὸ προσιέναι σοι ὅτε καὶ δεῖ, τὸ συνεστιᾶσθαι, τὸ λέγοντος ἀκροᾶσθαι, τἆλλα δι' ὧν αἰδέσιμος δόξει τοῖς πολλοῖς, καὶ διὰ ταῦτα πρὸς τὸ λαμβάνειν

16 τὰ – νάματα: cf. Him. Εἰς νεήλυδας = Or. 54,17–18 πρὸς Μουσῶν λειμῶνας καὶ νάματα ‖ **16–18** διττὸς – ἡγεμὼν: cf. Psel. Περὶ τοῦ διὰ τί εἰσιν οἱ ἄγγελοι πτερωτοὶ ... = Theol. II 38,54, et Π 22,34, Π 248,12–13 et Π 454,85 **24–25** ὁ – μέταλλα: cf. Aelian. Περὶ ζῴων ἰδιότητος 7,18 λέγουσι δὲ οἱ Αἰγύπτιοι περὶ τὴν καλουμένην Κοπτὸν δύο μόνους ὁρᾶσθαι κόρακας. ἀλλὰ καὶ τῶν Ῥωμαίων οἱ τὴν ὄρειον παραφυλάττοντες διὰ τὸ τῆς σμαράγδου μέταλλον διισχυρίζονται καὶ οἵδε τοσούτους ὄρνιθας τοῦ γένους τοῦδε οἰκεῖν ἐκεῖθι cum Heliod. Αἰθιοπικά 2,32,3, 8,1,3, 9,6,5, et 9,262 τὰ σμαράγδεια μέταλλα

13 τῶν λόγων L K-D: τὸν λόγον m³ ‖ **14** αὐξάνοντος L K-D: αὐξάνοντα m³ **16** νάματα m³: νοήματα L K-D ‖ **19** σε corr. K-D: σοι L m³ ‖ **28** αὐτῷ m³: om. L K-D ‖ **37** καὶ δεῖ m³: δεῖ καὶ L K-D

εὐεπιχειρητότερος· ποῦ γάρ σοι παρὰ τοὺς πολλοὺς ἡμεῖς δόξομεν,
40 εἰ μὴ τοιούτων ἀξιούμεθα περὶ τοὺς ἡμῖν προσήκοντας; Ἔδει δέ, μὴ ἀξιούντων ἡμῶν, οὕτως εἶναι, ἀλλὰ προλαμβάνειν ταῖς πράξεσι τὴν ἀξίωσιν. Ἐπεὶ δὲ οὐ τοιοῦτόν σε εὐτυχήσαμεν, ὁ δεύτερος πλοῦς αἱρετώτερος, οὐ τοῦ πρώτου (πῶς γάρ;), ἀλλὰ τοῦ μετὰ τοῦτον.

409. ⟨Κριτῇ τινι (?)⟩

K-D 161 [L]

Οὗτος ἠτήσατό με πρὸ πολλοῦ γραφὴν οἰκειώσεως πρὸς τὴν σὴν ἐνδοξότητα. Ἐγὼ δὲ εἰδώς, ὅτι φορτικὸν λογίσεται τοῦτο ἡ ἐνδοξότης σου, ἀνεβαλόμην εὐθὺς ποιῆσαι τῷ αἰτήσαντι τὸ αἰτούμενον. Ἐπεὶ δὲ εἶδον αὐτὸν γραφὴν βασιλικὴν (οὐκ οἶδ'
5 ὅπως) πρὸς σὲ πορισάμενον, ἠδέσθην εἰ, τοῦ βασιλέως περὶ αὐτοῦ γράψαι προθυμηθέντος, αὐτὸς μετὰ τῶν ἀναβαλλομένων γενήσομαι, καὶ φανήσομαι τοῦ βασιλέως ὑπερφανέστερος.

Ἡ μὲν οὖν αἰτία δι' ἣν αὐτῷ ἐπέδωκα τὴν γραφήν, αὕτη. Ἀξιῶ δέ, ὥστε βουληθέντα σε τὴν βασιλικὴν τιμῆσαι γραφήν,
10 μηδὲ ταύτην ἀτιμάσαι, ἀλλὰ δι' ἐκείνην ἐν αἰδοῦς λόγῳ καὶ ταύτην λογίσασθαι· δύο γάρ σοι δοξῶν δοθεισῶν, μείζονος καὶ ἐλάττονος, τῇ μείζονι πάντως τιμήσεις καὶ τὴν ἐλάττονα. Καὶ ὅπερ ἂν ἐποίησας τῆς μιᾶς ἐκείνης τῆς πρώτης προσενεχθείσης σοι, τοῦτο πάντως ποιήσεις καὶ ταύτης προσεπιδοθείσης σοι. Καὶ
15 τιμηθήσομαι κἀγὼ τῷ τοῦ μείζονος ἀξιώματι, φανήσῃ δὲ καὶ αὐτὸς δύο πληρῶν ἀξιώσεις, ὁ μηδὲν ἧττον καὶ τὴν ἑτέραν πληροῦν καταναγκασθεὶς τὸ αἰτούμενον.

42–43 ὁ – πλοῦς: proverbium; CPG I 359 (nr. 21) et II 24 (nr. 45); cf. Π 448a,19 et Π 540,11–12

40 περὶ L K-D: παρὰ m³ ‖ **42** σε εὐτυχήσαμεν L K-D: εὐτυχήσαμέν σε m³ **44** μετὰ L K-D: παρὰ m³ ‖ **ep. 409** L 90r; tit. scripsi: ⟨κριτῇ τινι⟩ K-D **17** πληροῦν corr. K-D: πληρῶν L

410. ⟨Κριτῇ τινι (?)⟩

K-D 162 [L]

Ὁ πτωχὸς οὗτος γνωρίζεται μὲν παρ' ἐμοῦ, δεῖται δὲ (οἷα εἰκὸς) τῆς σῆς ἀντιλήψεως· εἰ γὰρ καὶ μὴ πρός τινας διαφέρεται, μηδέ τινας ἀδικήματος γράφεται, ἀλλὰ μηδὲ φεύγει βλάβης ἤ τινων ἀδικημάτων, ἀλλὰ δι' αὐτὸ τοῦτο τὸ εἶναι σὸν ἐπαρχεώτην βούλεται τὴν σὴν ἔχειν εὐμένειαν καὶ ἀντίληψιν. 5

Δίδου οὖν ταύτην, τὸ μὲν δι' ἡμᾶς, τὸ δὲ καὶ διὰ τὴν σὴν ἐπιεικεστάτην φύσιν, τὸ δὲ καὶ διὰ τὸ ἐλαφρότατον τῆς αἰτήσεως. Εἰ δ' ἴσως ποτὲ καὶ ἐπὶ τοῦ σοῦ δικαστηρίου στήσεται φεύγων ἢ διώκων, μηδὲ τότε ἀναβάλλῃ ἀπομνημονεῦσαι πρὸς αὐτόν, περὶ ὧν ἐγὼ ἠξίωσα. Ἀλλ' οἶμαι μὴ δικάσασθαί ποτε τὸν ἄνδρα. Σὺ 10 γοῦν τὴν χάριν αὐτῷ ἀπόδος, τῶν ἐπηρειῶν ἐξαιρούμενος.

411. ⟨Κριτῇ τινι (?)⟩

K-D 163 [L]

Ὁ πτωχὸς οὗτος καὶ ἐμὸς καὶ ἠδικημένος, σὺ δὲ καὶ δίκαιος καὶ δικαστής.

Τί οὖν τὸ λεῖπον; ἵνα δικαιώσῃς τὸν ἄνθρωπον.

412. ⟨Ἡγουμένῳ τινι⟩

K-D 164 [L]

Ὁ μοναχὸς οὗτος προσῆλθέ μοι, τὸ μὲν δικαιολογούμενος, τὸ δὲ καὶ παρακαλῶν ἵνα δεχθῇ εἰς τὴν καθ' ὑμᾶς μονήν, ὡς ὁ κύριος αὐτοῦ διετυπώσατο· ἐπεὶ γὰρ ὑμεῖς τὴν ἔγγραφον ἐκείνου βούλησιν ἐπισφραγίζοντες, βεβαίαν ἡγεῖσθε καὶ ἀληθῆ, διατί οὐ βούλεσθε κατὰ τὰ ἐκεῖσε γεγραμμένα ποιεῖν; 5

Ἃ μὲν οὖν δικαιολογεῖται, ἔστι ταῦτα· ἃ δὲ παρακαλεῖ δι' ἐμοῦ ἀξιοῦντος, ὅτι μὴ ἔχων τινὰ τὸν ἀντιλαμβανόμενον αὐτοῦ, ἐπὶ τὰς ὑμετέρας καταπέφευγε χεῖρας. Καὶ εἰ μὴ ὁ ὑμέτερος λιμὴν τοῦτον ὑποδέξεται ναυαγοῦντα, τίς ὑπολάβοι τὸν περὶ ψυχῆς

ep. 410 L 91v; tit. scripsi: ⟨κριτῇ τινι⟩ K-D ‖ **ep. 411** L 91v; tit. scripsi: ⟨κριτῇ τινι⟩ K-D ‖ **ep. 412** L 91v; tit. K-D

10 θάνατον κινδυνεύοντα; Μὴ οὖν ὅτι δοῦλος ἦν ποτε μυσαχθῆτε τὸν δεόμενον· ἀλλ’ ὅτι τὴν αὐτὴν τοῖς βασιλεύουσιν ἔχει ψυχήν, καὶ προσδέξασθε, καὶ περιθάλψατε· κείσεται γὰρ ὑμῖν περὶ τούτου μέγας μισθὸς παρὰ τοῦ μισθαποδότου θεοῦ.

413. ⟨Κριτῇ τινι (?)⟩

K-D 244 [L, Taf[1]], Taf[1] 62 [P], PG[2] 62 [Taf[1]]

Ἀξιῶ, λογιώτατε, μήτε ἐμὲ προσδέξασθαι περὶ τῶν τοὺς παρόντας ἀδικούντων ὥστε ἀδίκων τυχεῖν, μήτε ἑτέρους παρακινοῦντάς σε ὥστε μὴ τῶν δικαίων τούτους τεύξασθαι. Ὁρᾷς οἵα ἡ ἀξίωσις μετρία τε καὶ φιλόσοφος, καὶ σοὶ μάλιστα συμβαίνουσα, καὶ τὸ 5 πλέον δικαστική, καὶ ἐς τὸ τοῦ Ῥαδαμάνθυος ἦθος τὴν σὴν ψυχὴν ἐπανάγουσα; Ἀλλὰ σύ γε τοῦτο ποιῶν, οὐχ εἷς ἂν δόξαις τῶν ἐξ Ἀλκμήνης παίδων τῷ Διΐ, ἀλλὰ θεῖος ἀνὴρ καὶ ἀγχίσπορος ὄντως τοῦ μόνου θεοῦ.

414. ⟨Κριτῇ τινι (?)⟩

K-D 165 [L]

Ὁ παρὼν οὗτος συγγενής ἐστιν ἐμός· ἀγαπᾶται δὲ παρ’ ἡμῶν οὐ τοσοῦτον διὰ τὴν συγγένειαν, ὅσον διὰ τὴν τῶν τρόπων καλοκἀγαθίαν.

13 μέγας – θεοῦ: cf. Mt. 20,8 ἀπόδος αὐτοῖς τὸν μισθὸν, et Π 102,16–17, Π 226,10, et Π 301,9–10 ‖ **5–7** τὸ – Διΐ: cf. Hom. Il. 322–324 ἣ τέκε μοι … Ῥαδάμανθυν· / … οὐδ’ Ἀλκμήνης ἐνὶ Θήβῃ, / ἥ ῥ’ Ἡρακλῆα κρατερόφρονα γείνατο παῖδα cum Plat. Γοργίας 523e7–8 ἐποιησάμην δικαστὰς ὑεῖς ἐμαυτοῦ, δύο μὲν ἐκ τῆς Ἀσίας, Μίνω τε καὶ Ῥαδάμανθυν. cf. Psel. Εἴς τινα κάπηλον γενόμενον νομικόν = Or. min. 14,91–92 et Π 193,5, Π 319,7, et Π 453,23–24 ‖ **7–8** ἀγχίσπορος – θεοῦ: iunctura neoplatonica; cf. Plat. Πολιτεία 391e7 οἱ θεῶν ἀγχίσποροι (= Aesch. frg. 162) cum e.g. Synes. Cyren. Δίων 10,6 et Psel. Εἰς τὸ ‘πέρας τοῦ μυστηρίου …’ = Theol. I 93,66–67 et Ἀλληγορία εἰς τὸν Τάνταλον = Phil. min. I 43,43–45

ep. 413 L 92r, P 256r–v; tit. scripsi: ⟨κριτῇ τινι⟩ K-D ‖ **2** παρεκινοῦντας Taf **3** τεύξασθαι L K-D: τεύξεσθαι P Taf ‖ **6** δόξαις corr. Diam 304 ‖ **ep. 414** L 92r; tit. scripsi: ⟨κριτῇ τινι⟩ K-D

Ἀξιοῦμεν οὖν σε περὶ αὐτοῦ, ἵνα δι' ἡμᾶς ἐλεῇς τὸν τοιοῦτον, καὶ ὡς οἰκεῖον ἔχῃς, καὶ συνεργῇς αὐτῷ εἰς τὴν εἴσπραξιν τῶν 5 δημοσίων τελῶν· δεῖ γὰρ τοὺς ἀληθεῖς φίλους, καὶ ψυχικῇ διαθέσει συγκοινωνήσαντας τῶν αὐτῶν ἐπιτηδευμάτων, καὶ βίου αἵρεσιν τὴν αὐτὴν ἠγαπηκότας τοὺς αὐτοὺς ἡγεῖσθαι καὶ φίλους καὶ συγγενεῖς, καὶ ὁμοδοξεῖν περὶ τὰς τῶν φίλων ὠφελείας καὶ τὰς συγγενικὰς ἀναγκαιότητας. 10

Εἴ τις οὖν σοι φροντὶς τῶν τοιούτων φιλικῶν καθηκόντων, τοῦ ἐμοῦ συγγενοῦς ἀντιποιοῦ ὡς σοῦ· καὶ τοῖς σοῖς συγκαταριθμήσας, μὴ ὡς ἀλλοτρίου, ἀλλ' ὡς οἰκειοτάτου ἐπιμελοῦ.

415. ⟨Ἡγουμένῳ τινι (?)⟩

S 196 [P]

Τὴν τοῦ μοναχοῦ τελευτὴν παρὰ τῆς σῆς ἀναμαθόντες γραφῆς, τιμιώτατε, καὶ ἠλγήσαμεν οἷα εἰκός, φιλτάτου ἡμῖν ἀνδρὸς ἐντεῦθεν ἀποδημήσαντος, καὶ εὐφράνθημεν αὖθις, ὅτι τὴν στενὴν ὁδεύσας ὁδόν, εἰς τὴν πλατεῖαν κατήντησε καὶ εὐρύχωρον, καὶ ταῦτα σχεδιάσας τὸν ἀσκητικὸν βίον, καὶ πόνον μὲν βραχὺν 5 καταβαλόμενος, ἀπειροπλάσιον δὲ μισθὸν κομισάμενος· ὃ δὴ φιλανθρωπίας ἔργον προδήλως θεοῦ τοῖς περὶ τὴν ἑνδεκάτην ὥραν πονήσασι τοῖς διημερεύσασι περὶ τὴν νοητὴν ἀμπελουργίαν τὸν αὐτὸν διδόντος τοῦ καμάτου μισθόν.

Ἀλλ' ἐκεῖνος μὲν τοσοῦτον πονήσας τοιούτων τετύχηκεν 10 ἀγαθῶν. Ἡμεῖς δὲ κατὰ τὴν δεσποτικὴν ἐντολήν περὶ ἧς ἔγραψας

3–4 τὴν – εὐρύχωρον: Mt. 7,13–14 εἰσέλθατε διὰ τῆς στενῆς πύλης· ὅτι πλατεῖα ἡ πύλη καὶ εὐρύχωρος ἡ ὁδὸς ἡ ἀπάγουσα εἰς τὴν ἀπώλειαν ... στενὴ ἡ πύλη καὶ τεθλιμμένη ἡ ὁδὸς ἡ ἀπάγουσα εἰς τὴν ζωήν et Luc. 13,24 διὰ τῆς στενῆς θύρας, cf. Psel. Ἑρμηνεία τοῦ Ἄισματος … πρὸς τὸν … Μονομάχον = Poem 2,104–107, Βίος καὶ πολιτεία … Αὐξεντίου … = Or. hag. 1c,635–640, Πρὸς τὸν πατριάρχην κῦρ Μιχαὴλ περὶ τοῦ ὅπως ποιητέον χρυσόν 40,7–8, et Π 100,19–20, Π 101,21, et Π 186,16–18; cf. etiam Π 549,12 ‖ **7–9** τοῖς – μισθόν: cf. Mt. 20,1–16; cf. Psel. Πρὸς τοὺς μαθητὰς ἀπολειφθέντας τῆς ἑρμηνείας τοῦ Περὶ ἑρμηνείας = Or. min. 23,33–45 et Π 198,7–9

ep. 415 L 92r–v, P 237v tit. scripsi ‖ **1** ἀναμαθόντες L: ἀναδιδαχθέντες P S **7** προδήλως P S: om. L ‖ **10** πονήσας P S: πονέσας L ‖ **11** δεσποτικὴν L: πατρικὴν P S

ὑποθέσεως τῷ ἀνθρώπῳ διειλέχθημεν· μᾶλλον δὲ πλεῖστα τοῦτον παρεκαλέσαμεν, ἵνα τὸν δυνατὸν τρόπον τὰ ὑπὲρ ὑμῶν ἀγωνίσηται.

15 Ἔστω δὲ εἰδυῖα ἡ ἁγιότης σου, ὅτι λίαν ἐστὶ τὸ πρᾶγμα δυσχερές, καὶ διὰ ταῦτα τέως ἀνηρτήθη ἡ ὑπόθεσις.

416. ⟨Κριτῇ τινι (?)⟩

K-D 252 [L, Taf[1]], Taf[1] 70 [P], PG[2] 70 [Taf[1]]

Περὶ τοῦ παρόντος ἀνθρώπου καὶ ἐξιόντα σε τῆς πόλεως ἠξιώσαμεν, καὶ νῦν αὖθις ἀξιοῦμεν ἀντιλαμβάνεσθαι αὐτοῦ ἐν ταῖς εἰσπράξεσι, καὶ εὐμενῶς βλέπειν, καὶ ὡς οἰκείου ἀντέχεσθαι. Ἀκούσαντες δὲ μικρῷ πρόσθεν ὡς χαλεπῶς πρὸς αὐτὸν διετέθης, 5 οὐκ ἠνιάθημεν, ἀλλ' ᾠήθημεν ὡς ἐκόλασας πρὸς βραχὺ ἀδικοῦντα εὑρών.

Ἀλλὰ νῦν μεταβλήθητι πρὸς τὸ ἡμερώτερον, καὶ μὴ πάντα φαίνου τούτῳ πικρός· ἀποβλέπων γὰρ οὗτος πρὸς τὰς ἐξόδους ἃς κατεβάλετο, οὐ δύναται διὰ πάντων τῷ δικαίῳ στοιχεῖν, ἐπεὶ οὐδ' 10 ἂν ἐξισωθείη ταῖς ἀπὸ τοῦ δικαίου εἰσπράξεσι πρὸς τὴν τῶν συνηθειῶν ποσότητα. Ἀλλὰ σὺ μὴ πρὸς τοῦτο βλέπων συγχώρει ἀδικεῖν, ἀλλὰ τὰ πολλὰ παράβλεπε, ὥστε σε ὁρῶντα μὴ ὁρᾶν καὶ ἀκούοντα μὴ ἀκούειν· οὕτω γὰρ ἂν μόνως καὶ τὴν κατὰ τῶν δικαστῶν μέμψιν ἐκφύγῃς, καὶ τοῖς φορολογοῦσι μέτριος φανήσῃ 15 καὶ ἐπιεικής.

417. ⟨Κριτῇ τινι (?)⟩

K-D 249 [L, Taf[1]], Taf[1] 67 [P], PG[2] 67 [Taf[1]]

Ἐπέτεινέ μοι τὴν πρὸς σὲ φιλίαν ὁ ἄνθρωπος, περὶ οὗ σε ἠξίωσα, δηλώσας ἐν γραφαῖς αὐτοῦ ὅσων καὶ οἵων δι' ἐμὲ τοῦτον ἠξίωσας ἀγαθῶν, καὶ ὡς περιεφύλαξας καὶ περιέσωσας ἀπὸ τῶν ἐπηρεάζειν αὐτῷ βουλομένων. Ὑπὲρ ὧν καὶ εὐχαριστῶ, καὶ

ep. 416 L 92v, P 257r; tit. scripsi: ⟨κριτῇ τινι⟩ K-D ‖ **2–3** ταῖς εἰσπράξεσι P Taf K-D: ταῖς πράξεσι L ‖ **14** ἐκφύγοις corr. Diam 304 ‖ **ep. 417** L 92v–93r, P 256v–257r; tit. scripsi: ⟨κριτῇ τινι⟩ K-D ‖ **2** αὐτοῦ P Taf K-D: om. L **3** περιέσωσας P Taf K-D: ἔσωσας L

χάριτάς σοι ὁμολογῶ, καὶ πρὸς ἀντιδόσεις τῆς τοιαύτης διαθέσεως 5
εὐτρεπίζομαι. Μᾶλλον δὲ οὐχ ὑπὲρ τούτων μόνον, ἀλλὰ καὶ ὑπὲρ
ἑτέρων πολλῶν χρεώστης σοι καθέστηκα· καὶ πρὸς τὴν ἀπόδοσιν
τοῦ χρέους οὐκ ἀναβάλλομαι.

Πρόσθες οὖν ἐν τῇ πρὸς τὸν ἄνθρωπον διαθέσει σου, καὶ
μᾶλλον ἐπαύξησον τὴν εἰς αὐτόν σου εὔνοιαν, καὶ θερμότερον 10
ἀντιλαβοῦ τῶν κατ' αὐτὸν πραγμάτων. Καὶ οὕτω ποίησον ἵνα μὴ
μόνον ἐπιδημοῦντός σου αὐτόθι ἀλλὰ καὶ ἀποδημοῦντος εὖ ἔχῃ τὰ
κατ' αὐτόν.

418. ⟨Κριτῇ τινι (?)⟩

S 200 [P]

Ὁ παρὼν οὗτος ἄνθρωπος ἐγνώρισταί μοι οὐ μετὰ τὴν συμφορὰν
ἣν ἐξ ἀπροσεξίας πέπονθεν, ἀλλὰ πρὸ πολλοῦ χρόνου· πατρῷος
γάρ μοι φίλος ἐστί. Τοῦτον πρὸ μὲν τῆς συμφορᾶς ἠγάπων μόνον,
νῦν δὲ καὶ κατελεῶ, λογιζόμενος ὅτι, εὐγενέστατος καὶ πλούσιος
ὤν, πενέστερος σχεδὸν καὶ ἀδοξότερος τῶν κατ' αὐτὸν γέγονεν. 5

Ἀλλὰ σὺ ὁ γνωστικώτατος, καὶ τὸ τῆς τύχης μᾶλλον τῶν
ἄλλων εἰδὼς ἄστατον, γνησιώτατα διατίθεσο πρὸς αὐτόν, καὶ
οἰκειότερον ὁμίλει καὶ προσεχέστερον· εὑρήσεις γὰρ ἐν αὐτῷ
σπορὰν ἀγαθῆς διαθέσεως, εἰ καὶ τύχαις ἀλλοκότοις ἐχρήσατο.
Οὗτος τοίνυν, πάντων τῶν πατρῴων ἐστερημένος, ἀφ' ἑνὸς μόνου 10
τὰ ἀναγκαῖα προσπορίζεται· προάστειον γὰρ Ὁδηγοὶ καλούμε-
νον, γλίσχρως αὐτὸν διοικεῖ ὅσον ἀποζῆν. Ἀλλ' εἰ μὲν ἀγαθοῦ
τύχοι τοῦ δικαστοῦ, ἄρτον καὶ ὕδωρ ἐκεῖθεν κομίζεται· ἂν δὲ
ἀθετεῖν εἰδότος εὐγένειαν, οὗτός τε οὐδὲν ἐκεῖθεν πορίζεται, κἀκεῖ-
νος ἑτέρωθεν κομίζεται τὰς τροφάς· μιᾷ γὰρ ἐπηρείᾳ περιπεσών, 15
πρὸς τὴν δευτέραν οὐκ ἐξαρκεῖ. Ἀλλὰ σὺ ὁ λογιώτατος, ὥσπερ
μηδὲ ὂν αὐτόθι οἰόμενος, μὴ λογίζου τοῦτο ἐν ταῖς ἐπηρείαις· οὐ

11–12 προάστειον – καλούμενον: cf. Janin 1969,199–200 et 206–207

6 *μόνον* L K-D: om. P Taf ‖ **10** θερμότερον L P: θερμότερα Taf K-D
12 ἀποδημοῦντος L K-D: ἀποδημήσαντος P Taf ‖ **ep. 418** L 93r, P 238v; tit. scripsi ‖ **3** *μὲν* P S: om. L ‖ **15** ἑτέρωθεν L: ἐκεῖθεν P S | περιπεσών P S: περιπεσόν L ‖ **16** σὺ P S: om. L

γὰρ ὅπως οὐκ ἐξαρκεῖ πρὸς ἐπήρειαν, ἀλλ' οὐδὲ πρὸς τὴν περὶ ταύτης ἐνθύμησιν.

419. ⟨Κριτῇ τινι (?)⟩

S 201 [P]

Περὶ τοῦ παρόντος σε ἀξιῶ πτωχοῦ, περὶ οὗ πολλάκις ἑτέρους ἀξιώσας, μόλις που τετύχηκα τοῦ βουλήματος, καὶ ἠλευθέρωται ὁ ἄνθρωπος, ὧν μὴ ἐλευθερούμενος, ἐδυσχέραινε.

Θαυμάζεις οὖν πῶς ἀξιῶ; τυχὼν πάλαι τοῦ ἐπὶ τῇ ἀξιώσει 5 σκοποῦ, ἵνα μὴ ἀπὸ τοῦ βελτίονος πρὸς τὸ χεῖρον ἀνακάμψειε· τοιοῦτος γὰρ ὁ βίος (οὐκ οἶδα μὲν καὶ εἰ πρώην, ἀρτίως δὲ μάλιστα), στροφὰς ἀμυθήτους στρεφόμενος κατὰ τὰς Εὐρίπων μεταβολάς. Ἀκούσας δὲ ἴσως οὗτος καὶ τοῦ περὶ τὴν Ὕδραν μύθου, ἐπειδὴ πολλάκις αὐτὸ τὸ δεινὸν θηρίον φύει τεμνόμενον, 10 ζητεῖ σε τὸν ἐμὸν Ἡρακλέα· σὺ δ' ἀλλὰ μὴ τέμῃς, ἀλλὰ τετμημένον τὸ μέρος κατάφλεξον, ἵνα μὴ καὶ αὖθις ὁ τῆς ἐχίδνης ἀνθήσῃ βλαστός.

420. ⟨Κριτῇ τινι (?)⟩

S 195 [P], H-M 84–85 [P]

Ἐπ' ἀδήλοις τοῖς ἐπισυμβησομένοις αὐτῷ κακοῖς τῆς σῆς ὁ

7–8 κατὰ – μεταβολάς: proverbium; cf. CPG I 222 (nr. 39) et II 100 (nr. 76), Greg. Naz. Κατὰ Ἰουλιανοῦ στηλιτευτικὸς α´ = Or. 4,72; cf. Π 288,27–28 **8–11** τοῦ – κατάφλεξον: de Hydra, cf. e.g. Greg. Naz. Epist. 156,1 μέγας ἐν ἀνθρώποις ὁ Ἡρακλῆς, ... ἀλλ' οὐκ ἂν τοσοῦτος ἦν, εἰ μὴ τὸν Ἰόλαον εἶχε συναγωνιζόμενον, καὶ κατὰ τῆς Ὕδρας μάλιστα, τοῦ πικροῦ τούτου καὶ πολυκεφάλου θηρίου, ἧς ὃ μὲν ἐξέτεμνε τὰς κεφαλάς, ὃ δὲ ἐπέκαιεν, cf. Psel. Εἰς … Κωνσταντῖνον τὸν Ξιφιλῖνον, ἀξιώσαντα αὐτὸν μεταβαλεῖν τὸ … Ὄργανον ἀπὸ τοῦ ἀσαφοῦς ἐπὶ τὸ σαφές = Phil. min. I 5,49–71 et Π 216,43–49

ep. 419 L 93r–v, P 238v; tit. scripsi ‖ **4** θαυμάζεις P S: θαυμάσεις L ‖ **7** μάλιστα στροφὰς P S: στροφὰς μάλιστα L ‖ **9** δεινὸν P S: om. L | φύει τεμνόμενον P S: φύσει τεχναζόμενον L ‖ **11–12** ἀνθήσῃ βλαστός P S: βλαστήσει καρπός L
ep. 420 L 93v, P 237v; tit. scripsi

πτωχὸς οὗτος δέεται ἀντιλήψεως. Ὅθεν οὐδὲ περὶ ὡρισμένου πράγματος ἀξιῶ, ἵνα οὕτως αὐτῷ τὴν δίκην δικάσῃς, ἢ τὸν ἐπηρεάζοντα αὐτὸν ἀποσοβήσῃς, ἢ τὸν γείτονα παύσῃς κακῶς πρὸς αὐτὸν διακείμενον, ἀλλ᾽ ἐπικουρῇς καὶ ἀντιλαμβάνῃ, ὅταν 5 τισὶν ἀνιαροῖς οὗτος τύχῃ περιπεσών.

421. ⟨Κριτῇ τινι (?)⟩

K-D 166 [L]

Ἠδίκηται μὲν ὁ παρών, ὁπόσα αὐτὸς ἐπὶ τοῦ σοῦ δικαστηρίου συνείρων ἐρεῖ· ἐμοὶ γὰρ οὐ σχολὴ μακρηγορεῖν ὅσα οὗτος πέπονθε, καὶ νόμον ὑπερβαίνειν ἐπιστολῶν. Δικαιότατος δὲ σὺ προκάθησαι δικαστής, μήτε πρὸς δῶρα προτείνων τὴν δεξιάν, μήτε λαμβάνων ἐν κρίσει πρόσωπον. Διὰ ταῦτα ἀτυχήσας οὗτος ἐπὶ πλήθει 5 ἀδικιῶν εὐτύχησεν ἐφ᾽ ἑνί σοι ἀδεκάστῳ κριτῇ· ὁπόσα γὰρ οἱ ἀδικήσαντες κεχορηγήκασι κατ᾽ αὐτοῦ, δύνῃ σὺ ἀντίρροπα τούτῳ περιστῆσαι καλά.

Τί οὖν ἀξιῶ σε περὶ τοῦ ἀνδρός; ἵνα γένῃ τούτῳ εὐθύτατος δικαστής; Πολλοῦ γε καὶ δεῖ· πρὸς ὃ γὰρ παρεκάλεσέ σε ἡ 10 ἀξίωσις, τοῦτο καὶ παρὰ τοῦ τρόπου καὶ παρὰ τοῦ νόμου εἴληφας. Τί οὖν αὐτῷ συνοίσει τὸ ἐμὸν γράμμα; Ἄλλος μὲν ἴσως ἐρεῖ, ὡς οὐδέν, ἢ τὸ ἐλάχιστον· ἐγὼ δὲ οἶμαι τὰ μεγάλα καὶ κρείττονα ἅπερ ἐστὶν (εἰ μή μοι μέμφῃ) ἡ τῆς φιλίας ῥοπή. Αὕτη δὲ μέγα βάρος δικαιοτάτῃ πλάστιγγι. Μόνη μὲν γὰρ ἴσως ἂν πρὸς ἑαυτὴν 15 ἐκτείνειε τὴν τρυτάνην, συγκειμένη δὲ τῷ δικαίῳ ὅλαις ὁλκαῖς ἑαυτὴν ἡ ῥοπή· εἰ γὰρ ἴδοις δι᾽ αὐτὴν τὸν ἄνθρωπον εὐμενῶς, ἔθηξας αὐτῷ τὴν γλῶτταν καὶ ἀμφήκη πεποίηκας.

Ποίησον οὖν ὃ μὴ κωλύει νόμος, προστάττει δὲ φιλία· καὶ πρόσθες αὐτὸν ταῖς δυσὶ ῥοπαῖς τῆς τε φιλίας καὶ τῆς εὐθυδικίας. 20

18 τὴν – πεποίηκας: Aristoph. Νεφέλαι 1160 ἀμφήκει γλώττῃ λάμπων. cf. etiam Suda α 1694

4 αὐτὸν L: om. P S ‖ **5** πρὸς P S: περὶ L ‖ **ep. 421** L 93v–94r; tit. scripsi: ⟨κριτῇ τινι⟩ K-D ‖ **20** αὐτὸ prop. Dölger

422. ⟨Κριτῇ τινι (?)⟩

K-D 221 [L, P-K2], P-K2 8 [Y]

Σύ με πεποίηκας γράφειν πρὸς τὴν σὴν ἐνδοξότητα, περὶ ὧν ἄν τις ἀξιῶν με προσέρχηται, ὁ ὑποσχόμενος πᾶσάν μοι πληροῦν ἀδιστάκτως ἀξίωσιν.

Εἴ γε οὖν τῆς ὑποσχέσεως μέμνησαι, ἐν φροντίδι σοι ἔστω καὶ
5 ἡ παροῦσα αὕτη ἀξίωσις· ἧς τὸ κεφάλαιον, ὁ λογιώτατος μητροπολίτης Εὐχαΐτων, ὃς δὴ τὴν τοῦ Πύθωνος μονὴν εἰς ἕνα τῶν συγγενῶν αὐτοῦ ἐκλαβόμενος, δι' ἐμοῦ τὴν προσήκουσαν τοῖς λογίοις ἀπαιτεῖ σε αἰδῶ. Αἰδεσθήσῃ δέ, πλέον τι τούτῳ χαρισάμενος ἐν τῇ ἀναμετρήσει τῶν τοπίων τῆς μονῆς· ὡς δὲ τὸ μέρος
10 ἐκείνου φησίν, ὅτι καὶ δικαίῳ τινὶ ἡ πρὸς ἐκεῖνον εὐλάβειά σου ἀνύποπτος διαφυλαχθήσεται.

Τὸ δὲ δίκαιον, ὅτι μὴ οὕτως εἰλήφει τὴν μονὴν ὡς νῦν ἐστιν, ἀλλὰ καταδεεστέραν πολύ, τῇ τε ποιότητι τῆς γῆς, καὶ αὐτῇ δὴ τῇ ποσότητι. Ἐπηύξησε δὲ ὕστερον, προσθέμενος οὐκ ὀλίγους
15 τόπους, καὶ μετεποίησεν ἐργασίαις φιλοπονωτέραις. Εἰ γοῦν ἀναμετρηθήσεται τούτῳ καὶ ἡ περὶ τὴν μονὴν φιλοτιμία τε καὶ σπουδή, οὐδὲν ἴσως βλαβήσεται.

Ἀλλ' ἔγωγε ἐπίσταμαι, ὅτι πρὸς τὰ ὁρώμενα τὸ μέτρον ἐστί, καὶ οὐ πρὸς τὰ νοούμενα. Σὺ δὲ εἰ καὶ δι' ἡμᾶς καὶ δι' ἐκεῖνον καὶ
20 ἣν ἔχεις πρὸς τὸν λόγον συγγένειαν εὐγνωμονέστερον ἔλθοις καὶ δικαιότερον κατὰ τὸν ἀκριβῆ τοῦ δικαίου λόγον, μήτε ὑπερβάλλων μήτε ἐλλείπων πρὸς τὸ μέτρον τῆς γῆς, σαυτῷ χαρίσῃ πάντα τὰ κάλλιστα διὰ μιᾶς πράξεως. Παρ' ἐκείνου μὲν γὰρ αἱ διὰ γλώττης εὐφημίαι σοι πορισθήσονται, παρ' ἡμῖν δὲ αὗται τε καὶ

5–6 ὁ – Εὐχαΐτων: Ioannes Mauropous (Π XXXIX) ‖ **5–7** ὁ – ἐκλαβόμενος: cf. Karpozilos 1990,206

ep. 422 L 94r, Y 120r; tit. scripsi: om. L τοῦ αὐτοῦ (= τοῦ Ψελλοῦ) Y P-K2 [τοῦ αὐτοῦ] ⟨κριτῇ τινι?⟩ K-D ‖ **1** γράφειν L: γράψαι Y P-K2 K-D ‖ **3** ἀδιστάκτως L K-D: ἀδιαστίκτως Y P-K2 ‖ **6** τοῦ om. P-K2 ‖ **10** ἐκείνου Y P-K2 K-D: ἐκεῖνο L **11** διαφυλαχθήσεται L: διατηρηθήσεται Y P-K2 K-D ‖ **13** καταδεεστέραν πολὺ L: πολὺ καταδεεστέραν Y P-K2 K-D | τε L K-D: γε Y P-K2 K-D **15** μετεποίησεν – φιλοπονωτέραις Y P-K2 K-D: ἐποίησεν ἐργασίας φιλοπονωτέρας L ‖ **19** καὶ2 – ἡμᾶς L: δι' ἡμᾶς Y P-K2 K-D ‖ **20–21** εὐγνωμονέστερον ... δικαιότερον L: εὐγνωμονέστερος ... δικαιότερος Y P-K2 K-D ‖ **23–24** αἱ – γλώττης L: διὰ γλώττης Y P-K2 K-D

εἴ τι πλέον δυνάμεθα, παρὰ θεῷ δὲ ἀντίδοσις τῆς εἰς τὴν φιλίαν 25
καὶ τὸν λόγον αἰδοῦς.

423. ⟨Κριτῇ τινι (?)⟩

K-D 167 [L]

Μὴ θαυμάσῃς ὅτι καὶ πάλιν περὶ τοῦ παρόντος ἀξιῶ· οὐ γὰρ ἀγνοῶ, ὅτι ἅπαξ ἀξιώσας, τὸ πᾶν ἤνυσα. Ἀλλ᾽ οὗτος ἔγκειται, πρὸς τοῦτο παρορμῶν, καὶ (ἵνα τἀληθὲς εἴπω) οὐκ ἀξιοῦν με ἀξιοῖ, ἀλλ᾽ εὐχαριστεῖν ἐφ᾽ οἷς εὖ πέπονθε παρὰ σοῦ. Εἰ δὲ βραχείας τῆς σῆς προνοίας τυχὼν οὕτως εὐγνωμεῖ καὶ ἡμᾶς ἀξιοῖ τὴν ἴσην ἔχειν 5 διάθεσιν, τί οὐκ ἂν ποιήσῃ πολλαπλασίου εὐμοιρήσας αὐτῆς; Ἀλλὰ σὺ μὴ διὰ τοῦτο, ἀλλὰ δι᾽ ἡμᾶς τὸ πᾶν εἰς αὐτὸν ποίει, ἵν᾽ ἐκεῖνος μὲν ἡμῖν, ἡμεῖς δὲ σοὶ ἀπευχαριστῶμεν.

424. ⟨Κριτῇ τινι (?)⟩

K-D 168 [L]

Σὺ μὲν καλῶς ποιεῖν ὑπομιμνήσκων με περὶ σεαυτοῦ, καὶ ἀναμιμνήσκων ὧν ὑπεσχόμην σοι, ἐγὼ δὲ οὐδέν τι δέομαι ὑπομνήσεως, ἀφ᾽ ἑαυτοῦ παρεσκευασμένος ὢν πάντα ὑπὲρ σοῦ εἰπεῖν καὶ ποιῆσαι.

Τὸ γοῦν ἐπ᾽ ἐμὲ θάρρει, καὶ ἐλπίδας ἔχε χρηστάς· δίδου δὲ καὶ 5 σὺ ἀφορμὴν διὰ τῆς πράξεως, ἐμοὶ μὲν τοῦ εἰπεῖν, τῷ βασιλεῖ δὲ τοῦ εὐεργετῆσαι.

425. ⟨Κριτῇ τινι (?)⟩

K-D 169 [L]

Ἡ παροῦσα γυνὴ εὐγενής ἐστι καὶ ἐμοὶ κατὰ γένος προσήκουσα. Δι᾽ ἀμφότερα οὖν ἀξιῶ, ἵνα καὶ ὡς εὐγενεῖ προσέχῃς τῇ γυναικί, καὶ ὡς συγγενεῖ ἐμῇ· εἰ γὰρ οἱ ἀληθεῖς φίλοι τοὺς τῶν φίλων

25 παρὰ – δὲ L: παρὰ δὲ θεῷ Y P-K² K-D ‖ **ep. 423** L 94r–v; tit. scripsi: ⟨κριτῇ τινι⟩ K-D ‖ **ep. 424** L 94v; tit. scripsi: ⟨φίλῳ τινί⟩ K-D ‖ **ep. 425** L 94v; tit. scripsi: ⟨κριτῇ τινι⟩ K-D

φίλους ἀγαπᾶν νενομοθέτηνται, πόσῳ γε μᾶλλον τοὺς ἀφ’
5 αἵματος συγγενεῖς; Ἀγαπήσεις δὲ τὴν γυναῖκα εἰ καὶ τὰς δίκας
αὐτῇ διαλύσεις, ἃς κατ’ ἐνίων προβάλλεται, καὶ τῶν προσόντων
αὐτῇ κτημάτων ἀντιλήψῃ, καὶ ὅλως τὴν προσήκουσαν προσοίσεις
τιμήν.

Φορτικὰ μὲν οὖν οἶδα δικαστῇ ταῦτα, καὶ μάλιστα τὸ
10 ἀντιλαμβάνεσθαι ἀλλοτρίων πραγμάτων, ἀλλὰ φίλῳ ἀληθινῷ
φορητά· οἷος εἶ σὺ πρὸς ἡμᾶς, διά τε τὴν ἐπανθοῦσάν σοι ἀρετήν,
καὶ τὸ τῆς γνώμης εὐθὲς καὶ καλόηθες.

426. ⟨Μοναχῷ τινι⟩
ante a. 1054?

K-D 170 [L]

Τὸ γράμμα σου ἀπέλαβον· καὶ οὐχ ὡς ἔγραψας ἐπιλαθόμενος οὐκ
ἔγραφον πρὸς σέ, ἀλλὰ μὴ δεχόμενος γραφὰς παρὰ τῆς σῆς
τιμιότητος. Νῦν δὲ δεξάμενος, καὶ ἥσθην ὑπερφυῶς καὶ
ἀντέγραψα περιχαρῶς· ὁ γὰρ κατολιγωρῶν τοῦ οἰκείου πατρὸς
5 τῆς ἰδίας καταφρονεῖ ψυχῆς, καὶ ὁ μὴ θέλων ὁμιλεῖν ἁγίοις
πατράσι καὶ διὰ τῶν γραμμάτων τούτοις συνεῖναι ἐκεῖνος τὴν τῶν
πονηρῶν ἑταιρίαν προσάγεται.

Ἡμεῖς δὲ ἁμαρτωλοὶ μέν ἐσμεν, ἀνόητοι δὲ οὐδαμῶς, ὥστε
καὶ ἑαυτοὺς ἐμπαίζειν. Ἀλλὰ βουλόμεθα μὲν καὶ λίαν τῆς καθ’
10 ὑμᾶς τυχεῖν ἀμφιάσεως, φιλοκόσμοις δὲ ἀνακοπτόμενοι
λογισμοῖς, διὰ τῆς πρὸς ὑμᾶς συντυχίας τὴν ἔφεσιν ἡμῶν παρα-
μυθούμεθα. Πλὴν οὐχ οὕτως καθ’ ἡμῶν ὁ δαίμων ἰσχύσει ὥστε
καὶ μέχρι τέλους ἀτυχήσειν τῆς ἐπιθυμίας ἡμᾶς.

Ἀλλὰ τοῦτο μὲν πάντως καὶ ἐλπίζομεν καὶ τευξόμεθα. Σὺ δὲ
15 ἔγραψας μὲν περὶ πολλῶν ἰδεῖν πρὸς τὸν δεῖνα ἡμᾶς· ἐκείνου δὲ
φθάσαντος ἐντεῦθεν ἀποδημῆσαι, ἄπρακτα ἡμῖν ἅπερ ἔγραψας
γέγονε. Διὰ τοῦτο συγγίνωσκε ἡμῖν μηδέν τι εἰρηκόσιν ἢ
καταπράξασιν.

Ἃς δὲ ἀπέστειλας ὀπώρας ἡδέως δεξάμενοι, ἡδύτερον ἀπογευ-
20 όμεθα. Ἀνταπεστείλαμεν δέ σοι νομίσματα, εὐώνως τὰ πολυτί-
μητα πριάμενοι. Καὶ θαυμαστὸν οὐδέν· δεῖ γὰρ ὑμᾶς τοὺς ἁγίους

ep. 426 L 94v–95r; tit. K-D

πατέρας, ἐν μὲν ταῖς πρὸς θεὸν θεωρίαις τὸ πλέον ἔχειν, ἐν δὲ τοῖς πρὸς ἀνθρώπους συναλλάγμασι τὸ ἔλαττον.

427. 〈Κριτῇ τινι〉

K-D 171 [L]

Ὁ δεῖνα ἐλεεῖται παρ' ἡμῶν ἄνωθεν καὶ προσπαθεῖται, ἠδίκηται δὲ παρά τινος τῶν ὁμορούντων αὐτῷ, ἀνηλεῶς παρ' αὐτοῦ αἰκισθείς, καὶ πληγαῖς τὸ σῶμα καταξανθείς. Οὐκ αὐτὸς δὲ μόνος τὴν ἀδικίαν ταύτην ὑπέστη, ἀλλὰ καί τινες τῶν προσηκόντων αὐτῷ κατὰ γένος. Αἱ δὲ πληγαὶ τούτοις οὐ διὰ χειρῶν μόνον καὶ 5 λίθων προσεγένοντο, ἀλλὰ καὶ διὰ σιδήρων, καὶ περὶ τὰ καιριώτατα μέρη τοῦ σώματος. Ἐφ' οἷς καὶ ἔγγραφος μαρτυρία προέβη· καὶ τὰ ἴχνη δὲ τῶν τραυμάτων ἀντὶ μαρτύρων βοῶσι μεγαλοφωνότερον. Εἰ δὲ καὶ ἀπώλειαν χρυσίου καὶ πραγμάτων ὁ οὕτως πληγεὶς ἐπιβοᾶται, καινὸν οὐδέν· εἰκὸς γὰρ ἐν τοσούτῳ 10 θορύβῳ, καὶ ζημίας ὑποστῆναι τὸν καταξανθέντα, καὶ πραγμάτων ἀπώλειαν.

Ἀξιῶ οὖν ἐρευνῆσαι τὸ πρᾶγμα μετὰ ἀκριβείας, καὶ τοῖς ἐν τῷ ἐκμαρτυρίῳ προσσχόντα μάρτυσι, δικαιοτάτην κατὰ τοῦ ὑβρικότος τὴν ἀπόφασιν ἐπενεγκεῖν· δύο γὰρ τὰ παρακαλοῦντά σέ ἐστι 15 πρὸς τὴν τοιαύτην ὑπόθεσιν: ὁ ὑπὲρ τοῦ δικαίου ζῆλος καὶ ἡ πρὸς ἡμᾶς σου διάθεσις.

428. 〈Κριτῇ τινι〉

K-D 173 [L]

Ἤιδειν καὶ πρὸ τῆς τοῦ νοταρίου γραφῆς, ὅτι οὕτως πρὸς αὐτὸν διατεθήσῃ ὡς ἐγώ τε ἐβουλόμην κἀκεῖνος ηὔχετο· οὐ γὰρ ὁρωμένους μὲν ἀσπάζῃ τοὺς φίλους, ἐπειδὰν δὲ μὴ ἔχῃς ὁρᾶν τούτους μισεῖς, ἀλλ' ἐν παντὶ καιρῷ τὴν αὐτὴν πρὸς αὐτοὺς σῴζεις διάθεσιν· διὰ ταῦτά σε καὶ φίλον ἐποιησάμην, καὶ ὡς ἐμαυτὸν 5 ἠγάπησα.

ep. 427 L 95r; tit. K-D ‖ **ep. 428** L 95v; tit. K-D

Ὅπερ οὖν ἀκριβῶς ἠπιστάμην, ἐπεβεβαίωσέ μοι καὶ ὁ νοτάριος, εὐχαριστήσας μοι πάμπολλα διὰ τοῦ γράμματος ὅτι τοιούτου δι' ἐμοῦ δεσπότου ἠξίωται. Εὖ οὖν οἶδα, ὅτι διπλασιάσεις
10 αὐτῷ τὴν σὴν εὐμένειαν· ὁ γὰρ πρὶν ἢ ἐκεῖνον τὴν εὐγνωμοσύνην ἐπιδείξασθαι ὑπὲρ ὧν πέπονθε, τὰ πρὸς ὠφέλειαν αὐτοῦ φιλοτιμότατα συναγαγών, πῶς οὐχὶ μετὰ τὴν εὐγνωμοσύνην τῷ πρὸς αὐτὸν ἐλέει προσθήσειας, καὶ φιλοτιμότερος γενήσῃ ταῖς δωρεαῖς καὶ ταῖς ἀντιλήψεσιν; Ὃ γοῦν αὐτὸς ἀπὸ τῆς γνώμης ποιήσεις,
15 πρὸς τοῦτο σε καὶ αὐτὸς ἐνάγω διὰ τῆς ἀξιώσεως.

429. ⟨Κριτῇ τινι⟩

K-D 174 [L]

Εἰδὼς ἔσο, ὡς ὁ νοτάριος μυρία εὐχαριστεῖ ὑπὲρ ὧν πέπονθεν ἀγαθῶν παρὰ σοῦ. Ἀξιῶ οὖν ἵνα, κατὰ τὸ μέτρον τῆς εὐγνωμοσύνης αὐτοῦ, καὶ αὐτὸς ἐπιτείνῃς τὴν πρὸς αὐτόν σου εὐμένειαν.
5 Περιττὸν οὖν ἐστι τὸ ἀξιοῦν σε πολλάκις περὶ τούτου. Ἀλλ' ὥσπερ ἡ ἐμέ σου φιλία τὰς συνεχεῖς ἀξιώσεις οὐ προσίεται ἀρκουμένη τῇ μιᾷ, οὕτως ἡ πρὸς ἐκεῖνον ἐμὴ διάθεσις πείθει με ὁσημέραι (εἰ δυνατὸν) τὴν περιφάνειάν σου ἀξιοῦν. Διὰ ταῦτα παρακαλῶ, ἵνα μὴ ὡς νῦν πρῶτον εἰσποιηθέντα σοι λογίζῃ, ἀλλ' ὡς ἐξ
10 ἀρχῆς συνόντα σοι καὶ ἐν πᾶσι γενόμενον καταθύμιον στέργῃς· οὗτος γάρ, δουλεύειν οὐ μεμαθηκώς, ἀλλὰ νῦν πρῶτον τοῦτο ὑπομεμενηκώς, ἀφόρητον τὸ πρᾶγμα οἰήσεται, εἰ μὴ σὺ προσηνέστερόν τε βλέπεις καὶ ἡμερώτερον διαλέγῃ, μεμνημένος ὅτι παρὰ φίλου σοι ἀνδρὸς προσενήνεκται. Οὐκ ὀλίγον δὲ μέρος συμβαλεῖ-
15 ταί σοι πρὸς τοῦτο καὶ ἡ ἐκείνου γνώμη, ἐντρεχεστάτη τε οὖσα καὶ πρὸς τὰ πράγματα ἀμφιδέξιος.
Διὰ ταῦτά τε οὖν καὶ διὰ τὴν σὴν καλλίστην διάθεσιν, γνησιώτατα διατίθεσο πρὸς τὸν ἄνθρωπον. Οἶδα δὲ ὡς, εἰ μὴ ἠλλοίωται, οὐκ ἀφ' ὧν ἐπίσταται μόνον θεραπεύσει σε, ἀλλὰ καὶ ἀπὸ τῶν
20 ἐμφύτων καὶ ψυχικῶν διαθέσεων.

ep. 429 L 96r; tit. scripsi: ⟨τῷ αὐτῷ = κριτῇ τινι⟩ K-D

430. ⟨Κριτῇ τινι⟩

K-D 227 [L, P-K²], P-K² 14 [Y]

Πολλοὺς μὲν καὶ ἄλλους ᾠκειωσάμην τῶν ἀπὸ τοῦ σοῦ θέματος, μάλιστα δὲ τὸν κυρὸν Μωσέα, ἄνδρα μεμαρτυρημένον ἐπὶ πάσῃ ἀρετῇ. Διὰ τοῦτο οὖν καὶ τότε τὴν κατ' αὐτὸν μονὴν τὸν δυνατὸν τρόπον ὠφέλησα καὶ αὖθις δι' ὑμῶν τῶν φιλούντων με ὠφελῶ. Ὧν τὰ πρῶτα τυγχάνων σύ, ἀντ' ἐμοῦ γενοῦ τῇ τούτου μονῇ, τὰ μὲν 5 προστιθεὶς τῶν ἀγαθῶν, τὰ δ' ἀφελὼν τῶν κακῶν. Προσσχὼν δὲ τὸν νοῦν καὶ οἷς ἐπιφέρεται δικαιώμασι, κατὰ τὴν τούτων περίληψιν τὰ μὲν αὐτοῖς ἐπικύρωσον· εἰ δέ τις νέα προσθήκη ἀδικίας ἐγένετο, ταύτην ἀπόσβεσον. Καὶ ὅλως γενοῦ τοῖς ἀνδράσι σωτὴρ καὶ λιμήν, αἰτοῦσι δὲ οὐδὲν καινὸν οὐδ' ἔξω τῶν 10 νενομισμένων τοῦ δικαίου ὅρων, ἀλλ' ἅπερ τὰ ἔγγραφα τούτοις χαρίζονται. Οἷς δι' ἐμὲ τὴν σὴν ἀκοὴν χαρισάμενος, τὸν τῆς περιλήψεως τούτων ὅρον τῆς εἰς τὴν μονὴν ἀσφαλείας τῷ καθηγουμένῳ ποίησον.

431. ⟨Κριτῇ τινι⟩

K-D 175 [L]

Ὁ δεῖνα ἀρχὴν τῆς πρός με φιλίας τὸ ἐν γειτόνων μοι οἰκεῖν ἔλαχεν. Ἀφ' οὗ δὴ ὡρμημένος, καὶ τὸν τρόπον τῷ ἐμῷ ἤθει κατάλληλον δέδωκεν· ἔστι γὰρ φιλαλήθης ἄνθρωπος καὶ ἀπράγμων, πανουργίαν μὲν οὐδ' ἡντιναοῦν εἰδώς, ἁπλότητι δὲ γνώμης συζῶν. Διὰ ταῦτα καὶ ὑπερβαλλόντως τὸν ἄνδρα 5 ἠγάπησα, καὶ διαφερόντως ἐπῄνεσα, καὶ ἀφορμή τις αὐτῷ τοῦ βίου διηνεκῶς γίνομαι. Ἐπεὶ οὖν τοῦτο ἔγνωκας, ὀφείλεις τἆλλα προστιθέναι σύ. Ποῖα; τὸ εὐμενῶς ὁρᾶν, τὸ οἰκειοῦν σαυτῷ, τὸ πᾶσαν ἐπικουρίαν παρέχειν· εὐνούστατος μὲν γάρ ἐστιν εἰ καί τις ἄλλος δεσπότῃ, ὀξύτατος δὲ ὃ ἐμπιστευθήσεται ἐνεργεῖν. 10

Ἴδε οὖν καὶ τοῦτον εὐμενῶς δι' ἐμὲ καὶ πᾶσαν αὐτῷ χεῖρα συνεισένεγκε, ὥστε πρὶν ἢ τοῦτον ἐξελθεῖν τὰ ἐντεταλμένα ἀνυστε-

ep. 430 L 96v, Y 121v; tit. K-D ‖ **2** κυρὸν Μωσέα Y K-D: δεῖνα L κύριον Μωσέα P-K² ‖ **3** καὶ – μονὴν Y K-D P-K²: τὴν κατ' αὐτὸν μονὴν καὶ τότε L **6–14** προσσχὼν – ποίησον Y K-D P-K²: om. L ‖ **ep. 431** L 96v; tit. K-D

ρήτως διενεργῆσαι. Τὰ δ' ἄλλα ἐρρωμένος διαβιῴης, ὁ ἐμὸς τριπόθητος ἀδελφός.

432. ⟨Κριτῇ τινι⟩

K-D 176 [L]

Ἥσθην ὑπερφυῶς ἥσθην ὅτι με τὸ γράμμα τοῦτο ὁ παρὼν πρὸς σὲ ᾔτησεν· ἥσθην δέ, ὅτι σε οἶδα φιλοῦντά με, καὶ τὴν πρὸς μὲ φιλίαν δείξοντα ἐν οἷς οὗτος τυγχάνει ἀξιῶν. Διὰ ταῦτα καὶ θαρρούντως ἐπέδωκα, καὶ ταῖς ἐλπίσιν ἐπέρρωσα, εἰπεῖν δὲ καὶ
5 ἐπτέρωσα· ἐπιστωσάμεν γάρ, ὅτι σε ἡδέως ὁ δεῖνα ὄψεται, καὶ ἐπ' αὐτῆς τοῦ γράμματος ἀξιώσεως ὠφελείας αἰσθήσεται τινός.

Εἰ μὲν οὖν οὕτως ἴδῃς, καὶ οὕτω ποιήσῃς, ὡς ἐγὼ οἴομαι, μᾶλλον δὲ πέπεισμαι, καὶ τὸν ἄνδρα οὕτως οἴεσθαι πέπεικα, ἐμέ τε λαμπρότερον ἀποδείξεις ταῖς τῆς φιλίας διαγνώσεσι, καὶ
10 σαυτὸν ἔτι λαμπρυνεῖς τοιούτοις ὅροις τὴν φιλίαν ὁρίζοντα· εἰ δ' ἄλλως—ἀλλ' ἀπέστω τοῦ λόγου· ἐγὼ γὰρ ἐκ παντὸς τρόπου τὰ ἀμείνονα περὶ σοῦ οἴομαι.

433.
eodem tempore et ad eundem ut Π 500?

K-D 177 [L]

Ἤιδειν ὡς ἀλγήσεις πλεῖστα περὶ ἡμῶν· ᾔδειν ὡς θαμά σοι ἡ καρδία πηδήσει, καὶ δειλιάσεις περὶ τῆς δυσχεροῦς ἀκοῆς. Ἀλλὰ θάρρει. Πάλαι μὲν γὰρ τεταρταῖον, νῦν δὲ πολυήμερον νεκρὸν ἐζώωσεν ὁ θεός. Εἰ δὲ ἐκεῖνον μὲν παραυτίκα, ἡμᾶς δὲ καὶ κατὰ
5 βραχύ, ἆσθμα ἐπ' ἄσθματι προστιθείς, θαυμάζειν οὐ χρή· τὸ γὰρ μὴ πρὸ τετάρτης ἀλλὰ πάλαι τεθνάναι ἀφαιρεῖται τὸ ἀναστῆναι.

1–2 ἡ – πηδήσει: cf. e.g. Plat. Συμπόσιον 215e2 et Ἴων 535c8 ἡ καρδία πηδᾷ et Τίμαιος 70c1 τῇ ... πηδήσει τῆς καρδίας. cf. Psel. Χρονογραφία VII,26 et Π 219,6 ‖ **3** Πάλαι – τεταρταῖον: Ioann. 11,39 λέγει ὁ Ἰησοῦς, Ἄρατε τὸν λίθον. Λέγει αὐτῷ ἡ ἀδελφὴ τοῦ τετελευτηκότος Μάρθα, Κύριε, ἤδη ὄζει, τεταρταῖος γάρ ἐστιν

ep. 432 L 96v–97r; tit. K-D ‖ **6** αἰσθήσεται corr. Dölger: αἰσθήσῃ L K-D
ep. 433 L 97v; tit.: ⟨φίλῳ τινί⟩ K-D

Οὕτω καὶ τῶν προφητικῶν λόγων ἀκούω: ὀστῶν σωρεία, εἶτα συνάθροισις, εἶτα ἁρμονία, εἶτα ἔμπνευσις, εἶτα καὶ αὖθις ἀνάστασις.

Τοιαῦτα καὶ τὰ παρ' ἡμῖν συνῆλθον ὥσπερ ἀπὸ συνθήματος: 10 ἄλγημα τῇ καρδίᾳ, πόνος τῇ κεφαλῇ, πνεῦμα δυσανάφορον, νύγμα τῇ πλευρᾷ, τἆλλα, καὶ πυρετός. Ἀλλ' ἀπῆλθεν τὸ ἄλγημα· ἀλλ' ἀπηλλάγη τοῦ βάρους ἡ κεφαλή· ἀλλ' ἐφ' ἑκατέρας ὑπνοῦμεν πλευρᾶς· ἐνδομυχεῖ μόνον τὸ περὶ τὴν φύσιν θερμόν. Οὐκ ἀπογνώσομαι, θαρρῶν τὴν παντελῆ ἀναβίωσιν. Τίς οἶδεν εἰ μὴ 15 σαρκῶν ἐστι τοῦτο τῆξις, ἀλλὰ παθῶν; Δαπανάτω με, βιβρωσκέτω με· οὐ τεθνήξομαι νῦν, ἀληθὴς ὁ ἐπαγγειλάμενος. Εὖ οἶδα ὅτι θεάσομαι καὶ αὖθις τὴν ἐμοὶ ποθουμένην Ὡραίαν Πηγήν· περιπτύξομαι τὸ θεῖον τοῦ νεὼ ἔδαφος· κυκλώσομαι πολλάκις τὸ μοναστήριον· ἀγχοῦ που τοῦ ἐμοῦ βιώσομαι τύμβου, καὶ δάκρυα 20 κενώσω τῶν ὀφθαλμῶν. Εἴπω καὶ τἆλλα; Ἀλλ' ἔχε ἐν ψυχῇ. Ποιήσω ἐπὶ τῇ μονῇ ὁπόσα καὶ βούλομαι· συνδειπνήσω σοι, κἂν βούλῃ κἂν μὴ βούλῃ, καὶ τότε τεθναίην.

434. ⟨Κριτῇ τινι (?)⟩

K-D 178 [L]

Τοῦτό ἐστι φιλίας καθαρωτάτης, τοῦτο συγγενείας ἀληθοῦς, τοῦτο σχέσεως εἰλικρινοῦς, ἐπιτελεῖς ποιῆσαι τὰς τῶν φίλων καὶ συγγενῶν ἀξιώσεις, καὶ ἐν μηδενὶ ἀθετεῖν. Ἐπεὶ εἰ μὴ ἐβούλου τὴν χάριν καταθέσθαι, οὐκ ἂν ἠπόρησας λόγων τε καὶ προφάσεων. Διὰ ταῦτά σοι καὶ ἀνθομολογοῦμαι τὰς χάριτας, καὶ πολλάκις 5 εὐχαριστῶ, καὶ τοιαῦτα εἰς ἡμᾶς ἐνδείκνυσθαι ἀπαιτῶ· συγγενὴς

7–9 τῶν – ἀνάστασις: Ez. 37,1–10 καὶ τοῦτο ἦν μεστὸν ὀστέων ἀνθρωπίνων ... καὶ προσήγαγε τὰ ὀστᾶ ἑκάτερον πρὸς τὴν ἁρμονίαν αὐτοῦ ... καὶ εἰσῆλθεν εἰς αὐτοὺς τὸ πνεῦμα, καὶ ἔζησαν καὶ ἔστησαν ἐπὶ τῶν ποδῶν αὐτῶν, συναγωγὴ πολλὴ σφόδρα ‖ **18** Ὡραίαν Πηγήν: monasterion in Olympo monte Bithyniae (Janin 1975,191); cf. Π 500,26–27 et etiam Psel. Ἐγκώμιον εἰς ... Νικόλαον μοναχὸν ... = Or. fun. I 10 et Gautier 1974b,19 n. 8; cf. etiam Π 196,2? ‖ **22–23** κἂν – βούλῃ[2]: cf. Synes. Cyren. Epist. 71,5–6 κἂν βούληται κἂν μὴ βούληται. cf. Psel. Κατηγορία τοῦ ἀρχιερέως = Or. for. 1,1806, Π 96,8, et Π 275,99

ep. 434 L 97v–98r; tit. scripsi: ⟨συγγενεῖ τινι⟩ K-D

γὰρ εἶ, καὶ συγγενῶν ὁ κάλλιστός τε καὶ χαριέστατος· καὶ δεῖ σε δι᾽ ἀμφότερα τὸν ⟨δεῖνα⟩ εἰ βούλει κἀμὲ τοιοῦτον τιμᾶν.

435. ⟨Κριτῇ τινι (?)⟩

K-D 179 [L]

Εἴ ποτε ἐπεθύμεις διὰ μιᾶς πράξεως, καὶ τῇ φιλίᾳ τὸ εἰκὸς ἀποδοῦναι, καὶ τῇ σῇ ψυχῇ σωτηρίαν περιποιήσασθαι, ὁ παρὼν καιρὸς τὴν ἀφορμὴν τῆς τοιαύτης σου ἐπιθυμίας ἤνεγκεν. Ἀφορμὴ δὲ αὐτὸς οὗτός ἐστιν ὁ τὴν ἐμὴν δούς σοι ἐπιστολήν. Ὅν δή σοι 5 συνιστῶσιν ἐγώ τε ὃν φιλεῖν πολλάκις αὐτὸς ὡμολόγησας καὶ ἡ ἐπισυμβᾶσα αὐτῷ τοῦ βίου ἀπροσδόκητος περιπέτεια.

Ἐπεὶ οὖν κατάλληλος πρὸς ἄμφω ἡ σὴ πέφυκε καλλίστη ψυχή, καὶ τυγχάνει ὁμοῦ θερμὴ μὲν τὰ εἰς φίλους, ὀξεῖα δὲ τὰ πρὸς ἔλεον, γενοῦ δὴ μοὶ ταῦτα ἅπερ πέφυκας, καὶ δίδου κἀμοὶ 10 καὶ τῷ παρόντι προσήκοντα χρέα· χρέος γὰρ τοῖς ἀγαθοῖς ἡ πρὸς τὸ ἀγαθὸν ῥοπή, ἅπαξ καθωμολογημένη θεῷ.

436.

K-D 266 [L, Cre], Cre 12 [H]

Καὶ ἐμεμψάμην σοι ὅτι ἐν περιόδοις ὡρῶν τὰς σὰς ἡμῖν κομίζεις ἐπιστολάς, καὶ τὴν πεμφθεῖσαν ἡδέως τε εἶδον καὶ ἀνέγνων αὐτὴν πολλάκις χαριέστερον· φιλόσοφος γὰρ ὢν ὡς ἐπίστασαι, οὐ τοῖς τῶν κελευόντων εἴωθα ἐπιτάγμασιν εἴκειν, οὔτε ταῖς τῶν φίλων 5 καταχαρίζεσθαι ἐντολαῖς, ἀλλὰ ταῖς τῶν πραγμάτων ἀκολουθεῖν φύσεσι, καὶ πρὸς ἐκεῖνα μεταρρυθμίζεσθαι. Ὅθεν δέον μέμψασθαι, ἐμεμψάμην, οὐδέν τι παρασυρεὶς ὑπὸ σοῦ· καὶ ἥσθην, ἐξὸν ἡδύνεσθαι· πέπεικά τε ἐμαυτὸν τῶν σῶν ἀντέχεσθαι ὡς ἐμῶν, οὐκ ἀπὸ τῆς σῆς ἀξιώσεως (φιλόσοφον δὲ καὶ τοῦτο), ἀλλ᾽ ἀπὸ τῆς τοῦ 10 πράγματος ἐνδυνάμου προστάξεως· μονονουχὶ γὰρ τῆς φιλίας ἀκούειν δοκῶ, οἷόν τινα φωνὴν ἀφιείσης καὶ πρὸς τοῦτό με

8 δεῖνα add. Dölger ‖ **ep. 435** L 98r; tit. K-D ‖ **ep. 436** L 98r–v, H 45r, r fasc. 20 (= H) ‖ **1** καὶ L r: εἰ καὶ K-D καὶ εἰ H Cre ‖ **6** μέμψασθαι L: μέμφεσθαι H Cre K-D ‖ **7** ἐμεμψάμην L Cre K-D: ἐμεψάμην H ‖ **10** ἐνδυναμένου Cre

ἐναγούσης. Ὅθεν οἴου ἐντεῦθεν, ἐρρωμενέστατά με τοῦ πράγματος ἅπτεσθαι, ἢ εἰ πολλάκις αὐτὸς ἠξίωσας.

Ἐπιμελήσομαι δὲ καὶ τοῦ υἱέος, διά τε τὸν αὐτοῦ πατέρα καὶ τὴν ἐκείνου φύσιν, ἕλκουσάν με πρὸς τὴν ἐπὶ τοῖς λόγοις ἀρδείαν, 15 οὐδὲν ἧττον, ἢ δένδρον ὀργῶν πρὸς τὸ θάλλειν τὸν γεωργόν· ἐντεῦθεν γὰρ καὶ τἄλλα αὐτῷ ἅπερ αἰτεῖς προσγενήσεται, ἐκείνου μὲν πρὸς ταῦτα πρωταγωνιστοῦντος, ἐμοῦ δὲ συναιρομένου.

437.

K-D 180 [L]

Τὸν παρόντα σοι μουσικὸν συνιστῶμεν· καὶ ἀξιοῦμεν ἀντέχεσθαι τούτου καὶ ἀντιλαμβάνεσθαι, καὶ παρὰ μηδενὸς ἐᾶν καταβλάπτεσθαι. Ἀλλὰ σὺ μουσικὸν ἀκούσας, μὴ τὰ Ξενοκράτους οἰηθῇς μεμνῆσθαι τὸν ἄνδρα, μηδὲ τὸν τῶν συμφώνων καὶ παραφώνων λόγον ἀπαιτήσῃς αὐτόν (φθέγξεται γὰρ οὐδὲ γρῦ)· 5 ταῖς χερσὶ γὰρ τὴν ἐπιστήμην, ἀλλ' οὐ τῇ γλώττῃ ἐργάζεται· καὶ τὴν συμφωνίαν δείκνυσιν, ἀλλ' οὐχ ὑφηγεῖται· τείνει τε γὰρ τὰς χορδὰς τεχνικώτατα, καὶ τὸ μουσικὸν μέλος ἐναρμόζει τῇ ἀκοῇ. Ἀλλὰ σύ, μὴ διὰ ταῦτα· ἀλλ' ὅτι καὶ καλὸς καὶ ἀγαθός ἐστιν ἄνθρωπος. Ἀξιοῦμεν δὲ καὶ ἡμεῖς χρηστὴν πρὸς αὐτὸν 10 ἐπιδείκνυσθαι τὴν διάθεσιν.

438. ⟨Κριτῇ τινι (?)⟩

K-D 181 [L]

Τοὺς μὲν λοιποὺς, πρὸς οὓς ὑπέρ τινων ἀξιῶ, καὶ τὴν αἰτίαν δι' ἣν τὴν ἀξίωσιν ποιοῦμαι, καὶ τὸ εἶδος ἀναδιδάσκω τῆς ἀξιώσεως, καὶ

3 τὰ Ξενοκράτους: cf. Diog. Laert. 4,15 ἔκτος (scil. Ξενοκράτης) ᾄσματα γεγραφώς, ὥς φησιν Ἀριστόξενος ‖ **5** οὐδὲ γρῦ: proverbium, cf. Suda γ 461 ... Ἀριστοφάνης Πλούτῳ· καὶ ταῦτ' ἀποκρινομένου τοπαράπαν οὐδὲ γρῦ, ο 779 οὐδὲ γρὺ λόγων ἁψάμενος ... Ἰουλιανός, τ 730 τὸ Δίωνος γρῦ. cf. Π 24,1, Π 144,45, et Π 281,1

12 ἐρρομενέστατά Cre ‖ **15** ἀρδείαν H Cre K-D: ἀνδρείαν L ‖ **ep. 437** L 98v **ep. 438** L 98v; tit. K-D

ὅπως ἂν ταύτην εὖ διάθοιντο ὑποτίθημι. Πρὸς σὲ δὲ τοῦτο μόνον δεῖ εἰπεῖν, ὅτι ἐν φροντίδι μοί ἐστιν ὁ παρών, δεῖται δὲ τῶν σῶν
5 δικαίων. Ὅπως δὲ τούτων αὐτὸν ἀξιώσεις, καὶ ἐμὲ οὐ καταισχυνεῖς, αὐτὸς ἂν εἰδείης.

Ἀρκεῖ ταῦτα πρὸς φίλον ἀληθῆ τε καὶ λόγιον. Τὰ δ᾽ ἐπὶ τούτοις ἔρρωσο καὶ ἡμῶν μέμνησο.

439. ⟨Κριτῇ τινι (?)⟩

K-D 182 [L]

Πρὶν ἢ τὴν ἀξίωσιν ποιήσασθαι, ὑπὲρ οὗ προῄρημαι ἀξιοῦν, τοσοῦτον δεῖ προειπεῖν, ὅτι οὐ τοσοῦτον τῆς σῆς ἐπιλέλησμαι γνώμης καὶ φύσεως, ὥστε ὑποτίθεσθαί σοι τί δεῖ ποιεῖν περὶ τὰς τῶν ὑπολελειμμένων ὀρφανῶν οἰκίας. Ἀλλ᾽ οἱ προσήκοντες ἐκείνῳ
5 πρὸς τοῦτό με κατηνάγκασαν, ὥστε ⟨μοι⟩ συγγνώμη πρὸς τὴν τοιαύτην ὑπόθεσιν ἐκβιασθέντι· οἶδα γάρ, ὅτι τελευτήσαντος τοῦ δεῖνος, ἔρημος τοῦ προστατεύοντος ἡ οἰκία αὐτοῦ καταλέλειπται· ἀποδημεῖ δὲ καὶ ὁ ἐκείνου παῖς.

Ἵν᾽ οὖν μὴ ἀμφοῖν ἀποδημούντων, τοῦ μὲν παιδὸς περὶ τὴν
10 ἔχουσαν τὸν βασιλέα πόλιν, τοῦ δὲ πατρὸς τὸν ἕτερον βίον (εἰ δεῖ βίον τὸν αἰῶνα ἐκεῖνον καλεῖν), οἱ γειτονοῦντες ἐκείνῳ, ἢ καὶ ἄλλως βλάπτειν ἐθέλοντες, ἐπιφύωνται τοῖς ἐκείνου πράγμασι, καὶ δίκας τινὰς ἢ οὔσας κινῶσιν, ἢ μὴ οὔσας ἀνάπτωσι, κἀντεῦθεν ἐρημίᾳ τῶν ἀπολογησομένων, κύριοι τῶν τῷ παιδὶ προσηκόντων
15 γένωνται, ἀξιῶ τὴν ἐν λογιότητί σου ὑπεροχὴν μηδένα εὐπαράδεκτον ἡγήσασθαι τῶν κατὰ τῆς ἐκείνου περιουσίας κινεῖν ἐθελόντων, μηδ᾽ εἴ τις λέγοι ἐν συμβολαίοις παρ᾽ ἐκείνου βεβλάφθαι, ἢ ἐν ὁρίων παρακινήσει, ἢ ἐν τῇ τοῦ προσήκοντος κατασχέσει, ἀλλὰ πᾶσιν ἐπιτρέψαι μὴ κινεῖν, μέχρις ἂν ὁ τοῦ τελευτήσαντος παῖς,
20 τὰ κατεπείγοντα εὖ διαθέμενος, αὐτόθεν τε ἐξέλθῃ καὶ τῶν πατρῴων κύριος γένηται.

3 διάθοιντο corr. K-D: διαθοίοιτο L ‖ **7** τὰ L: τὸ K-D ‖ **ep. 439** L 98v–99r; tit. K-D ‖ **5** μοι addidi ‖ **20** ἐξέλθῃ K-D: ἐξέλθοι L

Ἀλλ’ ὥσπερ προεῖπον τῆς διηγήσεως καὶ τῆς ἀξιώσεως, οὕτω δὴ καὶ ὑπειπεῖν βούλομαι· τοῦτο γὰρ καὶ αὐτὸς ἔδρασάς τε καὶ δράσειας, κἂν μὴ αὐτὸς νῦν ἠξίωσα βιασθείς. Ἀλλὰ τί με δεῖ ποιεῖν τοῖς συγγενέσιν ἐκκείμενον, καὶ πρὸς τὸ ἐκείνων βούλημα μεθελ- 25 κόμενον, καὶ τῆς οἰκείας γνώμης μετακινούμενον; εἰ γάρ τι γενναῖον πρὸς αὐτοὺς εἴπω, ἢ φιλοῦντος γνώμην χαρακτηρίσω, οἱ δέ με οὐ προσδέχονται, ἀλλὰ τοῦτο δὴ αὐτὸ ἀπαιτοῦσιν, ὅπερ βεβούληνται.

Ἀγγέλλω οὖν σοι οὐ τὴν περὶ παιδὸς διήγησιν, ἀλλὰ τὴν 30 παρὰ τῶν συγγενῶν πειθανάγκην (ἢ ἀνάγκην, εἰπεῖν γυμνότερον).

440.

K-D 183 [L]

Ταύτην δὴ πρώτην σοι πεῖραν τῆς πρὸς ἐμέ σου φιλίας καθίημι. Εἰ μὲν γὰρ ἀσμένως ἴδῃς τὸν παρόντα τοῦ γράμματος ἡμῶν ἀποδότην, καὶ τά τε ἄλλα πρὸς αὐτὸν εὖ διατεθῇς καὶ τοῖς ὑπηρετοῦσίν σοι ἀνθρώποις συντάξῃς, κατὰ τὴν τῆς φιλίας ὁμολογίαν ποιεῖς, κἀγὼ οὐκέτι ἑτέρας πείρας δεήσομαι. Εἰ δὲ 5 παρόψῃ καὶ ἀποπέμψῃ, εἴσομαι μέν, ὡς μέχρι γλώττης τὰ ὑπεσχημένα ἦν, οὐκέτι δὲ τοῦ λοιποῦ ἐνοχλήσω ἀπὸ τῆς πρώτης πείρας ἠθετημένος εὐθύς.

441. ⟨Κριτῇ τινι (?)⟩

K-D 184 [L]

Εἷς ἐστι καὶ οὗτος τῶν παρ’ ἐμοῦ γνωριζομένων καὶ ἐλεουμένων.

22–23 οὕτω – βούλομαι: cf. Dem. Περὶ στεφάνου = Or. 18,60 τοσοῦτον ὑπειπών et etiam Psel. Χαρακτῆρες Γρηγορίου τοῦ θεολόγου, τοῦ μεγάλου Βασιλείου, τοῦ Χρυσοστόμου, καὶ Γρηγορίου τοῦ Νύσσης 125,26, Περὶ τῶν ψαλμῶν πρὸς τὸν … Μιχαὴλ τὸν Δούκαν … = Theol. II 1,30–31, et Ἑρμηνεία περὶ τῶν εἰκοσιτεσσάρων στοιχείων … πρὸς … Ἰωάννην τὸν λιβελλίσιον = Phil. min. I 36,628

ep. 440 L 99v ‖ **4** συντάξῃς K-D: συντάξεις L ‖ **6** παρόψῃ K-D: παρόψει L
ep. 441 L 99v; tit. scripsi: ⟨κριτῇ τινι⟩ K-D

Ἐπεὶ δέ σοι ὁ τῆς φιλίας θεσμὸς ἠκρίβωται, καὶ κοινὰ τὰ τῶν φίλων ἡγῇ, δεῖ σε καὶ τὸν ἄνδρα τοῦτον δι' ἐμὲ οἰκειοῦσθαι καὶ ἐλεεῖν· ἔστι γὰρ καὶ τῶν αὐτοχθόνων, καὶ θρέμμα τῆς σῆς
5 ἐπαρχίας. Δεῖ δὲ καὶ διὰ τοῦτό σε κήδεσθαι τοῦ ἀνδρός, ὥσπερ δὴ καὶ πάντων ὀφείλεις φροντίζειν οὓς ἡ σὴ ἐπαρχία ἐγέννησε καὶ γεννᾷ.

Δύο οὖν αἰτιῶν προκειμένων, ἀρκουσῶν εἰς τὴν περὶ τὸν ἄνδρα προσπάθειαν, αὐτὸς ἑκάστῃ τὸ δέον ἀπόνειμαι, ὡς μὲν ἐπαρχεώτῃ
10 σοι τὴν κοινὴν καὶ πρὸς τοὺς ἄλλους φροντίδα, ὡς δὲ παρὰ φίλου εἰσενεχθέντι τὴν ἰδιάζουσαν τῇ φιλίᾳ χάριν.

442.

(G 31 [U], Malt 11 [U])

...πι]στεύω. Εἰ δὲ αὐτὸς κρείττων πάσης μεταβολῆς, ἀλλ' ἐγὼ τοῦ κοινοῦ μᾶλλον, ἢ τοῦ ἰδιάζοντος πέφυκα. Οὐ τοίνυν τὴν φύσιν τῶν πραγμάτων ἤλεγξας, οὐδὲ τὴν ἐμὴν περὶ ἐκεῖνα ὑπόληψιν (ἐκεῖνά τε γὰρ ῥεῖ, καὶ αὕτη τὴν ῥύσιν ἐπίσταται), ἀλλὰ τὴν σὴν
5 ἀπεφήνω γνώμην ἐν τοῖς ἀστάτοις στάσιμον ἀκριβῶς. Ἐπὶ τούτοις οὐκ ἐκεῖνο τὸ προχειρότατον ἐρῶ τοῖς πολλοῖς, ὡς ἀντιμετρήσω σοι ταῖς χάρισι χάριτας ἴσας, ἢ καὶ βελτίονας· οὔτε γὰρ αὐτὸς νῦν ἤρξω πρώτως ἐπιμετρεῖν, οὔτε ἐγώ, πεπαυμένος ἐς τοσόνδε, αὖθις μεταβληθήσομαι.

10 Τρόπον οὖν τινα ἀντιδρῶμεν ἀλλήλοις, καὶ ἀντιπάσχομεν· ἐγὼ μὲν λόγους διδούς, σὺ δὲ ἔργα ἀντιδιδούς· ἢ μᾶλλον ἄμφω ἀμφότεροι, ἀλλ' ἐμοὶ πλείων ἡ γλῶττα, σοὶ δὲ ἡ πρᾶξις δαψιλεστέρα. Ἀλλ' ὅμως καὶ τοῖς ἐμοῖς λόγοις πρᾶγμά τι ἐπακολουθεῖ δεξιόν, καὶ ταῖς σαῖς πράξεσι τὸ εὖ περὶ ἐμοῦ λέγειν προοίμιον.
15 Καὶ ἀμφοῖν ταῦτα ἐκ πρώτης ἦρκται τῆς ἡλικίας, καὶ προκεχώ-

2–3 κοινὰ – φίλων: proverbium; CPG I 106 (nr. 79), 266 (nr. 76), II 76 (nr. 54) et 481 (nr. 88) ‖ **4** ἐκεῖνά – ῥεῖ: locus communis; cf. Heracl. frg. 6 cum e.g. Plat. Κρατύλος 402a8–10 et Simplic. In Phys. 1313,10–12

ep. 442 U 150r–v (inc. mut., post Π 116), A 47r (continuat Π 116) **1** [πι]στεύω G Malt: στεύω U (ante στεύω folium unum vel plura desunt) om. A | εἰ δ' A ‖ **2** καινοῦ Malt ‖ **4** ῥρεῖ U ‖ **5** ἐπεφήνω G ‖ **6** τούτούτοις U ‖ **8** οὔτ' ἐγώ A ‖ **9** τόσον δὲ A ‖ **12** πλέων A ‖ **13** παρακολουθεῖ A

ρηκεν ἐς τοσοῦτον κατὰ βραχὺ προϊόντα, καὶ οὐδενὶ τὸ παράπαν τὸ οἰκεῖον ἐνήλλακται· ἀλλ' ἐν παντὶ τῷ παρασχόντι, ἐγὼ μὲν πρὸς τὰς ὑπὲρ σοῦ τῶν λόγων πηγὰς ἀνεστόμωμαι, σὺ δὲ ἀνθυπερβλύζεις τὸ εὐγνωμονεῖν πλείονι ῥεύματι, καὶ γίνεται παρ' ἀλλήλοις πλήρης ὁ τῆς φιλίας κρατήρ. 20

Ἡμῖν μὲν οὖν ἤρκει εἰ δώσεις τὸ αἰτηθέν. Σὺ δὲ ὥσπερ ἆρα μεμφόμενος ἡμᾶς τῆς ἀφιλοτίμου αἰτήσεως, πλείω παρέσχες τῶν ἀξιώσεων· καίτοι γε (νὴ τὴν τιμίαν σου κεφαλήν!) πεφεισμένως καὶ περὶ ἐκείνων ἠξίωκα. Ἀλλ' ἤλεγξάς μου τὴν γνώμην, γλίσχρως καὶ ταπεινῶς τῶν αἰτήσεων ἔχουσαν. Τὸ δ' ἀληθές, οὐκ 25 ἐγὼ ὑφειμένως πρὸς τὴν ἀξίωσιν, ἀλλὰ σὺ περὶ τὴν ἀντίδοσιν ὑψηλότερος. Ὁ δὲ λόγος ὥσπερ τινά μοι καὶ πλείονος παρρησίας ὑπανοίγει ὁδόν· ἐν ποίῳ γὰρ ἄλλῳ καιρῷ ἢ πρὸς τίνα τοιοῦτον ὑπὲρ τῆς μονῆς φθέγξομαι;

Εἰ μὲν οὖν τὸ πᾶν ἔγνωκας, μὴ ζήτει τὸν τρόπον τῆς παρρη- 30 σίας, ἀλλ' αὐτὸς τὸ σιωπηθὲν δημοσίευσον, ἐκλελοιπυῖαν ἀνακαλούμενος τὴν μονήν, ὥσπερ τι δυσθανατοῦν ζῷον πρὸς ζωὴν ἐπανάγων. Εἰ δ' οὖν, μιμοῦμαι τοὺς ἀκριβεῖς ῥήτορας· καὶ ἀνακρουσάμενος νῦν ὃ μέλλω ἐρεῖν, ἑτέρῳ καιρῷ ταμιεύσομαι τὴν ἀξίωσιν. 35

443. ⟨Ἡγουμένῳ τινι⟩

ad eundem ut Π 444? eodem tempore ut Π 200, Π 109, et Π 105 [vid. epistolarum ordinem in U]?

G 28 [U], Malt 8 [U]

Εἰ μὲν καὶ ἑτέρων ἕνεκα ὑποθέσεων ἀπορρήτων ἐμοὶ τὴν τοσαύτην ὁδὸν ἐστάλη ὁ ἀδελφὸς Δωρόθεος, οὐ ματαίως ἴσως ἔσταλται· εἰ δ[ca. 12 litt.]ίων γραμμάτων κενόσπουδος ἆρα τυγχά[νει ... ca. 11

32 ὥσπερ – ζῷον: Synes. Cyren. Κατάστασις 2,1,20 ὥσπερ ζῷον δυσθανατοῦν. cf. Π 4,26-27 et Π 27,3

25 αἰτήσεως A ‖ **26** περὶ : πρὸς A ‖ **27** τινός A ‖ **28** ὁδόν : ὁ δὲ A **34** ταμιεύσομαι A Malt: ταταμιεύσομαι U ταμιεύσομεν G ‖ **ep. 443** U 184r–v et 186r; tit. G Malt: om. U ‖ **2–3** εἰ δ[...]ίων: εἰ δ' οὖν ἦλθεν ἄνευ κρυφίων dubitanter prop. Malt ‖ **3–4** τυγχάνει ἐσταλμένος. ἐπεὶ dubitanter prop. Malt

litt.] δὲ περὶ τὸ μέρος ἐκεῖνο τοῦ γράμματος γενόμενος ἔνθα τὰ
5 πολλὰ ἀξιοῦν ἔμελλες, ἀνεβάλλου δὲ διὰ τὸ πλῆθος ἴσως
ὑποστελλόμενος, πρὸς δὲ τὴν τοῦ Δωροθέου γλῶσσαν ἡμᾶς
ἀνέφερες, ἵν' ἐκείνῃ μάθοιμεν τὸν συναθροισμόν, εἶτα ἐκεῖνον
ἠρωτηκότες ἐπειδὴ οὐδὲν ἕτερον ἢ τὸ περὶ τῶν γραμμάτων
ἀπήγγειλεν, ἡδέως (πῶς ἂν εἴποις;) ἐγέλασα· καίτοι γε
10 ἀποκναισθῆναι τὰ ὦτα ὑπείληφα τῇ πολυλογίᾳ τοῦ μοναχοῦ· καὶ
μάλισθ' ὅτι τὴν ἀπραγμοσύνην ἑλόμενος, ἐν πράγμασιν αὖθις
καταταθῆναι ἀναγκασθήσομαι. Χάριτας οὖν σοι διωμολόγημαι
ὅτι μέχρι τούτων ἡμᾶς (πῶς ἂν εἴποιμι;) κατηνάγκασας.

Τοῦτο μὲν οὖν οὕτως. Οἱ δὲ πρόεδροι, ἐπειδὴ τὴν ἀξίωσιν
15 πρὸς αὐτοὺς ἐποιησάμην, τὴν μὲν πρὸς τὸν Λυγδηνὸν γραφὴν
ἑτοιμοτάτην πεποιήκασι, περὶ δὲ τοῦ κτήματος εὔλογά μοι ἔδοξαν
ἀπολελογῆσθαι· ἔφασαν γὰρ ὡς οὐκ ἀπόλυτόν ἐστι τὸ προάστειον,
οὐδὲ τοιοῦτον οἷον μόνον πακτεύεσθαι, ἀλλὰ μετὰ πολλῶν ἄλλων
ὑπὸ τὴν ἐπίσκεψιν Καζείας τελεῖ. Ὅθεν τῷ προνοουμένῳ τῆς
20 ἐπισκέψεως ἀνεῖται καὶ τὸ προάστειον, ὁποῖος ὁ τῆς ἑνδεκάτης
ἐπισκεπτίτης ἐστί· μετὰ γὰρ τὴν προβολὴν τούτου οὐδὲν περὶ τῶν
κτημάτων τὸ σέκρετον πολυπραγμονεῖ. Καὶ οὐκ ἔστιν ἡ ἀπολο-
γία ψευδὴς μὲν πιθανὴ δέ, ἀλλὰ πάνυ ἀληθής. Ἀλλ' οὐ μέχρι τῆς
ἀπολογίας οἱ ἄνθρωποι ἔστησαν· ἀλλ' ἐπεὶ τὴν ἡγουμενείαν σου
25 μεμαθήκασιν, ἡσθέντες (πῶς ἂν εἴποις;), γραφὴν πρὸς τὸν
ἐπισκεπτίτην ἀπεστάλκασιν ἐκδοῦναι πρὸς τὴν μονὴν πακτωτι-
κῶς τὸ προάστειον, εἰ μὴ ἴσως πρὸς ἕτερον πρόσωπον τὴν πάκτευ-
σιν ἐποιήσατο.

Εἰ μὲν οὖν γένηταί σοι κατὰ τὸ θελητὸν τὸ πρᾶγμα, ἀγάπη-
30 σον· εἰ δὲ μή, ὅτε πρὸς ἡμᾶς ἐπιδημήσεις ὡς ἐπαγγέλλῃ, τοῦτο τέ
σοι γενήσεται, καὶ εἴ τι ἄλλο τῶν δυνατῶν ἐμοί· τηνικαῦτα γάρ
σοι καὶ τὰ περὶ τῆς ἡγουμενικῆς τραπέζης εὐτρεπισθήσεται, καὶ
πάντα σοι κατὰ λόγον ὅσα τε θεῖα καὶ ὅσα ἀνθρωπικά. Σὺ δέ μοι
τῶν συνήθων ἔχου εὐχῶν καὶ τὴν τῆς ἐμῆς ψυχῆς προστασίαν

10 ἀποκναισθῆναι – ὦτα: iunctura in Philo laudata (cf. e.g. Περὶ γεωργίας 136); cf. etiam Plut. Περὶ ἀδολεσχίας 504d10. cf. Psel. Κατηγορία τοῦ ἀρχιερέως = Or. for. 1,1177 ‖ **15–19** πρὸς[2] – Καζείας: cf. Cheynet I,269 ‖ **20** ὁ – ἑνδεκάτης: scil. ὥρας? cf. Mt. 20,6?

4 γενόμενος : lacuna G ‖ **7** ἐκείνῃ scripsi (scil. τῇ γλώσσῃ): ἐκεῖνοι U ἐκείνου corr. G ἐκεῖνον Malt | μάθοιμεν corr. G corr. Malt: μάθοι μὲν U

ἐγχειρισθείς περὶ οὗ πολλὰ συγκεκύφαμεν, ἐπιστημόνως ἡμῶν 35
φρόντιζε, τὰ μὲν γράφων, τὰ δὲ καὶ ἀπὸ στόματος ἐντελλόμενος,
ἵν' εἴ πως [ca. 16 litt.] καὶ τοῦ βυθοῦ τῶν πραγμάτων ἀνανήξα-
σθαι.

444. [ca. 6 litt.?] μοναχῷ

ad eundem ut Π 443? ad Ioannem Xiphilinum (Π L) [vid. epistolarum Π 200, Π 443, Π 444, Π 195, et Π 196 ordinem in U]? eodem tempore ut Π 200, Π 109, et Π 105 [vid. epistolarum ordinem in U]?

G 29 [U], Malt 9 [U]

Ἡδέως καὶ πάλιν εἶδόν σου τὴν γραφήν, τιμιώτατε πάτερ, καὶ
ἔφαγον τὸν τεταριχευμένον ἰχθύν. Ἐτράφην οὖν διπλῇ· τῇ μὲν
ἐπιστολῇ τὴν ψυχήν, τὸ δὲ σῶμα τῷ βρώματι. Ἀλλὰ τῇ μὲν ψυχῇ,
εἴ γε βούλομαι, μυρίαι τροφαὶ κεχορήγηνται, παρὰ τοῦ
εὐαγγελίου, παρὰ τῶν κηρύκων τῆς πίστεως, παρὰ τῶν 5
διαλαμψάντων ἐν ἀσκήσεσιν καὶ μαρτυρικοῖς αἵμασι. Τῷ δὲ
σώματι οὐδὲν παρ' οὐδενὸς βρῶμα κατάλληλον. Ὁ μὲν γὰρ
νεαλὴς ἰχθὺς καὶ θαλάσσιος τρόφιμος μέν, ἐμοὶ δὲ καὶ λίαν
ἀπόπτυστος· ὁ τυρὸς ἡδύς, ἀλλὰ βλαβερός· τὰ κητώδη ταρίχη
ποία γαστὴρ πέψειε; Διὰ ταῦτά μοι καὶ ἡδὺς καὶ τρόφιμος δοκεῖ ὁ 10
παρ' ὑμῖν ἰχθὺς οὕτως ταριχευθείς.

Καὶ οἷον τὸ τῆς γνώμης παλίμβολον! Παρ' ὑμῖν μὲν γὰρ
διαιτώμενος, τῶν θαλαττίων ἤρων ἰχθύων· ἐνταῦθα δὲ γενόμενος,
τῶν ποταμίων τῶν παρ' ὑμῖν· σφοδρότατον γάρ μοι τουτὶ τὸ
πάθος περιπέπτωκε, τιμιώτατε πάτερ· καὶ ὥσπερ ὁ Ἰσραὴλ 15

35 περὶ – συγκεκύφαμεν: Synes. Cyren. Epist. 137,21 φιλοσοφίαν ἐκείνην περὶ ἧς πολλὰ συγκεκύφαμεν. cf. Π 202,44 ‖ **37** τοῦ – πραγμάτων: cf. Philo Νόμων ἱερῶν ἀλληγορία 2,102 εἰς τὴν φθορὰν τῶν πραγμάτων καὶ τὸν ἀνήνυτον βυθόν ‖ **15–17** ὥσπερ – βρωμάτων: cf. Num. 11,4–7 καθίσαντες ἔκλαιον καὶ οἱ υἱοὶ Ισραηλ καὶ εἶπαν … ἐμνήσθημεν τοὺς ἰχθύας, οὓς ἠσθίομεν ἐν Αἰγύπτῳ δωρεάν, … τὸ δὲ μαννα ὡσεὶ σπέρμα κορίου ἐστίν, καὶ τὸ εἶδος αὐτοῦ εἶδος κρυστάλλου

37–38 post ἀνανήξασθαι finis epistulae vel lacunam prop. Malt ‖ **ep. 444** U 186r; tit. scripsi: .....ωθει μ(ονα)χ(ῷ) prop. G [τῷ αὐ]τῷ dubitanter prop. Malt (in app. crit.) Ioannem Xiphilinum dubitanter prop. G ‖ **1–2** καὶ ἔφαγον : lacuna G ‖ **11** ἰχθὺς οὕτως scripsi: οὗτος ἰχθὺς U G οὗτος ἰχθῦς Malt

πάλαι, τῆς μὲν οὐρανίας τροφῆς κατολιγωρῶ, ἐρῶ δὲ τῶν ἐν Αἰγύπτῳ βρωμάτων. Κατηγορήσω αὐτὸς ἐμαυτοῦ, ἀλλ' οὐχὶ κἀκείνην ἀφήσω τὴν φωνήν, ὅτι κάλλιον ἦν μοι ἐν τῇ παροικίᾳ τεθάφθαι, ἢ ἐν τῇ κατοικίᾳ. Τὸ δὲ ἐπιθυμεῖν τῶν πάλαι τροφῶν οὐ πάνυ με 20 δαπανᾷ· προσβολὴ γάρ ἐστι τοῦ ἀντικειμένου ἧς, οὐδὲ μαινόμενος, ἡττηθήσομαι.

Τὰ μὲν οὖν παρὰ σοῦ τοιαῦτα· ἡμεῖς δὲ ἀργυρᾶ τεσσαράκοντα, καὶ ξυλαλόης κομμάτια δέκα, καὶ ἀλειπτὰ πεντήκοντά σοι ἐξαπεστείλαμεν.

445.
Pselli?

S 109 [P]

Ἐπήλθομεν τὴν γραφήν σου καὶ ηὐφράνθημεν· καὶ πῶς γὰρ οὐκ ἦν εὐφρανθῆναι τῇ σῇ γραφῇ ἐντυγχάνοντας ἐν ἧπερ αἱ Μοῦσαι ἐχόρευον, καὶ ταῖς λέξεσιν αὐταῖς ἐπεκρότουν, καὶ τὸν νοῦν ἐπεκάλλυνον; Τοσοῦτον δὲ ηὐφράνθημεν, ὥστε μηδὲ θεῖναι ταύτην 5 ἐν γωνίᾳ ποτὲ δύνασθαι, ἢ στῆναι τῆς ἀναγνώσεως· οὕτως ἦν αὐτὴ λωτὸς ἄντικρυς, ἕλκουσα τὸν ἀναγινώσκοντα, καὶ πείθουσα παντὸς ἄλλου ἐκ περιουσίας καταφρονεῖν.

Καὶ τοῦτο δικαίως πεπόνθαμεν· ὥσπερ γὰρ οἱ τὰς μυθικὰς ἐκείνας Σειρῆνας παραπλέοντες, μελῳδίας ἀκούσαντες, παραπλεῦ- 10 σαι οὐκ εἶχον εὐπετῶς, οὕτως οἱ τὴν σὴν μελίρρυτον ἀναγινώσκοντες γραφὴν ἕλκονται πρὸς αὐτήν, ὥσπερ ἐξ ὤτων ἢ καὶ ῥινῶν· καὶ

17–19 οὐχὶ – κατοικίᾳ: cf. Num. 14,2 καὶ διεγόγγυζον ... πάντες οἱ υἱοὶ Ισραηλ, καὶ εἶπαν ... Ὄφελον ἀπεθάνομεν ἐν γῇ Αἰγύπτῳ ‖ **6** λωτὸς: cf. Hom. Od. 9,92–97, locus saepe laudatus; cf. Psel. Ἐγκώμιον εἰς τὸν οἶνον = Or. min. 30,132–133, et Π 201,31, Π 248,25, Π 449,35–36, et Π 486,5; cf. etiam Π 519,11–12 ‖ **8–10** οἱ – εὐπετῶς: Hom. Od. 12,39–46, locus saepe laudatus; cf. Psel. Εἰς τὸ ῥητὸν τοῦ Ἰὼβ τὸ ὅτι 'καὶ ὁ διάβολος παρέστη ἐνώπιον τοῦ κυρίου' σὺν τοῖς ἀγγέλοις = Theol. I 32,59, Π 63,31–32, Π 112,79–80, Π 117,67, Π 248,16 et 23–27, Π 486,5; cf. etiam Π 121,76–80, Π 199,31, et Π 379,4–5; cf. etiam Π 30,11, Π 76,49–50, et Π 128,36–37

ep. 445 K 62v–63r, P 213r–v ‖ **1** ηὐφράνθημεν P S: εὐφράνθημεν K **4** ηὐφράνθημεν P S: εὐφράνθημεν K ‖ **10** μελίβρυτον S e quo falsum LBG lemma ‖ **11** ἢ καὶ P S: εἴτε K

ἀνάγκη ἢ μὴ ἀναγνῶναι αὐτήν, ἢ τῷ ἀναγνῶναι πάντως ὁλοσχε-
ρῶς κηληθῆναι καὶ μηδὲ μικρὸν δύνασθαι ταύτην ἐᾶσαι. Οὕτως
ἕλκει τὸν ἀναγινώσκοντα, ὡς ἡ μαγνῆτις τὸν σίδηρον· πανταχό-
θεν γὰρ αὐτῇ τὸ κάλλος περιαστράπτει λαμπρόν, λέξεσί τε καὶ νῷ, 15
καὶ συνθήκῃ καὶ ῥυθμῷ, καὶ καλλιεπείᾳ θελκτικῇ τε καὶ εὐφραδεῖ.

Ἀλλὰ δὴ μὴ ἀπαγορεύσῃς ἡμῖν ἐπιστέλλων, ὦ γλῶσσα
Νεστόρειε, καὶ τῆς Δημοσθενικῆς ἐκείνης ἠχοῦς ἀποπνέουσα·
τοσαυταχῶς δὲ γράφε, σοφώτατε, ὁσαυταχῶς ἀπὸ τῶν αὐτόθι τις
πρὸς τὰ ἐνταῦθα ποιεῖται τὴν ἄφιξιν. 20

Τὰ δ' ἄλλα, εἴης μοι φυλαττόμενος ἐν χειρὶ θεοῦ ἀβλαβής.

446. Πρός τινα ἑταῖρον
Pselli?

S 106 [P]

Τίς ἄρα τίς λόγος ἐπιστολιμαῖος καὶ σύντομος τὸν πρὸς σέ μου
παραστήσειε πόθον; Πῶς ἄρα μιᾷ γλώσσῃ τὸν τηλεφανῆ πυρσὸν

13–14 οὕτως – σίδηρον: locutio proverbialis; cf. e.g. Plat. Ἴων 530d–e … θεία δὲ δύναμις ἥ σε κινεῖ, ὥσπερ ἐν τῇ λίθῳ ἣν Εὐριπίδης μὲν Μαγνῆτιν ὠνόμασεν … etc. cf. etiam Π 447b,5–6 τίνι οὐκ ἐφείλκετο τὸν ἀναγινώσκοντα ὥσπερ μαγνῆτις τὸν σίδηρον; ‖ **18** Δημοσθενικῆς – ἠχοῦς: Philostr. Βίοι σοφιστῶν I,7 (487,2–3) πρὸς τὴν Δημοσθένους ἠχώ, cf. etiam Psel. Ἕτερος λόγος πρὸς … Κωνσταντῖνον τὸν Μονομάχον = Or. pan. 4,107; iunctura (e Psello?) in Ann. Comn. Ἀλεξιάς, Mich. Ital. et al. saepe laudata ‖ **21** ἐν – θεοῦ: Sap. Sol. 3,1 δικαίων δὲ ψυχαὶ ἐν χειρὶ θεοῦ et Prov. 21,1 καρδία βασιλέως ἐν χειρὶ θεοῦ. cf. etiam e.g. Greg. Naz. Epist. 210,2 ἐν χειρὶ Θεοῦ εἴη τὰ σά et Συντακτήριος = Or. 42,27 εἴπερ ἐν χειρὶ Θεοῦ τὰ ἡμέτερα ‖ **2** τὸν – πυρσόν: iunctura Pselliana in Theophyl. Achr. Λόγος εἰς τὸν … Ἀλέξιον τὸν Κομνηνόν 217,4, Mich. Chon. Epist. 95,17, 129,13, 152,49, et Greg. Ant. Εἰς τὸν … σεβαστοκράτορα … Κωνσταντῖνον 369,1 laudata?

12 ἢ μὴ P S: καὶ μὴ K | τῷ P S: τὸ K ‖ **13** κηληθῆναι P S: om. K | μηδὲ K: μὴ P S | δύνασθαι ταύτην : δύνασ[ca. 9 litt.] K ‖ **14** ἡ μαγνῆτις : [ca. 9 litt.] K **17** δὴ K: om. P S ‖ **18** Νεστόρειε K: Νεστόριε P S | ἐκείνης P S: om. K ‖ **20** τὰ P S: om. K ‖ **21** ἐν P S: om. K ‖ **ep. 446** K 63r, P 212v–213r, O 486v, B 142v, r fasc. 20 (= B); tit. B: om. K P O S ‖ **1** τίς[2] K P S: om. O B ‖ **2** παραστήσειε P O B S: παραστήσει K

τῆς διαυγοῦς πρὸς σὲ φιλίας ἐκφράσει, ἣν οὐδὲ δέκα στόματα καὶ δέκα γλῶσσαι διατρανῶσαι ἰσχύσειαν; Εὔκαιρον λοιπὸν σιωπᾶν.
5 Δοκίμασόν με ὡς χρυσὸν ἐν χωνείᾳ ἔτι καὶ ἔτι, καὶ οὐχ εὑρήσεις ἐν ἐμοὶ ῥύπον ἀφιλίας, εἴτε ψυχρότητος. Θεῷ δὲ ἄρα πέποιθα, καὶ σὲ τὸν αὐτὸν εἶναι ὃν ἐκ πολλῶν ἔγνωκα. Οἶμαι δὲ ὅτι τοιοῦτος εἶ· πῶς γὰρ ἂν τραπείης τῆς πρὶν ἀγαθοτρόπου γνώμης ὁ φύσει πρὸς ἀφιλίαν δυσκίνητος ἢ ἀκίνητος;

10 Οὑτοσὶ δὲ ὁ γραμματοδιακομιστής, ὑπάρχει καὶ ἐμὸς καὶ τῶν καθ' αἷμά μοι προσῳκειωμένων, ὑπάρχει δὲ καὶ ἀπ' αὐτοῦ τοῦ τρόπου ἱκανὸς τοῖς ὁμιλοῦσι θαυμασίαν τινὰ ἡδονὴν ἐμβαλεῖν. Καὶ δι' ἐμὲ τοίνυν τῆς σῆς αὐτὸν ἐπικουρίας καὶ εὐμενείας ἀξίωσον, καὶ δι' αὐτὸ τὸ τῆς ἀρετῆς καλόν· πᾶσι γὰρ ὁμοίως τὸ
15 καλὸν αἰδέσιμον. Μὴ νόμιζε δὲ ὅτι ἀχαρίστῳ χαρίσῃ χάριτα. Οὐχ οὕτως ἄχαρις ὁ μεσιτευόμενος, ὡς μηδεμίαν εἰδέναι χάριν τῷ ποιοῦντι τὴν χάριν· μέχρι γὰρ αὐτῶν Γαδείρων δραμεῖται τὸ σὸν ὄνομα, ὥσπερ ὑπὸ σάλπιγγός τινος κοσμοφθόγγου τῆς τούτου γλώττης εἰς πάντα διερχόμενον. Εἰ τοίνυν εὐφρᾶναι καὶ φίλους
20 θέλεις καὶ σεαυτὸν κηρῦξαι ἀριδηλότατα, τῶν ἀξίων ἀξίου τὸν ἄνδρα ὡς ἄξιον· ἄξιον γὰρ τὸν ἄξιον κατ' ἀξίαν ἀξιοῦσθαι ἀξίων.

Τὰ δ' ἄλλα, καλῶς διαπλέοις τὸ τοῦ βίου πολυπλανὲς πέλαγος.

3–4 οὐδὲ – γλῶσσαι: Hom. Il. 2,489 οὐδ' εἴ μοι δέκα μὲν γλῶσσαι, δέκα δὲ στόματ' εἶεν, iunctura Homerica saepe laudata ‖ **5** δοκίμασόν – χωνείᾳ: Sap. Sol. 3,6 ὡς χρυσὸν ἐν χωνευτηρίῳ ἐδοκίμασεν αὐτούς. cf. etiam Psel. Εἰς … Κωνσταντῖνον τὸν Μονομάχον = Or. pan. 6,97–98 et Εἰς τὸ ἀποστολικὸν … 'ἑκάστου τὸ ἔργον …' = Theol. II 7,97–98 ‖ **17** μέχρι – Γαδείρων: proverbium; cf. Psel. Ἐγκώμιον εἰς τὴν ἀποτομὴν … Ἰωάννου = Or. hag. 8,655 et Π 242,3 **22–23** τὸ – πέλαγος: Ioann. Chrys. Περὶ ἱερωσύνης 3,10,240–241 τὸ πολυπλανὲς τοῦ βίου τούτου περαιοῦντα πέλαγος. cf. etiam Π 497,54

3–4 καὶ δέκα K P S: δέκα δὲ O B ‖ **6** εἴτε P O B S: εἴτουν K ‖ **7** ἐκ πολλῶν K P O S: ἐκ πολλῶν ἕνα B | εἶ P O B S: ἧς K ‖ **9** ἀφιλίαν P O B S: φιλίαν K ‖ **10** καὶ[1] P O B S: μὲν καὶ K ‖ **13** αὐτὸν P O B S: om. K ‖ **17** τὸ σὸν K P O S: om. B **21** κατ' ἀξίαν : [....]ξίαν K ‖ **22** πολυπλανὲς K P B S: πολυπαθὲς O (cf. Malt[2],189) ‖ **23** πέλαγος: π[...]γος B

447a.
Pselli? versio prima [K]; cf. Π 447b = versio altera [i]

K-D 2 [K]

Ἐδεξάμην εἰς χεῖρας, λαμπρότατε ἢ καὶ ὑπέρλαμπρε, τὴν γλυκεῖαν ἐμοὶ καὶ ποθεινήν σου γραφήν. Ἐδεξάμην καὶ αὐτὰς ἐνόμισα τὰς Μούσας εἰληφέναι ἢ τὰς Χάριτας δι' αὐτῆς, δι' ὧν αὐτὴν κατεκόσμησας καὶ θαυμασίαν οἷον ἀπειργάσω καὶ ἡδονῆς γέμουσαν. Τί γὰρ οὐκ εἶχεν ἐπαγωγὸν καὶ θελκτήριον; μᾶλλον δὲ 5 τίνι τὸν ἀναγινώσκοντα, ὥσπερ μάγος τις ἐφελκομένη τοὺς ἀναγινώσκοντας, τοῦτο μὲν τῇ γλυκύτητι τῶν λέξεων, τοῦτο δὲ τῇ συνθήκῃ τῶν συλλαβῶν; Πλέον δὲ μᾶλλον ἔτερπεν, ὅτι τὴν σὴν ὑγείαν εὐηγγελίζετο, ἣν ἐγὼ προτιμοτέραν τοῦ παντὸς τίθεμαι, καὶ ἧς προκριτώτερον οὐδὲ τοὺς Κροίσου θησαυροὺς ἐκείνους 10 (οἵτινές ποτε ἦσαν) τίθεμαι.

Ἀλλ' ὑγιαίνοις, ὦ θεία καὶ θαυμασία κεφαλή, φωτὸς ὄντως ἀξία καὶ θαύματος. Ὑγιαίνοις καὶ στέλλοις γράμματα, καὶ λαμβάνοις παρ' ἡμῶν τὰ αὐτά· τί γὰρ ἡμῖν ἄλλο τερπνόν, ἢ σὰς συλλαβὰς ἀναγινώσκειν καὶ δέχεσθαι, καὶ διὰ τῶν αὐτῶν δεξιοῦ- 15 σθαί σε;

10 τοὺς – θησαυρούς: locutio proverbialis; cf. Π 447b,12–13 et Π 541,21

ep. 447a K 63v; i 230 = Π 447b (versio altera in collectione epistolarum Hierothei monachi; cf. etiam n[1] 187v = Michaelis Choniatae [?] Ἀρχαί τινων διαφόρων ἐπιστολῶν) ‖ **1** χεῖρας – καὶ K K-D: λαμπρότατε μοι αὐθέντα Π 447b,1 αὐθέντα μου n[1] Kol ‖ **2** ἐμοὶ καὶ K K-D: καὶ ἐμοὶ Π 447b,1–2 n[1] Kol ποθεινήν K K-D: ποθεινοτάτην n[1] Kol πεπ[...]ινοτάτην i | ἐδεξάμην K K-D: om. Π 447b n[1] Kol ‖ **3** ἐνόμισα K K-D Π 447b,2 n[1]: ἐνόμισας Kol | δι' αὐτῆς K K-D: om. Π 447b n[1] Kol ‖ **4** οἷον ἀπειργάσω K K-D: οἵαν εἰργάσω Π 447b,2 n[1] Kol ‖ **6–7** τὸν – ἀναγινώσκοντας K K-D: οὐχ ἐφείλκετο τὸν ἀναγινώσκοντα ὥσπερ μαγνῆτις τὸν σίδηρον; λειμὼν γὰρ ἦν ἄντικρυς ὡραιότατος, παντοίοις ἀγαθοῖς βρίθουσά τε καὶ θάλλουσα, καὶ ἄλλοτε ἄλλῳ ἐφελκομένη τὸν ἀναγινώσκοντα Π 447b,5–8 n[1] Kol ‖ **8** συνθήκῃ K K-D: συνθέσει Π 447b,9 n[1] Kol ‖ **10** προκριτώτερον scripsi (cf. Π 447b,12): προκριτωτέραν K προκριτωτέρους corr. K-D om. n[1] Kol ‖ **12–18** ὦ – περιφυλαττόμενος : ὦ θεία κεφαλή, φωτὸς ὄντως ἀξία καὶ θαύματος. ὑγιαίνοις καὶ στέλλοις γράμματα, καὶ λαμβάνοις παρ' ἡμῶν τὰ αὐτά· τί γὰρ ἡμῖν ἄλλο τερπνόν, ἢ σὰς συλλαβὰς ἀναγινώσκειν καὶ δέχεσθαι; καὶ διὰ τῶν αὐτῶν δεξιοῦμαι σέ. ἔρρωσο ἐν μέσῳ πολλῶν πραγμάτων ἀτάραχος καὶ ἀκίνδυνος ἅμα καὶ ἀπερίτρεπτος Π 447b,14–19 καὶ στέλλοις n[1] Kol

Ἔρρωσο ἐν μέσῳ πολλῶν πραγμάτων ἀτάραχος καὶ ἀκύμαντος ἅμα περιφυλαττόμενος.

447b.*

versio altera [retractatio?] in collectione epistolarum Hierothei monachi [saec. XII, quarta pars], cod. i [cf. n¹, Kol 289,35–45]; cf. Π 447a = versio prima [K]

ined. [i]

Ἐδεξάμην εἰς χεῖρας, λαμπρότατε μοι αὐθέντα, τὴν γλυκεῖαν καὶ ἐμοὶ ποθεινοτάτην σου γραφήν, καὶ αὐτὰς ἐνόμισα τὰς Μούσας εἰληφέναι ἢ τὰς Χάριτας, δι᾽ ὧν αὐτὴν κατεκόσμησας καὶ θαυμασίαν οἷαν εἰργάσω καὶ ἡδονῆς γέμουσαν. Τί γὰρ οὐκ εἶχεν
5 ἐπαγωγὸν καὶ θελκτήριον; μᾶλλον δὲ τίνι οὐκ ἐφείλκετο τὸν ἀναγινώσκοντα ὥσπερ μαγνῆτις τὸν σίδηρον; λειμὼν γὰρ ἦν ἄντικρυς ὡραιότατος, παντοίοις ἀγαθοῖς βρίθουσά τε καὶ θάλλουσα, καὶ ἄλλοτε ἄλλῳ ἐφελκομένη τὸν ἀναγινώσκοντα, τοῦτο μὲν τῇ γλυκύτητι τῶν λέξεων, τοῦτο δὲ τῇ συνθέσει τῶν
10 συλλαβῶν. Πλέον δὲ μᾶλλον ἔτερπεν, ὅτι τὴν σὴν ὑγείαν εὐηγγελίζετο, ἣν ἐγὼ προτιμοτέραν τοῦ παντὸς τίθεμαι, καὶ ἧς προκριτώτερον οὐδὲ τοὺς Κροίσου θησαυροὺς ἐκείνους (οἵτινές

5–6 τίνι – σίδηρον: locutio proverbialis; cf. e.g. Plat. Ἴων 530d–e ... θεία δὲ δύναμις ἥ σε κινεῖ, ὥσπερ ἐν τῇ λίθῳ ἣν Εὐριπίδης μὲν Μαγνῆτιν ὠνόμασεν ... etc. cf. etiam Π 445,13–14 οὕτως ἕλκει τὸν ἀναγινώσκοντα, ὡς ἡ μαγνῆτις τὸν σίδηρον ‖ **12** τοὺς – θησαυροὺς: locutio proverbialis; cf. Π 447a,10 et Π 541,21

ep. 447b i 230 (versio in collectione epistolarum Hierothei monachi; cf. etiam n¹ 187v = Michaelis Choniatae [?] Ἀρχαί τινων διαφόρων ἐπιστολῶν); K 63v = Π 447a (versio prima) ‖ **1** λαμπρότατε – αὐθέντα i: αὐθέντα μου n¹ Kol λαμπρότατε ἢ καὶ ὑπέρλαμπρε Π 447a,1 ‖ **1–2** καὶ ἐμοὶ i n¹ Kol: ἐμοὶ καὶ Π 447a,2 ‖ **2** ποθεινοτάτην scripsi n¹ Kol: πεπ[...]ινοτάτην i ποθεινήν Π 447a,2 | γραφήν i n¹ Kol: γραφήν. ἐδεξάμην Π 447a,2 | ἐνόμισα i n¹ Π 447a,3: ἐνόμισας Kol ‖ **3** Χάριτας i n¹ Kol: Χάριτας δι᾽ αὐτῆς Π 447a,3 ‖ **4** οἷαν εἰργάσω i n¹ Kol: οἷον ἀπειργάσω Π 447a,4 ‖ **6** λειμὼν scripsi n¹ Kol: λειπὼν i ‖ **7** ἄντικρυς i: σχεδόν n¹ Kol ‖ **8** ἄλλῳ scripsi n¹ Kol: ἄλλον i ‖ **5–8** οὐκ – ἀναγινώσκοντα i n¹ Kol: τὸν ἀναγινώσκοντα ὥσπερ μάγος τις ἐφελκομένη τοὺς ἀναγινώσκοντας Π 447a,6–7 ‖ **9** συνθέσει i n¹ Kol: συνθήκῃ Π 447a,8 **12** προκριτώτερον i: προκριτωτέραν K om. n¹ Kol προκριτωτέρους corr. K-D

ποτε ἦσαν) τίθεμαι.

Ἀλλ' ὑγιαίνοις, ὦ θεία κεφαλή, φωτὸς ὄντως ἀξία καὶ θαύματος. Ὑγιαίνοις καὶ στέλλοις γράμματα, καὶ λαμβάνοις παρ' ἡμῶν 15 τὰ αὐτά· τί γὰρ ἡμῖν ἄλλο τερπνόν, ἢ σὰς συλλαβὰς ἀναγινώσκειν καὶ δέχεσθαι; Καὶ διὰ τῶν αὐτῶν δεξιοῦμαι σέ.

Ἔρρωσο ἐν μέσῳ πολλῶν πραγμάτων ἀτάραχος καὶ ἀκίνδυνος ἅμα καὶ ἀπερίτρεπτος.

448a.

Pselli? versio prima [K]; cf. Π 448b = versio altera [i]

K-D 3 [K]

Ποθεῖς μὲν ἴσως δέχεσθαί μου γραφὴν καὶ μανθάνειν τὰ κατ' ἐμέ· ποθεῖς ἄρα καὶ (τοῦτο οἶδα) διψᾷς τὰς ἐμὰς συλλαβὰς ὥσπερ ἐγὼ τὰς σάς, καθάπερ ὕδωρ οἱ βάτραχοι. Ἀλλ' οὐ δίδωσιν ἡ τῶν πραγμάτων κατάστασις, καὶ ἡ ἡμετέρα διάστασις, καὶ ἡ τῶν βιωτικῶν περιφορά, τὸ ἐμὸν καταθύμιον ἐνδελεχῶς ἐπιδείκνυσθαι· 5 ᾧ καὶ τὴν καρδίαν ἐκτήκομαι καὶ δακρύων ῥοῇ περιφέρομαι καὶ τὴν ζωὴν ἀπολέγομαι. Ἕως πότε λέγων σπανίως τὸν φίλον καὶ αὐθέντην μου δεξιώσομαι γράμματι μικρῷ τινι τεμαχίῳ καὶ κομματίῳ ἐπιστολῆς; Ἕως πότε ὑπομείνω τὴν διάζευξιν; Ἕως πότε καρτερήσω τὴν μόνωσιν; 10

Ἀλλ' [οὖν ἱκ]ανῶς οὐκ ἔχω σε τοῖς πράγμασιν ἐπευφραίνειν καὶ τοῖς αὐτοῖς τέρπεσθαι. Κἂν καρτερήσωμεν ἀμφότεροι, καὶ

3 καθάπερ – βάτραχοι: proverbium; cf. CPG I 225 (nr. 58) et II 19 (nr. 9) βατράχῳ ὕδωρ, καὶ γαλῇ στέαρ; cf. etiam Π 448b,3

14–19 ὦ – ἀπερίτρεπτος : καὶ στέλλοις n[1] Kol ὦ θεία καὶ θαυμασία κεφαλή, φωτὸς ὄντως ἀξία καὶ θαύματος. ὑγιαίνοις καὶ στέλλοις γράμματα, καὶ λαμβάνοις παρ' ἡμῶν τὰ αὐτά· τί γὰρ ἡμῖν ἄλλο τερπνόν, ἢ σὰς συλλαβὰς ἀναγινώσκειν καὶ δέχεσθαι, καὶ διὰ τῶν αὐτῶν δεξιοῦσθαί σε; ἔρρωσο ἐν μέσῳ πολλῶν πραγμάτων ἀτάραχος καὶ ἀκύμαντος ἅμα περιφυλαττόμενος Π 447a,12–18 ‖ **ep. 448a** K 63v–64r; i 237–238 = Π 448b (versio altera in collectione epistolarum Hierothei monachi; des. mut.) ‖ **1** γραφὴν K K-D: γραφὰς Π 448b,1 ‖ **5** ἐμὸν K K-D: ἐμοὶ Π 448b,5 | post ἐνδελεχῶς des. i (folium unum vel plura desunt) ‖ **11** οὖν ἱκανῶς dubitanter supplevi

τοῦτο δὴ τὸ τοῦ ποιητοῦ εἰκότως ἐπᾴσωμεν, «τέτλαθι καρδίη καὶ ἀνάσχοιο κηδομένη περ», τὰ μὲν καθ' ἡμᾶς (εὖ ἴσθι) διαρρεῖ καὶ
15 οἴχεται, ἀπέσβη καὶ ὄλωλεν, ἀπήνθησεν ἤδη, διεφθάρησαν· ἐπεὶ γὰρ οὐκ ἔχομεν προσβλέπειν ὅτε καὶ θέλομεν, ὃν εἴχομεν εἰς ἡμετέραν ψυχαγωγίαν καὶ θέλγητρον, κἂν ζῶμεν ζῆν οὐ δοκοῦμεν· «τὸ γὰρ ζῆν μὴ καλῶς μέγας πόνος», ὥς τις τῶν πρὸ ἡμῶν εἶπε σοφῶν. Ὅμως τὸν «δεύτερον» τῆς παροιμίας «πλοῦν» πλέον-
20 τες, καὶ μικρὰ τῆς λύπης ἑαυτοὺς ἀνακτώμενοι, ὅταν καιροῦ λαβώμεθα, γραφῇ ψυχαγωγοῦμεν αὐτοὶ ἑαυτούς· καὶ ὥσπερ τι ἀκεσώδυνον καὶ παυσίκακον φάρμακον ἔχομεν τὸ πρὸς σὲ χαράττειν τὰ γράμματα.

Εἰ δὲ τὸ γράφειν οὕτως ἡμῖν τερπνὸν νενόμισται, καὶ παραμυ-
25 θίας οὐ μικρὸν ἔχον λόγον, τὸ τὰ σὰ μανθάνειν καὶ σὴν δέχεσθαι ποθεινοτάτην γραφήν, οὐκ οἴει τοῦτο δὴ τὸ ᾀδόμενον εἶναι φάρμακον «νηπενθές τ' ἄχολόν τε, κακῶν ἐπίληθες ἁπάντων»; Ναὶ μὰ τὴν σὴν ἀρετὴν καὶ λαμπρότητα, καὶ τὰ σὰ τῶν καλῶν σεμνολογήματα καὶ πλεονεκτήματα, ὦ χωρίον Μουσῶν, τῶν λόγων
30 τρόφιμε, τῶν ἀρετῶν θρέμμα, πάντων τῶν καλῶν καταγώγιον!

Δέχοιο οὖν γραφὰς καὶ μανθάνοις τὰ ἡμέτερα καὶ στέλλοις ἑτέρας, ὡς ἂν δι' αὐτῶν τὰ σὰ μανθάνωμεν καὶ τερπώμεθα· εἰ γὰρ

13–14 τέτλαθι – περ: Hom. Il. 1,586 τέτλαθι μῆτερ ἐμή, καὶ ἀνάσχεο κηδομένη περ, 5,586 τέτλαθι τέκνον ἐμόν, καὶ ἀνάσχεο κηδομένη περ· et Od. 20,18 τέτλαθι δή, κραδίη· καὶ κύντερον ἄλλο ποτ' ἔτλης. cf. Psel. Συλλογαὶ διάφοροι καὶ ποικίλαι = Phil. min. II 13 (32,14–15), et Π 448a,13–14 ‖ **18** τὸ – πόνος: Eurip. Ἑκάβη 378 ‖ **19–20** τὸν – πλέοντες: proverbium, CPG I 359 (nr. 21) et II 24 (nr. 45); cf. etiam Π 408,42–43 et Π 540,11–12 ‖ **26–27** τὸ – ἁπάντων: Hom. Od. 4,220–221 αὐτίκ' ἄρ' εἰς οἶνον βάλε φάρμακον, ἔνθεν ἔπινον / νηπενθές τ' ἄχολόν τε, κακῶν ἐπίληθον ἁπάντων. cf. Psel. Περὶ παραδόξων ἀκουσμάτων = Phil. min. I 32,8–9 et Π 115,18–19 et Π 124,41–43 **29** ὦ – Μουσῶν: cf. Libanius Πρὸς τοὺς νέους περὶ τοῦ τάπητος = Or. 58,14,4–5 εἰς τὸ τῶν Μουσῶν ... χωρίον et Προγυμνάσματα 12,22,2,1 Μουσῶν τέμενος etc. cf. Π 209,65 ‖ **29–30** ὦ – καταγώγιον: cf. Π 209,65–66 χωρίον Μουσῶν, σοφίας καταγώγιον, ἀρετῶν ἐνδιαίτημα, νόμων ταμεῖον, ἀγάπης φύλαξ, φιλίας λαμπτήρ. cf. etiam Psel. Ἐπιτάφιος εἰς ... Ἰωάννην τὸν Ξιφιλῖνον = Or. fun. I 3,14,8–9 Ὄλυμπον, τὸ καὶ πάλαι μὲν ψυχῶν ἱερῶν ἐνδιαίτημα, τότε δὲ καταγώγιον θείας καὶ ὑπερφυοῦς φύσεως

31 στέλλοις corr. K-D: στέλλεις K

μὴ συχνάκις τοῦτο ποιεῖν ὁ καιρὸς δίδωσιν ὥσπερ θέλομεν, ὅμως τὸ κατὰ δύναμιν ποιεῖν μὴ ἐνδώσομεν.

448b.*

versio altera [retractatio?] in collectione epistolarum Hierothei monachi [saec. XII, quarta pars], cod. i; cf. Π 448a = versio prima [K]

ined. [i]

Ποθεῖς μὲν ἴσως δέχεσθαί μου γραφὰς καὶ μανθάνειν τὰ κατ' ἐμέ· ποθεῖς ἄρα καὶ (τοῦτο οἶδα) διψᾷς τὰς ἐμὰς συλλαβὰς ὥσπερ ἐγὼ τὰς σάς, καθάπερ ὕδωρ οἱ βάτραχοι. Ἀλλ' οὐ δίδωσιν ἡ τῶν πραγμάτων κατάστασις, καὶ ἡ ἡμετέρα διάστασις, καὶ ἡ τῶν βιωτικῶν περιφορά, τὸ ἐμοὶ καταθύμιον ἐνδελεχῶς. 5

449.

Pselli?

K-D 4 [K]

Πρὸς τίνα ἄλλον κινήσω χεῖρα καὶ κάλαμον; Πρὸς τίνα ἄλλον τὰ τῆς γλώττης διαλύσω δεσμά, ἥτις τοσοῦτον χρόνον τῇ ἀφασίᾳ ἐδούλευσε; Πρὸς τίνος ἄλλου γραφὴν ἀντιγράψω, καὶ τοῦτο δὴ τὸ ἔπος ἐπᾴσω: «βάλλ' οὕτως», φίλη κεφαλή, «αἴ κέν τοι φόως ἑτάροιο γένηαι»; Ἦ δῆλον ὅτι πρὸς τὴν σὴν τοῖς λόγοις χρήσομαι 5

3 καθάπερ – βάτραχοι: proverbium; cf. CPG I 225 (nr. 58) et II 19 (nr. 9) βατράχῳ ὕδωρ, καὶ γαλῇ στέαρ; cf. etiam Π 448a,3 ‖ **1–2** τὰ – δεσμά: cf. Marc. 7,35 ἐλύθη ὁ δεσμὸς τῆς γλώσσης αὐτοῦ ‖ **1–3** πρὸς τίνα – ἐδούλευσε: initium epistulae laudatum ab Athanasio Chatzike Epist. 9,1–4 πρὸς τίνα ἄλλον κινήσω χεῖρα ...; πρὸς τίνα τὰ τῆς γλώττης διαλύσω δεσμά, και πλεῖστα χαίρειν τῇ ἀφασίᾳ ἐρῶ; (cf. Grünbart 2000) ‖ **4–5** βάλλ' – γένηαι: Hom. Il. 8,282 βάλλ' οὕτως, αἴ κέν τι φόως Δαναοῖσι γένηαι (cf. Il. 11,797), cf. Psel. Λόγος εἰς … τὸν Μονομάχον = Or. pan. 2,404 et Π 105,24, Π 214,7–8, et Π 241,7

ep. 448b i 237–238 (versio altera in collectione epistolarum Hierothei monachi; des. mut.); K 63v–64r = Π 448a (versio prima) ‖ **1** γραφὰς i: γραφὴν Π 448a,1 ‖ **5** ἐμοὶ i: ἐμὸν Π 448a,5 | post ἐνδελεχῶς des. i (post ἐνδελεχῶς folium unum vel plura desunt): ἐνδελεχῶς – ἐνδώσομεν Π 448a,5–34 (cf. supra) ‖ **ep. 449** K 64r–65r; tit.: om. K ⟨φίλῳ τινί⟩ K-D ‖ **5** ἦ corr. K-D: ἢ K

καὶ τούτῳ δὴ τῷ ἔπει ἐξαίρων σὲ τὸν πάμμεγαν ὑπὲρ πάντας εἰς ἅπαντας· «οἶος πέπνυσαι», αἱ δ' ἄλλαι «σκιαὶ ἀΐσσουσιν»; ὡς γὰρ ἡ σὴ μελίρρυτος εἰς χεῖρας ἐμὰς ἐδόθη γραφή, καὶ ἀνεπτύχθη (πῶς ἂν εἴποις;) ἡδέως, καὶ ἀνεγνώσθη (πῶς ἂν ἐρεῖς;) ἀσπασίως,
10 καὶ ἀπεδέχθη θαυμασίως οἵως, εὐθὺς ἔπαθόν τι πρὸς ταύτην τοῖς πολλοῖς ἄπιστον· ἐξέστην ἐκ τῆς ἀμέτρου χαρᾶς καὶ ἡδονῆς, καὶ μικροῦ δεῖν κατεπεπτώκειν εἰς γῆν ἄφωνος γεγονώς, εἰ μή τις ἀναλαβὼν τοῦ τοιοῦδε ἀνεκαλέσατο πτώματος· καὶ τότε ἔγνων, ὡς οὐ μόνον λύπη καὶ δάκρυα ἐκπλήττουσί τε καὶ ὥσπερ
15 ἐμβρόντητον ποιοῦσι τὸν ἄνθρωπον, ἀλλὰ καὶ ἡδονὴ καὶ γέλως λάβρως ἐμπεσόντα, ταράττουσι καὶ ἐκπλήττουσιν.

Ἔπειτα ἀνενεγκών, δίς σου τὴν γραφὴν ἐπῆλθον. Καὶ τί οὐκ ἐθαύμασα, τί οὐκ ἐξεπλάγην; τὸν νοῦν, τὸ κάλλος, τὴν συνθήκην τῶν λέξεων, τὸν τῶν νοημάτων ῥυθμόν, τὴν τῶν γραμμάτων
20 ὡραιότητα, τὴν τῶν στίχων ἰσότητα, τὴν ἀστειότητα τῶν συλλαβῶν, τὴν γλυκύτητα· πάντα εἷλκον, καὶ ἄλλοτε ἄλλο πρὸς ἑαυτὸ ἐπεσπᾶτο. Καὶ τὴν λίθον μὲν εἶναι πιστεύομεν εἰς χρυσὸν ἀκριβῆ βάσανον· ἐγὼ δέ φημι τῶν σῶν (μᾶλλον δὲ τρόπου τοῦ σοῦ) ἀψευδῆ δοκιμασίαν τὰ γράμματα.

25 Ἀλλ' οἷον μικροῦ δεῖν καὶ τόδε παρέδραμε· προσονειδίσω γάρ σοι μικρὸν φιλικῶς ἅμα καὶ ποθεινῶς. Τί τοσοῦτον ἡμᾶς καιρὸν ἐζημίους τοσοῦτον καὶ τοιοῦτον ζημίωμα; Τί δ' ἐπεῖχες γλῶτταν Νεστόρειον, ἧς καὶ «μέλιτος γλυκίων, ῥέεν αὐδή» ὡς ἡ ποίησις; Τί δέ; Οὐ παρῆν σοι χάρτης; Οὐκ ἦν μέλαν; Ἀλλ' ἐπέλιπε
30 κάλαμος; Ἠπόρεις λόγων, ἡ Μοῦσα τῶν λόγων; Ἢ καιρὸν οὐκ εἶχες ἐνδιατρῖψαι τῷ γράμματι; Μὴ προφασίσῃ μὴ ἔχειν τὸν ὡς

7 οἶος – ἀΐσσουσιν: Hom. Od. 10,495 οἴῳ πεπνῦσθαι· τοὶ δὲ σκιαὶ ἀΐσσουσιν. cf. etiam Psel. Εἰς τὸ εὐαγγελικὸν … 'γρηγορεῖτε, ὅτι οὐκ οἴδατε … = Theol. I 101,136 ‖ **15–16** ἡδονὴ – ἐμπεσόντα: cf. Greg. Nys. Περὶ τῆς τοῦ ἀνθρώπου γενέσεως [sermo primus; Sp.] 20,13–14 οὐκ εἶδές ποτε καὶ ἀετὸν λάβρως ἐμπεσόντα θηράματι ‖ **22–23** τὴν – βάσανον: Plat. Γοργίας 486d3–4 τινὰ τῶν λίθων ᾗ βασανίζουσιν τὸν χρυσόν ‖ **27–28** γλῶτταν – ποίησις: Hom. Il. 1,249 τοῦ καὶ ἀπὸ γλώσσης μέλιτος γλυκίων ῥέεν αὐδή. cf. etiam Π 246,4–5 et Π 248,16–17

6 τούτῳ corr. K-D: τοῦτο K | πάμμεγαν corr. K-D: πάμμεγα K ‖ **7** αἱ δ' ἄλλαι: οἱ δ' ἄλλοι dubitanter prop. K-D (in app. crit.) ‖ **22** τὴν corr. Diam 303: τὸν K K-D | χρυσὸν scripsi: χρυσῶν K K-D ‖ **29** μέλαν K-D (corr. Koukoules): μέλας K

ἡμᾶς ἀποκομίσοντα τὸν γλυκὺν φόρτον, τὸ ἥδιον ἀγώγιμον, τὰ σὰ γράμματα· ἀλλ’ εἴ τι τοιοῦτον ἐρεῖς, πάντως ἁλώσῃ ψευδόμενος. Ὅμως ἡμεῖς εἰ καὶ τοσοῦτον ἤδη καιρὸν τὴν ζημίαν ἠνέγκαμεν, ἀπό γε τοῦ νῦν οὐ στέγομεν, οὐδ’ οἷοί τέ ἐσμεν τοιούτου 35 στερεῖσθαι λωτοῦ, τοιαύτης γλώττης, μελισταγοῦς ἀληθῶς. Ἀλλ’ ἢ παντελῶς ἀπάρνησαι τὸ γεύειν ἡμᾶς τῆς τῶν σῶν λόγων γλυκύτητος, ἵνα γε γενναίως καὶ τὴν ζημίαν φέρωμεν, ἢ γεύων, μὴ παύου γεύων.

Τὰ δ’ ἄλλα, θεὸς φυλάττοι σὴν ἀρετὴν ἄτρωτον ἀλώβητον ἐκ 40 πάσης βλάβης.

450. ⟨Κριτῇ τινι (?)⟩
ad Nicephorum (Π xlvi) [cf. Π 188 et epistolarum ordinem in K]?

K-D 9 [K]

Ἀφίκετο ἡμῖν ὁ καλός, φίλτατε καὶ περίβλεπτε ἀδελφέ, ὡς ἐξ Αἰγύπτου, ὡς ἐξ Αἰθιοπίας, ὡς ἐξ Ἰνδίας αὐτῆς, πάσας μὲν πόλεις, πάσας δὲ χώρας, πάσας δὲ γλώσσας ἐμπορευσάμενος. Ἀφίκετο γέμων θυμοῦ καὶ φρονήματος, ἀντὶ μεγάλης φορτίδος, ἀντὶ πολλῶν ἀγωγίμων, τὴν γλῶτταν αὐτοῦ κομίζων πλήρη 5 θαυμασίων διηγημάτων: ὡς κατέλυσε μὲν εἰς τὸ χωρίον Βυριδῶν, ὡς ἡμέρας τινὰς τῷ τόπῳ ἐναυλισάμενος, ἠκρίβωσε πάντα ὅσα ἐν τούτῳ, ὅσα πέριξ, τὰς ἀμπέλους, τὰ πυροφόρα πεδία, τοὺς εἰσβάλλοντας ποταμούς, τὰς ἐκεῖθεν ἀναπνοάς, ὁποῖος ὑπὲρ κεφαλὴν ⟨ὁ⟩ ἀήρ, ὅπῃ τὸ χωρίον συνῆπται, ὅπῃ μεμέρισται, ἥτις 10 τῶν ἀνδρῶν ἡ φύσις, ἥτις τῶν γυναικῶν, τίνες μὲν αἱ τὸ ἔριον πλέκουσαι, τίνες δὲ αἱ τῇ κερκίδι χρώμεναι πρὸς ἱστόν.

35–36 τοιούτου – λωτοῦ: cf. Hom. Od. 9,92–97, locus saepe laudatus; cf. Psel. Ἐγκώμιον εἰς τὸν οἶνον = Or. min. 30,132–133, et Π 201,31, Π 248,25, Π 445,6, et Π 486,4; cf. etiam Π 519,11–12 ‖ **1** ὁ καλός: Elias, de eoque cf. Π 77,9–10 = Π 130,10–11, Π 188,6, Π 219,2, Π 220,3, Π 253,1, Π 254,1, Π 288,1, Π 326,1, et Π 327,1. cf. etiam Π 543,1?

38 γε corr. K-D: τε K ‖ **ep. 450** K 73v–74r; tit. scripsi: ⟨φίλῳ τινί⟩ K-D ‖ **10** ὁ add. K-D

Ὡς δ᾽ οὖν μόλις αὐτῷ τὴν γλῶτταν ἐπέσχομεν, εὐθὺς ἐξολισθήσας, αὐτομολεῖ πρὸς Ἡράκλειαν. Καὶ ὥσπερ τὸ Ἡρακλε-
15 ωτικὸν στόμα τοῦ Νείλου ἰδών, κατέκλυσέ με τῶν λόγων τῷ ῥεύματι: ὡς ἀνῴκισται τὸ πολίχνιον, ἥτις ἡ ἐν τούτῳ μητρόπολις, ὡς πίνει θαυμασίων πηγῶν, ὡς ἀνεῖται Ζεφύρῳ μᾶλλον δὴ τῶν ἀνέμων τῶν ἄλλων, καὶ ἔστιν αὐτῷ παιδικά. Ἐγὼ δὲ μὴ φέρων τὴν ῥύμην τῶν λόγων, ὑπνώττειν προσεποιησάμην· ὁ δὲ βροντή-
20 σας ἀθρόον ἀπὸ τῆς γῆς, οὐδὲ τῆς Ῥαιδεστοῦ με ἀφῆκεν ἀνήκοον.

Εἰ μὲν οὖν καὶ τὴν σὴν ἀκοὴν τῶν ἀστικῶν διηγημάτων πεπλήρωκεν, αὐτὸς ἂν εἰδείης. Ἐμοὶ δὲ τὴν ψυχὴν προσκορῆ παντὸς ἀπείργασται διηγήματος. Ἐπεὶ δέ με πανταχῇ περιήγαγε τῆς Ἑσπέρας, διαβιβάσας τῷ λόγῳ τὸν Ἀδρίαν αὐτόν, τὴν
25 Ἰταλῶν χώραν, τὰ Καμπανῶν πεδία, τὰς διττὰς Ἄλπεις, τὰ Ἀπέννινα ὄρη, τὸ Λιγυστικὸν πέλαγος, τούτων ἀφέμενος καὶ πρὸς ταῖς στήλαις με στήσας ταῖς Ἡρακλέος καὶ Διονύσου, ἐπὶ σὲ τὸν λόγον περικυκλοῖ. Βαβαὶ τῶν βροντῶν, τῶν Καταδούπων, τῶν τοῦ Νείλου καταρρακτῶν! Οὐδέν σοι τῶν ἁπάντων καταλέλοιπεν
30 ἀμνημόνευτον, τὴν δεξιὰν ὡς παντάπασιν ἀδωρόληπτος, τὴν τῆς γνώμης εὐγένειαν, τὸ φιλότιμον, τὴν γενναίαν προαίρεσιν.

Εἶτα δὴ καταβαίνων, ἐξέφρασέ σοι τὴν τράπεζαν, τὸ τῆς διαίτης εἶδος, ὡς διαιτῴης, ὡς γελῴης, ποταπὸς μέν σοι ὁ ἰπνολέβης, ὁποῖον δὲ σοι τὸ κυπελλίον, ὁποῖος ὁ πινακίσκος, ὁ χυτρό-

14–15 ὥσπερ – ἰδών: cf. Heliod. Αἰθιοπικά 1,1,1 ὃ δὴ κατ᾽ ἐκβολὰς τοῦ Νείλου καὶ στόμα τὸ καλούμενον Ἡρακλεωτικὸν ὑπερτείνει ... ὀφθαλμοῖς ἐπήρχοντο cum Psel. Ἐπιτάφιος εἰς ... Ἰωάννην τὸν Ξιφιλῖνον = Or. fun. I 3,11,15 ‖ **24–27** τὸν – Διονύσου: ex Strab. Γεωγραφικά; cf. e.g. 2,5,29, 3,5,6 (στῆλαι ... Ἡρακλέος καὶ Διονύσου), 5,1, 5,3–4 etc. ‖ **28–29** τῶν[2] – καταρρακτῶν: Greg. Naz. Epist. 4,8 οὐδὲν πρὸς τοῦτον οἱ Καταράκται καὶ οἱ Κατάδουποι ‖ **33–34** ἰπνολέβης: cf. Lucian. Λεξιφάνης 8 et Athen. Δειπνοσοφισταί 3,54 ‖ **34–35** πινακίσκος – ἐτνήρυσις: voces Aristophanicae vel ex scholiis in Aristophanem; cf. Aristoph. Πλοῦτος 813 (πινακίσκος), Schol. in vespas 938 (χυτρόπους), Aristoph. Ἀχαρνῆς 245 (ἐτνήρυσις)

15 κατέκλυσέ corr. K-D: κατέλυσε K ‖ **17** δὴ corr. K-D: δὲ K ‖ **25** Καμπανῶν corr. K-D: Καπανῶν K ‖ **26** Ἀπέννινα corr. K-D: Ἀπένινα K | Λιγυστικὸν corr. K-D: Λυγιστικὸν K ‖ **27** στήλαις corr. K-D: στύλαις K ‖ **34** κυπελλίον corr. K-D: κυπελλεῖον K

πους, ἡ ἐτνήρυσις, ὡς τῶν ποτηρίων σου τὸ μὲν ἔκπωμα, τὸ δὲ ἐλέφας, τὸ δὲ ἔφηβος, τὸ δὲ ῥυτόν, τὸ δὲ δακτυλωτόν, τὸ δὲ κάλπις, τὸ δὲ κυβοειδές, τὸ δὲ κισσυβοειδές, ὡς πίνοις ὡς προπίνοις τοῖς φίλοις, καὶ ὡς τῶν οἴνων τὸν μὲν Φαλερῖνον παραιτῇ πληροῦντα τὴν κεφαλήν, τὸν δὲ Χῖον προαιρῇ, τὸ ἧπαρ ἐπιχειλὲς ποιοῦντα πυρός, πῶς ἐπιχεῖ σοι τὸ κύπελλον ὁ τὸν κρατῆρα κιρνῶν, πῶς ἠρέμα τοῖς δακτύλοις ἐντίθησιν. Ἐπεὶ δέ σοι ἐλεπτολόγησε τὸ συμπόσιον, ἐβούλετο δὲ καὶ τὴν μετὰ ταῦτα ἐξακριβῶσαι διατριβήν, σμῆνος ἐγὼ λόγων ἐντεῦθεν ὁρῶν, βαθὺν ὕπνον ὑποκρινόμενος, οὕτως ἀπηλλάγην τοῦ ἀνδρός. 35 40

Ἀλλ' οὗτος μὲν καὶ αὖθις ἡμῖν παραγένοιτο· καὶ πολλάκις τοῦτο· καὶ εἴποι πλείονα ὧν εἰρήκει. Σοὶ δέ, τὰ μὲν ἄλλα ἔχοι καλῶς, τὴν δέ γε δεξιὰν μήτε τοσοῦτον ἐκτείνοις ὥστε μὴ λαθεῖν τὴν ἀριστεράν, μήθ' οὕτως συναγάγῃς ὥστε μάτην μὴ δύνασθαι κἀντεῦθεν ἐπιλιπεῖν σοι τὰ ἄλφιτα. 45

451. ⟨Κριτῇ τινι (?)⟩
Pselli?

K-D 10 [K]

Φίλτατε ἀδελφέ, οὐκ ἐπίσταμαι γνωρίζειν κακούς, ἀλλ' οὐδείς με λανθάνει, περὶ τὸν βίον πονηρός τις ὤν, καὶ ὑποκρινόμενος

35–37 ἔκπωμα – κισσυβοειδές: ex Athen. Δειπνοσοφισταί 11,30 (ἔκπωμα), 11,35 (ἐλέφας, ῥυτόν), 11,36 (ἔφηβος), 11,34 (δακτυλωτόν), 11,49 (κάλπιον), 11,63 (κυμβία), 11,53 (κισσύβιον); cf. Psel. Πρός τινα κάπηλον μεγάλαυχον καὶ φιλοσοφοῦντα διάκενα = Or. min. 13,52–56; cf. etiam Π 538,21–23 ‖ **38** τὸν – Φαλερῖνον: cf. Psel. Εἴς τινα κάπηλον γενόμενον νομικόν = Or. min. 14,143 **39** τὸν – προαιρῇ: cf. Psel. Πρὸς τὸν ἑαυτοῦ παπᾶν = Or. min. 16,54–55 **43** σμῆνος – λόγων: Ach. Tat. Τὰ κατὰ Λευκίππην καὶ Κλειτοφῶντα 1,2,2 σμῆνος ἀνεγείρεις ... λόγων, cf. Psel. Τίνος χάριν τριμερῆ τὴν ψυχὴν οἱ περὶ Πλάτωνα καὶ Ἀριστοτέλην εἰρήκασι = Phil. min. II 30 (108,17) ‖ **47–48** τὴν – ἀριστεράν: Mt. 6,3 σοῦ δὲ ποιοῦντος ἐλεημοσύνην μὴ γνώτω ἡ ἀριστερά σου τί ποιεῖ ἡ δεξιά σου ‖ **48** μήθ' – συναγάγῃς: Luc. 12,17–18 καὶ διελογίζετο ἐν ἑαυτῷ λέγων, ... οὐκ ἔχω ποῦ συνάξω τοὺς καρπούς μου; ... καὶ συνάξω ἐκεῖ ...

36 δακτυλωτόν corr. K-D: δακτυλωγόν K ‖ **46** σοὶ corr. K-D: σὺ K **47** ἐκτείνοις corr. K-D: ἐντείνοις K ‖ **ep. 451** K 74r–v: ⟨κριτῇ τινι⟩ K-D **1** οὐδείς scripsi: οὐδέν K K-D

καλοήθειαν· ἔστι γάρ μοι τέχνη περὶ τοὺς χαρακτῆρας τοῦ σώματος, δι' ὧν [ἀκριβ]ῶς ἐγκύπτω εἰς τὴν ψυχήν. Καὶ τοῦτον
5 οὖν τὸν ἄνδρα, ἐκ χρόνων πολλῶν καταλαβών, καὶ γνωρίσας ὁποῖός ἐστι τὴν ψυχήν, ἠγάπησά τε καὶ ᾠκείωσα ἐμαυτῷ· ἔστι γὰρ (νὴ τὴν ἱεράν σου ψυχήν!) γνώμης ἀγαθῆς μέτοχος, καὶ χαρακτηρίζεται ἐξ ἀρίστων ἠθῶν.

Εἰ οὖν αὐτῷ χρήσῃ ὡς οἰκειοτάτῳ, ἔτι μᾶλλον τὸν ἄνδρα
10 γνωρίσεις ἀπὸ τῶν ἠθῶν, ἢ ἀπὸ τῶν ἡμετέρων γραφῶν.

452. ⟨Κριτῇ τινι (?)⟩

S 119 [P]

Ἐγὼ μὲν οὐδ' οἶμαι, λαμπρότατε καὶ ἠγαπημένε μοι, τὸ πτωχότατον τοῦτο καλογηρίδιον καὶ τὴν ζωὴν ἀπεγνωσμένον, ἢ μοναστήριον αὐτόθι ἔχειν ἢ βραχύ τι ἐδάφιον. Ἐπεὶ δὲ τὴν γλῶτταν ἔχει μακροτέραν τῆς κινητῆς ὑποστάσεως, εἶτα καὶ

3–4 ἔστι – ψυχήν: cf. Psel. Εἰς τὸν αὐτοῦ ἔκγονον ἔτι νήπιον ὄντα = Or. min. 38,17–20 ἐπεὶ καὶ γνωματεύειν ἐγὼ δεινός, εἴπερ τις ἄλλος, καὶ διὰ τῶν αἰσθήσεων ὥσπερ θυρίδων τινῶν προκύπτειν εἰς τὴν ψυχήν, μᾶλλον δὲ αὐτὴν ὀφρύσι καὶ ὀφθαλμοῖς ἐγκαθημένην κατανοεῖν, Π 9,46–50 δεινὸς δὲ εἰ καί τις ἄλλος ἐγὼ ψυχὴν κατοπτεῦσαι δι' ἐναργῶν τινῶν συμβόλων καὶ χαρακτήρων (ἢ γὰρ μάτην ἂν εἴην ἀνεγνωκὼς φυσιογνωμικὴν τέχνην, εἰκῇ δέ μοι καὶ ὁ χρόνος τῆς περὶ ταῦτα πείρας ἀνάλωται· ἀλλ' οὐκ ἔστι ταῦτα), Π 10,55–56 δεινὸς γὰρ εἰ καί τις ἄλλος, ὥσπερ δι' ὑμένος λεπτοῦ τοῦ σώματος, καὶ καρδίαν καὶ ἧπαρ ἰδεῖν, Π 173,61–66 ἐγὼ δὲ φιλόσοφος (ὡς οἶσθα) τυγχάνων, καὶ τὴν κρίσιν ἀπαραλόγιστος, «ἐκ κεφαλῆς» (ὅ φασιν) «ἐς πόδας» κατανενόηκά σε. μεμάθηκα δέ σοι καὶ τὰ τῶν στέρνων ἐντός, καὶ τὸ χρῆμά σοι τῆς ψυχῆς οὐκ ἠγνόηκα. τοιοῦτόν ἐστι φιλόσοφος ὀφθαλμός, οὐ τοῖς σχήμασι καὶ ταῖς ἐπιφανείαις προσέχει, ἀλλ' ἐμβαθύνει τοῖς βάθεσι, et Π 375,25–29 ἔγωγ' οὖν (ἵνα τί σοι καὶ τῶν ἐμῶν ἀπορρήτων εἴπω), καὶ ὃν οὔπω καθεώρακα ἅπαξ ἰδών, ἀπὸ τῶν ὀφθαλμῶν ἐγνωμάτευσα· σοῦ δὲ καὶ … εἰς τὴν ψυχὴν διὰ πάντων παρέκυψα ‖ **4** ἐγκύπτω – ψυχήν: cf. Psel. Ἐγκωμιαστικὸς εἰς … Μιχαὴλ τὸν Κηρουλλάριον = Or. fun. I 1,41,33–35 εἰς ψυχὴν ἐγκύπτων καὶ ἀπὸ τῶν φαινομένων χαρακτήρων εἰς τοὺς κεκρυμμένους συμπεραινόμενος

4 ἀκριβῶς dubitanter scripsi: [ἔστι σαφ]ῶς ἐγκύπτειν suppl. et corr. K-D **5** καταλαβών corr. K-D: καταβαλὼν K ‖ **ep. 452** K 74v, P 217r–v **1** ἠγαπημένε μοι P S: ἠγαπημένε K ‖ **3–4** τὴν – μακροτέραν K: μακροτέραν ἔχει τὴν γλῶτταν P S

πλάττεται ἐπηρεαστὰς καὶ ἀντιδίκους τινάς, χρῶμαι κἀν τούτῳ τῷ τοῦ δικαστηρίου ἀξιώματι· καὶ μὴ ὅτι πένης, ἀλλ' ὅτι ἀδικεῖσθαί φησι, τυχέτω τῆς παρὰ σοῦ ἐκδικήσεως. 5

Εἰ δ' ὥσπερ ἐν σκηνῇ πάντα τούτῳ δεδραματούργηται (τὸ φροντιστήριον, οἱ μοναχοί, οἱ ἀδικοῦντες, οἱ ζημιοῦντες), καὶ οὐδὲν ἀληθές, ποίησον αὐτὸς ἐν τῷ δικάζειν αὐτῷ ἀντισκήνιον· καὶ πρόσταττε τοῖς ἐπὶ τῆς τάξεως ἀγαγεῖν τοὺς βλάπτοντας τοῦτον οὔπω γεγενημένους· ποίησον δὲ καὶ σκιώδη παρασημείωσιν, ἵν' εἴη πάντως, ὥσπερ ἐν δράματι, ἀνυπόστατά τε καὶ παίγνια. Εἰ δ' ἔστι τις αὐτῷ οἴκου μερίς, γενοῦ μετὰ τῆς ἀληθείας· καὶ βοήθησον τῷ ἀδικουμένῳ γέροντι. 10 15

453.

Pselli?

K-D 11 [K]

Εἰ καὶ μηδὲν ἄλλο, πνευματικὲ ἀδελφέ, συνίστησιν ἡμᾶς καὶ συνδεσμεῖ καὶ ἑνοῖ, ἀλλ' ἥ γε χρονία διαγωγή, καὶ ἡ κοινὴ τῶν μαθημάτων μετάληψις, καὶ τὸ ἀπὸ τοῦ τρόπου (ἵνα θαρρήσας εἴπω) συνδικαστικόν τε καὶ κόσμιον (τίνων οὐ δεσμῶν, ποίων οὐχ ἁρμονιῶν ἁρμοδιώτερον ὄν;) συνέχει καὶ φυλάττει καὶ συναρμόζει τὰ τῆς φιλίας. Οὕτω δὲ καὶ τοῦ [πράγμα]τος ἔχοντος καὶ δὴ οὕτως ἀσφαλῶς κρηπιδωθείσης καὶ ἐρεισθείσης τοῖς τοῦ Πινδάρου χρυσέοις κίοσι τῆς ἡμετέρας φιλίας, ἀκόλουθόν ἐστι καὶ γράφειν ἀλλήλοις καὶ τὰ εἰκότα προσαγορεύειν καὶ κατασπάζεσθαι. Εἰ μὲν γὰρ δυνατῶς εἶχον εὐχῇ καὶ μηχανῇ τινι τὴν τῶν ὀρνίθων φύσιν κατὰ τὸν μελοποιὸν ἐκεῖνον ἀλλάξασθαι, ἔπτην ἂν καὶ ἦλθον ἵνα 5 10

7–8 τοῖς – κίοσι: cf. Pind. Ol. 6,1–3 χρυσέας ὑποστάσαντες εὐτειχεῖ προθύρῳ θαλάμου / κίονας ὡς ὅτε θαητὸν μέγαρον / πάξομεν cum Greg. Naz. Εἰς τὸν μέγαν Βασίλειον ... = Or. 43,20 οὕτω δὴ τὰ πρὸς ἀλλήλους ἔχοντες, καὶ τοιαύτας ὑποστήσαντες εὐτειχεῖ θαλάμῳ χρυσέας κίονας, ὅ φησι Πίνδαρος **9–11** εἰ μὲν – ἀλλάξασθαι: cf. Alcm. fr. 26 ... βάλε δὴ βάλε κηρύλος εἴην, / ὅς τ' ἐπὶ κύματος ἄνθος ἅμ' ἀλκυόνεσσι ποτήται / νηδεὲς ἦτορ ἔχων, ἁλιπόρφυρος ἱαρὸς ὄρνις

ep. 453 K 75r–v; tit: ⟨συμμαθητῇ τινι⟩ K-D ‖ **4** συνδικαστικόν K: συνδυαστικόν corr. K-D ‖ **5** ἁρμονιῶν corr. K-D: ἁρμοδιῶν K ‖ **6** πράγματος suppl. K-D

σὲ τὸ ἐμὸν περιπτύξωμαι μέλημα· Δαίδαλον γὰρ καὶ τὰ Δαιδάλου, εἰ καὶ τῆς τέχνης ἐπαινῶ, τῆς γνώμης οὐκ ἄγαμαι, ὅτι κηρῷ λυσίμῳ τοῦ παιδὸς ἠθέλησε πιστεῦσαι τὴν σωτηρίαν. Ἐπεὶ
15 δὲ τῇ φύσει τοῦτο οὐκ ἔστι δοκοῦν καὶ παρὰ τοῦτο φέρομαι πρόσγειος, τοῖς τοῦ πόθου τὸ κατὰ δύναμιν πτεροῖς κέχρημαι. Πάντως δὲ Ἐρώτων ὁ πόθος πατήρ· καὶ τοὺς Ἔρωτας οἱ ζωγράφοι (ὡς τὰ πολλὰ) πτερωτοὺς ἀναγράφουσιν.

Ἡμᾶς δὲ ἴσθι ἐν μέσῳ παγίδων διαβαίνειν, καὶ ἐπὶ ἐπάλξεως
20 περιπατεῖν, ἀδελφέ· ἡ γὰρ τῶν ἐντοπίων κακία καὶ τὸ πολύτροπον καὶ σκαιόν, ὑπὲρ τοὺς Κέρκωπας ἐν αὐτοῖς ἐμφωλεῦον, οὐ μικρῶς ἡμᾶς θράττει καὶ νύσσει καὶ σκανδαλίζει, ὡς οὐ χρηστὸν τὰ καθ' ἡμᾶς ἕξει τὸ πέρας, κἂν Μίνωος καὶ Ῥαδαμάνθυος εὐστοχωτέρως κρίνωμεν καὶ δικάζωμεν. Ἀλλ' ὅμως ἐπὶ θεὸν τὰ καθ'
25 ἡμᾶς ἐπιρρίψαντες, καὶ ὡς αὐτοῦ παρόντος ἅπαν ἄπορον πόριμον λογισάμενοι, εὐθυμοῦμέν τε καὶ παρακερδαίνομεν· τὸ γὰρ τελέως, ὡς ἔφην, ἡ τῶν ἐγχωρίων ἀφαιρεῖται κακία.

Ἐπὶ πᾶσιν ἴδοιμί σε ὡς ἐφίεμαι· ἐφίεμαι δέ, ὡς αὐτὸς σὺ ποθεῖς· ποθεῖς δὲ πάντως ὑγιαίνειν ψυχῇ καὶ σώματι· τούτου γὰρ
30 παρόντος καὶ τἆλλα ἐφέψεται.

Ὁ καλὸς Στυλιανὸς προσαγορευθήτω πάνυ γνησίως· ἡμέτερος γάρ ἐστι καὶ τῆς ἡμετέρας ποτὲ συμμορίας.

12–14 Δαίδαλον – σωτηρίαν: de Daedalo cf. Ps.-Apollod. Bibl. 1,12a–13a et 12b–13b ‖ **19–20** ἐν – περιπατεῖν: Eccl. 9,13 ἐν μέσῳ παγίδων διαβαίνεις καὶ ἐπὶ ἐπάλξεων πόλεως περιπατεῖς ‖ **20–21** ἡ – Κέρκωπας: cf. e.g. Suda κ 1406 Κέρκωπες: πανοῦργοι, δόλιοι, ἀπατεῶνες, κόλακες· ... ψεύστας, ἠπεροπῆας, ἀμήχανά τ' ἔργ' ἐάσαντας, ἐξαπατητῆρας etc. cum Lucian. Ἀλέξανδρος ἢ ψευδομάντις 4 τῶν ἐπὶ κακίᾳ διαβοήτων ἀκρότατος ἀπετελέσθη, ὑπὲρ τοὺς Κέρκωπας ... ‖ **23–24** Μίνωος – δικάζωμεν: cf. Plat. Γοργίας 523e7–8 ἐποιησάμην δικαστὰς ὑεῖς ἐμαυτοῦ, δύο μὲν ἐκ τῆς Ἀσίας, Μίνω τε καὶ Ῥαδάμανθυν. cf. Psel. Εἴς τινα κάπηλον γενόμενον νομικόν = Or. min. 14,91–92 et Π 193,5, Π 319,7, et Π 413,5–7 ‖ **25** αὐτοῦ – πόριμον: Synes. Cyren. Epist. 139,31–32 θεοῦ δὲ παρόντος ἅπαν ἄπορον πόριμον; cf. Suda θ 188

21 ὑπὲρ corr. K-D: περὶ K ‖ **26** εὐθυμοῦμέν scripsi: ἐπιθυμοῦμέν K K-D | τὸ K (scil. τὸ ... τελέως κερδαίνειν): τῷ corr. K-D

454.

S 11 [P]

Καὶ σιγᾶν καὶ γράφειν ἄμφω με ποιεῖν ἠνάγκασεν ὁ καιρός. Ἐσίγησα μὲν γὰρ πρότερον, ἵνα παρὰ σοῦ λάβω τοῦ λόγου τὸ σύνθημα· γράφω δὲ νῦν, ἵνα σε πρὸς τὸ λέγειν αὐτὸς ἐκκαλέσωμαι. Ἐνάντια μὲν γὰρ ταῦτα· ἀλλὰ παρὰ τὰς ἐνηλλαγμένας αἰτίας καὶ τοῦ καιροῦ τὸ διάφορον, φεύγει τὴν 5 ἐναντίωσιν.

Ἐρωτῶ οὖν σε πρότερον αὐτὸς τῆς σιωπῆς τὴν αἰτίαν, ἵνα τὴν τοῦ γράφειν ὕστερον ἀποδώσω σοι. Εἰ μὲν γὰρ ἐπ' ἄλλῳ τινὶ μᾶλλον ἀλλὰ μὴ τῇ τῶν λόγων ζῶν τυγχάνεις φορᾷ, τάχα ἄν σέ τις ἀφῆκε μέμψεως ὅτι τοῦ τοιούτου σπουδάσματος ἀμελεῖς, πρὸς 10 ἑτέροις ἔχων τὸν νοῦν· ἐπεὶ δ' ἔλαττον τὸν ἀέρα ἢ τοὺς λόγους ἀναπνεῖν ἔοικας, μετεσχημάτισται δέ σοι καὶ ἡ γλῶττα, ὥσπερ τοῖς ἄλλοις πρὸς τὸ ἁπλῶς λέγειν, οὕτω δή σοι πρὸς τὸ ἀττικίζειν, τί ποτε ἄρα τὸ αἴτιον τῆς πρὸς ἡμᾶς ἀφωνίας; Εἰ μὲν γὰρ ἀρχὴν νῦν φιλίας τιθέμενος, τὸν τῆς ὁμιλίας καιρὸν ὅπως δὴ κατὰ λόγον 15 γένοιτο ἐδοκίμαζες, εἶχεν ἂν λόγον ἡ σιωπή· ἐπεὶ δὲ ταῖς ἀντιδιαθέσεσι καταγεγηράκαμεν, διατί ὡς νῦν πρῶτα τὴν τῆς φιλίας βάσιν πηγνύμενος περὶ ἡμῶν διανοῇ, καὶ τὸν καιρὸν ἐξετάζεις τοῦ λέγειν, ὃς δὴ πάλαι ἐξήτασται καὶ πρὸς τὴν ὁμιλίαν ἠκρίβωται;

Μαντεύσομαι οὖν ὅπερ ἐρεῖς πρὸς ἡμᾶς ἀπολογούμενος: 20 φιλόσοφος γὰρ ὢν ἀνὴρ καὶ ψυχῇ τὰ πλείω διδοὺς ἀλλὰ μὴ γλώσσῃ, ὡς καὶ ὁρᾷς καὶ ὁμιλεῖς, μήτε σώματι ἡμῶν διατειχιζόμενος, μήτε τόπῳ περιγραφόμενος.

Τί δὲ μόνοις ἄρα τοῖς φιλοσόφοις ὑμῖν ἡ γλῶσσα ἐγκαταλέλειπται; Ἐχρῆν δὲ οὐκ ἀφώνους μόνον, ἀλλὰ καὶ ἀχείρους ὑμᾶς 25

ep. 454 ad Leonem Paraspondylum (Π LI) [ut De Vries-Van der Velden 1999: 342–343]?

ep. 454 P 194v–194ar, B 158r–159r; tit.: ἔτι εἰς τὸν αὐτόν (viz. Πρὸς τὸν λοίδορον ῥίψαντα χάρτην = Or. min. 7) B ‖ **4** ἐνάντια B: ἐν αἰτίᾳ P S ‖ **5** φεύγει P S: φεύγω B ‖ **9** τυγχάνεις : τιχ[.....] B ‖ **12** γλῶττα P S: γλῶσσα B **20** πρὸς – ἀπολογούμενος B: ἀπολογούμενος πρὸς ἡμᾶς P S ‖ **21** διδοὺς : [..]δοὺς B ‖ **22** ὡς P S: βιάσῃ τάχα ὡς B | ὁρᾷς – ὁμιλεῖς : ὁ[ca. 7 litt.]μιλεῖς B **22–23** ἡμῶν – μήτε : [ca. 10 litt.]χιζό[ca. 6 litt.]τε B ‖ **24** τοῖς : [....] B | ὑμῖν P S: om. B

γεγονέναι, ἵνα μήτε λέγειν δύνησθε μήτε γράφειν. Ἀληθὴς μὲν γὰρ ὁ λόγος ὅτι σοφίζεταί τις τὴν τοῦ ἀπόντος ὄψιν, φαντασιούμενος αὐτὴν καὶ τυπούμενος. Οὐ μὴν ⟨δὲ⟩ ἀρκεῖ πρὸς εὐφροσύνης λόγον ἡ φαντασία, ἀλλὰ τοῦ ἐμψύχου προσώπου εἴδωλόν ἐστι τὸ
30 εἰκονιζόμενον· κἂν φωνὰς ἀναπλάσῃς, κἂν ἄλλο τι τοῦ ἀφεστηκότος, ἐλάττονα πάντα τῆς ἀληθείας καὶ βραχεῖα παραμυθία ψυχῆς. Οἷς μὲν γὰρ οὐκ ἔξεστι λέγειν οὐδ' ἐπιστέλλειν, αὐτάρκης ἴσως ἡ τοῦ λέγειν ἀνάπλασις· οἱ δ' ἀμφοῖν ἐν ἐξουσίᾳ ὄντες, διατί ἐξὸν ἀληθίζεσθαι ἕλοιντο ψεύδεσθαι; Εἰ μὲν γὰρ ἄνευ τῶν σωμάτων
35 ἐζῶμεν, περιττὸν ἂν τὸ λέγειν ἐτύγχανεν ὄν· ἐπεὶ δὲ δέδεται ἡμῖν ἐν τούτοις τὰ νοήματα τῶν ψυχῶν καὶ οὐ χωρεῖ ἐπ' ἐξουσίας πρὸς ἄλληλα, ἑπόμεθα τῷ νόμῳ τῆς φύσεως. Καὶ παρόντες μὲν διὰ τῆς κατὰ πρόσωπον ὁμιλίας, ἀπόντες δὲ δι' ἐπιστολῶν ὁμιλήσομεν· δύο γὰρ δυσὶν ἀποδέδοται, λόγος καὶ γράμμα, ἑνώσει καὶ διαστά-
40 σει· τὸ μὲν πρῶτον τῷ πρώτῳ, τὸ δὲ λοιπὸν τῷ δευτέρῳ, καλλίονα δὲ τῶν δευτέρων τὰ πρῶτα.

Πλὴν ἀλλ' ἐγώ τι τῷ γράμματι πλέον χαρίζομαι· μάλιστα γὰρ τὸν φίλον ἀπεικονίζεται, καὶ τὸν χαρακτῆρα δείκνυσι τῆς ἐκείνου ψυχῆς. Ὁ μὲν γὰρ ἁπλοῦς λόγος κατὰ τὸ ἐπιτυχὸν ἀπαγ-
45 γέλλεται, καὶ οὐ μάλα σαφηνίζει τὸν λέγοντα· ὁ δ' ἐπιστολιμαῖος τὴν ἐνδιάθετον μορφὴν ἀποτυποῦται τοῦ γράφοντος. Ποῦ δὲ ἐν ταῖς ἁπλαῖς ὁμιλίαις κάλλος ἢ συνθήκη φράσεως, ἢ ἁρμονίας ἐμμελοῦς ἔμφασις; Οἱ δὲ τῆς ἐπιστολῆς τύποι τὰς τοιαύτας ἀναμάσσονται χάριτας· καὶ μᾶλλον εἰσδύνουσι τὰ γράμματα ταῖς
50 ψυχαῖς, ἢ εἴ τις αὐτὰ τὰ πράγματα φέρων ἐνήρμοζεν. Ὁρᾷς ὅπως ὁ λόγος τὴν τῆς ἐπιστολῆς ἐπῆρε μορφήν, κατόπιν ταύτης τὴν ὁμιλίαν ἀφείς;

Σὺ δὲ ἀξιοῖς, εἰ μὴ ὁμιλεῖν ἔξεστιν, ἄλλως μὴ φθέγγεσθαι. Ἀλλ' εἰ μὲν τοῦτο μόνον ἠδύνω ὥσπερ οἱ τοὺς λόγους στωμύλλον-
55 τες, τοῦ δὲ γράφειν ἐλάττων καθέστηκας, οὐκ ἂν σου τὴν σιωπὴν

28 δὲ addidi ‖ **34** ἕλοιντο B: εἵλοντο P S ‖ **35** ἐζῶμεν P S: ζῶμεν B **38** ὁμιλήσομεν P S: ὁμιλήσωμεν B ‖ **40** μὲν P S: μὲν γὰρ B ‖ **41** δευτέρων P S: ὑστέρων B ‖ **53** ἄλλως – φθέγγεσθαι P S: μηδὲ φθέγγεσθαι ἄλλως B **54–55** στωμύλλοντες : [....]ύλλοντες B ‖ **55** τὴν σιωπὴν P S: τὴν αἰτίαν τῆς σιωπῆς B

ἐμεμψάμην. Ἐπεὶ δέ, ὥσπερ ἐν ἴσῳ ζυγῷ καὶ σταθμῷ, πρὸς μὲν τὴν ὁμιλίαν ὁ ἁπλοῦς σοι λόγος ἠκρίβωται, πρὸς δὲ τὸ γράφειν ὁ ἐπιστολιμαῖος ἐξήτασται χαρακτήρ, ἐχρῆν ὥσπερ ἐχαρίζου προσομιλῶν, οὕτω δὴ εὐφραίνειν καὶ ἐπιστέλλων. Τοιοῦτον ἡμῖν τὸ τοῦ λόγου γέγονε δικαστήριον· κατηγόρηκα μὲν γάρ, πρὶν δέ σε 60 ἀπολογήσασθαι, τήν τε ἀπολογίαν ἀνεπλασάμην σοι καὶ τὰς αὐτῆς διελυσάμην ἀνάγκας.

Σὺ δ' ἴσως πρὸς ἑτέρας ἀντιλογίας χωρήσεις, ὅτι τῶν πραγμάτων ὅλος γενόμενος, ἐκείνοις τὴν πᾶσαν καταναλίσκεις φροντίδα, ἐν δευτέρῳ τοὺς φίλους ποιούμενος. Εἰ μὲν οὖν ἄλλο τι 65 φιλίας σοι κρεῖττον ἔδοξε, τοῦτο δίδασκε καὶ σιγήσομαι· εἰ δ' οὐκ ἀφῆκας τὰς τῶν κρειττόνων δόξας ἀλλ' ἔτι μεμένηκας ἡμῖν, ὑγιῶς ἔχων περὶ τὰ δόγματα, οὐκ ἔστιν ὅ τι ἄν τις μεῖζον κατηγορήσῃ σου.

Ἀλλ' οἶμαι σόφισμά σοι τοῦτο προβεβλῆσθαι πρὸς τὰς 70 μέμψεις εὐφυέστατόν τε καὶ γενναιότατον· δεικνύεις γὰρ τὸν λόγον, ὥσπερ τῆς πηγῆς τὸ μετοχετευόμενον, μηκέτι ἐπ' ἄλλο μέρος ἐπιρρεῖν δύνασθαι. Ἀλλὰ κἂν τοῦτο δοίημεν, ὁ λόγος διάφορος. Τὸ μὲν γὰρ ὕδωρ σῶμα τυγχάνον, ἢ μεθίσταται, ἢ λεπτύνεται μεριζόμενον· ὁ δέ γε λόγος πανταχόσε μετακλινόμενος, ἐν ᾧ 75 μερίζεται μᾶλλον παχύνεται· δυναμοῦται γὰρ ἐν τοῖς μερισμοῖς· ἡ γὰρ πηγὴ τῆς ψυχῆς, ἀφ' οὗ καταρρεῖ τοῖς ὀχετοῖς, ὥσπερ ὀφθαλμὸς ὑπανοίγεται. Ἄλλοις μὲν οὖν ἴσως οὐκ αὐτάρκης ὁ λόγος ἐπ' ἀμφότερα διαιρούμενος· σὺ δὲ ὁ δώδεκα ὅλοις κρουνοῖς τὸ στόμα

56 ἐν – σταθμῷ: iunctura saepe laudata; cf. e.g. Greg. Naz. Περὶ φιλοπτωχίας = Or. 14,5 *καὶ τιθέντος ἐν ζυγῷ καὶ σταθμῷ τὸν ἔλεον* ‖ **79** ὁ – στόμα: Dion. Halicarn. Dem. 28,35 *ῥεῖ τὸ δωδεκάκρουνον ἐκεῖνο στόμα τοῦ σοφοῦ* (de Platone); cf. etiam Suda *δ* 1440 Δωδεκάκρουνος: *κρήνη Ἀθήνησιν ἦν* (cf. Suda ε 4576) et Suda *δ* 1441 Δωδεκάκρουνον στόμα: *ὁ γὰρ Κρατῖνος ἑαυτὸν ἐπῄνεσεν ἐν Πυτίνῃ λέγων· ἄναξ Ἄπολλον, τῶν ἐπῶν τοῦ ῥεύματος καναχοῦσι πηγαί, δωδεκάκρουνον στόμα, Ἰλισσὸς ἐν τῇ φάρυγγι ἂν εἴποιμι* (cf. Suda α 4576)

58 ἐξήτασται B: ἐξίσταται P S ‖ **61–62** τὰς – ἀνάγκας P S: τὰς ἀνάγκας αὐτῆς διελυσάμην B ‖ **63** ἑτέρας ἀντιλογίας P S: ἀντιλογίας ἑτέρας B ‖ **66** φιλίας – κρεῖττον P S: κρεῖττον φιλίας σοι B ‖ **73–74** ὁ – διάφορος P S: διάφορος ὁ λόγος B ‖ **77–78** ὀφθαλμὸς scripsi: ὀφθαλμὸν P S ὀφθαλμοῖς B

80 ἐμπλατυνόμενος, πῶς ἔλαττον ἕξεις, ἐφ' ἑκάτερα τὰ μέρη τὸ ῥεῦμα τοῦ λόγου ἀφεῖναι ἀναγκαζόμενος;

Εἴπω οὖν αὐτὸς τὴν αἰτίαν, ὅτι σιωπᾶν εἵλου νῦν, τοῦτο δοξάσας πρὸς ἡμᾶς: αἱ τύχαι σου τὰς γνώμας μετήλλαξαν, καὶ ἡ τοῦ βίου ἐπὶ τὸ κρεῖττον μεταβολὴ τὸν λόγον ἐπὶ τὸ χεῖρον
85 μετέθηκε. Καὶ ὥσπερ πάλαι εἰς Ἑρμοῦ λογίου τύπον εἰκονισθεὶς τὰς ἰδιώτιδας ἠθέτεις τῶν ἀκοῶν, οὕτω νῦν μετεωρότερος τῶν πολλῶν γεγονὼς τῶν περιγείων ἡμῶν ἀνθρώπων καταπεφρόνηκας. Καὶ οὔτε σοι λόγος διὰ τιμῆς, οὔτ' ἐπιστήμη καὶ τέχνη διὰ σεβάσματος, ἀλλὰ δορυφορίαι καὶ θρόνοι καὶ τύχης ὄγκοι τὸ
90 σπουδαζόμενον· καὶ μεταβέβλησαι πρὸς τὰς ἐν τούτοις φωνάς. Πάλαι μὲν γὰρ τοὺς τῶν λόγων χαρακτῆρας ἐξήταζες, νῦν δὲ τὰς τῶν λίθων δοκιμάζεις μορφάς· καὶ πρώην μὲν ὅπως ἂν τὴν τοῦ λόγου βάσιν ῥυθμίσῃς ἐσπούδαζες, νῦν δέ σοι ἡ ἀκριβὴς τοῦ οἴκου κρηπὶς τὸ μελέτημα, καὶ τὴν βάναυσον τέχνην προείλου τῆς
95 ἀποδείξεως, καὶ πάντα σοι μᾶλλον ἢ ὁ λόγος τετίμηται.

Σὺ μὲν οὖν δοκεῖς ἀναβεβηκέναι καὶ μετεωρίζῃ τῷ πράγματι· ἔστι δὲ τὸ πρᾶγμα ἐσχάτη κάθοδος, ἵνα μὴ πτῶσις λέγω ἢ τοῦ ὄντος παντελὴς στέρησις. Ἀλλ' εἰ μὲν ἄμφω τιμᾷς, καὶ τὸν παλαιὸν πλοῦτον, τοὺς λόγους, καὶ τὸν νεωστὶ προσερρυηκότα
100 σοι, τὸν χρυσὸν καὶ τὴν ἄλλην λαμπρότητα, οὐ φθονήσομέν σοι τοῦ χρήματος, ἀλλὰ μέρος σοι καὶ αὐτοὶ τῶν ἐπαινούντων γενώ-

85 Ἑρμοῦ λογίου: iunctura saepissime laudata; cf. e.g. Ael. Arist. Πρὸς Πλάτωνα περὶ ῥητορικῆς 5,22–23 cum Psel. ⟨De servitute a secretis⟩ = Or. min. 11,60 et Π 22,34, Π 248,12–13 et Π 408,16–18 ‖ **86** τὰς ἰδιώτιδας … τῶν ἀκοῶν: cf. Psel. Ἐγκώμιον εἰς τὸν Μεταφραστὴν … = Or. hag. 7,263–264 *τῷ δέ γε σαφεῖ καὶ ποτίμῳ τὰς ἰδιώτιδας ἀκοὰς τῆς ἑαυτοῦ φωνῆς ἀνηρτήσατο* et Εἰς τὸ 'περιεπάτει ὁ θεὸς τὸ δειλινὸν …' = Theol. I 72,1–2 *ὁ τὴν γλῶτταν χρυσοῦς Ἰωάννης μὴ δημοσιεύων εἰς ἰδιώτιδας ἀκοὰς τὰ ἀνέκφορα*. cf. etiam Ioann. Philop. Περὶ ἀϊδιότητος κόσμου 2,21–24 *παραλέλειπται δὲ Βασιλείῳ δικαίως ἐπ' ἐκκλησίας τοὺς ἑαυτοῦ πρὸς ὠφέλειαν τοῦ πλήθους δημοσιεύοντι λόγους, ὡς τῇ ἰδιώτιδι καὶ ἀκοῇ καὶ διανοίᾳ μὴ σύμμετρα* et Damasc. Περὶ τῶν πρώτων ἀρχῶν I 8,2–3 *καὶ γὰρ ἦν τῷ ὄντι παρακινδυνευτικώτατος ὁ λόγος ἐκπίπτων εἰς ἰδιώτιδας ἀκοάς*. iunctura Pselliana in Mich. Ital. Epist. 12 (138,11–12) *τοῦτο δὲ καὶ ταῖς ἰδιώτισιν ἀκοαῖς ἐνσταλάττοιμεν κατάλληλον πόμα* laudata?

80 ἔλαττον P S: ἂν ἔλαττον B | τὸ ῥεῦμα P S: om. B ‖ **84** ἐπὶ τὸ² : [.....] B **87–88** κ[.....]φρόνηκας B ‖ **95** ὁ λόγος P S: λόγος B

μεθα, οὐχ ὥστε κολακεύειν ἐθέλειν, ἀλλ' ἵνα ἔχῃς ὑποθήκας πρὸς τὴν τῆς τύχης οἰκονομίαν. Εἰ δ' ὥσπερ οἱ τοὺς ἀέρας ἀμείβοντες, τὴν ἕξιν μετήμειψας, ἡμεῖς μὲν οὐδ' οὕτως σοί τινα μέμψιν ἐπάξομεν (μὴ οὕτω μανείημεν ὥστε τῆς παλαιᾶς ἐπιλελῆσθαι φιλίας!)· 105
σὺ δ' ὅρα ὅ τι ἀπολογήσῃ εἴ τινές εἰσιν ἕτεροι ἔλαττον τῆς σῆς φροντίζοντες ὑπολήψεως.

455. ⟨Μαθητῇ τινι⟩
post a. 1054

S 16 [P]

Ἀπείληφα παρὰ σοῦ, περίβλεπτε καὶ φιλοσοφώτατε ἄνθρωπε, ὅπερ ἐβουλόμην λαβεῖν· ἐβουλόμην δὲ οὐ τὴν ἀποδεικτικήν, αὐτὸ δὴ τὸ τῆς ἐπιστήμης ὄργανον, ἀλλὰ τὴν σὴν ἐν ἤθει καὶ λόγῳ φιλοσοφίαν. Ἄμφω τοίνυν ἀπολαβών, τὸ μὲν ἐν λόγῳ διὰ τὴν εὐρυθμίαν, τὸ δὲ ἐν νῷ διὰ τῆς πρὸς τὴν ἀπολογίαν φιλοτιμίας, 5
ἥσθην (πῶς ἂν εἴποις;). Ἔγωγ' οὖν (ἵνα σοι τὸ ἀπόρρητον τῆς ἐμῆς ἐξαγορεύσω ψυχῆς), οὐ τοῦ βιβλίου χάριν ἢ τῆς σῆς μᾶλλον ψυχῆς, τὴν προτέραν ἐποιησάμην ἐπιστολήν, ἵν' εἰ μὲν ἡδέως δέξῃ τὸ γράμμα καὶ μὴ χαλεπήνῃς τὴν ἐπιτίμησιν, τοῖς γνησιωτάτοις ἐγκατακρίναιμί σε καὶ μετὰ τῶν ἄγαν φιλοσοφησάντων 10
καταριθμήσαιμι, εἰ δ' ἄλλως ποιήσοις, ὡς φιλοσοφίας ἐφόλκιον ἀποθώμεθα.

Ἐπεὶ τοιγαροῦν καὶ ταῖς κρείττοσιν ἡμῶν ἐλπίσι προστέθεικας καὶ φιλόσοφον τὴν ἀπόκρισιν δέδωκας, οὐ τοῖς ἐμοῖς θιασώταις μόνον συναριθμῶ, ἀλλὰ καὶ προαριθμῶ καὶ προτίθημι καὶ 15
τοῦ χοροῦ κορυφαῖόν σε τίθημι, ἵν' αὐτὸς ἐξ ἐμοῦ πρῶτος μυῇ, οἱ

105 *μὴ – μανείημεν*: iunctura saepe in Luciano laudata, cf. e.g. Ἀναβιοῦντες ἢ Ἁλιεύς 37 et Ἑταιρικοὶ διάλογοι 2,4; cf. etiam e.g. Ael. Arist. Πρὸς Πλάτωνα ὑπὲρ τῶν τεττάρων 126,26 et Suda μ 145. cf. Psel. Κατηγορία τοῦ ἀρχιερέως = Or. for. 1,2768, Ἐγκώμιον εἰς … Νικόλαον μοναχὸν … = Or. fun. I 10,1,12, Ἐγκώμιον εἰς τὴν φθεῖρα = Or. min. 28,121, Εἰς τὸ 'νοῦς μὲν οὖν ἤδη καὶ αἴσθησις' = Theol. I 90,85, et Π 7,51, Π 55,12, Π 100,13, Π 131,18–19, Π 139,62, Π 145,49, Π 209,3–4, Π 277,2, et Π 291,31–32 ‖ **6–7** ἵνα – ψυχῆς: cf. Greg. Naz. Epist. 48,8 ἀνακαλύπτειν τὸ τῆς γνώμης ἀπόρρητον. cf. Π 173,82–83. cf. etiam Π 375,26

103 οἱ : εἰ S ‖ **106** ὅρα P S: ἄρα B ‖ **ep. 455** P 196r; tit. scripsi

δ᾽ ἄλλοι τελῶνται παρὰ σοῦ, καὶ διὰ σοῦ μέσου οὐ τὰ τῶν Ἐλευσί-
νων μοι ἀπόρρητα δέχωνται, ἀλλὰ τὰ ἡμέτερα θεοφάνια· εἰ γὰρ
καὶ Σωκρατικόν σοι τὸ ἦθος, ἀλλ᾽ ἐγὼ μετὰ τῶν ἡμετέρων τάττω,
20 οἷς δὴ καὶ τὸ κυρίως φιλοσοφῆσαι καὶ τοῦ ἐπαγγέλματος ἀξίως
προσγέγονεν, Ἕλλησι δὲ ἀσύμβατα τὰ ἤθη πέφυκε πρὸς τὰ
δόγματα.

Δεῦρο γοῦν στῆθι πλησίον ἐμοῦ· μυήσομαι γάρ σοι ἴσως τὰ
τελεώτερα· καὶ εἰς τὰ κεκρυμμένα τῆς ἐπιστήμης εἰσάξω, ἵνα μετὰ
25 τῆς τοῦ ἤθους κοσμιότητος, μᾶλλον δὲ μετὰ τοῦτο, καὶ ἡ ἀπόλυ-
τός σοι τῆς ψυχῆς πολιτεία ἐγγένηται, ἔπειτα καὶ ἡ πρὸς τὸ
παράδειγμα ἀτενεστάτη ἐπιστροφή, καὶ ἡ τῶν ἐν ἐκείνῳ θεωρου-
μένων ἀμετάπτωτος μετοχή. Καὶ οἶδα μὲν ὡς ἀποφήσειας τί ποτε
ταῦτά εἰσιν. Ἐγὼ δέ σοι οὐκ ἀνακαλύψω νῦν τὰ μυστήρια, ἀλλ᾽
30 ὅταν ἐντὸς τῶν ἀδύτων γενώμεθα· ἔνθα δή σοι οὐ τὸν νοῦν μόνον
τῆς ὕλης ἀποκαθάρω, ἀλλὰ δὴ καὶ τὴν γλῶτταν ὅπως δεῖ τοὺς
λόγους ῥυθμίζειν διδάξω.

Ἀλλ᾽ ὅρα ὅπως πάλιν φιλοσόφως τὸν λόγον εἰσδέξῃ, καὶ μή
μοι δυσχεράνῃς τὸν ἔλεγχον· οὐ γὰρ φιλοσόφων ⟨μόνον⟩, ὦ ᾽γαθέ,
35 ἀλλὰ καὶ ῥητόρων (ὡς οἶσθα) προκάθημαι· δεῖ οὖν ἐκείνως μέν σε
τὸν νοῦν, οὕτως δὲ τὴν γλῶτταν κοσμῆσαι.

19 Σωκρατικόν – ἦθος: cf. e.g. Procl. In Alc. 24,2–3 Σωκρατικόν ἐστι τὸ μέτριον ἦθος καὶ κοινὸν καὶ τὸ πόρρω τῆς ἀλαζονείας τεταγμένον ‖ **25–26** ἡ – πολιτεία: Plat. Φαίδων 65a1–2 ὁ φιλόσοφος ἀπολύων ὅτι μάλιστα τὴν ψυχὴν ἀπὸ τῆς τοῦ σώματος κοινωνίας. cf. Psel. Χρονογραφία VI,212 (=VIa,8) τρεῖς γὰρ μερίδας ταῖς τῶν ψυχῶν προσαρμόζω κατανοῶν καταστάσεσι: τὴν μὲν, ὅταν αὐτὴ βιῴη καθ᾽ ἑαυτὴν, ἀπολυθεῖσα τοῦ σώματος, ἀτενῆ τε καὶ οὐ πάνυ τὸ ἐνδόσιμον ἔχουσαν· τὰς δέ γε λοιπὰς μερίδας τῷ μετὰ σώματος αὐτῆς βίῳ κατείληφα et Π 251,42, Π 360,15–16, et Π 498,24–25; cf. etiam Π 211,18 οὐ νοῦς ἐστιν ἀπόλυτος, ἀλλὰ ψυχὴ σώματι συνδεθεῖσα ‖ **34–35** οὐ – προκάθημαι: dum Psellus πρόεδρος/ὕπατος τῶν φιλοσόφων erat (1047–)? cf. Π 174,49, Π 185,44, Π 196,38–45, et Π 498,9–10; cf. etiam 111,134, 280,20 et 47, et Π 388,11? ‖ **34** ὦ ᾽γαθέ: iunctura saepe in Heliod. Αἰθιοπικά, Liban. Epist., et in Synes. Cyren. Epist. laudata. cf. etiam Π 24,23 et Π 455,34

34 μόνον addidi

456. Τῷ [ca. 15 litt.]
ad kriten quendam

S 17 [P]

Ἐμοὶ μέν, περίβλεπτε κύριε μου καὶ ἀδελφέ, εἰς δύο ἡ φιλοσοφία διέσχισται· καὶ τὸ μὲν αὐτῆς, ἀπαθὲς δοκεῖ καὶ ἀμείλικτον, ὃ δὴ νοῦς μόνος φαντάζεται, τὸ δὲ κοινοπαθὲς καί φιλάνθρωπον· τούτων τὸ μὲν πρότερον ἐπήνεσα μέν, οὐκ ἠγάπησα δέ, τὸ δὲ δεύτερον ἔλαττον μὲν ἄγαμαι, ζηλῶ δὲ μᾶλλον· διὰ ταῦτα γοῦν 5 καὶ γονέας ἐγηρωκόμησα, καὶ ἀδελφοὺς ἔστερξα, καὶ φίλοις τὸ εἰκὸς ἀποδίδωμι.

Ἐπεὶ οὖν ἐν τοῖς μάλιστα παρ' ἡμῶν φιλουμένοις καὶ ὁ δεῖνά ἐστιν, ἀξιοῦντι πολλάκις συγκατανεύω, καὶ ἄγοντι ὅποι ἂν ἐθέλῃ συμπεριάγομαι, καὶ ἐξὸν ἀντιτείνειν καὶ ἀποβιάζεσθαι, τἀναντία 10 διὰ τὴν σχέσιν ποιῶ· ὥστε μὴ θαυμάσῃς ὅτι φίλος ὢν πολλάκις σε κόπτω ταῖς περὶ αὐτοῦ ἀξιώσεσιν, ἀλλ' ἴσθι ὡς οὐδὲ τοῦτο τὸ μέρος ἀπαναίνεται φιλοσοφία.

Εἰ μὲν οὖν τὸ κορυφαιότατον παρ' ἡμῶν ἀπαιτῇς, οὐχ ἕξεις, ἐπεὶ μηδὲ τὴν ἄσχετον ζωὴν κατωρθώσαμεν· εἰ δὲ τὸ συμπαθέστε- 15 ρον καὶ οἷον δυσωπητικώτερον, δαψιλέστατον ἐν ἡμῖν εὑρήσεις· ὑφ' οὗ δὴ καὶ αὐτὸς κεκίνημαι, καὶ τοὺς φίλους ἐπὶ τοῦτο κινῶ· φίλος δέ μοι τίς ἄλλος τοιοῦτος, οἷος σύ, ἀνὴρ οἷον πολλάκις αὐτὸς ἐς τὸ ἀκριβὲς καθεώρακα (ἵν' ἐν βραχεῖ δηλώσω τὸ πᾶν);

Ἡ μὲν οὖν ἀξίωσις αὕτη, τὸ δὲ περὶ οὗ πέφυκεν, ἐφ' ᾧ οἱ περὶ 20 τοῦ πρώτως ἀξιώσαντος αὐτόθι ἀπεσταλμένοι τυγχάνουσι· τὸ δὲ τέλος τῶν παρ' ἀμφοῖν ἀξιώσεων καὶ τῆς ἀποστολῆς αὐτὸς οἶμαι ἐπιθήσεις ἁρμοδιώτατον.

3 τὸ – φιλάνθρωπον: Dion. Halicarn. Ῥωμαϊκὴ ἀρχαιολογία I 41,1 βίων ἔθη φιλάνθρωπα καὶ κοινοπαθῆ. cf. Psel. Χρονογραφία VII,156 (= VIIb,35), Ὡς ἀπὸ προσώπου τοῦ βασιλέως = Or. for. 5,14, Ἐγκωμιαστικὸς εἰς … Μιχαὴλ τὸν Κηρουλλάριον = Or. fun. I 1,15,33–34, et Π 9,6, Π 31,17–18, Π 170,11–12, et Π 207,12–13

ep. 456 P 196r; tit. P S: post τῷ lacunam indicavit P

457. ⟨Κριτῇ τινι (?)⟩

S 19 [P]

Ἐνδοξότατε κύριέ μου καὶ ἀδελφὲ περιπόθητε, πολλοὺς μὲν αὐτόθι πατρῴους φίλους κέκτημαι, μάλιστα δὲ τοὺς παρόντας εἰς γνησιωτάτην κληρονομίαν ᾠκειωσάμην, διὰ πολλὰ μὲν καὶ ἄλλα, μάλιστα δὲ ὅτι χρηστοί τέ εἰσι τοὺς τρόπους καὶ καθαρωτάτην
5 πρός με διάθεσιν διασῴζουσιν· ἔχουσι δέ τι καὶ συγγενὲς πρὸς ἡμᾶς (ὥς φασιν), ἀλλ' ἐμοὶ οὐ διὰ τοῦτο μᾶλλον, ἢ δι' ἐκεῖνα ἠγάπηνται.

Δεομένους οὖν τῆς σῆς ἀντιλήψεως, συνίστημί σοι τοὺς ἄνδρας· καὶ ἀντ' ἄλλης τινὸς ἀξιώσεως, τὸ ὅτι φιλῶ τούτους προστίθημι.
10 Εἰ μὲν οὖν μέγα τι περὶ ἡμῶν οἴει, αὐτὸ δὴ τοῦτο τὸ διατίθεσθαί με πρὸς αὐτοὺς εἰς ἐγκωμίων ἀφορμὴν λήψῃ· εἰ δ' οὔ, αὐτὸς τοὺς ἄνδρας δοκίμασον, ἵνα μετὰ πεῖραν ἐπαινέσῃς ἡμᾶς ὡς οὐ φαύλως τοὺς προσερχομένους ἡμῖν δοκιμάζοντας καὶ τοὺς καλλίστους εἰς φιλίαν ἐκλεγομένους.

458.

S 22 [P]

Σὺ μὲν ἔδοξας, περιπόθητε ἀδελφέ, φιλικὴν μόνον ἐν τοῖς γράμμασι ποιήσασθαι προσαγόρευσιν, καὶ ψιλὰς ἐπιστεῖλαι συλλαβάς· ἡμεῖς δὲ αὐτόν σε ἐδόξαμεν τὴν φιλτάτην κεφαλὴν ἀπειληφέναι διὰ τῆς ἐν τοῖς λόγοις εἰκόνος, τὸ πρωτότυπόν σε
5 ἀναθεωροῦντες ἄγαλμα· οὐκ οἶσθα γὰρ ὅτι φιλοσοφεῖν πειρῶμαι καὶ πάντα μοι ἀναγωγικώτερον ἐξετάζεται;

Σὺ μὲν οὖν πολλάκις γράφε μὴ πολυπραγμονῶν· ἡμεῖς δὲ ὡς ἂν βουλώμεθα περὶ τῶν γραφομένων διανοησόμεθα. Ὑπὲρ δὲ περδικείων ᾠῶν μὴ γένοιτο ἡμᾶς πρὸς βασιλέα παρρησιάσασθαι
10 ὑπὲρ σοῦ, ἀλλ' ὑπὲρ τῆς ἀνέκαθεν πρὸς ἡμᾶς σου γνώμης καὶ διαθέσεως ὑπὲρ ταύτης καὶ παρρησιασόμεθα καὶ παρακινδυνεύσομεν· χρὴ γὰρ σὲ μὲν τὴν ἁπλῆν φιλίαν διδόναι, ἡμᾶς δὲ διπλῆν ταύτην ἀντιπαρέχειν, ἵνα μηδὲ ἐν τοῖς φιλικοῖς καθήκουσιν ἔλαττόν τι ἰσχύωμεν.

ep. 457 P 196v; tit. scripsi ‖ **11** με : μοι S ‖ **ep. 458** P 196v

459.
ad Ioannem Xiphilinum (Π L)?

S 91 [P]

Τὸ μὲν ἐμὸν βούλημα, πατέρων ἐμοὶ τιμιώτατε, δι' ἐπιστολῶν ὁμιλεῖν σου τῇ ἁγίᾳ ψυχῇ· τὸ δὲ σὸν ἀνεπιστρόφως προσανέχειν θεῷ, καὶ τἆλλά σοι περιττά τε καὶ ὀχληρά. Διὰ ταῦτα ἅπαξ γράψαι τολμήσας, πλεῖστον μετὰ ταῦτα χρόνον σιωπᾶν ἀναγκάζομαι. Καὶ ἔστιν ὁ μὲν λόγος τῆς ἐμῆς ἔργον ἐφέσεως· ἡ 5 δὲ σιωπὴ τοῦ περὶ σὲ πράγματος οἰκονομία καὶ πλήρωσις.

Εἰ μὲν οὖν θεωρῶν τὰ κρείττω, ἢ ἐντυγχάνων θεῷ, ἀνεπιστρόφως ἔτι ἔχεις περὶ τὰ τῇδε, μηκέτι σοι δι' ὄχλου γίνωμαι ταῖς ἐπιστολαῖς· εἰ δὲ δύνῃ ἑκάτερα ἐν ταὐτῷ, τὸν μὲν νοῦν τῷ θεῷ,

2–3 τὸ – θεῷ: notio neoplatonica saepe in Psello laudata; cf. e.g. Procl. Στοιχείωσις θεολογική 186 πᾶν δὲ τὸ ἑαυτὸ γινῶσκον πρὸς ἑαυτὸ ἐπιστρέφεται, τὸ δὲ πρὸς ἑαυτὸ ἐπιστρέφον οὔτε σῶμά ἐστι (πᾶν γὰρ σῶμα πρὸς ἑαυτὸ ἀνεπίστροφον) οὔτε σώματος ἀχώριστον (καὶ γὰρ τὸ σώματος ἀχώριστον οὐ πέφυκε πρὸς ἑαυτὸ ἐπιστρέφειν· χωρίζοιτο γὰρ ἂν ταύτῃ σώματος) cum Plat. Ἐπινομὶς 982b7–c3 τὸ δὲ ἀμετάστροφον, ὅταν ψυχὴ τὸ ἄριστον κατὰ τὸν ἄριστον βουλεύσηται νοῦν, τὸ τέλεον ἐκβαίνει τῷ ὄντι κατὰ νοῦν, καὶ οὐδὲ ἀδάμας ἂν αὐτοῦ κρεῖττον οὐδὲ ἀμεταστροφώτερον ἄν ποτε γένοιτο. cf. e.g. Psel. Περὶ τῆς χρυσῆς ἁλύσεως = Phil. min. I 46,71–81 τρία γὰρ ταῦτα πρὸς τὰς ἐκείνου τρεῖς τάξεις συντίθημι, νοῦν καὶ ψυχὴν καὶ φύσιν. ὁ μὲν οὖν νοῦς γεννῶν τὴν ψυχὴν ἀνεπίστροφός ἐστι πρὸς αὐτήν· ἔννους γὰρ ἡ ψυχὴ γίνεται οὐχ ὅτε ὁ νοῦς στραφῇ πρὸς ψυχήν, ἀλλ' ὅτε ἡ ψυχὴ στραφῇ πρὸς τὸν νοῦν. ἡ δὲ φύσις τῶν σωμάτων ἐπιστρεφομένη καὶ διοικοῦσα ταῦτα οὐκ ἐπιστρέφει πρὸς ἑαυτήν, ἐπειδή ἐστιν οὐσία σώματος χωριστή, ἀλλὰ συναπολήγει τοῖς σώμασιν. ἡ δὲ ψυχή, ἕως μὲν ἂν ᾖ τὸ οἰκεῖον τηροῦσα ἀξίωμα, ἀνεπιστρόφως ἔχειν πέφυκε πρὸς τὰ σώματα, εἰ δὲ τῇ δεινότητι κατασχεθῇ τοῦ εἱρμοῦ, τότε καὶ τῶν σωμάτων ἐπιμελεῖται, ὡς εἶναι τὸν μὲν νοῦν ἑαυτοῦ μόνως, τὴν δὲ φύσιν ἄλλου ἀεί, τὴν δὲ ψυχὴν ἑαυτοῦ καὶ ἄλλου, Ἐγκωμιαστικὸς εἰς … Μιχαὴλ τὸν Κηρουλλάριον = Or. fun. I 1,24 τῶν μὲν περὶ τὴν ἄνω θεωρίαν ἐσχολακότων καὶ πρὸς τὰ τῇδε γενομένων ἀνεπιστρόφων, et Π 22,3–5 τὰ μὲν χείρονα ἐπιστρέφει πρὸς τὰ κρείττονα, τὰ δὲ κρείττονα ἀνεπίστροφα τῶν χειρόνων εἰσί, Π 95,63 ἀμετάστροφος πρὸς τὰ τῇδε εἴην, Π 379,8–9 πάντῃ ἀνεπίστροφος εἶ πρὸς ἡμᾶς, et infra ll. 7–8 ἀνεπιστρόφως ἔτι ἔχεις περὶ τὰ τῇδε et 27 οὐδ' ἀμετάστροφον ‖ **7–8** ἀνεπιστρόφως – τῇδε: cf. supra ll. 2–3 et infra l. 27

ep. 459 P 210v

10 ὕπεχε δὲ τὰ ὦτα ἡμῖν. Εἴτε οὖν τὸ πρῶτον ἐρεῖς, οὐ περιττὸν ἡ γραφή· εἴτε τὸ δεύτερον, οὐκ ὀχληρὸν αὖθις ἡ ἐπιστολή.

Οἶδα δέ σοι καὶ ἕτερον πάθος οὗ καὶ αὐτὸς ἐπαισθάνομαι ἴσως· ἀλλά με μὴ βάλοι βέλος βασκανίας ἢ καὶ νεμέσεως. Τί ποτε τοῦτο; Ἰδὼν τὸ νοητὸν κάλλος, τοῦ ἐν λόγοις καταπεφρόνηκας, 15 καὶ τὴν ἄρρητον ἐκείνην ἔχων ἐμμέλειαν, τὴν ἐν τούτοις συνθήκην ἠθέτηκας· ὅθεν ὥσπερ ἐντυγχάνοντί σοι θεῷ, ὀχληρὸν ἄλλως δοκεῖ τὸ τῆς ἀηδόνος τερέτισμα, οὕτω δὴ καὶ παντὸς λόγου μέλος πρὸς τὴν νοερὰν ἁρμονίαν ἄμουσόν τι δοκεῖ καὶ περίεργον. Ἀλλ' ἡμεῖς γε ἐκεῖνο μὲν τὸ ἀφανὲς καὶ ὑπὲρ τὴν αἰσθητὴν ἁρμονίαν 20 καταμαντευόμεθα, ἣν δὲ βούλῃ εἰκάζομεν· τὴν δ' ἐμμελῆ τοῦ λόγου συνθήκην ὥσπερ αἱ μέλιτται τὰ κηρία ἔτι περιέπομέν τε

13 ἀλλά – νεμέσεως: Liban. Βίος ἢ περὶ τῆς ἑαυτοῦ τύχης = Or. 1,1,10 Νεμέσεως ἡμᾶς μὴ βάλοι βέλος. cf. Psel. Χρονογραφία VII,172 (=VIIc,8), Ἐγκώμιον εἰς Ἰωάννην … Εὐχαΐτων … = Or. pan. 17,356, et Π 106,7–8, Π 111,53–54, et Π 516,25–26. cf. etiam Ἐπιτάφιος εἰς … Ἰωάννην τὸν Ξιφιλῖνον = Or. fun. I 3,12,20 ‖ **15** τὴν[1] – ἐμμέλειαν: cf. Π 167,33 τὴν νοουμένην ἐμμέλειαν ‖ **18–24** ἡμεῖς – καταρρέωμεν: cf. Psel. Λόγος σχεδιασθεὶς πρὸς Πόθον βεστάρχην … περὶ τοῦ θεολογικοῦ χαρακτῆρος 6 ἔγωγ' οὖν ὁσάκις αὐτῷ ἐντυγχάνω, προσομιλῶ δὲ θαμά, προηγουμένως μὲν φιλοσοφίας ἕνεκα, παρεπομένως δὲ ψυχαγωγίας, ὥρας ἀμυθήτου πληροῦμαι καὶ χάριτος· καὶ καταλιμπάνω πολλάκις περὶ ὃ ἐσπούδακα καὶ τὸν νοῦν τῆς θεολογίας ἀφεὶς τῇ ῥοδωνιᾷ ἐνεαρίζω τῶν λέξεων καὶ κλέπτομαι ταῖς αἰσθήσεσι, Π 124,104–105 τῆς αὐτῆς σοι κἀγὼ πάγης εἰμί· καὶ γοητεύομαι ἄνθεσί τε φαινομένοις καὶ χάρισιν, εἴτε πόαις ταῦτα εἴτε λόγοις ἐγκάθηται, Π 125,90–91 ἐρῶ γὰρ καὶ τῆς τοῦ λόγου ψυχῆς, περιέχομαι δὲ καὶ τοῦ σωματικοῦ κάλλους ‖ **20–22** τὴν – περιϊπτάμεθα: cf. Psel. Περὶ χαρακτήρων συγγραμμάτων τινῶν 49,29–50,2 περὶ τὰ τοιαῦτα τῶν βιβλίων ἐφιπτάμην, ἀφ' ὧν δρόσος καὶ πίννα καὶ ἄνθος τὸ συλλεγόμενον καὶ χειρόμενον ἦν, Π 61,4–6 αὐτοὶ καθιοῦμεν ἀνθολογοῦντες ἀεὶ ὥσπερ αἱ μέλισσαι καὶ τὴν τοῦ μέλιτος ἐργασίαν ἐξεργαζόμενοι, Π 118,37–43 ἔπειτα δὲ οὐδὲ μελιττουργεῖταί μοι παρὰ τῇ γλώττῃ τανῦν οὔτε λέξεων ἡδονή, οὔτε συνθήκης εὐαρμοστία, ἵνα σε φιλοτίμως ἐφεστιάσω, καί σοι παραθείην ψυχῆς καρύκευμα τρόφιμον· αἱ γάρ μοι μέλισσαι, αἱ τῇ γλώττῃ τὰ κηρία συντιθεῖσαι τοῦ λόγου, καὶ (ποιητικῶς εἰπεῖν) «τιθαιβώσσουσαι», ἐπεὶ μηδὲν ἐνταῦθα ἄνθος κηρόχυτον, μηδὲ πόα καταμελιτοῦσα ψυχήν, ᾤχοντο ἀποπτάμεναι, et Π 125,87–90 ἐνίοτε δὲ ὥσπερ αἱ μέλισσαι τὰ ἄνθη τῆς τέχνης περιπετόμενος καὶ περιβομβῶν ταῦτα καὶ κείρων τῆς μελιτουργοῦ πόας, οὕτω τοὺς σίμβλους ὑποδύομαι καὶ τὰ ἄνθη μέλι ποιῶ. cf. etiam Π 58,27–34, Π 247,19–22, et Π 376,68–71

καὶ περιϊπτάμεθα· καὶ ἠγαπήσαμεν ἂν εἰ ἀπὸ τοῦ τῶν σωμάτων κάλλους εἰς τοῦτο ἀναβάντες ἐλήξαμεν· ἀλλὰ δέδια μὴ αὖθις ἐπὶ τὴν αἴσθησιν καταρρέωμεν.

Πῶς ἂν οὖν σοι καὶ τὸ ἡμέτερον γίνοιτο καὶ τὸ σὸν ἐκπληροίη 25 θεός; Οἶδα ὡς εἰ καὶ σύντονόν σοι τὸ πρὸς τὰ κρείττω τετάσθαι, ἀλλ' οὐκ ἄκαμπτον πάντη, οὐδ' ἀμετάστροφον· οὐ γὰρ ἐπιλέλησταί σοι μετὰ σώματος ὄντι ὁ νοῦς τοῦ δεσμοῦ. Ὅθεν οὐδὲ ἀκάματος τούτῳ ἡ δύναμις ἐπιστρέφει γοῦν καὶ δεῖταί τινος ἀναπαύσεως. Μὴ τοίνυν μηδὲ οὕτως ἠρεμείτω, ἀλλ' ὑποδεχέσθω τοῦτον ἡ 30 πολλοστὴ θεωρία, τὰ ἐμὰ γράμματα, ὥσπερ κῆποί τινες ἢ λειμῶνες· κἀντεῦθεν οὖν αὖθις ἀνιπτάσθω πρὸς τὸν θεόν.

Σὺ δέ μοι ἢν βούλῃ μηδὲ ἐπίστελλε ἵνα μηδὲ τοσοῦτον καταβαίῃς, ἀλλ' ἁπλῶς οὑτωσὶ καὶ ἀφελῶς ὥσπερ βεβούλησαι προσαγόρευε· ἀρκεῖ γὰρ ἡμῖν ἀντὶ πάντων καὶ ῥῆμα σὸν καὶ 35 νεῦμα, καὶ τὸ ὅλως σε οἴεσθαι μεμνῆσθαι ἡμῶν.

460.

ad episcopum quendam

S 92 [P]

Θεῷ καὶ ἀρχιεράρχῃ τοιούτῳ θεοῦ τί ἄν τις προσαγάγοι ἐπάξιον; Ὁ μὲν γὰρ τὸν οὐρανὸν καὶ τὴν γῆν πληροῖ κατὰ τὴν ἐκείνου

22–23 ἀπὸ – ἐλήξαμεν: cf. Psel. Ἔκφρασις εἰς Ἔρωτα ἐγγεγλυμμένον λίθῳ = Or. min. 34,19–30 et Π 64,32–40 cum Plat. Συμπόσιον 210a4–211d1 et Φαῖδρος 249d4–e4 et 251a1–d6 ‖ **27** οὐδ' ἀμετάστροφον: cf. supra ll. 2–3 et 7–8 ‖ **28–29** οὐδὲ – δύναμις: cf. Π 176,21 et etiam Psel. Λόγος εἰς τὴν σταύρωσιν = Or. hag. 3a,89–90 ὥσπερ ὑπό τινος κινηθεῖσα ἀκαμάτου δυνάμεως et Psel. Ἑρμηνεία περὶ τῶν εἰκοσιτεσσάρων στοιχείων ... πρὸς ... Ἰωάννην τὸν λιβελλίσιον = Phil. min. I 36,356–358 ἀέναον οὐσίαν ἐν ἑαυτῇ κατὰ δύναμιν ἄπειρον καὶ νοεῖν ἄρξῃ ὑπόστασιν ἀκάματον, ἄτρυτον, οὐδαμῇ μὲν ἐλλείπουσαν, ὑπερζέουσαν δὲ τῇ ζωῇ τῇ ἀκραιφνεστάτῃ καὶ πλήρη ἀφ' ἑαυτῆς cum Porph. Ἀφορμαὶ πρὸς τὰ νοητά 40 (47,9–48,7) ‖ **31–32** τὰ – λειμῶνες: cf. Π 50,10 τῷ τοῦ λόγου λειμῶνι, Π 167,51 ὥσπερ ἐν λειμῶνι ταῖς ἐμαῖς διαναπαύῃ ἐπιστολαῖς, et Π 202,199–200 ἐπὶ τοὺς λειμῶνας βαδιοῦμαι τῶν λόγων. cf. etiam Liban. Πρὸς τοὺς Ἀντιοχέας ὑπὲρ τῶν ῥητόρων = Or. 31,18,10 τὸν λειμῶνα τῶν λόγων

ep. 460 P 210v

φύσιν· σὺ δὲ πάντων τῶν ὄντων καταπεφρόνηκας διὰ τὴν θείαν ἐντολήν. Πᾶν οὖν τὸ προσφερόμενον ἐκείνῳ τε καὶ σοὶ τῷ μετ'
5 ἐκεῖνον δεσπότῃ ἀνάξιον πάντως δοκεῖ τῆς ὑπερφυοῦς μεγαλοπρεπείας ὑμῶν.

Ἀλλ' ἐπειδὴ ὁ μὲν μέχρι καὶ δούλου μορφῆς ἑαυτὸν ἐταπείνωσε, σὺ δὲ μιμητὴς ἐκείνου γενόμενος τὴν ὑψοποιὸν ἠγάπησας μετριότητα, μὴ ἀπώσῃ ἣν προσάγω σοι εὐτελεστάτην προσαγω-
10 γήν, ὥσπερ οὐδὲ ἐκεῖνος τὰς αἰσθητὰς σπονδὰς καὶ τὰ θύματα· καὶ ἀντίδος τῶν μικρῶν τὰ μεγάλα. Ἀντιδώσεις δὲ οὐκ εὐπόρῳ, οὐδὲ πλουσίῳ, ἀλλ' ἀπορωτάτῳ ἀνδρὶ καὶ πτωχῷ ἐξ εὐπορίας πολλῆς ὡς αὐτὸς ἐπίστασαι ὁ δεσπότης μου.

461. ⟨Κριτῇ τινι (?)⟩

S 93 [P]

Ὄμνυμι τὴν πρὸς ἀλλήλους ἡμῶν ἀγάπην ὅτι πολλάκις ἠγανάκτησα κατὰ τῶν ἀποκομιζόντων μοι γράμματα τῆς ἱερᾶς σου ψυχῆς, μὴ μέντοι βουλομένων ἀντισήκους ἐπιστολὰς κομίζεσθαι παρ' ἐμοῦ· ἡμεῖς γὰρ εἰ καὶ τὸ κατὰ τὴν ἐνοῦσαν
5 προθυμίαν ὠφελεῖν τοὺς φίλους οὐκ ἔχομεν, ἀλλ' οὖν τῆς ἐφ' ἡμῖν ἐπὶ τὸ σπουδάζειν ὑπὲρ αὐτῶν δυνάμεως οὐκ ἠμελήσαμεν πώποτε.

Εἰ δὲ καὶ περὶ τῶν ἄλλων οὕτως ἔχω φροντίδος, πόσῳ γε περὶ σοῦ μᾶλλον τῆς φιλτάτης μοι κεφαλῆς; Τοιγαροῦν ὁπηνίκα δέξομαι παρὰ σοῦ γράμματα περὶ τῆς εἰσελεύσεώς σου καταδυσω-
10 ποῦντα καὶ ἀξιοῦντά με, αὐτίκα πρὸς τὸν κράτιστον ἡμῶν ἀφικνοῦμαι βασιλέα· καὶ ποτὲ μὲν τὴν πρὸς ἐμέ σου ὑπαναγινώσκω τούτῳ ἐπιστολήν, ποτὲ δὲ τῷ ἐμῷ λόγῳ χρῶμαι πρὸς τοὺς ὑπὲρ σοῦ λόγους, ἀναμιμνήσκων αὐτὸν τῶν πρὸς σὲ συνθηκῶν, καὶ ὡς σοὶ μὲν ὁ τῆς ὑποσχέσεως χρόνος πεπλήρωται, ἐκείνῳ δὲ ὁ

7–8 μέχρι – ἐταπείνωσε: Phil. 2,7 ἀλλὰ ἑαυτὸν ἐκένωσεν μορφὴν δούλου λαβών, cf. Psel. Λόγος εἰς τὴν σταύρωσιν = Or. hag. 3a,57–58 et 569, Εἰς τὸ 'κύριος ἔκτισέ με …' = Theol. I 10,126–127, Εἰς τὸ τροπάριον τοῦ κανόνος τῆς Μεταμορφώσεως … = Theol. I 11,109 ‖ **8–9** τὴν ὑψοποιὸν … μετριότητα: cf. e.g. Ioann. Maurop. Canon in s. Nicolaum 1,4,72 ὑψώθης διὰ ὑψοποιοῦ ταπεινώσεως

ep. 461 P 210v; tit. scripsi

τῆς ἐπαγγελίας ἐφέστηκε, καὶ ὡς δεῖ ἀμφοτέρων τοὺς λόγους 15
κατὰ τὸν παρόντα καιρὸν ἐντελεῖς γενέσθαι, καὶ συγχωρηθῆναί
σοι τὴν εἰς τὴν ἐνεγκοῦσαν ἐπάνοδον. Ὁ δὲ τὰ πρῶτα μὲν ἀντέπι-
πτέ μοι τοῖς λόγοις, παγχάλεπον εἶναι φάσκων ἀνθρώπου τυχεῖν
καταλλήλου τοῖς πράγμασιν, ὁποῖος (περὶ σοῦ δὴ λέγων) ἀκριβὴς
ἐν πᾶσι καὶ δόκιμος εὕρηται. Ἐπειθ' ὕστερον πρᾳότερος ἐγεγόνει 20
καὶ αὐτοῖς δεικνύει τοῖς πράγμασιν, ὡς βούλεταί σε ἐπανελθεῖν·
παντὸς γὰρ ἀποπειρᾶται ἀνδρὸς συνετοῦ εἴ που εὕρῃ τινὰ ᾧ τὴν
τῶν δημοσίων ἀναθήσει ἀπαίτησιν. Καὶ οἶμαι τεύξεσθαί τινός·
πολλοὺς γὰρ ἤδη ὁρῶ ἁπτομένους τοῦ πράγματος, καὶ οἷον
πειρωμένους καθάλλεσθαι τοῦ κρημνοῦ. 25

Εὔελπις οὖν ἔσο· καὶ θυμὸν ἔχε ἀγαθόν, ὡς ἐπανήξεις ἐπὶ τὴν
ἐνεγκοῦσαν ταχύ.

462. ⟨Κριτῇ τινι (?)⟩

S 94 [P]

Ὁρᾷς ὅπως ἐπαλλήλους σοι καὶ πυκνὰς ποιοῦμαι τὰς ἀξιώσεις,
ἀδελφὲ φίλτατε καὶ ἰσόψυχε; Πράττω δὲ τοῦτο οὐ τοσοῦτον τοῖς
ἀξιοῦσί με χαριζόμενος, ὅσον ἐμαυτῷ ὑπόθεσιν ὁμιλίας τῆς πρὸς
σὲ μνηστευόμενος. Καὶ τό γε θαυμασιώτερον, ὅτι ὅπερ ἔδει ποιεῖν
τοὺς δεομένους τῆς σῆς δυναστείας περὶ τὴ ἐμὴν μεσιτείαν, τοῦτο 5
ἐγὼ ἐκείνοις ποιῶ· καταδέομαι γὰρ καὶ ἀντιβολῶ τούς γε
πλείονας, ὅπως ἄν μοι πρὸς σὲ μεσίτῃ ἢ καὶ διαλλακτῇ
χρήσωνται. Πλὴν μὴ τοσοῦτόν με ἴσθι περὶ τὴν σὴν ἱερὰν ψυχὴν
πλημμελοῦντα· περὶ ἐκείνων γάρ σοι τὰς ἐπιστολὰς ποιοῦμαι οἷς
τὸ ἀξιούμενον οὐδὲν ἄλλο, ἢ εὐμενέσιν αὐτοὺς ὀφθαλμοῖς ἐπιδεῖν, 10
ὅπερ σοί τε ῥᾷστον καὶ τῇ φύσει κατάλληλον.

25 καθάλλεσθαι – κρημνοῦ: cf. Psel. Εἰς τὸ 'πῦρ ἦλθον βαλεῖν …' = Theol. I 77,88 τῶν ὀρῶν καὶ τῶν κρημνῶν καθαλλόμενος ‖ **2** ἰσόψυχε: Ps. 54,14 ἄνθρωπε ἰσόψυχε. cf. Psel. Λόγος εἰς τὴν σταύρωσιν = Or. hag. 3a,794, Π 53,26, Π 92,1, Π 100,1, Π 163,1, Π 209,1–2, Π 304,2, Π 494,1, Π 508,1, Π 551,1, et Π 553,1

ep. 462 P 211r; tit. scripsi

Καὶ ὁ παρὼν εἴ γε τύχοι τοιούτων σου τῶν ὀμμάτων, οὐκ ἂν οἶμαι πλέον ἐπιζητήσειεν. Εἰ δέ τισι διδοίημεν καὶ τὰ μείζονα, ἀλλ' εὐχερῆ σοι καὶ ταῦτα τῷ τῆς ἀξιώσεως εἴδει διατιθέμεθα.

463. ⟨Κριτῇ τινι (?)⟩

S 96 [P]

«Στρουθὸς παρακεκινημένος» (ὅ φασι) «τὸν ἀστράγαλον, πειρᾶται ὑπαλείφειν τὸν ὑγιῆ». Εἰ δὲ μὴ παντάπασι προσήκων ἡμῖν ὁ δημώδης λόγος, ἀλλὰ χωλὼ μὲν ἄμφω, ἐγώ τε καὶ σύ, οὐ μεῖον ἅτερος θατέρου, τήν γε τοῦ μονοπροσώπου χωλείαν. Σὺ δέ μοι
5 μᾶλλον ἀλγεῖς, ὡς ἄρτι σοι πρώτως τοῦ ῥεύματος καταρρεύσαντος· ἢ τὸ μὲν ῥεῦμα ἄνωθεν ἔχει σοι τῆς ῥύσεως τὸ ἐνδόσιμον, πλημμυρεῖ δὲ νῦν ἐπὶ πλέον σοι καὶ ῥοχθεῖ τραχυτέρῳ τῷ κύματι· καὶ ὁ μὴ πάλαι πρὸς τὴν τρικυμίαν ἀρκῶν, νῦν ὑπέραντλος ταῖς πολυκυμίαις γενόμενος, πῶς ἂν ἐξαρκέσοις
10 (εἴποιμι ἂν ὑπὲρ σοῦ);

Ἀλλ', ὦ γενναῖε, πολλῶν μετ' ἄλλων, καὶ ἐπικουφιζέτω σοι τὸ δεινὸν ἡ κοινωνία τῆς συμφορᾶς· πεπτώκασι καὶ Πάτροκλοι, σοῦ κρείττους ἴσως, καὶ τὴν χεῖρα καὶ τὴν λοιπὴν γενναιότητα. Εἰ δὲ πάλαι μὲν ἡ τοῦ ἔτους περίοδος τὸ ἱερὸν ἐν Δελφοῖς ἔλαιον ἔλαττον
15 ἐξανήλισκεν, ἡ αὐτὴ δὲ νῦν περιφορὰ πλείονα τὴν δαπάνην ἐπιζη-

1–2 στρουθὸς – ὑγιῆ: proverbium; fontem non inveni ‖ **6–7** τὸ[1] – ἐνδόσιμον: cf. Psel. Λόγος πρὸς τὸν βασιλέα κῦριν Κωνσταντῖνον Μονομάχον = Or. pan. 5,46–48 οὕτω σοι πάντοθεν αὐτίκα ἐρρύησαν αἱ τῶν εὐεργετημάτων πηγαὶ ὥσπερ ἐξ ἀκροτόμου πέτρας τὸ ἐνδόσιμον εἰληφυῖαι τῆς ῥύσεως ‖ **12** πεπτώκασι – Πάτροκλοι: cf. Liban. Προγυμνάσματα 11,3,1 οἴμοι τῆς παρούσης συμφορᾶς. πέπτωκας, Πάτροκλε ‖ **14–15** πάλαι – ἐξανήλισκεν: cf. Plut. Περὶ τῶν ἐκλελοιπότων χρηστηρίων 410b7–12 ἀεὶ γὰρ ἔλαττον ἀναλίσκειν ἔλαιον ἔτους ἑκάστου, καὶ τοῦτο ποιεῖσθαι τεκμήριον ἐκείνους τῆς τῶν ἐνιαυτῶν ἀνωμαλίας τὸν ὕστερον τοῦ προάγοντος ἀεὶ τῷ χρόνῳ βραχύτερον ποιούσης· εἰκὸς γὰρ ἐν ἐλάττονι χρόνῳ τὸ δαπανώμενον ἔλαττον εἶναι

ep. 463 P 211r, O 199r; tit. scripsi ‖ **2** προσήκων O: μὴ προσήκων P S **6** ῥεῦμα τῆς φύσεως post τῆς scripsit et erasit O | ῥύσεως O: ῥύμης P S **9** ἐξαρκέσοις O (cf. Malt[2],190): ἐξαρκέ[spatium vacuum] P ἐξαρκέ[σει] suppl. S

τεῖ, θαυμάζειν οὐ χρή· ἔστι γάρ τις κύκλος ἐν ἀριθμοῖς ἀποκαταστατικὸς καὶ ἐπὶ τὸ αὐτὸ φέρων, καὶ ἐπανελήλυθεν ἡ ἀρχαία περίοδος.

Ἀλλ' ἐλάττω ξύμπαντα ταῦτα ὥστε σου τὴν ψυχὴν ἐπὶ τῇ νέᾳ προσθήκῃ παραμυθήσασθαι. Τί γοῦν δράσω ἐπὶ τῆς αὐτῆς σοι 20 κείμενος κλίνης, καὶ τῇ αὐτῇ ἀλγηδόνι τῆς καρδίας ἐγκαρτερῶν; Τί τοίνυν ἄλλο, ἢ ἔλαττον μὲν τοῦ ἐμοῦ συμπτώματος φροντιῶ, τὴν δὲ σὴν πειράσομαι νόσον ἰάσασθαι. Ἐπεὶ καὶ τίς μοι ἐστιν ἐν γειτόνων ἀκριβῶς τὼ πόδε χωλός, ἐμὲ δὲ τοὺς δακτύλους μαλακιῶντα, προθυμεῖται ἰάσασθαι· ἔχω γοῦν ἐγγύθεν τὴν φύσιν τοῦ 25 παραδείγματος, ἀλλὰ δέδοικα μή, ὥσπερ οὗτος μάτην μου τοὺς πόδας καταδεσμεῖ, οὕτως δή σοι κἀγὼ τὸ ἀκεσώδυνον ψεύσωμαι.

Ἀλλ' ἰτέον καὶ πειρατέον, καὶ πάντα μοι ποιητέον ὑπὲρ τῆς δεσποτικῆς κεφαλῆς.

464. ⟨Κριτῇ τινι (?)⟩

S 99 [P]

Πᾶσι μὲν αἰτοῦσι δεῖ προσέχειν τὸν νοῦν καὶ κατὰ τὸ δυνατὸν βοηθεῖν, μάλιστα δὲ τοῖς πολλῶν μέν ποτε εὐπορήσασι καὶ εἰς δόξαν ἐπανεληλυθόσι βιωτικὴν καὶ λαμπρότητα, διὰ δὲ τὸν θεὸν ἐξαπορήσασι καὶ πτωχεύσασι καὶ «εἰς τὰς ἡμετέρας» ἀφορῶσι «χεῖρας ὡς ἡμεῖς εἰς τὰς τοῦ θεοῦ», ἔφησέ τις σοφός. Ὁποῖός ἐστι 5 καὶ ὁ θαυμάσιος τὴν ἀρετὴν κῦρ Μιχαὴλ ὁ ποτὲ βέστης· οὗτος γὰρ ὡς οἶδας ἀντὶ βαθέος πλούτου καὶ περιουσίας πολλῆς εἰς

16–18 ἔστι – περίοδος: cf. e.g. Procl. In Remp. II 17,17–20 ἀλλ' ἐπεὶ κατ' ἀριθμὸν ὁ χρόνος ὁ ἐμφανὴς κυκλεῖται, ὥς φησιν ὁ Τίμαιος, εἴη ἂν πρὸ τούτου ὁ κυκλῶν ἀριθμός, ἀποκαταστατικὸς ὢν τῆς περιόδου πάσης ‖ **24** ἀκριβῶς – χωλός: cf. Hom. Il. 1,607–608 ἀμφιγυήεις / Ἥφαιστος etc.? ‖ **5** εἰς – θεοῦ: Greg. Naz. Περὶ φιλοπτωχίας = Or. 14,6 οὕτω βλέποντες εἰς τὰς ἡμετέρας χεῖρας, ὡς ἡμεῖς εἰς τὰς τοῦ Θεοῦ ‖ **6** κῦρ – βέστης: de quo cf. Π XLI (cf. ordinem epistolarum Π 178 et Π 464 in P)?

19 ξύμπαντα ταῦτα P S: ταῦτα ξύμπαντα O ‖ **23–24** ἐστιν – γειτόνων P S: ἐκ γειτόνων ἐστὶν O ‖ **ep. 464** P 211v; tit. scripsi

μοναστήριον ἑαυτὸν πενέστατον πάνυ κατέκλεισε, τοῦ Μωροχαρζάνου μὲν λεγόμενον, τοπίων δέ τινων εὐποροῦν
10 ὀλίγων, ἀφ᾿ ὧν οἱ ἐκεῖσε ἀσκοῦντες τρέφονται μοναχοί. Ἀλλ᾿ ἡ τοῦ χρόνου περιτροπὴ ἰσχύει καὶ κατ᾿ αὐτῶν· καὶ προφάσει κλασματικῆς τινος γῆς τὰ παρὰ τῆς μονῆς ἀνέκαθεν δεσποζόμενα ὑφαιρεῖται καὶ ὑποσπᾷ.

Ἀλλ᾿ ἐπειδὴ ἡ σὴ λογιότης καὶ καλοκἀγαθία τῇ περὶ τούτων
15 ὑποθέσει ἐφέστηκε, τὸ μέν τι καὶ διὰ τὴν τοῦ δικαίου ῥοπήν, τὸ δὲ καὶ δι᾿ ἡμᾶς, χάρισαι τῇ τοῦ Μωροχαρζάνου μονῇ τὸ ἀνενόχλητον καὶ ἀζήμιον. Καὶ μὴ ὀχληθείη περὶ τούτου τοῦ μέρους ὁ βέστης, μηδὲ πρὸς οἷς ἀφηρέθη πολλοῖς οὖσι καὶ αὐτὴν τὴν τελευταίαν ἀφαιρεθείη καλύβην, καὶ δυνηθείη ὁ δαίμων κατὰ τῆς τούτου
20 ψυχῆς· πεπληροφόρησο γὰρ ὅτι μισθός σοι περὶ τούτου πολὺς παρὰ τῷ θεῷ ἀποκείσεται.

465. ⟨Κριτῇ τινι (?)⟩

S 116 [P]

Φίλτατε ἀδελφὲ καὶ σοφώτατε, εἰ μή τινας ὑποθέσεις μεγάλας ἡ περιφορὰ δοίη καὶ πρόσωπα ἐπενέγκοι λαμπρά, οὐκ ἂν ἄλλως τῷ προσήκοντι χρησαίμεθα διαλόγῳ; Καὶ μὴν οἱ περὶ τὸν Ἀρίστωνα καὶ ὁ εὐδαίμων ἐκεῖνος τῶν ἀρχαίων φιλοσόφων χορός, ἀπὸ τῶν
5 κοινῶν καὶ περιτρεχουσῶν ἡμᾶς ὑποθέσεων, τοὺς μεγαλοπρεπεῖς ἐποιοῦντο λόγους. Ἀκούεις που τὸν τοῦ Πλάτωνος Σοφιστὴν ὃς ὄνομα τῷ διαλόγῳ πεποίηται; Ἀλλὰ σεσόφισται οὗτος τῷ Πλάτωνι καὶ λανθάνει οὐ σοφιστὴς ὢν ἀλλὰ ποιητὴς τοῦ συμμίκτου δημιουργήματος. Οὐκ ἀπηξίου δὲ ὁ φιλόσοφος οὐδὲ

8–9 μοναστήριον – λεγόμενον: cf. Gautier 1974a,115 n. 7; cf. Π 300,4–5 **8–9** τοῦ Μωροχαρζάνου: cf. Π 300,4-5 et infra l. 16; de familiae Morocharzane cf. Wassiliou-Seibt I 364–365 (Nr. 806) ‖ **6–9** ἀκούεις – δημιουργήματος: cf. Procl. In Remp. I 8,23–28 τὸν γοῦν Σοφιστὴν οὕτως ἐπέγραψεν, ἐπειδὴ τοῦτ᾿ ἦν τὸ προκείμενον εἰς τὴν ἐν ἐκείνῳ τῷ διαλόγῳ σκέψιν, ὁ σοφιστής· καίτοι καὶ περὶ τοῦ ὄντος εἴρηται μυρία καὶ περὶ τοῦ μὴ ὄντος, ἀλλὰ ταῦτα συνέωσται πρὸς τὸν περὶ τοῦ σοφιστοῦ λόγον. cf. Π 378,52–54 ‖ **9–12** οὐκ – πάρεργον: Plat. Συμπόσιον 203b–204a9 etc.

17 *καὶ* scripsi: *ναὶ* P S ‖ **ep. 465** P 216v; tit. scripsi

τὴν Διοτίμαν, ἀλλ' ἐν Ἀγάθωνος εἰσῆκται αὕτη τῷ Σωκράτει τὸν 10
ἔρωτα ἑρμηνεύουσα ὅτι πενίας ἐστὶ καὶ πόρου υἱός, καὶ φιλόσοφος
μέν, σοφὸς δὲ οὔ, καὶ τῶν γενεθλίων τῆς Ἀφροδίτης πάρεργον.

Εἰ οὖν οὕτω ταῦτα τοῖς γε ἡμῶν καλλίοσιν, οὐ ζηλώσομεν καὶ
ἡμεῖς καὶ ἐν τῷ πολλῷ πλήθει φιλοσοφήσομεν, καὶ ἡντιναοῦν τῶν
ὑποθέσεων ἀφορμὴν διαλόγου ποιησόμεθα; Ἔγωγέ τοι τὴν 15
δοῦσάν σοι τὸ γράμμα γυναῖκα τῆς Διοτίμας ἥγημαι κρείττονα,
ὅτι μοι παρενθήκη τῆς πρὸς σὲ ὁμιλίας γεγένηται, καὶ ἵνα μὴ
αὐτὴ βλάπτοιτο, ἐμοί τι κέρδος πολυτελὲς ἐμνηστεύσατο. Τὸ μὲν
γὰρ αὐτῆς πρᾶγμα ἔλαττον ἴσως ἢ ὥστε τὴν φιλίαν ἡμῶν ἐνδείξα-
σθαι (ἡ τάξις γάρ)· ἀλλ' ἐπ' αὐτὴν οὐχ οὕτω ποιοῦσιν, ἀλλὰ τὸ 20
ἐσβεσμένον αὐτῇ τοῦ μονοπροσώπου πῦρ ὑπανάπτουσι, τὸ μὲν μὴ
ὂν οὐκ εἰσπράττοντες, αὐτὴν δὲ κύκλωσε περιθέοντες. Εἰ δὲ
ἀσαφῶς εἴρηκα, αὐτὴ ἂν τὸ οἰκεῖον πάθος ἐπεκδιδάξειε.

Καὶ ἡ μὲν ἐλάττων τοῦ καθ' ἡμᾶς λόγου, ἀλλ' ἐγὼ καὶ τὸ
ἀναπτόμενον στύππειον οὐκ ἐῶ εὐθὺς ἀποσβέννυσθαι, ἀλλ' ἅπαν 25
τὸ προστυχὸν ὥσπερ ἐμπορίαν ποιοῦμαι πρὸς σέ. Καὶ βούλομαι
διὰ πάντων καὶ διὰ πάντα προσφέγγεσθαί σοι τῇ ἱερᾷ κεφαλῇ·
καί μοι καὶ ὁ ἀγρότης καὶ ὁ τέμνων τὸν στάχυν καὶ ἡ τὸ φύραμα
ποιοῦσα καὶ ἡ μάττουσα ἀντὶ τῶν ἰδεῶν καὶ τῶν ἐν τῇ Πλατωνικῇ
Πολιτείᾳ λόγων εἰσί. Καὶ πρὸς μὲν τοὺς ἄλλους ἄχθομαι (πῶς ἂν 30
εἴπῃς;) ἐπιφορτίζοντάς μοι καθάπερ τὰς πρὸς τοὺς φίλους αὐτῶν
ἀξιώσεις· πρὸς δὲ σὲ εἴ τίς με ἀπαιτοίη γράμμα, ὑπαγορεύω εὐθὺς
τὴν ἐπιστολὴν οὐ δυσχεραίνων τὴν αἴτησιν, δυεῖν ἕνεκα, τοῦ τε
ἀφορμὴν λαβεῖν ὁμιλῆσαί σοι, καὶ τοῦ οὕτως οἴεσθαι, μᾶλλον δὲ
κρίνειν γενναίως καὶ φιλοσόφως, ὡς οὔτε αὐτὸς ὑπερθήσεις τὸ 35
ἀξιούμενον εἰ μή τι ὑπεναντίον εἴη τῷ πράγματι, οὔτε αὐτὸς
ἀχθεσθήσομαι εἰ μὴ οὕτως ἕξει ὥσπερ ἠξίωσα, εἰδὼς ὅτι παρὰ τὸν
καιρόν, οὐ παρὰ τὸν φίλον μὴ γενέσθαι τοῦτο συμβέβηκεν.

21 ἐσβεσμένον scripsi: ἐσβεμμένον P S

466. Τῷ [ca. 15 litt.]
ad kriten quendam? ad logotheten tou dromou quendam [Riedinger 2010,6]?

S 122 [P]

Ἐπεὶ ἐς τοσαύτην φιλίας ἀκρότητα θείᾳ προνοίᾳ τινι ἀμφότεροι ἐληλάκειμεν ὥστε καὶ ὡς οἰκεῖα τὰ ἀλλήλων ἡγεῖσθαι καὶ περὶ ὧν δεῖ ἀνενδοιάστως θαρρεῖν, χρώμεθα τῇ παρούσῃ πρὸς τὴν ὑπεροχήν σου γραφῇ, ὅπως διορίσηται καὶ στήσουσι κόντουρα εἰς
5 τὰς ἀλλαγὰς τὰς πλησιαζούσας τῷ ἡμετέρῳ καὶ σῷ θέματι· ἡ δὲ εὐόδωσις τοῦ κραταιοῦ καὶ ἁγίου ἡμῶν βασιλέως εὐφραίνει ἡμᾶς.

467.
ad episcopum quendam

S 126 [P]

Εὐτύχησεν ὁ πτωχὸς οὗτος ἐν οἷς ἠτύχησε. Τῆς μὲν γὰρ πατρίδος ἐστέρηται ὑπερορίᾳ κατακριθείς, πατέρα δὲ καὶ τροφέα, καὶ θεὸν αὐτὸν ὥσπερ ἐκ μηχανῆς, εὕρετο σὲ τὸν ἀπεικονισμένον θεῷ. Καὶ ἔδοξε μὲν ἐκ λιμένων ἀπορριφῆναι εἰς πέλαγος, καθώρμισε δὲ τῷ
5 μεγάλῳ κόλπῳ καὶ ἀκλύστῳ ὅρμῳ σοῦ τοῦ θείου (οὕτως εἰπεῖν)

2–3 θεὸν – μηχανῆς: proverbium; CPG I 210 (nr. 84) et II 12 (nr. 78) et 297 (nr. 41), cf. Psel. Χρονογραφία VI,171, Χρυσόβουλλος = Or. for. 7,65, Λόγος εἰς … Κωνσταντῖνον τὸν Μονομάχον = Or. pan. 1,219 et 280, Ἕτερος λόγος πρὸς … Κωνσταντῖνον τὸν Μονομάχον) = Or. pan. 4,405–406, Ἐκ τοῦ περὶ υἱοῦ λόγου, τὸ 'καὶ πολλούς, ὃ φρίττω … = Theol. I 44,44, Εἰς τὸ 'ἢ βούλεται μοῖραν …' = Theol. I 62,102, et Π 166,26, Π 175,11, Π 248,11, Π 288,2, et Π 319,8 ‖ **5–6** κόλπῳ – Ἀβραάμ: Luc. 16,22 εἰς τὸν κόλπον Ἀβραάμ, cf. Π 158,13–16 ‖ **5** ἀκλύστῳ ὅρμῳ: cf. e.g. Opp. Ἁλιευτικά 1,226 ἐν ἀκλύστοισιν ἐεργομένη λιμένεσσι et 4,450 λιμένεσσι παρ' ἀκλύστοισι et Plut. Περὶ τοῦ ὅτι μάλιστα τοῖς ἡγεμόσι δεῖ τὸν φιλόσοφον διαλέγεσθαι 778c7 ἐν ἀκλύστῳ λιμένι cum Psel. Χρονογραφία VI,72, Λόγος εἰς τὴν σταύρωσιν … = Or. hag. 3a,507, Ἐγκώμιον εἰς τὴν ἀποτομὴν τοῦ πανευφήμου προφήτου Προδρόμου καὶ βαπτιστοῦ Ἰωάννου = Or. hag. 8,685, Σελέντιον δημηγορηθὲν παρὰ βασιλέως κῦρ Μιχαὴλ τοῦ Δούκα = Or. min. 3,19, Ἱστορία σύντομος 62,26, et Π 189,33, Π 270,23, Π 275,46–47, Π 288,34–35, Π 324,13, et Π 548,12–13

ep. 466 P 217v; tit.: post τῷ lacunam indicavit P ‖ **ep. 467** P 218v; tit.: ἀνεπίγραφος πρὸς ἀρχιερέα S

Ἀβραάμ. Σαλπίζει γοῦν αὐτόθεν τὴν εὐεργεσίαν καὶ τὰ μεγάλα δωρήματα τῆς σῆς πλατείας χειρός.

Τοιοῦτόν ἐστιν ἀρχιερατικὴ ψυχὴ καὶ μεγάλη· πρός τε γὰρ τὸν θεόν ἐστι ἀκλινής, καὶ πρὸς τὴν τῶν πολλῶν πρόνοιαν ἐνταῦθα ἐπικλινής. Ἔσβεσας οὖν τὸ τῆς μητρὸς αὐτοῦ ἐπ' αὐτῷ δάκρυον, 10 καὶ παρεμυθήσω αὐτὰ τὰ φίλτατα, καὶ εὐτυχεστέραν αὐτοῖς τὴν ἀτυχίαν ἀπέδειξας.

Σώζοις οὖν μοι τὴν αὐτὴν ὁ ἐμὸς δεσπότης διάθεσιν· καὶ δείξαις τῷ ὑπερορίῳ τὴν ἀλλοτρίαν τῆς ἐνεγκαμένης γνησιωτέραν. Εἰ δέ γε μειρακιεύοιτο (ἔχει γάρ τι τῆς ἀτελοῦς ἡλικίας), ἀλλὰ 15 συγγινώσκοις αὐτῷ· ἡ γὰρ σταθηρότης καὶ τὸ ἀκλόνητον ἐν ὀλίγαις ἐστὶ τῶν ψυχῶν, καὶ μὴ ζήτει ἐν τοῖς ἀτελέσι τὸ ἀκριβές.

468. ⟨Κριτῇ τινι (?)⟩

S 127 [P]

Τοιοῦτός ἐστιν ὁ ἀληθὴς φίλος ὁποῖος σύ, λαμπρότατε ἀδελφέ. Ἀπέχω γοῦν σοι τὴν εἰς τὸν νοτάριον Ἰωάννην χάριν, ὅτι μοι κἀκεῖνος ἀπέχει πληρεστάτην τὴν εἰς σὲ περὶ τούτου ἀξίωσιν· κηρύττει τοιγαροῦν σε διὰ γραμμάτων καὶ ἀνακηρύττει λαμπρᾷ τῇ φωνῇ, οὐ τοῦτο μόνον ὅτι μοι τὸν φίλον εἰκόνισας, ἀλλ' ὅτι καὶ 5 πάσης ὅρος καθέστηκας ἀρετῆς. Καὶ ἵνα σοι τἀληθὲς ἐρῶ, εὐθύς σε τίθημι μετ' ἐμέ, οὐχ ὅτι κρείττων ἴσως ἐγὼ σοῦ, ἀλλ' ὅτι με ἐκεῖνος πλέον τοῦ πεφυκότος ὑπολαμβάνει.

Ἐγνώρισα γοῦν σε ὃν ἠπιστάμην· καὶ κατέλαβον ὃν οὐκ ἠγνόηκα. Σὺ δὲ εἰ μὲν προσθήσεις τῇ εἰς αὐτὸν προσπαθείᾳ σου, 10 αὐτὸ δὴ τοῦτο ἔργοις φιλοσοφεῖς ὅτι οὐκ ἔστι τέλος τῆς εἰς τὸ καλὸν ἀναβάσεως· εἰ δὲ καὶ μείνῃς ἐφ' ὧν ἔγνωκας, ἀποχρῶν καὶ τοῦτο τῷ νοταρίῳ· τοῦ γὰρ ἀκριβοῦς καὶ τελείου, τί ἂν γένοιτο τελεώτερον;

2 τὸν – Ἰωάννην: de eodem ipso de quo dicitur in epistulas Π 179,16 et Π 180,1? et ad quem Π 98 (cf. Weiss 1973,211)?

ep. 468 P 218v; tit. scripsi ‖ **2** μοι om. S ‖ **6** καθέστηκεν S

469. ⟨Κριτῇ τινι (?)⟩

S 128 [P]

Ἔτι ὁ θαυμάσιος Εὐθύμιος, καὶ οὔπω· ἀλλὰ περιμενεῖ καὶ τὴν αὔριον ὁ καὶ τὴν χθὲς καὶ τὴν σήμερον λιμώττων, λιμώξων δὲ ἴσως καὶ τὴν αὔριον. Ἀλλ' οὗτος μὲν ἴσως κορεσθήσεται, ἐγὼ δὲ λιμώξω· γέγονε γάρ μοι λίαν πολυβορώτατος, καὶ τῶν ἀλλοτρίων 5 ἡδέως κατατρυφᾷ.

Εἰ μὴ τοιγαροῦν αὔριον, ἀλλὰ μετὰ τὴν αὔριον ὁ κριτὴς τῆς προνοίας τεύξεται, γευσάσθω τὴν αὔριον μετὰ σοῦ, καὶ βραχύ τί μοι τὸν ἄνδρα ἐπελάφρισον· οὐ γὰρ μόνος βαστάζειν δεδύνημαι.

470. ⟨Κριτῇ τινι⟩

S 129 [P]

Ὅσα μὲν ἔδει γενέσθαι παρ' ἐμοῦ πάντα σαφῶς ἐκτετέλεσται· βασιλέως τε γὰρ ἐδεήθημεν, καὶ τοὺς περὶ τὴν διοίκησιν ἠξιώσαμεν. Τῶν δὲ οὐκ ἐφ' ἡμῖν τὸ μὲν ἤνυσταί σοι, τὸ δ' οὔ. Ἡ μὲν γὰρ τῶν ἐν Μακεδονίᾳ φόρων ἀπαίτησις οὐκ ἀφῄρηταί σου, 5 δέδοται δέ σοι τὸν ἐν ταύτῃ κριτὴν πάντα σοι λυσιτελῆσαι ὑπὲρ τῆς τούτων εἰσπράξεως, ὥσπερ ἂν αὐτὸς τὸν τῆς ἀπαιτήσεως φόρον ἐδέξατο. Τὸ δὲ αἴτιον τούτου (ὡς ἐγὼ κατανενόηκα) τὸ αὐτίκα μέλλειν παραλυθήσεσθαι τῆς ἀρχῆς τὸν ἐκεῖσε τὰς κρίσεις διέποντα, καὶ μηδὲ τὸν μετ' ἐκεῖνον ἐμφιλοχωρῆσαι τῷ θέματι, 10 καὶ τὸ ἰδίοις κακοῖς τοὺς διαδεχομένους πιέζεσθαι ὡς μὴ δύνασθαι βάρος ὑπενεγκεῖν ἕτερον.

Διὰ ταῦτά σοι οὐ τὸ πᾶν πέπρακται, ἀλλ' οὐ παρὰ τὴν ἡμετέραν ἀμέλειαν. Τὸ γοῦν λειπόμενον: στεῖλαί σε ἐν Μακεδονίᾳ σπουδαιότατον ἄνθρωπον ἐν βραχεῖ χρόνῳ τοὺς ἐκεῖσε φόρους 15 εἰσπράξοντα, κἂν τῷ θέματί σου δέ, ὅπερ ἂν βούλει πράττειν, συντόμως κατάπραττε· αἱ γὰρ τῶν διοικήσεων προθεσμίαι ἀσύντακτοι καὶ ἀόριστοι.

ep. 469 P 218v; tit. scripsi ‖ **ep. 470** P 218v; tit. scripsi ‖ **5** δέδοται P S: ⟨οὐ⟩ δέδοται prop. Wei[2],184

471. ⟨Κριτῇ τινι (?)⟩

S 130 [P], Cre 11 [H]

Ἡ πένης αὕτη καὶ μοναχή, πένης μὲν ἄχρι παντὸς βούλεται εἶναι καὶ μετὰ τοῦ ἱεροῦ σχήματος, οὐ μέντοι γε καὶ λιμώττειν· «λιμῷ» γὰρ «ἔχθιστον θανέειν καὶ πότμον ἐπισπεῖν» κατὰ τὸν εἰρηκότα σοφόν. Αὕτη δὲ καὶ μοναστηριτίκιόν τι ἐκ τῶν ἐνόντων ἐδείματο, καί τινα τούτῳ προσηρανίσατο, τὸ μὴ λιμώττειν τέως ταῖς ἐκεῖσε 5 μοναζούσαις ὑπισχνουμένη. Ἀλλ' εἷς τῶν συνενεγκόντων αὐταῖς ἐρανιστῶν (ἵνα μὴ τοὔνομα λέγω) ἀρνεῖται τὸν ἔρανον, καὶ ἀνατίθεται τὴν ὁμολογίαν.

Ἴδε οὖν τὸν ἄνθρωπον ὁμαλῶς, καὶ ἐξομίλησον δεξιῶς. Ἐὰν μὲν μὴ ἀναλύῃ τὴν χάριν, αὐτὸ δὴ τοῦτό ἐστι τὸ ζητούμενον· εἰ δ' 10 οὖν, στῆσον ταῖς ἀνίσοις τύχαις ἶσον καὶ εὐθὺ δικαστήριον, καὶ ἔστω σοι μετὰ τοῦ δικαιουμένου κατὰ τὸν νόμον ἡ δικαιοῦσα ἀπόφασις.

472. ⟨Κριτῇ τινι (?)⟩

S 133 [P]

Μὴ θαυμάσῃς, αὐθέντα μου καὶ ἀδελφέ, εἰ συνεχεῖς πρὸς σὲ ποιοῦμαι τὰς ἀξιώσεις· συνεχεῖς γὰρ καὶ αὐτὸς τὰς ἐνοχλήσεις παρὰ τῶν ἀξιούντων ὑφίσταμαι. Τὸν δὲ παρόντα ἄνθρωπον συνέστησέ μοι εἷς τις τῶν περὶ τὸ βασιλικὸν βῆμα καὶ τῶν πλεῖστα πρὸς τὸν βασιλέα δυναμένων· καὶ κατεδεήθη πολλὰ 5 συστῆσαι κἀμὲ τοῦτον τῇ ὑπερτίμῳ σου σεβασμιότητι.

Τοῦτο οὖν αὐτὸ ποιῶ· καὶ συνιστῶν ἀξιῶ, ἵνα καὶ ὁμιλοίης αὐτῷ προσηνῶς, καὶ προσδέχῃ εὐμενῶς, καὶ δεομένῳ ὑπέχῃς τὴν ἀκοήν, καὶ περιστατουμένῳ ἐπικουρῇς, εὐεργετῇς δὲ ἐν οἷς ἂν δύναιο· ἔστι γὰρ καὶ κατὰ τὸ φαινόμενον ὁ ἄνθρωπος καὶ πεπαι- 10 δευμένος καὶ συνετός. Ὠικειώθη δὲ κἀμοὶ ἀπὸ τοῦ μεσιτεύσαντος τοῦτον εἰς ἐμέ· ὅθεν τρόπον τινὰ δύο σοι τοῦτον συνιστῶμεν, ἐγώ τε καὶ ὅ μοι τοῦτον ἐγνώρισε. Τοῖς δύο οὖν ἀποδώσεις τὰς

2–3 λιμῷ – ἐπισπεῖν: Hom. Od. 12,342

ep. 471 P 218v–219r, H 45r, r fasc. 20 (= H); tit. scripsi ‖ **5** τέως P S: τὲ H Cre **12** δικαιοῦσα P S: ἀδικοῦσα H Cre ‖ **ep. 472** P 219r; tit. scripsi

χάριτας, εἰ καὶ γνωρίζοις τοῦτον καὶ ὁμιλοίης, καὶ ὠφέλειάν τινα
15 παρέχοις ἐν οἷς ἐνδέχεται.

473. ⟨Κριτῇ τινι (?)⟩

S 136 [P]

Τὸν φυτευθέντα σοι νοτάριον, λογιώτατε καὶ ὑπέρλαμπρε, παρὰ τῆς μαγιστρίσσης τῆς Δαλασηνῆς ποτίζειν ἐγὼ προῄρημαι, ἵν' εἰ μή γε διὰ τὸν φυτευτήν, ἀλλά γε διὰ τὸν ποτιστὴν ἐμὲ αὐξήσῃ θεὸς διὰ σοῦ. Πεφύτευται δὲ ἐν καλῷ γῆς, μᾶλλον δὲ (ἵν' εἴπω τι
5 κατὰ σὲ) ἐν καλλίστῳ μέρει τῆς ὑπερκοσμίου ψυχῆς· τοιαύτη γὰρ ἡ σὴ οὐσιώδης ζωή, περὶ ἣν ἢ καθ' ἣν αὐτόθεν βλύζει τὰ θεόρρυτα νάματα. Ἀρκεῖ μὲν οὖν τῷ νοταρίῳ καὶ ἡ φύσις ἐν ᾗ κατέσπαρται, εἰ δὲ βούλει καὶ ὁ φυτεύσας· εἰ δ' οὖν, ἀλλ' ἐγὼ μόνος ὁ ἐπάρδων· εἰ δ' ὁμοῦ τὰ τρία συντρέχει, πῶς οὐκ ἀποχρῶντα αὐτῷ εἰς πᾶσαν
10 καρπογονίαν;

Καὶ ἵνα σοι ἰδίᾳ φθέγξωμαι γλώττῃ (ὁ γὰρ λοιπὸς χαρακτὴρ τῆς ἐπιστολῆς διθυραμβώδης καὶ πρὸς τὴν σὴν ἀπεικασμένος ἰδέαν, ἐν ᾗ τὰ τοιαῦτα καχλάζει κινούμενα ῥεύματα), ἵν' οὖν αὐτόθεν σοι ὁμιλήσω, μήτε πᾶσαν ἡνίαν δίδου τοῖς ὑπὸ σὲ νοταρί-
15 οις, μήτε μὴν κάταγχε πικρῶς ἀνασειράζων τῷ χαλινῷ. Ἀλλ' εἰ

2 τῆς[1] – Δαλασηνῆς: Euphemia vel Anna Dalassene? cf. Cheynet I,179 et II,432 et 438–447 ‖ **1–4** τὸν φυτευθέντα – σοῦ: I Cor. 3,6 ἐγὼ ἐφύτευσα, Ἀπολλῶς ἐπότισεν, ἀλλὰ ὁ θεὸς ηὔξανεν ‖ **3** τὸν[1] – ποτιστὴν: cf. Greg. Naz. Περὶ τῆς ἐν διαλέξεσιν εὐταξίας = Or. 32,5 οὐχ εἰς ἕνα Παῦλον, ἢ Κηφᾶν, ἢ Ἀπολλώ, ἢ τὸν δεῖνα φυτευτήν, ἢ τὸν δεῖνα ποτιστήν ‖ **5** τῆς – ψυχῆς: iunctura neoplatonica; cf. e.g. Procl. In Tim. I 307,1–2 τὴν μὲν ψυχὴν τὴν ὑπερκόσμιον ἀποκαλεῖ δημιουργόν. cf. Psel. Omn. doctr. 21,13, Λόγος ἐπὶ τῷ ἐν Βλαχέρναις γεγονότι θαύματι = Or. hag. 4,45, Ἕτεραι ἐπιλύσεις φυσικῶν ἀπορημάτων = Phil. min. I 16,80, et Περὶ νοῦ = Phil. min. II 10 (21,5–6) **6** οὐσιώδης ζωή: cf. Procl. Στοιχείωσις θεολογική 103,12 et 197,1–2 et In. Tim. III 335,31 cum Psel. Omn. doctr. 30,12 ‖ **6–7** τὰ – νάματα: iunctura Pselliana in Niceph. Blemm. Ἐγκώμιον εἰς … Ἰωάννην τὸν θεολόγον 32,5 (ed. Munitiz) laudata? ‖ **13** καχλάζει – ῥεύματα: cf. Psel. Χρονογραφία VI,41 ἡ ῥητορικὴ … καχλάζει μόνον τῷ μεγάλῳ τῶν λέξεων ῥεύματι et VII,169 (=VII,c5) μήτε καχλάζων τῷ τῆς γλώττης ῥεύματι, cf. etiam Χρονογραφία VI,185

ep. 473 P 219v; tit. scripsi

μὲν βούλει, μετριάσας τὴν πρώτην, τὴν αὐτὴν μέχρι παντὸς τήρει διάθεσιν· εἰ δ' οὖν, ἀλλ' ἐπαφείς, αὖθις ἔπεχε, μήτε κροαίνειν κατὰ πεδίων διδοὺς παντάπασι, μήτ' ἐπὶ φάτνης ἑστᾶναι ἀεὶ βιαζόμενος. Ὁπότε δὲ τούτοις ὥσπερ ἵπποις ὁ χιλὸς ἐπιλείψει, ἢ ἡ συνήθης νομή, ἀλλὰ σὺ τηνικαῦτα τῆς ἄλλης αὖθις θεραπείας 20 ἀξίου, καὶ σαῖνε ταῖς ἐπαγγελίαις, ὡς ἐγὼ πολλοὺς εἶδον τῶν εὐγενῶν τὰς ψυχὰς ἀποχρῶσαν ἡγησαμένους τὴν τοιαύτην θεραπείαν τῶν λόγων, καὶ μηδενὶ πλέον ἐπιζητήσαντας.

Τοῦτο μὲν δή σοι κοινὸν πρὸς πάντας, πλέον δέ σοι παραπολαυέτω ὁ περὶ οὗ ἡ ἀξίωσις, ὡς καὶ παρὰ συγγενοῦς δοθείς, καὶ 25 ἐμῆς τανῦν μεσιτείας ἀξιωθείς.

474. ⟨Κριτῇ τινι (?)⟩

S 142 [P]

Σοφώτατε καὶ περίβλεπτε ἀδελφέ, οὐ μᾶλλον ὁ τοῦ Τελαμῶνος ἐκεῖνος υἱὸς ἐπὶ τῇ μεγάλῃ ἀσπίδι ἐθάρρει καὶ ἐσεμνύνετο, ὡς οὗτος ἐπὶ τῇ ἐμῇ ταύτῃ. Ὅτε γοῦν καὶ εἰλήφει ἀπὸ τῶν ἐμῶν τὸ γράμμα χειρῶν, αὐτίκα δὴ μετέωρος ἦν ὥσπερ οἱ τῶν Ἰνδῶν σοφοί· καὶ τὸ μέτωπον συνιζήσας ὑπὸ μίαν γραμμὴν τὰς ὀφρύας 5 συνῆψεν, ὁποῖον δὴ τῶν ἐνθέων τὸ σχῆμα.

Εἰ μὲν οὖν καὶ ἄτρωτος διατηρηθείη ὥσπερ ὁ ἥρως πολλῶν ἐσακοντιζόντων ἐπὶ τὸ σάκος, αὐτὸς ἂν γνοίης καὶ ὁ καιρὸς ἐλέγξει τὴν τοῦ ἀνδρὸς οἴησιν. Ἐγὼ δ' οὖν οὐχ ὡς μὴ βληθησόμενον τοῦτον ἐκπέπομφα, ἀλλ' ὡς ἐλάχιστα τρωθησόμενον, καὶ 10

17–18 μήτε – πεδίων: Hom. Il. 6,506–507 et 15,263–264 ἵππος ... / δεσμὸν ἀπορρήξας θείῃ πεδίοιο κροαίνων cum Greg. Naz. Εἰς τὸν μέγαν Βασίλειον ... = Or. 43,24. cf. Psel. Εἰς τὸ 'ὧν γὰρ τοὺς ἐπαίνους ...' = Theol. I 98,24–26 et Π 94,18 et Π 474,18–19 ‖ **1–2** ὁ – ἐσεμνύνετο: Ajax; cf. Hom. Il. 11,527 εὐρὺ γὰρ ἀμφ' ὤμοισιν ἔχει σάκος etc. ‖ **4–5** μετέωρος – σοφοί: cf. e.g. Philostr. Τὰ ἐς τὸν Τυανέα Ἀπολλώνιον 6,11,250–252 ἀπὸ γῆς αἴρεσθαι καὶ ξυμμετεωροπολεῖν τῷ θεῷ ... δύνανται δὲ Ἰνδοὶ μόνοι ‖ **5–6** τὸ – σχῆμα: cf. Psel. Λόγος εἰς ... Κωνσταντῖνον τὸν Μονομάχον = Or. pan. 1,273–274 ἐνθυμοῦμαι τοῦ Ἰνδοῦ τὴν ἐπὶ τούτῳ ὀφρῦν ὅπως εἶχε ταύτην ὑπὲρ ἕνα πῆχυν τῆς κεφαλῆς

ep. 474 P 220r–v; tit. scripsi

ταῦτα εἰ καὶ σὺ τοῦτον περιβαλεῖς δι' ὃν μάλιστα Εὐρυσάκης ὀνομάζοιτο, ἢ παρὰ τὴν ἐπιστολήν.

Τέως γοῦν ἀπήντησ⟨ε⟩ κατὰ προθεσμίαν, καὶ οὐδέν τι προειλήφει τοῦ δεδομένου μέτρου. Θαρρεῖ γοῦν κἀν τούτῳ ὥσπερ 15 ἐργασίαν ταλάντου πεποιημένος, καὶ ἐκ προοιμίων ἐπιδεικνύμενος ὡς κατήκοος γέγονε δεσποτικῶν ἐντολῶν. Ἐβούλετο μὲν γὰρ αὐτίκα ἕπεσθαί σοι, ἀλλ' ἐπεῖχεν αὐτὸν τοῦ προστάγματος ὁ δεσμός· ὡς δ' ἀπελύθη τοῦ εἴργοντος, οὐχ ὥσπερ ὁ Ὁμηρικὸς ἵππος κατὰ πεδίων ἐκρόαινεν, ἀλλ' ὡς ὁ Πλατωνικὸς πρὸς τὸν 20 καμπτῆρα ἐφέρετο· τοῖν γὰρ δυοῖν ἵπποιν μάλιστα οὗτος προσήκων αὐτῷ, ὅτι μηδὲ πρὸς τὸν σύννομον ἡ φορά, ἀλλὰ πρός τινα κρείττονα.

Ἐγὼ δὲ τοσοῦτον ἄγαμαι, μᾶλλον δὲ τὸ πᾶν διὰ θαύματος ἔχω, πῶς σοι ἐξακριβοῦντι τὰ πράγματα, καὶ ὅλην ἐπέχοντι τὴν 25 ἡνίαν, ὑποζεύγνυσθαι βεβούληνται ἅπαντες, ἢ πάντως ὀνησόμενοί σοι τῆς ἐπιστήμης καὶ ὅπερ ἂν παρὰ σοῦ κτήσαιντο βεβαίως ἕξοντες. Εἰ δ' ἦν αὐτοῖς καὶ ἐς τὴν καρδίαν ἐγκύψαι τὴν σὴν καὶ τῆς βαθείας σου καταπολαῦσαι φρενός, διπλῇ ἄν σοι ἀπώναντο· νῦν δ' ἔξω κείμενοι τῶν σῶν ἀποθέτων, οὐκ ἀπὸ τῶν Αἰθιοπικῶν 30 πηγῶν, ἀλλ' ἀπὸ τοῦ Κανωβικοῦ στόματος τοῦ Νείλου ἀρρύονται (τοῦτο γὰρ μέγιστον τῶν ἄλλων τοῦ ποταμοῦ).

Ἀλλὰ τῷ μὲν νοταρίῳ τοιούτων μεταδίδου πηγῶν, ἡμῖν δὲ τῶν ἀπορρήτων καὶ τῶν διὰ λόγου χωρούντων εἰς νοῦν. Εἰσὶ καὶ

11 Εὐρυσάκης: Aiacis filius; cf. l. 1–2 supra et Soph. Αἴας 340 et 575 etc. **14–16** ὥσπερ – ἐντολῶν: Mt. 25,14–30 ‖ **18–19** ὁ – ἐκρόαινεν: Hom. Il. 6,506–507 et 15,263–264 ἵππος ... / δεσμὸν ἀπορρήξας θείῃ πεδίοιο κροαίνων cum Greg. Naz. Εἰς τὸν μέγαν Βασίλειον ... = Or. 43,24 et Psel. Εἰς τὸ 'ὧν γὰρ τοὺς ἐπαίνους οἶδα...' = Theol. I 98,24–26 et Π 94,18 et Π 473,17–18 **19–22** ὡς – κρείττονα: cf. Plat. Φαῖδρος 246a6–b4 et 253d1–254e9... ὁ μὲν τοίνυν αὐτοῖν ... κελεύσματι μόνον καὶ λόγῳ ἡνιοχεῖται cum Psel. Ἐξήγησις τῆς Πλατωνικῆς ἐν τῷ Φαίδρῳ διφρείας τῶν ψυχῶν καὶ στρατείας τῶν θεῶν = Phil. min. II 7, Πρὸς τοὺς λέγοντας μὴ εἶναι φύσει χρηστὸν τὸν ἄνθρωπον· ἐλέχθη δὲ ὁ τοιοῦτος λόγος αὐτοσχεδίως = Phil. min. II 17 (83,29–84,7), et Π 23,17–20, Π 95,40–42, Π 116,28–29, Π 134,11–18, Π 214,22–23, Π 492,65–66 **29–30** ἀπὸ – πηγῶν: cf. e.g. Philostr. Μέμνων = Εἰκόνες 1,7,2 Νείλου γὰρ Αἰγύπτιοι μὲν ἔχουσι τὰς ἐκβολάς, Αἰθίοπες δὲ τὰς πηγάς ‖ **30** Κανωβικοῦ – Νείλου: cf. e.g. Strab. Γεωγραφικά passim

13 ἀπήντησ⟨ε⟩ S: ἀπήντησ P

παρ’ ἡμῖν ῥεύματα· καὶ (εἰ μή μοι μέμφοιο) οὐ πότιμα μόνον, ἀλλὰ καὶ τῷ κάλλει χρυσᾶ, καὶ λαμπρῶς σε τούτοις ἀμείψομαι· 35 κἂν αὐτὸς μιᾷ προχοῇ ἐς τὴν ἐμὴν θάλασσαν ἐμβάλοις τὸ ῥεῦμα, αὐτὸς ὅλῃ σε ἀντεπικλύσω πηγῇ, ὥσπερ οὐκ ἀμειαγώγητόν σοι τὸ προχυθὲν εἶναι ὕδωρ, ἀλλὰ μετὰ πλείονος ἀντεπενεχθὲν ῥεύματος.

475. ⟨Κριτῇ τινι (?)⟩

S 193 [P]

Ὡς περὶ συγγενοῦς πολλάκις ἀξιοῦντα, μὴ περιττὸν ἡγοῦ μηδὲ φορτικόν· εἰ γὰρ καὶ περιττὰ φθέγγομαι, ἀλλ’ ἡ φύσις τῆς περιττολογίας αἰτία, ἣν οὐκ ἔστι μέμψασθαι οὐδὲ πολυπραγμοσύνης γράψασθαι. Ἀξιῶ δὲ προστίθεσθαί σε αὐτῷ καὶ ἐπαυξάνειν τὴν πρὸς αὐτόν σου εὐμένειαν· καὶ τὰ μὲν τιμᾶν, τὰ δὲ 5 καὶ πλουτίζειν· οἶσθα γὰρ ὡς ἀμφοτέρων αὐτῷ χρεία ἐστί, μᾶλλον δὲ τοῦ δευτέρου· οὐ γὰρ ἑαυτῷ ζῇ, ἀλλὰ καὶ τέκνοις καὶ γυναικί, δι’ ἃ τὸν πλοῦτον τῆς τιμῆς ἐναλλάττεται.

476. ⟨Κριτῇ τινι (?)⟩

S 194 [P]

Εἰσῆλθε μὲν εἰς τὴν Πόλιν ὁ ἡμέτερος συγγενὴς θεασόμενος τόν τε πατέρα καὶ τοὺς ἄλλους αὐτῷ προσήκοντας· ἐξῆλθε δὲ αὖθις (ὡς ὁρᾷς) λειτουργήσων σοι τῷ κυρίῳ αὐτοῦ καὶ τὴν ὀφειλομένην ἀποδώσων τιμήν.

Μὴ θαυμάσῃς οὖν εἰ πολλάκις περὶ τοῦ αὐτοῦ ἀξιῶ· κήδομαι 5 γὰρ καὶ ὡς συγγενοῦς καὶ ὡς πολλῶν ἐνδεοῦς, καὶ ὡς ἄρτι εἰς βίον ἐμβάντος. Διὰ ταῦτα ἀξιώσεις ἐπ’ ἀξιώσεσι προσάγω σοι, πρὸς

37 ἀμειαγώγητόν: vox e Synes. Cyren. (cf. Epist. 5,4)? cf. Psel. Ὡς ἀπὸ προσώπου τοῦ βασιλέως = Or. for. 5,65–66, Ἐγκώμιον εἰς … Κωνσταντῖνον … τὸν Λειχούδην = Or. fun. I 2,8,65, Λόγος εἰς τὰ θαύματα τοῦ ἀρχιστρατήγου Μιχαήλ = Or. hag. 5,140, Τῷ … Κομνηνῷ = Or. pan. 9,5, et Π 13a,61

ep. 475 P 237v; tit. scripsi ‖ **ep. 476** P 237v; tit. scripsi

φίλον ἄνδρα διαλεγόμενος, καὶ μηδὲν τῶν ἐμῶν φορτικὸν ἔχοντα. Καὶ οἶδα μὲν ὡς αὔταρκες τῆς ἀξιώσεως τὸ τέλος ἀποδίδως αὐτῷ.
10 Ἀλλ' ἔστι τι καὶ τοῦ καλοῦ κάλλιον, καὶ τοῦ αὐτάρκους αὐταρκέστερον· ἀναβέβηκε δὲ καὶ διάθεσις διάθεσιν, καὶ οἰκειότης οἰκειότητα. Διὰ ταῦτα ἀντιλαβοῦ πλέον, καὶ διατίθεσο πρὸς αὐτὸν γνησιώτερον, ἵνα καὶ ἡμεῖς μᾶλλόν σοι εὐγνωμονήσωμεν, καὶ ἐπὶ πλέον εὐχαριστήσωμεν.

477.

S 197 [P]

Καὶ αὖθις τεθνήκαμεν, ἀδελφὲ περιπόθητε· οὐκ οἶδα δὲ εἰ καὶ ἀνέστημεν, οὕτως ἀκριβῶς τεθάμμεθα. Σὺ δέ μοι τὸν ἐπιτάφιον οὐκ ἐποίησας. Ἀλλά τι καὶ ξένον ἀκούσῃ· τεθνηκότες γὰρ οὕτως ἐζῶμεν ἐπιπονώτερον, ὥστ' ἐρᾶν εἴ τις ἀναίσθητος θάνατος εἴη.
5 Ἐπεὶ οὖν τὸν ἐπιτάφιον λόγον ἐπέλιπες, ἴσως οὐκ ἀκηκοὼς τὸν νεκρόν, τὸν ἀνακλητικὸν ᾆσον ἡμῖν. Καὶ σάλπισον εἴ τις ἐστί σοι βιώσιμος φθόγγος, θεῖος ἴσως (τί γὰρ δεῖ παρενείρειν ἡμῖν τὸν Στεντόρειον); τοῖς γὰρ ἄλλως ἠχοῦσιν οὕτως ἀκριβῶς τὰ ὦτα ἐμπεφράγμεθα, ὡς μηδ' ὅσον ἀνθρώπου κινουμένου αἰσθάνεσθαι.
10 Πυρετῷ γὰρ τὸ πρῶτον ἐκκείμενοι (οἴμοι οἷον ἐκεῖνο τὸ πῦρ, τάχα τῆς γεέννης εἰς τὴν ἐμὴν καρδίαν ἀπορριφὲν καὶ πόνοις ἀφορήτοις δαμάσαν ἐφ' ὅλαις ἡμέραις ἕνδεκα!), νῦν ἀθρόον καὶ παρ' ἐλπίδας ἐκείνου σβεσθέντος, εἰς τὴν ἐναντίαν ἕξιν μεταπεπτώκαμεν ἐπ' ἴσῃ τῇ πλάστιγγι. Καὶ ζῶμεν οὐ ζῶντες· καὶ κινούμεθα μὴ κινούμε-
15 νοι· ἀπειρήκασι γὰρ ἡμῖν καὶ αἱ αἶγες ἀποδερόμεναι καὶ οἱ τὰ κρείττω ὑφαίνοντες· αὐτὸ γάρ τοι τὸ ἆσθμα ἡμῶν οὕτως ἔστιν ἀκριβῶς ψυχρόν, ὡς ἀρκεῖν πολλάκις ἀνθ' ὑδάτων τοῖς σφόδρα πυρέττουσιν.
Ἀπιστεῖς τοῖς λεγομένοις; Εἴ τίς σοι δύναμις, καὶ βούλει καὶ
20 προθυμῇ, ἐλθὲ καὶ θέασαι.

7–8 τὸν Στεντόρειον: proverbium; cf. Hom. Il. 5,785 Στέντορι ... μεγαλήτορι χαλκεοφώνῳ, cf. Π 289,21–22, Π 298,22, et Π 541,6–7

9 τῆς : τὸ τῆς S ‖ **ep. 477** P 238r, Y 117v; tit.: τοῦ αὐτοῦ Y ‖ **4** θάνατος P S: om. Y ‖ **9** ἀνθρώπου Y: ἄγνου P S ‖ **12** δαμάσαν P S: om. Y ‖ **17–18** σφόδρα πυρέττουσιν Y: πυρεταίνουσιν P S ‖ **19** σοι P S: om. Y

478. ⟨Κριτῇ τινι⟩

K-D 240 [Taf[1]], Taf[1] 58 [P], PG[2] 58 [Taf[1]]

Κριτὴς εἰς οἶκον κριτοῦ· καὶ ὁ δημώδης λόγος ἐνήλλακται. Εἰ δὲ τὴν βουλγαροπουπιλλαρίαν ἀγωγὴν οὐκ ἐπίσταται, οὐδὲ τὴν ὀρφανικὴν οἶδεν ἀποκατάστασιν, ἀλλὰ καὶ Βουλγάροις καὶ Σκύθαις καὶ ὀρφανοῖς, καὶ ἁπαξαπλῶς σύμπασιν, ὅσοι δὴ ἄκαπνα κατὰ τοὺς ἀοιδοὺς θύουσιν, ἡ τούτου οἰκία ἀνέῳκται. Κἂν εἰς τὴν 5 τούτου ἀρχεγονίαν ἀναποδίσῃς, εὕρῃς τὸ γένος τὸν ἀρχαῖον βίον ζηλώσαντα· καὶ θαύμασον ὅτι τὸν πάντας ὑποδεξάμενον αὐτὸς ὑποδέδεξαι.

Καὶ ὥσπερ τὴν σελήνην θαυμάζομεν ὅτι τὰς κράσεις τῶν στοιχείων μεταποιεῖ, καὶ ἐπὶ μᾶλλον τὸν ἥλιον, ὅτι τοῦ φωτὸς 10 αὐτῇ μεταδίδωσι, καὶ τούτου ἐπὶ μάλιστα τὸ στερέωμα, ὅτι περιάγει τοῦτον στρεφόμενον, καὶ ἐπὶ πᾶσι τὴν ἐξωτάτω περιοχήν, ὅτι σύμπαντα εἰς ἑαυτὴν σπαργανοῖ, οὕτω δὴ καὶ σὲ ἐκθειάσομεν, τὸν μέγαν τουτονὶ Κρόνον εἰς ἑαυτὸν συνελίσσοντα. Ἔστι δὲ οὐ κατ' ἐκεῖνον δριμύς, οὐδὲ τὴν κρᾶσιν ψυχρός, ἀλλὰ πρὸς τὰ νυκτερινὰ 15 φῶτα σχηματιζόμενος, ἐναλλάττει τὴν φύσιν, καὶ γλυκὺς εἴπερ τις ἄλλος ἐστίν, οὐκ ἀπειλούμενός τισιν, οὐ φιλίας διαταράττων θεσμούς, οὐκ ἄλλο τι τῶν ἀτοπωτέρων ποιῶν.

1 κριτὴς – ἐνήλλακται: cf. proverbium κλέπτης εἰς οἶκον κλέπτου ‖ **4–5** ἄκαπνα – θύουσιν: CPG II 193–194 (nr. 43) cum Athen. Δειπνοσοφισταί 1,14 ἄκαπνα γὰρ αἰὲν ἀοιδοὶ θύομεν. cf. Π 122,13 ‖ **12** τὴν – περιοχήν: cf. Cleom. Μετέωρα 2,3,48–49 ἐν τῇ ἐξωτάτῃ τοῦ οὐρανοῦ περιοχῇ cum Simplic. In Cat. 150,3–4 διὸ τὸν ἐξωτάτω οὐρανὸν οὐδέ φησιν εἶναι ἐν τόπῳ. cf. Psel. Ἀλληγορία τοῦ 'οἱ δὲ θεοὶ πὰρ Ζηνὶ …' = Phil. min. I 42,67–68 τὸν ἐξώτατον καλεῖν οὐρανὸν εἴτε πᾶσαν τὴν αἰθέριον οὐσίαν καὶ φύσιν εἴτε τὴν νοερὰν αὐτῶν περιοχήν et etiam Ἐκ τοῦ περὶ θεολογίας δευτέρου λόγου, εἰς τὸ 'τί ποτέ' ἐστι 'τὸ θεῖον' = Theol. I 49,148–149 et Ἐξήγησις τῶν Χαλδαϊκῶν ῥητῶν = Phil. min. II 38 (135,1–7). cf. Π 167,56 ‖ **14–15** Κρόνον – ψυχρός: cf. e.g. Ioann. Lyd. De mens. 4,10,37–38 ψυχρὸς ὁ Κρόνος etc.

ep. 478 P 255v–256r; tit. scripsi ‖ **4** ἄκαπνα scripsi: ἄναυδα P Taf[1] K-D **5** οἰκία scripsi: κακία P Taf[1] K-D ‖ **6** τὸ γένος: τοῦ γένους dubitanter prop. K-D (app. crit.)

Τρόπον μὲν οὖν τινα ἠλλοτρίωταί σοι μισοῦντι τῆς ἀμπέλου
20 τὸ γέννημα ὁ αὐτὸς πρῶτος δὴ ὢν Οἰνεύς. Εἰ δέ σοι τὴν φύσιν μεταποιήσει, καί σοι τὴν δίκην οἰκείαν εὐμούσως συγκερασάμενος προσενέγκοι, τοῦτο δὴ δῶρον τύχης, καὶ κρεῖττον εὐχῆς. Σὺ δὲ μὴ ἀπαξιώσῃς τὴν κύλικα, ἢν δὲ βούλῃ, τὸν βομβυλιόν· οἷς γὰρ ὁ ἀνὴρ ἐντέθραπται, τούτοις σε δεξιώσεται.

479. ⟨Κριτῇ τινι⟩

K-D 241 [Taf[1]], Taf[1] 59 [P], PG[2] 59 [Taf[1]]

Ὁ ἐπίσκοπος οὗτος ἔχει μὲν καὶ σεμνότητα ἀρχιερεῖ πρέπουσαν, ἔχει δὲ καὶ ἦθος πολιτικὸν καὶ γλυκύ, οὐκ ἐπιτετηδευμένον οὐδὲ εὐτράπελον, ἀλλὰ φυσικὸν καὶ ἔμφυτον.

Εἰ μὲν οὖν τὸ σεμνὸν τιμᾷς καὶ ἀσπάζῃ, εὑρήσεις τοῦτο παρὰ
5 τῷ ἀνδρί· εἰ δὲ τὸ ἱλαρὸν καὶ εὔχαρι, πλουτεῖ καὶ ταῦτα ὁ ἄνθρωπος· εἰ δὲ τὸ ἐξ ἀμφοῖν σύγκρατον, συνήρμοσται ἐξ ἀμφοτέρων. Ἢ τοίνυν ἐκ τῶν ἁπλῶν, ἢ ἐκ τῆς κράσεως τίμησον· ἢ ταῦτα μὲν ἄφες, δι' ἐμὲ δὲ σαυτῷ τοῦτον οἰκείωσον. Καὶ ὅπως μὲν ἔχει οὗτος, ἔστω δὴ οὕτως· διὰ δὲ τὴν ἐμὴν γραφὴν καὶ ἀξίωσιν, τῆς
10 κρείττονος παρὰ σοὶ εὐμοιρησάτω καὶ μερίδος καὶ ὑπολήψεως.

480. ⟨Κριτῇ τινι⟩

K-D 246 [Taf[1]], Taf[1] 62 [P], PG[2] 62 [Taf[1]]

Καινόν τί μοι πρᾶγμα προσήγγειλεν ὁ παρών· ἔφησε γάρ ὅτι βουλόμενον ἀνεγεῖραι καταλυθεῖσαν τὴν οἰκίαν αὐτοῦ ἐγγειτόνων τις οἰκῶν οὐκ ἐᾷ, οὐ κωλύων αὐτὸν ἐπιχειροῦντα μετασχηματίσαι τὸ πεπτωκός, ἀλλ' ὅλως τὸ καταλελυμένον κτίσαι παρεμποδίζων.

20 πρῶτος – Οἰνεύς: cf. Athen. Δειπνοσοφισταί 2,1 ὅτι τὸν οἶνον ὁ Κολοφώνιος Νίκανδρος ὠνομάσθαι φησὶν ἀπὸ Οἰνέως: «Οἰνεὺς δ' ἐν κοίλοισιν ἀποθλίψας δεπάεσσιν / οἶνον ἔκλησε.» φησὶ δὲ καὶ Μελανιππίδης ὁ Μήλιος: «ἐπώνυμον, δέσποτ', οἶνον Οἰνέως.» cum Suda οι 135? ‖ **23** τὴν – βομβυλιόν: Athen. Δειπνοσοφισταί 11,60–62 (κύλιξ) et 29 (βομβυλιός)

21 μεταποιήσῃ corr. K-D ‖ **22** προσενέγκῃ corr. K-D ‖ **ep. 479** P 256r; tit. K-D ‖ **ep. 480** P 256v; tit. scripsi: ⟨κριτῇ τινι?⟩ K-D ‖ **2** ἐγγειτόνων : ἐν γειτόνων K-D

Ἐγὼ μὲν οὖν ἀκούσας εὐθὺς ἐγέλασα, ἄλλο τι εἶναι νομίσας τὸ κωλυόμενον· ὁ δὲ μέχρι παντὸς ἐνέστη μοι τοῦτο αὐτὸ εἶναι ὅπερ ἐξ ἀρχῆς εἴρηκε. Τοῦτο δὲ ἄλλο ἐστὶν ἢ καινὴ τυραννίς; Ἀλλ' ἐπειδὴ πένης ἐστὶν ὁ τυραννῶν, ἐπὶ μὲν τυραννικοῖς ἐγκλήμασιν οὐκ αἰτιαθήσεται· ὡς δέ γε αὐθάδης καὶ βίαιος, ἢ μᾶλλον πάντη παχὺς καὶ ἀνόητος, τοῖς προσήκουσιν ἐπιτιμίοις σωφρονισθήσεται. Εἰ δ' ἄλλως ἔχει τὸ πρᾶγμα, ἀφεὶς τοὺς κήρυκας, αἰτιῶ τὸν Ἀγαμέμνονα.

481. ⟨Κριτῇ τινι⟩

K-D 247 [Taf[1]], Taf[1] 63 [P], PG[2] 63 [Taf[1]]

Ὁ παρὼν οὗτος ἡμέτερός ἐστι φίλος. Ὑπὲρ οὗ ἀξιώσαντος ἡμᾶς, ἀξιοῦμεν τὴν σὴν ἐνδοξότητα συνεργίαν δοῦναι αὐτῷ ὥστε ἀπαιτῆσαι ἃ κατέλιπε λοιπαδάρια.

Εἰ μὲν γὰρ ἅπαξ ἀπαιτήσας, δευτέρας αὖθις πειρᾶται ἀπαιτήσεως, ὡς ματαίαν τὴν ἀξίωσιν λόγισαι. Εἰ δὲ οἱ ἀπαιτούμενοι ἐκακούργησαν περὶ τὴν τῶν δημοσίων λειτουργημάτων ἀπόδοσιν, ποῦ δίκαιον διὰ τὴν ἐκείνων κακουργίαν τε καὶ ἀπείθειαν τοῦτον ὑποστῆναι ζημίαν ὧν οὐκ ἐκέρδησε; Διὰ ταῦτα γενέσθω αὐτῷ ἡ εὐγένειά σου εἰς μεγάλην βοήθειαν, καὶ τὸ δικαστικὸν ἀξίωμα ἐπὶ τοιαύτῃ χαρακτήριον ὑποθέσει. Δικαστοῦ δὲ οὐδὲν οὕτως ὡς τὸ βοηθεῖν τοῖς ἀδικουμένοις καὶ τοῖς ἀδικοῦσιν ἐπεξιέναι.

482.
excerptum?

K-D 192 [O]

Οἷον καὶ τοῦτο τοῦ πεδίου τὸ κάλλος. Αὐτίκα γοῦν εἷλεν ἰδόντα

10 παχὺς – ἀνόητος: locus communis; cf. e.g. Syrian. In Hermog. Περὶ ἰδεῶν 40,17–18 «παχύτερον αὐτὸν ποιοῦσιν» ἀντὶ τοῦ ἀνοητότερον· παχεῖς γὰρ ἐκάλουν τοὺς ἀναισθήτους ‖ **11–12** αἰτιῶ – Ἀγαμέμνονα: Hom. Il. 1,335 οὔ τί μοι ὔμμες ἐπαίτιοι ἀλλ' Ἀγαμέμνων

10 παχὺς : ταχὺς Taf K-D ‖ **ep. 481** P 256v; tit. K-D ‖ **7** ποῦ : πᾶν Taf πῶς corr. K-D ‖ **ep. 482** O 199r–v

καὶ κατακλιθέντα ὑπτίως καὶ μαλακῶς ὑπεδέξατο. Ἐμὲ δὲ μικροῦ δεῖν καὶ ἠπάτα· τὸ γὰρ λῖνον ἀνθῆσαν, κυανιζούσης θαλάσσης φύσιν ἀπεμιμήσατο. Ὡς γοῦν αὐτίκα ἐμπεσούμενος, τὴν ἡνίαν
5 ἐπέσχον· εἶτα δὴ γνούς, παρὰ μικρόν, ἐπ' αὐτὸ τῆς ἕδρας ἐξέθορα.

Καὶ τοῦτο μὲν τὸ ἄνθος, ἠρέμα πως ἐν πέριξ ἄλλοις πολλοῖς, ὑπεκύμαινε. Τὰ δ' ἦν ὑάκινθοί τε καὶ νάρκισσοι, καὶ ἄγνου σύσκιον πάγκαλον. Ἐστεφάνου δὲ ταῦτα δένδρα ὑψίκομα οὐκ ἐσχάτῃ τοῦ πεδίου περιβολῇ· αὖθις γὰρ ἕτεραι χάριτες, καὶ πάλιν
10 ἄλλαι καὶ ἄλλαι, αἱ μὲν ἐν θάμνοις, αἱ δ' ἐν ῥοδωνιαῖς, αἱ δ' ἐν ὄρεσιν ἀνιοῦσιν ἠρέμα κύκλῳ περιετείχιζον. Τὰ δέ γε μουσουργὰ τῶν ὀρνίθων, ἀντερίζοντα ὥσπερ πρὸς ἄλληλα τὴν ἔμφυτον μουσικήν, τό τε ἄλσος κατεφώνουν, κἀμοί τις ἀκόρεστος ἦν ἡδονή.

Πάσαις γοῦν καταθελχθεὶς ταῖς αἰσθήσεσι, τοῖς ὠσὶ τῇ τῶν
15 ὀρνίθων ἠχῇ, τῇ ἁφῇ τῇ μαλακῇ πόᾳ, τοῖς ὀφθαλμοῖς τοῖς χρώμασι καὶ τοῖς σχήμασι, τῇ ὀσφρήσει τοῖς ἐμφύτοις τῶν ἀνθέων ἀρώμασι, τῇ γεύσει τῇ ἡδονῇ τῆς ὀπώρας, βραχεῖ τῷ λόγῳ τὸ κάλλος ἀντημειψάμην τοῦ ἄλσους.

483.

excerptum?

K-D 193 [O]

Ὀφθαλμὸς ἄρα τῆς οἰκουμένης ἐστὶ τὸ Βυζάντιον· ὥσπερ γάρ ἐστί τις μεσαίτατος τόπος τῆς γῆς (τοῦτο δὲ οὐδεὶς τῶν πάντων

7–8 ἄγνου – πάγκαλον: Plat. Φαῖδρος 230b3–4 τοῦ τε ἄγνου τὸ ὕψος καὶ τὸ σύσκιον πάγκαλον, locus saepe laudatus. cf. Psel. Ἐπιτάφιος εἰς … Ἰωάννην τὸν Ξιφιλῖνον = Or. fun. I 3,16,43–44, Τὰ πρὸς Ὄλυμπον = Or. min. 36,34, Ἑρμηνεία περὶ τῶν εἰκοσιτεσσάρων στοιχείων ... πρὸς … Ἰωάννην τὸν λιβελλίσιον = Phil. min. I 36,305, et Εἰς τὸ θεολογικὸν τὸ 'ταῦτα τοῖς αἰνιγματισταῖς …' = Theol. I 16,32–33 et Π 22,39–40, Π 64,27, et Π 201,31–32 ‖ **1** ὀφθαλμὸς – Βυζάντιον: Greg. Naz. Συντακτήριος = Or. 42,10 εἰ γὰρ τὸ πόλιν τῆς οἰκουμένης ὀφθαλμὸν, γῆς καὶ θαλάσσης ὅτι κράτιστον, ἑῴας τε καὶ ἑσπερίου λήξεως οἷον σύνδεσμον, εἰς ἣν τὰ πανταχόθεν ἄκρα συντρέχει

3 λίνον K-D ‖ **ep. 483** O 199v

ἠκρίβωσεν, ἀλλὰ ψεύδονται οἱ τοῦ Διὸς ἀετοί, καὶ οἱ Δελφοὶ μάτην αὐχοῦσιν ἐπὶ τῷ πλάσματι), οὕτως ἐστί τις καὶ κάλλιστος, οἷον ἐξῃρημένον τέμενος τῷ θεῷ. Ἐσπείσαντο γοῦν τῇ πόλει καὶ αἱ τῶν 5 ἀνέμων φοραί, αἰγιαλοί τε καὶ θάλαττα· καὶ ὁ ἀὴρ ταῖς ἀλύποις τῶν ὡρῶν ποιότησι συγκραθεὶς προσηνῶς αὐτῇ περικέχυται. Καὶ οὐκ ἄν τις οὕτω τοῦτο γνοίη, εἰ μὴ πέριξ διαδράμοι τὴν οἰκουμένην· παραλλάττει γὰρ εὐθὺς τούτῳ ἑκάστῃ τῶν ὡρῶν ⟨ὁ⟩ ἀήρ, ἐπειδὰν βραχύ τι τῶν ὁρίων προέλθοι τῆς μητροπόλεως, οὐκ 10 ἐπὶ τὸ κρεῖττον, ἀλλ' ἐπὶ τὸ χεῖρον μεταβαλλόμενος.

Ἔστι δὲ καὶ μίμημα τοῦ παντός· ἀνατολαί τε γὰρ καὶ δύσεις καὶ ἄρκτοι καὶ νότοι, οἳ ἀφ' ἑκάστων κλιμάτων θαυμασίως ἐν ταύτῃ συνδεδραμήκασιν, ἢ μᾶλλον ἕκαστον τῶν μερῶν τῷ οἰκείῳ καὶ ἀκριβεῖ πρὸς ταύτην συμπεπρεσβεύκασιν. Ἡ δὲ βασιλὶς οἷα 15

3–4 ἀλλὰ – πλάσματι: cf. Pind. Pyth. 4,4 ἔνθα ποτὲ χρυσέων Διὸς αἰετῶν πάρεδρος cum scholiis et Strab. Γεωγραφικά 9,3,6 ἐν μέσῳ πώς ἐστι [scil. τὸ ἱερὸν τῶν Δελφῶν] ... καὶ τῆς οἰκουμένης, καὶ ἐκάλεσαν τῆς γῆς ὀμφαλόν, προσπλάσαντες καὶ μῦθον ὅν φησι Πίνδαρος, ὅτι συμπέσοιεν ἐνταῦθα οἱ ἀετοὶ οἱ ἀφεθέντες ὑπὸ τοῦ Διός, ὁ μὲν ἀπὸ τῆς δύσεως ὁ δ' ἀπὸ τῆς ἀνατολῆς, etc. **12** μίμημα – παντός: cf. e.g. Procl. In Tim. 3,197,21–22 ἵνα καὶ ἕκαστον τῶν στοιχείων κόσμος ᾖ καὶ ὄντως μίμημα τοῦ παντός

5 ἐξῃρημένον scripsi: ἐξῃρημένος O K-D ‖ **9** ἑκάστῃ scripsi: ἑκάστη O K-D
1–11 ὥσπερ – μεταβαλλόμενος scripsi: καὶ οὐκ ἄν τις οὕτω τοῦτο γνοίη, εἰ μὴ πέριξ διαδράμοι τὴν οἰκουμένην· παραλλάττει γὰρ εὐθὺς τούτῳ· ἑκάστη τῶν ὡρῶν, ἀήρ· ἐπειδὰν βραχύ τι τῶν ὁρίων προέλθοι τῆς μητροπόλεως, οὐκ ἐπὶ τὸ κρεῖττον· ἀλλ' ἐπὶ τὸ χεῖρον μεταβαλλόμενος· ὥσπερ γὰρ ἐστί τις μεσαίτατος τόπος τῆς γῆς, τοῦτο δὲ οὐδεὶς τῶν πάντων ἠκρίβωσεν· ἀλλὰ ψεύδονται· οἱ τοῦ Διὸς ἀετοὶ· καὶ οἱ Δελφοὶ μάτην αὐχοῦσιν ἐπὶ τῷ πλάσματι. οὕτως ἐστί τις καὶ κάλλιστος οἷον ἐξῃρημένος τέμενος τῷ θεῷ. ἐσπείσαντο γοῦν τῇ πόλει, καὶ αἱ τῶν ἀνέμων φοραί· αἰγιαλοί τε καὶ θάλαττα καὶ ὁ ἀὴρ ταῖς ἀλύποις τῶν ὡρῶν ποιότησι συγκραθεὶς προσηνῶς αὐτῇ περικέχυται O καὶ οὐκ ἄν τις οὕτω τοῦτο γνοίη, εἰ μὴ πέριξ διαδράμοι τὴν οἰκουμένην· παραλλάττει γὰρ εὐθὺς τούτῳ ἑκάστη τῶν ὡρῶν. ἀήρ, ἐπειδὰν βραχύ τι τῶν ὁρίων προέλθοι τῆς μητροπόλεως, οὐκ ἐπὶ τὸ κρεῖττον, ἀλλ' ἐπὶ τὸ χεῖρον μεταβαλλόμενος· ὥσπερ γὰρ ἐστί τις μεσαίτατος τόπος τῆς γῆς. τοῦτο δὲ οὐδεὶς τῶν πάντων ἠκρίβωσεν, ἀλλὰ ψεύδονται οἱ τοῦ Διὸς ἀετοὶ καὶ οἱ Δελφοὶ μάτην αὐχοῦσιν ἐπὶ τῷ πλάσματι. οὕτως ἐστί τις καὶ κάλλιστος οἷον ἐξῃρημένος τέμενος τῷ θεῷ. ἐσπείσαντο γοῦν τῇ πόλει καὶ αἱ τῶν ἀνέμων φοραί, αἰγιαλοί τε καὶ θάλαττα καὶ ὁ ἀὴρ ταῖς ἀλύποις τῶν ὡρῶν ποιότησι συγκραθεὶς προσηνῶς αὐτῇ περικέχυται K-D

τὴν δορυφορίαν ἠρέμα προσίεται. Καὶ ἡ μὲν θάλασσα δεχομένη τὸν Ἀλφειόν, οὐ νοθεύει τῷ ἁλμυρῷ κύματι τὴν τούτου κρᾶσιν· ἡ δὲ καλλίους τοὺς ἀποστόλους τῶν πρεσβειῶν παρὰ τὴν ἑαυτῆς φύσιν ἐργάζεται.

484.

K-D 194 [O]

Εἰκόνων ἐγὼ θεατὴς ἀκριβέστατος. Ἀλλά με μία κάλλει ἀφάτῳ ἐκπλήξασα, καὶ οἷον ἀστραπῆς βολῇ τὰς αἰσθήσεις πηρώσασα, ἀφείλετό μου τὴν περὶ τὸ πρᾶγμα δύναμίν τε καὶ σύνεσιν. Εἶχε δὲ παράδειγμα αὕτη τὴν θεομήτορα καὶ πρὸς ἐκείνην ἐγέγραπτο.
5 Ἀλλ᾽ εἰ μὲν ἐμφερὴς ἐκείνῳ τῷ ὑπερφυεῖ καθειστήκει ἀγάλματι, οὐ πάνυ τι οἶδα. Ὅτι δὲ συγκραθέντα τὰ χρώματα σαρκὸς φύσιν ἀπεμιμήσαντο, τοῦτο καὶ τοσοῦτον ἐπίσταμαι· τὸ γὰρ εἶδος ἄληπτόν μοι καὶ τότε τῇ ὄψει, καὶ νῦν τῇ ἐννοίᾳ καθίσταται.

Γράφω γοῦν οὐχ ὅπερ τεθέαμαι, ἀλλ᾽ ὃ πέπονθα· ἔοικε γάρ,
10 μεταβεβλημένη τὴν φύσιν παντάπασι, καὶ πρὸς τὸ θεοειδὲς μεταμορφωθῆναι κάλλος, καὶ τὴν ἐκ τῶν ὀφθαλμῶν αἴσθησιν ὑπερβαίνουσα. Ἀλλ᾽ οὔτε βλοσυρά τίς ἐστιν ἐντεῦθεν, οὔτ᾽ αὖθις ἐνικῷ κάλλει κομᾷ. Ἀλλ᾽ ὑπὲρ ἄμφω τὰ μέτρα ἐστί, καὶ τοσοῦτον εἰς γνῶσιν καταβᾶσα, ὅσον μὴ γινώσκεσθαι τὴν μορφήν, ἀλλ᾽
15 ἐκπλήττειν τὸν θεατήν.

Πεποίηται μὲν οὖν πρεσβείαν ποιουμένη πρὸς τὸν υἱόν, καὶ τοῖς ἀνθρώποις ἐκκαλουμένη τὸν ἔλεον· τοῦτο δὴ τὸ σύνηθες ἔν τε ἀληθείᾳ καὶ σχήμασιν. Οὐκ ἐπιδοιάζει δὲ πρὸς τὴν ἱκετείαν, οὐδ᾽ οἷον ἐπιθρηνεῖ πρὸς τὴν δέησιν, ἀλλ᾽ ἠρέμα τὰς χεῖρας ἐκτείνουσα,

16–17 ἡ – κρᾶσιν: cf. Pind. Nem. 1,1 ἄμπνευμα σεμνὸν Ἀλφεοῦ cum scholiis et e.g. Suda λ 3821 Ἀλφειὸς ... δυόμενος διὰ τῆς Ἀδριάδος θαλάσσης τὸ πέλαγος καὶ μηδαμῶς τῇ ἁλμυρίδι μιγνύμενος, Ach. Tat. Τὰ κατὰ Λευκίππην καὶ Κλειτοφῶντα 1,18,1–2, Greg. Naz. Εἰς τὸν μέγαν Βασίλειον … = Or. 43,21 cum Ps.-Nonnus Συναγωγὴ … ἱστοριῶν … in Greg. Naz. Or. 43, hist. 9 περὶ τοῦ Ἀλφειοῦ, etc.; cf. etiam Π 276,9–11 et Π 363,8

16 ἠρέρμα ante corr. O ‖ **ep. 484** O 199v

ὡς αὐτόθεν ληψομένη τὴν χάριν, θαρρεῖ τὴν εὐχήν. Αἱ δὲ τῶν 20
ὀμμάτων βολαί, ἁπανταχῇ τὸ θαυμάσιον· μερίζεται γὰρ οὐρανῷ
καὶ γῇ, ἵν' ἄμφω ἔχῃ, ᾧ τε πρόσεισι, καὶ ὑπὲρ ὧν τοῦτο πεποίη-
ται.

Τοῦτο γοῦν τὴν πρώτην ἰδών, ἥρπασα· τὸ δὲ λοιπὸν πλῆξαν
τοὺς ὀφθαλμούς, ὑπερβέβηκεν. Ἐντεῦθεν οὖν εὐδαίμων ἡ μονὴ τῶν 25
Καθαρῶν, ἢ τῇ Ἐδὲμ ἡ ξύμπασα γῆ.

485.

K-D 195 [O]

Κύνα σέ τινες τοῦ κοινοῦ φασιν, οὐκ ἀπεικότως που
καταστοχαζόμενοι· κύων γὰρ ὄντως ἦσθα Ἀρραβικός, καὶ κύων
τὴν ἀναισχυντίαν, οὐ τὴν παρρησίαν, καὶ τὸ γαστρίμαργον, οὐ τὸ
ἐφίμερον, καὶ τὴν ὑλακήν, οὐ τὴν φυλακήν, καὶ μὴ δάκνειν μὲν
εἰδὼς τοὺς αὐτόχρημα λύκους κατὰ σέ, κατεσθίειν δὲ τὰ πρόβατα· 5
καὶ γὰρ οὐ τοσοῦτον εἴργασαι τοὺς κακοσχόλους δεινόν, ὅσον τοὺς
τὸν βίον σεμνὸν ἕλκοντας καὶ ἀπράγμονα.

Ἀλλ' ἐξεύρηταί τις μηχανή, κύον, δι' ἧς παύσῃ τοὺς ἀτυχεῖς
λαθροδηκτῶν. Φασὶν οἱ πάλαι σοφοὶ κυνῶν τοὺς τῶν προβάτων
γευομένους ἐξ αὐτῆς κατακόπτειν καὶ ἀναιρεῖν, ὥστε οὐκ ἂν 10

20–21 τῶν – βολαί: cf. Hom. Od. 4,150 ὀφθαλμῶν τε βολαί, iunctura Homerica saepe laudata. cf. Psel. Ἐπιτάφιος εἰς τὴν ἑαυτοῦ μητέρα 548–549, Χρονογραφία V,28, Ἐγκωμιαστικὸς εἰς … Μιχαὴλ τὸν Κηρουλλάριον = Or. fun. I 1,58,43–44, et Π 184,48, Π 186,36, et Π 273,24 ‖ **25–26** ἡ – Καθαρῶν: Janin 1975,158–60; cf. Π 349,18 et Π 360,44 ‖ **2** κύων[1] – Ἀρραβικός: cf. Habac. 1,8 ὑπὲρ τοὺς λύκους τῆς Ἀραβίας cum Greg. Naz. Λόγος θεολογικὸς δεύτερος, περὶ θεολογίας = Or. 28,2 εἴτε λύκος Ἀραβικὸς καὶ ἀλλόφυλος, ἢ καὶ τούτων ὀξύτερος τοῖς σοφίσμασιν? cf. etiam Psel. Εἰς τὸ ῥητὸν τοῦ Ἰὼβ … ʻκαὶ ὁ διάβολος παρέστη … = Theol. I 32,191 ‖ **1–11** κύνα – κατακοπτόμενος: Dem. Κατ' Ἀριστογείτονος α' = Or. 25,40 κύων νὴ Δία, φασί τινες, τοῦ δήμου. ποδαπός; οἷος οὓς μὲν αἰτιᾶται λύκους εἶναι μὴ δάκνειν, ἃ δέ φησι φυλάττειν πρόβατ' αὐτὸς κατεσθίειν … ἀλλὰ μὴν τοὺς γευομένους κύνας τῶν προβάτων κατακόπτειν φασὶ δεῖν, ὥστ' οὐκ ἂν φθάνοι κατακοπτόμενος ‖ **8** κύον: cf. Psel. Πρὸς τὸν Σαββαΐτην = Poem. 21,300–301 μὴ τρῖβε τὸν τρίβωνα καὶ μίαινέ μοι· / ῥῖψον, κύον, τάχιστα τὴν ἐπωμίδα

ep. 485 O 200r ‖ **2** Ἀραβικὸς K-D ‖ **4** ἐφίμερον corr. K-D: ἐφήμερον O

φθάνοις κατακοπτόμενος καὶ ἀπωλείᾳ παραδιδόμενος· δεῖ γὰρ οὕτως, ἤπερ βιοῦντα, ἐπηρκέναι τὸ κέντρον, καὶ τρέφειν τὸν ἰὸν κατὰ τοὺς σκορπίους ἢ τοὺς κεράστας ἄττειν τε καὶ σφαδάζειν, ὃν δὴ πλήξειας, καὶ ᾧ τὸν ἰὸν ἐξεμέσειας.

15 Ἀλλὰ σὲ ἡ πρόνοια κακὸν κακῶς θᾶττον ἐκτρίψειεν, ὡς μὴ καθά τις λύμη μεταδῷς τοῖς παρατυγχάνουσι τοῦ δεινοῦ· ἐν ἐγκλήμασι γὰρ καὶ χαλεπαῖς αἰτίαις καὶ συμφοραῖς ἀνιάτοις βούλει πάντας ἐτάζεσθαι. Διὰ ταῦτά σε δεῖ, ὡσεί τινα ὄφιν ὀλέθριον ἢ φαλάγγιον ἰοβόλον, προσαράσσεσθαι τῇ πέτρᾳ καὶ 20 προσκροτεῖσθαι, μή πως δήξῃς τινὰ καὶ αὖον εὐθέως ἀποφήνῃς καὶ ἄναυδον.

486.

excerptum?

K-D 196 [O]

Βαθεῖ με τῷ κάρῳ τῆς ἀθυμίας, καὶ ὡς ὑπὸ μανδραγόρᾳ καθεύδοντα, διύπνισας σύ, τῷ θελκτηρίῳ σου τῶν ἰύγγων μᾶλλον καταγοητεύσας καὶ καταθέλξας, ἢ τοὺς τῷ νησιώτῃ κατὰ τὴν πλάνην ἐφεπομένους ὁ θρυλλούμενος τῷ μύθῳ λωτός. Ἀλλὰ 5 δραστικωτέρας εἴης ἡμῖν τὰς Σειρῆνας ἐπιδαψιλεύων τῶν λόγων σου, καὶ γραφίδι χαράττοιο καὶ μέλανι, καὶ ἔναυλον ἔχοιμεν τὴν

15 κακὸν κακῶς … ἐκτρίψειεν: Soph. Οἰδίπους τύραννος 248 κακὸν κακῶς νιν ἄμορον ἐκτρῖψαι βίον. cf. Suda α 1664 ‖ **19** φαλάγγιον ἰοβόλον: cf. Aelian. Περὶ ζῴων ἰδιότητος 3,36 τὸ φαλάγγιον …γίνεται δὲ ἐν τῇ Λιβύῃ, καὶ ἔχει πόδας μικρούς· στόμα δὲ εἴληχεν ἐν μέσῃ τῇ γαστρί, καὶ ἔστιν ἀποκτεῖναι τάχιστον et Π 272,39–41 γίνεται δὲ ἐν τῇ Λιβύῃ φαλάγγιον, ἐν μέσῃ τῇ γαστρὶ τὸ στόμα λαχόν, καὶ ἔστιν ἀποκτεῖναι τάχιστον ‖ **1–2** ὡς – καθεύδοντα: Lucian. Τίμων ἢ μισάνθρωπος 2,8–9 καθάπερ ὑπὸ μανδραγόρᾳ καθεύδεις ‖ **4** ὁ – λωτός: cf. Hom. Od. 9,92–97, locus saepe laudatus; cf. Psel. Ἐγκώμιον εἰς τὸν οἶνον = Or. min. 30,132–133, Π 201,31, Π 248,25, Π 445,6, et Π 449,35–36 ; cf. etiam Π 519,11–12 ‖ **5** τὰς Σειρῆνας: cf. Hom. Od. 12,39–46, locus saepe laudatus; cf. Psel. Εἰς τὸ ῥητὸν τοῦ Ἰὼβ … ʻκαὶ ὁ διάβολος παρέστη … = Theol. I 32,59, Π 445,8–10, Π 63,31–32, Π 112,79–80, Π 117,67, Π 248,16 et 23–27; cf. etiam Π 121,76–80, Π 199,31, et Π 379,4–5; cf. etiam Π 30,11, Π 76,49–50, et Π 128,29

11 φθάνοις corr. K-D: φθάνοι O ‖ **14** πλήξειας corr. K-D: πλήξεις O ‖ **16** λύμη corr. K-D: λοίμη O ‖ **ep. 486** O 200r

συνῳδίαν αὐτῶν, ἀλλὰ μὴ ἀφιπταμένην, ἢ καὶ εἰς ἀέρα χεομένην.

487.
excerptum?

K-D 197 [O]

Τὸ δοκοῦν σοι πίπτειν ἐξ οὐρανοῦ ἄστρον ἐν ταῖς νυξὶν οὐκ ἔστιν ἄστρον ἀληθινόν, ἀλλὰ τῆς ξηρᾶς καὶ καπνώδους ἀναθυμιάσεως κίνησίς τις καὶ ἔξαψις. Διττῆς γὰρ ἀναπεμπομένης γῆθεν πρὸς οὐρανὸν ἀποφορᾶς, τῆς μὲν ἐνίκμου, τῆς δὲ κατὰ τὴν ἑτέραν ποιότητα, ἡ μὲν τῷ τῆς ὑγρότητος ἄχθει βαρυνομένη, οὐ πάνυ 5 μετέωρος αἴρεται, ἀλλὰ περὶ τὸν κάτω ἀέρα συνίσταται, ψεκάδας, καὶ ὑετούς, καὶ χαλάζας, καὶ τὰ τῆς τοιαύτης συστοιχίας ἀποτελοῦσα· ἡ δὲ ἀνωτέρω δι' ἐλαφρίας ὑπεραναβᾶσα, τά τε ἄλλα καὶ πρὸς ἐκείνοις δαλούς, καὶ δοκίδας, καὶ αἶγας, καὶ τὰς φαινομένας ῥίψεις τῶν ἀστέρων ἐργάζεται. Ὥσπερ γὰρ ὁ ἐνταῦθα 10 καπνὸς κινούμενος ἐκπυροῦται, οὕτω δὴ καὶ ἐν τῷ οὐρανῷ ἡ καπνώδης ἀναθυμίασις, ἀπὸ πρώτης τινὸς ἀρχῆς κινηθεῖσα, εἶτα δὴ ἐξαφθεῖσα, τὰ παρακείμενα διεκπυροῖ τοῦ καπνοῦ σωμάτια, μέχρις ἂν διὰ τέλους τούτων ἐξίκηται. Καὶ ἐν παχεῖ δὲ νέφει σπέρμα πυρὸς ἐμπεσόν, εἶτ' ἐκεῖθεν ἐκθλιβέν, ῥῖψιν ἀστέρος 15 εἰκόνισεν. Ὅθεν καὶ πλάγιον φέρεται. Ὡς μὲν γὰρ κοῦφον τὸ πῦρ, τὴν ἄνω χώραν μεταδιώκει· ὡς δὲ βιαζόμενον, κάταντες γίνεται· ὡς δ' ἀντωθούμενον, πλάγιον σύρεται.

3–18 διττῆς γὰρ – σύρεται: cf. Psel. ⟨De meteorologicis⟩ = Phil. min. I 19,31–43 et 85–133 cum Olympiod. In Mete. 36,1–39,16 et 79,33–80,19 etc.; cf. etiam Psel. Περὶ ὑετοῦ … = Phil. min. I 20,16–41 et Περὶ τῶν κατ' οὐρανὸν φασμάτων … = Phil. min. I 24,3–18

ep. 487 O 200r–v ‖ **8** δὲ corr. K-D: δὴ O

488.
post a. 1057 [cf. l. 43 ἡ προεδρία]

K-D 198 [O]

Μὴ οἴου παντάπασιν ἀπηλλάχθαι ἡμᾶς τῆς παρδάλεως, χρυσῆ καὶ φιλτάτη ψυχή· ἀπαντᾷ γὰρ ἔτι καὶ περιτρέχει, οὐ κατὰ τὴν τῶν Ἀσσυρίων ὁδόν (τοῦτο γὰρ ἔλαττον τὸ κακὸν ἐν ἀλλοτρίᾳ πόλει αἰσχύνεσθαι), ἀλλ’ ἐπὶ τῶν συνήθων διατριβῶν, ἐπὶ τῆς 5 Ἀκαδημίας αὐτῆς (εἰ χρὴ οὕτως εἰπεῖν) ἐπὶ τῆς Στοᾶς, ἐπὶ τῶν βασιλείων αὐτῶν, (τί μὴ λέγω τὰ χείρω;) ἐπὶ τῆς ἑστίας, (εἰ μή μοι μέμφοιο) ἐπὶ τῆς εὐνῆς.

Οὕτω μοι τὸ παγχάλεπον τοῦτο θηρίον ἐκμέμηνε καὶ πᾶσαν ὑποτέμνει ὁδόν, ποικίλως με κατὰ τὸν ἐναντίον τρόπον θηρώμε-10 νον. Νῦν μὲν γὰρ ἐκπλήττει βρυχώμενον· αὖθις δὲ περισαίνει μεταβάλλον καὶ ποικιλλόμενον. Κἂν μὲν ἐνδώσω τὴν πρώτην, οὐχ ὥστε ἁλωτὸς αὐτῷ γενέσθαι (μὴ γὰρ οὕτω ⟨καὶ⟩ τοσοῦτον ὁ βάσκανος δαίμων ἰσχύσειεν), ἀλλ’ ὥστε τὸν ἐκείνου θυμὸν τιθασσεῦσαι, μικροῦ δεῖν αὐτίκα καὶ περιπλέκεταί με, μηδὲ μέσης 15 φειδόμενον ἀγορᾶς (οὕτως ἰταμόν τε καὶ δυσεκβίαστον)· ἂν δ’ ἀποτόμῳ χρήσωμαι σχήματι, καὶ οἷον ἐπανατείνω τὴν χεῖρα, αὐτὸ δὴ τοῦτο ἀναιδέστερον ἐκεῖνο εἰργασάμην καὶ ἀπαραίτητον.

Ὁρᾷς γοῦν ὅ τι με καὶ τριβωνοφοροῦντα ποιεῖ, βίᾳ τοὺς λεοντοκόμους ἀποδεδρακός, ἔτι τὸν δεσμὸν ἐπισυρόμενον ἐπὶ 20 θάτερα; Καὶ εἰ μή με θεὸς διὰ τῆς σῆς χειρὸς ἐξείλετό τε τῆς αὐτοῦ δυσμενείας, καὶ τῷ μὲν ἐπέταξε μὴ πορρωτέρω προβαίνειν, ἐμὲ δὲ ἐπὶ πέτρας ὕψωσέ τε καὶ ἔστησε, περιάρπακτος ἂν ἐγεγόνειν, εἰ

1–3 τῆς – ὁδόν: Osee 13,7 καὶ ἔσομαι αὐτοῖς ὡς πανθὴρ καὶ ὡς πάρδαλις κατὰ τὴν ὁδὸν Ἀσσυρίων et Π 76,41–42 ‖ **12–13** ὁ – δαίμων: iunctura saepe laudata, cf. e.g. Greg. Naz. Κατὰ Ἰουλιανοῦ στηλιτευτικὸς α´ = Or. 4,101 cum Psel. Λόγος εἰς τὴν σταύρωσιν = Or. hag. 3a,372–373, Λόγος εἰς … τὸν Μονομάχον = Or. pan. 2,326 et 379, Ἐξήγησις τῶν Χαλδαϊκῶν ῥητῶν = Phil. min. II 38 (139,20–21), Κατηγορία τοῦ ἀρχιερέως = Or. for. 1,704–705, ⟨De meteorologicis⟩ = Phil. min. I 19,210, et Ἐγκωμιαστικὸς εἰς … Μιχαὴλ τὸν Κηρουλλάριον = Or. fun. I 1,10,14, et Π 57,10 ‖ **22** ἐπὶ – ὕψωσέ: Ps. 26,5 (cf. 60,3) ἐν πέτρᾳ ὕψωσέν με

ep. 488 O 200v–201r; tit.: ⟨φίλῳ τινί⟩ K-D ‖ **8** μοι scripsi: με O K-D | ἐξέμηνε corr. Diam 304 ‖ **9** με : μὲν K-D ‖ **12** καὶ add. K-D ‖ **18** ὅτι K-D | βίᾳ scripsi: βίᾳ γὰρ O K-D

καὶ μὴ ταῖς τῶν ὀνύχων λαβαῖς, ἀλλὰ ταῖς γε τῶν ῥημάτων περιπλοκαῖς, καὶ τοῖς δεινοῖς ἐνθυμήμασι.

Τὸ μὲν οὖν ἐμὸν ἦθος, εἰ μή με πάντη κατανενόηκας, ἀλλὰ 25 τοιοῦτόν ἐστιν. Ἥλιξι μέν, καὶ λογίοις ἀνδράσι, καὶ ταῖς χρηστοτέραις τῶν διαθέσεων ἡδέως συμφέρομαι· κἂν ὁ καιρὸς χάριτάς τινας ἀπαιτοίη, ἐξυποφαίνεταί μοι ἐκ ῥακέων ἐπιγουνίς. Καὶ στωμύλλομαι μὲν οὐδαμῶς, χρῶμαι δὲ ὥσπερ ἡδύσματι τῷ καταμελιτοῦντι λόγῳ τὴν ἀκοήν· καὶ τῷ σεμνῷ τὸ ἡδὺ κατακε- 30 ραννύς, ἠρέμα τὴν τοιαύτην συνθήκην τοῖς ὁμιλοῦσι προσφέρω. Ἀγοραῖος δ᾿ οὖν οὔτε βούλομαι οὔτε δύναμαι, οὐδὲ θεατρίζειν τὴν γλῶτταν ἐπιτετήδευμαι· κἂν ἐντύχω παρὰ γνώμην τοῖς ἀβουλήτοις, ἐρυθριῶ καί μοι ἐπανθεῖ κατὰ τοῦ προσώπου τὸ χρῶμα τῆς αἰδοῦς. 35

Ἀλλὰ πρότερον μὲν ἐδεδίειν τὴν ἀγοράν, καὶ τὰς πανηγύρεις ἀπεδίδρασκόν τε καὶ διωλίσθαινον. Νῦν δέ μοι βάσκανός τις δαίμων τὰ πράγματα περιέτρεψε· καὶ κινδυνεύω μὴ τῷ καπνῷ μόνον τὰς ὄψεις δριμύττεσθαι, ἀλλὰ καὶ τῷ πυρὶ ἁλώσιμος γίνεσθαι. Καὶ τὸ κακόν, οὐκ ἐν Αἰγύπτῳ, οὐδὲ αἰχμαλώτῳ 40 τυγχάνοντι, οὐδὲ ἐκ τῶν ὑπερηφάνων οἴκων καὶ σοβαρῶν, ἀλλ᾿ ἐν τῇ Κωνσταντίνου οὗ τέθραμμαι, καὶ ἐκ τῶν τριόδων καὶ τῶν βαράθρων, ἥ τε ἐλευθερία καὶ ἡ προεδρία μεῖζον ἀτύχημα· ὅσῳ

28 ἐκ – ἐπιγουνίς: Hom. Od. 18,74 οἵην ἐκ ῥακέων ὁ γέρων ἐπιγουνίδα φαίνει, cf. Psel. Εἴς τινα κάπηλον γενόμενον νομικόν = Or. min. 14,164 **29–30** ὥσπερ – ἀκοήν: cf. Synes. Cyren. Δίων 2,3 τῷ καταμελιτοῦντι τὰς ἁπάντων ἀκοὰς διηγήματι cum Suda ω 20 et Psel. Λόγος σχεδιασθεὶς πρὸς Πόθον βεστάρχην ... περὶ τοῦ θεολογικοῦ χαρακτῆρος 14, Περὶ χαρακτήρων συγγραμμάτων τινῶν 49,13–14, Ἐγκώμιον εἰς Ἰωάννην … Εὐχαΐτων … = Or. pan. 17,138–139, Εἰς τὸ ‘ἐν ἀρχῇ ἦν ὁ λόγος’ = Theol. I 75,135, et Τίς ἡ διάκρισις τῶν συγγραμμάτων, ὧν τῷ μὲν Χαρίκλεια, τῷ δὲ Λευκίππη ὑποθέσεις καθεστήκατον; 32. cf. etiam Π 76,51–52 τὸ ἥδιστον μέλος καὶ τὴν σὴν ψυχὴν καταμελιτοῦν et Π 118,42 μηδὲ πόα καταμελιτοῦσα ψυχήν **37–38** βάσκανός – δαίμων: cf. l. 12–13 ‖ **38–40** τῷ – γίνεσθαι: cf. proverb. τὸν καπνὸν φεύγων εἰς τὸ πῦρ ἐνέπεσον, CPG I 314 (nr. 45) et II 474 (nr. 59a) **40–41** οὐκ – τυγχάνοντι: Gen. 37,28 καὶ κατήγαγον τὸν Ιωσηφ εἰς Αἴγυπτον etc. ‖ **43** ἡ προεδρία: cf. Π 1,31, Π 177,4, Π 277,5, et Π 368,2

28 ἐξυποφαίνεταί corr. K-D: ἐξυφαίνεται O ‖ **30** καταμελιτοῦντι corr. K-D: καταμελιττοῦντι O ‖ **38** περιέτρεψε corr. Polemis: περιέστρεψε O K-D

γὰρ ἐπὶ τὸν πρῶτον λόχον ὡς τοῦ κακοῦ φάλαγξ, τοσούτῳ δυστυ-
45 χεῖ τὸ σύμπαν στρατόπεδον.

Καὶ τὸ μὲν Ἑβραῖον ἐκεῖνο καὶ πάγκαλον τῷ ὄντι μειράκιον, ἐπειδὴ τῶν τῆς Αἰγυπτίας χειρῶν διωλίσθησεν, οὐκέτι περί γε τὸ σωφρονεῖν ἐκινδύνευεν, ἀλλ' ἐγεγόνει τούτῳ τὸ δεσμωτήριον ὅρος πρὸς τὴν ἐπιμανεῖσαν αὐτοῦ τῇ ὥρᾳ ἀπότομον. Ἐμοὶ δὲ τὸ ἐλεύθε-
50 ρον, καὶ τὸ πανταχοῦ, καὶ ἡ μεγάλη πόλις ἀντὶ ἀρκύων εἰσί. Καὶ τά γε φυγαδευτήρια εἰς προδοσίαν ἀρκοῦσι· καὶ οὗ τοῖς ἄλλοις τὰ τῆς ἀσφαλείας, ἐν τούτοις τὰ τῆς τυραννίδος ἐμοί. Καὶ γίνονταί μοι ἐπιβουλαὶ τὰ ἀνάκτορα· καὶ μέχρι τούτων ὁ ὄφις, συρόμενος εἴσεισι, διείρων ἑαυτὸν ταῖς ὀπαῖς, καὶ τοῖς τρήμασι, καὶ μικροῦ
55 δεῖν, καὶ τὴν λεβηρίδα ἀποδυόμενος, ἵνα γυμνῇ καὶ ἁπαλῇ τῇ σαρκὶ παραβύσας ἑαυτόν, εἰσερπύσῃ. Οὕτω δέ τι ἀναισχυντεῖ, ὅτι καὶ τὴν πτέρναν μοι κεκελευσμένον τηρεῖν τὸ θηρίον, τὸ δὲ καὶ γλουτῶν καὶ λαγόνων ἐφάπτεται.

Ἀντέστραπται δὲ πάντα ἐπ' ἐμοί· καὶ τὰ τῆς φύσεως κατ'
60 ἐμοῦ τὴν μεταβολὴν ἴσχει. Τοῖς μὲν γὰρ ἄλλοις ζηλοτυπώτατος ὁ ἄρρην μοιχευομένου τοῦ θήλεος, ἐμοὶ δὲ ἡ θήλεια ὄφις τιθασσὸν εὐτύχησεν οὕτω τὸν ἄρρενα, ὡς μικροῦ δεῖν καὶ παρ' ἐκείνου τὴν κατ' ἐμοῦ πικρίαν ἐντέλλεσθαι. Τέως δὲ ὁ παρίας ἐκεῖνος, καὶ τοῦ παλαιοῦ θιάσου, καὶ τῆς βακχικῆς πανηγύρεως ὥσπερ τῆς ἐκεῖθεν
65 παροινίας ἐμπεπλησμένος, ἡδέως ὁρᾷ ἐκβεβακχευμένην καὶ ἐξοιστρῶσαν τὴν θήλειαν· ἡ δὲ τῷ ἐκεῖθεν ἀζηλοτυπήτῳ πᾶν ἐπ'

44 τὸν – λόχον: cf. Hom. Il. 13,285 ἐπειδὰν πρῶτον ἐσίζηται λόχον ἀνδρῶν? **46–49** τὸ – ἀπότομον: Gen. 39,7–23 ἦν Ιωσηφ καλὸς τῷ εἴδει καὶ ὡραῖος τῇ ὄψει σφόδρα ... καὶ ἐπέβαλεν ἡ γυνὴ τοῦ κυρίου αὐτοῦ τοὺς ὀφθαλμοὺς αὐτῆς ἐπὶ Ιωσηφ ... κατέλιπεν τὰ ἱμάτια αὐτοῦ ἐν ταῖς χερσὶν αὐτῆς καὶ ἔφυγεν καὶ ἐξῆλθεν ἔξω ... καὶ λαβὼν ὁ κύριος Ιωσηφ ἐνέβαλεν αὐτὸν εἰς τὸ ὀχύρωμα ... καὶ ἔδωκεν ὁ ἀρχιδεσμοφύλαξ τὸ δεσμωτήριον διὰ χειρὸς Ιωσηφ, cf. Psel. Λόγος εἰς τὴν σταύρωσιν = Or. hag. 3a,372–377 βασκαίνεται τῷ πρώτῳ βασκάνῳ καὶ ἰοβόλῳ δαίμονι· καὶ ἐπιμαίνεται αὐτοῦ τῇ ὥρᾳ ἡ Αἰγυπτία γυνή ... (cf. supra l. 12–13 et l. 37–38) et etiam Ἐγκώμιον εἰς τὴν ἀποτομὴν ... Ἰωάννου = Or. hag. 8,253–254 ‖ **57** καὶ[1] – θηρίον: Gen. 3,14–15 εἶπεν κύριος ὁ θεὸς τῷ ὄφει ... καὶ σὺ τηρήσεις αὐτοῦ πτέρναν. cf. Π 186,9–10 et Π 149,34; cf. etiam Π 42,23–24 ‖ **63–64** ὁ – θιάσου: Dem. Περὶ στεφάνου = Or. 18,260 ἐν δὲ ταῖς ἡμέραις τοὺς καλοὺς θιάσους ἄγων διὰ τῶν ὁδῶν ... τοὺς ὄφεις τοὺς παρείας θλίβων. cf. Π 111,141 et Π 272,10–11

47 χειρῶν corr. K-D: χωρῶν O ‖ **49** ὥρᾳ : θύρᾳ K-D

ἐμὲ κέντρον ζηλοτυπίας ὠθεῖ, αὐτοῦ μοι τοῦ βαδίζειν βασκαίνουσα, τῆς ζωῆς, τῆς ἀναπνοῆς, τῆς ὅπη βουλητόν μοι διαγωγῆς.

Γελᾷς ἐπὶ τούτοις, ἀλλ' ἐμοὶ καὶ δακρύειν ἐπέρχεται· δέδοικα γὰρ τὸν ἰὸν μὴ πόρρωθεν ἐπὶ τὴν ἐμὴν ψυχὴν εἰσρυῇ. Προστίθημι 70 δέ, ὅτι μηδὲ τῆς ὀρχήστρας ἢ τοῦ θεάτρου εἰμί, μηδὲ τῶν φόρων, ἀλλὰ τῶν ἕνδεκα καὶ τῶν ἐπωνύμων. Κἂν Ἀρεοπαγίτην μέ τις ἐρεῖν βούλοιτο, οὐ ψεύσεται ἴσως· ἡ γὰρ ἐμὴ ψῆφος ἀνωτέρα καὶ τῆς ἐφέσεως. Καὶ ἵνα τὰ ἡμέτερα λέγω ἑνὶ λόγῳ, αἰδοῦς με τὸ σχῆμα πληροῖ, ἐπεὶ ἱλαρυνόμην ἂν ἡδέως ἐπὶ τοιαύτῃ ἐρωτικῇ 75 παιδιᾷ. Ἓν μόνον μοι ἐπὶ τῇ συμφορᾷ παραμύθιον. Οὐ πάνυ τι τὸ ἀναίσχυντον τουτὶ θηρίον ἔρρωται. Ἀλλὰ συχνοὺς μὲν τῶν γομφίων ἀποβέβληται· ἐπιτρέχει δὲ καὶ πᾶν αὐτοῦ τὸ σῶμα ῥυτίς, καὶ τὼ χεῖρε διέστραπται· πεπόρευται δὲ ἐπὶ τῷ στήθει καὶ τῇ κοιλίᾳ. Ἢν γοῦν καὶ αὖθις διάρῃ τὴν κεφαλήν, ἢ τοῖς ποσὶ 80 συναράξας συντρίψω, ἢ ὥς τι γῆς σκύβαλον διαρρήξω μακράν.

Ἀλλ' ἐγώ σοι παιδιὰν λογικὴν καὶ τὰς περιστάσεις ποιοῦμαι, ἵν' ἔχῃς οὐχ ὡς ὁ Φάλαρις τῷ χαλκῷ βοῒ ἐντρυφᾶν, ἀλλ' ὡς ⟨ὁ⟩ τοῦ Φιλίππου τὰς τοῦ Σινωπέως θαυμάζειν μετὰ γέλωτος ἀτυχίας. 85

489.

K-D 199 [O]

Οὐαί ἀπέσβη τὸ πῦρ ἐκεῖνο, λογιώτατε ἀδελφέ, ὃ πυρπολεῖν ἐδόκει καὶ λίθον καὶ πᾶν ἄλλο στερρότερόν τε καὶ ἰσχυρότερον. Ἀλλ' ἀναφθήτω πάλιν, ἀλλ' ἐξαρθήτω, ἀλλ' εἰς ὕψος ἀρθήτω

72 τῶν ἕνδεκα: cf. e.g. Suda ε 1156 ἕνδεκα: ἀρχὴ ἐν Ἀθήναις, ἐπιμελομένη τῶν ἐν τῷ δεσμωτηρίῳ κατακρίτων | τῶν ἐπωνύμων: cf. e.g. Suda ε 2842–2843 ἐπώνυμοι: ... οἱ κατ' ἀρετὴν διαπρέποντες ἀστοὶ etc. ‖ **81** γῆς σκύβαλον: cf. Psel. Πρὸς τοὺς ἐρωτήσαντας πόσα γένη τῶν φιλοσοφουμένων λόγων = Phil. min. I 3,149–150 μηδὲ τῷ τῆς γῆς κρημνῷ σκύβαλον καταλείπειν cum Or. Chald. 158 ‖ **83** οὐχ – βοΐ: cf. e.g. Diod. Sic. Βιβλιοθήκη ἱστορική 19,108,1 cum Pind. Pyth. 1,95–96 ‖ **83–85** ὡς² – ἀτυχίας: cf. Plut. Περὶ φυγῆς 605d–e cum Arrian. Ἀλεξάνδρου ἀνάβασις 7,2,1 et etiam Π 248,47–50

67 κέντρον scripsi: κέτρον O κέστρον K-D ‖ **70** προστίθημι corr. K-D: προτίθημι O ‖ **74** με corr. K-D: μὲν O ‖ **83** τῷ O: τῇ K-D | ὁ add. K-D
ep. 489 O 201r–v; tit.: ⟨φίλῳ τινί⟩ K-D

μέγα· ἤδη γὰρ ἐγώ σοι τῆς ὑπανάψεως τοὺς δαλοὺς ἐπιδέδωκα,
5 καὶ τὸ πῦρ αὐτὸ ταῖς χερσὶ προσκεκόμικα.

Δεῖξον οὖν μοι σὺ τὴν ἐντεῦθεν ὠφέλειαν· ὄφελος δέ, εἴπερ ἄλλο τι τοῖς λογικοῖς, λόγος ἐκ φιλικῶν χειλέων ἱέμενος. Καὶ μὴ σιγήσῃς ἡ λαλιστάτη χελιδών· μηδ᾽ ἠρεμεῖν καὶ νῦν ἔτι θελήσῃς. Ἀλλὰ τὴν τῶν λόγων ἀναστομώσας πηγήν, τοῖς λογικοῖς σου
10 νάμασι τοὺς διψῶντας ἡμᾶς κατάρδευε, οὐχ ὥστε σβέσαι τὸ πῦρ, οὐδὲ τεφρῶσαι τὴν κάμινον, ἀλλὰ νῦν μέν με τῷ καυστικῷ τοῦ πόθου πυρὶ κατάφλεγε, νῦν δὲ ταῖς τῶν λόγων ῥανίσι κατάψυχε· οὕτω γὰρ ἐγὼ καὶ φλέγεσθαι καὶ κατάρδεσθαι βούλομαι.

490.
excerptum?

K-D 203 [O]

[Εἰ] ἐν τῇ κινήσει (φησί) θερμότερος ὁ ἀὴρ γίνεται, πῶς τῇ ῥιπίδι κινούμενος, αὔρᾳ τινὶ ψυχρᾷ καταψύχει τὰ ἡμέτερα σώματα; ἔδει γὰρ μᾶλλον, διὰ τῆς κινήσεως τοῦτον θερόμενον, ὑποφλέγειν τὰ ὑποκείμενα τούτῳ σωμάτια.
5 Ἀλλ᾽ ἴσθι ὡς κατὰ τὴν ἑαυτοῦ φύσιν, ἐν τοῖς ἐσχάτοις αὐτοῦ μέρεσι, μόνιμός ἐστιν ἡ ἐπὶ τοῖς ἡμετέροις σώμασι τῆς ἐκείνου διάχυσις φύσεως, καὶ συναπολαύει τρόπον τινὰ τῆς ἀφ᾽ ἡμῶν ἐξιούσης θερμότητος· κἀντεῦθεν πλέον διαπυρούμενος, θερμότερος ἡμῖν καὶ φλογωδέστερος ἵσταται. Τὸ δὲ μὴ προσψαῦον αὐτοῦ
10 μέρος τῆς τοῦ σώματος ἡμῶν φύσεως ἧττόν ἐστιν θερμὸν τοῦ προσψαύοντος.

Διὰ ταῦτα γοῦν ἡ ῥιπὶς τῇ συνεχεῖ κινήσει, ὑπεξάγουσα μὲν τὸν προσπελάσαντα ἡμῖν ἀέρα, ἀντεισάγουσα δὲ τὸν μήπω ἡμῶν

1–11 εἰ ἐν τῇ – προσψαύοντος: cf. Psel. Συλλογαὶ διάφοροι καὶ ἀναγκαῖαι = Phil. min. I 55,619–623 (ms. O) εἰ πᾶν τὸ κινούμενον θερμότερον ἑαυτοῦ γίνεται, ὁ ἀὴρ τῷ θέρει κινούμενος διὰ ῥιπίδος πῶς ψύχεται; ὁ ἀὴρ τῷ θέρει θερμαίνων ἡμᾶς πλειόνως ἀντιθερμαίνεται, ὡς τὰ λινᾶ ἱμάτια καὶ λεπτὰ θερμαινόμενα ἀντιθερμαίνουσι. δῆλον τοίνυν ὡς ἐν τῇ ῥιπίσει μετακινούμενος ὁ ὑφ᾽ ἡμῶν θερμανθεὶς ἀὴρ ψυχρὸς φαίνεται cum Alex. Aphrod. Προβλήματα I,113

ep. 490 O 203r ‖ **1** εἰ suppl. K-D: spatium O ‖ **5** ἴσθι corr. K-D: ἴθι O

ψαύσαντα τῇ τοιαύτῃ ὑπεξαγωγῇ τε καὶ ἀντεισαγωγῇ, ψυχροτέρους ἡμᾶς ἐργάζεται. Ἀμέλει ἐν τοῖς βαλανείοις γενόμενοι, κἂν σφοδρότερον ῥιπισθείημεν, οὐκ ἄν ποτε ψυχροτέρας αὔρας αἴσθησιν λάβοιμεν, ἐπείπερ ὁ ἀντεισαγόμενος ἀήρ, θερμότερος ὤν, οὐ ψύχει τὰ ἡμέτερα σώματα. Ἡ τοίνυν κίνησις ἐνταῦθα ὑπεξαγωγὴ μόνον ἐστὶν τοῦ ἐμπεσόντος ἡμῖν ἀέρος, καὶ θερμαινομένου ὁμοῦ καὶ θερμαίνοντος. Ὅθεν ἀεὶ νέου καὶ ἀνεπάφου ἀέρος ἐπεισαγωγὴν ἐξεργαζομένη, αὔραις ἡμᾶς καταψύχει ψυχραῖς· τὸ γὰρ ἀντεισαγόμενον πάντως ψυχρότερον.

491.

eodem tempore ut Π 11 [vid. epistolarum ordinem in O] et etiam Π 9 et Π 10

K-D 204 [O]

Οὐκ οἶδα μὲν ὅ τί σε ὀνομάσω, ἢ ποίαν σοι μεγαλοπρεπῆ προσαρμόσω κλῆσιν· ὅσα γὰρ οἶδα τῶν ὀνομάτων, δεύτερα τῆς σῆς ἀποφαίνομαι φύσεως. Ἐρῶ σοι οὖν ὃ πρὸς τοῦτο βεβούλημαι· ἐπινενόηκά τι κερδανεῖν ἐντεῦθεν, καὶ γίνεται τὸ ἄπορον εἰς δόξαν ἐμοὶ ποριμώτατον.

Τέκνον οὖν ἐμὸν ὑπερφυέστατον καὶ σοφώτατον, οὗ πάλαι αὐτὸς ἐφρόντιζες μοναχοῦ, καὶ ἐβού[λου] τῇ τῆς Ὁδηγοῦ ἐπανεληλυθέναι μονῇ, τοῦ μοναχοῦ φημι Νικολάου, τούτου νῦν ἐγὼ προστατῶν πρὸς τὸν ἁγιώτατον πατριάρχην ἐπιμελεστάτην ἐποιησάμην ἀξίωσιν.

Ἀναμνήσθητι οὖν τῆς σῆς ὑπὲρ τούτου σπουδῆς, καὶ γενοῦ σεαυτοῦ ὅμοιος· ἢ μᾶλλον πρὸς τὴν σὴν καλλίστην γν[ώμην] διαμιλλήθητι, καὶ πρόσθες τῷ ἐμῷ γράμματι καὶ τὴν σήν, εἰ βούλει, παράκλησιν. «[Πρὸς] δύο» δὲ (φησίν) «οὐδὲ ὁ Ἡρακλῆς»,

7–8 τῇ – μονῇ: monasterion, Θεοτόκου τῶν Ὁδηγῶν / τῆς Ὁδηγοῦ (cf. Janin 1969,199–207). cf. Π 10,52 τὴν μάνδραν τῆς θεομήτορος et Π 11,43 πρὸς τὴν μονὴν ‖ **8** τοῦ – Νικολάου: de quo cf. etiam Π 9,13, Π 10,15, et Π 11,14–15 ‖ **9** πρὸς – πατριάρχην: Aemilianus, patriarcha Antiochiae (Π II) **14** πρὸς δύο – Ἡρακλῆς: proverbium; CPG I 140–141 (nr. 49) et II 206 (nr. 42); cf. Psel. Εἰς τὸ τί ἐστιν ‘ὁ τοῦ πατρὸς ὅρος …’; = Theol. I 97,68 et Π 67,14–15

ep. 491 O 203r–204v ‖ **4** κερδαίνειν K-D ‖ **7** ἐβούλου suppl. K-D ‖ **12** γνώμην suppl. K-D ‖ **14** πρὸς suppl. K-D

15 καὶ τοιούτους (εἴ τι καὶ καυχησόμεθα)· οἶμαι δὲ μὴδ' αὐτὸν βουληθῆναί ποτε τὴν πρὸς ἡμᾶς ἀναδέξασθαι πάλην, ἀλλ' εὐθὺς τῷ ἐμῷ τε γράμματι ὁμιλήσαντα καὶ τὰς σὰς ὑποθήκας δεξάμενον, καταπλαγήσεσθαί τε καὶ τῇ ἀξιώσει ἐπιδραμεῖν.

Καὶ τοῦτο μὲν οὕτως ἔσται. Σὺ δέ μοι ὥσπερ δὴ τὸ ὑπ' ἀρχὴν
20 εἶναι παρὰ τοὺς ἄλλους καθέστηκας, οὕτω δὴ καὶ τὸ ἀρχὴ γεγονέναι παράδειγμα τοῖς ἄρχουσι ποιήσεις. Ὥσπερ δὲ ἄμφω ἐναντία ἐστὶ τὰ ὀνόματα (τὸ ἄρχειν φημὶ καὶ τὸ ὑποκεῖσθαι), οὕτω δὴ καὶ τῶν ἐναντιωτάτων χαρακτηρίζονται. Ἐκεῖνο μὲν γὰρ ψυχῆς ἐστιν ἔργον, ἀλλοτρίοις διακονουμένης ἤθεσι· τοῦτο δὲ γνώμης ἐλευθε-
25 ρία, καὶ δεινότης φρονήσεως, ἁρμοττούσης σύμπασι γίνεσθαι. Τοῦτο νῦν τοῖς ὑποκειμένοις ἐπαληθεύων, τὴν ἐν ταῖς πρώταις φαντασίαις ἐργάζου διάθεσιν. Καὶ ἔστω σοι ἐν μέτρῳ πάντα καὶ ῥυθμῷ τῷ προσήκοντι (ναί, φίλτατέ μοι υἱέ!), ἵνα καὶ αὖθις τι κερδανῶ, καὶ κύκλον σοι ποιήσομαι τὴν ἐπιστολήν, ἐπισυνάπτων
30 τοῖς πρώτοις τὰ τελευταῖα.

492.

ad Ioannem Ducam (Π xvii) vel ad Constantinum, nepotem Michaelis Cerularii (Π xxx)?

K-D 206 [O]

Οὐκ ἄμφω· ἀλλ' ἢ τυρόν, ἢ ἐπιστολήν. Εἰ δὲ περιττὸς εἶ τὴν λιχνείαν, δώσομέν σοι καὶ ἄμφω, ἀλλὰ παρὰ τὸ οἰκεῖον μέτρον ἑκάτερα, καὶ ὅπερ αὐτὸς διδόναι εἴωθα. Οἶδα οὖν ὡς τοῦτο μᾶλλον αἱρῇ ἢ τὸ πρότερον, ὥσπερ φασὶν οἱ φιλόσοφοι τὰς ψυχάς, μετὰ
5 τῆς οὐσίας, ἐρᾶν καὶ γενέσεως. Καὶ ἵνα οἰκεῖος ὁ λόγος σοι τῷ πράγματι γένηται, τοῦ τυροῦ σοι φιλοσοφήσω γένεσιν καὶ οὐσίωσιν· ἔχει γὰρ ἡ φύσις ἐνταῦθα θαυμασίως.

Τοῦτο γοῦν τὸ μαλθακὸν ἢ λευκὸν ἦν ὅτε ὑγρότερον μὲν ἦν, φοινικοῦν δὲ τὸ χρῶμα, καὶ αὐτὸ δὴ τοῦτο, αἱματωδέστατον.

4–5 ὥσπερ – γενέσεως: fontem non inveni; cf. fortasse Procl. In Parm. 934,29–30 οὐ γὰρ ἡ ψυχὴ οὐσία μόνον, ἀλλὰ καὶ γένεσις

ep. 492 O 204r–205r

Βλύζει δέ (ἵνα μὴ ὡς περὶ παροιχομένου φυσιολογῶμεν τοῦ πράγματος, ἀλλὰ γινομένου τῇ φύσει ἀεί) ἀπὸ τῆς κοίλης ὥσπερ ἀπὸ θαυμασίας πηγῆς· φλὲψ αὕτη τοῦ περιφεροῦς ἀποβλύζ[ει] ἥπατος, ὥσπερ τις ἀγωγὸς μεγάλης πηγῆς· ἡ γάρ τοι φύσις, ἵνα μὴ πολλαῖς φλεψὶ κατατέμῃ τὸ σπλάγχνον, μίαν ἐκεῖθεν ἐκτείνασα ὥσπερ ἀμάραν βαθεῖαν, βλάστας ἐκεῖθεν τοῖς τοῦ σώματος ἀπέσχισε μέρεσιν. Ἐντεῦθεν οὖν καὶ ὁ γαλακτοτρόφος ἀποπέφυκεν ὀχετός, οὐχ οὕτω γεννώμενος, ἀλλ' οὕτω γιγνόμενος. 10 15

Ἐπεὶ γὰρ περιτταὶ τὸ αἷμα αἱ θήλειαι, ἐμμήνους ἡ φύσις ἐπ' αὐταῖς καθάρσεις ἐμηχανήσατο· καὶ φλέβας μασθοῖς καὶ μήτρᾳ δημιουργοῦσα ἀμφισβαίνας ταύτας (ὥσπερ δὴ καὶ τοὔνομα λέγει) πεποίηκε, καὶ τὰ πέρατα τούτων τοῖς μασθοῖς καὶ ταῖς ὑστέραις ἀπέδησεν. Ἀλλὰ κάτω μὲν τὸ αἷμα φερόμενον, διὰ τῶν κοτυληδό- 20

10–17 βλύζει – γιγνόμενος: cf. Galen. Περὶ χρείας μορίων 3,604,3–15 ἢ οὐχ ὁρᾷς, ὅτι τῆς ἀφ' ἥπατος ἀναφερομένης διὰ τῶν φρενῶν φλεβὸς τῆς μεγίστης, ἣν κοίλην ὀνομάζουσιν, ἐνὸν τῇ φύσει ποιήσασθαί τινα ἀπόφυσιν εἰς τοὺς τιτθούς, οὐκ ἐποιήσατο, καίτοι πλησίον ὑπαρχούσης αὐτῶν, ἀλλ' ἐπί τε τὴν καρδίαν ἀνήγαγε πρότερον καὶ σύμπαντα τὸν θώρακα διεβίβασε, κἄπειθ', ὁπότε πλησίον ἦν ἤδη τῶν κλειδῶν, ἐντεῦθεν ἀποβλαστήματα δύο ποιησαμένη φλεβῶν ἀξιολόγων, ἅμα δ' αὐταῖς ἀρτηριῶν ἕτερα δύο, κατήγαγε σύμπαντα τέτταρα δι' ὅλου τοῦ στέρνου κάτω, κἄπειθ' οὕτως ἐνέφυσε δύο καθ' ἑκάτερον τιτθόν, οὐδὲν ἄλλο κατὰ τὴν μακρὰν οὕτως ὁδόν, ἢ ὅπως ἐπὶ πλεῖστον ἐν τοῖς ἀγγείοις πεφθείη τὸ αἷμα, προνοουμένη **19–20** φλέβας – λέγει: cf. Theophil. Protosp., Damasc., et Steph. Athen. Commentarii in Hippocratis aphorismos II 465,4–9 ἐπισχεθέντα τὰ καταμήνια ἠνέχθησαν διὰ τῶν φλεβῶν τῶν λεγομένων ἀμφισβαινῶν ἐπὶ τοὺς μασθούς, κοινωνίαν αὐτῶν ἐχουσῶν πρὸς τὴν μήτραν, καὶ ἐπειδὴ ἀδενώδεις εἰσὶν οἱ μασθοὶ καὶ λεπτοί, πρὸς τὴν ἑαυτῶν φύσιν πέττουσι καὶ κατακοσμοῦσιν αὐτὸ τὸ αἷμα καὶ γάλα ποιοῦσιν. cf. Volk 1990,287 **22–23** διὰ – κοτυληδόνων: cf. Galen. Περὶ χρείας μορίων 4,233,14–16 κοτυληδόνας μὲν ὀνομάζων τῶν εἰς τὰς μήτρας καθηκόντων ἀγγείων τὰ στόματα ‖ **18–34** ἐπεὶ – γίγνοιντο: cf. Galen. Περὶ χρείας μορίων 3,176,15–178,1 etc. ὅταν μὲν ἐν ταῖς μήτραις αὐξάνηταί τε καὶ διαπλάττηται τὸ ἔμβρυον, ἐκείνῳ μόνῳ τὴν ἐξ ἀμφοτέρων αἱ κοιναὶ φλέβες ἐπάρδωσι τροφήν, ὅταν δ' ἀποκυηθὲν τύχῃ, τοῖς τιτθοῖς αὖθις ἐπιρρέῃ σύμπασα. διὰ τοῦτο κατὰ τὸν αὐτὸν χρόνον οὐκ ἐνδέχεται τά τε καταμήνια φέρεσθαι καλῶς καὶ θηλάζειν τὸ θῆλυ· ξηραίνεται γὰρ ἀεὶ τὸ ἕτερον μόριον ὑπὸ τῆς ἐπὶ

12 ἀποβλύζει suppl. K-D ‖ **15** τοῖς corr. K-D: τῆς O ‖ **17** γεννώμενος corr. K-D: γενώμενος O ‖ **18** ἐμμήνους corr. K-D: ἐμμόνους O | ἡ super αἱ O **20** δημιουργοῦσα suppl. K-D

νων ἐκχεῖται τῷ κύτει τῆς μήτρας, καὶ εἰς τὰ ἔξω διὰ τοῦ στόματος τῆς αἰδοῦς ἀπερεύγεται. Ἀναρρέον δὲ ἄνω πρὸς τοὺς μασθούς,
25 μέχρι μὲν τῶν παρ' ἐκείνοις μυῶν μετὰ τοῦ οἰκείου ἄνεισι χρώματος· ἐκεῖσε δὲ γεγονὸς καὶ πρὸς τὴν τῶν μορίων χρόαν, τὴν ἰδίαν μεταβαλόν, διὰ τοῦ ἐκκρεμοῦς μόσχου τοῖς βρέφεσι θηλαζόμενον ἀπορρεῖ. Σοφὸν δὲ ἄρα ἡ τῆς φύσεως πρόνοια· οὐκ εὐθὺς γὰρ κυούσαις ταῖς θηλείαις ἐπινοεῖται τὸ γάλα, ἀλλὰ πρὸς αὐτῷ
30 γενομέναις τῷ τίκτειν. Ὅθεν καὶ τῆς αἱματώδους ταύτης ὀχετηγίας, βραχὺ μέν τι πρὸς τὴν μήτραν κάτεισι, τὸ δὲ πλεῖστον πρὸς τοὺς μαστοὺς ἀκοντίζεται· δεῖ γὰρ καὶ τοῖς ἐμβρύοις τούτου τοῦ αἵματος, ἵν' ὁμοῦ καὶ τρέφοιντο, καὶ τῆς μήτρας ἀπολισθαίνοντα, ὀλισθηρότερα ἐν τοῖς προκυλινδήμασι γίγνοιντο. Τρέφεται δὲ
35 ταῦτα οὐ τῷ στόματι (μέμυκε γὰρ τοῦτο τοῖς χείλεσιν ἀκριβῶς), ἀλλὰ τῷ τῆς γαστρὸς ὀμφαλῷ· τούτῳ γάρ, πρὸς τῷ πέρατι τῆς μήτρας ἐρριζωμένῳ, εἰσοικίζεται τοῖς νεογνοῖς τὴν τροφήν.

Ἡ μὲν τοῦ γάλακτος γένεσις αὕτη. Οἱ περιττοὶ δὲ ποιμένες τε καὶ βουκόλοι οὐκ ἀπραγμάτευτον ποιοῦνται τὴν χορηγίαν τοῦ
40 νάματος, ἀλλ' ἐπεὶ τοῦτο φύσιν ἔχει τοῖς μέρεσι πήγνυσθαι, οἱ μὲν αὐτόπηκτον τοῦτο ἐργάζονται, οἱ δὲ ἐπιτεχνῶνται τῇ φύσει τοῦ

θάτερον ῥοπῆς τοῦ αἵματος. ἐπὶ μὲν γὰρ τῷ πρὸ τῆς κυήσεως καιρῷ ταῖς ἀκμαζούσαις τῶν γυναικῶν ὅσον ἀθροίζεται περιττόν, ἐκκρίνει τοῦθ' ἡ φύσις ἐφ' ἑκάστῳ μηνὶ διὰ τῶν εἰς τὰς μήτρας καθηκόντων ἀγγείων. ἐπειδὰν δὲ κύωσιν, ἕλκει τὸ ἔμβρυον ἐξ αὐτῶν τὴν τροφήν. αἱ δ' ἄρα φλέβες αἱ τῇδε τηλικαῦται τό τ' εὖρος ὑπάρχουσι καὶ τὸ μῆκος, ὥστε κἀκεῖνο τρέφειν ἀφθόνως καί τι περιττὸν ἀθροίζειν ἀεί. τοῦτ' οὖν ὅταν ἐν ἅπαντι τῷ χρόνῳ τῆς κυήσεως ἀθροιζόμενον οἷον ἐν ταμιείοις τισὶ τροφῆς τοῖς κοινοῖς τούτοις ἀγγείοις ἐξαίρῃ τε καὶ διατείνῃ τελέως αὐτὰ καὶ οἷον πλημμυρῇ, χώραν ἐπιζητεῖ μεταστάσεως. ἔχει δ' οὐδεμίαν ἄλλην ἢ τοὺς τιτθούς, εἰς ἣν ἅμα μὲν αἱ φλέβες αὐτὸ διατεινόμεναι καὶ βαρυνόμεναι προπέμπουσιν, ἅμα δ' ὁ τῆς γαστρὸς ὅλης ὄγκος, ὁ διὰ τὴν κύησιν ἐπιπίπτων τε καὶ θλίβων, ὠθεῖ πρὸς τὸ εἶκον. οὕτω μὲν δὴ «τὰ γάλακτα τῶν ἐπιμηνίων ἀδελφά» φησὶν Ἱπποκράτης …

34–37 τρέφεται δὲ – τὴν τροφήν: cf. Galen. Περὶ χρείας μορίων 3,504,13–17 μηδέπω γὰρ ἀναπνέοντος τοῦ ζῴου διὰ τοῦ στόματος, ἀλλ' ἔτι παρὰ τῆς μήτρας ὥσπερ τὴν τροφὴν οὕτω καὶ τὸ πνεῦμα χορηγουμένου διὰ τῶν κατὰ τὸν ὀμφαλὸν ἀγγείων, cf. Psel. Omn. doctr. 115 et Volk 1990,180–181 et 288

26 χρόαν corr. K-D: χροὰν O ‖ **29** κυούσαις corr. K-D: κύουσαι O ‖ **31** μέν τι corr. K-D: μέντοι O ‖ **35** στόματι corr. K-D: αἵματι O ‖ **40** ἐπεὶ corr. K-D: ἐπὶ O

πράγματος πλείονα. Ἐπεὶ γὰρ τὸ μὲν αὐτοῦ πῖόν ἐστι καὶ παχύτατον, τὸ δὲ ὑδατωδέστατον ὡς ἂν εἴποι τις, τὸ δὲ ὥσπερ ἄνθος ἐπ' ἄκρας ἐπιφανείας ἀποπεφύσηται, πάντα ἐν μέρει πηγνύουσι, τὸ ἄνθος, τὴν πιμελήν, τὸ συνεστηκός. Εἶτα ὥσπερ ἐν ταῖς φυλαῖς 45 εἰσῆγον τὰ ἱερεῖα οἱ τελεσταὶ πεφυσημένα, ἵνα πίονα φαίνοιντο, οὕτω δὴ καὶ οἱ ἐργάται τοῦ γάλακτος, μᾶλλον δὲ τούτων δὲ ἔνιοι, οὐκ ἀκριβῶς τὸ γάλα συνελίττουσί τε καὶ συμπηγνύουσιν, ἀλλ' ὥσπερ οἱ μηχανικοί φασι μὴ ἀθρόον εἶναι κενόν, ἀλλ' ἐγκατεσπάρθαι τοῦτο τοῖς σώμασιν, οὕτω δὴ καὶ οὗτοι ἀπὸ τῆς ἀτημε- 50 λοῦς συμπήξεως κενότητας πολλὰς διδόασι τῷ τυρῷ ⟨ὡς⟩ καὶ τούτοις παρασπείρειν τὸν ἀέρα. Ὅθεν ἐξικμαζομένης ἐκ τοῦ τυροῦ τῆς ὑγρότητος, εὐθὺς διασπῶνται τὰ μέρη, καὶ τὰ κενὰ τῷ πράγματι δείκνυται, ὁποῖος ὁ Παφλαγονικὸς τυρὸς πέφυκεν, ἐκ [τρη]μάτων συγκείμενος, καὶ κενῶν. Παρὰ γοῦν τὴν ἐργασίαν, οὐ 55 παρὰ τὴν φύσιν τοῦ γάλακτος ἡ τοιουτότροπος σύστασις τῷ τυρῷ· εἰ γὰρ καὶ συμμέμικται ἀερώδης οὐσία τῷ γάλακτι, ἀλλ' ἡ τυροποιΐα τοῦτο περιφανῶς δείκνυσι.

45–46 ὥσπερ – φαίνοιντο: Arist. Περὶ τῶν σοφιστικῶν ἐλέγχων 164a26–27 καὶ γὰρ τὴν ἕξιν οἱ μὲν ἔχουσιν εὖ, οἱ δὲ φαίνονται, φυλετικῶς φυσήσαντες καὶ ἐπισκευάσαντες αὐτούς cum scholiis; e.g. Anonymi, Schol. in soph. el. = Comm. III (ed. Ebbesen), scholion ad 164a27 τὸ παλαιὸν ἑορτῆς τελουμένης τὰ πρὸς θυσίαν ἐπιχορηγούμενα πρόβατα καὶ πρὸς δαπάνην τῶν χορευόντων ἐφύσων ἵνα δοκῶσι πίονα ἐπὶ τῆς ἀγορᾶς πεμπόμενα ‖ **49–50** ὥσπερ – σώμασιν: cf. Galen. Περὶ χρείας ἀναπνοῆς 474,9–11, Them. In Phys. 126,4–8, Ioann. Philop. In Phys. 701,16–24

51 ὡς add. Malt[5],253: post τυρῷ καὶ lacunam indic. K-D (corr. Maas) **55** τρημάτων suppl. K-D: [...]μάτων lacunam indicavit O

Καὶ βούλει τί σοι καὶ προσπαῖξαι μικρόν; Ὁ μὲν οὖν Πλάτων
60 κηρῷ ἀπήκασε τὴν ψυχήν, ἴσως δὲ καὶ ὁ Ὅμηρος τοῦτο ἠνίξατο
καὶ σφραγίζει αὐτὴν τοῖς νοήμασιν. Ἐγὼ δὲ τῷ τυρῷ ταύτην
ἀφομοιώσαιμι. Ἢ οὐχ ὁ μὲν νοῦς ὥστε ἄνθος αὐτῇ ἐποχούμενος,
αὐτὴ δὲ ὑφεστηκυῖα, καὶ οἷον ὑποκειμένη ἐκείνῳ; Αὐτίκα καὶ τὸ
ἀκροτελεύτιον αὐτῆς μέρος ἄνθος ψυχῆς οἱ σοφώτεροι ὠνομάκασι.
65 Τυποῦμεν δὲ ταύτην καὶ ἡμεῖς ὡς ἂν βουλοίμεθα, ἢ ἵπποις
ἀπεικάζοντες καὶ ταῖς τοῦ πλησίον ἐπιχρεμετίζοντες γυναιξίν, ἢ

59–60 ὁ μὲν – ἠνίξατο: Plat. Θεαίτητος 194c5–9 ὁ κηρός του ἐν τῇ ψυχῇ … εἰς τοῦτο τὸ τῆς ψυχῆς «κέαρ», ὃ ἔφη Ὅμηρος αἰνιττόμενος τὴν τοῦ κηροῦ ὁμοιότητα cum Hom. Il. 2,851 et 16,554. cf. Psel. Ὑπὲρ τοῦ νομοφύλακος κατὰ τοῦ Ὀφρυδᾶ = Or. for. 3,203–225 … ὅπερ παίζων ὁ Πλάτων φησίν, ὁ τῆς ψυχῆς κηρὸς αἴτιος· ἔστι γὰρ ἐν ἑκάστῳ κηρὸς ὥσπερ τύπους δεχόμενος τὰ μαθήματα … etc., Psel. Ἐπιτάφιος εἰς Νικήταν μαΐστωρα τῆς σχολῆς τοῦ ἁγίου Πέτρου = Or. fun. I 4,8,1–3 οὕτως εὐάγωγος ἦν τὴν ψυχὴν οἷόν τις κηρὸς εὔπλαστος καὶ εὐκίνητος, μήτε ἁπαλὸς ἄγαν καὶ διαρρέων μήτε σκληρὸς καὶ ἀντίτυπος, ἀλλὰ δικαιότατος τὴν τῶν ἠθῶν ἁρμονίαν, Psel. Ἐγκώμιον εἰς τὸν … Ἰωάννην τὸν Κρουστουλᾶν ἀναγνόντα ἐν τῇ Ἁγίᾳ Σορῷ = Or. min. 37,126–127 τοῦτο δὲ πάντως ψυχῆς εὐτυπώτου πέφυκεν ἀποτέλεσμα καὶ γνώμης εὐείκτου πρὸς πάντα τὰ κάλλιστα, Psel. Εἰς … Κωνσταντῖνον τὸν Μονομάχον = Or. pan. 6,203–207 … σοι τὰ μαθήματα. οὕτω σοι τὴν φύσιν ἁπαλὴν ὁμοῦ καὶ στερέμνιον ὀξεῖ [.........] ἄτιμον ὅπλ[ισμα] ἐδημιούργησεν ἐκεῖνο διὰ τὸ τῶν προσαγομένων εὐτύπωτον, τοῦτο διὰ τὸ τῶν [........] μνημονικὸν καὶ κάτοχον, Π 118,65–66 et Π 128,43–45, et Papaioannou 2013,103 et 144 ‖ **63–64** τὸ – ὠνομάκασι: cf. Procl. In Tim. III 14,5–12 « … νόου ἄνθος ἔχει τὸ νοεῖν … » [Orac. Chald. 49]· πατρικῆς γὰρ θεότητος διακορὴς ὤν, ἣν καλεῖ «νόου ἄνθος», Ecl. de phil. Chald. (des Places) fr. 4,51–52 μήποτε οὖν οὐκ ἔστι ταὐτὸν νοῦ ἄνθος καὶ πάσης ἡμῶν τῆς ψυχῆς ἄνθος ‖ **65–66** ἵπποις ἀπεικάζοντες: cf. Plat. Φαῖδρος 246a6–b4 ἐοικέτω δὴ (scil. ἡ ψυχή) συμφύτῳ δυνάμει ὑποπτέρου ζεύγους τε καὶ ἡνιόχου et 253d1–254e9, cum Psel. Ἐξήγησις τῆς Πλατωνικῆς ἐν τῷ Φαίδρῳ διφρείας τῶν ψυχῶν καὶ στρατείας τῶν θεῶν = Phil. min. II 7, Πρὸς τοὺς λέγοντας μὴ εἶναι φύσει χρηστὸν τὸν ἄνθρωπον· ἐλέχθη δὲ ὁ τοιοῦτος λόγος αὐτοσχεδίως = Phil. min. II 17 (83,29–84,7), et Π 23,17–20, Π 95,40–42, Π 116,28–29, Π 134,11–18, Π 214,22–23, et Π 474,19–22 ‖ **65–66** ἵπποις – γυναιξίν: Ier. 5,8 ἵπποι θηλυμανεῖς ἐγενήθησαν, ἕκαστος ἐπὶ τὴν γυναῖκα τοῦ πλησίον αὐτοῦ ἐχρεμέτιζον

62 ἀφομοιώσαιμι corr. K-D: ἀφοσιώσαιμι O ‖ **66** ἀπεικάζοντες – ἐπιχρεμετίζοντες : ἀπεικάζοντες τοὺς ταῖς τοῦ πλησίον ἐπιχρεμετίζοντας corr. K-D

πλέκοντες ἐξ ἀρετῶν εὐφυῶς ἢ κατὰ κύκλον τορεύοντες καὶ νοερὰν ἐργαζόμενοι.

Ἅλις σοι τοῦ νοητοῦ τοῦδε τυροῦ· ἔχε δὴ σὺν τούτῳ καὶ τὸν αἰσθητόν. 70

493. Πρὸς φίλον τινά

K-D 216 [B, P-K²] P-K² 2 [Y]

Εἰ μὲν οὖν μὴ ἠθέλησα μηδ' εἰσήκουσά σου τῶν ἐφετῶν, μηδ' ἔρεξά σοι τὰ καταθύμια, σκαιὸς δέ τις καὶ ἀκοινώνητος ἢ ἀπρόσιτός σοι καὶ ἀτεράμων ἐτύγχανον ὤν, καλῶς ἂν καὶ οὐκ ἀπεικότως ἡ σή με κατέδετο μάχαιρα. Ἐπεὶ δὲ καὶ προσετετήκειν σοι ὡς ἑνὸν καὶ συνεφωμάρτον σου ταῖς βουλαῖς, καὶ 5 ἐδουλαγωγούμην σοι ὡς ἀνδράποδον, ἵνα τί μὴ καὶ «τὰ ἀγαθὰ τῆς γῆς» (ὡς εἴρηται) «ἔφαγον»; γῆ γὰρ αὐτός (ὡς οἶσθα), καὶ κόνις. Μὴ γὰρ τῶν ἀγαθῶν σου οὐ χρείαν ἔχω; Μὴ γὰρ οὐ δεδέημαί σου τῶν δεξιώσεων; Ἀλλὰ μή σου τῶν φιλοτιμιῶν (ὡς ἂν εἴποις) ὑπέρκειμαι; Ἔκτεινόν σου τὴν χεῖρα, καὶ τὴν ἐμὴν ὄψει 10 ὑπτίαν κειμένην. Ἐπάγγειλαί τί μοι δοῦναι, καὶ ἀλλόμενόν με ἴδῃς αὐτίκα, καὶ προσαφικόμενόν σοι τῇ οἰκίᾳ. Θές, δός, εἶτ' ἀπόλυσον. Ἀλλ' ἄνες μοι τοῦτο, καὶ ἐπὶ ταῖς πλατείαις τὸ σὸν

4 ἡ – μάχαιρα: Is. 1,20 μάχαιρα ὑμᾶς κατέδεται ‖ **6–7** τὰ – ἔφαγον: Is. 1,19 τὰ ἀγαθὰ τῆς γῆς φάγεσθε ‖ **7–8** γῆ – κόνις: Gen. 18,27 ἐγὼ δέ εἰμι γῆ καὶ σποδός. cf. Psel. Ἐγκώμιον εἰς τὴν ἀποτομὴν … Ἰωάννου = Or. hag. 8,461 **10** ἔκτεινόν – χεῖρα: Exod. 9,22 εἶπεν δὲ κύριος πρὸς Μωυσῆν Ἔκτεινον τὴν χεῖρά σου εἰς τὸν οὐρανόν, etc. ‖ **12–13** θὲς – ἀπόλυσον: cf. e.g. Ael. Herodian. Περὶ καθολικῆς προσῳδίας 430,27–28 ἐν μὲν προστακτικοῖς μονοσυλλάβως τὸ δός, θές, ἕς (τὸ ἀπόλυσον)

ep. 493 Y 118v, B 185v; tit. scripsi: τοῦ αὐτοῦ πρὸς φίλον τινά Y K-D P-K² om. B ‖ **1** ἐφετῶν B K-D: ἐφετμῶν Y P-K² ‖ **3** ἂν καὶ B K-D: ἂν με καὶ Y P-K² **4** ἀπεικότως B K-D: ἀπειρηκότως Y P-K² ‖ **5** συνεφημάρτον P-K² ‖ **7–8** ὡς² – κόνις K-D: ὡς οἶσθα καλῶν B ὡς οἶδα καὶ κόνις Y P-K² ‖ **9** δεξιώσεων B K-D: ἀξιώσεων Y P-K² | φιλοτιμιῶν B K-D: φιλοτίμων Y P-K² ‖ **10** εἴποις corr. K-D: εἴπῃς B εἴποι τις Y P-K² | χεῖρα B K-D P-K²: χεῖραν Y | καὶ B K-D: om. Y P-K² ‖ **11** κειμένην ἐπάγγειλαί B K-D: ὑποκειμένην· ἐπάγγειλόν Y P-K² **11–12** ἀλλόμενόν – ἴδῃς B K-D: ἄλλον ἴδοις Y P-K² ‖ **12** αὐτίκα καὶ B K-D: αὐτίκα Y P-K² | σοι B K-D: σου Y P-K²

ὄνομα μετ᾽ οὐ πολὺ θρυλλούμενον πύθοιο.

15 Μὴ οὖν δι᾽ ὀστοῦν τι λευκὸν καὶ βραχύτατον σιδήριον τῆς ἑκατέρωθεν φιλίας διάζευξιν θήσεις, καὶ τὴν ἐκ τούτου τομὴν ἀηδῶς ὑποσταίημεν· μηδ᾽ ἐποχή τινος Ἀραβικοῦ ξυλαρίου, τάχα καὶ αὐτοῦ βραχυτάτου (οὕτω γὰρ καὶ ἡ περὶ τούτου με φρονεῖν πέπεικε βραδυτής), ἡμᾶς ἀλλήλους ὑποξύλους ἐργάσεται, καὶ 20 ἀνίκμους, ἢ μᾶλλον εἰπεῖν ἀψύχους καὶ ἀκινήτους παντάπασι πρὸς φιλίαν· ἀλλ᾽ ὁμολογῶν σου τὸ ὄφλημα, καὶ θάττον ἐκτιννύειν προήρησαι. Εἰ δέ τι σεαυτῷ καὶ παρακατέχειν αἱρῇ καὶ τὴν χάριν ὑποθλίβειν ὡς σταφυλήν, σὺ μὲν οὐ χαιρήσεις (εὖ ἴσθι) τῇ περὶ ταύτην φειδοῖ, οὐδέ σοι γλεῦκος κατέχοντι προήσεται, ἡμεῖς δέ 25 σου τῶν σκωμμάτων οὐκ ἀφεξόμεθα.

494. ⟨Κριτῇ τινι (?)⟩

K-D 217 [P-K²], P-K² 3 [Y]

Διὰ τοῦ παρόντος ἡμῶν οἰκειοτάτου θεράποντος, ἰσόψυχε ἀδελφέ, καὶ προσαγορεύω τὴν τιμίαν σου καὶ τριπόθητον ἐμοὶ κατασπάζομαι κεφαλήν, καὶ ταυτὶ προσφωνῶ: χαῖρέ μοι ἡ καλλίστη ψυχή, ἡ εὐγενεστάτη γνώμη, ἡ ὀξεῖα καὶ ἀπερίστροφος 5 φρόνησις! χαῖρέ μοι ὁ ἀληθέστατος φίλος, ὁ γνησιώτατος αὐθέντης

1 ἰσόψυχε: Ps. 54,14 ἄνθρωπε ἰσόψυχε. cf. Psel. Λόγος εἰς τὴν σταύρωσιν = Or. hag. 3a,794, Π 53,26, Π 92,1, Π 100,1, Π 163,1, Π 209,1–2, Π 304,2, Π 462,2, Π 508,1, Π 551,1, et Π 553,1 ‖ **2–3** τὴν – κεφαλήν: Synes. Cyren. Epist. 79,8 νὴ τὴν ἱεράν σου καὶ τριπόθητον κεφαλήν et 86,1–2 πρὸς τὴν ἱεράν σου καὶ τριπόθητον κεφαλήν. cf. Π 42,20, Π 64,1, Π 65,21–22, Π 68,36, Π 122,1, Π 180,2, Π 183,14–15, Π 193,15–16, Π 198,5–6, Π 211,56–57. cf. etiam Psel. Ἐγκωμιαστικὸς εἰς … Μιχαὴλ τὸν Κηρουλλάριον = Or. fun. I 1,61,30, Περὶ τῶν ἰδεῶν ἃς ὁ Πλάτων λέγει = Phil. min. II 33 (111,24–25), Π 284,9–10 et Π 394,19–20

14 θρυλούμενον P-K² ‖ **16** ἑκατέρωθεν B K-D: ἑκατέρων Y P-K² | θήσῃς P-K² **17** ἀηδῶς B: ἀνηλεῶς Y P-K² ἀναιδῶς corr. K-D | ἐποχή corr. K-D: ἐποχῇ B ἐπ ὀχῇ Y P-K² ‖ **18** τούτου Y K-D P-K² : ταύτης B ‖ **18–19** φρονεῖν – βραδυτής B K-D: πέπεικε φρονεῖν βραδύτης Y P-K² ‖ **19** ἐργάσεται B K-D: ἐπεργάσειε Y P-K² ‖ **22** προήρησαι B K-D: προήρημαι Y P-K² | σεαυτῷ B K-D: ἑαυτῷ Y P-K² ‖ **23** οὐ χαιρήσεις corr. K-D: οὐχ᾽ αἱρήσεις B Y P-K² ‖ **23–24** περὶ ταύτην B K-D: παρὰ ταύτῃ Y P-K² ‖ **ep. 494** Y 118v; tit. scripsi: τοῦ αὐτοῦ Y P-K² ⟨τῷ Εὐχαΐτων?⟩ add. K-D

καὶ ἀδελφός! χαῖρέ μοι ἐπὶ πᾶσι τοῖς ἀγαθοῖς, σώματος ὑγείᾳ, βίου εὐροίᾳ, ψυχῆς εὐεξίᾳ! Μνημονεύοις δὲ καὶ ἡμῶν καὶ γράφοις καὶ μηνύοις τὰ σά· εἴης δέ, ἐν πᾶσι καλλίοσιν.

Ὁ δὲ τὸ γράμμα ἀποκομίσας σοι εἰ δεήσεταί σου (οἶδα ὅτι πάντως δεήσεται), ἀντιλάβοιο, ἐν οἷς ἂν ἐπιδεηθῇ σου. Εἰ οὖν 10 τύχῃ τῆς σῆς βοηθείας, τετύχηκε πάντως ὧν προσεδόκησεν.

495.

K-D 219 [P-K²], P-K² 5 [Y]

Καὶ πρὸ τῆς γραφῆς σου ἡ γνώμη σου τὴν πρὸς μὲ διάθεσιν καὶ πίστιν ἐνδείκνυται, καὶ πληροφορίας οὐ δέομαι μείζονος. Πλὴν καὶ ἡ γλῶττα, ὥσπερ καθαρὸς ποταμός, τὴν ἔνδοθεν πηγὴν δείκνυσι.

Τὸν αὐτὸν οὖν σοι κἀγὼ τρόπον διάκειμαι, ἀπὸ μέσης τῆς 5 ψυχῆς ἀγαπῶν ὡς οἶσθα, καὶ τῇ περιβολῇ τῆς γλώττης εἰς τοὺς σοὺς ἐπαίνους ἐν καιροῖς ἀποχρώμενος. Καὶ εἰ τοιοῦτος ἐφειστήκει καιρός, ὁποῖος ἂν περὶ τοὺς ἐμοὺς λόγους ἀγαθόν τι συνενηνόχει, οὐκ ἂν […

496. ⟨Κριτῇ τινι (?)⟩

K-D 222 [P-K²], P-K² 9 [Y]

Ἀνέγνων τὸ ψήφισμα οὐχ ἅπαξ, ἀλλὰ καὶ πολλάκις δυοῖν ἕνεκα, τοῦ τε ἀκριβῶς περιλαβεῖν τὰ γεγραμμένα, καὶ τῆς ποικίλης ἁρμονίας τῶν περιόδων καὶ χάριτος.

Ὅσα μὲν οὖν εἰς τὴν τέχνην τὴν ἀναφορὰν ἔχει, ἄριστα πρὸς ἐκείνων, καὶ ὡς οὐκ ἄλλως ἐχρῆν, ἀπεικόνισται· ὅσα δὲ πρὸς τὴν 5 ὑπόθεσιν ἀφορᾷ, τοῦτο δὴ τὸ κοινόν, ἐν τῷ ἀτελεῖ οὐκ ἔχει τὸ τέλειον. Καίτοι γε ἄνω που τῆς τομῆς λίαν σοι ἠκόνητο ἡ αἰχμὴ καὶ ἡ χεὶρ ἀνετάτετο, ὡς κἀμὲ δειλιᾶν καὶ φρίττειν τὴν πόρρω παρασκευήν, ἀλλ᾽ οὐχ ὡς ἀνέτεινας, καὶ κατήνεγκας· ὅθεν οὔθ᾽ οἱ

ep. 495 Y 118v (des. mut.); tit. τοῦ αὐτοῦ Y P-K² K-D ‖ **7** τοιοῦτος corr. K-D: τοσοῦτος Y P-K² | ἐφειστήκει corr. K-D: ἐφεστήκει Y P-K² ‖ **9** post ἂν folia ceciderunt in Y textus K-D I 206–210 perperam continuat in P-K² ‖ **ep. 496** Y 120r; tit. scripsi: ⟨κριτῇ τινι⟩ K-D ‖ **8** ἀνετάτετο Y: ἀνετέτατο P-K² K-D

10 καρατομηθέντες τεθνᾶσιν, οὔτε μὴν πάντη ζῶσιν οἱ ἄτμητοι. Καὶ καινὸν οὐδέν· δεῖ γάρ σε καὶ θαυμασίων εἶναι ποιητήν, μᾶλλον δὲ κατὰ τὸν Παιανιέα παρὰ τὰς ἐπαγγελίας τοὺς λόγους εἰσάγειν.

Τῷ μὲν οὖν μέρει τῆς τοῦ συγγενοῦς οὐδέν τι πρὸς τὸ δεινότατον δεδιδάγμεθα, τὸ δ' ὅσον εἰς τὴν τέχνην ἀφορῶν παρὰ σοῦ 15 μᾶλλον ἢ τῆς σοφιστικῆς τεχνικώτερον παρειλήφαμεν.

497.

K-D 223 [P-K²], P-K² 10 [Y]

Ὅταν μὲν λογίσωμαι τὸ πλῆθος τῶν ἀνιαρῶν οἷς δὴ περιπέπτωκας ἀθρόον καὶ παρ' ἐλπίδα ὡς ἡ φήμη βοᾷ καὶ διδάσκει τὰ πράγματα, μηδὲ φωνὴν ἀφιέναι σε δύνασθαι οἴομαι, μηδ' ἄλλο τι ἐνεργεῖν τῶν κρειττόνων, ἢ τοῦτο μόνον ὅπως ἂν εὖ 5 διάθοιο τὰ συμπίπτοντα. Ὅταν δὲ ταῖς σαῖς ἐντύχω ἐπιστολαῖς καὶ τὸ ἐν ταύταις ἄρρητον κάλλος θεάσωμαι, παρὰ τοῦτό σε μόνον ἀσχολεῖσθαι τίθεμαι, μηδενὸς ἄλλου ἀντισπῶντος πρὸς ἑαυτὸ καὶ καθέλκοντος. Καίτοι γε δύο ταῦτα τὴν ἀπὸ τῆς γλώττης ἐλαύνει τρυφήν, φιλοσοφία καὶ πραγμάτων φροντίς, ἡ μὲν περὶ τὸν νοῦν 10 ἐνεργοῦσα, ἡ δὲ πρὸς ἑαυτὴν τοῦτον ἀντιπαρέλκουσα καὶ μὴ ἐῶσα συνδιατίθεσθαι ταῖς τῶν λέξεων χάρισιν, ἀλλὰ σὺ μόνος τῶν πάντων ποικίλος εἶ τὴν σοφίαν, νῦν μὲν τὰ ἄμικτα κεραννύων, νῦν δὲ ἔχων τὰ μεμερισμένα, καὶ ἐν ἀποστάσει τοὺς χαρακτῆρας αὐτῶν προσλαβόμενος· ἢ γὰρ φιλοσοφεῖς, ἢ ῥητορεύεις ἀμφότερα 15 μόνος, ἢ συνάγεις ἐς αὐτὸ τὰ διεστῶτα, καὶ μίαν τινὰ κοινοτάτην καὶ σύμμικτον ἐπιστήμην ἐξ ἐναντίων ποιεῖς.

Ἀλλὰ ταῦτα μὲν φροντίζοντος [προσ]κειμένου ταῖς ἐπηρείαις, καὶ τὰ μὲν προῖκα διδόντος τοῖς ἑλκομένοις ἐς τὰς συντελείας, τὰ δ' ἄλλως πως, ἀλλ' οὐκ ἐπὶ τόκῳ, καὶ ἐκκενοῦντός σου τοῖς δεομέ- 20 νοις οὐ τὰ περιττὰ μόνον, ἀλλ' ἤδη καὶ τὰ ἀναγκαῖα, καὶ νῦν μὲν σῖτον συλλέγοντος, νῦν δὲ κατάγοντος, καὶ τοὺς βοῦς ἐκτετριμμένους ὁρῶντος. Ἦ πῶς σοι ἐν ταὐτῷ καὶ ὀφθαλμὸς ἐπισπένδει τὸ

12 τὸν Παιανιέα: Demosthenes ‖ **12** τὰ – κεραννύων: locutio proverbialis; cf. τὰ ἄμικτα μιγνύειν Psel. Κατηγορία τοῦ ἀρχιερέως = Or. for. 1,417 et Π 45,24

14 ἀφορῶν scripsi: ὁρῶν Y P-K² K-D ‖ **ep. 497** Y 120r–v ‖ **3** σε P-K² K-D: σαι Y ‖ **17** προσκειμένου suppl. P-K² K-D

δάκρυον, καὶ ἡ γλῶσσα τὴν χάριν ἀφίησιν; οὐκ οἶδε γὰρ ταῦτα συνάγεσθαι. Ἀλλ' εἰ μὲν ἑνὶ μόνῳ φιλοτιμίαν ἐπεδείκνυς τῆς φύσεως, ἐλογισάμην ἂν ὡς, σχολάσας ποτέ, ἐπέγνως τὴν φύσιν, 25 καὶ ἀποκατέστης πρὸς ἑαυτόν. Νῦν δὲ ἐν οὐδεμιᾷ τῶν ἐπιστολῶν οὐκ ἐπέγνων σε, ἀλλὰ συνδιαμερίσας ταύτας ταῖς διαφόροις ἐννοίαις, ἐξηλλάττου καὶ τοῖς ῥήμασιν ἀπέδωκας καὶ τοῖς κάλλεσι· καὶ θρηνῶν ἐν ἁπάσαις, εἰς ἐναντίαν ἕξιν μετάγεις τὸν ἐντυγχάνοντα, ὥστε μηδὲ συμπαθεῖν μηδένα, μηδὲ εἰς οἶκτον ὧν ὑφίστα- 30 σαι τρέπεσθαι, ἀλλὰ διαχεῖσθαι μᾶλλον ἢ συναλγεῖν.

Προσίεμεν οὖν ἀλλήλοις ὥσπερ ἐν Πανελληνίῳ θεάτρῳ τὰς σὰς ἀντεπιδεικνύντες ἐπιστολάς, καὶ ἀντεπέξιμεν ταύταις καὶ ἀντιφιλοτιμούμεθα. Καὶ ὁ τὴν χαριεστέραν ἐπιδεικνύων, οὗτος νικῶν εἰς φιλίαν, ἄπεισιν· οἱ δ' ἄλλοι στυγνάζοντες ἕπονται. Ὧν 35 ἐγὼ τὰ δευτερεῖα τῆς σῆς ἀπενεγκάμενος ἀγάπης, καταφρονῶ· καὶ βαρὺς ἐς αὐτοὺς γίνομαι τὴν ὀφρύν.

Τὰ μὲν οὖν σὰ ἐν τούτοις, καὶ οὕτως. Τὰ δ' ἡμέτερα; Τὴν τύχην οἶσθα, εἰ δεῖ τοῦτο καλεῖν φιλόσοφον, μὴ μεταβεβλημένην ἐμοί, ἀλλὰ κατασπῶσαν μᾶλλον ἢ μετεωρίζουσαν. Εἰ δέ τι καὶ 40 δράσειε λόγου τοῦ καθ' ἡμᾶς ἄξιον, αὖθις ἀντιπεριίστησιν ἐφ' οἷς ἐποίησεν ὥσπερ μεταγινώσκουσα. Ἀλλ' ἡμεῖς τοὺς ἀπὸ τῆς φιλοσοφίας τούτοις ἀντιτίθεμεν λόγους, καὶ πρὸς τὴν ἀρίστην καθιστῶμεν εἴ πη δυναίμεθα ἑαυτοὺς διάθεσιν· τῶν δὲ κατόπιν παρατρεχόντων ἧττον φροντίζομεν. Ἀλλὰ ταῦτα μὲν ἕως ἂν ὁ τῆς 45 ἐπιστήμης ἐν ἡμῖν ἰσχύῃ λόγος. Εἰ δέ ποτε καὶ πρὸς τὰ τῇδε ἀπίδωμεν, φιλοσοφώτερόν πως πρὸς τὰ συμπίπτοντα διακείμεθα· ποικίλον γὰρ τὸ τῆς ζωῆς ἡμῶν εἶδος. Καὶ ὅταν μὲν κατὰ θεωρίαν ἐνεργῶμεν, ἀκίνητοι πρὸς τὰ τῇδε τυγχάνομεν. Καταβάντας δ' ἐκεῖθεν ὁ τῶν πραγμάτων σάλος ὑποδεξάμενος, οἶσθα καὶ αὐτὸς 50 ὅπως συμπεριάγει, καὶ κατασύρει, τοῖς βιωτικοῖς κύμασιν.

Ἀλλὰ σύ τε ἐφ' ὑψηλοῦ τῶν καταγόντων ἵστασο, καὶ μὴ ἐπιλανθάνου τῆς φύσεως, μηδ' ὅτι τὰ μετὰ νοῦν τοιαῦτα, ἐκεῖθεν

25 σχολάσας – ἐπέγνως: cf. Ps. 45,11 σχολάσατε καὶ γνῶτε. cf Π 97,14

32 πρόσιμεν K-D ‖ **33** ταύταις corr. Diam 304: ταύτας Y P-K[2] K-D

μὲν ἀπῳκισμένα, τῆς δὲ πολυπλανοῦς ὕλης ἐχόμενα· ὧν φύσις τὸ
55 πολυπαθές τε καὶ ἄστατον, ἐπεὶ οὐδ' ἂν ἄλλως ἀποσπασθείημεν
καὶ μετεωρισθείημεν πρὸς τὸν νοῦν, εἰ μὴ τοῖς ἐνταῦθα ἀνιαροῖς
περιπέσοιμεν. Ἐγὼ μὲν ἐπὶ τοῦ τῆς φιλοσοφίας μενῶ ἀξιώματος·
καὶ ἀνιαθεὶς διὰ τὴν φύσιν ἐλάχιστα, ἵλεως τὸν λοιπὸν ἔσομαι
χρόνον, τῆς ἐπιστήμης μοι παρεχούσης ἕξιν ἀκύμονα.

498.
ad Ioannem Mauropoda (Π XXXIX) [cf. Kazhdan, 1993,99–100]?

K-D 225 [P-K²], P-K² 12 [Y]

Καινόν τινά μοι τρόπον τὸ κατὰ σὲ πρᾶγμα ἀπηντηκέναι δοκεῖ·
ἐγὼ γὰρ ἐκ παντὸς τρόπου τὴν σὴν φιλίαν θηρώμενος, καὶ ἀεὶ
συνεῖναί σοι τῷ καλλίστῳ μέρει βουλόμενος, ἀρχὰς ἐζήτουν καὶ
ὑποθέσεις πόθεν ἄν μοι τοῦτο πορισθείη τὸ χρῆμα· σὺ δὲ
5 προλαβὼν ταύτας προκατεσκεύασας, ὥσπερ τι θήραμα οὐ φεῦγον
τὸν θηρατήν, ἀλλ' ἐκεῖνον μᾶλλον ἐνάγον πρὸς ἑαυτό, καὶ
παρέχον τοῦ ζητουμένου κατατρυφᾶν. Ἀλλ' οἶμαί σε ταὐτὰ
πεπονθέναι ἡμῖν· καὶ ἀκούσαντα περὶ ἡμῶν, ἅπερ ἡμεῖς περὶ σοῦ,
καὶ τῇ φήμῃ πιστεύσαντα (εἰπεῖν δὲ καὶ τοῦ τῆς φιλοσοφίας
10 θρόνου θαυμάσαντα), ζητεῖς ὅπως ἂν θηράσῃς ἡμᾶς.

Ἑκατέρων οὖν πρὸς τὴν ἀλλήλων ἄγραν ἐξεληλυθότων, αὐτὸς
καὶ νενίκηκας καὶ τεθήρακας, πολὺ γεγονὼς ἐμοῦ καὶ περὶ τὴν
ἐπιστήμην τοῦ θηρᾶν τεχνικώτερος· ὁμοῦ τε γὰρ ἴχνεσιν ἐμοῖς
προσεπέλασας, καί με κεκρυμμένον ἀνήρπασας. Καὶ νῦν ἔχεις
15 λαβών, καὶ κατέχεις ἑλών, εἴ τινές εἰσι καὶ χεῖρες ψυχῆς, καὶ ἁφαὶ
νοηταὶ περιδραττόμεναι τοῦ θηράματος· φιλόσοφος γὰρ ἀνὴρ οὔτ'
ἂν ἕλοι, οὔτε μὴν σωματικοῖς ἁλοίη δεσμοῖς.

54 πολυπλανοῦς ὕλης: cf. Euseb. Ἐκκλησιαστικὴ ἱστορία 4,11,3,1–2 τὸν ἄπειρον βυθὸν τῆς ... πολυπλανοῦς ὕλης. cf. etiam Π 446,22–23 ‖ **9–10** τοῦ – θρόνου: dum Psellus πρόεδρος/ὕπατος τῶν φιλοσόφων erat (1047–); cf. Π 174,49, Π 185,44, et Π 196,38–45; cf. etiam 111,134, 280,20 et 47, Π 388,11, et 455,34–35?

54 πολυπλανοῦς corr. K-D: πολυπλακοῦς Y P-K² ‖ **ep. 498** Y 121r; tit.: ⟨μητροπολίτῃ τινί?⟩ K-D ‖ **10** ζητεῖς scripsi: ζητεῖν Y P-K² K-D

Ἐγὼ γοῦν καὶ δεσμήσας καὶ δεσμηθείς, νοητῶς ἄμφω πεποίηκά τε καὶ πέπονθα καὶ ὃν δῆσαι ἐν ἀπουσίᾳ σωμάτων ταῖς φαντασίαις συνείληφα, τούτου δὴ ταῖς ἐπιβολαῖς τοῦ νοῦ 20 συνείλημμαι νοερώτατα. Καὶ τὸ θαυμάσιον, ὅτι τῆς ἀρχῆς οὔσης ἀνθρωπικῆς, εἰς φιλοσοφίαν ἡμεῖς ἐκεφαλαιώσαμεν τὴν ὑπόθεσιν, τοῖς πράγμασιν οὐχ ὡς ἐκείνη χρησάμενοι, ἀλλ' ὡς ἡμεῖς ἔχομεν φύσεως. Εἰ μὲν γὰρ ἀπολύτοις τοῦ σώματος ἐχρώμεθα ταῖς ψυχαῖς, οὐδὲ τοῦτο ἡμῖν προσεγένετο, ἀλλὰ συμβεβήκει ἂν ἡμῖν 25 ἀπὸ τοῦ κρείττονος τοῖς καθ' ἡμᾶς ὁμιλεῖν· τοῦτο δέ ἐστιν ὁ ἀκήρατος νοῦς. Ἐπειδὴ ⟨δὲ⟩ μετὰ σώματος ἡμῖν ἡ ζωή, τὰ πολλὰ ἐντεῦθεν ἀρχόμενοι, εἰς τὸν νοῦν ἀναγόμεθα. Εἴποιμι δ' ἂν αὐτός, ὡς οὐδὲ ἡ τῆς φιλίας ὑπόθεσις πάντη σωματική (οὐ γὰρ ἂν διόλου φιλοσοφίαν αὐτὸς καταισχύναιμι), ἀλλὰ λειτουργία θεοῦ καὶ 30 ἀρχιερωσύνης θεσμός, ἐν ὁρατοῖς συμβόλοις δεικνύων τὰ ἀφανῆ.

Ἐκεῖθεν οὖν ἡμῖν τὸ ταχὺ πρὸς τὸν νοῦν ἀναχθῆναι, ὅτι πρὸς θεὸν τὸ πρᾶγμα φέρει μετὰ συνέσεως. Σὺ δέ, ὦ τῆς ἄκρας σου φιλοσοφίας καὶ καθαρᾶς, αὐτὸν τῆς ἀγγελίας τὸν λόγον ἐδέξω. Πρὸς μὲν τὴν φύσιν εὐθὺς ὑπηνέχθης καὶ τοῦ συγγενοῦς ἐμνημό- 35 νευσας αἵματος, πρὸς δὲ τὸν λόγον αὖθις ἀνθυπηνέχθης καὶ ταῖς ἐκ τῶν ψυχῶν συγγενείαις μᾶλλον προστέθεικας· καὶ γέγονας ἡμῖν ἐκ ταὐτομάτου πάντα δὴ τὰ κάλλιστα τῆς συμπνοίας ὀνόματα. Οὕτω, σοφωτάτη ψυχή, ἐπιγινώσκουσιν ἑαυτοὺς οἱ συγγενεῖς λόγοι· καὶ ταχὺ πρὸς ἀλλήλους ἀνακιρνάμενοι, οὐ διὰ 40 τῶν αἰσθητηρίων τὴν ὁμιλίαν σφυροκοποῦσιν, ἀλλ' ἀδιαστάτως ἐν διεστηκόσι μέρεσιν ἀλλήλοις συνίστανται.

24–25 εἰ – ψυχαῖς: Plat. Φαίδων 65a1–2 ὁ φιλόσοφος ἀπολύων ὅτι μάλιστα τὴν ψυχὴν ἀπὸ τῆς τοῦ σώματος κοινωνίας. cf. Psel. Χρονογραφία VI,212 (=VIa,8) τρεῖς γὰρ μερίδας ταῖς τῶν ψυχῶν προσαρμόζω κατανοῶν καταστάσεσι: τὴν μέν, ὅταν αὐτὴ βιώῃ καθ' ἑαυτήν, ἀπολυθεῖσα τοῦ σώματος, ἀτενῆ τε καὶ οὐ πάνυ τὸ ἐνδόσιμον ἔχουσαν· τὰς δέ γε λοιπὰς μερίδας τῷ μετὰ σώματος αὐτῆς βίῳ κατείληφα et Π 251,42, Π 360,15–16, et Π 455,25–26; cf. etiam Π 211,18 οὐ νοῦς ἐστιν ἀπόλυτος, ἀλλὰ ψυχὴ σώματι συνδεθεῖσα

23 ἐκείνη (scil. φιλοσοφία) scripsi: ἐκεῖνα Y P-K^2 ἐκεῖνοι corr. K-D ‖ **27** δὲ add. K-D ‖ **41** σφυροκοποῦσιν scripsi: φυροκοποῦσιν Y P-K^2 K-D e quo falsum LBG lemma

Σὺ μὲν οὖν τὴν ὑπόθεσιν καὶ δέδωκας καὶ πεπλήρωκας· οὐδὲν δὲ ἧττον καὶ τὸ ἴσον προσείληφας, εἰ φιλόσοφος εἶ. Λείπεται γοῦν
45 ἡμῖν τὰ ἴσα ποιεῖν· καὶ ἀρκέσομεν μετὰ τῶν ἄλλων καὶ τὴν ἐκ τῶν λόγων προστιθέντες ῥοπήν.

499.

K-D 226 [P-K²], P-K² 13 [Y]

Ἀλλ' ἐγὼ ἐρωτῶ: διατί μὴ τὰ πατρὸς φρονοῦμεν οἱ ἀδελφοί, ἀλλὰ σὺ μὲν τὴν φύσιν ἴσην ἐχαρίσω ἀμφοῖν, ἡμεῖς δὲ ἀλλήλοις ἠναντιούμεθα; Ἢ οὐκ ἐναντίωσις τὸ μὴ στοιχεῖν τῇ ταὐτότητι, ἀλλὰ τὸν μὲν ἀξιοῦν, τὸν δὲ ἀποπέμπεσθαι, ὥσπερ ἂν εἴ τινες
5 καταφαίνονται πρὸς ἑτέρους ἀποφαινομένους;

Τὸ μὲν οὖν σόν, πάντων ἀνδρῶν ἐμοὶ λογιώτατε καὶ πατέρων φιλοτεκνότατε, καὶ ὑπέσχηται καὶ ἀπήρτισται· τῷ δὲ ἀδελφῷ οὐδέτερον γέγονεν. Ἀποκρινάσθω δὲ μὴ ὁ καταθέμενος σύ, ἀλλ' ἐκεῖνος ὁ ἀρνησάμενος. Ἐπεὶ εἴ γε τὸ ἐκείνου προσωπεῖον αὐτὸς
10 ὑποδύσῃ, ῥήτωρ εὐμέθοδος καὶ δεινότατος ὤν, ῥᾷστα ἂν ἀποκριθήσῃ ἡμῖν. Ἐμὲ δὲ τῶν ἀπολογιῶν αἱ ἔντεχνοι οὐ μάλα πείθουσιν, ἀλλ' ἡ ἀκατάσκευος προφορά. Τὸ δὲ ἀπολογεῖσθαι ὅσον δοκεῖ πιθανῶς συντεθεῖσθαι, τοσοῦτον ἐμοὶ ὑποπτεύεται· νοσούσης γὰρ ὑποθέσεως, αἱ τῆς γλώττης περιβολαί· ἡ δὲ ὑγιὴς οὐ δεῖται τοῦ
15 θεραπεύοντος.

500.

eodem tempore et ad eundem ut Π 433?

K-D 228 [P-K²], P-K² 15 [Y]

Ἱερώτατέ μοι ἀδελφέ, καὶ ὡς οὐκ ἐδίδου καιρὸν ἡ νόσος σκέψασθαί

ep. 499 Y 121r–v; tit. τοῦ αὐτοῦ Y P-K²: ⟨πατρὶ πνευματικῷ⟩ K-D ‖ **11** αἱ corr. K-D: οἱ Y P-K² ‖ **ep. 500** Y 121v; tit.: τοῦ αὐτοῦ Y P-K² ⟨τῷ Εὐχαΐτων?⟩ add. K-D

τι περὶ τῶν συμφερόντων ἡμῖν, καὶ ὡς ἦν παντὸς ταχυτέρα νοήματος, πῶς οὖν ἔδει βουλεύεσθαι, καὶ τοὺς φιλτάτους μετακαλέσασθαι; ὡς γὰρ βέλος τὸ πάθος, ἀθρόον τῇ καρδίᾳ ἐμπέπτωκε, καὶ παγὲν τὴν πρώτην, ἀμετάθετον ἦν. 5

Εἰ μὲν οὖν «σύμπνοιά» τις τοῦ σώματος καὶ «σύρροια μία» (κατὰ τὸν εἰρηκότα) ἀπὸ τῆς καρδίας ὡς ἀπὸ κέντρου, πανταχόθι διαπεφοίτηκε τὸ κακόν, ἐς ἧπαρ, ἐς σπλῆνα, ἐς βουβῶνα, ἐπ' αὐτὴν τὴν κεφαλήν, τὸ δεινότατον. Εἰ δ' οὐκ ἀλληλοῦχον τὸ ἠπεδαπὸν σωμάτιον πέφυκεν, ἀλλ' ἐσκέδασται καὶ διέσπασται, 10 ἀλλὰ τὸ πάθος πρὸς ἄλλο ἐξ ἄλλου ἐν γειτόνων προσέρπον ὁμότιμα τοῖς ἀγάλμασι τὰ μὴ τοῖς παθήμασιν ἀπειργάσατο.

Εἶτα σύ με ἐβούλου τὸ φιλόσοφον ἁπανταχοῦ διασῴζειν καὶ μηδὲν ὑπὸ τοῦ δεσμοῦ παραβλάπτεσθαι, μηδὲ λυομένῳ συναπολύεσθαι. Ἠγάπων ἂν κἀγὼ τοῦτο, καὶ βουλοίμην ἄν, ἀλλ' οὐ 15 μεμελετήκαμεν ἔτι τὸν θάνατον, πολλοῦ δέω λέγειν, ὅτι μηδὲ θεῷ

2–3 ταχυτέρα νοήματος: cf. Xen. Ἀπομνημονεύματα 4,3,13 θᾶττον δὲ νοήματος et Bas. Caes. Εἰς τὴν ἑξαήμερον 5,10,2–3 θᾶττον τοῦ ἡμετέρου νοήματος ‖ **6–7** σύμπνοιά – εἰρηκότα: cf. e.g. Galen. Περὶ τῶν ἐν τοῖς σφυγμῶν αἰτίων 88,11–13 ὁ γάρ τοι πατὴρ τοῦ δόγματος ὁ θεῖος ἐκεῖνος Ἱπποκράτης, σύρροια μία, φησὶ, σύμπνοια μία, πάντα πᾶσι συμπαθέα, φύσις κοινή et Ioann. Philop. Περὶ ἀϊδιότητος κόσμου 283,19–20 εἴπερ καθ' Ἱπποκράτην «σύμπνοια μία, σύρροια μία, πάντα συμπαθέα» cum Greg. Naz. Εἰρηνικὸς Α΄ = Or. 6,15 στοιχείων δὲ μίξεις καὶ κράσεις, καὶ μελῶν συμμετρίαι καὶ συμφωνίαι; ζώων δὲ τροφαὶ, καὶ γενέσεις, καὶ οἰκήσεις μεμερισμέναι; … ταῦτα πάντα οὕτως ἔχοντα, καὶ κατὰ τὰς πρώτας αἰτίας τῆς ἁρμονίας, εἴτ' οὖν συῤῥοίας τε καὶ συμπνοίας et Π 124,27–28 ‖ **16** μεμελετήκαμεν – θάνατον: iunctura Platonica (Φαίδων 81a1–2 μελέτη θανάτου) saepe laudata; cf. Psel. Ἐγκωμιαστικὸς εἰς … Μιχαὴλ τὸν Κηρουλλάριον = Or. fun. I 1,32,30, Ἐγκώμιον εἰς … Νικόλαον μοναχὸν … = Or. fun. I 10,32,6–7, Ἐγκώμιον εἰς τὴν ἀποτομὴν τοῦ … βαπτιστοῦ Ἰωάννου = Or. hag. 8,321–322, Ἐπίλυσις εἰς τοὺς τῆς φιλοσοφίας τρόπους = Phil. min. I 49,114, 122–123, et 147–148 ‖ **16–17** θεῷ ὡμοιώμεθα: iunctura Platonica (Πολιτεία 613b1 ὅσον δυνατὸν ἀνθρώπῳ ὁμοιοῦσθαι θεῷ et Θεαίτητος 176b1–2 ὁμοίωσις θεῷ) saepe laudata; cf. e.g. Psel. Ἐγκωμιαστικὸς εἰς … Μιχαὴλ τὸν Κηρουλλάριον = Or. fun. I 1,30,25–26, et Ἐπίλυσις εἰς τοὺς τῆς φιλοσοφίας τρόπους = Phil. min. I 49,115, 121–122, 148–149, et 193–195

2–3 ταχυτέρα νοήματος corr. K-D: ταχύτερα νοήματα Y P-K² ‖ **7** τὸν Y corr. K-D: τὰ P-K²

ὠμοιώμεθα, ὅτι δὲ ταῖς μερίσι τῆς φύσεως συντετάγμεθα καὶ τῆς φυσικῆς ἁρμονίας οὐκ ἀπελύθημεν, δι' ἣν τὸ ἀλγεῖν (ὡς φιλόσοφοι ἂν φαῖεν) διαλυομένης τῆς συμφωνίας, καὶ δι' ἣν τὸ ἥδεσθαι
20 ἀποκαθισταμένης. Ταῦτα μέν, ἃ μόλις πεφεύγαμεν. Τὰ δὲ νῦν, οὐκ ἀλγοῦμεν, ὦ ἀγαθὲ τὴν καρδίαν, ἀλλὰ πυρέττομεν, ἀλλ' ἐκλελύμεθα, ἀλλ' οἰωνίζονται οἱ ὁρῶντες ἡμᾶς. Βρώματα δὲ οὔτε προσιέμεθα, οὔτε εἰ βιασθέντες παραδεξαίμεθα, οἰκειοῖ ταῦτα ἡ φύσις τῷ σώματι.
25 Πλὴν μετὰ τῆς ζώσης μᾶλλον, ἢ τῆς ἑτέρας ἐσμὲν πλάστιγγος· μὴ γὰρ γένοιτό μοι ἀλλαχόθι, ἢ ἐν τῇ Ὡραίᾳ τεθνάναι Πηγῇ. Σοὶ δὲ ἐνδίδωμι εἰσελθεῖν ὁπότε βούλοιο.

501.

K-D 230 [P-K²], P-K² 17 [Y]

Εὰν ἠπιστάμην ὅτι τὸ τῆς τιμιότητός σου γράμμα τοιούτων ἦν πλῆρες ὑποθέσεων ὧν οὐδὲ ἀκροθιγῶς τοῖς ὠσὶν ἐβουλόμην ἀκοῦσαι, οὔτ' ἂν ἀνέγνων, οὔτε εἰς χεῖρας λαβών, ἀνείλιξα. Ἔφθασα δὲ τοῦτο δεξάμενος ἐφ' ἑτέραις γνώμαις καὶ ὑπολήψεσι,
5 καὶ διὰ ταῦτα ἀνέγνων, ὃ οὐκ ἐβουλόμην πεποιηκώς. Ἵνα τί γάρ με κριτὴν τοιούτων ἀδικημάτων ἐκάθισας; Τί δέ μοι τοιαύτας δίκας ἀνήνεγκας, αἷς σὲ δικαστὴν ἐποιησάμην ἐγώ; Πῶς δὲ δικαιότατόν με πάντων ἀνθρώπων νομίζων καὶ λέγων, ἔπειτα ἐπεγκαλεῖς ὥσπερ αἰτίῳ τῶν ἀδίκων ὑποθέσεων, καὶ χαρίζῃ μὲν
10 τῇ γλώττῃ, κατηγορεῖς δὲ τῇ ψυχῇ; Εἶτα οὐκ ἐνθυμῇ ὅτι ταύτην τὴν λειτουργίαν τῇ σῇ ἀνατέθεικα ὁσιότητι, καὶ πάντα ταῖς σαῖς γνώμαις ἐπέτρεψα ἵν' ὅπως ἂν ἐθέλῃς διενεργῇς τὰ τῶν

17–20 τῆς² – ἀποκαθισταμένης: cf. e.g. Clem. Rom. Hom. 19,20,8 ὅθεν ἁρμονίας οὔσης οὐκ ἀλγεῖν ἔστιν, οὐκ ἀποθανεῖν? ‖ **26–27** ἐν – Πηγῇ: monasterion in Olympo monte Bithyniae (Janin 1975,191); cf. Π 433,18 et etiam Psel. Ἐγκώμιον εἰς … Νικόλαον μοναχὸν … = Or. fun. I 10 et Gautier 1974b,19 n. 8; cf. etiam Π 196,2? ‖ **2–3** οὐδὲ – ἀκοῦσαι: cf. Psel. Omn. doctr. 156 οὐδὲ ἀκροθιγῶς τοῖς ὠσὶν et Π 113,14 ἀκροθιγῶς τοῖς ὠσὶ παραδέξασθαι

22 οἰωνίζονται corr. K-D: οἰωνίζοντες Y P-K² ‖ **ep. 501** Y 122r–v; tit.: ⟨μητροπολίτῃ τινί?⟩ K-D ‖ **1** ἐάν: εἰ corr. Diam 304

ὑποθέσεων; Τοὺς δὲ ἐκπεμπομένους ὥσπερ καλάμῳ τῇ σῇ χειρὶ ὑποτέθεικα, τῇ καλλιγράφῳ καὶ ὀξυγράφῳ καὶ ταχέα ἀποτελούσῃ τὰ γράμματα καὶ σοφίσματα. 15

Ἀλλ' ὥσπερ ἔοικε, τὸ τῶν πολλῶν πέπονθας· καὶ μέχρι γλώττης ἡγήσω με δικαιότατον, τὰ δὲ περὶ τὴν καρδίαν τοῖς λόγοις ἀντιφθεγγόμενα. Τὸ δὲ τῆς φιλοσοφίας ὄνομα ποῦ; Τὸ δὲ τῶν λόγων ἀξίωμα; Ἡ δὲ παρὰ πάντων καλλίστη ὑπόληψις; Ἢ τηνάλλως ληροῦμεν τοὺς τοῦ δικαίου κανόνας τοῖς πᾶσι δηλοῦντες 20 καὶ ἐξαγγέλλοντες, αὐτοὶ δὲ πάντων ἀδικώτατα πράττοντες;

Εἰ μὲν οὖν οὕτως ἔχεις ὡς ὑπελάβομεν, μήτε ὡς δικαστὰς πλάττε, μήτε τῆς ἡμετέρας χρῆζε γνώμης καὶ ἀποφάσεως. Ἀλλ' ἔστω πάντα ἀδικήματα ἐμὰ καὶ κατηγορήματα· κἀγὼ τῶν ὅλων αἰτιώτατος παρὰ σοὶ νομιζοίμην. Ἐφ' ᾧ καὶ πολλάκις [δικά]σαντι 25 ἔμυσας, αἰδούμενος ἴσως καὶ εὐλαβούμενος καὶ μὴ ἀντωπῆσαι βουλόμενος. Εἰ δ' οὐχ οὕτως ὑπολαμβάνεις, κύρωσον τὴν γνώμην οἷς ἐντελλόμεθα. Ἐν χρῷ τέμε τὸν τοῦ ἀδικήσαντος πώγωνα, καὶ τὰς πλευρὰς αἴκισον ἄχρι πληγῶν ἑκατόν. Εἶτα δὴ καὶ θριάμβευσον, καὶ δεῖξον πᾶσιν ὡς οὐ τοιοῦτος ἐγώ, οὐδὲ τοιαῦτα παιδεύειν 30 εἴωθα. Εἰ δὲ πολλοὶ μέντοι τὴν γνώμην ζηλοῦσιν, εἰ δὲ οὗτος τὴν ἐναντίαν ἐτράπετο, θαυμαστὸν οὐδέν, ἐπεὶ καὶ τῶν μαθητῶν τοῦ κυρίου οἶδας ὅστις ἐκπέπτωκε· καὶ οὐ τὸν Χριστὸν αἰτιάτω τῆς ἐκείνου γνώμης καὶ προαιρέσεως, ἀλλ' ἐκεῖνον, ὅτι τῶν τοῦ διδασκάλου λόγων τὴν ἐκ διαμέτρου ἐβάδισεν. 35

Εἰ μὲν οὖν κατὰ τὰ δεδογμένα ποιήσεις, καὶ δεξιὰν ἐμβαλοῦμέν σοι, καὶ ἀπὸ τῆς αὐτῆς αἰτησόμεθα, καὶ στέγης καὶ πυρὸς κοινωνήσομεν. Εἰ δὲ ἴσως φιλανθρωπευσάμενος τῆς δικαίας ταύτης ἀπόσχῃ ἀγανακτήσεως, ἡμεῖς ἐπὶ τῆς ἡμετέρας μενοῦμεν ἕξεως, σοὶ δὲ ὡς αἰτίῳ τῶν ὅλων ἐπεγκαλέσομεν, καὶ οὐ κατήγο- 40 ρον, ἀλλὰ συκοφάντην καλέσομεν.

13–14 ὥσπερ – ὀξυγράφῳ: Ps. 44,2 ἡ γλῶσσά μου κάλαμος γραμματέως ὀξυγράφου. cf. Psel. Theol. I 8a,59–64 et Εἰς τὸ 'ἐπλήσθησαν οἱ ἀπόστολοι …' = Theol. I 74,59–60 ‖ **28** ἐν χρῷ –πώγωνα: cf. Lucian. Ἀναβιοῦντες ἢ Ἁλιεύς 46 ἀποκειράτω τὸν πώγωνα ἐν χρῷ ‖ **32–35** ἐπεὶ – ἐβάδισεν: cf. Mt. 27,3–4 Ἰούδας ὁ παραδιδοὺς αὐτὸν … μεταμεληθεὶς … λέγων, Ἥμαρτον παραδοὺς αἷμα ἀθῷον

25 δικάσαντι suppl. K-D: ποιήσαντι suppl. P-K² ‖ **39** ἀνακτήσεως P-K² K-D

502. ⟨Κριτῇ τινι⟩
ad Pothum (Π LIII) [cf. Π 238 et epistolarum ordinem in Y]?

K-D 258 [Cre], Cre 2 [H]

Φίλτατε ἀδελφέ (τοῦτο γὰρ ἀντὶ πάντων ἀρκεῖ), οὐκ ἐβουλόμην οὔτε γράφειν πρὸς σέ, οὔτε πόρρωθεν περί τινος ἀξιοῦν. Ἐπεὶ οὖν οὕτω δέδοκται, βραχύτατα ὡς ἐπηγγέλμεθα, περὶ οὗ δηλώσω πλατύτερον ἐν ἑτέρῳ γράμματι, περὶ τοῦ ἐγχειρίζοντός σοι τὴν
5 γραφήν, τοσοῦτόν φημι: ὅτι ἐγνώρισται ὁ ἄνθρωπος παρά τινος τῶν φιλούντων ἡμᾶς, ἀδικίας δέ τινα γραψάμενος, ἀφίκετο πρὸς σὲ δικασόμενος, ἐξομαλίζων δὲ ἑαυτῷ τὴν πρὸς τὸ σὸν δικαστικὸν βῆμα εἴσοδον, τὴν παροῦσαν γραφὴν τοῦτο δώσουσαν αὐτῷ ἐξῃτήσατο. Σὺ δὲ μὴ τὴν πρὸς σὲ μόνον τούτῳ ὁμαλιεῖς ἀλλὰ καὶ
10 τὴν ἀπὸ σοῦ. Τοῦτο δέ ἐστι, μὴ μόνον θαρρῶν εἰσέλθοι πρὸς σέ, ἀλλὰ καὶ ἐξέλθοι νενικηκώς· τὸ μὲν γὰρ σύμβολον ἐπιεικείας, τὸ δὲ καθαρωτάτης φιλίας.

Εἰ μὲν οὖν καὶ τοῖς δικαίοις ὠχύρωται, ἐντεῦθεν ἕξει τὸ κράτος· εἰ δ᾽ οὖν, ἀλλ᾽ εἴ τι ἐλλείπει τούτῳ πρὸς τὴν τοῦ δικαίου
15 ἰσχύν, σὺ ἀναπλήρου τῷ ἐφευρίσκειν αὐτῷ πόρον ἐν τοῖς ἀπόροις. Δικαστικὸν δὲ καὶ τοῦτο, ἃ μὴ δύναται ὁ δικαζόμενος ἑαυτῷ χορηγεῖν, ταῦτα τὸν δικαστὴν ἐπινοεῖν, καὶ προσεφευρίσκειν.

Ἐλλείποντι μὲν οὖν ἀναπλήρου τὰ λελειμμένα· ἰσχύοντι δέ, τῷ δικαίῳ γενναίαν πάρεχε τὴν ἐκδίκησιν, ἵν᾽ ᾖ δυοῖν θάτερον τοῦ
20 ἀγῶνος, ἢ κεκρατηκότι, ἢ μὴ ἐκπεπτωκότι.

503.
ad episcopum quendam?

K-D 259 [Cre], Cre 3 [H]

Οὐκ ὠνειδίσαμεν, θεοτίμητέ μου δέσποτα (μὴ οὕτω φρενῶν

1–2 μὴ – ἐκσταίημεν: cf. Psel. Ὑπὲρ τοῦ νομοφύλακος κατὰ τοῦ Ὀφρυδᾶ = Or. for. 3,129, Μονῳδία ἐπὶ Ῥωμανῷ ῥαιφερενδαρίῳ = Or. fun. I 9,2,34–35, Εἰς τὸ παροιμιακὸν … ‘ἡ σοφία ᾠκοδόμησεν …’ = Theol. I 7,97 et Π 113,13, Π 167,13, Π 251,27, et Π 275,6–7

ep. 502 H 43r; tit. scripsi: ⟨τῷ κριτῇ Ὀψικίου?⟩ K-D ‖ **3** βραχύτατα corr. K-D: βραχύν τινα H Cre ‖ **ep. 503** H 43r–v; tit.: ⟨μητροπολίτῃ τινι?⟩ K-D

ἐκσταίημεν!), ἀλλ᾽ ἀνεμνήσαμεν τῆς πρὸς ἀλλήλους φιλίας τῆς ἀρχαίας ἐκείνης καὶ θαυμασίας καὶ δεσμηθείσης ὑπὸ θεῷ μάρτυρι. Εἰ δὲ μὴ ὁμιλίαις καὶ γράμμασι καὶ φιλικαῖς προσφωνήσεσι τὸ τῆς φιλίας χρῆμα χαρακτηρίζεται, τίσιν ἂν ἄλλοις 5 χαρακτηρισθείη ποτέ; ὥσπερ γὰρ ἐνδημοῦσι φίλοις γνώρισμα σαφὲς τῆς ἀγάπης ἡ συναυλία καὶ ὁμιλία, οὕτως ἀποδημοῦσι, ἀντὶ γλώσσης τὸ γράμμα καθίσταται.

Ἀλλ᾽ ἐπειδὴ σὺ μὴ ἐντεῦθεν ὁρίζῃ τὴν τῆς φιλίας ὑπόθεσιν, νικῴης ἂν ἡμᾶς, καὶ ἡμεῖς τὴν ἧτταν ὁμαλῶς οἴσομεν. Τέως δέ, εἰ 10 μὴ γράφειν βούλοιο, μνημονεύοις ἀεὶ καὶ φαντάζοιο· ἡμεῖς δὲ ἄμφω ποιήσομεν, τὰ μὲν γράφοντες, τὰ δὲ φανταζόμενοι. Μόνον μὴ φορτικοὶ φανείημεν ταῖς ἀποστολαῖς τῶν ἐπιστολῶν. Εἰ δὲ καὶ κατὰ τὰς προκειμένας ἐλπίδας ἀλλήλους ἴδοιμεν, τότε τὴν θρυλλουμένην φιλίαν ἡμῶν ἢ ἀποῦσαν ἀνακαλεσόμεθα, ἢ παροῦ- 15 σαν ἐπισκηψόμεθα· ἐγὼ γὰρ οὐκ ἂν ᾠήθην ποτὲ ἐν γειτόνων ἀλλήλοις οἰκοῦντας μὴ βούλεσθαι διὰ γραμμάτων φιλικῶν ὁμιλεῖν.

504.

ad unum amicorum eius in Cappadocia militiis ab Romano IV Diogene inceptis; a. 1068? eodem tempore ut Π 25, Π 281, Π 21, Π 152, Π 24, Π 151, Π 282a = Π 282b, Π 21, et Π 283; cf. etiam Π 292?

K-D 261 [Cre], Cre 5 [H]

Ἀδελφὲ φίλτατε, πῶς ζῇς μὴ ὁρῶν τὸν φίλον σου τὸν ὑπέρτιμον, ὃν εἴωθας οὐ φιλεῖν μόνον, ἀλλὰ καὶ ἀναπνεῖν; Ἐγὼ δὲ τὸ πλεῖον ἀφήρημαι τῆς ζωῆς (μὰ τὴν μεγάλην σου ἀγάπην!), μήτε σὲ ἔχων ὁρᾶν, μήτε τοὺς ἄλλους ἡμῶν φίλους καὶ συντρόφους, καὶ πρὸ πάντων, ἐστερημένος καὶ τῆς τοῦ βασιλέως γλυκείας ὁμιλίας καὶ 5 ὄψεως.

5 τοῦ βασιλέως: Romanus IV Diogenes (imperator: 1.I.1068 – a. 1071) (Π XIV); cf. infra l. 12

6 εὐδημοῦσι Cre ‖ **16** ἐν corr. Diam 304: ἐκ H Cre K-D ‖ **ep. 504** H 43v; tit.: ⟨φίλῳ τινι⟩ K-D ‖ **2** εἴωθες Cre

Ὅμως ζῶ ἐπὶ τοῖς βιβλίοις· πάντα γὰρ συλλεξάμενος, ἐν μέσῳ τούτων ἐμαυτὸν ἵδρυσα· καὶ ὥσπερ ἐν πολυανθεῖ λειμῶνι γενόμενος, ἄλλο τι ἐξ ἄλλου καρποῦμαι καὶ δρέπομαι. Ἀλλ'
10 ἄψυχος ὁ λειμὼν οὗτος, οὐχ οἷος ὁ παρ' ὑμῖν, ὁ ζῶν καὶ ἔμπνους, καὶ ἀρτιμελὴς καὶ βιώσιμος. Ἀλλ' ὑμεῖς μὲν καὶ τὸ ξύλον ἔχετε τῆς ζωῆς (φημὶ δὴ τὸν βασιλέα ἡμῶν)· ἐγὼ δὲ τὴν Ἑλληνικὴν σοφίαν, τὸ ἀμφίβολον φυτόν, καὶ μέσως ἔχον τῶν ἐναντίων ἕξεων.

505.

K-D 262 [Cre], Cre 6 [H]

Διατί, εὐγενέστατε κύριέ μου, παρ' ἑτέρων ἀλλὰ μὴ διὰ σοῦ τὰ περὶ σοῦ διδασκόμεθα; Διατί μὴ ἐπιστέλλεις ἡμῖν καὶ ὁμιλεῖς διὰ γραμμάτων, ἵνα σοι καὶ ἡμεῖς ἐπὶ τοῖς ἴσοις καὶ ὁμοίοις διαλεγώμεθα; ὅπερ γὰρ τοῖς παροῦσι τῶν φίλων αἱ γλῶσσαι,
5 τοῦτο τοῖς ἀποῦσι τὰ γράμματα, καὶ οἱ λόγοι ἀπὸ τῆς αὐτῆς ἄμφω ψυχῆς. Ἀλλ' ἡμεῖς τὰ περὶ σοῦ, καὶ παρ' ἑτέρων μέν, μάλιστα δὲ τοῦ συγγενοῦς ἡμῶν ἀναμανθάνομεν, ἀκριβέστερον τὰς σὰς ἡμῖν ἀρετὰς καταλέγοντος, καὶ πρὸ πάντων τὴν εὐγενῆ σου προαίρεσιν, καὶ τὴν εἰς αὐτὸν ἐπὶ πᾶσι φιλοτιμοτάτην σου
10 ψυχὴν ὡς ἐν τοῖς γνησιωτάτοις ἔχεις, καὶ τῆς σῆς παρρησίας καὶ οἰκειώσεως ἀξιοῖς.

Ἀπέχομεν οὖν σοι τὴν ἐπὶ τούτῳ χάριν· καὶ εὐχαριστοῦμέν σοι ὅτι μὴ ἡμᾶς μόνον σέβῃ τε καὶ τιμᾷς, ἀλλὰ καὶ δι' ἡμᾶς τοὺς ἡμετέρους οἰκτείρεις καὶ ἐλεεῖς. Ἀλλ' ἐπειδὴ οὐκ ἔστι τέλος τῆς
15 ἀρετῆς, ἀλλ' ὁσάκις ἂν τις βούληται, προστίθησι τῷ καλῷ, γενοῦ σαυτοῦ κρείττων, καὶ πρόσθες ταῖς χάρισι χάριτας, καὶ τοῖς

7–9 ζῶ – δρέπομαι: cf. Π 38,65–66 βιβλίον ... οἷόν τινα λειμῶνα γέμον ἀνθέων καὶ χάριτος ‖ **7–11** ὅμως ζῶ – βιώσιμος: cf. Π 283,14–15 ζῶ δὲ περὶ τὰ βιβλία καὶ τὰς ἀψύχους ὁμιλίας τῶν συγγραψαμένων αὐτά ‖ **11–12** τὸ – ζωῆς: Gen. 2,9 τὸ ξύλον τῆς ζωῆς ἐν μέσῳ τῷ παραδείσῳ etc., locus in Psello saepe laudatus; cf. e.g. Psel. Τί ἐστι τὸ ξύλον τῆς ζωῆς καὶ τὸ ξύλον τῆς γνώσεως; = Theol. II 20 et Π 3,15, Π 84,5, Π 127,22, Π 154,3, et Π 162,28
12 τὸν βασιλέα: cf. supra l. 5

12 δὴ : δὲ Cre K-D ‖ **13** μέσας Cre K-D ‖ **ep. 505** H 44r ‖ **5** ὁ λόγος K-D οἱ λόγοι Cre

οἰκτιρμοῖς οἰκτιρμούς· ὥσπερ γὰρ ἡ πρὸς ἐμέ σου φιλία ὁσημέραι ἐπαυξάνεται, οὕτω δὴ καὶ ἡ πρὸς τοὺς ἐμοὺς δι' ἐμὲ ἐπαυξανέτω συμπάθεια· καὶ ἡμεῖς γὰρ ἐντεῦθέν σοι πλείους ἀνθομολογήσομεν χάριτας. Καὶ μάλιστα ἐν ταῖς ἀγαθοεργίαις προσθέμενος, δῆλον 20 ἡμῖν τοῦτο ποιήσεις τῷ πρὸς ἡμᾶς γράμματι· οὐ γὰρ σαλπίζοντος τούτου τὴν εὐεργεσίαν, ἀλλὰ τὸν φίλον πληροφοροῦντος τῆς ἀξιώσεως τὴν τελείωσιν.

506.

ad episcopum quendam?

K-D 263 [Cre], Cre 7 [H]

Μὴ ὡς ἑνὸς τοῦ λευκοσκάρου καταφρόνησον, τιμιώτατε δέσποτα, ἀλλ' ὅτι παρὰ τὸν καιρὸν καὶ τοῖς Πολίταις ἡμῖν σπανιώτατος, ἀπόδεξαι εὐμενῶς. Καὶ ἀρχὴν φιλίας καὶ κοινῆς συνεστιάσεως τοῦτον καὶ λόγισαι, καὶ ὑπόδεξαι· ὥσπερ γὰρ καὶ ἁπλούστατόν τι χρῆμα φιλία, οὕτω δεῖ ταύτην εὐώνως καὶ ἁπλῶς 5 συγκαταλλάττειν. Καὶ δεῖ ὡς ἀληθῶς τοὺς διὰ τῆς ἀγαπητικῆς διαθέσεως συναπτομένους μὴ μεγάλας ποιεῖσθαι τῆς συναφείας ἀρχάς, ἵνα μὴ ἀποπληρώσαντες ἐκείνων, καὶ τὴν ἀγάπην διαλύσωμεν, ἀλλ' εὐτελεῖς καὶ μικράς, ἵν' ἔχωμεν ἀεί τε τούτοις χρῆσθαι, καὶ διὰ τούτων τὴν φιλίαν ἐπικρατύνειν, ἵνα καί ταύτας 10 ἴσως μὴ ἔχοντες, τοῖς κοινοτέροις καὶ συνήθεσι πρὸς ἀλλήλους χρώμεθα: ἀσπασμῷ, προσαγορεύσει, νεύματι, καὶ χαρίεντι γέλωτι.

Ὁρᾷς δὲ καὶ τὴν ψῆφον; λευκὴ τῷ ὄντι καὶ φερώνυμος τοῦ φιλικοῦ χρώματος. Καὶ ὁ σκάρος οὐκ ἀηδὲς σύμβολον· λαλίστατος 15 γὰρ ὁ ἰχθύς, καὶ κῆρυξ τῆς ἡμετέρας φιλίας καὶ διαθέσεως.

14 τὴν – ὄντι: cf. proverbium λευκὴ ψῆφος: ἐπὶ τῶν εὐδαιμόνως βιούντων, CPG I 271 (nr. 9) et II 185 (nr. 57) et 503 (nr. 62) ‖ **15–16** ὁ – ἰχθύς: cf. Psel. Συλλογαὶ διάφοροι καὶ ποικίλαι = Phil. min. II 13 (56,22–24) καὶ οἱ σκάροι φωνεῖν δοκοῦσιν, ὅτι τῷ στόματι ὕδωρ δεχόμενοι ἐξωθοῦσιν αὐτὸ μετὰ ῥοίζων καὶ ἦχον ἀποτελοῦσιν, οὐ μὴν δὲ καὶ ἐν τῷ βάθει cum Ioann. Philop. In De an. 378,18–22 et II 81,4

22 τούτου (scil. τοῦ γράμματος) scripsi: τοῦτο H Cre K-D ‖ **ep. 506** H 44r; tit.: ⟨μητροπολίτῃ τινι?⟩ K-D ‖ **5** δεῖ K-D: δὴ H Cre | ἀώνως Cre

507. ⟨Μοναχῷ τινι⟩

K-D 267 [Cre], Cre 13 [H]

Ὡς ἡδέα τῷ λάρυγγί μου τὰ λόγιά σου, τιμιώτατε πάτερ, ὑπὲρ μέλι τῷ στόματί μου· ὁ σὸς γὰρ λόγος ἐμοί, ὡς ὑετὸς πρώϊμός τε καὶ ὄψιμος ἠρέμα χεόμενος, καὶ εἰς τὰ βάθη τῆς ψυχῆς μου δυόμενος, καὶ πρὸς καρπογονίαν ἐγείρων τὴν τῆς διανοίας μου
5 αὔλακα.

Ὥσπερ δὲ ἀπλήστως ἔχω τοῦ κατὰ πρόσωπον ὁμιλεῖν σοι, οὕτω καὶ τοῦ γράμμασιν ἐντυγχάνειν σοῖς· ἡ γὰρ πνευματικὴ ὁμιλία τροφὴ γίνεται τῇ ψυχῇ (εἰπεῖν δὲ καὶ τρυφή)· καὶ ὁμοῦ τήν τε νοητὴν αὔξησιν δέχεται, καὶ κατατρυφᾷ τῆς θείας καὶ ἀληθοῦς
10 γνώσεως. Ἐγὼ γάρ, πάτερ πνευματικέ, τῆς ἐπὶ πᾶσι διδασκαλίας ἀξιωθείς, οὐ τοῖς ἡμετέροις μόνον καὶ πνευματικωτέροις ἐντυγχάνω λόγοις, ἀλλ' ἔστιν ὅτε καὶ τὴν θύραθεν σοφίαν διαχειρίζομαι, τὸ μὲν ἐξηγητὴς ταύτης τοῖς παιδευομένοις γινόμενος, τὸ δὲ καὶ συνεργὸν ἔστιν ὅτε ταύτην λαμβάνων πρὸς τὴν ἡμετέραν
15 φιλοσοφίαν. Συγκρίνων δὲ τὰ ἡμέτερα καὶ θεοπαράδοτα τῷ ὄντι λόγια παρὰ τὴν Ἑλληνικὴν ἀπειροκαλίαν, τὰ μὲν ἀπεικάζω πηγῇ καθαρᾷ καὶ διειδεστάτῃ, κάτωθεν ἀναβλυζούσῃ καὶ τὴν διψῶσαν ψυχὴν ἠρέμα ἐμφορούσῃ τοῦ νάματος, τὰ δὲ ὕδατι

1–2 ὡς ἡδέα – στόματί μου: Ps. 118,103 ὡς γλυκέα τῷ λάρυγγί μου τὰ λόγιά σου, ὑπὲρ μέλι καὶ κηρίον τῷ στόματί μου, cf. Psel. Εἰς τὸ 'πῦρ ἦλθον βαλεῖν …' = Theol. I 77,114–115 ‖ **2–3** ὡς – ὄψιμος: Deut. 11,14 καὶ δώσει τὸν ὑετὸν τῇ γῇ σου καθ' ὥραν πρόιμον καὶ ὄψιμον cum Osee 6,3, Ioel 2,23, Zach. 10,1, et Ier. 5,24; cf. Psel. Ἐξήγησις εἰς τὸν θεολογικὸν δεύτερον λόγον … = Theol. I 103,102 et Π 298,44 et Π 513,9 ‖ **18–19** ὕδατι – ἁλμυρῷ: cf. Herod. 7,35 ὡς ἐόντι καὶ θολερῷ καὶ ἁλμυρῷ ποταμῷ. cf. Π 13a,2-3 et Π 13b,3 **15–20** συγκρίνων – κατασύροντι: cf. Greg. Naz. Εἰς τοὺς λόγους, καὶ εἰς τὸν ἐξισωτὴν Ἰουλιανόν = Or. 19,1 μέχρις ἂν τοῖς ποτίμοις τῶν λόγων τοὺς ἁλμυροὺς ἀποκλύσωμαι cum Plat. Φαῖδρος 243d4–5 ἐπιθυμῶ ποτίμῳ λόγῳ οἷον ἁλμυρὰν ἀκοὴν ἀποκλύσασθαι et Psel. Κατηγορία τοῦ ἀρχιερέως = Or. for. 1,21–22, Βίος καὶ πολιτεία … Αὐξεντίου … = Or. hag. 1c,69–71, Ὀνειδίζει τοὺς μαθητὰς ἀμελοῦντας = Or. min. 24,108–110, Ἀλληγορία τοῦ 'οἱ δὲ θεοὶ πὰρ Ζηνὶ …' = Phil. min. I 42,12–13, Περὶ τῆς χρυσῆς ἁλύσεως = Phil. min. I 46,12–13, Λόγος ἀλληγορῶν τὴν τοῦ Διὸς γένεσιν … = Phil. min. I 47,10–12, Περὶ ψυχῆς = Phil. min. II 11 (22,2–4), Ἐκ τοῦ Εἰς τὰ φῶτα δευτέρου λόγου, εἰς τὸ 'οἶδα καὶ πῦρ …' = Theol. I 70,194–195, et Π 13a,1–3

ep. 507 H 45r–46r; tit. K-D

ἐξομοιῶ θολερῷ καὶ ἀπότῳ καὶ ἁλμυρῷ, σφοδρῶς ῥέοντι καὶ τὸν νοῦν κατασύροντι. 20

Ἀλλ' ὅ γε σὸς λόγος ἐκ τοῦ πρώτου κρατῆρος ἐστί. Διὰ τοῦτο βραχὺς μέν, ἀλλὰ πότιμος, καὶ οὐ περιρρέων ταῖς λέξεσιν, ἀλλὰ καταγλυκαίνων τοῖς ἐνθυμήμασιν, ἐοικὼς τῇ θείᾳ σταγόνι τῇ κοιλαινούσῃ τὴν πέτραν· ἴσως γὰρ καὶ τὴν ἐμὴν λιθώδη ψυχήν, συνεχῶς ἐπιρρέων, κοιλανεῖ ποτε καὶ εἰς ὑποδοχὴν ἀπεργάσεται 25 τῆς κρείττονος χάριτος. Καὶ τοῦτο γάρ μοι ἀρέσκει τῆς σῆς, πάτερ, παιδαγωγίας, ὅτι μὴ βροντᾷς ἄνωθεν, ὥσπερ οἱ πολλοὶ ποιεῖν εἰώθασιν, μηδὲ ἐξ ὑπερεχούσης σοφίας τοὺς λόγους ποιεῖς, ἀλλ' ἐκ τοῦ ὑφειμένου διαλεγόμενος, λανθάνεις ἐμποιῶν ταῖς ταῖς ψυχαῖς τὴν ὠφέλειαν· καὶ γὰρ τῆς παραινέσεως ἄνευ καὶ τῆς 30 καλλίστης πρὸς ἀρετὴν ὑποθήκης αὐτὸ τοῦτο τὸ μετριοφρονεῖν ἐν ταῖς συμβουλαῖς, καὶ μὴ ὥσπερ νομοθετεῖν, ἀλλὰ ταπεινοφρονεῖν, μηδὲ ὑψηλολογεῖν, ἀλλὰ μετριάζειν, παρασκευή τις ἀρκοῦσα πρὸς ἀρετήν.

Εἰ μὲν οὖν ποτε τῆς ἐνταῦθα πέδης ἀπολυθείς, ἀετοῦ περιθῶ- 35 μαι πτέρυγας, καὶ πτερυξάμενος καταπαύσω πρὸς σε, ἕξω τὸ ποθούμενον, καὶ τοῦ ὀρεκτοῦ τεύξομαι· εἰ δὲ μὴ τῆς νεφέλης ἔσω γένωμαι, τὸ ὑψηλὸν ἀναβὰς ὄρος, ἀλλά γε, περὶ τοὺς πρόποδας

δύο τὰς φιλοσοφίας ὁ τῆς ἀληθείας λόγος ἐπίσταται, οὐρανὸν μερισάμενος καὶ γῆν· ἡ μὲν γὰρ κάτωθεν ἀναβλύζει θολερῷ τινι καὶ ἁλμυρῷ ῥεύματι, ἡ δὲ ἄνωθεν ἐπιχεῖται ποτίμῳ τῷ ῥείθρῳ et Π 202,25 ἀλλὰ τὸ διαυγάζον ἴσως ἀγαπήσας τοῦ νάματος, τὴν ἅλμην ἀπεκλυσάμην. cf. etiam Π 13b,1–4, Π 97,19, et Duffy 2001

23–24 τῇ[1] – πέτραν: cf. CPG II 632–633 (nr. 19) ῥανὶς ἐνδελεχοῦσα κοιλαίνει πέτραν cum Choeril. Sam. Fr. 11 (ed. Bernabé) πέτρην κοιλαίνει ῥανὶς ὕδατος ἐνδελεχείῃ. cf. etiam Psel. Κανὼν κατὰ τοῦ Ἰακώβου = Poem. 22,86, Ὑπὲρ τοῦ νομοφύλακος κατὰ τοῦ Ὀφρυδᾶ = Or. for. 3,223–225, et Π 10,17–18, et Π 296,14–15 ‖ **35–36** ἀετοῦ – καταπαύσω: Ps. 54,7 τίς δώσει μοι πτέρυγας ὡσεὶ περιστερᾶς καὶ πετασθήσομαι καὶ καταπαύσω; cum Ier. 30,16 ἰδοὺ ὥσπερ ἀετὸς ὄψεται καὶ ἐκτενεῖ τὰς πτέρυγας. cf. etiam Π 149,29–30 et Π 246,14 **37–40** τῆς – σάλπιγγος: Exod. 19,16–17 καὶ ἐγίνοντο φωναὶ καὶ ἀστραπαὶ καὶ νεφέλη γνοφώδης ἐπ' ὄρους Σινα, φωνὴ τῆς σάλπιγγος ἤχει μέγα ... καὶ παρέστησαν ὑπὸ τὸ ὄρος et 24,18 καὶ εἰσῆλθεν Μωυσῆς εἰς τὸ μέσον τῆς νεφέλης καὶ ἀνέβη εἰς τὸ ὄρος. cf. etiam Π 16,5–7, Π 202,155–164, et Π 275,70–72

25 ἀπεργάσεται H corr. Diam 304: ἀπεργάζεται Cre K-D ‖ **27** οἱ man. rec. suprascr. H Cre: om. K-D

ἑστηκώς, ἀκούσομαι ἴσως τῶν θείων φωνῶν, καὶ τῆς ἱερᾶς
40 σάλπιγγος· ἧς μὴ φθονήσῃς ἡμῖν, μηδ' ἅπαξ, ἀλλὰ πολλάκις τὰς
σὰς τοῖς ποθοῦσι χαρίζου φωνάς.

508.
10.III, a.? post a. 1068? post Aug. a. 1071?

K-D 268 [Cre], Cre 14 [H]

Καὶ προέγνωκα, καὶ προείρηκα, ἰσόψυχε, ἢ μᾶλλον ὑπὲρ αὐτὴν
ψυχὴν ἠγαπημένε ἀδελφέ, ὅτι σου ὁ τοῦ κουροπαλάτου θάνατος
μέσης ἅψεται τῆς καρδίας, ὥσπερ δὴ καὶ τὴν ἐμὴν ἄχρι βάθους
διέρρηξε. Καὶ εἰκὸς διαθορυβηθῆναί σε, ἀπαράσκευόν τε ὄντα τὴν
5 ψυχήν, καὶ πολλοῖς περιειλημμένον κακοῖς.

Ἀλλὰ τὸ μὲν γέγονέ τε καὶ οὐκ ἄλλως ἔσται, τοῦτο δέ με
παραμυθεῖται, ὅτι πρὸς τῷ τέλει γενόμενος ὁ ἀνήρ, μετανοίας τε
ἀφῆκε δάκρυον, καὶ τὸ σχῆμα τοῦ βίου μετέβαλε, καὶ ἐπὶ καλαῖς
ἀπῆλθεν ἐλπίσιν, οὔπω τῶν τοῦ βίου μετειληφὼς δυσχερῶν.
10 Ἀποδέχομαι δὲ καί τινα τῶν σοφῶν ἐπὶ πολλοῖς ἐπαινοῦντα τὸν
Μακεδόνα Ἀλέξανδρον, καὶ θαυμάζοντα μάλιστα, ὅτι τριακοντού-
της τετελευτήκοι, ἐπ' αὐτῷ τῷ ἄνθει τῆς ἡλικίας, ἐπ' αὐτῇ τῇ τῆς
εὐτυχίας ἀκμῇ, μεταβολῆς οὐ πεπειραμένος.

Ἐπεὶ οὖν ἀμφοτέρων ἡμῶν τὸ τῆς κοινῆς φιλίας κεφάλαιον
15 ἀπελήλυθε, ἀντιπερισχῶμεν μᾶλλον ἀλλήλους ἔλλειμμα μέτρου
φιλονείκου, ὡς αὐτῷ τε σοι ἐγὼ ἀντιμαρτυρήσαιμι, καὶ σὺ
ἀντιμαρτυρήσεις ἐμοί. Ἀλλ' «ἄμετρά» φασι «τὰ καλά», καὶ μὴ
περιλαμβανόμενα πέρατι. Ἔστω οὖν καὶ τοῦ ἡμῖν δοκοῦντος
ἀπείρου ἄπειρόν τε καὶ μακρότερον. Ἀλλὰ περὶ τούτου σοι ἐπιμε-

1 ἰσόψυχε: Ps. 54,14 ἄνθρωπε ἰσόψυχε. cf. Psel. Λόγος εἰς τὴν σταύρωσιν = Or. hag. 3a,794, Π 53,26, Π 92,1, Π 100,1, Π 163,1, Π 209,1–2, Π 304,2, Π 462,2, Π 494,1, Π 551,1, et Π 553,1 ‖ **2** ὁ – κουροπαλάτου: Leon Iasites († post Aug. 1071? cf. Π XXIII) vel Ioannes Maleses (cf. De Vries-Van der Velden 1996,144)? ‖ **10–13** καί – πεπειραμένος: fontem non inveni ‖ **17** ἄμετρά – καλά: fontem non inveni; sed cf. Herm. In Phaedr. 200,27–28 ἐπειδὴ ἡ κακία ἀόριστός ἐστι καὶ ἄπειρος, τὰ δὲ καλὰ ἐν μέτρῳ ἐστὶ καὶ πέρατι

41 χαρίζου corr. K-D (Maas): χαρίζουσι H Cre ‖ **ep. 508** H 46r–v **12** τετελευτήκοι corr. K-D: ἐτετελευτήκοι H Cre ‖ **14** ἀμφοτέρων ἡμῖν Cre ἀμφοτέροιν ἡμῖν corr. K-D

λέστερον, ὀφθέντι μοι, διαλέξομαι· μέλει γάρ μοι περὶ τῶν τοῦ 20
βεστάρχου παιδίων.

Τὸ δὲ νῦν ἔχον ἐπάνηκε ἡμῖν οὕτω προστεταγμένος· ἐπάνηκε χαίρων χαίρουσι, (πῶς ἂν εἴποιμι;) σφόδρα, σφοδρῶς. Οὐκ οἶδα δὲ εἰ ἐφέξω τὸ τῆς χαρᾶς δάκρυον, ὃ δὴ καὶ νῦν μοι πλούσιον τῶν ὀφθαλμῶν καταρρεῖ. Ἐπάνηκε πρὸς τὸν σοὶ μόνῳ ὑπέρτιμον, οὐκ 25 οἶδα δὲ εἰ καὶ ἄλλῳ τῷ, καίτοι γε πολλὰς τοῦ οὕτω ὑπειλῆφθαι διδοὺς ἀφορμάς. Ἀλλὰ «χαλεπὰ τὰ καλά» φασιν οἱ παροιμιαζόμενοι· τῷ γοῦν φιλανθρώπῳ ἡμῶν βασιλεῖ, τέως καὶ ὑπέρτιμοι, καὶ περὶ πλείστου λόγου, ἢ παντός.

Ἀλλὰ πότε ἐπανήξειας; Εἰ μὲν ἑσπέρᾳ ᾖ (γράφω τὸ γράμμα 30 ἡμέρᾳ, ἔστι δὲ μάρτιος, δεκάτη), καὶ τοῦτο μακρὸν ἐμοὶ τὸ διάστημα· εἰ δὲ τὴν αὔριον, ἢ τὴν ἐφεξῆς, ἢ τὴν μετ' ἐκείνην, πῶς οἴσω τὴν ἀναβολήν; εἰ δ' οὐδὲ τὴν κατ' εὐθεῖαν πρὸς ἡμᾶς, ἀλλὰ τὴν ἀπὸ τοῦ στρατοπέδου ἴσως, ἀλγεινὸν καὶ λέγειν καὶ ἐνθυμεῖσθαι, ὥς σε περιχαίνω ἰδεῖν, καὶ ἀκοῦσαι λαλοῦντος, καὶ πολλὰ 35 καὶ πολλάκις περιπτύξασθαι, καὶ πᾶσαν ἡμέραν, καὶ ἑβδομάδας πολλάς, καὶ μῆνας πλείους, καὶ δι' ὅλων ἐτῶν, ὦ καλλίστη ψυχή, βέλτιον ἦθος, εὐγενεστάτη προαίρεσις, τοῦ γένους τὸ καύχημα.

509.

K-D 269 [Cre], Cre 15 [H]

Διὰ πολλοῦ μὲν χρόνου ἐπιστέλλεις ἡμῖν, ὁσιώτατε ἀδελφέ. Ἐχρῆν δὲ οὐχ οὕτως φιλίαν ὁμολογῆσαι ἐνδιάθετον καὶ ἀληθινήν, ἀλλ' ἡμεῖς καὶ τὴν ἐκ διαστημάτων ὁμιλίαν σου ἀποχρῶσαν εἰς λόγον φιλίας λογιζόμεθα.

20–21 μέλει – παιδίων: cf. Π 128,29 τῶν τοῦ βεστάρχου παιδίων ‖ **27** χαλεπὰ – καλά: proverbium; CPG I 172 (nr. 38) et 462 (nr. 22) et II 89 (nr. 30) et 717 (nr. 7) cum Karath. 66. cf. Psel. Χρονογραφία VI,74 et Π 161,3 et Π 107,12 **28** τῷ – βασιλεῖ: Romanus IV Diogenes (imperator: 1.I.1068 – a. 1071) (Π XIV) vel Michael VII Ducas (imperator: IX.1071 – 31.III.1078) (Π XIX)?

20 μέλει corr. K-D: μέλλει H Cre ‖ **28** ἡμῶν : ἡμεῖς corr. K-D ‖ **31** δεκάτη scripsi: δεκάτ H δέκατος Cre K-D ‖ **38** εὐγενέστατε Cre ‖ **ep. 509** H 46v; tit.: ⟨τῷ Εὐχαΐτων?⟩ K-D ‖ **2** ἐνδιάθετον H dubitanter prop. K-D (in app. crit.): εὐδιάθετον Cre K-D

5 Εἰ μὲν οὖν βούλει, ἄμειψον τὸν καιρόν, καὶ χρῶ τῇ ἀρχαίᾳ σου πρὸς ἡμᾶς διαθέσει· εἰ δ’ οὖν, ἀλλὰ μὴ μηκύνῃς τὰ διαστήματα. Ἡμεῖς δὲ πολλάκις ἄν σοι ἐπεστέλλομεν, εἰ γραμματοφόροις ἐνετυγχάνομεν. Καιρὸς δὲ ἡμῖν ὁμιλίας τῆς πρὸς σέ, ὁπόταν γράμμα δεξώμεθα σόν· τότε γὰρ ὥσπερ ἐρωτώμενοι ἀποκρινό-
10 μεθα. Τοιγαροῦν συνεχῶς μὲν ὁμιλοῦντί σοι, συνεχῶς ὁμιλοῦμεν· σιωπῶντι δέ σοι, σιγῶμεν καὶ αὐτοί· ἐκ διαστημάτων δὲ μακρῶν ἐπιστέλλοντι, ἐκ μακρῶν διαστημάτων ἀντεπιστέλλομεν καὶ αὐτοί.

Τὰ δὲ χαλκᾶ σκεύη τῆς τιμιότητός σου ἀπελάβομεν.

510.

Malt² a [O], Malt 14 [B, Ag¹], Ag¹ 2 [B]

Ἐγὼ μέν, ἀδελφέ, οὐ τάχ’ ἂν καταγνοίην τῶν μὴ ἀνεγκλήτων ἐμοί, ἢ οἷς οὐκ ἄν τι ἔχοιμι ἐγκαλεῖν· οὐ γὰρ εἴ τις ἐμοὶ πολλὴν μὲν ποιεῖται τὴν συνουσίαν πολλοῖς δὲ γράμμασι πόρρωθεν ὁμιλεῖ, οὗτος ἐν τοῖς ἀνευθύνοις εὐθύ[νοιτο ca. 10 litt.]· ὥσπερ οὐδ’
5 εἴ τις ἐκ τοῦ ἐναντίου ἀσύντακτός ἐστι τὰ πολλὰ ἐμοὶ καὶ ἀπρόσιτος, ἀφιλίαν, ἐγκεκλημ[.....] σοι [ca. 60 litt.] φίλον καὶ ἀνυπόκριτον καὶ οὔθ’ αἱ πολλαὶ τῶν [ca. 30/35 litt.] καταναγκάζουσιν οὔθ’ ὅσας [ca. 30/35 litt.]ελαύνεται· ὥσπερ γὰρ περισσὸν εἰς τὸ αὐτὸ τίς πρᾶγμα [ca. 30/35 litt.] ἄτοπον ἢ εἰς
10 πολλάκις θατέρᾳ χρῷτο τῶν ἀποδείξεων, οὕτως [ca. 15 litt.] λογίζεσθαι μάταιον ἐμοὶ σπούδασμα. Σὺ δέ μοι καὶ συχνὰ τὸ ἀκριβὲς τῆς φιλίας [ca. 10/12 litt.] οὐ δεῖ τὸ ἐκτετυπωμένον ἐκσφράγισμα, αὖθις τῇ αὐτῇ σφραγίδι ἐξεικόνιζε [ca. 10 litt.].

ep. 510 O 485v–486r (des. mut.), B 146v (des. mut.); tit.: ἐπιστολαί O om. Malt² εἰς τὸν αὐτόν (= τινα πατέρα πνευματικόν) B Ag¹ Malt ‖ **2** post ἔχοιμι des. B Ag¹ Malt ‖ **4** εὐθύνοιτο scripsi: εὐθὺ[.. ο̣λ̣ … τ̣ … τ̣ ..] Malt² **6** ἐγκεκλημ[…] – φίλον: …….. [ca. 15 litt.] .. ι̣ ……. άζειν . ου .. ου . τ̣ …… γ.λ ………. [ca. 15 litt.] … ν̣ … χ . Malt² ‖ **7** ἀνυπόκριτον : ἀνυ .. τ̣ό .. ο̣ν̣ Malt² | ….. [ca. 15 litt.] …. π …. post τῶν Malt² ‖ **8** πατρ̣ …. τ̣ι̣ .. α̣μ̣ε̣ν̣ο̣ς. τ̣ὸ … ο̣ν̣ [ca. 15 litt.] … μ̣ο̣ι̣ … post ὅσας Malt² ‖ **9** τίς πρᾶγμα : τ̣ι̣ . . π̣ρ̣α̣γ .μ̣α̣ Malt² .. [ca. 12 litt.] ………. post πρᾶγμα Malt² ‖ **10** . . τ . . [ca. 9 litt.] … χ . . post οὕτως Malt² ‖ **12** [ca. 8 litt.] . . ς post φιλίας Malt²

511.

Malt[2] b [O]

Οὐχ ἴσον ἐμοὶ καταφαίνεται, ἀδελφὲ φίλτατε, εἴ τινες φίλοι σὺν ἀλλήλοις εἶεν [ca. 20 litt.]· οὐ γὰρ οὕτως ἐκεῖνο ἡδύ, ὡς τοῦτο βαρύ. Νὴ τὴν ἱεράν σου ψυχήν! νῦν ἔγνω ὁπό[ca. 15/20 litt.]μην σοι, καὶ ὡς διὰ πάσης ἐληλύθειν σου τῆς ψυχῆς, καὶ ὥσπερ συμπλακεὶς εἶτ᾽ ἀντι[ca. 15/20 litt.] τὴν ἀλλοτρίωσιν, δοκεῖ δέ μοι 5 φιλοσοφία λέγειν οὐδέν· φαντασιούμενος γάρ σε, μᾶλλον [ca. 15/20 litt.]· ἀπὸ γὰρ τῆς εἰδωλικῆς ἀναθεωρήσεως, μετρῶ τὴν ἀληθινὴν ἀνατύπωσιν. Τοῦτό μοι μᾶλλον [ca. 15 litt.]. Ἀλλὰ «τύχοιμι» κατὰ τὴν τραγῳδίαν ὧνπερ ἐρῶ καὶ «ὅσων ἐρῶ».

512. ⟨Μοναχῷ τινι (?)⟩

Malt[2] d [O], Malt 14 [B, Ag[1]], Ag[1] 2 [B]

Δέδοικα, τιμιώτατε καὶ πνευματικὲ πάτερ, μὴ τοὐναντίον οἷς γεγράφηκας παντάπασιν ἢ κἀγώ σου μᾶλλον τῶν ἡλιακῶν [ca. 8 litt.] ἀντανακλάσεων. Ἐμοὶ δὲ ποία θεόσδοτος χάρις, ἢ τίς πνευματικὴ ἔλλαμψις, ἢ ποία πρὸς τὸ κρεῖττον ἀναγωγὴ [ca. 10 litt.]οντι καὶ διεφθαρμένῳ ταῖς τῆς σαρκὸς ἐπιθυμίαις τυγχάνοντι; 5 Ἀλλ᾽ εἰ μὲν σκότους παραπολαύσει ὁ ἥλιος ὥσπερ [ca. 10 litt.], τῶν ἐμῶν αὐτὸς μετέσχηκας μολυσμῶν τοῖς ἀντιπεμπομένοις ἀναχωννύμενος γράμμασιν· εἰ δὲ τ[ca. 9 litt.] τῶν ἀστ[έρων] τῶν

511,9 τύχοιμι – ἐρῶ[2]: Eurip. Μήδεια 688 καὶ τύχοις ὅσων ἐρᾷς. cf. Psel. Εἰς τὸν αὐτοῦ ἔκγονον ἔτι νήπιον ὄντα = Or. min. 38,105

ep. 511 O 486r ‖ **511,2** .... [ca. 4 litt.] . λήλ . γι ...... post εἶεν Malt[2] **3** ὁπό[...]μην: ὀπ .... λ .... μ̣η̣ν̣ Malt[2] ‖ **5** ε̣ἶ̣τ̣α̣ ...... βι ...... post συμπλακεὶς Malt[2] ‖ **6** σε μᾶλλον : σε ... μᾶλλον Malt[2] ‖ **8** μ̣ .... ν ...... post μᾶλλον Malt[2] ‖ **ep. 512** O 486r–v, B 147r (inc. mut.); tit. scripsi ‖ **2** ἦ dubitanter prop. Malt[2] (in app. crit.) ‖ **6** παραπολαύσει – ὥσπερ : προαπολαύ ... ἡλι .. περ Malt[2] ‖ **8** ἀναχωννύμενος corr. Malt[2]: ἀναχοννύμενος O | εἰ scripsi: ὁ O Malt[2] | δὲ – ἀστ[έρων]: δὲ τ . ἀλογ ... τη τῆς .... Malt[2]

ὑπερκειμένων μετέχει φώτων, ἐγώ σοι τῆς ἀκηράτου μετέσχον
10 λαμπρότητος.

Κάλλος δὲ ὅ τι λέγῃς γραμμάτων [ca. 10/12 litt.] ψυχῆς ἦθος ἐν αὐτοῖς ἐμφαινόμενον. Εἰ μὲν τὸ κατεστιλβωμένον λέγεις τῶν λέξεων καὶ χαμαὶ κείμενον καὶ συρόμενον καὶ καταρραπίζον τὴν ἔξωθεν ἀκοὴν καὶ διασεῖον ὦτα καὶ ἐν αὐτοῖς θυραυλοῦν, μὴ ῥέον
15 δὲ εἰς ψυχὴν μηδὲ λεαῖνον καρδίαν, ποία φιλοθέοις γνώμαις περὶ τὸ ἀττικίζειν τὴν ἐμὴν γλῶτταν ὠφέλεια; Εἰ δὲ τὸ οἴκοθεν βλύζον τὴν ἀρδείαν τοῦ πνεύμ[ατος], ἀλλὰ τοῦτο μὴ παρ᾽ ἐμοί, παρὰ δὲ σεαυτῷ διορύττων εὑρήσεις.

Τὸ δὲ ἦθος ὅτι μὲν ποιότης ἐστὶ τοῦ ἀλ[όγου] τῆς ψυχῆς
20 μέρους (οὕτω δὴ περὶ τοῦ ἤθους παρὰ γραμματικῶν ἐπίσταμαι

9–10 τῆς – λαμπρότητος: cf. Psel. Εἰς τὸ τροπάριον τοῦ κανόνος τῆς Μεταμορφώσεως … = Theol. I 11,48–50 ἄγγελοι … φῶτα ἴσως δεχόμενοι καθαρὰ καὶ ἀρρήτους αἴγλας καὶ ἀκηράτους λαμπρότητας et Π 186,36 **12–13** τὸ – λέξεων: cf. Greg. Nys. Ἀντιρρητικὸς κατὰ Εὐνομίου 1,1,482 τὰ ἄνθη τῆς ἀρχαίας Ἀτθίδος, ὡς ἐπαστράπτει τῇ συντάξει τοῦ λόγου τὸ λεῖον καὶ κατεστιλβωμένον τῆς λέξεως, ὡς γλαφυρῶς καὶ ποικίλως τῇ ὥρᾳ τοῦ λόγου περιανθίζεται cum Psel. Εἰς τὸ θεολογικὸν τὸ 'ταῦτα τοῖς αἰνιγματισταῖς …' = Theol. I 16,87–88 τὸ κάλλος τῆς ἀρχαίας Ἀτθίδος, τὸ κατεστιλβωμένον καὶ λεῖον τῆς ἑρμηνείας ‖ **13–15** καταρραπίζον – καρδίαν: Synes. Cyren. Περὶ βασιλείας 29,27–28 θυραυλήσουσιν οἱ λόγοι περὶ τὰ ὦτα. cf. Psel. Χρονογραφία VII,171 (=VIIc7), Κατηγορία τοῦ ἀρχιερέως = Or. for. 1,1081–1083, Ἐγκώμιον εἰς τὸν … Ἰωάννην τὸν Κρουστουλᾶν ἀναγνόντα ἐν τῇ Ἁγίᾳ Σορῷ = Or. min. 37,285–286, Εἰς τὸ 'τὸ γὰρ ἦν καὶ ἔσται …' = Theol. I 87,84–85, et Π 208,62–64, Π 256,15–16, et Π 268,49–51 ‖ **17** τὴν – πνεύματος: cf. Psel. Εἰς τὸ 'καὶ ἡμῖν μὲν βρωθήσεται …' = Theol. I 99,106–108 τοῖς θείοις αὐλῶσι, δι᾽ ὧν ἡ ἀρδεία τοῦ πνεύματος τοῖς τῆς ψυχῆς παραπέμπεται μέρεσι. cf. etiam Λόγος σχεδιασθεὶς πρὸς Πόθον βεστάρχην … περὶ τοῦ θεολογικοῦ χαρακτῆρος 4 ὁ μέγας ἐκεῖνος ἀνήρ, ὥσπερ τὰς τῆς φιλοσοφίας ἀρχὰς ἄνωθεν εἴληφε … ἀπὸ τῆς ἑνιαίας πηγῆς τοὺς τῆς γνώσεως αὐτῷ ἀπομερισάμενος ὀχετούς ‖ **19–20** τὸ δὲ ἦθος – μέρους: cf. Arist. Ἠθικὰ Εὐδήμια 1220b5–6 cum e.g. Plut. Περὶ ἠθικῆς ἀρετῆς 443c6 et Psel. Omn. Doctr. 81 ἦθος ἐστὶ ποιότης τοῦ ἀλόγου μέρους τῆς ψυχῆς, ὅταν ὑπὸ τοῦ λόγου κοσμῆται καὶ οἷον ποιότητα ἤθους λαμβάνῃ

9 ἀκηράτου : ἀνοράτου Malt² ‖ **12** ἐμφαινόμενον : φαινόμενον Malt² **13** καταρραπίζον dubitanter prop. Malt² (in app. crit.): κατα[...]πίζων O **14** διασεῖον corr. Malt²: διασείων O ‖ **17** πνεύματος suppl. Malt² | τοῦτο corr. Malt²: τούτω O ‖ **18** διορύττων corr. Malt²: διορύττον O ‖ **19** ἀλόγου suppl. Malt²

τοῖς ἐξωτερικοῖς ἠθικοῖς ἐντυχών), οὐ μέ[ντ]οι γε καὶ διαπεπραγμάτευται περὶ ταῦτα. Ἀλλὰ διπλόης οὔσης ἡμῖν τῆς κρυφιωτέρας ἐν τῇ ψυχῇ (τοῦ ἀλό[γου] φημὶ καὶ τοῦ λογικοῦ), οὐ μόνον οὐδέν μοι τὸ παθητικὸν μέρος τῆς ψυχῆς καὶ πλ[ανητὸν] καὶ ἀνάρμοστον ἁρμον[ικὸν] παρὰ τῆς λογικωτέρας οὐσίας τετύχηκεν, ἀλλὰ 25 καὶ τὸ κρεῖττον παραπολαύει τοῦ χείρονος.

[Ἄτυφ]ον δὴ [lacuna ca. 2.5 linearum] εἰ μή που λέγεις ἀττικισμὸν [ca. 30/35 litt.] διὰ τὴν τῆς ἀγάπης ὑπερβολήν, οὐ λελόγισται τὸ κακόν. [ca. 20/25 litt.] ὑποκείμενον, πρὸς τὴν σὴν φωνήν, ὁπόσον εἰκὸς ἀντηχήσομεν προστη[ca. 10 litt.] σοῦ καὶ τῶν σῶν 30 [ca. 10 litt.]γμασι ἀκαίροις, τὰ μὲν συναγορεύοντες, τὰ δὲ καὶ λυσιτελῶς ὑμῖν ἑρμηνεύοντες· [ca. 10/12 litt. ... μεγ]ίστῳ ἡμῶν βασιλεῖ, ἐν εὐθέτοις καιροῖς ἐπιστωμυλευόμενοι, καὶ συνησθείημεν τοῦ γε ἕνεκα ῥητορικώτεροι ὀφθῆναι, ἢ ὅπερ ἐσμὲν ἐν τοῖς καθ' ἡμᾶς πράγμασιν· ὡς δοῦλος καὶ τέκνον πνευματικὸν ἔγραψα. 35

24–25 τὸ – ἀνάρμοστον: cf. Psel. Εἰς τὸ εὐαγγελικὸν … 'γρηγορεῖτε, ὅτι οὐκ οἴδατε … = Theol. 101,53–55 γρηγορεῖ γὰρ ψυχή, ὁπότε ὁ νοῦς αὐτῆς, τοῦ θείου φωτὸς τὰς ἀκτῖνας δεχόμενος, τοῖς σκοτεινοῖς καὶ ἀναρμόστοις καὶ πλανητοῖς μὴ συμπεριφέρηται πάθεσιν cum Plut. Περὶ τῶν ὑπὸ τοῦ θείου βραδέως τιμωρουμένων 550d8–e2 ὅπως ὑπὸ θέας τῶν ἐν οὐρανῷ φερομένων καὶ θαύματος ἀσπάζεσθαι καὶ ἀγαπᾶν ἐθιζομένη τὸ εὔσχημον ἡ ψυχὴ καὶ τεταγμένον ἀπεχθάνηται τοῖς ἀναρμόστοις καὶ πλανητοῖς πάθεσι καὶ φεύγῃ τὸ εἰκῇ καὶ ὡς ἔτυχεν, ὡς κακίας καὶ πλημμελείας ἁπάσης γένεσιν

21 μέντοι suppl. Malt² ‖ **23** ἀλόγου suppl. Malt² ‖ **24** πλανητὸν supplevi (cf. app. sim.) ‖ **25** ἁρμονικὸν supplevi: om. Malt² ‖ **27** ἄτυφον supplevi: ....ον Malt² | ...τοῦ ἠθ ... [ca. 12 litt.] .... λλ ....ισ..μι[ca. 12 litt.]....... post δὴ Malt² ‖ **27–28** οντ .....ων..λλ. [ca. 10 litt.] ψυχῇ post ἀττικισμὸν Malt² ‖ **29** ..... ὧς ἔχω [ca. 10 litt.] post κακόν Malt² ‖ **30** ἀντηχήσομεν corr. Malt²: ἀντιχήσομεν O ‖ **32** λυσιτελῶς scripsi: λυσιτελοῦν O Malt² ἑρμηνεύοντες O dubitanter prop. Malt² (in app. crit.): ἑρ….οντες Malt² ..δ' αὖ καὶ [ca. 7 litt.] . post ἑρμηνεύοντες Malt² | μεγίστῳ prop. Malt² (in app. crit.) **33** συνησθείημεν corr. Malt²: συνηθείημεν O ‖ **34** ab τοῦ γε inc. B Ag¹ Malt τοῦ γε : τοῦδε Ag¹ | ῥητορι[ca. 8 litt.]φθῆναι O ‖ **35** ὡς δοῦλος scripsi: ὡς δοῦλον O Malt² [lac. ca. 8 litt.] B Ag¹ Malt

513.
ad episcopum quendam?

Malt 15 [B, Ag[1]], Ag[1] 3 [B]; cf. Malt[2] e [O]

Εἰ τοιοῦτον καρπὸν οὕτω[ς ὡρ]αῖον οὕτως γλυκὺν ἡ πέτρα ἡμῖν καρπογονεῖς, θεοτίμητε πάτερ καὶ δέσποτα, τάχ᾽ ἂν καὶ τὰ φρέατα γάλα λευκὸν ἀποβλύσειε, καὶ ἄκανθα μέλι χλωρόν. Ἐγὼ δὲ γευ[όμεν]ος τῶν ῥαγῶν ἀπεφηνάμην τὴν ὀπώραν ἀπὸ τῆς τοῦ
5 Εὐφράτου φυτείας γεγενῆσθαι, ὃς δὴ τὸ κάλλιστόν ἐστι μέρος τῶν ἀπὸ τῆς Ἐδὲμ ποταμῶν.

Γένοιτό σοι ἡ πέτρα, τιμιώτατε πάτερ, χωρίον ἐρίβωλον, καὶ ἄρουρα πίειρα, καὶ εὐυδρότατον πεδίον καὶ χαριέστατον· καὶ

1–3 τοιοῦτον – χλωρόν: cf. Ps. 80,17 ἐκ πέτρας μέλι ἐχόρτασεν αὐτούς, Greg. Naz. Epist. 10,11 πέτραι τε γάλα ναόντων καὶ μέλι κρῆναι, καὶ φυτὸν ἅπαν ἅμα ἠρέμοις κομάτω καρποῖς, et Ael. Arist. Πρὸς Πλάτωνα περὶ ῥητορικῆς 20,10–12 καὶ γὰρ αἱ Βάκχαι ἐπειδὰν ἔνθεοι γένωνται, ὅθεν οἱ ἄλλοι ἐκ τῶν φρεάτων οὐδὲ ὕδωρ δύνανται ὑδρεύεσθαι, ἐκεῖναι μέλι καὶ γάλα ἀρύονται **4–6** ἀπὸ – ποταμῶν: cf. Gen. 2,10 et 14 ποταμὸς δὲ ἐκπορεύεται ἐξ Εδεμ ποτίζειν τὸν παράδεισον· ἐκεῖθεν ἀφορίζεται εἰς τέσσαρας ἀρχάς … ὁ δὲ ποταμὸς ὁ τέταρτος, οὗτος Εὐφράτης. cf. Psel. Εἰς τὸ ‘πηγὴ δὲ ἀνέβαινεν …’ = Theol. II 24,9–27 ‖ **7–8** ἐρίβωλον – πίειρα: voces Homericae (cf. e.g. Hom. Il. 21,232 σκιάσῃ δ᾽ ἐρίβωλον ἄρουραν et 18,541 πίειραν ἄρουραν). cf Psel. Χρονογραφία VI,169 τὴν ἐρίβωλον γῆν καὶ πίειραν, Τὰ πρὸς Ὄλυμπον = Or. min. 36,42 ἐρίβωλος καὶ πίων ἡ ἄρουρα, et Π 402,12–13

ep. 513 O 486v, B 147r; tit.: om. O εἰς τὸν αὐτόν (= τινα πατέρα πνευματικόν) B Ag[1] Malt ‖ **1** οὕτως ὡραῖον suppl. Malt[2]: οὕτω[…]αῖον O οὕτω[ca. 7 litt.] B οὕτω[ca. 6 litt.] Malt οὕτ[ως……] Ag[1] ‖ **2** καρπογονεῖ corr. Malt Malt[2] θεοτίμητε : θεο[ca. 6 litt.] O | δέσποτα : δέ[ca. 5 litt.] O | τάχ᾽ ἂν corr. Malt[2]: τάχα ἂν O [ca. 7 litt.] B Ag[1] Malt ‖ **3** ἀποβλύσειε B Ag[1] Malt: ἀποβλήσειε O **4** γευ[όμεν]ος τῶν suppl. Malt Malt[2]: γευ[ca. 7 litt.]ῶν O γι [………] Ag[1] **5** γεγενῆσθαι – τὸ O Malt[2]: γεγενῆσθαι, ὃς δὴ τ[ὸ] B suppl. Malt γεγενήσθ[αι] ο[.δὲ.] Ag[1] γεγενήσθ[αι] ο[ὐδὲν] dubitanter prop. Ag[1] (in app. crit.) ‖ **5–6** ἐστι – ἀπὸ : [ca. 13 litt.]πὸ O ‖ **7** χωρίον O Malt[2]: χωρί[ον] B suppl. Malt χ[ωρίον] suppl. Ag[1] χ[ῶρα] suppl. Wei[1] 27 | ἐρίβωλος Wei[1] 27 **8** εὐυδρότατον B Ag[1] Malt: εὐυγρότατον O | πεδίον – χαριέστατον : [ca. 11 litt.]ριέστατον O

σταλάξοι ἐπ' αὐτὴν ἄνωθεν ὑετὸς πρώϊμος καὶ ὄψιμος, ἵνα ἔχῃς διὰ πασῶν τῶν ὡρῶν, αὐτός τε τρυφᾶν τὸν καρπὸν καὶ παρατρυ- 10
φᾶν, καὶ ἡμῖν μερίδα τίθεσθαι, οὐ τὴν ἀποχρῶσαν τοῖς ἀσκητικοῖς μέτροις ὑμῶν, ἀλλὰ τὴν ἀρκοῦσαν ἐμοί.

514. ⟨Μοναχῷ τινι (?)⟩

Malt 13 [B, Ag[1]], Ag[1] 1 [B]

Βουλοίμην ἄν, τιμιώτατε πάτερ, καὶ πάνυ μὲν οὖν, καὶ ἀγαπῴην ἂν (εἴ γε δυναίμην), μὴ τρέπεσθαι παρὰ τοῖς τρεπτοῖς πράγμασιν, ἀλλ' οἷόν τι κέντρον ἀκίνητον εἶναι παρὰ τὸν βιωτικὸν κύκλον κινούμενον. Νῦν δὲ ὥσπερ ἔνιοι τῶν ἀστέρων πλανῶμαι καὶ συμπεριάγομαι τῷ παντί· οὐ γὰρ ἁπλῆς εἰμι 5

9 ὑετὸς – ὄψιμος: Deut. 11,14 καὶ δώσει τὸν ὑετὸν τῇ γῇ σου καθ' ὥραν πρόιμον καὶ ὄψιμον cum Osee 6,3, Ioel 2,23, Zach. 10,1, et Ier. 5,24; cf. Psel. Ἐξήγησις εἰς τὸν θεολογικὸν δεύτερον λόγον … = Theol. I 103,102 et Π 298,44 et Π 507,2–3 ‖ **1–2** βουλοίμην ἄν … εἴ γε δυναίμην: cf. Synes. Cyren. Epist. 95,62–63 οὐδ' ἂν εἰ δυναίμην βουλοίμην, πάντως δὲ οὐδ' ἂν εἰ βουλοίμην δυναίμην. cf. etiam Psel. Χρονογραφία VI,171 οὐδ' εἰ πάνυ βουλοίμην, τοῦτο δυναίμην ἄν, Σελέντιον δημηγορηθὲν παρὰ βασιλέως κῦρ Μιχαὴλ τοῦ Δούκα = Or. min. 3,85 βουλοίμην μέν, εἴ γε δυναίμην, Ἑρμηνεία εἰς τὸ ῥητὸν τῆς Κλίμακος = Theol. I 30,7 οὔτε βουλοίμην εἰπεῖν, οὔτ' εἰ βουλοίμην, δυναίμην ἄν, Π 23,69 ὃ βουλοίμην, οὐ δῆτα δὴ καὶ δυναίμην, Π 30,1 βουλοίμην ἂν καὶ πάνυ βουλοίμην (εἴ γε δυναίμην), Π 79,15–16 βουλοίμην γὰρ (εἴ γε καὶ δυναίμην), Π 99,26 εἴ γε δυναίμην, βουλοίμην δέ, Π 111,19–20 οὔτε δυναίμην ἂν εἴ γε βουλοίμην, οὔτε βουλοίμην εἴ γε δυναίμην, Π 200,34–37 σὺ μὲν γὰρ καὶ βούλοιο ἅμα καὶ δύναιο· ἐγὼ δὲ βουλοίμην μὲν (καὶ μάρτυς ἐπὶ τῷ λόγῳ θεός), δυναίμην δ' οὐ πάνυ, ἀλλ' ἔλαττον ἢ βουλοίμην· εἰ δὲ γενναίως βουλοίμην, πάντως δ' ἂν καὶ δυναίμην, et Π 292,5–6 βουλοίμην ἂν (εἴ γε καὶ δυναίμην) ‖ **5–6** οὐ – οὐσιῶν: cf. Anast. Sinait. Ὁδηγός 2,5,137–139 ἄνθρωπός ἐστι … ζῷον ἐξ ἐναντίων οὐσιῶν ὁμόχρονος καὶ ἄρρητος σύνθεσις. cf. etiam Π 23,45–47 οὐ γάρ εἰμι τὸ κυρίως ἕν, ἵνα μοι ἀδιαίρετος ἡ φύσις ὑπάρχῃ, ἀλλὰ τὸ ἐκ πλειόνων συγκεκροτημένον

9 σταλάξοι O Malt[2]: σταλάξọị B suppl. Malt σταλάξ[ειε] suppl. Ag[1] **10** αὐτός – τρυφᾶν : αὐ[ca. 9 litt.]ᾶν O ‖ **12** ὑμῶν corr. Malt (Anastasi; cf. app. crit.) Malt[2]: ἡμῶν O B Ag[1] ‖ **ep. 514** B 146v, O 486v; tit. scripsi: τοῦ αὐτοῦ εἴς τινα πατέρα πνευματικόν B Ag[1] om. O εἴς τινα πατέρα πνευματικόν Malt **3** κέντρον : [……] O ‖ **5** καὶ συμπεριάγομαι : [ca. 16 litt.] O | οὐ B Ag[1] Malt: καὶ O

φύσεως, ἀλλ᾽ ἐξ ἐναντίων συνέστηκα οὐσιῶν, ἀκινήτου καὶ κινουμένης φύσεως. Καὶ ἔστι μὲν παρ᾽ ὑμῖν τοῖς τὴν θείαν εἰδόσι σοφίαν, στῆναι τὸ παρ᾽ ἡμῖν κινούμενον, παρὰ τῆς ἀκινήτου καὶ νοερᾶς φύσεως· οὐκ οἶδα δὲ εἴ τινες τῶν καθ᾽ ἡμᾶς φιλοσόφων
10 ἔστησαν τοῦτο παντάπασιν. Ἐγὼ δὲ ὀλίγων συνίημι βραχύ τι καὶ μόλις τὴν πολλὴν αὐτοῦ ἐπισχόντων φοράν· ἐν μέσῳ δὲ κυμάτων οἰκῶν καὶ ἐπὶ λεπτῆς τῆς σχεδίας, παντὶ συμπεριάγομαι πνεύματι. Ἀλλ᾽ οὐδὲ οἷον πύκτης θαρραλέος εἰμὶ ἀντιστῆναι τοῖς παίουσιν, ἀλλά πως τετύχηκα ἤθους πάσαις ὑπείκοντος ἐμβολαῖς.
15 Βάλλομαι δὲ πανταχόθεν· καὶ πρὶν ἢ τὸ προκαταλαβόν με κῦμα ἀπώσασθαι, ἀντεπιρρεῖ ἑτέρωθεν ἕτερον, καὶ οὐκ ἐπὶ τοῖς ἐμοῖς μόνον κακοῖς, ἀλλὰ καὶ ἐπ᾽ ἀλλοτρίαις συμφοραῖς, ἰδίας καρποῦμαι λύπας.

Πλὴν οὐκ ἀπεγνώκειν, ἀλλ᾽ ἔστι μοί τις παρὰ φιλοσοφίας
20 μερὶς παραμυθίας ἀρκοῦσα. Σὺ δὲ μὴ μέχρις ἐπιστολῶν· ἀλλὰ ταύτας μὲν σύστειλον (εἴ γε βούλοιο), ἐπέκτεινον δὲ τὰς χεῖρας· πρὸς δέ γε τὴν προσφορὰν ἀντεφιλοσόφησά σοι ὁπόσον εἰκός.

515.
ad episcopum quendam

G 34 [B], Malt 19 [B]

[ca. 5 litt.] ποτ[α]μὸς ῥεῖ [ca. 15/30 litt.] ἡ πηγή· [ἔχει] γὰρ ἐκεῖθεν τὰς ἀρχὰς τοῦ ῥεύματος· ἡ δὲ ἀφ᾽ ἑαυτῆς προχε[ῖται] τὸ

12 ἐπὶ – σχεδίας: Greg. Naz. Εἰς ἑαυτὸν, καὶ εἰς τὸν πατέρα καὶ Βασίλειον τὸν μέγαν = Or. 10,1 et Περὶ τῆς ἐν διαλέξεσιν εὐταξίας = Or. 26,1

6 ἐναντίων B O Malt: ἐναντίας Ag[1] ‖ **7** κινουμένης – ἔστι : κι[ca. 21 litt.] O **8** ἀκινήτου καὶ : [ca. 11 litt.] O ‖ **10** ἔστησαν O corr. Ag[1] Malt: ἵστησαν B ὀλίγων συνίημι : [ca. 9 litt.]ίημι O ‖ **12** ἐπὶ – σχεδίας B Ag[1] Malt: [ca. 15 litt.]ίας O ‖ **14** παίουσιν B O Malt: παροῦσιν Ag[1] ‖ **15** πρὶν ἢ O corr. Ag[1] Malt: πρινὴ B | τὸ προκαταλαβόν B Ag[1] Malt: τὸ καταλαβόν O ‖ **16** ἀπώσασθαι B O Malt: ἀπώσησθαι Ag[1] ‖ **18** λύπας : [.....] O ‖ **ep. 515** B 182v–183r; tit. scripsi: τοῦ αὐτοῦ B ⟨a un métropolite⟩ τῷ ...... G om. Malt τῷ ..νι Malt (in app. crit.) τῷ .ει.νι Can[2],55 ‖ **1** [ca. 3 litt.]ῃ ποτ̣[α]μ̣ὸς ῥεῖ τ̣ [ca. 2 litt.]̣ π̣ [ca. 8 litt.]̣ ̣ β̣ σ̣τ̣ ̣ ̣α[ca. 5 litt.]̣ ̣ ̣ ̣ ̣ ̣ ̣Malt ...... ποταμὸς .... G | ῥ̣ε̣ῖ̣ post πηγή Malt | ἔχει (scil. ὁ ποταμός) dubitanter scripsi | γὰρ : [...] G ‖ **2** προχεῖται suppl. Malt: προχ[...]G

νᾶμα, καὶ οὐκ ἂν ἄλλῃ κατενεχθείη ὁ ποταμός, εἰ μὴ λάβῃ παρὰ τοῦ τῆς πηγῆς ὀφθαλμοῦ τὸ ἐνδό[σι]μον.

Ὅρα γοῦν ὡς κατάλληλον ἡμῖν τὸ παράδειγμα. Σὺ μὲν γὰρ ἡμῖν πηγὴ ἀτεχνῶς, καὶ ἀρετῶν καὶ χαρίτων· ἐμοὶ δὲ τὸ ῥεῦμα ἀπὸ τῶν σῶν ἐνδοσίμων. Εἰ [μὴ ο]ὖν πρῶτος αὐτός μοι τοὺς λόγους πηγάσειας, πῶς ἂν ἐπικαχλάσω τῷ ῥεύματι; Πρὸς τὴν φωνὴν ἡ ἠχώ, καὶ ἀν[τιβο]ᾷ αὕτη ῥυείσης ἐκείνης. Εἰ δὲ καὶ τάξιν δεῖ εἶναι τοῖς καθ' ἡμᾶς πράγμασι, σὺ μὲν ἀρχιερεὺς καὶ ἁ[ca. 9 litt. ... ὁ]σιώτατος τὰ πρὸς θεὸν ἡμῖν γινόμενος καὶ θεὸς ἄντικρυς, οὐ Φαραὼ μόνον, ἀλλὰ καὶ εὐσε[ca. 14 litt.] τῶν ἑβδομήκοντα, καὶ τῆς τοῦ Ἰσραὴλ γερουσίας, ἢ οὐδὲ τούτων, ἀλλὰ τῶν ὑπὸ τὴν ὑπ[ώρειαν ... ca. 8 litt.] ἐν τοσαύτῃ ἐσχατιᾷ πρῶτος φθεγξαίμην

11 θεὸς ἄντικρυς: cf. Greg Nyss. Περὶ τοῦ βίου Μωυσέως 2,35,1 et Sym. Metaphr. Κλήμεντος τῶν Πέτρου ἐπιδημιῶν κηρυγμάτων ἐπιτομή 57,8. cf. Psel. Ἐπιτάφιος εἰς ... Ἰωάννην τὸν Ξιφιλῖνον = Or. fun. I 3,18,31, Ἐγκώμιον εἰς ... Νικόλαον μοναχὸν ... = Or. fun. I 10,10,24, Βίος καὶ πολιτεία ... Αὐξεντίου ... = Or. hag. 1b,277, et Ἀπόδειξις ... τῆς τοῦ κυρίου ἐνσωματώσεως ... πρὸς τὸν σουλτᾶνον ἀπὸ τοῦ βασιλέως = Theol. II 3,172 **12–14** Exod. 24,1–2 ἑβδομήκοντα τῶν πρεσβυτέρων Ισραηλ, καὶ προσκυνήσουσιν μακρόθεν τῷ κυρίῳ· καὶ ἐγγιεῖ Μωυσῆς μόνος πρὸς τὸν θεόν, αὐτοὶ δὲ οὐκ ἐγγιοῦσιν; cf. Psel. Κατηγορία τοῦ ἀρχιερέως = Or. for. 1,2398–2401 μήτε ὡς Μωϋσῆς εἰς τὸ ὄρος ἀνίτω κυρίου τῆς νεφέλης εἴσω χωρῶν μήτε ὡς οἱ ἑβδομήκοντα καὶ τῆς γερουσίας πόρρω στηκέτω μήτε ἐμφωλευέτω κάτω που πρὸς τῇ ὑπωρείᾳ. cf. etiam Psel. Εἰς τὸ 'θεὸς θεοῖς ἑνούμενός ...' = Theol. I 64,170–172, et Εἰς τὸ λεῖπον τοῦ 'λαμπρότητα θεοῦ καὶ ἰδεῖν καὶ παθεῖν' = Theol. I 94,2–5 etc. et Π 210,4–5 et Π 275,70–72 ‖ **14** ἐν – ἐσχατιᾷ: Ps.-Dion. Areop. Περὶ θείων ὀνομάτων 1,4 (113,8–9) ἀνατιθεῖσα τὴν ἀνθρωπίνην ἐσχατιάν, ἐξ ἧς ἀῤῥήτως ὁ ἁπλοῦς Ἰησοῦς συνετέθη. cf. etiam Π 15,12 τὴν ἀνθρωπικὴν ἡμῶν ἐσχατιὰν

3 καὶ : [...] G | ἄλλῃ : [...] G ‖ **4** ἐνδόσιμον suppl. Malt: [........]ον G ‖ **6** ἡμῖν B G: ν̣ῦ̣ν̣ Malt ‖ **7** μὴ οὖν suppl. Malt: [....] G ‖ **9** ἀντιβοᾷ αὕτη suppl. Malt: ἀν[........] G ‖ **11** ὁσιώτατος supplevi ‖ **14** ὑπώρειαν supplevi (cf. app. sim.)

15 τῷ ἐν τῇ ἀκροτάτῃ περιωπῇ. Ὁρᾷς ὅ[ca. 15 litt.] ῥημάτων οὐκ εὐφυῶν ἀλλ' ἀληθῶν περιτέτραπται;

Ὅτι μὲν γὰρ ἀλγεῖς ἐφ' οἷς [ca. 15 litt.] πονηρῷ καὶ ἀγρίῳ λυμαινόμενον συΐ, καὶ τὰ τῆς ἐκκλησίας παρεωραμένα καὶ ἐρριμ[μένα .... σκυθρω]πάζειν ποιεῖ, οἶδα σαφῶς· καὶ τίς γὰρ 20 ἀνήκοος τοσούτου κακοῦ; Πλὴν τοιοῦτο εἴποιμι ἂν [ca. 12 litt.] τῆς προνοίας ἀπόρρητοι, δεικνύντες ὅτι κύκλος τις τῶν ἡμετέρων πραγμάτων προτρέχει, καὶ [ca. 12 litt.]ρικται, καὶ ὅτι τὰ παρὰ δόξαν ἀπαντῶντα, τοῖς ἀλγοῦσι μέν, γενναίως δὲ τὰ ἐπενηνεγμένα φ[έρου]σι, [ca. 6 litt.] μαρτυρικοῦ καθίσταται αἵματος· καὶ 25 ἡ τοῦ θεοῦ κληρονομία σαλευθήσεται μὲν ἐν καιροῖς ὡρισμένοις τῷ λόγῳ, οὐ περιτραπήσεται δὲ οὐδὲ πεσεῖται, «οὐδὲ αἱ τοῦ ᾅδου» κατὰ τὴν εὐαγγελικὴν φωνὴν «αὐτῆς κατισχύσουσι πύλαι».

Εἰ μὲν οὖν αὔταρκες τοῦτο ἰάσασθαί μοι τὸ τῆς ψυχῆς ἄλγημα, ἔστω δή σοι ἐπινάων ἀεὶ ὁ λόγος· εἰ δ' οὖν [ca. 8 litt.] 30 παρὰ θεοῦ τὴν αἰτίαν, καὶ τὴν ἀρκοῦσαν παραμυθίαν. Ὃ δὲ πρώτως εἰρήκειμεν, ἴσμεν τὸ ἡμέτερον, [καὶ τίσι μὲν] ἀπὸ τοῦ μείζονος, τίσι δὲ ἀπὸ τοῦ ἐλάττονος, τίσι δὲ ἀπὸ τοῦ ἴσου διαλέγεσθαι δεῖ· εἰ γὰρ καὶ ἡρμόσθημεν ἀλλή[λοις] τοῖς ἤθεσι, καὶ διὰ πάσης ἁρμονίας τῆς φιλίας ἐληλύθειμεν, ἀλλά γε τῶν συνηρμο-

15 ἐν – περιωπῇ: cf. Psel. Βίος καὶ πολιτεία ... Αὐξεντίου ... = Or. hag. 1a,464–467 ὁ μὲν οὖν μακάριος καὶ τῷ ὄντι ἄνθρωπος τοῦ θεοῦ ἐν τῇ ἀκροτάτῃ τοῦ ὄρους περιωπῇ ὥσπερ ἐπὶ τῆς τῶν ἀρετῶν ἀκρότητος καὶ ὑψηλοτάτης βάσεως ἑστηκὼς et Εἰς τὸ 'ἀπ' ἄρτι ὄψεσθε ...' = Theol. I 28,95–98 ἐπειδὰν γάρ τις ἀγγελικὴ τάξις ἢ ἀρχαγγελικὴ καταστραφθεῖσα τὴν φύσιν ταῖς ἄνωθεν θεωρίαις συνεπεκτανθῇ μέχρι πολλοῦ πρὸς τὸ ὕψος τῆς ἀκροτάτης περιωπῆς, αὐτῆς φημι τῆς τριαδικῆς ἑνώσεως καὶ μιᾶς ἀρχῆς. cf. etiam Π 13a,39–40, Π 15,10–11, Π 86,25, Π 141,13–14, et Π 206,49 ‖ **25–26** ἡ – πεσεῖται: cf. Mt. 24,29 καὶ οἱ ἀστέρες πεσοῦνται ἀπὸ τοῦ οὐρανοῦ, καὶ αἱ δυνάμεις τῶν οὐρανῶν σαλευθήσονται cum Marc. 13,25 et Luc. 21,26 **26–27** οὐδὲ[2] – πύλαι: Mt. 16,18 πύλαι ᾅδου οὐ κατισχύσουσιν αὐτῆς **31–33** καὶ – δεῖ: Π 128,58–60 τοῖς μέν, ἀπὸ τοῦ κρείττονος ὁμιλήσω· τοῖς δέ, ἀπὸ τοῦ ἴσου· τοῖς δέ, ἀπὸ τοῦ ἐλάττονος

15 τῷ scripsi: τὸ B G Malt | ῥημάτων corr. Malt: ῥήματος B G ‖ **16** εὐφυῶς G ἀληθῶς G ‖ **18** συΐ : σὺ δὲ G ‖ **19** ἐρριμμένα suppl. G Malt | σκυθρωπάζειν supplevi ‖ **22** [οὐδαμοῦ ἐστήρι]κται dubitanter prop. Malt (in app. crit.) **24** φέρουσι suppl. Malt: [.......] G | [ἐπὶ τοῦ] suppl. Malt (in app. crit.) **29** εὐχόμεθα post εἰ δ' οὖν suppl. Malt (in app. crit.) ‖ **31** καὶ τίσι μὲν suppl. Malt (in app. crit.): [.......] G ‖ **33** ἀλλήλοις suppl. G Malt

σμένων ἡμῶν, ὁ μέν ἐστιν ἄργυρος, ὁ δὲ σίδηρος. Δεῖ οὖν κἀν τῇ 35
συμμίξει καὶ κράσει, τὴν κρείττονα φύσιν προτετιμῆσθαι τῆς
χείρονος· καὶ «οὐ πείσεις οὐδ' ἂν πείσῃς» (τοῦτο δὴ τὸ τοῦ κωμι-
κοῦ), πρῶτον ἐμὲ τῶν πρὸς σὲ γραμμάτων κατάρχεσθαι.

516.

ad Ioannem Mauropoda (Π XXXIX)? ad Ioannem Xiphilinum (Π L) [cf. Weiss 1972,32]?

G 37 [B]

Εἰ ἀκορέστως ἔχεις τῶν ἡμετέρων γραμμάτων ὥς τι σοφώτερον
αὐτοῖς ἐνιδὼν καὶ συγγενέστερον τῷ τῆς ψυχῆς μεγαλοφυεῖ, τί
πάλιν μεθαρμόζεις ἡμᾶς ἀπὸ τῆς ἀκριβεστέρας ἁρμονίας ἐπὶ τὴν
ἐλάττονα καὶ προσφυεστέραν; Ὡς ἂν αὐτὸς εἴποις τῷ σῷ
λογισμῷ, ὁ μὴ κορεννύμενος τῶν μειζόνων τῶν ἐλαττόνων οὐκ 5
ἐπιδέεται, ὥσπερ οὐδ' ὁ τοῖς νοεροῖς ἐνησχολημένος τῶν ψυχικῶν,
οὐδ' ὁ [τοῖς ψυχικ]οῖς τῶν φυσικῶν. Ἡ μετεωριζομένη ψυχὴ περὶ
τὰ κρείττονα καὶ θειότερα οὐ παλίμβολος οὐδὲ παλίνστροφος περὶ
τὰ ἐλάττονα καὶ καταδεέστερα γίνεται, εἰ μήπου γε νοσήσασα
περὶ τὴν ἀναγωγὴν καὶ πτερορρυήσασα, ἀπὸ τῶν πρώτων 10
μετατεθείη ἐπὶ τὰ ἔσχατα.

Ποῖον δὲ καὶ ἐπιστήμης ἡμεῖς εἶδος ἢ σοφίας ἐν τοῖς προτέροις
ἡμῶν γράμμασι κατεσπείραμεν; Εἰ μή που τῇ λέξει κατεχρησά-

37 οὐ – πείσῃς: proverbium, CPG II 765 (nr. 41; cf. Aristoph. Πλοῦτος 600 οὐ γὰρ πείσεις, οὐδ' ἢν πείσῃς). cf. Π 205,27 ‖ **6–7** ὁ – φυσικῶν: iunctura neoplatonica; cf. e.g. Psel. Omn. doctr. 24,13–14 τὰ μὲν κατὰ τὴν νοερὰν ἰδιότητα, τὰ δὲ κατὰ τὴν ψυχικὴν μεσότητα, τὰ δὲ κατὰ τὴν φυσικὴν κίνησιν. cf. etiam Π 207,4–5 ‖ **9–11** νοσήσασα – ἔσχατα: cf. Plat. Φαῖδρος 246c2–4 ἡ δὲ πτερορρυήσασα φέρεται ἕως ἂν στερεοῦ τινος ἀντιλάβηται, οὗ κατοικισθεῖσα, σῶμα γήϊνον λαβοῦσα cum Psel. Ἐγκωμιαστικὸς εἰς … Μιχαὴλ τὸν Κηρουλλάριον = Or. fun. I 1,42,9, Ἔκθεσις … τῶν παρὰ Χαλδαίοις δογμάτων = Phil. min. II 39 (147,26–148,2), Ἔκθεσις … τῶν παρ' Ἀσσυρίοις δογμάτων = Phil. min. II 41 (152,9–10), et Εἰς τὸ ῥητὸν τοῦ Ἰὼβ … 'καὶ ὁ διάβολος παρέστη … = Theol. I 32,177–178

37 πείσειας G ‖ **ep. 516** B 217v–218r ‖ **3** ἡμῶν dubitanter scripsit G ‖ **7** τοῖς ψυχικοῖς supplevi: […]τοῖς G ‖ **8** παλίν[….]ος G

μεθα; Ἀλλ’ οὐδὲ οἶδα εἴ τίς ἐστιν ἀσφαλεστέρα γραφὴ τῆς ἐθάδος
15 ἡμῖν, ἵνα πρὸς ἐκείνην τοὺς τῆς γλώττης ὄχθους καταλεάνωμεν.

Σοὶ δὲ οὐ τοιοῦτον τὸ εἶδος τῶν λόγων, καὶ πρὸς τὴν [πνευματικ]ὴν βεβαμμένον εὐπρέπειαν; Πῶς οὖν ἡμᾶς ἀπάγεις, οὗπερ αὐτὸς ἐζήλωκας καὶ μεμίμησαι; Καὶ τοῦτο ταύτῃ κείσθω. Τὸ δὲ ἐμὸν ἦθος, οὐχ’ ὑπερόπτης τῶν φίλων καθέστηκα, οὐδὲ συμμε-
20 τα[βέβλ]ημαι ταῖς [τοῦ] βίου μεταβολαῖς, ἀλλ’ εἴ τις τῶν πάντων εἴρηκέ με φιλόσοφον, ἐντεῦθεν τεκμηράμ[ενος] κατωνόμασε. Φιλοσοφεῖν μὲν τοσοῦτον ὥστε κρείττονα τὴν ψυχὴν τῆς εὐτυχεστέρας μερίδος ἐργάσασθαι καὶ ἀντιλαμβάνων ἀπωθεῖσθαι, οὔ μοι σθένος περιεγένετο, μετριοπαθεῖν δὲ περὶ ταύτην καὶ τοῦ προτέρου
25 ἐπιλελῆσθαι βίου ὡς ἂν οἷός τε ἦν—ἀλλὰ νεμέσεως ἡμᾶς μὴ βάλοι βέλος!

Ἐφιλοσόφησα τ[οῖς φίλοις], οἷς μὲν πρὸς τὴν κατὰ τὸν βίον ἐλυσιτέλησα ἀτυχίαν, οἷς δὲ προσθέμενος, οὐ κατώρθωσα, τοῖσδ’ ὁμοῦ κοινὸν τὸ ἦθος ἐχαρισάμην. Εἰ δ’ οὕτω πολλοῖς ἐγενόμην, τί
30 καινὸν εἴ σοι τῷ πρώτῳ καὶ καλλίστῳ ἅπαξ ἐφιλοτιμησάμην τοὺς λόγους, καὶ τὴν κεκρυμμένην σοι ἀρετὴν περὶ πράξεων πολιτικῶν

15 τοὺς – καταλεάνωμεν: Synes. Cyren. Περὶ ἐνυπνίων 14,2 τὸ δὲ δείξαντος ὄχθους τινὰς ἀπολεαίνειν ἐμπεφυκότας τῆς γλώττης. cf. Π 202,212 ‖ **24** μετριοπαθεῖν – ταύτην: cf. Synes. Cyren. Epist. 140,47–48 αἱ μέσαι δὲ ἕξεις εἰς μετριοπάθειαν ἵστανται cum Δίων 6,7 ἀπάθεια μὲν γὰρ ἐν θεῷ φύσει· ἀρετῇ δὲ ἄνθρωποι κακίαν ἀμειβόμενοι μετριοπαθεῖς γίνονται. cf. etiam Porph. Ἀφορμαὶ πρὸς τὰ νοητά 32 et Psel. Omn. doctr. 70 et 72, Περὶ ἀρετῶν = Phil. min. II 32, Ἀποριῶν λύσις τελεία καὶ ἀναγκαία = Phil. min. II 12 (28,10), Εἰς τὸ ‘εἶδον ἄνθρωπον ἐν Χριστῷ …’ = Theol. I 27,39–41, Ἑρμηνεία εἰς τὸ ῥητὸν τῆς Κλίμακος = Theol. I 30,56, et Π 202,159–160 ‖ **25–26** νεμέσεως – βέλος: Liban. Βίος ἢ περὶ τῆς ἑαυτοῦ τύχης = Or. 1,1,10. cf. Psel. Χρονογραφία VII,172 (=VIIc,8), Ἐγκώμιον εἰς Ἰωάννην … Εὐχαΐτων … = Or. pan. 17,356, et Π 106,7–8, Π 111,53–54, et Π 459,13. cf. etiam Ἐπιτάφιος εἰς … Ἰωάννην τὸν Ξιφιλῖνον = Or. fun. I 3,12,20

15 τὰς … ὄχθας G ‖ **16–17** πνευματικὴν dubitanter scripsi: [……]ὴν G **17** βεβημμένον G | εὐπρέπειαν dubitanter scripsi: πρέπειαν manu post. B G **19–20** οὐδὲ συμμεταβέβλημαι scripsi: […………..]ημαι G ‖ **20** τοῦ suppl. G **21** τεκμηράμενος suppl. G ‖ **22** φιλοσοφεῖν: [..] φιλοσοφεῖν G **23** ἀντιλαμβάνων scripsi: ἀντιλαμβάνειν manu post. B G ‖ **27** τοῖς φίλοις dubitanter scripsi: τ[……..] G ‖ **28** κατώρθησα G | τοῖσδ’ dubitanter scripsi: […..] δ’ G ‖ **30** καινὸν corr. G: κοινὸν post manu B | εἴ dubitanter scripsit G

ἀνεκάλυψα; Καί μοι συναντελάβετο ὁ καιρὸς τῶν τε ἐπαίνων καὶ τοῦ σκοποῦ, καὶ γέγονέ τι τῶν οὐ πάνυ ἁρμοζόντων εἰς σέ.

Πλὴν ἀμφότεροι εἰκός τι ποιοῦμεν, ἐγὼ μὲν ἐπιλανθανόμενος ἢ καὶ ἀρνούμενος, σὺ δὲ καὶ μνημονεύων καὶ συντιθέμενος. Χαίρω 35 δὲ ὅτι οὐκ ἐψευσάμην σοὶ τὰ ἐγκώμια, οὐδὲ σὺ τοὺς ἐμοὺς λόγους· αὐτ[....] γὰρ πολλαχῇ γεγένημαι ὧν τε παρὰ βασιλέως ἐν τέλει καὶ ὧν αὐτὸς διοικεῖς, τῶν [..]γ[....]ὸς [ca. 16 litt.] σε γράφοι ἀκροώμενος· εἰ δὲ τοιούτων ἀφορμῶν γινομένων αὐτὸς [ca. 50 litt.]δεκαπ[ca. 25 litt.]ουσ[.....]λαγείης ὅπως ἐρρωμε[ν ... ca. 40 40 litt.].

Ἐρεῖς οὖν ὅτι καί τι πρὸς ἔπος ὁ λόγος δοκεῖ [.]περι[ca. 10 litt.] κατάλληλον· τὸ γὰρ στασιῶδες αὐτοῖς καὶ μανικὸν καὶ τὸ τοῦ ἤθους ἰταμὸν καὶ τὸ τῆς [ca. 10 litt.]τος ἃ δή σοι θορυβεῖν ἔοικεν, ἅπαντα ταῖς ὑπὲρ ἡμῶν νίκαις λυσιτελεῖ. Σὺ μὲν [ca. 10 litt.] 45 αὐτῶν ὠθείης κατὰ κρημνοῦ· εἰ γὰρ καὶ ἑτερόγναθοι καὶ [δυσ]άγωγοι καὶ θαμὰ τ[ca. 10 litt.]ίοντες, ἄλλος λόγος σοι ἐπ' αὐτοὺς ἰσχύσει μᾶλλον, ἢ ὁ συνδέων τοὺς τοιούτους τῶν ἵππων [ca. 10 litt.]τοι παρὼν καιρὸς δεῖται τοιούτων αὐτῶν, οὐχ οἵους αὐτὸς βούλοιο, ἀλλ' ὁποῖοι ὄντες τυγχάνουσιν. 50

517.
ad episcopum quendam

G 38 [B]

[Εἰ] τὴν [γλ]ώττης εὐχαριστίαν ἐθέλεις, θεοειδέστατε δέσποτα, ἀμυδρὰν ταύτην εὑρήσεις [ca. 11 litt. ... γ]ὰρ λόγον εὐπόρηκα μεγέθει νοημάτων ἰδ[εῶν .... λ]έξεων κάλλεσιν ἀπαστράπτοντα, [ca. 11 litt.] καρδίας εὐγνωμοσύνην καὶ ἔμφυτον ἔν[νοιαν] σκοπεῖν

46 ἑτερόγναθοι: cf. CPG II 424 (nr. 3); cf. Χρονογραφία VII,58 et Ἐμβραδυνάντων τῶν μαθητῶν τῇ τῆς σχολῆς ξυνελεύσει = Or. min. 22,42–44 et Π 28,57, Π 59,22, Π 134,14, Π 287,10 ‖ **3** μεγέθει – κάλλεσιν: cf. Psel. Εἰς τὸ θεολογικὸν … 'δέον τὰ ἐναντία …' = Theol. I 19,70–71 ἔγωγ' οὖν αὐτὸς πολλάκις ἢ μεγέθει νοήματος ἐντυγχάνων ἢ κάλλει λέξεως ἢ συνθήκῃ ἀρίστῃ

37 ὧν : [..] G ‖ **47** δυσάγωγοι supplevi: [....]άγωγοι G ‖ **ep. 517** B 218r (des. mut.); tit. τοῦ αὐτοῦ B (in marg.) ‖ **1** εἰ suppl. G: ἐπεὶ vel εἰ prop. Can[2],55 γλώττης suppl. G ‖ **2** γὰρ suppl. G ‖ **3** ἰδεῶν …. λέξεων supplevi: ἰ…….ἔξεων G ‖ **4** ἔννοιαν supplevi: ἔ……. G

5 βούλοιο, καὶ οὕτω με ἐλατ[ca. 8 litt.]σθαι ὧν εὖ με πεποίηκ[ας ζ]ωήν, οὐ πάνυ πόρρω κείσομαι τῶν σῶν εὐεργεσιῶν· ἐπεὶ δ[ὲ] ἀθέατα τυγχάνει τὰ τῆς καρδίας κινήματα, βραχείᾳ τῇ γλώσσῃ καὶ ἀμυδρᾷ τῇ φωνῇ τὴν εὐγνωμοσύνην ἐπιδείξομαι.

Ὁ πατήρ μου καὶ ἡ μήτηρ μου ἐγκαταλελοίπασί με, ἢ 10 μᾶλλον εἰπεῖν, τὴν [ca. 8 litt. ... ἀπαλ]λαξάντων, ὁ πάντων προνοούμενος Κύριος, ἐμοί σε ἀντὶ πάντων πεποίηκεν καὶ [ca. 11 litt.] ἐλπίδα [ca. 5 litt.] τῶν ὑπὲρ ἐλπίδα τετύχηκα. Καὶ ὁ τοῖς πολλοῖς δόξας πολλῶν ἀτυχέστερος [ca. 18 litt.]. Τίς γὰρ ἐμοῦ καλλίονος προστασίας τετύχηκεν; Ἢ τίς τῶν πάντων εἰς βου[ca. 13 litt. ... 15 δια]κονίας ὡς τοιούτου τυχεῖν πρέσβ[εως], ὃς θεῷ ὑπὲρ πάντων πρεσβεύων ἀρκεῖ [ca. 14 litt.] προΐεσθαι ῥήματα βραχύ τι παραλλάξαντα τοῦ καλοῦ; Τίς ὢν τυγχάνω ὅτι μι[μνήσκῃ ….αῖον …] τὸ γένος ὅτι ἐπισκέπτῃ με· δόξῃ μὲν καὶ τιμῇ ἐστεφάνωσας, τὰ δὲ λοιπὰ [……. ἀ]ποδιδόν[….] τῷ κρείττονι· ἐν καιρῷ δέ μοι τὸ 20 ψωμίου ἐκεῖνο τεμάχιον ἐπεισεκύκληκας [... ca. 20 litt. ... Χριστοῦ ἀν]αφωνεῖ κένωσιν, κἀγώ σου τὴν πρὸς ἐμὲ ὑμνῶ συγκατάβασιν, [ca. 14 litt.] καὶ ἐν τ[…] ἀρρη[…] ὅτι περὶ τὸ βῆμα τοῦ θεοῦ ἑστηκὼς καὶ μετὰ τῆς ἄνω τεταμένης [ca. 16 litt.] οὐδὲ τὴν πρός με ῥοπὴν ἠξίωσας, ἀλλ' ὅ σοι θεός, τοῦτο ἐμοὶ γέγονας· καίτοι τῆς 25 [ca. 12 litt.] ἑαυτοῦ πρός με μετήνεγκας, καὶ ἐντὸς τῆς θείας πεποίηκας διοικήσεως· εἰ γὰρ [ca. 6 litt.] τοῦ βίου εὐημερία καὶ οἱ τῆς παρούσης δόξης βαθμοὶ ἐξ ἀνθρωπίνης συνεστήκασιν ἐπινοίας,

9 ὁ πατήρ – με: Ps. 26,10 ὁ πατήρ μου καὶ ἡ μήτηρ μου ἐγκατέλιπόν με **17–18** τίς ὢν – ἐστεφάνωσας: Ps. 8,5–6 τί ἐστιν ἄνθρωπος, ὅτι μιμνήσκῃ αὐτοῦ, ἢ υἱὸς ἀνθρώπου, ὅτι ἐπισκέπτῃ αὐτόν; ... δόξῃ καὶ τιμῇ ἐστεφάνωσας αὐτόν

5 με[1] B: μὲν G ‖ **5–6** πεποίηκας ζωὴν dubitanter supplevi: πεποίηκ ... ὴν G **6–7** δὲ ἀθέατα τυγχάνει scripsi: δὲ ……….. [τυ]γχάνει G ‖ **10** ἀπαλλαξάντων supplevi ‖ **13** ἀτυχέστερος scripsi: ἀτυχέστερον G ‖ **14** προστασίας B: προσταξίας G ‖ **15** διακονίας suppl. G | πρέσβεως suppl. G ‖ **17** μιμνήσκῃ suppl. G ‖ **19** ἀποδιδόν suppl. G ‖ **20** ψωμίου dubitanter scripsi: ψωμικὸν G ἐπεισεκύκληκας scripsi: ἐπεισεκύκ…… G ‖ **20–21** Χριστοῦ ἀναφωνεῖ dubitanter supplevi ‖ **21** κένωσιν : κάκωσιν G ‖ **22** ὅτι : ἔτι G ‖ **24** καίτοι : καὶ τὴν G

ἀλλὰ [ca. 5 litt.]ισ[ca. 6 litt.] ταῦτα ἡ καὶ τελευταία τῆς ἀρίστης [τοῦ λόγου] οἰκονομίας.

Ἄγγελοι μὲν γὰρ καὶ ἀρχάγγελοι ὑψη[λοτέρας] παρὰ τῷ 30 λόγῳ τετυχήκασιν προνοίας καὶ κρίσεως· ἀνθρώποις δὲ οἱ κλῆροι τοῦ βίου, ἐλάττους μὲν τῶν ἀ[γγέλων ... ca. 6 litt.] δὲ τὴν πρώτην πρόνοιαν ἔχουσι τὴν ἀναφοράν· [δι]ττῆς δὲ οὔσης τῆς ἐν τῷ βίῳ ὁδοῦ, χείρονος [ca. 11 litt.] τῆς βελτίονος νῦν διὰ σοῦ γέγονα· ὢ [τοῦ] πρέσβεως! [ὢ] τοῦ δι' ὃν τὸ πρεσβεύειν! Σὺ μὲν γὰρ ἀν[ca. 6 35 litt.] ἁψίδων, ἐγὼ δὲ κάτω ποι καὶ μετὰ τῶν περιγείων ἱστάμην· ἀλλ' ὅμως ὁ οὐράνιος σὺ δὲ χεῖρά μοι [ca. 8 litt. ... ἀ]πώρεξας καὶ τῆς [ἐν] τῇ δυστυχίᾳ κοιλάδος ἀφήρπηκας, καὶ ἀπὸ τοῦ κλαυθμῶνος ἐκείνου εἰς [ca. 10 litt. ... χ]ώραν με κατέ[κλε]ισας.

Ἀλλὰ μὴ μέχρι τούτου ([εἰ καὶ] τολμηρὸς ὁ λόγος καὶ προσάν- 40 της)! Ἀλλὰ [ca. 14 litt.]ωτέρας ᾆσον ᾠδάς, καὶ [ἐκ] δυνάμεως εἰς δύναμιν μετασκήνωσον, [ca. 10 litt.] πάντων πτέρυγας [ca. 8 litt.]ων εἰς ὕψος, καὶ τῆς κρείττονος ἀναγωγῆς [ca. 6 litt.].

28–29 ἡ – οἰκονομίας: cf. Greg. Naz. Περὶ τῆς ἐν διαλέξεσιν εὐταξίας = Or. 32,25 τὴν τελευταίαν οἰκονομίαν ‖ **32–33** τὴν – πρόνοιαν: Synes. Cyren. Περὶ ἐνυπνίων 8,2 καὶ ἡ πρώτη πρόνοια διὰ τούτων εἰσάγεται τοῖς ἔχουσι νοῦν **36** ἁψίδων: cf. Plat. Φαῖδρος 247b1 τὴν ὑπουράνιον ἁψῖδα. iunctura in libris neoplatonicis saepe laudata. cf. Psel. Ἐπιτάφιος εἰς … Ἰωάννην τὸν Ξιφιλῖνον = Or. fun. I 3,6,33, Λόγος εἰς τὴν σταύρωσιν = Or. hag. 3a,264, Ἐξήγησις τῶν Χαλδαϊκῶν ῥητῶν = Phil. min. II 38 (135,4–5), et Π 202,161–162 ‖ **38–39** κοιλάδος – κλαυθμῶνος: cf. Ps. 83,7 ἐν τῇ κοιλάδι τοῦ κλαυθμῶνος. cf. Psel. Λόγος τοῦ ὑπερτίμου ὃς ἐπικέκληται σελέντιος = Or. min. 4,66, Ἐγκώμιον εἰς … Νικόλαον μοναχὸν … = Or. fun. I 10,18,15, et Π 202,173 ‖ **40–41** εἰ – προσάντης: cf. Greg. Naz. Εἰς τὸν μέγαν Βασίλειον … = Or. 43,14 ἔχει γάρ τι καὶ πρόσαντες ἡμῖν ὁ λόγος

28 τῆς ἀρίστης : τοῖς ἀρίστοις G ‖ **29** τοῦ λόγου dubitanter supplevi οἰκονομίας B: οἰκονομία G ‖ **30** ὑψηλοτέρας suppl. G ‖ **31** ἀνθρώποις scripsi: ἀν... G ‖ **32** ἀγγέλων supplevi ‖ **33** διττῆς δὲ scripsi: .. ττησι G ‖ **34** χείρονος B: χειρόνας G ‖ **35** τοῦ supplevi | ὢ supplevi ‖ **37** ἀπώρεξας suppl. G ‖ **38** ἐν supplevi ‖ **39** χώραν supplevi | κατέκλεισας supplevi ‖ **40** μέχρι B: μέχρις G εἰ καὶ supplevi: εἴη suppl. G ‖ **41**]ωτέρας scripsi: ῶ G an τελεωτέρας scribendum? | ἐκ suppl. G ‖ **43** ...ιώ... post ἀναγωγῆς G

518.
fragmentum; finis epistulae vel retractatio?

ined. [A]

…] πάλαι πρὶν παρ᾽ ἐμοῦ τὸ πρᾶγμα ἔλθοι, ἀποδότω τῷ ἐγγυητῇ, ἵνα οὗτος αὖθις ἀποδοὺς ταῦτα τῷ ἀπολέσαντι τῆς εὐθύνης ἀπαλλαγῇ.

ep. 518 A 46v (inc. mut.); cf. Π 300,2–20 (app. crit.)

DUBIA, INCERTA, EXCERPTA, SENTENTIAE, RETRACTATIONES, ET EPISTULAE ALIORUM AUCTORUM IN COLLECTIONE PSELLI PRESERVATAE

Vid. etiam:
***dubia**: Π 447a, Π 448a, et Π 449*
***incerta**: Π 33, Π 34, Π 94, Π 181, Π 182, Π 183, Π 242, Π 243, Π 244, Π 245, Π 246, Π 247, Π 248, Π 249, Π 250, Π 286, Π 445, Π 446, Π 451, et Π 453*
***excerpta**: Π 482, Π 483, Π 486, Π 487, et Π 490*
***retractationes**: Π 13b, Π 77, Π 130, Π 282b, Π 323b, Π 355b, Π 364b, Π 447b, et Π 448b*
***epistulae aliorum auctorum**: Π 144 et Π 169*

519.
ex Pselli scriptis?

Can 1a [K]

Εἴ τις ἐρασιχρήματος καὶ πλούτων ἱμειρόμενος, τὴν ἐμπορικὴν τέχνην μέτεισιν. Εἴ τις οἰνοφλυγίας φίλος καὶ ὀψοφαγίας, ταῖς μεγίσταις τῶν πόλεων καὶ πολυανθρώποις ἐνδιατρίβει· ἐν ταύταις γὰρ ἄκρατος πολύς, καὶ φιάλαι καὶ ποτήρια, καὶ τὰ ποικίλα τῶν ὄψων. Εἴ τις γλυκυθυμίας ὀρέγεται καὶ παραψυχῆς, πρὸς σὲ καὶ 5 τὴν σὴν ἐπαφρόδιτον ὁμιλίαν μεταθέει· τὸ γὰρ τῆς φωνῆς μελιχρόν, καὶ τὸ τῶν λόγων τερπνόν, καὶ τὸ τῆς φύσεως εὐγενὲς καὶ τὸ τῆς γνώμης εὐθές, καὶ τὸ τῆς ὄψεως εὐφεγγές, κέντρον ἡδονῆς ἐνίησι τοῖς διατρίβουσιν.

Οὕτω πανταχόθεν ἴυγγας ἔχεις ἐμψυχωμένας καὶ θελκτηρί- 10 ους, γοητευούσας τοὺς ἀνθρώπους καθάπερ ὁ μυθευόμενος λωτὸς τοὺς Ὀδυσσέως ἑταίρους.

11–12 καθάπερ – ἑταίρους: cf. Hom. Od. 9,92–97, locus saepe laudatus; cf. Psel. Ἐγκώμιον εἰς τὸν οἶνον = Or. min. 30,132–133, et Π 201,31, Π 248,25, Π 445,6, Π 449,35–36, et Π 486,4

ep. 519 K 58r ‖ **8** εὐφεγγές scripsi: ἀφεγγές K Can ‖ **10** ἐμψυχωμένας corr. Can: ἐμψυχωμένους K

520.
ex Pselli scriptis?

Can 1b [K]

Φιλεῖ ἡ ψυχὴ πρός ἄνεσιν μετατίθεσθαι, ἑστιωμένη λόγοις ἡδίστοις φίλων ἀγαθῶν καὶ βεβαίων, τὰς ἐπαχθεῖς ἐν αὑτῇ φροντίδας καὶ λύπας ὥσπερ ἅμματα χαλῶσα καὶ διαλύουσα. Σοῦ δὲ τίς βεβαιότερος φίλος ἢ μονιμώτερος; σπούδασμα γάρ σοι
5 πρῶτόν ἐστι τὸ φιλεῖν ἀδόλως καὶ καθαρῶς, καί σοι τὸ τῆς φιλίας χρῆμα πλέον τιμᾶται διατηρούμενον ἀμείωτον, ἢ οἱ ἐν Δελφοῖς θρυλλούμενοι καὶ περιᾳδόμενοι θησαυροί. Ἀμέλει καὶ τὴν εἰς ἐμὲ φιλίαν ἄσυλον καὶ ἀνόθευτον διετήρησας ἐν τῇ γενναιοτάτῃ σου ψυχῇ· καὶ τὴν μνήμην ὁ μακρὸς χρόνος οὐκ ἔσβεσε. Καὶ οἶδά σοι
10 χάριν μεγίστην τῆς πρὸς ἐμὲ ἀμετακινήτου διαθέσεως.

Αἰτιώμενος δέ με ὡς ἀμβλὺν καὶ ἀργὸν καὶ μὴ ἐπιστείλαντα τάχιον, σκόπει μὴ καὶ αὐτὸς ἐνέχῃ τῷ τοιούτῳ ἐγκλήματι· εἰ γὰρ ἐγὼ κατηγορίας ἄξιος διὰ τὸ βραδέως ἅψασθαι γραφῆς, σὲ τῆς τοιαύτης [αἰτ]ίας τίς ἐξαιρήσεται, περιλαμπὲς τὸ δραστήριον
15 ἔχοντα τῆς ψυχῆς, φύσει μὲν κεχρημένον ἀόκνῳ καὶ ἀκαμάτῳ, γνώμῃ δὲ φιλοπ[ό]νῳ καὶ φιλεργῷ;

521.
excerpta de appellationibus [ex Π 379 (ll. 1–2) et Π 374 (ll. 1–3)]

Can 2 [K]

Ὁ τὴν γλῶτταν π[ολύς], ὁ πλείων τὴν ἀρετήν, ὁ φίλτατος ἐμοὶ καὶ σεβάσμιος, ὁ τὰ πρῶτα τῆς εὐγενείας, ὁ τὰ πρῶτα τῆς

2–3 τὰς – διαλύουσα: Plut. Περὶ Ἴσιδος καὶ Ὀσίριδος 383f6–8 τὰ λυπηρὰ καὶ σύντονα τῶν μεθημερινῶν φροντίδων ἄνευ μέθης οἷον ἅμματα χαλᾷ καὶ διαλύει ‖ **6–7** οἱ – θησαυροί: cf. e.g. Plut. Συμποσιακά 675b–c τοῖς δὲ Πολέμωνος τοῦ Ἀθηναίου περὶ τῶν ἐν Δελφοῖς θησαυρῶν … etc.

ep. 520 K 58r ‖ **1** μετατίθεσθαι K (cf. Gui,43–44): μετατίθεται Can ‖ **2** αὑτῇ Can: αὐτῇ K ‖ **14** αἰτίας suppl. Can ‖ **15** κεχρημένον corr. Gui,44: κεχρημένος K Can ‖ **16** φιλοπόνῳ suppl. Can ‖ **ep. 521** K 58v ‖ **1** πολύς suppl. Can = Π 379,1 (L P H S) ‖ **1–2** ὁ τὴν – σεβάσμιος excerptum Π 379,1–2 (L P H S) **2–3** ὁ[1] – σεμνότητος Π 374,1–3 (L P V S)

λογιότητος, εἴποιμι δὲ καὶ τῆς σεμνότητος, ὦ τιμία ψυχὴ καὶ ῥοαῖς ἀρδευομένη τοῦ πνεύματος.

522.
sententia; ex Pselli scriptis?

Can 3 [K]

Ὥσπερ ὀφθαλμὸς ἐκτὸς τοῦ φωτίζοντος αὐτὸν νοὸς τὴν ὁρατικὴν δύναμιν οὐ προβάλλεται, οὕτως οὐδὲ ἡμεῖς τῆς θείας χάριτος ἄτερ κατορθῶσαί τι δυνάμεθα.

523.
sententia; ex Pselli scriptis?

Can 4 [K]

Τὰ ὕδατα μὴ κενούμενα δυσώδους ἐμπίμπλαται· καὶ λόγοι μὴ ἐκκενούμενοι τὸ λαμπρὸν οὐ λαμβάνουσιν.

524.
excerptum; ex Pselli scriptis?

Can 5 [K]

Ὁ σκορπίος πλήττει προερπύσας τοῦ χηραμοῦ καὶ ἰὸν τῷ πληγέντι λεληθότως ἐνίησιν, ἀλλὰ πόα ἡ σιδηρῖτις ἄρρητόν τινα

4 ῥοαῖς … τοῦ πνεύματος: Greg. Naz. Πρὸς τοὺς φθονοῦντας 6–7 = Carm. 2,1,8 (PG 37,1025,6–7) ‖ **1–5** ὁ σκορπίος – τῇ χειρί: cf. Geoponica 13,9,12 Ταραντῖνος δέ φησι, τὸν κρατοῦντα σιδηρῖτιν βοτάνην ζῶντας κρατεῖν σκορπίους, μὴ βλαπτόμενον ὑπ᾽ αὐτῶν. cf. etiam Psel. Περὶ λίθων δυνάμεων = Phil. min. I 34 χαλαζίας· λευκός ἐστιν οὗτος καὶ στερεὸς καὶ κρυστάλλῳ μικρῷ ἐοικώς. περιαρτώμενος δὲ ἰᾶται σκορπίων πληγάς

3 σεμνότητος τῆς ὁσιότητος καὶ σεμνότητος Π 374,2–3 (L P H S) | ὦ corr. Can: ὢ K ‖ **ep. 522** K 58v ‖ **ep. 523** K 58v ‖ **1** δυσώδη Can ‖ **2** ἐκκενούμενοι an ἐκκαινούμενοι scribendum? ‖ **ep. 524** K 58v ‖ **1** προερπύσας corr. Gui,44: προσερπύσας K Can | τοῦ χηραμοῦ K: τῷ χηραμῷ corr. Can (in app. crit.) ⟨ἀπὸ⟩ τοῦ χηραμοῦ prop. Maltese (in app. crit.) ‖ **2** πληγέντι corr. Gui,44: πλαγέντι K Can | ἡ σιδηρῖτις corr. Can: ὁ σιδηρίτ(ης) K

πρὸς τοῦτον ἔσχηκεν ἀντιπάθειαν· οὐ γὰρ ἰᾶται μόνον τὴν τρῶσιν, ἀλλ' οὐδ' ἂν ὅλως πλήξειεν ἢ προσεγγίσειε τὸν ταύτης
5 ἐπιφερόμενον τῇ χειρί.

525.
excerptum; ex Pselli scriptis?

Can 6 [K]

Ἀλλ' οὔτε με νὺξ ἀπαγαγεῖν τῆς φροντίδος ταύτης δεδύνηται, οὐχ ἡμέρας ἔργα, οὐ συλλογισμῶν εἰσβολαί, οὐκ ἄλλο τι τῶν ὅσα θλίψιν ἀποδιώκουσι. Καὶ τέθνηκα ἐντεῦθεν τὸν χαλεπώτατον θάνατον· ἐπειδὴ γὰρ διττὸς οὗτός ἐστιν, ὁ μὲν ἀνθρώπου, ὁ δὲ
5 ψυχῆς, καὶ ὁ μέν, χωρισμός ἐστι ψυχῆς ἐκ σώματος, ὁ δέ, φθορὰ μὲν ἀρετῆς, κακίας δὲ ἀντεισαγωγή, ἢ τοῦτον τὸν δυστυχέστερον τέθνηκα, ἢ καὶ ἀμφότερον ὁμοῦ.

526.
excerptum; ex Pselli scriptis?

Can 7 [K]

Κἂν σκηπτὸς ἄνωθεν καταρραγεὶς ἀναλώσῃ με, κἂν ποινὴ

4–6 διττὸς – ἀντεισαγωγή: Phil. Jud. Νόμων ἱερῶν ἀλληγορία 1,105 διττός ἐστι θάνατος, ὁ μὲν ἀνθρώπου, ὁ δὲ ψυχῆς ἴδιος· ὁ μὲν οὖν ἀνθρώπου χωρισμός ἐστι ψυχῆς ἀπὸ σώματος, ὁ δὲ ψυχῆς θάνατος ἀρετῆς μὲν φθορά ἐστι, κακίας δὲ ἀνάληψις ‖ **1–2** ποινὴ Τιτάνων: cf. e.g. Ps.-Nonnus Συναγωγὴ … ἱστοριῶν … in Greg. Naz. Or. 5, hist. 30 περὶ τῶν κεκομμένων καὶ διεσπασμένων θεῶν. cf. etiam Psel. Λόγος εἰς … Κωνσταντῖνον τὸν Μονομάχον = Or. pan. 1,140–143

4 προσεγγίσειε corr. Can: προσεγγίσει K ‖ **ep. 525** K 58v ‖ **3** θλῖψιν Can **6** τὸν : τὸ Can ‖ **ep. 526** K 58v

Τιτάνων, καὶ Ἰξίονος καὶ Τιτυοῦ, κἂν χάσμα γῆς ὡς Δαθὰν καὶ Ἀβειρὼν ἁρπάσῃ με, οὐδεμίαν ὑποστῆναι βλάβην ἡγήσομαι.

527.
excerptum; ex Pselli scriptis?

Can 9 [K]

Παρηγοροῦ [σεα]υτόν· ἔχεις τούτου παραδείγματα πάμπολλα. Τὸν Ἰὼβ ἐπὶ κόπρου καθήμενον· ἢ οὐχὶ οὗτος τὸν οἰκεῖον πλοῦτον ἄρδην ἀπώλεσε; καὶ πρὸς τῷ [πλού]τῳ καὶ αὐτὸ τὸ σῶμα κατατετραυμάτισται καὶ τὴν γυναῖκα καὶ τοὺς φίλους (ὥς φησιν ἡ θεία γραφὴ) «παρακλήτορας» εἶχε «κακῶν», οὐ θεραπευτάς; Τί δὲ ὁ μέγας Εὐστάθιος; οὐκ ἐξαίφνης πάντων γεγύμνωται; οὐ τοὺς παῖδας θηρσὶ διαμοιρασθέντας ἑώρακε, καὶ τὴν γυναῖκα βιαζομένην, καὶ ἑαυτὸν τοῦ πλοίου ἀποπεμπόμενον; οὐ μόνος κατελείφθη βαδίζων ὁδὸν τραχεῖαν, ἣν οὐδέποτε ἑώρακεν; οὐ θητεύων ὡράθη ὁ πάλαι τῆς θητείας πολλοὺς ἐξενεγκών;

2 Ἰξίονος: cf. e.g. Suda ι 394 Ἰξίων· οὗτος ἠράσθη τῆς Ἥρας· ἡ δὲ προσαγγέλλει τῷ Διΐ, ὃς βουληθεὶς γνῶναι τοῦτο ἐξομοιοῖ νεφέλην τῇ Ἥρᾳ καὶ ἔστησεν. ὁ δὲ Ἰξίων μίγνυται αὐτῇ. καὶ ὀργισθεὶς ὁ Ζεὺς κολάζει αὐτὸν τροχῷ διατείνων ἀεὶ φερομένῳ καὶ ἀνακυκλουμένῳ. cf. etiam Psel. Πρὸς τὸν λοίδορον ῥίψαντα χάρτην = Or. min. 7,6–7, Ὅτε παρῃτήσατο τὴν τοῦ πρωτοασηκρῆτις ἀξίαν = Or. min. 8,113–114, ⟨De servitute a secretis⟩ = Or. min. 11,42–44, et Π 59,44–46, Π 378,43–46, et Π 390,21 |Τιτυοῦ: cf. e.g. Suda τ 696 Τιτυός· οὗτος ἐρῶν τῆς Λητοῦς κατέσχεν αὐτῆς τοῦ κρηδέμνου· ἧς παῖδες Ἀπόλλων καὶ Ἄρτεμις κατετόξευσαν αὐτὸν καὶ ἀνεῖλον. καὶ νῦν, φησίν, ἐν τῷ ᾅδῃ κολάζεται, ἔχων βέλη ἐμπεπαρμένα τῷ ἥπατι ‖ **2–3** κἂν – Ἀβειρὼν: cf. Num. 16,27–34. cf. Psel. Ἐγκώμιον εἰς τὴν ἀποτομὴν … Ἰωάννου = Or. hag. 8,609 et Λόγος εἰς … τὸν Μονομάχον = Or. pan. 2,696 ‖ **5** παρακλήτορας – κακῶν: Job 16,2 παρακλήτορες κακῶν πάντες ‖ **5–10** τί – ἐξενεγκών: S. Eustathius (Placidas); cf. Sym. Metaph. Μαρτύριον τοῦ ἁγίου μεγαλομάρτυρος Εὐσταθίου καὶ τῆς συνοδίας αὐτοῦ (BHG 642)

2 Ἰξύονος Can ‖ **ep. 527** K 59r–v ‖ **1** σεαυτόν suppl. Can | πάμπολλα corr. Can: πάμπολα K ‖ **2** ἢ K: ἦ corr. Can ‖ **3** πλούτῳ suppl. Can

528.
excerptum; ex Pselli scriptis?

Can 10 [K]

Πρότερον ἐδόκουν τὰς ἐναντίας φύσεις εἰς τὸ ἐναντίον μεταχθήσεσθαι καὶ τὸ πῦρ ἀποβαλεῖν τὴν θερμαντικὴν καὶ καυστικὴν δύναμιν καὶ πρὸς τὴν τοῦ ὕδατος ψύξιν μεταπεσεῖν, ἢ σὲ τῆς πρός με διαθέσεως, ἀλλοιότερόν τι ἐπινοήσασθαι.

529.
excerptum; ex Pselli scriptis?

Can 12 [K]

Γεννᾶταί τις λίθος ἐν τῷ Ὑδάσπῃ ποταμῷ, ὡς Δερκύλος ἡμᾶς διδάσκει ἐν ταῖς περὶ τούτων ἀναγραφαῖς καὶ διατυπώσεσιν, ὃς αὐξανομένης μὲν τῆς σελήνης ἦχον καὶ μελῳδίαν ἀποτελεῖ, ληγούσης δὲ ἄναυδος μένει καὶ σιωπηλὸς καὶ νεκρός. Καὶ ἐν
5 Αἰσάρῳ τῷ Κελτικῷ ποταμῷ κυΐσκεταί τις ἰχθὺς κλοπίας ὀνομαζόμενος· ὃν δή φασι, πλησιφαοῦς μὲν οὔσης τῆς σελήνης, λευκαίνεσθαι καὶ λαμπρύνεσθαι, μελαίνεσθαι δ᾽ αὖθις τοῦ φωτὸς αὐτῆς ὑπομειομένου ταῖς ἀποστάσεσι.

Τοιγάρτοι καὶ ἡμεῖς ἐπὶ πλεῖστον συνυψωθέντες καὶ συναυξη-
10 θέντες τῷ δεσπότῃ ἡμῶν, καὶ τῇ δόξῃ ἐξογκωθέντες καὶ ὑπεραρθέντες τῇ ἐξουσίᾳ, καὶ τῶν πολλῶν ἐν πολλοῖς κατευμεγεθήσαν-

1–8 γεννᾶται – ἀποστάσεσι: Ioann. Lyd. De mens. 3,11,35–43 φασὶ δέ τινες, ὧν ἐστι καὶ Δέρκυλλος, ὅτι γεννᾶται ἐν τῷ Ὑδάσπῃ ποταμῷ λίθος λυχνὶς καλούμενος· οὗτος σελήνης αὐξομένης ἦχον μελῳδίας ἀποδίδωσι. ἀλλὰ μὴν καὶ ἐν Ἀράρει ποταμῷ τῆς Κελτικῆς, μᾶλλον δὲ ⟨Αἰσάρῳ⟩ Συβάρεως, γεννᾶται ἰχθύς, κλοπίαν δὲ αὐτὸν οἱ ἐπιχώριοι καλοῦσι. τοῦτον λέγουσιν αὐξανομένης μὲν τῆς σελήνης λευκαίνεσθαι, μελαίνεσθαι δὲ αὖθις μειουμένου τοῦ φωτὸς αὐτῆς. cf. etiam Boissonade, Anecdota Graeca I 418,8–15

ep. 528 K 59v ‖ **3** ψῦξιν Can ‖ **ep. 529** K 59v–60r ‖ **7** λευκαίνεσθαι – μελαίνεσθαι K corr. Gui,46: λευκαίνεται καὶ λαμπρύνεται, μελαίνεται Can **11–12** κατευμεγεθήσαντες corr. Gui,47: καταμεγεθήσαντες K καταμεγεθίσαντες dubitanter corr. Can

τες, νῦν συγκατήχθημεν καὶ τοῖς πολλοῖς ἀγόμεθα [καὶ] περιφερόμεθα.

530.
excerptum; ex Pselli scriptis?

Can 14 [K]

Ἀριστοτέλης, ὡς οἶσθα, τὴν ἀπλανῆ σφαῖραν μὴ οὖσαν ἐν τόπῳ δείκνυσιν. Ἐγὼ δὲ τοῦτον ἀπ᾽ ἐναντίῳ ἐκείνου πάντα διαπορευόμενον τόπον πεπλανημένην σφαῖραν ἀποκαλῶ.

531.
excerptum; ex Pselli scriptis?

Can 15 [K]

Τὸν Κόροιβον ἠλίθιον λέγουσι.

532.
excerptum; ex Pselli scriptis?

Can 16 [K]

Καὶ σχηματίζομαι καὶ μεταβάλλομαι κατὰ τὸν Αἰγύπτιον

1–2 Ἀριστοτέλης – δείκνυσιν: Ioann. Philop. In Cat. 33,21–22 τὴν γὰρ ἀπλανῆ σφαῖραν ἀποδείκνυσιν ὁ Ἀριστοτέλης μὴ οὖσαν ἐν τόπῳ. cf. etiam Psel. Ἐκ τοῦ αὐτοῦ λόγου, εἰς τὸ ʻεἰ δὲ ἄυλον φήσομενʼ = Theol. I 50,68–70 **1** τὸν κόροιβον ἠλίθιον λέγουσι: cf. Hesych. κ 3649 Κόροιβος· ἠλίθιος καὶ μωρός. cf. Psel. Ὑπὲρ τοῦ νομοφύλακος κατὰ τοῦ Ὀφρυδᾶ = Or. for. 3,15–17 ἀλλὰ πρός τινα λῆρον διαμαχομένῳ, οἷον ὁ τῆς ἱστορίας λόγος ὑπογράφει τὸν Κόροιβον ‖ **1–2** κατὰ – Πρωτέα: locus communis (ex Hom. Od. 4,384–386); cf. Psel. Χρονογραφία VI,152, Ἐκ τοῦ περὶ τοῦ πνεύματος λόγου εἰς τὸ ʻΣαδδουκαῖοι μὲν …ʼ = Theol. I 106,115–116, et Π 62,15–18, Π 77,26–27 = Π 130,26–27, Π 254,39, et Π 288,29–30

12 συγκατήχθημεν corr. Malt (in app. crit. Can): συγκατήθημεν K | καὶ[2] suppl. Can ‖ **ep. 530** K 60r ‖ **ep. 531** K 60r ‖ **1** ἠλίθιον corr. Can: ἢ λίθινον K **ep. 532** K 60r ‖ **1** σχηματίζομεν … μεταβάλλομεν Can

Πρωτέα καὶ καθ᾽ ἑκάστην ἀμείβομαι.

533.
excerptum et paraphrasis [cf. Psel. Πρὸς τὴν σύνοδον κατηγορία τοῦ ἀρχιερέως = Or. for. 1,424–426]

Can 17 [K]

Ἐς Ἄμμωνος, ἢ ἐς Ἀμφιάρεω, ἢ Δελφόθι ἐπεφοιτήκειν, καὶ Βάκιν ἢ Σιβύλλαν πρὸς τὴν τοῦ πράγματος ἀγνωσίαν συνεργὸν ἔλαβον.

534.
excerptum ex Π 202 (ll. 36–37)

Can 20 [K]

Κλεάνθης καὶ Ζήνων πάντα δόντες συλλογισμοῖς, οὐδὲν ᾠήθησαν ἀσυλλόγιστον καὶ ὑπὲρ ἀπόδειξιν.

535.
excerptum ex Π 202 (ll. 105–106)

Can 21 [K]

Τὸ συλλογίζεσθαι οὐ δόγμα ἐστὶ τῆς ἐκκλησίας ἀλλότριον οὔτε

1–2 ἐς Ἄμμωνος – ἔλαβον: cf. Psel. Κατηγορία τοῦ ἀρχιερέως = Or. for. 1,425–427 καὶ οἱ μὲν ἐς Ἄμμωνος, οἱ δὲ ἐς Ἀμφιάρεω, οἱ δὲ ἐς Δελφοὺς ἐφοίτων, τοῖς δὲ Βάκις καὶ Σίβυλλα φωνὰς ἠφίεσαν μαντικάς. cf. etiam Π 134,1–2

2 ἑκάστην scripsi: ἑκάστ(ους) Can | ἀμείβομεν Can ‖ **ep. 533** K 60r; cf. supra app. font. (Πρὸς τὴν σύνοδον κατηγορία τοῦ ἀρχιερέως = Or. for. 1,424–426) **1** Δελφόθι scripsi: Δελφό^{θ} K Δελφόθεν Can | Βάκιν corr. Can: Βάβ(ιν) K **2** Σιβύλλ(αν) K: Σίβυλλαν corr. Can ‖ **ep. 534** K 60r = Π 202,36–37 (P D) **1** Κλεάνθης – Ζήνων K: Κλεάνθην καὶ Ζήνωνα οἵ Π 202,36 ‖ **1–2** ᾠήθησαν ἀσυλλόγιστον K Can D: ἀσυλλόγιστον ᾠήθησαν Π 202,37 (P Cris[1]) **ep. 535** K 60r = Π 202,105–108 (P D B) ‖ **1** τὸ συλλογίζεσθαι οὐ K Can: τὸ γὰρ συλλογίζεσθαι, ὡς οἶδας καὶ αὐτὸς ἀδελφέ, οὔτε Π 202,105–106 (D) τὸ γὰρ συλλογίζεσθαι, ἀδελφέ, οὔτε P τὸ γὰρ συλλογίζεσθαι, ἀδελφοί, οὔτε B

θέσις τις τῶν κατὰ φιλοσοφίαν παράδοξος, ἀλλ' ἢ μόνον ὄργανον ἀληθείας, καὶ ζητουμένου πράγματος εὕρεσις.

536.

excerptum ex Π 377 (ll 12–18) et excerptum aliud

Can 22 et 23 [K]

Μὴ οὖν ἀντίθετος γενοῦ σεαυτῷ, ἀλλ' ὅμοιος ἁπανταχοῦ, τέλους ἀγαθοῦ, [π]ροοίμιον κάλλιστον παριστῶν, μὴ ἐξ ὑπολήψεως τὸ καλὸν ἐργαζόμενος, ἀλλ' ἐκ περιουσίας [τὴν περὶ σεαυ]τοῦ ἀρετὴν πᾶσιν ἐπιδεικνύς, εὑρέσεις τὰ φθάσαντα τῶν μελλόντων [τιθέμενος], καὶ πρὸς ἰδέας μεταποιούμενος κρείττονας, μὴ δεινῶς 5 τὴν σεαυτοῦ [μεθοδ]εύων χρηστότητα, ἀλλ' ἐπιεικῶς, ἀφελῶς. Εἰ μὲν γεγηρακότα τὸν Νέστορα ὥπλιζον, ἢ τὸν Θερσίτην πρὸς συμβουλὴν διηρέθιζον, ἐπέσχον ἂν τὸ στόμα, ἢ οὐδ' ἐθάρρησα πώποτε τοιαῦτα σὺν ἀξιώσει προβάλλεσθαι. Ἐπεὶ δ' «εἰς πεδίον τὸν ἵππον» (ὅ φασι) διεγείρομεν καὶ «ἀετὸν ἀέρι» δίδωμι (ὅπερ 10 λέγεται), οὐ δειλιῶ τὴν ἀξίωσιν.

537. {Τοῦ Ψελλοῦ}

P-K[1] [c[3]]

Ἐβουλόμην μὲν λίθους ἐξ Ἰνδῶν ἔχειν ἢ μαργαρίτας, ὅτι

4–6 εὑρέσεις … ἰδέας … μεθοδεύων … ἐπιεικῶς, ἀφελῶς termini ex Hermogenis Arte Rhetorica ‖ **6–7** εἰ – ὥπλιζον: Greg. Naz. Epist. 52,1 ἐν μετοπώρῳ τὰ ἄνθη παρὰ τοῦ λειμῶνος αἰτεῖς καὶ γεγηρακότα ὁπλίζεις τὸν Νέστορα. cf. Π 269,35–37 σὺ μὲν οὖν καὶ γεγηρακότα με καθοπλίζεις, καὶ μονονοὺ τὴν Ἀχίλλειον ἐγχειρίζεις μελίαν, καὶ περιβάλλεις τῇ ἀσπίδι τοῦ Νέστορος **9–10** εἰς – ἵππον: proverbium, CPG I 191 (nr. 65) et II 464 (nr. 11) ‖ **10** ἀετὸν ἀέρι: proverbium, CPG I 45 (nr. 49), 351 (nr. 17) et II 55 (nr. 9) ἀετὸν ἵπτασθαι διδάσκεις

2 φιλοσοφίαν K P B Can: φιλοσόφους Π 202,107 (D) ‖ **ep. 536** K 60r–v = Π 377,12–18 (P H) ‖ **1** τέλους Can (cf. Π 377,14): τέλος K ‖ **2** προοίμιον suppl. Can (cf. Π 377,14) ‖ **3** τὴν περὶ σεαυτοῦ suppl. Can (cf. Π 377,15) ‖ **5** τιθέμενος suppl. Can (cf. Π 377,17) ‖ **6** μεθοδεύων suppl. Can (cf. Π 377,18) | post ἀφελῶς des. excerptum ex Π 377; Can 23 continuat in K ‖ **ep. 537** F 46r, c[3] 113r: tit. c[3]: om. F ‖ **1** ἐβουλόμην c[3] P-K[1]: [.]βουλόμην F | ὅτι c[3] P-K[1]: ὅτι τι F

μεγίστους καὶ λαμπροτάτους, καὶ τούτους προσενεγκεῖν σου τῇ μεγαλοπρεπεία. Ἀλλ' ἐπειδὴ πολλῷ τῷ μέτρῳ τῆς προαιρέσεως τὰ πράγματα ἡμῖν ἀπολείπεται, ἡ διάθεσις καὶ τὸ σὸν εὐμενὲς
5 ἀναπληρούτω τὸ τούτων ὑστέρημα.

538. {Κῦρ Μιχαὴλ τοῦ Ψελλοῦ φιλοσόφου και ῥήτορος· πρὸς τὸν ἀνεψιὸν τοῦ πατριάρχου κῦρ Μιχαὴλ τὸν Θεοφύλακτον, ὅτι φιλοῦντα τὴν μουσικήν, τὴν τραγῳδίαν, τὰς δημοτικὰς παροιμίας ὑπὲρ τὴν τῆς φιλοσοφίας τέχνην καὶ γραφῶν ἐπιμέλειαν}
versio vel paraphrasis postbyzantina = Π 117,1–10, Π 269,26–27, Π 274,1–16, Πρός τινα κάπηλον μεγάλαυχον καὶ φιλοσοφοῦντα ἀλάκενα = Or. min. 13,52–56, Π 274,16–25, Or. min. 13,8, 19–20, 26–31, 32–33, 72–73, et 73–83; cf. Volk 2002

L-D [a5]

Οὐκ οἶδα τίσι ποτὲ χρήσομαι λόγοις, πρὸς σὲ τὸν λόγον ποιούμενος, ἀνεψιὲ φίλτατε τοῦ ἁγιωτάτου ἡμῶν πατριάρχου. Πότερον ἐνδείξομαί σοι τὴν κοινωνίαν τῶν συμφορῶν, καὶ καταθρηνήσω τοῦ γράμματος ἐνδιαθέτως (οὐκ ἐξεπίτηδες), ἢ
5 παραμυθητικοῖς σε λόγοις ἀνακαλέσομαι; Βούλομαι μὲν οὖν ἀμφότερά σοι κεράσαι, ἀλλ' ἐκκρούεται θάτερον θατέρου. Ἐν μέρει τοιγαροῦν (ὡς ἂν οἷός τε ὦ) ἀμφοτέροις χρήσομαι· μὴ γὰρ εἴην οὕτω ζῶν, μηδὲ τοῦ κρείττονος μέρους ἀποτετμημένος, μηδ' ὥσπερ ἡμίτομόν τι τέρας καὶ ὢν καὶ φαινόμενος.

8–9 μηδὲ – φαινόμενος: Greg. Naz. Εἰς τὸν μέγαν Βασίλειον … = Or. 43,80 ἡμιθνὴς δὲ Γρηγόριος καὶ ἡμίτομος, τῆς μεγάλης ἀπερρωγὼς συζυγίας cum Psel. Ἐπιτάφιος εἰς τὴν ἑαυτοῦ μητέρα 907 et Π 117,8–10, Π 118,61, Π 201,40–41, et Π 360,9; cf. etiam Π 538,8–9

ep. 538 a5 10r–12r (= 18r–20r) et excerpta ex Π 117,1–10 (L 13r–14v), Π 269,26–27 (L 25v), Π 274,1–16 (L 15v), Or. min. 13 (L 9v–11v, P 62v–63v, et V 61r–62v), ll. 52–56, Π 274,16–25 (L 15v–16r), Or. min. 13,8, 19–20, 26–31, 32–33, 72–73, et 73–83; tit. a5 L-D: τῷ προέδρῳ Κωνσταντίνῳ, τῷ ἀνεψιῷ τοῦ πατριάρχου Μιχαὴλ Π 117 ‖ **1–2** πρὸς – πατριάρχου a5 L-D: ἀνεψιὲ φίλτατε, καὶ πάντων ἀνδρῶν κάλλιστε, πρὸς σὲ τὸν λόγον ποιούμενος Π 117,1–2 **3** ἐνδείξομαί a5 L-D: δείξομαί Π 117,3 ‖ **6** θατέρου a5 L-D Π 117,7 (corr. Diam 303): παρὰ θάτερον L ‖ **9** post φαινόμενος des. excerptum Π 117

Τοῖς μὲν οὖν ἐμπεφραγμένοις τὸ οὖς, ἄηχόν τι χρῆμα πεφύκασιν αἱ βρονταί. 10

Τί δέ μοι μετὰ τῶν περδίκων τὰ γράμματα; ἄνευ γὰρ περδίκων ἢ τεττίγων οὐκ ἐξῆν; ἢ τὸ τῆς ἐπιστολῆς βάρος ταῖς τῶν περδίκων ἐπελαφρίζεται πτέρυξιν, καὶ τὸ τῆς παροιμίας ἐνταῦθα διαγιγνώσκεται, «αἴξ φορτίον ἀχθεινόν, ἐπίθετέ μοι τὸν βοῦν»; 15 Ἐγὼ δὲ οἶδα καὶ λουτροῖς αὐτόθι χρησάμενος, καὶ θερμοῖς αὐτομάτοις ἐπινηξάμενος, καὶ στρωμνὰς μαλακάς. Καὶ ὀλύνθους ἡ ἄμπελος ἤνεγκεν; ῥοδοφυὴς ὄρπηξ ἀντὶ κάλυκος ἡδυπνόου δυσώδη καρπὸν ἤνθησεν; Ἐγὼ δέ σοι πάντα παραχωρῶ, πλὴν τῶν ἐπιστολῶν· καὶ γὰρ καὶ τούτων τὸν καρπὸν ἠλλοίωσαν αἱ φιάλαι. 20

15 αἴξ – βοῦν: proverbium, CPG II 592 (nr. 63c) οὐ δύναμαι τὴν αἶγα φέρειν κἀπιτίθετε μοι βοῦν. cf. Π 274,4–5 ‖ **17–18** ὀλύνθους – ἤνεγκεν: cf. Cant. 2,13 ἡ συκῆ ἐξήνεγκεν ὀλύνθους αὐτῆς / αἱ ἄμπελοι κυπρίζουσιν. cf. etiam Psel. Ἑρμηνεία τοῦ Ἄισματος … πρὸς τὸν … Μονομάχον = Poem. 2,550–554. cf. Π 274,13–14

10 ab τοῖς μὲν inc. excerptum Π 269 | τοῖς μὲν οὖν ἐμπεφραγμένοις a5 L-D: καὶ τῷ ἐμπεφραγμένῳ Π 269,26 ‖ **11** post αἱ βρονταί des. excerptum Π 269 **12** ab τί δέ μοι inc. excerptum Π 274,1–16 | τὰ γράμματα a5 L-D: τὰ γράμματα τιμία ψυχή Π 274,1 ‖ **12–13** περδίκων2 – τεττίγων a5 L-D: περδίκων Π 274,2 ‖ **13** ἐξῆν scripsi (cf. Π 274,2): ἐξῆς a5 L-D **14** ἐπελαφρίζεται a5 L-D: ἐπελαφρύνεται Π 274,3 | καὶ a5 L-D: ἢ καὶ Π 274,3 **15** διαγιγνώσκεται a5 L-D: διαγινώσκεται Π 274,4 | ἀχθεινόν scripsi (cf. Π 274,4): ἀχθηνόν a5 L-D | τί δὲ καὶ καταψεύδῃ τοῦ Βασιλαίου, ὦ τοσοῦτον σὺ τὴν πενίαν ὑποκρινόμενε; οὐχ εἰς γονὰς σπερμάτων ἐπιτηδεία; οὐχ αἰγίβοτος; οὐ τὴν πόαν δαψιλής; οὐ τὰ μὲν αὐτῆς ὄρεια, τὰ δὲ πεδιάδες ἱππήλατοι post τὸν βοῦν Π 274,6–9 ‖ **17** ἐπινηξάμενος L-D Π 274,10: ἐπινηξόμενος a5 | καὶ – μαλακάς a5 L-D: καί μοι ὁ τηνικαῦτα πρόεδρος καὶ θήλειαν ἵππον προσήνεγκεν, ἀκριβῶς μέλαιναν καὶ λιπόσαρκον καὶ στρωμνὰς μαλακάς, αἷς τε ἐπικείμεθα καὶ αἷς ὑποκείμεθα. εἰ μή που ἀθρόον πάντα μετέβαλε Π 274,10–13 ‖ **18–19** ἤνεγκεν – ἤνθησεν a5 L-D: ἤνεγκεν Π 274,14 ‖ **19** πάντα a5 L-D: πάντων Π 274,15 ‖ **20** καὶ1 a5 L-D: οὐ Π 274,15 ἠλλοίωσαν – φιάλαι a5 L-D: ἠλλοίωσε τὸ Βασίλαιον Π 274,16 des. excerptum Π 274,1–16

Τὸ Θηρίκλειον, τὸ δακτυλωτόν, τὸν κώθωνα, τὸν Ἡρακλέα, τὸ ἡμίτομον, τὴν ἀμύστιδα, τὴν ἡδυποτίδα, τὸ κισσύβιον, τὴν λεκανίδα, τἆλλα ὅσα σοὶ γνώριμα, ἃ πάντα ἐκ μέσης καρδίας φιλεῖς.

25 Μέμνησο τὸ τῆς παροιμίας ῥητὸν καὶ αἰδέσθητι τοῦτο: «Τίνων πελιδνοὶ οἱ ὀφθαλμοί; Τίνι ἀηδίαι καὶ λέσχαι; Οὐχὶ τῶν ἐγχρονιζόντων ἐν οἴνοις;» Οὐαὶ τῷ ἀρνίῳ τῷ ἀποπλανηθέντι ἀπὸ τῆς ποίμνης αὐτοῦ· ἀπὸ γὰρ τῆς λίαν κραυγῆς βρῶμα τοῖς θηρίοις γενήσεται.

30 Ἡ φιλοσοφία μὲν ἐκ παιδείας γάρ, ἀλλ' οὐκ ἐκ πεδίων ἡ φορά, καὶ ἐκ ψυχῶν καὶ εὐχρηστοτάτων ἠθῶν, ἀλλ' οὐκ ἐξ ὀρῶν καὶ πανδοχείων. Σοῦ δέ γε ἕνεκα ἀναπληρωθεῖεν μὲν αἱ φάραγγες, διομαλισθεῖεν αἱ τραχύτητες· καὶ δρυπετεῖς γίνονται οἱ καρποί, καὶ «ἡ πίτυς ὄχνας ἐνέγκει» (τοῦτο δὴ τὸ βουκολικόν)· 35 καὶ ἀπολαύεις αὐτῶν, καὶ πάντων (εἰ βούλει) καὶ μόνος καὶ κατὰ

21–23 τὸ Θηρίκλειον – λεκανίδα: ex Athen. Δειπνοσοφισταί passim (Θηρίκλειον), 11,34 (δακτυλωτόν), passim (κώθων), 11,19,3 (Ἡρακλεωτικὸν), 11,40 (ἡμίτομος), 11,25 (ἄμυστις), 11,37 (ἡδυποτίδες), 11,53 (κισσύβιον), 9,44,13 (λεκανίδων); cf. Psel. Πρός τινα κάπηλον μεγάλαυχον καὶ φιλοσοφοῦντα διάκενα = Or. min. 13,52–56 et Π 450,35–37 ‖ **26–27** τίνων – οἴνοις: Prov. 23,29–30 τίνι οὐαί; τίνι θόρυβος; τίνι κρίσις; τίνι ἀηδίαι καὶ λέσχαι; τίνι συντρίμματα διὰ κενῆς; τίνος πέλειοι οἱ ὀφθαλμοί; οὐ τῶν ἐγχρονιζόντων ἐν οἴνοις; οὐ τῶν ἰχνευόντων ποῦ πότοι γίνονται; ‖ **34** ἡ – ἐνέγκει: Theocr. Θύρσις ἢ ᾠδή = Id. 1,133 καὶ ἁ πίτυς ὄχνας ἐνείκαι. cf. Π 274,19–20 et Π 284,47

21 ab τὸ Θηρίκλειον inc. excerptum Or. min. 13,52–56 (L P V) | Ἡρακλέα a[5] L-D: Ἡρακλέα, τὸν ἐλέφαντα [τὸν ἐλέφαντα om. L] (ὀνόματα δὲ ταῦτα μεγίστων ποτηρίων, φιλόσοφε, καὶ οὐ ζῴων, ὥς σύ γε οἴει ὁ μηδὲ ταύτην τὴν ἐπιστήμην ἀκριβωσάμενος, ἀλλ' ἀμβλὺς πρὸς πάντα γενόμενος) Or. min. 13,53–55 ‖ **22** ἀμύστιδα a[5] L-D Or. min. 13,55 (L): ἀμάστιδα Or. min. 13,55 (P V) | ἡδυποτίδα a[5] L-D: ἡδυπότιδα Or. min. 13,56 (L P V) | κισσύβιον a[5] L-D Or. min. 13,56 (P V): κισσύμβιον Or. min. 13,56 (L) ‖ **23** ὅσα a[5] L-D: τὰ Or. min. 13,56 (L P V) | post γνώριμα des. excerptum Or. min. 13,52–56 (L P V) **30** ἐκ[1] – γάρ ab ἐκ παιδείας γάρ inc. excerptum Π 274,16–25 ‖ **31** ψυχῶν – ἠθῶν a[5] L-D: ψυχῶν Π 274,17 ‖ **31–32** ὀρῶν – πανδοχείων scripsi: ὅρων καὶ πανδοχείων a[5] L-D ὀρῶν Π 274,17 ‖ **33** δὲ post διομαλισθεῖεν add. Π 274,18 γίνονται a[5] L-D: γίνοιντο Π 274,19 ‖ **34** ὄχνας a[5] L-D: ὄγχνας Π 274,20 ἐνέγκει a[5] L-D: ἐνέγκοι Π 274,20 | δὴ a[5] L-D Π 274,20 (corr. K-D): διὰ L **35** ἀπολαύεις a[5] L-D: ἀπολαύοις Π 274,20 | καὶ[2] – βούλει a[5] L-D: εἰ βούλει, καὶ πάντων Π 274,21

μόνας, καὶ φθόνος τοῖς γε νοῦν ἔχουσιν ἐν τούτοις οὐδείς. Ἡμῖν δὲ ἀρκεῖ τὰ βιβλία, καὶ ὁπόσοι ἐκεῖθέν μοι φύονται καρποί. Κἀνταῦθα τίς ἀφέλοι; Οὐ νεμεσήσω· στραφείην γὰρ αὐτίκα πρὸς τὸν θεόν. Οὗ μέ τις οὐκ ἂν ἀφαρπάσει ποτέ· ποῦ γὰρ ἀπενέγκοι μοι, οὗ μὴ ἐκεῖνος; 40

Ποίοις Πλατωνικοῖς κρατῆρσιν ἢ φέρ' εἰπεῖν ἐγκυκλίου παιδεύσεως ἐγένετο προσκορής, (φεῦ τῆς ζημίας!) ἀντί φιλοσόφου τρικάπηλον λέγεσθαι;

Ἀλλ' ὤ, τίνα ποτὲ φθέγξομαι ῥήματα, κρίματα δὲ λαλήσω, θεέ μου, πρὸς σέ; 45

Τὴν μὲν οὖν φιλοσοφίαν ὥς τινα θῆτα (εἴπερ θεράπαινα) ἐκκυλινδεῖσθαι πεποίηκας· τὴν δὲ μουσικὴν καὶ ἁρμονίαν γοῦν ὡς μέλη θεῖα κατάγουσι, καὶ πωλῶσι καπηλικαῖς καὶ κιγκλίσιν (οἴμοι!) καὶ πορνικαῖς.

Ἀλλὰ τοῦτο δὴ τὸ ῥῆμα, οἷά τινα δαλὸν ἐξημμένον, ἀνὴρ 50 διαδεξάμενος κάπηλος ὕλην ἑαυτῷ ἀπολογιῶν ἀκαίρων ἴσως περιποιήσαιτο.

36 φθόνος – τούτοις a[5] L-D: φθόνος Π 274,21 | ἡμῖν a[5] L-D: ἐμοὶ Π 274,22 **37** ὁπόσοι – καρποί a[5] L-D: ὅσα ἐκεῖθέν μοι φύεται Π 274,22 ‖ **38** κἀνταῦθα τίς a[5] L-D: κἂν ταῦτά τις Π 274,22–23 ‖ **39** ἀφαρπάσει a[5] L-D: ἀφαρπάσοι Π 274,24 ‖ **39–40** ἀπενέγκοι μοι a[5] L-D: ἀπενέγκοι Π 274,24 ‖ **40** post ἐκεῖνος des. excerptum Π 274,16–25 ‖ **41** ποίοις Πλατωνικοῖς κρατῆρσιν: cf. Or. min. 13,8 (L P V) ποίου Πλατωνικοῖς κρατῆρσιν ὅλως ἐμβάψαντος; **43** τρικάπηλον : cf. Or. min. 13,19–20 (L P V) ὦ τρικάπηλε ‖ **44–45** ἀλλ' ὤ, – πρὸς σέ: excerptum Or. min. 13,25–26 (L P V) ‖ **46–49** τὴν μὲν οὖν – πορνικαῖς: cf. Or. min. 13,26–31 (L P V) ὅτι διψῶσαν φιλοσοφίαν οὐχ ὕδασιν οὐρανίοις ἐκόρεσας, ἀλλὰ καπηλείοις καὶ μαστροπείοις ἐγκαλινδεῖσθαι [ἐγκυλινδεῖσθαι P] πεποίηκας; 'καὶ τρυγῶσιν αὐτὴν νῦν [om. L] πάντες οἱ παραπορευόμενοι τὴν ὁδόν.' καὶ τὴν μὲν ψυχὴν τῷ σώματι κατοικιζομένην μέλη θεῖα κατάγουσι καὶ μουσικῶν ἢ ἁρμονικῶν λόγων πληροῦσι καταβιβάζοντες, τὴν δέ γε φιλοσοφίαν ὥς τινα θῆτα εἴτε θεράπαιναν προσαῖτιν ἱστῶσι καπηλικαῖς κιγκλίσιν, οἴμοι [οἶμαι V], καὶ πορνικαῖς **50–52** ἀλλὰ τοῦτο – περιποιήσαιτο: excerptum Or. min. 13,32–33 (L P V) ἀλλὰ τοῦτο δὴ τὸ ῥῆμα, οἷά τινα δαλὸν ἐξημμένον, ἀνὴρ δεξάμενος [διαδεξάμενος L] κάπηλος ὕλην ἑαυτῷ ἀπολογιῶν ἀκαίρων ἴσως ποιήσαιτο [περιποιήσεται L]

Ἀλλά γε δή καὶ διαλεξώμεθα πρὸς ἀλλήλους· καὶ εἰ ἀπολογίαν εὖ ἀποδώσεις τοῦ λόγου, ποίει ὃ βούλει· καί με ἔα ἀμαθῆ
55 φθέγγεσθαι.

Εἰπέ μοι οὖν τὸ τῆς οὐσίας ὄνομα ὑπάρξεώς ἐστι παραστατικὸν ἢ ἑνώσεως; Καὶ ταὐτὸν ὕπαρξις καὶ οὐσία, ἢ ἕτερον παρὰ ταύτην; Καὶ πῶς ὁ Πλάτων ἐν μὲν Τιμαίῳ ἁρμονίαν εἶναι τίθεται τὴν ψυχήν, ἐν δὲ τῷ Φαίδωνι ἀπορραπίζει τὴν τοιαύτην δόξαν;
60 Καὶ ποῦ τὸ κακὸν τακτέον ἡμῖν; Καὶ πῶς γεννητή ὁμοῦ καὶ ἀγέννητος ἡ ψυχή; Ἀλλὰ ταῦτα πρὸς φιλοσόφους, ἀλλ' οὐ καπήλους. Τί ποτε ταῦτα τὰ ἐπιδήμια βούλεται, «τὰ ἐνύπνια, ἐν ὕπνῳ κοίτη», καὶ «ὅπερ ἐν ἑπτὰ κινέεται, τοῦτο ἐν τριπλασίῃσι τελειοῦ-

58–59 ὁ – ψυχήν: Plat. Τίμαιος 36e6–7 αὐτὴ δὲ ἀόρατος μέν, λογισμοῦ δὲ μετέχουσα καὶ ἁρμονίας ψυχή ‖ **59** ἐν – δόξαν: Plat. Φαίδων 92a6–95a2; cf. Psel. Συλλογαὶ διάφοροι καὶ ποικίλαι = Phil. min. II 13 (43,4–23) cum Ioann. Philop. In De an. 142–155 ‖ **60** ποῦ – ἡμῖν: cf. Procl. Περὶ τῆς τῶν κακῶν ὑποστάσεως. cf. Psel. Onm. doctr. 96 Διατί ὅλως ἐστὶ τὸ κακόν, 97 Τελεώτερον περὶ τοῦ κακοῦ, et 98 Εἰ ἔστι τὶ ἐν ἀγγέλοις κακόν ‖ **60–61** πῶς – ψυχή: cf. Plat. Φαῖδρος 245c5–246a2 … ἐξ ἀνάγκης ἀγένητόν τε καὶ ἀθάνατον ψυχὴ ἂν εἴη cum Τίμαιος 34b10–36d9 … ἡ τῆς ψυχῆς σύστασις ἐγεγένητο cum e.g. Procl. In Tim. I 235,1–17 et II 124,27–125,2; cf. etiam Psel. Omn. doctr. 51 Πῶς ὁ Πλάτων γεννητὴν ὁμοῦ τὴν ψυχὴν καὶ ἀθάνατον ἀποφαίνεται, et Π 126,1–9 et Π 400,21–23 ‖ **62–63** τὰ² – κοίτη: Hipp. Ἐπιδημίαι 6,8,9 τὰ ἐν ὕπνῳ, ἐνύπνια, κοῖται ‖ **63–64** ὅπερ – διπλασίῃσι: Hipp. Ἐπιδημίαι 6,8,6 ὅ τι ἐν ἑπτὰ κινέεται, ἐν τριπλασίῃ τελειοῦται, καὶ ὅ τι ἐν ἐννέα κινεῖται, ἐν τριπλασίῃ τελειοῦται

53 ἀλλά γε – ἀλλήλους: excerptum Or. min. 13,72–73 (L P V) ἀλλ' ἄγε [ἀλλά γε L P] δή, ὦ φιλόσοφε, χρησμολόγε δὲ μᾶλλον εἰπεῖν, κάλλιον διαλεξώμεθα πρὸς ἀλλήλους ‖ **56** ab τὸ τῆς οὐσίας ὄνομα inc. excerptum Or. min. 13,73–83 (L P V) ‖ **59** ἐν – Φαίδωνι a[5] L-D Or. min. 13,75 (L): ἐν Φαίδωνι δὲ Or. min. 13,75 (P V) | ἀπορραπίζει a[5] L-D: ἐπιρραπίζει Or. min. 13,76 (L P V) **60** τακτέον a[5] L-D Or. min. 13,76 (L V): τακτὸν Or. min. 13,76 (P) | γεννητή a[5] L-D Or. min. 13,77 (L V): γεννητή τε Or. min. 13,77 (P) ‖ **61** ταῦτα a[5] L-D: ταῦτα μὲν Or. min. 13,77 (L P V) | φιλοσόφους a[5] L-D: φιλόσοφον Or. min. 13,78 (L P V) ‖ **61–62** ἀλλ' – καπήλους a[5] L-D: πρὸς δὲ τὸν χρησμολόγον σὲ Or. min. 13,78 (L P V) ‖ **62–63** τὰ² – κοίτη a[5] Or. min. 13,79 (L): τὰ ἐν ὕπνῳ, ἐνύπνια, κοῖται Or. min. 13,79 (P V) τὰ ἐνύπνια, ἐν ὑπνωκοίτῃ L-D ‖ **63** ὅπερ a[5] L-D: ὅ τι Or. min. 13,79 (L P V) | τριπλασίῃσι a[5] L-D Or. min. 13,80 (L): τριπλασίοισι Or. min. 13,80 (P V)

ται, καὶ ὅ τι περ ἐννέα, τοῦτο ἐν διπλασίῃσι»; Ἀλλ' οὐ χρὴ πολλὰ πρὸς τοῖς γε νοῦν ἔχουσι φθέγγεσθαι ἀλλ' ἢ μόνον δεικνύειν τὸν 65 ὀβολόν, κἀκεῖνος εὐθὺς ἕψεται.

539a.

versio prima [P], retractatio Pselli? anepigrapha in P; post ⟨De servitute a secretis⟩ = Or. min. 11 et ⟨De invidia et aemulatione a secretis⟩ = Or. min. 12; cf. Π 539b = versio altera [F] et Τοῦ Νικομηδείας εἰς τὸν Συνάδων [w²]

S 14 [P]

Καὶ ὁ λύχνος εἰ μή τις αὐτὸν τῷ ἐλαίῳ ἐπάρδοι, τάχιστ' ἂν πάντως ἀποσβεσθείη· καὶ τὸ τῆς ἀγάπης φῶς εἰ μὴ συνεχῶς οἱ κεκτημένοι ἀλλήλοις ὁμιλοῖεν ἢ παρόντες ἢ ἀπόντες τοῖς γράμμασι, κινδυνεύσῃ ἂν ἀπομαρανθῆναι.

Ἔνθεν τοι καὶ ἡμεῖς δεδιότες, μήποτε ἡ μακρὰ ἀπουσία καὶ 5 διάστασις καὶ τὸ ἐπὶ τοσοῦτον ἀνομίλητον τὸν τῆς διαθέσεως ἀποσβέσῃ πυρσόν, πρὸς τὴν παροῦσαν γραφὴν ὡρμήθημεν, τοὺς τῆς ἀγάπης ἀνασκαλεύοντες ἄνθρακας, καὶ τὸ ἐν αὐτοῖς φῶς ἀπομαρανθὲν ἀναζωπυροῦντες, καὶ οἱονεὶ πρὸς μετέωρον φλόγα

64 τι περ a⁵ L-D Or. min. 13,80 (L): ὅ τι Or. min. 13,80 (P V) | ἐννέα a⁵ L-D: ἐν ἐννέα Or. min. 13,80 (L P V) | διπλασίῃσι a⁵ L-D: τριπλασίῃσι Or. min. 13,80 (L) τριπλασίοισιν Or. min. 13,80 (P V) | ἀλλ' οὐ a⁵ L-D: εἰ δέ τι καὶ ἕτερον βούλει, προθύμως λέξω πρὸς σέ· ἀλλ' οὐ Or. min. 13,80–81 (L P V) ‖ **65** τοῖς – ἔχουσι a⁵ L-D: κάπηλον Or. min. 13,82 (L P V) | δεικνύειν a⁵ L-D: ὑποδεικνύειν Or. min. 13,82 (L P V) ‖ **66** ἕψεται a⁵ Or. min. 13,83 (L P V): ἕψετται L-D post ἕψεται des. excerptum Or. min. 13,73–83 (L P V) ‖ **ep. 539a** P 195v; cf. F 14v–16r = Π 539b (versio altera) et w² 164v–165v; tit. om. P S: τοῦ Νικομηδείας εἰς τὸν Συνάδων w² Dar Vin Δίωνος Εὐσεβίῳ / Ἰωάννου Εὐσεβίῳ (in marg.) Π 539b ‖ **1** ἐπάρδοι w² P S Lamp Dar Vin: ἐπάρδει Π 539b,1 | τάχιστ' ἂν P S: τάχιστα ἂν w² Lamp Dar Vin τάχειστα ἂν F **2** ἀποσβεσθείη P S corr. Lamp Dar Π 539b,2: ἀποσβεσθῇ w² Vin **3** κεκτημένοι P S: φιλοῦντες w² Lamp Dar Vin Π 539b,3 | ἀλλήλοις ὁμιλοῖεν w² P S Lamp Dar Vin: ὁμιλοῖεν ἀλλήλοις Π 539b,3 ‖ **4** κινδυνεύσῃ P S: κινδυνεύσοι w² Lamp Dar Vin Π 539b,4 ‖ **5** ἔνθεν τοι καὶ P S: ὅπερ w² Lamp Dar Vin Π 539b,5 | ἀπουσία P S Π 539b,5: ἀπουσία τε w² Lamp Dar Vin **6** διάστασις w² P S Lamp Dar Vin: ἡ διάστασις Π 539b,5–6 | τῆς διαθέσεως P S: τηλικοῦτον τῆς φιλίας w² Lamp Dar Vin Π 539b,6 ‖ **7** ἀποσβέσῃ P S corr. Lamp Dar: ἀποσβέσει w² Vin Π 539b,7 | παροῦσαν w² P S Lamp Dar Vin: om. Π 539b ‖ **9** ἀπομαρανθὲν P S: om. w² Lamp Dar Vin Π 539b

10 ἀνάπτοντες· ἴδε γὰρ ὅσος διερρύη χρόνος καὶ οὐ παρ' ἀλλήλων ἐφοίτησαν γράμματα, οὐ προσρήσεις δεξιαί, οὐ σύμβολα χρηστά.

Μέμφομαι μὲν ἐμαυτῷ τῆς ἐπὶ τοσοῦτον σιγῆς· αἰτιῶμαι δὲ καὶ σὲ ὡς ἐπίσης σιγήσαντα, καὶ ἀξιῶ γράμμασι δηλῶσαι ὡς ἔχει τὰ σά. Ἔχοι δὲ πάντως καλῶς, καὶ ὡς εὐκταῖον ἡμῖν· εἰ γὰρ καὶ 15 τὸ τῆς ἀγάπης χρῆμα «οὐδέποτε ἐκπίπτει» κατὰ τὸν θεῖον Ἀπόστολον, οὐδὲ τόπου διάστασις λυμαίνεται τοῦτο, ἀλλ' ἐν οἷς ἐρρίζωται θάλλει ἀεὶ καὶ αὔξεται, καὶ ἀείζωόν ἐστι τὸ τοιοῦτον φυτόν, ἀλλὰ δεῖται πάντως καὶ τῆς διὰ τῶν γραμμάτων ἀρδείας

15 τὸ – ἐκπίπτει: I Cor. 13,8 ἡ ἀγάπη οὐδέποτε ἐκπίπτει (vel πίπτει cet. codd.)

10 ἴδε P S Π 539b,9: ἰδὲ w[2] Lamp Dar Vin | διερρύη P S Π 539b,10: ἐρρύη w[2] Lamp Dar Vin | οὐ P S w[2] Lamp Dar Vin: μὴ Π 539b,10 | ἀλλήλων P S Π 539b,10: ἀλλήλοις w[2] Dar Vin ἀλλήλους corr. Lamp ‖ **11** ἐφοίτησαν P S w[2] Lamp Dar Vin: ἐφοίτὰ F | δεξιαί P S: φιλικαί w[2] Lamp Dar Vin Π 539b,11 χρηστά P S: τῆς ἀγάπης w[2] Lamp Dar Vin Π 539b,11 ‖ **12** μὲν P S: μὲν οὖν w[2] Lamp Dar Vin οὖν Π 539b,12 | ἐμαυτῷ w[2] P S Lamp Dar Vin: ἐμαυτὸνῶν F τοσοῦτον P S Π 539b,12: τοσούτῳ w[2] Dar Vin τοσοῦτο corr. Lamp ‖ **13** σὲ P S: τὸν ποθούμενον σὲ w[2] Lamp Dar Vin Π 539b,13 | γράμμασι δηλῶσαι P S: γράμμασιν ἡμᾶς δεξιώσασθαι φιλικοῖς καὶ δηλῶσαι w[2] Lamp Dar Vin γράμμασιν ἡμᾶς ἀξιώσασθαι φιλικοῖς καὶ δηλῶσαι Π 539b,13–14 **14–15** εἰ – χρῆμα P S w[2] Lamp Dar Vin: τὸ τῆς ἀγάπης ὡς οἶδας κτῆμα Π 539b,15 ‖ **16** λυμαίνεται τοῦτο P S: διακόπτει τὸν πόθον w[2] Lamp Dar Vin ἐκκόπτει τὸν πόθον Π 539b,17 ‖ **17** ἐρρίζωται P S: ἐρρίζωται τοῦτο w[2] Lamp Dar Vin Π 539b,17 | θάλλει ἀεὶ P S Π 539b,18: θάλλει w[2] Dar Vin θάλλει καὶ αὔξει Lamp | τοιοῦτον P S: τῆς ἀγάπης w[2] Lamp Dar Vin Π 539b,18 **18–20** ἀλλὰ – μου : ἀλλὰ δεῖται πάντως τῆς διὰ τῶν γραμμάτων καὶ τῆς γλυκείας ἐπιρροῆς τῶν ἐκ ψυχῆς προσιόντων ναμάτων. ὃ δὴ ποιεῖν μὴ ἐλλίποις ὁ ποθεινότατός μου δεσπότης. ἐγὼ μὲν οὖν ἀεί σου τὸ τῆς ἀγάπης εἰλικρινές τε καὶ ἄδολον ᾔδειν ἀκριβῶς· πλέον δέ με πεπληροφόρηκεν ὁ κύρις Κωνσταντῖνος, ὁ θεοστεφὴς βασιλεύς. αὐτὸς γὰρ ἐντυχών σου (corr. Dar: σοι w[2]) πολλάκις τῇ ἱερότητι ἀπήγγειλεν ἡμῖν οἷα πρὸς τὴν αὐτοῦ βασιλείαν περὶ τῆς ἡμετέρας ἐλάλησας οὐθενότητος καὶ ὡς ἐκ ψυχῆς στέργεις ἡμᾶς τῷ περὶ ἡμᾶς φίλτρῳ διακαιόμενος. τοῦτο μὲν οὖν ἄξιον τῆς σῆς ἱερότητος καὶ πρέπον τῇ ἀγαθῇ σου ψυχῇ· ὁ δὲ τῆς ἀγάπης κύριος ἀντιμετρήσαι σοι τὸν ὑπὲρ τούτου μισθόν, ὅτι ἠγάπησας πολὺ καὶ τὴν τοῦ Χριστοῦ φυλάττειν ἐσπούδασας ἐντολήν, ὡς ἀληθὴς αὐτοῦ μαθητής. μεμνῆσθαι δὲ ἡμῶν ἐν ταῖς πρὸς κύριον εὐχαῖς σου μὴ διαλίποις w[2] Lamp Dar Vin ἐγὼ μὲν ἀεί σου τὸ τῆς φιλίας ἀγάπης εἰλικρινές τε ἀκριβῶς ᾔδειν, ὁ δὲ τῆς ἀγάπης κύριος ἀντιμετρῆσαι σοι τὸν ὑπὲρ τούτου μισθόν, ὅτι ἠγάπησας πολύ, καὶ τὴν τοῦ Χριστοῦ φυλάττειν ἐσπούδασας ἐντολήν, ὡς ἀληθὴς αὐτοῦ μαθητής·

τε καὶ πιάνσεως καὶ τῆς γλυκείας ἐπιρροῆς τῶν ναμάτων. Ὃ δὴ ποιεῖν μὴ ἐλλίποις ὁ θαυμάσιος δεσπότης μου. 20

539b. * Δίωνος Εὐσεβίῳ / Ἰωάννου Εὐσεβίῳ (in marg.)

versio altera [retractatio] in cod. F (ante Π 6); cf. Τοῦ Νικομηδείας εἰς τὸν Συνάδων [w²] et Georgii Calybae Epist. 6 [Vind. theol. gr. 227, f. 160r-161r, ed. Stefec 2011b,135–136]; cf. etiam Π 539a = versio prima [P]

ined. [F] (cf. Vin [w²], Dar [w²], Lamp [w²])

Καὶ ὁ λύχνος εἰ μή τις αὐτὸν τῷ ἐλαίῳ ἐπάρδει, τάχιστα ἂν πάντως ἀποσβεσθείη· καὶ τὸ τῆς ἀγάπης φῶς εἰ μὴ συνεχῶς οἱ φιλοῦντες ὁμιλοῖεν ἀλλήλοις ἢ παρόντες ἢ ἀπόντες τοῖς γράμμασι, κινδυνεύσοι ἂν ἀπομαρανθῆναι.

1–24 καὶ – ἐλλίποις: cf. Georg. Calyb. Epist. 6,6–15 ἐπεὶ καὶ ὁ λύχνος εἰ μὴ τῷ ἐλαίῳ ἐπάρδηται, τάχα ἂν πάντως ἀποσβεσθείη, ὡσαύτως καὶ τὸ τῆς ἀγάπης φίλτρον, εἰ μὴ συνεχῶς ὁμιλοῦντες οἱ φίλοι, ῥᾳδίως μειοῦται καὶ εἰς οὐδὲν διαλύεται. ὅπερ κἀγὼ δεδιώς, μήπως ἡ μακρὰ ἀπουσία τὸν τῆς ἀγάπης ἀποσβέσει πυρσόν, πρὸς τὴν γραφὴν ὡρμήθην. ἴδε γάρ, πόσος ἐρρύη χρόνος καὶ οὐ παρ’ ἀλλήλων ἐφοίτα γράμματα. ἐπὶ τούτου μὲν μέμφομαι ἐμαυτὸν τῆς ἐπὶ τοσοῦτον σιγῆς, αἰτιῶμαι δὲ πάλιν τὸν ποθούμενον σέ, ὡς ἐπίσης σιγήσαντα καὶ ἀξιῶ γράμμασι φιλικοῖς ἡμᾶς ἀξιῶσαι καὶ δηλῶσαι, ὡς ἔχει τὰ σά. ὅτι τὸ τῆς ἀγάπης, οἶδας, κτῆμα οὐδέποτε ἐκπίπτει κατὰ τὸν θεῖον Ἀπόστολον, ἀλλ’ ἐν οἷς ἐρρίζωται, θάλλει ἀεὶ καὶ αὔξεται. καὶ ταῦτα μὲν ἐς τοσοῦτον· μεμνῆσθαι καὶ ὑπὲρ ἡμῶν ἐν ταῖς πρὸς τὸν κύριον εὐχαῖς σου, μὴ ἐλλείποις [ἐλλίποις cod.]

μεμνῆσθαι ἡμῶν ἐν ταῖς πρὸς τὸν κύριον εὐχαῖς σου, μὴ ἐλλίποις Π 539b,19–24

ep. 539b F 14v–16r (ante Π 6); cf. w² 164v–165v; P 195v = Π 539a (versio prima); tit. F: τοῦ **Νικομηδείας** εἰς τὸν Συνάδων w² Dar Vin om. Π 539a **1** ἐπάρδει F: ἐπάρδοι w² Lamp Dar Vin Π 539a,1 | τάχιστα ἂν scripsi (cf. τάχιστα ἂν w² Lamp Dar Vin): τάχειστα ἂν F τάχιστ’ ἂν Π 539a,1 **2** ἀποσβεσθείη F corr. Lamp Dar Π 539a,2: ἀποσβεσθῇ w² Vin ‖ **3** φιλοῦντες F w² Lamp Dar Vin: κεκτημένοι Π 539a,3 | ὁμιλοῖεν ἀλλήλοις F: ἀλλήλοις ὁμιλοῖεν w² Lamp Dar Vin Π 539a,3 ‖ **4** κινδυνεύσοι F w² Lamp Dar Vin: κινδυνεύσῃ Π 539a,4

5 Ὅπερ ἡμεῖς δεδιότες, μήποτε ἡ μακρὰ ἀπουσία καὶ ἡ διάστασις καὶ τὸ ἐπὶ τοσοῦτον ἀνομίλητον τὸν τῆς τηλικοῦτον τῆς φιλίας ἀποσβέσει πυρσόν, πρὸς τὴν γραφὴν ὡρμήθημεν, τοὺς τῆς ἀγάπης ἀνασκαλεύοντες ἄνθρακας, καὶ τὸ ἐν αὐτοῖς φῶς ἀναζωπυροῦντες, καὶ οἱονεὶ πρὸς μετέωρον φλόγα ἀνάπτοντες· ἴδε γὰρ
10 ὅσος διερρύη χρόνος καὶ μὴ παρ' ἀλλήλων ἐφοίτα γράμματα, οὐ προσρήσεις φιλικαί, οὐ σύμβολα τῆς ἀγάπης.

Μέμφομαι οὖν ἐμαυτῷ τῆς ἐπὶ τοσοῦτον σιγῆς· αἰτιῶμαι δὲ καὶ τὸν ποθούμενον σὲ ὡς ἐπίσης σιγήσαντα, καὶ ἀξιῶ γράμμασιν ἡμᾶς ἀξιώσασθαι φιλικοῖς καὶ δηλῶσαι ὡς ἔχει τὰ σά. Ἔχοι δὲ
15 πάντως καλῶς, καὶ ὡς εὐκταῖον ἡμῖν. Τὸ τῆς ἀγάπης (ὡς οἶδας) κτῆμα «οὐδέποτε ἐκπίπτει» κατὰ τὸν θεῖον Ἀπόστολον, οὐδὲ τόπου διάστασις ἐκκόπτει τὸν πόθον, ἀλλ' ἐν οἷς ἐρρίζωται τοῦτο θάλλει ἀεὶ καὶ αὔξεται, καὶ ἀείζωόν ἐστι τὸ τῆς ἀγάπης φυτόν.

15–16 τὸ – ἐκπίπτει: I Cor. 13,8 ἡ ἀγάπη οὐδέποτε ἐκπίπτει (vel πίπτει cet. codd.)

5 ὅπερ F w[2] Lamp Dar Vin: ἔνθεν τοι καὶ Π 539a,5 | ἀπουσία F Π 539a,5: ἀπουσία τε w[2] Lamp Dar Vin ‖ **5–6** ἡ διάστασις F: διάστασις w[2] Lamp Dar Vin Π 539a,6 ‖ **6** τηλικοῦτον – φιλίας F w[2] Lamp Dar Vin: τῆς διαθέσεως Π 539a,6 ‖ **7** ἀποσβέσει F w[2] Vin: ἀποσβέσῃ corr. Lamp Dar Π 539a,7 | τὴν F: τὴν παροῦσαν w[2] Lamp Dar Vin Π 539a,7 ‖ **8** φῶς F w[2] Lamp Dar Vin: φῶς ἀπομαρανθὲν Π 539a,8 ‖ **9** ἴδε F Π 539a,10: ἰδὲ w[2] Lamp Dar Vin ‖ **10** διερρύη F Π 539a,10: ἐρρύη w[2] Lamp Dar Vin | μὴ F: οὐ w[2] Lamp Dar Vin Π 539a,10 ἀλλήλων F Π 539a,10: ἀλλήλοις w[2] Dar Vin ἀλλήλους corr. Lamp | ἐφοίτα scripsi: ἐφοίτὰ F ἐφοίτησαν w[2] Lamp Dar Vin Π 539a,11 ‖ **11** φιλικαί F w[2] Lamp Dar Vin: δεξιαί Π 539a,11 | τῆς ἀγάπης F w[2] Lamp Dar Vin: χρηστά Π 539a,11 ‖ **12** οὖν F: μὲν οὖν w[2] Lamp Dar Vin μὲν Π 539a,12 | ἐμαυτῷ scripsi (cf. w[2] Lamp Dar Vin Π 539a,12): ἐμαυτὸνῶν F | τοσοῦτον F Π 539a,12: τοσούτῳ w[2] Dar Vin τοσοῦτο corr. Lamp ‖ **13** τὸν ποθούμενον F w[2] Lamp Dar Vin: om. Π 539a ‖ **13–14** γράμμασιν – δηλῶσαι F: γράμμασιν ἡμᾶς δεξιώσασθαι φιλικοῖς καὶ δηλῶσαι w[2] Lamp Dar Vin γράμμασι δηλῶσαι Π 539a,13 ‖ **15–16** τὸ τῆς – κτῆμα F: εἰ γὰρ καὶ τὸ τῆς ἀγάπης χρῆμα w[2] Lamp Dar Vin Π 539a,15 ‖ **17** ἐκκόπτει – πόθον F: διακόπτει τὸν πόθον w[2] Lamp Dar Vin λυμαίνεται τοῦτο Π 539a,16 | τοῦτο F w[2] Lamp Dar Vin: om. Π 539a **18** θάλλει ἀεὶ F Π 539a,17: θάλλει w[2] Dar Vin θάλλει καὶ αὔξει Lamp | τῆς ἀγάπης F w[2] Lamp Dar Vin: τοιοῦτον Π 539a,17

Ἐγὼ μὲν ἀεί σου τὸ τῆς φιλίας ἀγάπης τε εἰλικρινὲς ἀκριβῶς ἤδειν· ὁ δὲ τῆς ἀγάπης κύριος ἀντιμετρήσαι σοι τὸν ὑπὲρ τούτου 20 μισθόν, ὅτι ἠγάπησας πολύ, καὶ τὴν τοῦ Χριστοῦ φυλάττειν ἐσπούδασας ἐντολήν, ὡς ἀληθὴς αὐτοῦ μαθητής.

Μεμνῆσθαι ἡμῶν ἐν ταῖς πρὸς τὸν κύριον εὐχαῖς σου, μὴ ἐλλίποις.

540. {Τοῦ Ψελλοῦ,} Λέοντι πατρικίῳ (f) / * Τοῦ πρωτοσυγκέλλου, Λέοντι πατρικίῳ (a[2])

Wes 5 [f]

Ἐξ ὀδυνωμένης καὶ ἀθυμίᾳ βεβλημένης ψυχῆς καὶ συνοχῆς δακρύων, ἡ παροῦσα κεχάρακται δέησις, τῷ περιβλέπτῳ κυρίῳ μου, ὑπὲρ ταλαιπώρου προσαγομένη μητρός, καὶ ἀτυχῶν ἀδελφῶν, οἳ μόνον μοι τοῦ γένους ἐπὶ συμφοραῖς ἀλαλήτοις ὑπελείφθησαν ζώπυρον. Καὶ εἰ μὴ νέμεσιν ὑπώπτευον τινὰ 5 ἐπισπάσασθαι, αὐτὸς ἂν τὴν εἰς σὲ τὸν ἐμὸν κηδεμόνα πορείαν

ep. 540 Λέοντι πατρικίῳ[1]: cf. Π XXXVI?

19–24 ἐγὼ μὲν – ἀεί ἐλλίποις F: ἀλλὰ δεῖται πάντως τῆς διὰ τῶν γραμμάτων ἀρδείας καὶ τῆς γλυκείας ἐπιρροῆς τῶν ἐκ ψυχῆς προσιόντων ναμάτων. ὃ δὴ ποιεῖν μὴ ἐλλίποις ὁ ποθεινότατός μου δεσπότης. ἐγὼ μὲν οὖν ἀεί σου τὸ τῆς ἀγάπης εἰλικρινές τε καὶ ἄδολον ἤδειν ἀκριβῶς· πλέον δέ με πεπληροφόρηκεν ὁ κύρις Κωνσταντῖνος, ὁ θεοστεφὴς βασιλεύς. αὐτὸς γὰρ ἐντυχών σου (corr. Dar: σοι w[2]) πολλάκις τῇ ἱερότητι ἀπήγγειλεν ἡμῖν οἷα πρὸς τὴν αὐτοῦ βασιλείαν περὶ τῆς ἡμετέρας ἐλάλησας οὐθενότητος καὶ ὡς ἐκ ψυχῆς στέργεις ἡμᾶς τῷ περὶ ἡμᾶς φίλτρῳ διακαιόμενος. τοῦτο μὲν οὖν ἄξιον τῆς σῆς ἱερότητος καὶ πρέπον τῇ ἀγαθῇ σου ψυχῇ· ὁ δὲ τῆς ἀγάπης κύριος ἀντιμετρήσαι (corr. Lamp: ἀντιμετρῆσαί w[2]) σοι τὸν ὑπὲρ τούτου μισθόν, ὅτι ἠγάπησας πολὺ καὶ τὴν τοῦ Χριστοῦ φυλάττειν ἐσπούδασας ἐντολήν, ὡς ἀληθὴς αὐτοῦ μαθητής. μεμνῆσθαι δὲ ἡμῶν ἐν ταῖς πρὸς κύριον εὐχαῖς σου μὴ διαλίποις w[2] Lamp Dar Vin ἀλλὰ δεῖται πάντως καὶ τῆς διὰ τῶν γραμμάτων ἀρδείας τε καὶ πιάνσεως καὶ τῆς γλυκείας ἐπιρροῆς τῶν ναμάτων. ὃ δὴ ποιεῖν μὴ ἐλλίποις ὁ θαυμάσιος δεσπότης μου Π 539a,18–20 ‖ **19** τε εἰλικρινὲς correxi: εἰλικρινές τε F ‖ **20** ἀντιμετρήσαι correxi: ἀντιμετρήσαι τε F
ep. 540 f 90v, a[2] 141r–142r; tit. scripsi: τοῦ Ψελλοῦ, Λέοντι πατρικίῳ [cf. ep. Wes 3] f τοῦ πρωτοσυγκέλλου, Λέοντι πατρικίῳ a[2] [[τοῦ Ψελλοῦ]], Λέοντι πατρικίῳ Wes ‖ **1** ἀθυμίᾳ a[2] corr. Wes: εὐθυμία f ‖ **5** νέμεσιν f post corr. a[2] Wes: νέμεσιν τινα ante corr. a[2] ‖ **6** αὐτὸς f Wes: αὐτὴν a[2]

ἐποιησάμην, καὶ τῶν σῶν ἐφηψάμην ἰχνῶν, τὴν τῆς εὐσπλαγχνίας σου προμήθειαν ἐπιβραβεῦσαί μοι ἐξαιτούμενος, ὁ φιλαγάθῳ γνώμῃ κινούμενος συμπαθῶς. Ἀλλ᾿ ἐπεὶ καὶ τὸ
10 ἀνώμαλον τοῦ καιροῦ καὶ ἡ τῶν πραγμάτων παλίντροπος φορὰ καὶ παλίμβολος κατὰ χώραν μένειν ἐπέχουσιν, τόν γε δεύτερον πλοῦν, διὰ ταύτης μου τῆς πενιχρᾶς συλλαβῆς, τὴν τοῦ περιβλέπτου καὶ ἁγίου κυρίου μου φιλάγαθον γνώμην ἐκδυσωπῶ, εὐήκοον οὖς ἐπικλῖναι, καὶ γενέσθαι τῷ ἀτυχοῦντι θεόν.
15 Ὁ δεῖνα οὐκ οἶδ᾿ ὅ τι παθών, ἐκ μικρᾶς ἀφορμῆς τήν τε μητέρα μου καὶ τοὺς ἀτυχεῖς εἰσεκόμισεν ἀδελφούς. Ἐντεῦθεν ὁ μὲν εἷς τῶν ἀδελφῶν, τὸ τῆς λύπης μὴ φέρων δεινόν, ἐτελεύτησεν· ὁ δὲ ἕτερος μετὰ τῆς μητρὸς καὶ παίδων νηπίων διαζῇ, πλανήτης καὶ λάτρις, τῆς ἐφημέρου τροφῆς ὑστερούμενος. Τοίνυν δυσωπῶ
20 καὶ χεῖρας ἱκέτιδας ὑφαπλῶ, καὶ τῶν σῶν τοῦ ἐμοῦ μετὰ θεὸν κηδεμόνος προκυλινδοῦμαι ἰχνῶν, γραφὴν γενέσθαι τιμίαν σου πρὸς τὸν ἐπιτοπίως ἀποστελλόμενον, τοῦ μὴ ἐπιξάναι τοῖς ἡμῶν τραύμασι τραύματα, μηδὲ τοῖς ἀλγήμασιν ἐπιθεῖναι ἀλγήματα, μηδὲ ζημιωθῆναι ἀδίκως τὴν ἀτυχῆ μου μητέρα καὶ τὸν ἀτυχέ-
25 στερον ἀδελφόν· ἐξέλιπον γὰρ ἤδη ταῖς συμφοραῖς, καὶ ὡς εὐεργέτην ἐκκαλοῦνται τὸν θάνατον αὐτοῖς ἐπελθεῖν.

Βλέψον οὖν εὐμενῶς εἰς ἡμᾶς, καὶ τὸν σὸν ἔλεον ἐπιβράβευσον τοῖς ἀτυχοῦσιν ἡμῖν· εἰ μὴ γὰρ ἡ σὴ προκαταλάβῃ θερμοτάτη προμήθεια, πᾶσα ἡμῖν ἡ τοῦ βίου περιῃρέθη ἐλπίς.
30 Ἐρρωμένος διατελοίης, καὶ εὐθυμῶν ἐπὶ μείζοσιν ἐπαιρόμενος προκοπαῖς.

11–12 τόν – πλοῦν: proverbium; CPG I 359 (nr. 21) et II 24 (nr. 45); cf. etiam Π 408,42–43 et Π 448a,19

7 ἐφηψάμην f Wes: ὑφηψάμην a² ‖ **8** εὐσπλαγχνίας a² corr. Wes: εὐσπλαχνίας f ‖ **9** καὶ a²: om. f Wes ‖ **10–11** παλίντροπος … παλίμβολος: a²: παλίμβολος … παλίντροπος f Wes ‖ **13** φιλάγαθον a² dubitanter prop. Wes (in app. crit.): τὴν φιλάγαθον f Wes ‖ **14** εὐήκοον a² dubitanter prop. Wes (in app. crit.): εὐήκουον f Wes ‖ **18** πλανήτης a² corr. Wes: πλανῆτις f ‖ **20** ἱκέτιδας f Wes: οἰκετίδας a² | μετὰ corr. Wes: κατὰ f a²

541. Ἐπιστολαὶ {τοῦ Ψελλοῦ}

G³ 1 [w³]

Θάμιζε πρὸς ἡμᾶς, θαυμασιώτατε· ἐλεύσονται γὰρ ἡμέραι, ὅτε δή σου καὶ τοὺς λόγους ζητήσωμεν καὶ τὴν θέαν ἰδεῖν ποθήσωμεν, καὶ τῶν ἐθῶν εἰς ἔφεσιν ἔλθωμεν, καὶ ἀπέραντα πάντα τὰ τοῦ πόθου γενήσεται, τῆς ἐκδημίας ἡμᾶς μὴ συναπτούσης τοὺς διεστῶτας. 5

Τίς ἄρα παραμυθήσῃ με λυπούμενον; Τίς με τοῖς παρακλητικοῖς ψυχαγωγήσειε λόγοις ποθεινοῖς; Τίς κατὰ τοῦ δεῖνος εἴπῃ ὑπὲρ δὲ τοῦ δεῖνος ἀπολογήσεται; Τίς περὶ τῶν μαινάδων φήσῃ καὶ διαφορὰς τούτων καταριθμήσειε, καὶ ὀνόματα, τίς ἡ Λαΐς λέγων, ἡ Λέαινα, ἡ Σινώπη, ἡ Πυρρίνη, ἡ Σκιώνη, τίς 10 δι' ἀπορίαν τοῦ πρωκτοῦ τὰς κόμας τίλλεται, καὶ τίς πολλὰ χρήματα δοὺς ἀπήλλακται τοῦ δεσμοῦ, καὶ τἆλλα ὅσα οἱ τῆς κάτω μοίρας καὶ πράττειν καὶ λέγειν εἰώθασιν ἅπαντες; Τίς τοῦ βασιλέως τὸ ῥάμφος τοῖς ὀδοῦσι κατακεντήσειεν, ἢ μᾶλλον

8–13 περὶ – ἅπαντες: cf. etiam Π 219,8–15 ἐμέμνητο … ὁπόσα μὲν ἐν τῇ πόλει χαμαιτυπεῖα, ὁπόσα δὲ καπηλεῖα καὶ πόσαι μὲν τῶν ἑταιρουσῶν γυναικῶν ἀκριβῶς τὴν τέχνην ἠσκήκασι, πόσαι δὲ οὐκ ἀκριβῶς τῷ πράγματι ἥρμοσαν. κατεγίνωσκεν οὖν, εἴ τις καπηλὶς μὴ καὶ προεστήκοι, ἢ ἑταιρὶς μὴ καὶ μαστροπεύοι, ἢ καὶ προαγωγὸς μὴ καὶ ἑταιρεῖν βούλοιτο. ἐποιεῖτο δὲ καὶ κατάλογον, ὁπόσαι μὲν εἰς προὖπτον στρατεύοιντο, ὁπόσαι δὲ λοχίζουσι καὶ κεκρύφαται ‖ **10** τίς[1] – Σκιώνη: cf. Suda ε 3266 Ἑταῖραι Κορίνθιαι: Λαΐς, Κυρήνη, Λέαινα, Σινώπη, Πυρρίνη, Σκιώνη … φησὶ δὲ Ἀριστοφάνης ἐν Πλούτῳ· καὶ τάς γ' ἑταίρας φασὶ τὰς Κορινθίας, ὅταν μὲν αὐτάς τις πένης πειρῶν τύχῃ, οὐδὲ προσέχειν τὸν νοῦν· ἂν δὲ πλούσιος, τὸν πρωκτὸν αὐτὰς εὐθὺς εἰς τοῦτον τρέπειν ‖ **10–11** τίς[2] – τίλλεται: cf. Aristoph. Βάτραχοι 423–424 ἐν ταῖς ταφαῖσι πρωκτὸν / τίλλειν ἑαυτοῦ. cf. etiam supra Suda ε 3266 ‖ **13–14** τοῦ – ῥάμφος: ad Aristoph. Ὄρνιθες 99–102 – τὸ ῥάμφος ἥμιν σου γέλοιον φαίνεται. / – τοιαῦτα μέντοι Σοφοκλέης λυμαίνεται / ἐν ταῖς τραγῳδίαισιν ἐμὲ τὸν Τηρέα. / – Τηρεὺς γὰρ εἶ σύ; alludit?

ep. 541 w³ 51r ‖ **3** ἔλθωμεν corr. G³ : ἔλθομεν w³ ‖ **8** δεῖνος[2] corr. G³: δέοντος w³ ‖ **12** ἀπήλλακται corr. G³: ἀπήλακται w³

15 πηλοποιήσειε; Τίς ἅπαν ὑπαλείψαι τούτου τὸ πρόσωπον μέλανι καὶ τὰ ἔξωθεν θριαμβεύσειε καὶ τὰ ἐντός; Τίς τὴν φυσικὴν χρείαν ἐν τοῖς πεδίλοις τούτου πληρώσῃ, καὶ τὴν χιόνα λιθοβολήσας παίσῃ κατ' ὀφθαλμῶν; Τίνος μαστιγώσας σκυτάλῃ τὸ κῶλον ὁ τῆς πόλεως ἔπαρχος εἶτα δὴ καὶ μαλακῇ ἐσθῆτι περικαλύψῃ;

20 Ἀλλ' ὦ θεὲ θεῶν, δεῖξον αὐτῷ τοὺς Κροίσου θησαυρούς, ποῖά εἰσι τὰ Μίδου τάλαντα, ⟨τὸν⟩ τοῦ Τιμοθέου πύργον, τὸν ἐξαπίνης πλοῦτον ἢ ὄλβον Χρεμύλου, † τὴν κακοβίαν τῆς ἀπανθρωπίας Ἀσίαν †, ἵνα δὴ ταῦθ' εὑρὼν καὶ τοῖς ἔξω χαίρειν ἅπασι φήσειε, καὶ τοῖς ἔνδον συγκαθευδήσῃ πολλά.

542.

G[3] 2 [w[3]]

«Τὸ θέρος ἐν τῇ καλάμῃ φαίνεσθαι» παροιμιώδης λόγος φησίν· οἱ δὲ φίλοι, πόθεν ἂν γνωσθεῖεν ἑτέρωθεν, ἢ τί παραπεσὸν τὰς

15–16 τίς – ἐντός: cf. Εἰς τὸν Βουμῆ δαίροντα τὰς γυναῖκας γυμνὰς καὶ πληροῦντα τὸ πρόσωπον αὐτῶν αἰθάλης καὶ οὕτω δημεύοντα (ed. Hörandner 2001,120) et Τοῦ Ψελλοῦ εἴς τινα πομπεύοντα τὴν ἑαυτοῦ δούλην γυμνὴν καὶ ἠσβολωμένην τὰ πρόσιτα in Neap. III AA 6, f. 107v (Moore 2005,539) **18–19** μαστιγώσας – ἔπαρχος: cf. Psel. Πρός τινα κάπηλον μεγάλαυχον καὶ φιλοσοφοῦντα διάκενα = Or. min. 13,15–18 ὧν σὺ προστάτης καὶ πρόμαχος ὁμοῦ τε ἐχθρὸς καὶ ἐκδικητὴς καὶ νόμων ἴσως συμποτικῶν καὶ θεσμῶν ἐπαρχικῶν, εἴ τις ἄλλος φύλαξ ἀκεραιότατος, ἵνα μή σου τὸ κῶλον σκυτάλῃ μαστιγωθείη· οἷα δὴ καθεκάστην ὁρῶμεν γινόμενα ‖ **20** τοὺς – θησαυρούς: locutio proverbialis; cf. Π 447a,10 = Π 447b,12–13 ‖ **21** τὰ – τάλαντα: locutio proverbialis; cf. Π 5,81 |τὸν[1] – πύργον: cf. Suda τ 622 Τιμόθεος· ὄνομα κύριον. ὁ Τιμοθέου δὲ πύργος ἐμπέσοι γέ σοι. Ἀριστοφάνης Πλούτῳ [v. 180]. οὗτος ὁ Τιμόθεος πλούσιος ὤν, στρατηγὸς Ἀθηναίων, τεῖχος ᾠκοδόμησεν. ὃς ἐς τοσοῦτον ἤρθη τύχης, ὡς τὸν δαίμονα φαίνεσθαι ὄψει τούτῳ etc. ‖ **22** πλοῦτον – Χρεμύλου: cf. Aristoph. Πλοῦτος passim ‖ **1** τὸ – φαίνεσθαι: proverbium; cf. Karath. 103–104

15 ὑπαλείψαι corr. G[3]: ὑπαλεῖψαι w[3] ‖ **16** ἐντός post corr. w[3] G[3]: ἐκτός ante corr. w[3] ‖ **18** μαστιγώσας σκυτάλῃ dubitanter scripsi (cf. app. font.): καταψηφίσεις κύπελον w[3] καταψηφίσ' εἰς κύπελλον corr. G[3] (Papachryssanthou) ‖ **20** ποῖά corr. G[3]: ποία w[3] ‖ **21** τὸν[1] add. G[3] | πύργον scripsi (cf. app. font.): πλοῦτον w[3] G[3] ‖ **22–23** ἀπανθρωπίας Ἀσίαν : an ἀπανθρώπου Ἀσίας scribendum? ‖ **ep. 542** w[3] 51r ‖ **2** παραπεσὸν corr. G[3]: παραπεσών w[3]

γνώμας τούτων ἐλέγξαι δυνήσεται; Καιρὸς αἰτήσεως καὶ πραγμάτων πρόπτωσις καὶ μετάπτωσις. Ἀλλ' ἐγὼ νῦν οὐ μόνον σοι τὴν ἐμὴν παρέστησα, ἀλλὰ καὶ τῶν ἀπατηλῶς φιλούντων τὰς 5 γνώμας ὥσπερ ἐξήλεγξα, καὶ καθάπερ κῆρυξ μέγα Στεντόρειον βοᾶν ἐξασκήσας, πᾶσι διὰ τοῦ γράμματος ἐγκελεύομαι, τῆς ἀληθοῦς τε φιλίας ἀντέχεσθαι καὶ ταύτης (ὅση δύναμις) περιέχεσθαι· ἰδοὺ γάρ σοι καὶ ἡ βίβλος ἀπέσταλται, ἣν ἐπόθεις πάντως καὶ ἣν πυκνῶς ἐζήτεις, καὶ δι' ἣν ἡμᾶς πολλαῖς ταῖς ἐκ 10 τῶν λόγων νιφάσι κατέβαλες.

Διέλθε γοῦν μοι ταύτην καὶ ἅπαξ, καὶ αὖθις, καὶ πολλάκις ἣν βούλοιο· εἶτα δὴ καὶ πέμψον καὶ ἑτέραν ἀνταποστείλωμεν. Μόνον ἀεὶ φιλοπόνει μοι τὴν ἀνάγνωσιν, καὶ γενήσομαί σοι τρόπον ἕτερον Μάρκελλος ὃς μόνος ἔχειν διὰ χειρὸς τὰς βίβλους Ἰουλιανῷ 15 προσέταττε τῷ κακόφρονι, τῶν ἄλλων ἐκείνων προτρέψας τὴν ἐπιμέλειαν, πᾶσαν μετακομίζων βίβλον ῥητήν τε καὶ ἄρρητον.

543. Ἀντίγραμμα

G³ 3 [w³]

Οὐ λυπῶ τὸν Ἠλίαν ἐγώ, ἀλλ' ἡμέραι, σεβασμιώτατε. Οὐκ οἶδα δὲ εἰ κῆρύξ ἐστιν ἀγαθῶν· τούτων πόρρωθεν ἡμεῖς. Ἀλλὰ καὶ πάλιν αὐτὸς ἀγαθὸς ὅτι τῇ τῆς ἀγαθότητος πηγῇ συγκαθέζεται

6–7 μέγα – βοᾶν: proverbium; cf. Hom. Il. 5,785 Στέντορι … μεγαλήτορι χαλκεοφώνῳ, cf. Π 289,20–21, Π 298,22, et Π 477,7–8 ‖ **10–11** ταῖς – νιφάσι: Hom. Il. 3,222 ἔπεα νιφάδεσσιν ἐοικότα. cf. etiam Greg. Naz. Ἀπολογητικὸς εἰς τὸν ἑαυτοῦ πατέρα Γρηγόριον = Or. 9,4 πολλαῖς τῶν σῶν λόγων καὶ πυκναῖς ταῖς νιφάσιν etc. cum Psel. Ἐκ τοῦ αὐτοῦ λόγου, εἰς τὸ 'εἰ δὲ ἄυλον φήσομεν' = Theol. I 50,43 et Π 13a,10 et Π 13b,13–14 ‖ **15–17** Μάρκελλος – ἄρρητον: cf. Suda ε 1771 ἐξιστάμενος: ἀντὶ τοῦ παραχωρῶν. ὁ οὖν Μάρκελλος κύριος ἦν τῶν πραγμάτων, ὀνόματος μόνου καὶ σχήματος τῷ Ἰουλιανῷ ἐξιστάμενος, τὴν δὲ ἀληθεστέραν αὐτὸς ἀρχὴν μεταχειριζόμενος ‖ **1** τὸν Ἠλίαν: Elias, de eoque Π 77,9–10 = Π 130,10–11, Π 188,6, Π 219,2, Π 220,3, Π 253,1, Π 254,1, Π 288,1, Π 326,1, Π 327,1, et Π 450,1?

3 ἐλέγξαι : συνελέγξαι ante corr. w³ ‖ **3–4** καιρὸς – μετάπτωσις: γνώμη (?) in marg. w³ ‖ **7** ἐξασκήσας corr. G³: ἐξασχήσας w³ ‖ **8** ἀληθοῦς – φιλίας : γνώμη (?) in marg. w³ ‖ **13** ἀνταποστείλωμεν corr. G³: ἀνταποστείλομεν w³
ep. 543 w³ 51r ‖ **2** τούτων corr. G³: τοῦτον w³

καὶ παρὰ ταύτῃ οἰκεῖ, καὶ τῷ φίλτρῳ ταύτῃ συνήνωται. Ἔχει δὲ
5 καὶ παρὰ σοῦ τὸ ἀγαθόν, ἀλλ' οὐ τὸ πρῶτον, ἀλλὰ τὸ ἀπὸ τούτου
ἀπαύγασμα· καὶ πῶς γὰρ οὐκ ἀπαύγασμα σὺ καὶ τῆς πρώτης
λαμπρότητος λαμπηδὼν ἀστραπτικωτάτη; πάντως γὰρ οἶδας τὸ
αἴνιγμα καὶ δευτέρου λόγου οὐκέτι δεήσομαι. Τί δὲ τὸ τοῦ ἡλίου
πολύ τε καὶ ἄπειρον; ὁρῶ γὰρ ὑπὲρ τούτου πολυπλασιάζοντά σε
10 τὸν λόγον, οὐκ ἔχω δὲ καὶ ὅπως αὐτὸν νοήσαιμι.

544.

G[3] 4 [w[3]]

Ἡ πάντιμος ψυχὴ καὶ πανάγαθος, ποῦ μοι ὁ παμφάγος ἀνήρ, ἢ
(μᾶλλον εἰπεῖν) τὸ ἀδηφάγον ἐκεῖνο καὶ κοιλιόδουλον
παπαδόπουλον; Μᾶλλον δὲ ποῦ σοι τὸ καλὸν ὅραμα, τὸ ποθεινὸν
συνομίλημα, ἡ εὐμελὴς γνώμη, ἡ εὐπροαίρετος καὶ καλλίστη
5 συνείδησις; Ἀλλ' ὑμεῖς μὲν ἴσως ἡμῶν ἐπιλελάθεσθε, ἐγὼ δέ σου
καὶ τοῦ ἤθους ἐκείνου μεμνήσομαι, καὶ τῆς ἁπλότητος ⟨καὶ⟩
ἐπιεικείας καὶ τῶν ἄλλων πάντων καλῶν, ὥσπερ οὖν καὶ τῶν
ἐναντίων τοῦ ἀναιδοῦς ἐκείνου καὶ προγάστορος ἀδελφοῦ σου.

545.

G[3] 5 [w[3]]

Μᾶλλον ὁ ἀδελφὸς ἡμῶν ἀνιᾶται πολλὰ κατὰ σοῦ λόγοις αὐτὸν
τιτρώσκοντος δεινοῖς καὶ ἀθεμίτοις ὥσπερ φησί. Τίνες δὲ οὗτοι καὶ

5–7 τὸ[3] – ἀστραπτικωτάτη: Greg. Naz. Εἰς τὴν καινὴν Κυριακήν = Or. 44,3 φῶτα δεύτερα, τοῦ πρώτου φωτὸς ἀπαυγάσματα, αἱ περὶ αὐτὸν δυνάμεις, καὶ τὰ λειτουργικὰ πνεύματα. cf. Psel. Περὶ τοῦ διὰ τί εἰσιν οἱ ἄγγελοι πτερωτοὶ ... = Theol. II 38,30–31 ‖ **3** τὸ[1] – ὅραμα: cf. Nic. Chon. Χρονικὴ Διήγησις 269,10 τὸ γλυκερὸν φάος καὶ καλὸν ὅραμα ἀνθρώποις ‖ **8** προγάστορος: cf. e.g. Vita Aesopi (Vita G = recensio 3) 1,1–2 ὁ … Αἴσωπος … προγάστωρ etc.

5 τὸ[2] corr. G[3]: τοῦ w[3] | τὸ[3] corr. G[3]: τοῦ w[3] ‖ **8** οὐκέτι scripsi: ἔτι οὐκέτι w[3] G[3] δεήσομαι : δυνήσομαι ante corr. w[3] ‖ **ep. 544** w[3] 51r–v ‖ **2** ἀδηφάγον corr. G[3]: ἀδδηφάγον w[3] ‖ **4** συνομίλημα corr. G[3]: συνομίλλημα w[3] ‖ **5** ἐπιλελάθεσθε corr. G[3]: ἐπιλελάθεσθαι w[3] ‖ **6** καὶ[3] add. G[3] ‖ **ep. 545** w[3] 51v

ποίου τυγχάνουσι σχήματος, οὐκ ἐπίσταμαι· βοὴ δὲ περὶ τούτων πολλὴ καὶ κραυγὴ κατὰ πᾶσαν ὥραν ἐγείρεται. Καὶ σὺ μὲν κηρύττῃ, οὗτος δὲ κατ' ἐκεῖνον ὀδυνᾶται τὸν πλήσιον. 5

Βλέπε οὖν, ἀδελφέ, μήποτε καθ' ἡμῶν τὸ ῥεῦμα μετοχετεύῃς τοῦ σκώμματος, καὶ γινώμεθα παρανάλωμα καὶ πᾶσι βροτοῖς ἐπίχαρμα. Ἀλλὰ κλῖνόν μοι κάτω τὸν αὐχένα· πρὸς ἰσχυρότατον γὰρ ἀνταγωνιστὴν ὁ λόγος ἔστι σοι.

546.

G³ 6 [w³]

Τὸν εὐθὺς εἰς ἀγάπην γενόμενον τέλειον, μὴ ποθήσῃς κἂν ἴδῃς ποτέ· βαθμοὶ γὰρ καὶ τάξεις εἰσὶν ἀναβάσεων, καὶ ὅροι παραπεπήγασι καθ' οὓς καταλύοντες ἄνθρωποι δρόμου πάλιν ἀνεχόμεθα· ὁ δέ γε μὴ οὕτως ἀλλ' εὐθὺς εἰς αὐτὴν ἀναβεβηκὼς τὴν ἀκρώρειαν ταχύ τε πεσεῖται καὶ πρὸ τοῦ πτώματος οὐδὲν τῶν 5 ἄρτι βαινόντων ἐπὶ φιλίαν ἐπάγεται.

Οἶδας ποῦ τείνει τουτὶ τὸ αἴνιγμα; Ἀλλ' ἐγὼ συγγνώμων εἴπερ τις ἕτερος ὤν, εἰ τὸν πόδα τῇ πρώτῃ ἐρύσαντά σε βαθμίδι θεάσομαι, τὸ πᾶν ἀφήσω τοῦ παραπτώματος.

547.

G³ 7 [w³]

Τί οὐ φοιτᾷς πρὸς ἡμᾶς, οὓς οὐδεὶς μεμίσηκε πώποτε, εἰ μὴ σὺ πάντως ἐχθρὸς ὄντως ὑπάρχεις ἐμός; Διὸ δή σε καὶ τῷ λευκῷ ἄρτῳ ψωμίσω, καὶ ποτίσω ἴσως ἀψινθίτην, ἀλλ' ἄχρι τοῦδε· μὴ γὰρ δὴ τοῦτο πόρον τῆς σῆς κακίας ποιήσῃς ἢ ἀφιλίας (ἵν' οὕτω φήσαιμι), τῷ δὲ δεῖνι ἵνα κἂν ἐκεῖνος ἅπαξ τῆς ἑβδομάδος κομίζῃ 5 μοι τὰς ὑγιείας σου.

5 τὸν scripsi: τὸ w³ G³ | πλησίον G³ ‖ **6** ἡμῶν corr. G³: ὑμῶν w³ | μετοχετεύῃς corr. G³: μετοχετεύεις w³ ‖ **8** μοι κάτω corr. G³: μοι κάτω μοι w³ ‖ **9** λόγος corr. G³: λόγος λόγος w³ ‖ **ep. 546** w³ 51v ‖ **2** εἰσὶν corr. G³: εἰσσὶν w³ ‖ **3** οὓς corr. G³: ἃς w³ ‖ **ep. 547** w³ 51v ‖ **2** διὸ corr. G³: δυὸ w³ ‖ **2–3** λευκῷ ἄρτῳ corr. G³: λευκαρωτάτῳ w³ ‖ **3** ψωμίσω corr. G³: ψωμίζω w³ | ἀψινθίτην dubitanter corr. G³: ἀψήσαντα w³ ‖ **4** ποιήσῃς corr. G³: ποιήσεις w³

548.
Euthymii Malace? cf. retractatio (?) Euthymii Malace in b¹ (= Bon 4) et p³

G³ 8 [w³]

Καὶ τὸν αἰσθητὸν ἥλιον εἰς φαῦσιν τοῖς ἀνθρώποις καὶ θάλψιν ὁ δημιουργὸς ἀνῆψε, μακαριώτατε δέσποτα, καὶ σὲ λαμπρύνας ἐκείνου φαιδρότερον, ἐπὶ τὴν μεγάλην λυχνίαν ἀπέθετο. Ἐπεὶ οὖν φιλοτιμότερον ἐκείνου τὰς τῆς συμπαθείας ἀκτῖνας εἴωθας
5 ἐπαφιέναι τοῖς δεομένοις σου, πρόσειμι καὶ αὐτὸς ἀπορίας τῷ κρύει περισφιγγόμενος, καὶ μικροῦ κινδυνεύων καὶ αὐτὴν ἀποφυσῆσαι τὴν ἀναπνοήν.

Ἐπάφες οὖν εὐμενῆ τινα καὶ θερμὴν κἀμοὶ τὴν ἀκτῖνα τῆς εὐσπλαγχνίας σου, τῇ συμφύτῳ σοι συμπαθείᾳ καμπτόμενος, καὶ
10 μὴ ἀπέλθω τῶν ἐλπίδων κενός, ἄνθρωπος ἐπὶ μισθῷ γραφίδα σαλεύων, κἀντεῦθεν τοῦ ζῆν ἀφορμὰς ποριζόμενος, καὶ μὴ ἔχων

1–2 τὸν – ἀνῆψε: Ps. 73,16 σὺ κατηρτίσω φαῦσιν καὶ ἥλιον ‖ **3** ἐπὶ – ἀπέθετο: Mt. 5,15 ἀλλ' ἐπὶ τὴν λυχνίαν etc. (cf. Marc. 4,21 et Luc. 8,16 et 11,33); cf. Psel. Ἐγκωμιαστικὸς εἰς … Μιχαὴλ τὸν Κηρουλλάριον = Or. fun. I 1,19,2 et 48,45–46, Ἐγκώμιον εἰς … Κωνσταντῖνον … τὸν Λειχούδην = Or. fun. I 2,14,20, Ἐπιτάφιος εἰς … Ἰωάννην τὸν Ξιφιλῖνον = Or. fun. I 3,7,7–8, Ἐγκώμιον εἰς … Νικόλαον μοναχὸν … = Or. fun. I 10,20,29–30, et Ἐγκώμιον εἰς Ἰωάννην … Εὐχαΐτων … = Or. pan. 17,457–458

ep. 548 w³ 51v, b¹ 4r, p³ 157r; tit. τοῦ πατριάρχου bis in margine w³ τῷ πατριάρχῃ τοῦ ὑπερτίμου perperam prop. G³ δεητική. οἴκτου δεόμενος b¹ Bon Δ. δεητικόν, οἴκτου δεόμενον p³ ‖ **2** ἀνῆψε w³ G³: ἀνῆψεν b¹ p³ Bon μακαριώτατε w³ G³: ἱερώτατε b¹ p³ Bon | λαμπρύνας w³ p³ G³: λαμπρύνειν b¹ Bon ‖ **3** ἀπέθετο w³ G³: ἀπέθηκεν b¹ p³ Bon ‖ **4** φιλοτιμότερον w³ G³: οὐκ ἔλατον b¹ οὐκ ἔλαττον p³ corr. Bon | εἴωθας w³ p³ G³ corr. Bon: εἴωθεν b¹ **5** ἐπαφιέναι w³ G³: ἐκπέμπειν b¹ p³ Bon | σου w³ G³: om. b¹ p³ Bon **6–7** καὶ² – ἀναπνοήν w³ G³: περὶ αὐτὴν τὴν ζωήν b¹ p³ Bon ‖ **8–9** ἐπάφες – καμπτόμενος: w³ G³: τῇ ἐμφύτῳ συμπαθείᾳ καμπτόμενος εὐμενῆ τινα καὶ θερμὴν τὴν ἀκτῖνα ἐπιβαλὼν ἐμοί, τῷ κρύει τῆς πενίας ταλαιπωρούμενον [ταλαιπωρουμένῳ p³ corr. Bon] b¹ p³ Bon ‖ **10** γραφίδα w³ p³ G³: γραφίδας b¹ Bon ‖ **11** κἀντεῦθεν w³ p³ G³ corr. Bon: κἀνταῦθα b¹ | τοῦ w³ G³: τὰς τοῦ b¹ p³ Bon | ζῆν w³ G³ corr. Bon: ζεῖν b¹ p³ | ποριζόμενος post corr. w³ b¹ p³ Bon: παρεχόμενος ante corr. w³ G³

ποῦ τὰς ἀγκύρας ἀνάψαι τῆς σωτηρίας μου, ἀλλ' ἢ ἐπὶ τὸν ἀπερίκλυστον λιμένα τῆς συμπαθείας σου.

Εἰ οὖν τῆς αὐτόχρημα διαμάρτω χρηστότητος, παρὰ τίνι τῶν ἄλλων λοιπὸν καταφυγὼν σκεπασθήσομαι; 15

549. Τῷ Σεβαστῷ κυρῷ Κωνσταντίνῳ τῷ υἱῷ τοῦ Παλαιολόγου μονάσαντι

ined. [w³, a⁸]

Σεβαστόν σου τὸ γένος, σεβαστόν σου καὶ τὸ ἀξίωμα· πολλῷ δὲ μᾶλλον σεβαστότερον τὸ πολίτευμα. Ἐκ τῶν ἄνω τοῖς κάτω, πρὸς τὰ κάτω τοῖς αὐτοῖς κατελήλυθας, ἵνα φθάσῃς τὰ πάντων ἀνώτερα· ἐκ βυσσενδύτου μελανειμονεῖς· ἐκ χρυσοφόρου ῥακενδυτεῖς· ἐξ ἐποχήσεως ἵππων γαύρων καὶ ἀλαζόνων χρύσεα 5 περικειμένων δεσμά, βακτηριοφόρος· ἐκ φασγανηφόρου, πεζοπορεῖς· ἐκ μυρίων τῶν προπομπῶν καὶ ὀπαδῶν, ὑφ' ἑνὸς ὁδηγῇ μειρακίσκου διὰ τὴν ἄγνοιαν τῆς ὁδοῦ· τὴν κοσμικὴν ἀκοσμίαν κατέλιπες· ἰδιάσας, ἐξενίτευσας· πλανήτης διῆλθες ὁ ἀπλανής· καὶ νῦν ἐν στενοχώρῳ νησιδίῳ φέρων σεαυτὸν 10

13 ἀπερίκλυστον λιμένα: cf. e.g. Opp. Ἁλιευτικά 1,226 ἐν ἀκλύστοισιν ἐεργομένη λιμένεσσι et 4,450 λιμένεσσι παρ' ἀκλύστοισι et Plut. Περὶ τοῦ ὅτι μάλιστα τοῖς ἡγεμόσι δεῖ τὸν φιλόσοφον διαλέγεσθαι 778c7 ἐν ἀκλύστῳ λιμένι cum Psel. Χρονογραφία VI,72, Λόγος εἰς τὴν σταύρωσιν … = Or. hag. 3a,507, Ἐγκώμιον εἰς τὴν ἀποτομὴν τοῦ πανευφήμου προφήτου Προδρόμου καὶ βαπτιστοῦ Ἰωάννου = Or. hag. 8,685, Σελέντιον δημηγορηθὲν παρὰ βασιλέως κῦρ Μιχαὴλ τοῦ Δούκα = Or. min. 3,19, Ἱστορία σύντομος 62,26, et Π 189,33, Π 270,23, Π 275,46–47, Π 288,34–35, Π 324,13, et Π 467,5 **ep. 549** τῷ Σεβαστῷ – Παλαιολόγου: cf. Mich. Glyc. Τῷ πανσεβάστῳ Σεβαστῷ κυρῷ Κωνσταντίνῳ τῷ Παλαιολόγῳ = Quaestiones in sacram scripturam 36, 42, et 76? cf. Varzos 1984,866–868?

12 σωτηρίας μου w³ G³: ἡμετέρας παραμυθίας b¹ p³ Bon ‖ **13** ἀπερίκλυστον w³ G³: ἄκλυστον καὶ γαληνὸν b¹ Bon εὔκλυστον καὶ γαληνὸν p³ | τῆς corr. G³ b¹ p³ Bon: περὶ w³ ‖ **ep. 549** w³ 51v, a⁸ 82r-83r; tit. a⁸: om. w³ ‖ **4** βυσσενδύτου scripsi: βυσσοδύτου w³ βυσενδήτην a⁸ ‖ **5** ῥακενδητῆς a⁸ | ἐξ ἐποχήσεως scripsi: ἐξεποχήσεως w³ a⁸ | χρύσεα w³: χρύσεων a⁸ ‖ **6** περικοιμένων a⁸ βακτηριοφόρος w³: βακτηριοφόρου a⁸ ‖ **7** καὶ w³: τὲ καὶ a⁸ ‖ **8** τὴν κοσμικὴν w³: τὴν κοσμ. τὴν κοσμικὴν a⁸ ‖ **10** ἀπλανῆς a⁸ | καὶ – στενοχώρῳ w³: καινῷ ἐπιστενοχώρῳ a⁸ | φέρων a⁸: φίλων w³

περιέκλεισας, ᾧ Πλάτη μὲν τοὔνομα, στενότατον δὲ τὸ περίμετρον, ἵν' ὁδεύων διὰ στενῆς, πρὸς πλάτος εἰσαχθείης ὀλίγοις βατόν, ἐκπυρηνίζων ὥσπερ τὸν νοῦν, διὰ τοῦ περισφιγμοῦ καὶ ὑποπιεσμοῦ τῆς σαρκός, καὶ ἀνάγων πρὸς τὰ θειότατα.

15 Ἐντεῦθεν σοι το σέβας μᾶλλον ἐπηύξηται. Καὶ εἴης μοι τὰς τοιαύτας ἀναβάσεις ἐν τῇ καρδίᾳ διατιθέμενος ἀεί, μέχρις ἂν τὴν τῶν ἀρετῶν καταλάβοις ἀκρώρειαν, καὶ γίνῃ θεός, καὶ συγγίνῃ θεῷ, δι' ὧν ὡς εἷς τῶν ἀρχόντων πεσὼν ἑκοντί, τὸν ἄρχοντα τῆς πονηρίας κατέβαλες. Ἀγγέλοιο δὲ ἡμῖν εὔρωστος, εὔθυμος, 20 εὔδρομος πρὸς τὸν ὕψιστον· καὶ δοίης τὸ διὰ γραφῆς ὁμιλεῖν, ἐπειδὴ τὸ διὰ γλώττης ἀφήρηκας. Εἰ δ' οὖν, ἀλλὰ τὸ κοινὸν καὶ μόνον τῶν Χριστιανῶν πρὸς ἀλλήλους ὀφείλημα κατὰ τὸν ἀπόστολον μὴ διαλίπῃς ὀφλισκάνων ἡμῖν, ἀεὶ μὲν σῶον καταβαλλόμενον, οὐδέποτε δὲ ἐκπληρούμενον.

550. {Τοῦ αὐτοῦ Ψελλοῦ}

ined. [m[5]]

Εὐχαριστῶ σοι, κύριέ μου καὶ ἠγαπημένε ἀδελφέ, ὅτι με καὶ παρόντα φιλεῖς, καὶ ἀπόντα κατασπάζῃ, καὶ τὰ ἐμὰ ὡς οἰκεῖά σου ἡγῇ καὶ τούτων ὡς ἰδίων ἀντιποιῇ. Τοῦτο δέ σοι καὶ τοῦ τὸν

11 Πλάτη: cf. Janin 1975,67 ‖ **12** ὁδεύων – στενῆς: cf. Mt. 7,13–14 εἰσέλθατε διὰ τῆς στενῆς πύλης· ὅτι πλατεῖα ἡ πύλη καὶ εὐρύχωρος ἡ ὁδὸς ἡ ἀπάγουσα εἰς τὴν ἀπώλειαν … τί στενὴ ἡ πύλη καὶ τεθλιμμένη ἡ ὁδὸς ἡ ἀπάγουσα εἰς τὴν ζωήν et Luc. 13,24 διὰ τῆς στενῆς θύρας ‖ **13–14** ἐκπυρηνίζων – σαρκός: cf. etiam Π 161,38–40 τὰ δὲ δυσχερῆ οἰστέον ἡμῖν, ὁποῖα ποτ' ἂν ᾖ, πιέζοντα μέν, ἀλλὰ τοῦ σώματος ἐκπυρηνίζοντα τὴν ψυχήν ‖ **14** ὑποπιεσμοῦ – σαρκός: locus communis ‖ **16–17** τὴν – ἀκρώρειαν: cf. Psel. Εἰς τὸ 'ὄψει τὰ ὀπίσθια' = Theol. I 26,67–68 οἷον ἐν ὄρει τῇ τῶν ἀρετῶν ἀκρωρείᾳ γενόμενος ‖ **21–23** τὸ[2] – ἡμῖν: Rom. 13,8 μηδενὶ μηδὲν ὀφείλετε, εἰ μὴ τὸ ἀλλήλους ἀγαπᾶν

11 περιέκλυσας w[3] ‖ **13** ἐκπωρηνίζων a[8] ‖ **15** καὶ a[8]: om. w[3] ‖ **17** καταλάβεις a[8] ‖ **19** κατέβαλας a[8] | ἀγγέλοιο w[3]: ἀγγέλοις a[8] | δὲ w[3]: δὲ καὶ a[8] **20** διαγραφῆς a[8] ‖ **21** κοινὸν w[3]: καινὸν a[8] ‖ **22** ὀφέλημα w[3] ‖ **23** ὀφλισκεύνων a[8] ‖ **ep. 550** m[5] 173v, post Προσφωνηματικῶς προσφωνηθεὶς παρά τινος τῶν πολιτῶν πρὸς τὸν βασιλέα κῦρ (vel κυρὸν) Μιχαὴλ = Or. pan. 13

Χριστὸν ἀγαπᾶν δεῖ⟨γ⟩μα σαφέστατον· εἰ γὰρ αὐτὸς ἀγάπη καὶ ἐστὶ καὶ ὀνομάζεται, πάντως ὁ τὴν ἀγάπην φιλῶν, τοῦτον φιλεῖ 5 καὶ τιμᾷ οἷς εἰς τὴν ἀγάπην ἐνδείκνυται· παρ' οὗ σοι καὶ ἡ ταύτης ἀντιμισθία ἐπιμετρηθείη πολλαπλασίων ἔν τε τῷ παρόντι βίῳ καὶ ἐν τῷ μέλλοντι.

551.{Μιχαὴλ τοῦ Ψελλοῦ}

ined. [a[1]]

Ἀνιαρὸν μὲν καὶ καθ' ἑαυτὸ πρᾶγμα, κύριέ μου καὶ ἰσόψυχε φίλε, φίλος ἀποδημῶν ἐς μακράν· εἰ δὲ καὶ σοφὸς εἴη καὶ ἀρετῆς, ὁποῖος σύ, ἐπιμελητής, δυνάμενος κατ' ἄμφω τοὺς γνωρίζοντας ὠφελεῖν, τὸ κακὸν ὅτι μέγιστον.

῝Ο καὶ τῇ πείρᾳ μαθὼν διηγοῦμαι τοῖς ἄλλοις· πολλῶν γὰρ 5 καὶ ἄλλων ὄντων τῶν ἡμᾶς ἀνιόντων, τοῦτο μὲν σωματικῶν, τοῦτο δὲ ψυχικῶν, μεθ' ὅλων τούτων καὶ ἡ σὴ στέρησις οὐ μικρὸν κατατρύχει καὶ ἀνιᾷ· ὅταν γὰρ εἰς μνήμην ἔλθω τοῦ χρηστοῦ ἤθους σου, τῆς ἡδίστης προσλαλιᾶς, τῆς ἁπλουστάτης καὶ καλῆς προαιρέσεως, καὶ (ἁπαξαπλῶς εἰπεῖν) πάντων τῶν σοὶ ἐνόντων, 10 εἴπερ τινι ἄλλῳ, μεγίστων προτερημάτων, ὅπως τε τὸ δαιμόνιον (οὐκ οἶδ' ὅπως) βασκῆναν ἡμῖν ἐξ ἡμῶν σε πεποίηκε, καὶ τούτων ὅλων ἐστέρησεν, ἀθυμίας νέφει περικαλύπτομαι καὶ σκότῳ βαθεῖ, καὶ σχεδὸν ἄπνους γίνομαι.

Καί μοι πολλάκις καὶ καθ' ἑαυτὸν ἴσως τοιαῦτα ὑποψιθυρίζειν 15 ἔπεισι: «Καὶ οὐχ ἱκανὰ ἦν σοι, ὦ Τύχη, ἃ πάμπολλα κατ' ἐμοῦ

4–5 ἀγάπη – ὀνομάζεται: Ioann. 1,4,9 et 4,16 ὁ θεὸς ἀγάπη ἐστίν. cf. Ioann. Chrys. Εἰς τὸ 'Ἐξελοῦ με, Κύριε, ἐξ ἀνθρώπου πονηροῦ' (spur.) 1 (PG 55,707,65–66) καὶ γὰρ ὁ Θεὸς ἡμῶν ἀγάπη ἐστί τε καὶ ὀνομάζεται ‖ **5** ἐστὶ – ὀνομάζεται: iunctura saepe laudata; cf. e.g. Greg. Naz. Εἰρηνικὸς β′ = Or. 22,14 τὸ δὲ ὑγίεια ἔστι τε καὶ ὀνομάζεται, Psel. Omn. doctr. 21 πρῶτος μὲν οὗτος νοῦς καὶ ἔστι καὶ ὀνομάζεται, etc. ‖ **1** ἰσόψυχε: Ps. 54,14 ἄνθρωπε ἰσόψυχε. cf. Psel. Λόγος εἰς τὴν σταύρωσιν = Or. hag. 3a,794, Π 53,26, Π 92,1, Π 100,1, Π 163,1, Π 209,1–2, Π 304,2, Π 462,2, Π 494,1, Π 508,1, et Π 553,1 **13** ἀθυμίας νέφει: iunctura saepe in Ioann. Chrys. laudata; cf. e.g. Εἰς τοὺς ἀνδριάντας 2,2 (PG 49,36,23) ‖ **16** ὦ Τύχη: iunctura saepe laudata

4 δεῖ⟨γ⟩μα Giacomelli ‖ **ep. 551** a[1] 387v–389r; tit.: εἰς φίλον ἀποδημήσαντα in marg. (manu alt.) a[1] ‖ **15** ὑποψιθυρίζειν scripsi: ὑποψηθηρίζειν a[1]

ἐνεανιεύσω κακά, ἀλλὰ τοῖς λοιποῖς ἀτυχήμασι καὶ τοῦτο προσέθηκας, καλλίστου θέας φίλου στερήσασα καὶ συνουσίας· ὅς μοι παρηγορία τῶν ὑπὸ σὲ καθεκάστην ἐπαγομένων δεινῶν μεγίστη
20 ἐτύγχανεν· ὃν μόνον τῶν ἄλλων εἶχον παραψυχήν, ἐφ᾽ ᾧ δὴ καὶ μόνῳ τὰς ἐλπίδας ἐσάλευον. Τοῦτο προσεπιτεῖνον τὸ κακόν, καὶ ἀφειδῶς τοῖς ἐμοῖς ἐπεμβαῖνον, ὡς πορρωτάτω τῆς καθ᾽ ὑμᾶς οἰκουμένης ἀπῴκησε· ἅλις ἔστω σοι τῆς τυραννίδος! καὶ οὐκ ἂν ὀψέ ποτε τοῖς ἡμετέροις θέλησον σπείσασθαι».
25 Ταῦτα δέ μοι διαλεγομένῳ, εὐθὺς ὥσπερ ἐν κατόπτρῳ τῷ παθητικῷ νῷ, τὸ σὸν εἶδος ἐφίσταται, εἰς τοῦτο καὶ μόνον τῆς τοπικῆς βλαπτούσης οὐδὲν διαστάσεως· καὶ ξυνομιλεῖν σοι δοκῶ, λόγων τε πρὸς σὲ ἄρχεσθαι, καὶ αὖ παρὰ σοῦ ἄλλων ἀκούειν. Οὕτω δὲ διακείμενος καὶ ὥσπερ ὑφ᾽ ἡδονῆς ἔνθους τυγχάνων, οὐκ
30 ὄναρ ἀλλ᾽ ὕπαρ ταυτὶ βλέπειν ὑπολαμβάνω· ἐμαυτοῦ δὲ γινόμενος, ὡς οὐδὲν ὧν ἐφανταζόμην ἔχω καθάπερ οἱ ἐν ὀνείροις πάσχουσιν, αἰσθάνομαι, καὶ βάλλομαι τὴν ψυχήν, καὶ τῆς τύχης αὖθις καταψηφίζομαι.
Τί οὖν σοι πρὸς ταῦτα δοκεῖ, ὦ φίλων ἄριστε, οὕτως ἡμᾶς διὰ
